
3 1761 08825323 2

INDEX

IN

EUSTATHII COMMENTARIOS

IN

HOMERI ILIADEM ET ODYSSEAM.

STUDIO

MATTHAEI DEVARII.

AD FIDEM

EXEMPLI ROMANI

CORRECTIOR EDITUS.

LIPSIAE,

SUMTIBUS JOANN. AUG. GOTTL. WEIGEL

MDCCCXXVIII.

LITTERIS GUILIELMI HAACK.

ΚΑΤΑΛΟΓΟΣ ΔΕΙΓΜΑΤΙΚΟΣ

ΤΩΝ ΕΝ ΤΟΙΣ ΕΥΣΤΑΘΙΟΥ ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ ΚΑΙ ΟΔΥΣΣΕΙΑΝ ΥΠΟΜΝΗΜΑΣΙΝ ΕΜΦΕΡΟΜΕΝΩΝ ΧΡΗΣΙΜΩΝ

ΔΙΑ ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΔΕΒΑΡΗ

ΠΑΡΕΚΒΛΗΘΕΙΣ ΚΑΙ ΣΥΓΚΕΦΑΛΑΙΩΘΕΙΣ.

Ἀρχὴ τοῦ Α στοιχείου.

ἃ ἀθροιστικὸν ὅτι δασύνεται, οἷον ἐν τῷ ἅπας καὶ ἄθρους, ὃ δασύνεται παρὰ τοῖς Ἀττικοῖς. 16, 32. 1386, 63.

ᾱ ἀρκτικὸν λέξεων καὶ χωρὶς τοῦ ᾱ λεγομένων ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, οἷον ἄσταχυς στάχυς, ἀσφοδελὸς σφοδελός. 1698, 22.

ᾱ εἰς ῆ Δωρικῶς ἐπὶ τίνων τρέπεται καὶ ἐπὶ τίνων οὐ τρέπεται. 287, 20.

ᾱ ἐκ τοῦ ῆ τραπὲν, ὅτι Δωριεῖς μὲν εἰς μακρὸν ᾱ τὸ ῆ τρέπουσιν, οἷον δῆμος δᾶμος, Ἴωνες δὲ εἰς βραχὺ, οἷον λελῃχυῖα λελαχυῖα. 1714, 55.

ᾱ ἐκ τοῦ ῆ τραπὲν, ὅτι οἱ Δωριεῖς χαίρουσι τὸ ῆ εἰς ᾱ τρέπειν οὐ μόνον ἐν ταῖς καταλήξεσιν ἀλλὰ κἂν ταῖς ἀρκτικαῖς καὶ μέσαις συλλαβαῖς, οἷον κάλη ἀντὶ τοῦ κήλη, καὶ δᾶμος ἀντὶ τοῦ δῆμος. 1481, 50.

ᾱ ἀντὶ τοῦ καθὰ ἐν τῷ, κακὸς ᾅ, ὃ ἀντὶ τοῦ, κακὸς ὡς, γράφουσί τινες παρ' Ὁμήρῳ. 654, 46.

ἆ κλητικὸν ἐπίρρημα ὅτι ἔμφασιν ἔχει σχετλιασμοῦ ἢ θαύματος ἢ οἴκτου, καὶ ἆ ψιλούμενον καὶ περισπώμενον ἀντὶ τοῦ εἶθε. 1763, 54. 60. 1664, 4.

ᾱ λήγοντα κύρια ἀνδρῶν, οἷον Κόπαινα, Μύριλλα. 1457, 23.

ᾱ καὶ ῆ λήγοντα θηλυκὰ ὅτι καὶ οὐδετέρως διὰ τοῦ ος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου λέγονται, οἷον δίψα δίψος, βλάβη βλάβος. 74, 1.

ᾱ λήγοντα θηλυκὰ ἐκ τῶν εἰς ῆ ληγόντων γενόμενα Δωρικῶς, οἷον Λήδα, Φιλομήλα, Ἀνδρομέδα, τόλμα. 1687, 16.

ᾱ λήγοντα θηλυκὰ ἐκ τῶν εἰς ῆ ληγόντων γενόμενα Ἰωνικῶς, οἷον νύμφα ἐκ τοῦ νύμφη. 393, 20.

ᾱ ληγόντων θηλυκῶν παραληκτικὰ φωνήεντα· ὅτι τῶν εἰς ᾱ θηλυκῶν παραληκτικά εἰσι φωνήεντα τὸ ῑ καὶ ῆ ᾱῑ καὶ ε̄ῑ καὶ ο̄ῑ καὶ ῡῑ δίφθογγοι, οἷον καρδία, μαῖα, βασιλεία, ἔννοια, Ἅρπυια, καὶ ῆ ῶ καταχρηστικὴ, οἷον ᾠα. 844, 1.

ᾱ ληγουσῶν αἰτιατικῶν δισυλλάβων προσῳδία καθόλου. 722, 35.

ᾱ λήγοντα ἐπιῤῥήματα ἐκ τῶν εἰς ῆν ληγόντων παρηγμένα, οἷον κρύβδην κρύβδα. 397, 11.

ᾱ λήγοντα ἐπιῤῥήματα ἐκ τῶν διὰ τοῦ ε̄ᾱ γενόμενα κατὰ συγκοπὴν, οἷον σαφέα σάφα, ταχέα τάχα. 86, 31. 1415, 5.

ᾱ λήγοντα ἐπιῤῥήματα παροξύτονα ἀπὸ περισπωμένων εἰς ῆ ληγόντων μεταπλασθέντα, οἷον δίχα ἐκ τοῦ διχῇ. 58, 45.

ᾱ λήγουσαι εὐθεῖαι ἀρσενικῶν ὀνομάτων ὅτι ἐκ τῶν εἰς ῆς γίνονται κατὰ γλῶσσαν Μακεδόνων, οἷον ἱππότα ἀντὶ τοῦ ἱππότης, καὶ ὅτι καὶ ἐπὶ γενικῆς εὕρηται παρ' Ἀράτῳ ἡ ἱππότα φωνὴ ἐν τῷ, ἱππότα θηρὸς, καὶ ὅτι πρὸς χρείαν μέτρου ἐπιτετήδευται τὰ τοιαῦτα. 1457, 18.

ᾱ λήγουσαι εὐθεῖαι κλητικοφανεῖς ἀπὸ εὐθειῶν εἰς ῆς ληγουσῶν ἰσοσυλλάβως κλινομένων μεταπεπλασμέναι, οἷον ἱππότης ἱππότα καὶ τὰ ὅμοια, ὧν τινὰ καὶ προπαροξύνονται. 75, 19 — 37.

ᾱ λήγουσαι αἰτιατικαὶ δισύλλαβοι ὅτι βαρύνονται καθόλου. 1400, 7.

ᾱ περισπώμενον λήγουσαι αἰτιατικαὶ Ἀττικῶς ἐσχηματισμέναι, ὧν αἱ κοιναὶ διὰ τοῦ ῆ, οἷον ὑγιέα ὑγιῆ κοινῶς καὶ ὑγιᾶ Ἀττικῶς. 1516, 2.

ᾱ λήγουσαι αἰτιατικαὶ ἑνικῶν ἀπὸ εὐθειῶν εἰς ευς καθαρὸν ληγουσῶν ἐκ συναιρέσεως περισπώμεναι, οἷον τὸν Πειραιέα καὶ Πειραιᾶ. 269, 5. 1108, 63.

ᾱ λήγουσαι αἰτιατικαὶ θηλυκῶν ὀνομάτων ἐκ τῶν εἰς ῆν μεταπεπλασμέναι, οἷον ἰωκὴν ἰῶκα, κνίδην κνίδα, κρόκην κρόκα. 865, 30.

ᾱ λήγουσαι κλητικαὶ τῆς πρώτης κλίσεως τίνι λόγῳ ἀντὶ εὐθειῶν παραλαμβάνονται τοῖς ποιηταῖς, οἷον ἱππότα ἀντὶ τοῦ ἱππότης. 686, 25.

ᾱ μακρὸν ληκτικὸν θηλυκῶν ὀνομάτων ὅτι οὐ πέφυκεν ἐκθλίβεσθαι κατὰ τὰς συναλιφὰς πλὴν εἰ μὴ

ἀ σπανίως, οἷον ἐν τῷ, χρεῖ' ῆ, ἀντὶ τοῦ, χρεία ῆ. 1702, 31.

ᾰ μόριον ἐπιτατικὸν ἢ ἀθροιστικὸν ἐν τῷ ἀολλὴς καὶ ἀολλίζειν. 641, 61.

ᾰ μόριον ἰσότητα ἢ ὁμοιότητα δηλοῦν ἐν τῷ ἀτάλαντος καὶ ἄλλοις τισί. 196, 28.

ἃ ἃ μετὰ δασείας καὶ ὀξείας ὅτι γέλωτα ἐμφαίνει. 855, 19.

ᾰ μόριον ὅτι μόνωσιν σημαίνει ποτέ. 402, 38.

ᾰ μόριον προτασσόμενον κυρίων καὶ προσηγορικῶν, οἷον Ἶρος ἄϊρος, ὕπνος ἄϋπνος. 1837, 61.

ᾰ μόριον στερητικὸν καὶ ὑπερστερητικὸν ἤγουν ἀναιρετικὸν τῆς στερήσεως ἐν τῷ ἀάατον. 985, 16.

ᾰ πλεονάζον ἐν ἀρχῇ λέξεων, οἷον στάχυς ἄσταχυς, σταφὶς ἀσταφίς. 947, 14.

ᾰ πλεονάζον κατ' ἀρχὰς λέξεων ὅτι ποτὲ μὲν φυλάσσει τὴν αὐτὴν προσῳδίαν, οἷον στεροπὴ ἀστεροπὴ, πολλάκις δὲ καὶ μεταβάλλει, οἷον στάχυς ἄσταχυς. 705, 62.

ᾰ πρὸ δασέος ὅτι ψιλοῦται. *implicite.* 1387, 1.

ᾰ πρὸ τοῦ λ̄ ὅτι ἐπαγομένου τοῦ δ̄ ἢ θ̄ ἢ τ̄ ψιλοῦται, οἷον ἀλδαίνω, ἀλθαίνω, ἄλτης. 145, 40.

ᾰ πρὸ τοῦ λ̄ ὅτι ἐπιφερομένου τοῦ κ̄ ψιλοῦται. 776, 41.

ᾰ πρὸ τοῦ ρ̄, μεθ' ὃ τὸ μ̄ ἐπάγεται, ὅτι δασύνεται, οἷον ἅρμα. 140, 11.

ᾰ πρὸ τοῦ σ̄ ἐπαγομένου δασέος ὅτι ψιλοῦται, οἷον ἀσφόδελος, ἀσφάραγος. *implicite.* 1341, 6.

ἆ προσφωνητικὸν ἐπίῤῥημα ἐν τῷ, ἆ δειλὲ, ὅτι ἢ σχετλιασμὸν δηλοῖ ἢ ὄνειδος ἢ ἀγανάκτησιν, καὶ ἁπλῶς πάθος τι ταραχῶδες τῆς ψυχῆς, καὶ ὅτι ψιλοῦται καὶ περισπᾶται, καὶ ὅτι διαφέρει τοῦ ὦ κλητικοῦ. 855, 16. 1102, 32.

ᾰ στερητικὸν μόριον ἐν τῷ ἀκάματος καὶ ἀθάνατος ὅτι ἐκτείνεται. 142, 26.

ᾰ στερητικὸν ὅτι οὐ παντελῶς στέρησιν, ἐνίοτε ἀλλ' ὀλιγότητα ὑπαγορεύει. 1502, 28.

ᾱ στερητικὸν τρεπόμενον εἰς η̄ ἐνίοτε. 627, 21.

ᾰ ὅτι τὸ ἓν σημαίνει ἐν τῷ ἁπλοῦν, ὃ δηλοῖ τὸ ἓν πέλον, καὶ τῷ ἁμαζῶν, ὅ ἐστι μονόμαζος. 1428, 29.

ᾱ τοῦ στοιχείου ὅτι σεμνὴ ἡ ἐκφώνησις. 12, 8.

ᾱ τραπὲν ἐκ τοῦ η̄ κατὰ διάλεκτον ὅτι συστέλλεται, οἷον ἐν τῷ πήρα πάρη τὸ πα βραχύ. 29, 3.

αα καὶ ααs ληγόντων προσώπων ῥημάτων δευτεροζύγων περισπωμένων καὶ αaν ἀπαρεμφάτων χρόνος ληκτικὸς καὶ παραληκτικὸς καὶ συγκοπὴ, οἷον ἐάᾳ ἔα ἀντὶ τοῦ ἐᾷ, καὶ τόνος καὶ χρόνος τῶν συγκοπέντων. 30, 39. 115, 45. 223, 46. 546, 10. 721, 25.

ἀάατος μετὰ δύο στερητικῶν, ὧν θάτερον ἀναιρετικόν ἐστι θατέρου· ἄτη γὰρ ἡ βλάβη, ἄατος δὲ ὁ ἀβλαβὴς, ἀάατος δὲ ὁ βλαβερός· ἢ παρὰ τὸ ἀάσαι, τὸ βλάψαι, ἄατος ὁ βλαβερὸς καὶ ἀάατος κατ' ἐπίτασιν ὁ πολυβλαβής. 1902, 48.

ἀάατον ὅτι κατὰ ὑπερστέρησιν λέγεται, ὅ ἐστι στέρησιν στερήσεως· τὸ γὰρ δεύτερον ᾰ στερητικόν ἐστι, τὸ δὲ πρῶτον ἀναιρετικὸν τῆς στερήσεως. 985, 16 — 25. 618, 39.

ἀαγὲς ῥόπαλον, τὸ μὴ ἀγνύμενον, ἀλλ' ἄκλαστον καὶ ἄθραυστον. 1699, 22.

ἄαπτοι χεῖρες, ἐπιθετικῶς διαφόρως ἐτυμολογούμενον διεξοδικῶς, καὶ περὶ τοῦ πνεύματος διαίτησις κατὰ τὰς διαφόρους ἐτυμολογίας. 150, 14.

ἄασα ἤγουν ἔβλαψα, ὅθεν καὶ ἄτη ὄνομα κατὰ συναίρεσιν διὰ διχρόνου ἐκτεταμένου. 1910, 56.

ἄασα ὅτι ἐκτείνει τὴν ἄρχουσαν ἐν τῷ, ἄασάν μ' ἕταροίτε κακοὶ, πρὸς τοῖσι δὲ ὕπνος, Ὀδυσσείας κ', 68. 1647, 55.

ἀασάμην χρόνος ἀρκτικὸς καὶ προπαραληκτικὸς, καὶ ὅτι ἀντὶ τοῦ ἀάσθην τίθεται. 739, 36. 1176, 10.

ἀάσασθαι τὸ βλαβῆναι, ἄσασθαι δὲ τὸ κορέσασθαι. 1173, 35.

ἀάσθη τρισυλλάβως ὅτι καὶ ἄσθη δισυλλάβως ἐνδέχεται γράφειν ἐν τῷ, καὶ μέγ' ἀάσθη, Ὀδυσσ. δ', 503. 1507, 17.

αασι ληγόντων τρίτων πληθυντικῶν προσώπων ῥηματικῶν σχηματισμὸς, οἷον βεβάασιν, ἑστάασι. 191, 13.

ἀάσχετον πένθος, τὸ λίαν ἄσχετον. 1372, 9.

ἀάσχετον τὸ ἄγαν ἀκατάσχετον, ὅτι τὸ μὲν πρῶτον ᾱ ἐπιτείνει, τὸ δὲ δεύτερον στερεῖ. 618, 38.

ἀάτη κατά τινας ἡ βλάβη ἐν ἴσῳ τῷ ἄτη, καὶ ἄατον τὸ ἀτηρὸν, ὅθεν τὸ ἀάατον Ἰλιάδ. ξ', 271. 985, 23.

ἄατος ὁ ἀβλαβὴς παρὰ τὴν ἄτην στερητικῶς, ἢ ἄατος ὁ βλαβερὸς παρὰ τὸ ἀάσαι τὸ βλάψαι. 1902, 49. 52.

ἀβακεῖν τὸ ἀγνοεῖν καὶ μὴ ἔχειν τι λαλῆσαι. 1494, 59.

ἀβάκιον, μικρὸς ἄβαξ, ὑποκοριστικῶς. 1397, 49.

ἀβάκιον, πινάκιον ἐφ' οὗ ψηφίζουσι. 1494, 64.

ἀβακίσκος, μικρὸς ἄβαξ, καὶ ὅτι καὶ τὰ λίθινα πλινθία, ἐξ ὧν τὰ λιθόστρωτα ἐδάφη σύγκειται, ἀβακίσκοι ὁμωνύμως λέγονται. 1927, 64.

ἀβάλε, τὸ ᾱ μακρὸν παρὰ τὸν κανόνα τῶν ἐχόντων τὸ ᾱ πρὸ τοῦ β̄. 1353, 41.

Ἄβαντες κοινῶς πάντες οἱ τὴν Εὔβοιαν οἰκοῦντες, καὶ διὰ τί ὄπισθεν κομῶντας αὐτοὺς ἐπικαλεῖ Ὅμηρος. 281, 16. 28. 282, 1.

Ἄβαντες οἱ Εὐβοεῖς ἑτερωνύμως. 190, 34. 278, 43.

Ἀβαντὶς ἡ Εὔβοια. 281, 29.

ἄβαξ ὁ ἄλαλος καὶ ἀσύνετος καὶ ἄπειρος, παρὰ τὸ μὴ βάζειν, καὶ ἄβαξ ὁμωνύμως τὸ σανίδιον. 1494, 63.

ἄβαξ, σανὶς χρήσιμος εἰς μαθηματικὰ διαγράμματα καὶ εἰς πεττείαν καὶ κυβείαν. 1397, 49.

Ἀβαρβαρέη κύριον, ἱστορία. 622, 32.

ἀβαρὴς ὅτι ἐκ τοῦ βάρος, οὐκ ἐκ τοῦ βαρύς· ἦν γὰρ ἂν ἄβαρυς, ὡς ἐκ τοῦ ὀξὺς κάτοξυς. 1395, 57.

ἀβέβηλος ἐναντίον τῷ βέβηλος, ὃ δηλοῖ τόπον παντὶ βάσιμον· ζήτει ἐν τῷ βηλός. 156, 29. 1003, 45.

ἀβέλτερος, εὐήθης, ἀνόητος, χαῦνος, ὅτι παρὰ τὸ βάλλειν, ὅ ἐστιν ἐπιτυγχάνειν, λέγεται στερητικῶς. 1448, 12.

ἀβελτέρειος ἀπὸ τοῦ ἀβέλτερος κατὰ τύπον κτητικόν. 1930, 32.

Ἄβιοι ἐπίθετον ἔθνους τινὸς, ἐτυμολογία καὶ ἱστορία. 916, 17.

ἄβιοι παρ' Ὁμήρῳ οἱ γυναιξὶ μὴ συνοικοῦντες. 325, 15.

ἀβλεμὲς τὸ νωθρὸν, οἱονεὶ ἀφλεβές. 54, 16.

ἀβλεμὴς, ἀόργητος, ἄτολμος, ἀσθενής. 892, 5.

ἀβλεπτῶ ὅτι ἐκ τοῦ βλέπω γέγονε. 1398, 33.

ἀβληχρὰ χεὶρ ἐπιθετικῶς, 552, 41.

ἀβλὴς ἰὸς ἐπιθετικῶς, ἐτυμολογία. 451, 27. 31.

ἀβληχρὸν ὅτι ἐκ τοῦ βάλλειν καὶ τοῦ χρὼς σύγκειται. 1405, 6.

ἀβληχρὸς, ἀσθενὴς, προσῳδία. 705, 59.

ἀβληχρὸς θάνατος ὁ ἀσθενὴς καὶ ἠρεμαῖος διὰ τὸ ἄνοσον, ἢ ὁ ἀβληχροποιὸς ὡς ἀσθενεῖς ποιῶν τοὺς θνήσκοντας. 1676, 56.

ᾱβ, ὅτι τὸ ᾱ πρὸ τοῦ β̄ συστέλλεται, οἷον ἀβρὸς, Ἀβαρβαρέη, Ἄβδηρος, πλὴν τοῦ ἀβάλε. 1353, 40.

ἄβολος ἵππος ὁ μήπω ἐκβεβληκὼς τὸν καλούμενον γνώμονα ὀδόντα. 1405, 19. 1627, 18.

ἄβρα, δουλὶς θρεπτὴ, καὶ ὅτι βαρβαρικὴ οὖσα ἡ λέξις ἐπεχωρίασε τοῖς Ἕλλησι. 1854, 15.

Ἀβροβάστης Φράγγος, ἱστορία. 513, 20.

ἀβρὸς ὅτι ἐκ τοῦ ᾱ καὶ τοῦ βάρος σύγκειται, καὶ ὅτι δασύνεται, καὶ ὅτι παραλόγως ὀξύνεται κατὰ συνεκδρομὴν τοῦ ἀγρὸς, ἀδρός. 1447, 49. 57.

ἄβρομος ὁ ἅμα βρόμῳ, βρόμος δὲ ἦχος ποιός. 919, 27.

ἀβροτάζω ἀβροτάξω, ἐτυμολογία. 548, 14. 789, 49.

ἀβρόταξις ἡ διαμαρτία καὶ διαμφόδησις, παραγωγή. 789, 52.

ἄβροτος ἐρημία ἐπιθετικῶς, ἐτυμολογία. 968, 45.

ἀβρότη νὺξ ἐπιθετικῶς, διττῶς ἐτυμολογούμενον διεξοδικῶς. 968, 44. 49.

ἀβρότη νὺξ ἡ ἄφωτος κατὰ μετάληψιν. 79, 21.

ἀβρότη νὺξ, ὅτι μόνον τῶν ἐκ τοῦ βροτὸς συγκειμένων οὐκ ἔχει τὸ μ̄ πρὸ τῆς βρο συλλαβῆς. 243, 44.

ἀβυδοκόμαι οἱ ἐπὶ συκοφαντίᾳ κομῶντες. 357, 2.

Ἄβυδος πόλις, ἱστορία· καὶ ἄβυδος φωνὴ ἐπὶ ἄλλων τινῶν σημαινομένων ὁμωνύμως· καὶ παροιμία, μὴ εἰκῆ τὴν Ἄβυδον. 356, 40 — 357, 5.

ἀβυρτάκη, βαρβαρικόν τι ὑπότριμμα πρὸς κοιλιολυσίαν χρήσιμον. 1854, 18.

ἄβυσσος ὅτι ἐκ τοῦ βυσσὸς καὶ τοῦ ᾱ ἐπιτατικοῦ σύγκειται. 1340, 38.

αγα ἀρχόμενα ὀνόματα ἄδηλόν ἐστι πότερον ἐκ τοῦ ἄγαν ἐπιῤῥήματος σύγκεινται ἢ ἐκ τοῦ ἀγάω ῥήματος, οἷον ἀγάστροφος, Ἀγαμέμνων, ἐκ παραδειγμάτων. 848, 3.

ἀγάασθαι τὸ ἐκπλήττεσθαι καὶ ἐπιτεταμένως θαυμάζειν. 1800, 29.

ἀγάασθαι τὸ φθονεῖν, τὸ μισεῖν καὶ τὸ θαυμάζειν, καὶ ὅτι τὸ ἀγάασθαι καὶ ἄγασθαι λέγει Ὅμηρος. 1527, 36.

ἀγαθὴ δαὶς ἡ σωφρόνως ἔχουσα. 1331, 16.

ἀγαθὶς, δέσμη, ῥάμμα, στήμων. 1166, 32.

ἀγαθὸς αὐδὴν λέγεται ὁ κῆρυξ ἐπιθετικῶς, ἀγαθὸς δὲ βοὴν ὁ στρατιώτης. 1182, 59.

ἀγαθὸς δαίμων, ὅτι τῷ ἐν δείπνοις πινομένῳ ἀκράτῳ ἀγαθὸς δαίμων ἐπεφωνεῖτο, τῷ δὲ μετὰ δεῖπνον κράματι Ζεὺς σωτὴρ ἐπεφωνεῖτο· ζήτει ἐν τῷ, οἴνου κρᾶσις. 1816, 15.

ἀγαθὸς δαίμων ἐλέγετο, ᾧ μετὰ ὕρσιν τραπεζῶν ἔπινον, καὶ ἀγαθοῦ δαίμονος ποτήριον τὸ μετὰ ἄρσιν τραπεζῶν προσφερόμενον. 1471, 32.

ἀγαθὸς φωνὴ ὅτι διὰ τὴν ἐν αὐτῇ ἔνοῦσαν ἐκ τοῦ ἄγαν ἐπίτασιν οὐ σχηματίζει συγκριτικὸν οὔτε ὑπερθετικόν. 1384, 49.

ἀγαθὸς ἐπὶ ἀνδρείου καὶ φρονίμου. 931, 58. 1178, 24.

ἀγαθὸς, οἱονεὶ ἀγαστὸς, παρὰ τὸ ἀγῶ ἀγάζω, ἀποβολῇ τοῦ σ̄ καὶ τροπῇ τοῦ τ̄ εἰς ϑ. 98, 12. 1599, 4. 1795, 64.

ἀγαθὸς στρατιώτης ὁ πολεμικὸς, καὶ ἀγαθὸς σκυτεὺς ὁ εὔτεχνος. 1121, 6.

ἀγαθοῦ δαίμονος, κρᾶμα οὕτω καλούμενον, ὅ ἐστιν ἀγαθῆς τύχης. 1525, 60.

ἀγαθοὶ οἱ πλούσιοι καὶ δυνατοὶ ἐν τῷ, οἷά τε τοῖς ἀγαθοῖσιν ὑποδρώωσι χέρηες, Ὀδυσσείας ο', 324. 1783, 15.

ἀγαίω καὶ ἀγαίομαι τὸ ἐκπλήττω καὶ τὸ θαυμάζω καὶ τὸ μέμφομαι, καὶ ὅτι ἐκ τοῦ ἀγῶ παρήχθη. 734, 64. 746, 48. 848, 4. 881, 17.

ἀγακλέες ἐκ τοῦ ἀγακλέεες ἀπελεύσει ἑνὸς ε̄. 669, 3.

ἀγάλλω ὅτι ἐκ τοῦ ἀγάω ἀγῶ γίνεται. 867, 20.

ἀγάλλεσθαι καὶ χαίρειν ὅτι διαφέρει ἀλλήλων. 456, 33.

ἀγάλλεσθαι ὅτι παρὰ τὸ ἄγαν ἅλλεσθαι λέγεται περὶ ἵππων. 1205, 59.

ἄγαλμα λέγεται πᾶν ἐφ' ᾧ τις ἀγάλλεται, οἱονεὶ ἀγαλλίαμα, ἰδίως δὲ τὸ ξόανον. 456, 22. 31. 1475, 37.

ἄγαλμα ἐν ἴσῳ τῷ ἀγαλλίαμα, καὶ ὅτι ἀγάλματα νυκτός εἶπέ τις τὰ ἄστρα. 1608, 19.

ἀγάλματα παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀγαλλιάματα καὶ ἀγλαΐσματα. λέγεται δὲ οὕτω τὰ ἀναθήματα ἐν τῷ, νηὸν τεύξομεν, ἔνθα κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά, Ὀδυσσ. μ', 347. 1725, 23.

ἀγάλματα παρὰ τοῖς μεθ' Ὅμηρον τὰ ξόανα, παρ' Ὁμήρῳ δὲ πᾶν, ᾧ τις ἀγάλλεται, ἄγαλμα λέγεται. 1467, 35.

ἄγαμαι παρακείμενος ἀναύξητος ἐκ τοῦ ἀγῶ ἀγάσω θέματος. 989, 53.

ἀγαμέμνων Ζεὺς παρὰ Λάκωσιν ἐν ἴσῳ τῷ εὐρυμέδων. 168, 11.

Ἀγαμέμνων ὁ Ἀτρέως ὅτι πολλαχοῦ τῆς Ἑλλάδος ὤρυξε φρέατα, ἅ περ Ἀγαμεμνόνεια ἐκλήθη. 461, 13. 15.

Ἀγαμέμνων ὅτι οὐ κατὰ χειροτονίαν ἁπλῶς ἦρχε τοῦ ἐπὶ Τροίαν Ἑλληνικοῦ στρατεύματος, ἀλλὰ τῷ προέχειν τῶν περὶ αὐτὸν βασιλέων τῇ δυνάμει καὶ τῷ πλούτῳ. 185, 3.

ἀγαμέμνων, ὅτι τὸν ἄγαν προθυ-

μοίμενον ὑπαγορεύει ἡ λέξις. 1054, 23.

Ἀγαμέμνων ὅτι χειροτονητὸς βασιλεὺς ἦν ἐν τῷ Τρωικῷ πολέμῳ. 674, 53.

Ἀγαμεμνόνειος δαὶς, ἐπὶ τῶν ἐπὶ ὀλέθρῳ ἑστιωμένων παροιμιακῶς, παρὰ δὲ Σοφοκλεῖ ἡ ἐπὶ Ἀγαμέμνονι κατ' ἔτος τελουμένη. 1507, 61.

Ἀγαμύδη, Αὐγείου βασιλέων Ἐπειῶν θυγάτηρ, ὅτι φαρμακὶς ἦν. 1415, 55.

ἄγαν ἐπίῤῥημα ὅτι ποτὲ μὲν ἄκραν ὑπερβολὴν δηλοῖ, ποτὲ δὲ μεσότητα ἐπαινετήν. 1396, 40.

ἄγαν ἐπίῤῥημα προτεταγμένον ἐν συνθέσει ὅτι ποτὲ μὲν φυλάττει τὸ ν, ποτὲ δὲ οὔ. 127, 33. 848, 2.

ἄγαν ἐπίῤῥημα ὅτι βραχυκαταληκτεῖ. 1433, 64.

ἀγανὰ βέλη, ὅ ἐστιν ἡδέα καὶ προσηνῆ, λέγονται οἷς ἐξ αἰφνιδίου θανάτου θνήσκουσί τινες. 1467, 60.

ἀγάννιφος Ὄλυμπος ἐπιθετικῶς, σχηματισμὸς καὶ γραφὴ παραληκτική. 127, 20. 848, 2.

ἄγανον προπαροξυτόνως τὸ κατεαγός. 200, 2.

ἀγανὸς ἐπίθετον, ἐτυμολογία. 199, 45.

ἀγανότερον, πρᾳότερον. 195, 26.

ἀγανοφροσύνη, ἡ πρᾳότης. 1679, 16.

ἀγαπᾶν ἀντὶ τοῦ ἀρκεῖσθαι δοτικῇ. 1910, 31.

ἀγαπᾶν ἐν ἴσῳ τῷ φιλεῖν, καὶ ἀγάπη τὸ φίλημα. 1935, 35.

ἀγαπᾶν ἀντὶ τοῦ φιλοφρονεῖσθαι ἐν τῷ, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα, Ὀδυσσ. ψ', 214. 1946, 1.

Ἀγαπήνωρ κύριον, γενεαλογία. 300, 34.

Ἀγαπήνωρ κύριον ὅτι καὶ ὡς ἐπίθετον ἐνίοτε λαμβάνεται. 958, 57.

ἀγαπήνωρ ἐπιθετικῶς ὁ ἀνδρεῖος. 1576, 3.

ἀγαπήνωρ ὁ ἀγαπῶν τὴν ἠνορέην. 1022, 17. 1291, 58.

ἀγάῤῥοος ὁ ἄγαν ῥέων, ὅτι δυσὶ ρ γράφεται τροπῇ τοῦ τελικοῦ ν τοῦ ἄγαν ἐπιῤῥήματος εἰς ρ. 359, 6. 848, 2.

ἀγάσσασθαι ἀντὶ τοῦ μέμψασθαι ἐν τῷ, ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθα ἐξερέοντες, Ὀδυσσείας κ', 249. 1657, 29.

ἀγάσασθαι τὸ φθονῆσαι καὶ τὸ ἐκπλαγῆναι καὶ τὸ θαυμάσαι. 663, 27. 734, 64. 1096, 3.

ἄγασθαι τὸ ἐκπλήττεσθαι καὶ τὸ θαυμάζειν, ἀγᾶσθαι δὲ τὸ φθονεῖν. 1321, 40. 1943, 7.

ἀγᾶσθαι καὶ ἀγαίειν τὸ φθονεῖν, ἄγασθαι δὲ προπαροξυτόνως τὸ ἐκπλήττεσθαι καὶ θαυμάζειν. 1321, 40.

ἀγάσσεσθαι, φθονεῖν ἐν τῷ, ἀλλὰ τὰ μέν που μέλλεν ἀγάσσεσθαι θεὸς αὐτός, Ὀδυσσ. δ', 181. 1490, 46.

ἄγασμα ἤγουν σέβασμα, παρὰ τὸ ἀγῶ τὸ σέβομαι. 971, 16.

ἀγαστὸν τὸ ἐπίφθονον, παρὰ τὸ ἀγᾶσθαι, ὅ ἐστι φθονεῖν, ἢ τὸ θαυμαστὸν παρὰ τὸ ἄγασθαι, ὅ ἐστι θαυμάζειν. 98, 11. 1321, 40. 42. 1599, 4.

ἀγάστονος θάλασσα ἐπιθετικῶς παρὰ τὸ ἄγαν στένειν, ὅ ἐστιν ἠχεῖν, τροπικῶς ἢ ἡ τοῖς ναυαγοῦσι πολλῶν στεναγμῶν αἰτία. 1715, 55.

Ἀγάστροφος κύριον, ἐτυμολογία. 848, 3.

ἀγάστωρ ὁ ὁμογάστριος. 1479, 29.

Ἀγαυὴ, μία τῶν Κάδμου θυγατέρων, ἣ μανεῖσα διεσπάσατο τὸν υἱὸν Ἀκταίωνα. 1543, 35.

Ἀγαυὴ Νηρηίς τις λέγεται παρὰ τὸ ἄγαν αὔειν διὰ τοὺς θαλαττίους ἤχους. 1130, 50.

ἀγαυοὶ, ὄνομα ἔθνους ἢ ἐπίθετον, ὅ ἐστιν εὐειδεῖς. 916, 10.

ἀγαυὸς, σεμνὸς, λαμπρὸς, καλὸς, κόσμιος, παρὰ τὸ ἀγάω ἐπενθέσει τοῦ υ. 919, 29. 1441, 6.

ἀγαύρισμα, εἶδος πάλης. 1444, 7.

ἀγαυρὸς ὅτι ἐκ τοῦ ἀγαυὸς γέγονεν ἐπενθέσει τοῦ ρ, καὶ ὅτι ὀξύνεται, καὶ ὅτι, εἰ ἐκ τοῦ γαῦρος ἦν, ὤφειλε προπαροξύνεσθαι. 919, 29. 1161, 32. 1444, 7.

ἀγαυρὸς ὅτι ἐκ τοῦ γαῦρος βαρυτόνου παραγόμενον παραλόγως ὀξύνεται κατὰ συνεκδρομὴν τοῦ ἀμαυρὸς, ἀφαυρός. 1447, 49. 57.

ἄγγαροι οἱ ἐκ διαδοχῆς γραμματοφόροι, ὅτι βαρβαρικὴ οὖσα ἡ λέξις ἐπεχωρίασε τοῖς Ἕλλησιν, ὅθεν τὸ ἀγγαρεύειν. 1854, 27.

ἀγγαρεύεσθαι τὸ εἰς φορτηγίαν καὶ ὑπηρεσίαν τινὰ ἄγεσθαι, παρὰ τὸ ἄγγαρος· καὶ ζήτει τὸ ἄγγαρος. 1854, 30.

ἀγγαροφορεῖν τὸ φορτία φέρειν ἐκ διαδοχῆς, ὅτι παρὰ τὸ ἄγγαρος λέγεται· ζήτει τὸ ἄγγαρος. 1854, 29.

ἄγγατος βαρβαρικῶς ἡ κάμαξ ἢ τὸ εἰς ἀναδενδράδα ξύλον. 1163, 19. 1854, 22.

ἀγγελία ἡ ἐξ ἀποστολῆς πρεσβεία. 836, 29.

ἀγγελιαφόρος ὁ φέρων ἀγγελίαν τινά. 1011, 1.

ἄγγελλος ὅτι παρὰ τὸ ἄγειν λέγεται. 182, 9. 1012, 59.

ἄγγελος, ὅτι τὸ, μηδ' ἄγγελον ἀπονέεσθαι, Ἰλιάδ. μ', 73. παροιμιακῶς λέγεται ἐπὶ πανωλεθρίᾳ. 893, 11.

ἄγγον, εἶδος δόρατος φραγγικοῦ, οὗ τὸ πλεῖστον σιδήρῳ περιέχεται. 1854, 22.

ἄγε ῥῆμα προστακτικὸν καὶ ἐπίῤῥημα παρακελευσματικόν. 48, 38.

ἄγε ποιῶμεν, ὅτι ἐπιῤῥηματικῶς λέγεται τὸ ἄγε. 1602, 47.

ἄγε πρίν τινα τόδε τι ποιῆσαι, Ὀδυσσ. π', 376. φράσις ἐλλιπὴς αὐθυποτάκτου ῥήματος. 1805, 52.

ἄγε πρὸς πολλοὺς παρακελευστικῶς λεγόμενον ἐν τῷ, ἀλλ' ἄγε μοι δότε νῆα, καὶ ἐν τῷ, ἀλλ' ἄγε Φαιήκων βητάρμονες, Ὀδυσσ. θ', 250. καὶ ἄγετε πληθυντικῶς ἐν ἴσῳ τῷ ἄγε παρακελευστικῷ. 1393, 4. 1594, 43.

ἄγε ὅτι ποτὲ μὲν ἀκινητίζει ὡς ἐπίῤῥημα, οἷον ἐν τῷ, δεῦτ' ἄγε Φαιήκων ἡγήτορες εἰς ἀγορὴν ἰέναι, Ὀδυσσ. θ', 11. ποτὲ δὲ συμμεταπίπτει ταῖς πτώσεσιν ὡς ῥῆμα, οἷον ἐν τῷ, ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες. 1583, 51.

ἄγετε ἀντὶ τοῦ σπεύδετε ἐν τῷ, ἀλλ' ἄγετε μνηστῆρες, θήσω γὰρ μέγα τόξον, Ὀδυσσ. φ', 73. 1901, 63.

ἄγετε πληθυντικῶς ἀντὶ τοῦ ἄγε παρακελευστικῶς, καὶ ἀνάπαλιν ἄγε ἀντὶ τοῦ ἄγετε πρὸς πολλούς τινας· ζήτει ἐν τῷ ἄγε. 1393, 4. 1594, 43.

ἄγειν ἐν ἴσῳ τῷ ἀπιέναι ἐν τῷ, ὄνος ἄγων μυστήρια. 640, 27.
ἄγειν ἐν νηὶ, ὅτι ἄγειν ἐν νηὶ λέγεταί τις οὐ μόνον ἔμψυχά τινα ἀλλὰ καὶ ἄψυχα. 1967, 3.
ἄγειν ἐπὶ τοῦ κλᾶν καὶ θραύειν, ὅθεν τὸ ἀγνύειν. 1275, 63.
ἄγειν ἐπὶ τοῦ ληΐζεσθαι ἐν τῷ, ἄγειν καὶ φέρειν. 1396, 45.
ἄγειν καὶ φέρειν, ὅτι ἄγεσθαι κυρίως μὲν ὡς ἐπὶ τὸ πλεῖστον λέγονται τὰ ἔμψυχα καὶ αὐτοκίνητα, φέρεσθαι δὲ, ὅ ἐστι βαστάζεσθαι, τὰ ἄψυχα, καταχρηστικῶς δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται· καὶ ὅτι καὶ ναῦς καὶ ἅμαξα ἄγειν λέγονται τὰ ἐν αὐταῖς. 57, 11 — 24.
ἄγειν περὶ ἀψύχων ἐν τῷ, καὶ ἤγομεν ἐνθάδε πάντα, Ἰλιάδ. α', 367. 119, 24.
ἄγειν τινὰ ἀντὶ τοῦ προάγειν ἤγουν προπέμπειν. 682, 32.
ἄγειν τινὰ ὅτι ἐπὶ αἰχμαλωσίας ἀκούεται. 1089, 30.
ἄγειν ὅτι περὶ τῶν βαδιζόντων λέγεσθαι, φέρεσθαι δὲ περὶ τῶν ὀχουμένων καὶ βασταζομένων. 1399, 48.
ἄγειν τὸ ὑπάγειν καὶ ὑποκλίνειν τινὰ οἷς θέλει τις ἐν τῷ, σκοπὸς δν ῥα καθεῖσεν Αἴγισθος δολόμητις ἄγων, Ὀδυσσ. δ', 525. 1507, 57.
ἄγειν καὶ ὑπάγειν ἀντὶ τοῦ πίνειν ὁμωνύμως, καὶ ἄγειν τὸ κλᾶν. 1399, 61.
ἀγείρειν ἐν ἴσῳ τῷ ἀγυρτάζειν ἐν τῷ, ἡμεῖς δ' αὖτ' ἀγειρόμενοι κατὰ δῆμον τισόμεθα, Ὀδυσσ. ν', 14. 1732, 46.
ἀγείρειν ὅτι παρὰ τὸ ἄγειν λέγεται. 110, 42.
ἀγείρειν τὸ περιιέναι καὶ περινοστεῖν, ὅθεν ἀγύρτης. 1430, 37.
ἀγελαῖος ὁ ἐξ ἀγέλης, ἀγέλαιος δὲ προπαροξυτόνως ὁ ἀμαθής. 1752, 61.
ἀγελαῖοι ἄρτοι τινὲς ἐπιθετικῶς οὕτω καλούμενοι. 265, 32.
ἀγελαία βοῦς ἡ νομαδικὴ καὶ ἄφετος καὶ ἀδάμαστος. 881, 17. 1663, 22. 1890, 43.
ἀγελαῖαι βόες καὶ ἀγελαῖαι ἰσχάδες αἱ εἰκαῖαι, καὶ ἀγελαῖοι λίθοι οἱ εἰκαῖοι καὶ ἄξεστοι. 1165, 13.
ἀγελείη Ἀθηνᾶ ἡ ἄγουσα λείαν ὡς ληῖτις, ἢ ἄγουσα λεὼν, ὅ ἐστι λαὸν, εἰς πόλεμον. 453, 18. 818, 26. 1111, 62.
ἀγέλη ὀρνίθων ὅτι ἀκύρως λέγεται. 178, 14.
ἀγεληδὸν ἰέναι λέγονται τὰ συναγελαστικὰ τῶν ζῴων. 1051, 64.
ἄγεν ἤγουν ἐκλάσθησαν, καὶ πάλιν ἄγεν, Ἰλιάδ. δ', 214. ἀντὶ τοῦ εἰς τὸ ἔμπαλιν ἐκλάσθησαν, σχηματισμὸς τοῦ ἄγεν. 464, 43. 465, 1.
ἀγεννὴς ὁ μηδὲν ὢν τῷ γένει. 626, 56.
ἄγερθεν, ἠγέρθησαν ἢ ἀνέστησαν ἐν τῷ, ταχέες δ' ἱππῆες ἄγερθεν, Ἰλιάδ. ψ', 287. 1302, 31.
ἀγέρωχος, ἐτυμολογία καὶ σχηματισμός. 314, 41. 378, 1.
ἀγέρωχος ὁ ῥαδίως ἀγόμενος καὶ χεόμενος εἰς ὅ,τι ἂν βουληθείη ἐν τῷ μεταμορφοῦσθαι· τοιοῦτος δὲ Περικλύμενός τις ἱστορεῖται, καὶ ζήτει ἐν τῷ Περικλύμενος. 1685, 61.
ἄγεσθαι γυναῖκα ὅτι ἐπὶ γάμου λέγεται. 1479, 49.
ἄγεσθαι ἐν ἴσῳ τῷ ἄγειν, καὶ ἄγεσθαι γυναῖκα κατὰ συνθήκην, καὶ ἄγεσθαι λόγον διὰ στόματος. 969, 21.
ἄγεσθαί τι ἐπὶ νηὸς ἀντὶ τοῦ φέρεσθαι λέγεται. 1056, 52.
ἄγη ἀντὶ τοῦ ἐάγη τρίτον πρόσωπον ῥηματικόν· καὶ ὅτι ἄγη μὲν Ἰωνικῶς, ἐάγη δὲ Ἀττικῶς. 424, 37. 1087, 18. 1120, 18.
ἀγηγέρατο ἤγουν ἠθροίσθησαν. 1193, 64.
ἀγῆλαι, ἀπαρέμφατον ἀντὶ τοῦ τιμῆσαι. 656, 60.
ἀγηλατεῖν δασυνόμενον ὅτι παρὰ τὸ ἄγος λέγεται· ἀγηλατεῖν δὲ ψιλούμενον ἐκ τοῦ ἄγειν καὶ ἐλᾶν, ὅ ἐστιν ἐλαύνειν. 437, 7. 1704, 5.
αγημα λήγοντα ὀνόματα προπαροξύτονα ἀπὸ περισπωμένων ῥημάτων παρηγμένα, οἷον τρυγῶ τραγήσω τράγημα, φαγῶ φαγήσω φάγημα. 1553, 36.
ἄγημα, λέξις τακτικὴ παρὰ τὸ ἄγω ἢ παρὰ τὸ ἀγῶ ἀγήσω τὸ θαυμάζω. 1236, 16. 1877, 60.
ἄγημα, τάγμα ἱππέων καὶ πεζῶν ἐπιλέκτων παρὰ Μακεδόσι, διὰ τὸ ἀγητὸν, ὅ ἐστι θαυμαστὸν, εἶναι οὕτω λεγόμενον. 1399, 62.
ἄγειν ὕλην ἀντὶ τοῦ κλᾶν ξύλα. 1370, 58.
Ἀγήνωρ εἷς τῶν Φορωνέως παίδων, ἱστορία. 385, 40.
ἀγήνωρ ἐπίθετον ποτὲ μὲν ἐπὶ ψόγῳ, ποτὲ δὲ ἐπὶ ἐπαίνῳ. 219, 42.
ἀγήνωρ θυμὸς ὁ ἄτρεστος καὶ ἄγαν ἀνδρεῖος. 1624, 57.
ἀγήνωρ ὁ ἄγαν, ὅ ἐστιν ὑπὲρ τὸ δέον, τῇ ἠνορέῃ χρώμενος. 86, 25.
ἀγήνωρ ὁ ἀγαστὸς τὴν ἠνορέην ἢ ὁ ἀγώμενος τὴν ἠνορέην, παρὰ τὸ ἀγῶ τὸ θαυμάζω. 663, 28. 1022, 18. 1291, 58.
ἀγήνωρ ὁ θρασὺς καὶ ὑβριστὴς καὶ ὁ ἀνδρεῖος, ὅτι ἐκ τοῦ ἄγαν καὶ τοῦ ἠνορέη σύγκειται, καὶ ὅτι ἐκ τῆς τοῦ ἄγαν ἐπιῤῥήματος διαφόρου σημασίας διάφορα σημαίνει καὶ τὸ ἀγήνωρ, καὶ ὅτι καὶ ἐκ τοῦ ἄγειν ἄνδρας, ὅ ἐστιν ἄρχειν ἀνδρῶν, λέγεται ὁ ἀγήνωρ. 1280, 4. 1396, 38. 43.
ἀγηνορία, θρασύτης καὶ ἡ ἀνδρία· ζήτει ἐν τῷ ἀγήνωρ. 1279, 61.
ἀγήοχα ἀπὸ τοῦ ἄγω ἄξω ἦχα καὶ Ἀττικῶς ἄγηχα καὶ πλεονασμῷ τοῦ ο ἀγήοχα. 1403, 46. 1918, 64.
Ἀγησίλαος σκωφθεὶς εἰς μικρότητα ὑπὸ Ταχὼ Αἰγυπτίου βασιλέως, ἱστορία. 1642, 47.
ἀγησίχορα προοίμια παρὰ Πινδάρῳ τὰ ἐξάρχοντα τοῦ χοροῦ. 1480, 22.
ἀγητὸς τὸ εἶδος ὁ ἀξιοθέατος. 663, 28.
ἀγινεῖν καὶ αἱ ἀπ' αὐτοῦ κινήσεις ὅτι ἐκτείνουσιν ἀεὶ τὴν γι συλλαβήν. 1650, 44.
ἀγινεῖν τὸ ἄγειν καὶ τὸ φέρειν ἐν τῷ, καταγίνεον ὕλην, Ὀδυσσ. κ', 104. ἀντὶ τοῦ κατέφερον. 1650, 8. 1753, 29.
ἀγινεῖς ἀντὶ τοῦ ἄξεις μέλλοντος ἢ ἀγάγῃς ὑποτακτικοῦ ἐν τῷ, ἡνίκ' ἀγινεῖς αἶγας μνηστήρεσσιν, Ὀδυσσ. χ', 198. 1924, 17.
ἀγινέμεν, ἄγειν, φέρειν, μετακομίζειν. 1376, 2.

ἅγιος οὐ μόνον ὁ καθαρὸς ἀλλὰ καὶ ὁ μιαρός. 1356, 60.

Ἆγις, ὅτι φάγος τις ἦν ἄνθρωπος οὕτω καλούμενος. 1503, 5.

ἀγινεῖν νύμφας περιφραστικῶς τὸ νυμφαγωγεῖν. 1156, 10.

ἀγυιεὺς, κίων ἱερὸς Ἀπόλλωνος, καὶ ἀγυιεὺς Ἀπόλλων· ζήτει ἐν τῷ ἀγυιά. 166, 21.

ἄγρει παρακελευστικὸν ἤγουν σπεῦδε, παρὰ τὸ ἀγρέω, ὅθεν τὸ ἀγρεύω· οἱ γὰρ ἀγρεύοντες σπεύδουσι· καὶ ὅτι καὶ ἀγρεῖτε πληθυντικῶς λέγεται ἐπὶ τοῦ αὐτοῦ. 985, 13.

ἀγκάζεσθαι τὸ ἀγκαλίζεσθαι. 990, 55.

ἀγκάλαι ὅτι ἐκ τοῦ ἀγκαὶ γέγονεν ἐπενθέσει τῆς αλ συλλαβῆς. 990, 54.

ἀγκαλὶς ἡ ἀγκάλη ὑποκοριστικῶς καὶ δεσμὸς ξύλων ὁμωνύμως. 1283, 43. 1653, 30.

ἀγκαλίδες, ἀγκάλαι, κόλποι καὶ φρυγάνων δεσμοί· καὶ ἀγκαλίδας αἴρειν ἀντὶ τοῦ ξύλα. 1162, 37.

ἀγκαλιδαγωγεῖν, ἀγκαλίδας, ὅ ἐστι φρυγάνων δεσμοὺς, ἄγειν ἐπὶ κτήνους ἢ πλοίου. 1162, 38. 1283, 42.

ἀγκὰς ἐπίῤῥημα ὅτι παρὰ τὸν ἀγκάσω μέλλοντα παρῆκται. 1124, 40.

ἀγκὰς ἀλλήλων λαμβάνειν λέγονται οἱ παλαίοντες παρ' Ὁμήρῳ, καὶ ὅτι τὸ ἀγκὰς ἐνδέχεται καὶ ὄνομα εἶναι αἰτιατικῆς τῶν πληθυντικῶν καὶ ἐπίῤῥημα. 1326, 15.

ἀγκὰς ἑλεῖν τὸ περιπλεχθῆναι ἐν τῷ, αὐτὰρ ἐγὼ τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης, Ὀδυσσ. ή, 252. 1579, 49.

ἀγκὰς ἔμαρπτεν, Ἰλιάδ. ξ', 346. οἱ μὲν ὅτι ἐπίῤῥημα τὸ ἀγκὰς ὡς ἑκὰς, οἱ δὲ ὅτι αἰτιατικῆς τῶν πληθυντικῶν καὶ χρόνος ληκτικὸς τῆς φωνῆς. 558, 16. 990, 52.

Ἀγκαῖος εἷς τῶν κατὰ τοῦ Καλυδωνίου συὸς συμμαχησάντων τῷ Μελεάγρῳ, ἱστορία. 773, 56.

Ἀγκαῖος ὄνομα παλαιστοῦ, ὅτι παρὰ τὸ ἀγκὰς λαμβάνεσθαι τοὺς παλαίοντας λέγεται τοὔνομα. 1321, 10.

ἄγκεα ὅτι παρὰ τὸ ἀνακεῖσθαι οὕτω λέγονται. 1066, 15.

ἀγκυλότοξος ἐπίθετον διττῶς ἐτυμολογούμενον. 816, 33.

ἄγκιστρον ὅτι παρὰ τὸ ἄγειν, ὅ ἐστι περιάγειν καὶ κάμπτειν, λέγεται. 1724, 62.

ἀγκλῖναι ἀντὶ τοῦ ἀνακλῖναι, ὅ ἐστιν ἀνοῖξαι. 1922, 24.

ἀγκοίνη ὅτι ἐκ τοῦ ἀγκὼν ἀγκῶνος παρῆκται, οἱονεὶ ἀγκώνη. 206, 3. 279, 16.

ἄγκος, τόπος ὀρεινὸς κοῖλος φαραγγώδης, ὅτι παρὰ τὸ ἀγκεῖσθαι λέγεται, ὅ ἐστι τεταπεινῶσθαι διὰ τὴν χθαμαλότητα ἢ διὰ τὸ φύεσθαι ἐν αὐτοῖς πόαν εἰς ἀνάκλισιν ἐπιτηδείαν, καὶ ὅτι τῷ γ̄ γράφεται. 310, 17. 497, 13. 1498, 45.

ἄγκος, φαραγγώδης καὶ οἷον ἀνακείμενος δασὺς τόπος. 1218, 7.

ἀγκύλη, λαβὴ ἀκοντίου ἢ εἶδος ἀκοντίου. 344, 7. 13. 21. 816, 35.

ἀγκυλητοὶ κότταβοι ἐπιθετικῶς, καὶ ἀγκυλητὰ δόρατα. 344, 24.

ἀγκυλισταὶ, ἀκοντισταί. 344, 13.

ἀγκυλομήτης καὶ τὰ ὅμοια ὅτι ἐκ τοῦ μήδομαι ῥήματος σύγκειται, πολύμητις δὲ καὶ τὰ ὅμοια ἐκ τοῦ μῆτις ὀνόματος. 1462, 20.

ἀγκυλομήτης Κρόνος εἰς νοῦν καὶ χρόνον ἀλληγορούμενος, ἑρμηνεία διεξοδική. 203, 21.

ἀγκύλον, ἐπικαμπὲς, στρεβλὸν, σκολιὸν, ἐπικεκλασμένον. 344, 22.

ἀγκυλότοξος ἐπίθετον διττῶς ἐτυμολογούμενον. 360, 1. 816, 33.

ἀγκυλοχεῖλαι αἰγυπιοὶ, οἱ ἀγκύλον χεῖλος, ὅ ἐστι ῥάμφος, ἔχοντες. 1068, 47.

ἀγκυροβόλιον ὅτι ἐκ τοῦ ἄγκυρα καὶ τοῦ βάλλειν σύγκειται. 1620, 1.

ἀγκὼν γλυκὺς, παροιμία καὶ ἱστορία διεξοδική. 1082, 28.

ἀγκὼν, καὶ ἐπ' ἀγκῶνος κεφαλὴν σχέθεν, Ὀδυσσ. ξ', 494. ὅτι συνυπακούεται τῷ ἀγκῶνι καὶ ὁ πῆχυς. 1770, 46.

Ἀγκὼν, πόλις Πικεντίνων. 309, 23.

ἀγκὼν τείχους ἤγουν γωνία καὶ ἐξοχὴ γωνιώδης. 1082, 26.

ἀγλαὸν τὸ αἴγληεν ἢ ἐφ' ᾧ ἀγάλλεταί τις, καὶ ἀγλαὸν ὕδωρ τὸ διαφανές. 28, 37. 1475, 46.

Ἀγλαοφήμη, ὄνομα μιᾶς τῶν Σειρήνων. 1709, 45.

ἀγλαΐζεσθαι ὅτι ἐκ τοῦ ἀγάλλω γίνεται καθ' ὑπέρθεσιν ἀμεταβόλου. 1135, 6.

Ἀγλαῒς γυνὴ σαλπίζουσα το πομπικὸν ἐν Ἀλεξανδρείᾳ, ἱστορία. 1242, 40.

ἀγλευκὴς ὅτι παρὰ τὸ γλεῦκος λέγεται. 1395, 7.

ἆγμα τὸ σύντριμμα παρὰ τὸ ἄγειν, ὅ ἐστι κλᾶν, ὁμωνύμως καὶ τὸ κατειργασμένον ἔριον. 1399, 63. 1414, 28.

ἀγνεὼν, πορνεῖον παρὰ Λυδοῖς ἀντιφραστικῶς. 1082, 34.

ἁγνὴ Ἄρτεμις ἐπιθετικῶς ἡ παρθένος. 1528, 5.

ἁγνὴ ἑορτὴ λέγεται διὰ τοὺς τηνικαῦτα γινομένους ἁγνισμούς. 1908, 43.

ἁγνὴ Περσεφόνη παρ' Ὁμήρῳ ὅτι διὰ τὸν διὰ πυρὸς ἁγνισμὸν τῶν νεκρῶν οὕτω λέγεται. 1691, 46.

ἁγνίτης ἅλς παρὰ Λυκόφρονι ἐν ἴσῳ τῷ θεῖος. 748, 62.

ἀγνοίησι προπαροξυτόνως ἀντὶ τοῦ ἀγνοοίη, Ὀδυσσ. ω', 218. τρίτον πρόσωπον ἐκ τοῦ ἀγνοίημι θέματος. 1959, 38.

ἄγνος, ὁ καὶ λύγος, φυτὸν ψυχρὸν, ὅτι οἱονεὶ ἄγονος λέγεται κατὰ συγκοπὴν, καὶ ὅτι οἱ ἁγνεύοντες ὑπεστρώννυον ἑαυτοῖς τῶν τοῦ φυτοῦ τούτου κλάδων. 1639, 1.

ἄγνος φυτὸν, ὃ καὶ λύγος λέγεται, ἐτυμολογία καὶ περὶ τῶν ἰδιωμάτων αὐτοῦ ἱστορία. 834, 35. 1638, 11.

ἀγνοεῖν, ὅτι τὸ νοεῖν γνοεῖν μετὰ τοῦ γ̄ λέγουσιν οἱ Αἰολεῖς, ὅθεν τὸ ἀγνοεῖν καὶ ἡ ἄγνοια. 1064, 7. 1722, 44.

ἀγνοεῖν ὅτι ἐκ τοῦ νοεῖν λέγεται στερητικῶς πλεονασμῷ τοῦ γ̄, καὶ ἀγνοιεῖν ἐπενθέσει τοῦ ῑ. 145, 37.

ἀγνοιεῖν; ζήτει ἐν τῷ ἀγνοεῖν. 145, 37.

ἄγνοια, ζήτει ἐν τῷ ἀγνοεῖν. 1722, 44.

ἀγνύω ἄγνυμι σχηματισμὸς, ζήτει ἐν τῷ, ννω καὶ ννυμι λήγοντα ῥήματα. 57, 35.

Ἄγνων, ἑταῖρός τις τῶν Ἀλεξάνδρου χρυσοῦς ἥλους φορῶν ἐν τοῖς ὑποδήμασι καὶ ταῖς κρηπῖσι. 869, 60.

ἀγνὼς ἀρσενικὸν ἐπίθετον κατὰ θηλυκοῦ οὐσιώδους. 793, 4.

ἀγνώσσασκεν ἀντὶ τοῦ ἠγνόει, ὅτι ἐκ τοῦ γνῶ γνώσσω γίνεται

γνώσσω καὶ παραγώγως γνωσσάσκω, ὅθεν κατὰ στέρησιν τὸ ἀγνώσσασκεν, Ὀδυσσ. ψ', 95. 1939, 30.
ἄγονος ὁ μὴ γεννῶν ἢ ὁ μὴ γεννηθεὶς ἐν τῷ, ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι, Ἰλιάδ. γ', 40. 380, 26.
ἀγόνους ποιεῖν τοὺς πίνοντας ἱστορεῖται ὁ Τροιζήνιος οἶνος. 287, 15.
ἀγορὰ, τόπος ἐν ᾧ ἡ βουλὴ καὶ τὰ δικαστήρια, ὅτι κυκλοτερὴς ἦν. 1158, 28. 1816, 27.
ἀγορὰ ἡ κοινὴ σύναξις παρ' Ὁμήρῳ, βουλὴ δὲ ἡ σύγκλητος. 172, 5. 1460, 25. 1608, 7. 1141, 40.
ἀγορὰ Κερκώπων, τόπος τις οὕτω καλούμενος Ἀθήνησιν ἐν τῇ ἡλιαίᾳ. 1669, 59.
ἀγορὰ, ὅτι ἔθος ἦν τοῖς κρατοῦσι τῶν πόλεων εἰς ἀγορὰν ἕωθεν ἐμβάλλειν καὶ χρηματίζειν περὶ τῶν πραγμάτων. 1886, 60.
ἀγορὰ τὸ συναγόμενον πλῆθος καὶ ὁ τόπος τῆς συνάξεως, καὶ ἡ δημηγορία, καὶ πόλις τις οὕτω καλουμένη. 45, 9.
ἀγορὰ, τόπος ἐν ᾧ ἀγείρεται ὁ λαὸς, καὶ ἀγορὰ Κερκώπων Ἀθήνησιν, ἔνθα τὰ κλοπιμαῖα ἐπωλοῦντο. 1430, 32. 35.
ἀγοραῖος ἄνθρωπος ὅτι κατὰ σκῶμμα λέγεται. 192, 13.
ἀγοράζειν τὸ ἐν ἀγορᾷ διατρίβειν. 192, 14.
ἀγορήσασθαι τὸ δημηγορῆσαι. 98, 12.
ἀγορητὴς ὅτι ἐκ τοῦ ἀγορῶ περισπωμένου ῥήματος παρήχθη. 96, 11.
αγος λήγοντα οὐδέτερα παρασχηματίζοντα ἀρσενικὰ διὰ τοῦ ιος, οἷον ἄγος ἄγιος, πέλαγος πελάγιος, τέναγος τενάγιος. 1144, 36.
ἄγος καὶ τὰ ἀπ' αὐτοῦ ὅτι τινὰ μὲν ἐπὶ μιασμοῦ κεῖται, τινὰ δὲ ἐπὶ ἁγιστείας. 647, 34. 1356, 60.
ἄγος τὸ μίασμα, παρὰ τὸ ἅζω τὸ σέβομαι ἀντιφραστικῶς. 108, 40.
ἀγὸς, ὅτι ἀγοὶ λέγονται οἱ ὑπό τινι βασιλεῖ στρατηγοί. 409, 28.
ἀγοστὸς ἢ ἀγοστὸν ὁ ἀγκὼν κατά τινας, κατὰ δὲ ἑτέρους τὸ πλατὺ τῆς χειρός. 854, 22.
ἀγοστὸς ἡ κατὰ τὴν χεῖρα δρὰξ ἐν τῷ, γαῖαν ὁμοῦ καὶ πόντον ἐνὶ ξύνωσεν ἀγοστῷ. 1590, 56.
ἀγοστῆσαι τὸ ῥυπανθῆναι, ἀκοστῆσαι δὲ τὸ κριθιάσαι περὶ ἵππον λεγόμενον. 658, 49.
ἄγουρος, ὅτι ἀγούρους τοὺς ἐφήβους οἱ Θρᾷκες ἐκάλουν. 1788, 56.
αγρα ληγόντων ὀνομάτων τινῶν ἀναλογία. 1475, 55.
Ἄγρα καὶ Ἄγραι, χωρίον τι τῆς Ἀττικῆς πρὸς τῷ Ἰλισσῷ, ἱστορία· ὅθεν καὶ Ἀγραία Ἄρτεμις λέγεται ἡ ἐκεῖ τιμωμένη. 361, 37.
Ἀγραία Ἄρτεμις, ζήτει ἐν τῷ Ἄγρα. 361, 37.
ἄγρει ἑνικῶς παρακέλευσις πρὸς ἕνα καὶ ἀγρεῖτε πρὸς πολλοὺς, ὅτι παρὰ τὸ ἀγρέω, ὅ ἐστιν ἀγορεύω, λέγεται ἢ ἐκ τοῦ ἄγειν καὶ τοῦ ῥᾷον σύγκειται. 605, 41. 985, 13. 1887, 30.
ἀγρεῖτε ἤγουν σπεύδετε ὅτι πληθυντικόν ἐστι τοῦ ἄγρει παρακελευστικοῦ, ζήτει ἐν τῷ ἄγρει. 985, 14. 1887, 30.
ἄγρει μὰν, ἄγε δή. 691, 24.
ἀγρεῖος ὁ ἄγροικος ἢ ἀγρότης, τὸ γρι δίφθογγον. 1409, 55. 63. 1650, 44.
ἀγρεύω ὅτι παρὰ τὸ ἀγρέω παρῆκται. 985, 16.
ἀγρία ἰδιωτικῶς ἡ λογίως καλουμένη ἄγρωστις. 1553, 36.
αγρια λήγοντα οὐδέτερα πληθυντικὰ ἐκ τοῦ ἀγρεύω συγκείμενα, οἷον ζωάγρια, μοιχάγρια, ἀνδράγρια. 890, 26. 1599, 41.
ἀγριέλαιος, ζήτει ἐν τῷ ἐλαία καὶ ἐν τῷ ἔλαιος. 1944, 8.
ἀγριμαῖον ὅτι παρὰ τὸ ἄγριον λέγεται. 1271, 25.
Ἄγριος καὶ Λατῖνος Ὀδυσσέως υἱοὶ ἐκ Κίρκης· ζήτει ἐν τῷ, Ὀδυσσέως υἱοί. 1796, 46.
ἄγριος ὅτι παρὰ τὸ ἀγρὸς λέγεται, ὡς παρὰ τὸ Αἰτωλὸς Αἰτώλιος. 1821, 20.
ἄγριος χόλος καὶ πόλεμος ὁ ἀγριοποιὸς καὶ θηριώδης, καὶ ἄγριον μένος τὸ θηριῶδες, καὶ ἄγριος μῶλος καὶ αἰχμητὴς κατὰ συνθήκην. 1111, 58. 1125, 9. 1271, 23.
ἄγριοι ἄνδρες οἱ λῃστρικοὶ καὶ ἀνήμεροι παρ' Ὁμήρῳ, παρὰ δὲ τῇ κωμῳδίᾳ ἐπὶ ἑτέρας φαυλότητος. 1410, 35. 1611, 13.
ἄγρια φῦλα τὰς μυίας καλεῖ Ὅμηρος ἐπιθετικῶς, Ἰλιάδ. τ', 30. 1169, 29.
ἀγριόφωνος, ὅτι τοὺς Λημνίους οὕτω καλεῖ Ὅμηρος ἐπιθετικῶς διὰ τὸ λῃστρικούς ποτε γεγονέναι καὶ ἀγρίως λαλεῖν εἰθίσθαι. 1598, 51.
ἄγροικος καὶ ἀγρότης καὶ ἀγροιώτης καὶ ἄγρειος ὅτι συνωνύμως ταὐτὸ δηλοῦσι. 1650, 43.
ἄγροικος προπαροξυτόνως ὁ κατ' ἀγρὸν διαιτώμενος, ἀγροῖκος δὲ προπερισπωμένως ὁ ἀπαίδευτος. 1409, 52.
ἀγροικία ἡ ἐν ἀγρῷ οἴκησις, καὶ ἀγροικία κοινότερον ἡ τῶν ἀγροίκων φαύλη ἕξις. 1409, 52. 54.
ἀγροιώτης, ὅτι κατὰ δύο γέγονε πλεονασμοὺς ἡ φωνὴ, τοῦ τε ι καὶ τοῦ ω. 862, 20. 1015, 54. 1686, 12.
ἀγροιῶτις γυνὴ ἡ ἀγροικική. 1916, 48.
ἀγρονόμοι Νύμφαι παροξυτόνως αἱ τὰ ἄγρια νέμουσαι ἢ αἱ ἐν ἀγρῷ νέμουσαι, προπαροξυτόνως δὲ ἀγρόνομοι τὰς ἐν ἀγρῷ νεμομένας, ὅ ἐστι διαγούσας, σημαίνει ἄν. 1554, 19. 1566, 39.
ἀγρότερος ὅτι ἐκ τοῦ ἀγριώτερος γέγονε, καὶ ὅτι ἀγρότεραι αἶγες λέγονται πρὸς διαστολὴν τῶν ἡμέρων, ἀγρότεραι δὲ ἔλαφοι ἁπλῶς. 1821, 20.
ἀγροτέρα Ἄρτεμις, ἢ καὶ Ἀγραία. 361, 35. 1821, 20.
ἀγροτέρα, ὅτι καὶ κατὰ μόνας ἀγροτέρα λέγεται ἡ Ἄρτεμις. 1247, 10.
ἀγρότεραι ἔλαφοι αἱ ἄγριαι ἢ αἱ ἀγηρότεραι, ὅ ἐστι μὴ ταχὺ γηράσκουσαι. 1248, 21. 1555, 44.
ἀγρότεραι ἡμίονοι καὶ ἀγρότεραι ἔλαφοι ἐπιθετικῶς, καὶ ἐτυμολογία. 361, 32. 1821, 20.
ἀγρώστης, ὅτι τῶν εἰς στης ῥηματικῶν ὀξυνομένων τοῦτο βαρύνεται ὡς παρώνυμον. 533, 40.
ἄγρωστις, βοτάνη γλυκεῖα καὶ διουρητικὴ καὶ εἰς τροφὴν τοῖς ὑποζυγίοις ἐπιτηδεία. 271, 27. 1553, 36.
ἄγυια ἑνικῶς, ἀγυιαὶ δὲ πληθυντικῶς κατὰ διάφορον προσῳδίαν. 652, 53.

ἀγυιὰ ἡ ῥύμη, παρὰ τὸ ἄγειν, ὅθεν καὶ ἀγυιεὺς κίων πρὸ τῶν θυρῶν ἑστὼς, καὶ ἀγυιάτιδες θεράπαιναι παρά τινι οἱ πρὸ τῶν θυρῶν βωμοὶ, καὶ ἀγυιεὺς Ἀπόλλων. 166, 21.

ἄγυια καὶ ὄργυια ὅτι κατὰ τὴν παλαιὰν Ἀτθίδα προπαροξύνονται, οἱ δὲ ὕστερον κατήγαγον αὐτῶν τὸν τόνον. 1631, 29.

ἀγυιὰ, ὅτι τινὲς προπαροξύνουσι τὴν λέξιν. 1206, 62.

ἀγυιάτιδες θεράπαιναι, ζήτει ἐν τῷ ἀγυιά. 166, 23.

ἄγυρις, ἄθροισις, πανήγυρις, καὶ ἄγυρις νεκύων τὸ τῶν νεκρῶν πλῆθος. 1082, 26. 1342, 54.

ἄγυρις ἡ ἀγορὰ τροπῇ Αἰολικῇ τοῦ ο εἰς υ καὶ ἀναβιβασμῷ τοῦ τόνου. 631, 44. 1430, 35.

ἀγυρτάζειν ἐν ἴσῳ τῷ πτωχεύειν, παρὰ τὸ ἀγύρτης, ὃ παρὰ τὸ ἀγείρειν. 1824, 9. 1865, 33.

ἀγυρμὸς ἡ ἄθροισις, παρὰ τὸ ἀγείρειν. 1430, 38.

ἀγύρτης, ἀλαζὼν, ἀπατεὼν, παρὰ τὸ ἀγείρειν ὄχλον περὶ αὐτὸν, καὶ ὄνομα βόλου κυβευτικοῦ ὁμωνύμως. 1430, 34. 37.

ἀγύρτης ὁ πτωχὸς ὁμωνύμως, παρὰ τὸ ἀγείρειν. 1824, 9.

ἀγχέμαχος ὅτι ἐκ τοῦ ἄγχι ἐπιῤῥήματος σύγκειται τροπῇ τοῦ ι εἰς ε. 916, 53. 1059, 46.

ἀγχέμαχα δόρατα καὶ ἀγχέμαχοι ἄνδρες ἐπιθετικῶς. 282, 18. 25.

ἄγχι ἐπίῤῥημα ὅτι φυλάττει τὴν διὰ τοῦ ι γραφὴν ἐν τοῖς ἐξ αὐτοῦ συνθέτοις, οἷον ἄγχιστος, ἀγχίθεος. 532, 1.

ἄγχι εἶναι λέγονται, ὧν ὁ μεταξὺ τόπος ὀλίγος ἐστί. 796, 37.

ἄγχι ὅτι καὶ χρονικῶς τίθεται ἀντὶ τοῦ μετ' ὀλίγον. 1865, 57. 1885, 16.

Ἀγχιάλη, πόλις Θράκης, ἡ καὶ Ἀγχίαλος, ἣν καὶ Ἀγχιαλόν τινες ὀξυτόνως λέγουσι. 1396, 23. 1681, 4.

Ἀγχίαλος ὄνομα πόλεως προπαροξυτόνως, ἀγχιαλὸς δὲ σχοῖνος πλοίου ὀξυτόνως. 1396, 23.

ἀγχίαλος λέγεται πᾶς τόπος ἀγχοῦ θαλάσσης ὤν. 1588, 31.

ἀγχιβαθὴς θάλασσα ὁ ἄγχι, ὅ ἐστιν ἐγγὺς, βάθος ἔχων αἰγιαλὸς, καὶ ἀγχιβαθὴς λιμὴν ὁμοίως. 1540, 49.

ἀγχίθεος ὁ ἐγγὺς θεῷ ὤν. 1577, 29.

ἀγχίθεος, ὅτι ἀγχιθέους τοὺς Φαίακας λέγει Ὅμηρος ἢ διὰ τὸ ἐκ Ποσειδῶνος κατάγεσθαι ἢ διὰ τὴν εὐδαιμονίαν ἢ διὰ τὸ φιλόξενον καὶ τὴν ἄλλην ἀρετήν. 1521, 36.

Ἀγχίμολος Ἠλεῖος σοφιστὴς ὑδροποτήσας διὰ βίου, ἱστορία. 916, 46.

ἀγχίμολον ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐγγὺς καὶ ἀντὶ τοῦ σχεδόθεν, καὶ ἐξ ἀγχιμόλου ἤγουν ἐκ τοῦ σύνεγγυς. 1354, 12. 1967, 8.

ἀγχίνοια ἡ ἐκ τοῦ ἄγχιστα νόησις· ἔστι δὲ δύναμις προορατικὴ τῶν ὀπίσω καὶ ἀφανῶν. 82, 19. 1141, 61.

ἀγχίνοια, σκέψις τοῦ δέοντος ἐν βραχεῖ χρόνῳ, ὅτι ἐκ τοῦ ἄγχι, ὅ ἐστιν ἐγγὺς, καὶ τοῦ νοεῖν σύγκειται. 821, 51. 1742, 64.

Ἀγχίσης ὅτι ὀγδοήκοντα ἔτη ἐβίω καὶ ὅτι ἐν Ἴδῃ ἐτιμᾶτο καὶ ποῦ ἐτελεύτησεν, ἱστορία. 894, 33.

ἄγχιστα ἀντὶ τοῦ σχεδὸν κατ' ἐπίτασιν, τουτέστιν ἐγγύτατα. 173, 4. 1733, 37.

ἀγχηστῖνος, ἐτυμολογία καὶ γραφή. 531, 42. 46.

ἀγχιστῖναι ὅις αἱ ἄγχι ἀλλήλων ἑστηκυῖαι, ὅ ἐστι πυκναί. 257, 24.

ἀγχόνη, ὅτι ἀκάθαρτος θάνατος ἐνομίζετο ὁ δι' ἀγχόνης. 1678, 27.

ἀγχοῦ ἵστασθαι τινὶ τὴν Ἀθηνᾶν, ἀγχίνοιαν προσεῖναι ἐκείνῳ σημαίνει. 195, 21.

ἀγχοτέρω καὶ ἀγχοτάτω ὅτι ἐκ τοῦ ἀγχοῦ ἀπελεύσει τοῦ υ γεγόνασι, ὡς ἀπὸ τοῦ τηλοῦ τὸ τηλοτάτω. 1582, 3.

ἀγῶ τὸ θαυμάζω καὶ τὸ σέβομαι καὶ τὸ φθονῶ καὶ τὸ μέμφομαι. 663, 28. 971, 16.

ἀγώγιμον ὅτι τὸ ἐπὶ αἰχμαλωσίᾳ ἀγόμενον δοκεῖ σημαίνειν. 1089, 31.

ἀγώγιμα τὰ ἐν ταῖς ναυσὶ φορτηγούμενα, παρὰ τὸ ἄγειν, ὅ ἴσον ἐστὶ τῷ φέρειν. 1081, 9. 1484, 6. 1739, 17.

ἀγὼν, ἄθροισις, συναγωγή. 1080, 26. 1194, 38.

ἀγὼν θεῖος ἡ πρόθυμος καὶ ἐναγώνιος εὐχὴ ἢ τὸ θεῖον καταγώγιον ἐν τῷ, θεῖον δύσωνται ἀγῶνα, Ἰλιάδ. η', 298. 682, 4. 1058, 16.

ἀγὼν νεῶν τὸ ἄθροισμα τῶν νεῶν, καὶ ἀγὼν θεῖος ὁ ναὸς, ὅπου θεῶν ἄθροισις, καὶ θεῖον δύσασθαι ἀγῶνα ἤγουν εἰς τὰ τῶν θεῶν ἱερὰ εἰσελθεῖν. 682, 4. 1058, 16.

ἀγὼν, ὅμιλος, μάχη, ἔρις, ἀγορὰ, συναγωγὴ καὶ ἐπίδειξις. 1148, 38.

ἀγὼν, ὅτι οὕτω λέγεται καὶ ὁ τόπος, καθ' ὃν οἱ ἆθλοι ἐγίνοντο, ὁμωνύμως τοῖς ἐν αὐτῷ πραττομένοις. 1595, 31.

ἀγὼν τὸ ἐναγώνιον τῆς μάχης, καὶ ἀγὼν τὸ ἄθροισμα ἐν τῷ, νεῶν ἐν ἀγῶνι, παρ' Ὁμήρῳ. 1023, 44.

ἀγὼν τὸ πλῆθος καὶ ἡ ἀγορὰ παρὰ Βοιωτοῖς, καὶ ὅτι παρὰ τὸ ἄγω λέγεται ἢ παρὰ τὸ μὴ ἔχειν γωνίαν διὰ τὸ κυκλοτερές. 1335, 57.

ἀγώνων εἴδη παρ' Ὁμήρῳ. 1320, 8.

ἀγωνάρχαι οἱ ἀγορανόμοι ὅτι παρὰ τὸν ἀγῶνα λέγονται, ὃ δηλοῖ τὴν ἀγορὰν παρὰ Βοιωτοῖς. 1335, 57.

ἀγώνιοι θεοὶ οἱ ἀγοραῖοι, ὅτι παρὰ τὸν ἀγῶνα λέγονται, ὃ δηλοῖ τὴν ἀγορὰν παρὰ Βοιωτοῖς. 1335, 57.

ἀγωνισμάτων γενικαὶ προσηγορίαι, ἅλμα, δρόμος, δίσκευμα, κοντὸς καὶ πάλη. 1587, 32.

Ἀδαῖον τὸ εἰς κόρον ἔργον, παρὰ τὸ ἄδην ἐπίῤῥημα. 1394, 36.

Ἀδαῖος, ἡγεμὼν τῶν Φιλίππου ξένων, ὅτι ἀλεκτρυὼν ἐπεκαλεῖτο, καὶ αἴνιγμα περὶ τῆς τελευτῆς αὐτοῦ ὡς περὶ ὄρνιθος, ἱστορία. 1479, 34.

Ἀδάμας κύριον ὁμωνύμως τῷ λίθῳ, ἐτυμολογία. 957, 32.

ἄδαστον τὸ μήπω μερισθέν. 1590, 58.

ἀδδεὴς ἀντὶ τοῦ ἀναιδὴς καὶ θρασὺς καὶ οἱονεὶ ἄδετος, ὅτι δυσὶ δ ἐνίοτε γράφεται διὰ μέτρον ἀνάγκην. 539, 2. 721, 14. 26. 1856, 44. 53.

ἄδδιξ, μέτρον τι τετραχοίνικον. 1854, 12.

ἆ δειλὲ, ὅτι τὸ ἆ κλητικόν ἐστιν ὑπὸ θυμουμένων ἢ ἀπειλούντων ἢ ἐκπληττομένων προφερόμενον, καὶ, ἆ δειλὲ ξείνων, ἀντὶ τοῦ δειλαιότατε καθ' ὑπερθετικὴν σύνταξιν. 88, 37. 1362, 60. 1763, 41.

ἆ δειλοὶ ἀντὶ τοῦ, ὦ δείλαιοι, ὅτι κατ' οἶκτον ἐπιλέγεται. 88, 37.

ἅδεν, ἤρεσεν, ἡδὺς ἔδοξε, τρίτον πρόσωπον δευτέρου ἀορίστου τοῦ ἥδω ῥήματος, ὅτι βραχυπαραληκτεῖ καὶ δασύνεται ὡς ἀπὸ τοῦ ἥδω, κατά δέ τινας ψιλοῦται ὡς ἀπὸ τοῦ ἀδεῖν, ὅ ἐστιν ἀρέσκειν. 539, 3. 893, 46. 958, 30.

ἀδειὴς ἴσον τῷ ἀδεής. 721, 26.

ᾄδειν, ὅτι οὐδὲν ζῷον λυπούμενον ᾄδει. 1078, 34.

ᾄδειν, ὅτι τὸ ᾄδειν ἐν τῷ ἐργάζεσθαι ῥαΐζει τὸν πόνον καὶ σημεῖον ἐστὶ προθυμίας, καὶ ὅτι Παῤῥάσιος ὁ ζωγράφος ἐν τῷ γράφειν ᾖδε. 1655, 51. 57.

ᾄδειν, τὸ ἐμμέτρως καὶ μετὰ μέλους τι λέγειν, ὅτι ἐκ τοῦ ἀείδειν συνῄρηται. 8, 45. 9, 3. 25. 1381, 30.

ἀδεῖν τὸ ἀρέσκειν ἀπὸ δευτέρου μέλλοντος, οὗ ἐνεστὼς τὸ ἥδω, ὃ δηλοῖ τὸ εὐφραίνω· οὗ καίτοι δασυνομένου ὅμως τὸ ἀδεῖν ψιλοῦται Αἰολικῶς καὶ βραχυπαραληκτεῖ, ἀλλαχοῦ δὲ ὅτι ἡ τοῦ αὐθάδεια σύνθεσις δασύνεσθαι κατηγορεῖ τὸ ἀδεῖν, ἐξ οὗ σύγκειται. 400, 22. 539, 7. 1400, 36. 1721, 60.

ἀδελφὸς, ὅτι τὸ ᾱ μόριον ἰσότητα ἢ ὁμοιότητα σημαίνει. 196, 29.

ἅδεν τρίτον πρόσωπον δευτέρου ἀορίστου, κανονισμὸς καὶ χρόνος ἀρκτικός. 893, 44. 49.

ἀδέσποτοι, ὅτι οὕτως ἐκαλεῖτο γένος τι δούλων ἀπελευθερωθέντων. 1024, 45.

ἀδευκὴς ὄλεθρος ὁ ἀγλευκὴς ἢ ὁ ἀδόκητος, παρὰ τὸ δέκω πλεονασμῷ τοῦ ῡ. 1506, 3.

ἀδευκὴς πότμος ὁ ἀνιστόρητος ἢ ἀνήκουστος ἢ ὁ ἀπροσδόκητος παρὰ τὸ δέκω. 1657, 25.

ἀδευκὴς φήμη ἡ ἀδόκητος παρὰ τὸ δέκω ἢ ἡ πικρά. 1563, 33.

ἀδέψητος βοέη ἡ ἀμάλακτος καὶ ἀκατέργαστος βύρσα, καὶ ὅτι ἐκ τοῦ δεψῶ μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα, οὗ μέλλων δεψήσω, γέγονε. 1880, 28.

ἀδηκὼς ἤγουν κορεσθεὶς ἢ ἀηδισθεὶς, κανονισμὸς καὶ χρόνος ἀρκτικὸς καὶ ποσότης. 792, 37. 807, 24. 833, 13. 1721, 56. 62.

ἀδηκότες παρ' Ὁμήρῳ, ἤγουν ἀηδῶς ἔχοντες, ὅτι ἀπὸ τοῦ ἀδῶ ἀδήσω περισπωμένου θέματος κεκίνηται, ἄδηκε δὲ παρ' Ἱππώνακτι ἀντὶ τοῦ ἤρεσε, καὶ ἀδηκὼς ἀντὶ τοῦ ἡδυνθείς. 1721, 56. 62. 64.

ἀδημονεῖν τὸ ἀλύειν καὶ ἀμηχανεῖν, ὅτι ἀπὸ τοῦ ἀδῶ ἀδήσω ἄδηκα ἄδημαι γίνεται ἀδήμων ἄχρηστον ὄνομα, ὅθεν τὸ ἀδημονεῖν, καὶ ὅτι ἑνὶ δ̄ γράφεται. 792, 38. 833, 15. 1721, 59.

ἀδήμων ἀδήμονος ὁ ἐξ ἄδου, ὅ ἐστι κόρου, τινὸς ἢ λύπης ἀναπεπτωκὼς, παραγωγή. 833, 15.

ἄδην ἐπίῤῥημα, τὸ δαψιλῶς καὶ εἰς κόρον, ὅτι οἱ μὲν δι' ἑνὸς δ̄, οἱ δὲ δυσὶ γράφουσι, καὶ ὅτι οἱ μὲν ψιλοῦσιν, οἱ δὲ δασύνουσι, καὶ ὅτι συστέλλεται τὸ ᾱ, καὶ ὅτι παρὰ τὸ ἀηδῶς δοκεῖ λέγεσθαι, καὶ, ἄδην ἐλάαν κακότητος, ἀντὶ τοῦ κατακόρως κακῆσαι παρ' Ὁμήρῳ. 178, 24. 538, 46. 833, 14. 893, 46. 934, 1. 1191, 36. 1394, 33. 1400, 34. 1536, 55.

—αδης λήγοντα κύρια πατρωνυμικῶν τύπον ἔχοντα, οἷον Δημάδης, Σωτάδης, Καρνεάδης. 14, 3.

—αδης λήγοντα πατρωνυμικὰ ἐκ πλεονασμοῦ ἔχοντα τὸ παραληκτικὸν ᾱ, οἷον Πηληιάδης. 12, 42.

—αδης λήγοντα πατρωνυμικὰ τίνα ἐκ πλεονασμοῦ ἔχει τὸ παραληκτικὸν ᾱ καὶ τίνα φύσει, καὶ ὅτι οὐ μόνον πλεονάζει ποτὲ τὸ ᾱ παρὰ φύσιν ἐν τοῖς εἰς —δης πατρωνυμικοῖς, ἀλλὰ καὶ ἀποβάλλεταί ποτε τὸ κατὰ φύσιν ἐνυπάρχον. 13, 10. 14, 5.

—αδης λήγοντα πατρωνυμικὰ ὅτι ἀπό τε ληγόντων εἰς —ης κυρίων σχηματίζονται, οἷον Ἱππότης Ἱπποτάδης, καὶ ἀπὸ ληγόντων εἰς —ας, οἷον Ἀλεύας Ἀλευάδης, καὶ ἀπὸ ληγόντων διὰ τοῦ —ιος, οἷον Ἥλιος Ἡλιάδης. 1644, 45.

Ἅιδης ὅτι πρὸς δύσιν πέραν τοῦ Ὠκεανοῦ ὑφ' Ὁμήρου μυθεύεται τοποθετῆσθαι. 1666, 41.

Ἅιδης ὁ ὑπόγειος ἀὴρ, παρὰ τὸ ἄω τὸ πνέω, καὶ διὰ τί Ζεὺς καὶ αὐτὸς ἐπονομάζεται, ἑρμηνεία διεξοδική. 1012, 2.

Ἅιδης, τόπος ὑπόγειος κεκρυμμένος ὥστε μὴ βλέπεσθαι, οἱονεὶ ἀΐδης, ὅ ἐστιν ἀὴρ ἀφανὴς, ὃν οὐκ ἔστιν ἰδεῖν, καὶ περὶ σχηματισμοῦ καὶ πνεύματος καὶ ἐτυμολογίας τῆς λέξεως. 16, 27. 33. 1282, 13.

Ἅιδης τρωθεὶς ὑφ' Ἡρακλέους, ἀλληγορία. 561, 22. 31. 562, 1. 563, 7.

ἀδῆσαι τὸ ἀηδῶς ἔχειν, τὸ ᾱ μακρὸν ὡς ἐκ τοῦ ἀηδίσαι κραθέν. 1400, 35.

ἀδήσειεν ἤγουν ἀηδισθῇ, τὸ ᾱ μακρὸν ὡς ἐκ τοῦ ἀηδίσειε κραθέν. 1400, 33.

ἀδηφάγοι ἵπποι οἱ τέλειοι, καὶ ἀδηφάγον ἅρμα τὸ ἐκ τελείων ἵππων, καὶ ἀδηφάγος ναῦς ἡ μισθὸν ἐντελῆ λαμβάνουσα, καὶ ἀδηφάγος λύχνος ὁ πότης. 1394, 35.

ἀδίαντον, εἶδος βοτάνης, παρὰ τὸ μὴ διαίνεσθαι αὐτοῦ τὰ φύλλα τῷ ὑετῷ. 1231, 27.

ἄδικος ἡμέρα, καθ' ἣν οὐ κροτεῖται δίκη, ὅτι γριφώδης ἐστὶν ἡ ἄδικος λέξις. 1479, 31.

ἀδιναὶ μέλισσαι ἐπιθετικῶς, ἐτυμολογία καὶ πνεῦμα, καὶ ἀδιναὶ μυῖαι. 178, 22. 257, 3.

ἀδινὸν κῆρ ἐπιθετικῶς τὸ οἰκτρὸν ἢ τὸ πυκνὸν, πυκνὸν γὰρ καὶ νευρῶδες τὸ σπλάγχνον. 1071, 48. 1874, 38.

ἀδινὸν παρὰ τὸ ἄδην, ὅτι δι' ἑνὸς δ̄ καὶ συστολῆς τῆς ἀρχούσης γράφεται παρ' Ὁμήρῳ. 1663, 37.

ἀδινὸν, πυκνὸν, δαψιλὲς καὶ εἰς κόρον, παρὰ τὸ ἄδην ἐπίῤῥημα ἢ τὸ ἄδος, ὅ ἐστι κόρος. 1394, 32.

ἀδινὸν τὸ ἀθρόον καὶ τὸ οἰκτρὸν καὶ τὸ πυκνὸν καὶ τὸ ἡδὺ οἱονεὶ ἡδινὸν καὶ τὸ ἰσχνὸν, καὶ ἀδινῶς ἀντὶ τοῦ ἠρέμα. 178, 26. 1949, 27.

—αδιον καὶ —ατιον λήγοντα ὑποκοριστικὰ, οἷον σημάτιον καὶ χειμάδιον. 1675, 44.

—αδιον λήγοντα προπαροξύτονα ὑποκοριστικὰ ἐκ προσηγορικῶν διὰ τοῦ —αιον, οἷον ἔλαιον ἐλάδιον. 1552, 31.

ἀδίοπος, ἄναρχος, ἀφύλακτος. 203, 13.

Ἀδμήτου μέλος διαφόροις ποιηταῖς ἐπιγραφόμενον, καὶ ὅτι ἐπὶ Ἀλκήστιδι τῇ Ἀδμήτου γυναικὶ πεποίηται ἀντ' ἐκείνου ἀποθανούσῃ. 326, 37.

ἀδμής ἀδμῆτος ἐν ἴσῳ τῷ ἄδμητος, καὶ ἀδμὴς παρθένος καὶ βοῦς ἀδμής, ἣν οὔπω ταῦρος ἐδάμασε. 1512, 28. 1554, 27.

Ἄδμητος κύριον ὁμωνύμως τῷ ἄδμητος ἐπιθέτῳ, ὃ παρὰ τὴν ἀδμῆτος γενικὴν ἀναδραμοῦσαν εἰς εὐθεῖαν γέγονεν, ἧς εὐθεῖα ὁ ἀδμής, καὶ ὅτι τοῦ ἄδμητος ἐπιθέτου θηλυκὸν ἡ ἀδμήτη. 1512, 29.

Ἄδμητος, υἱὸς Φέρητος τοῦ Κρηθέως καὶ Τυροῦς τῆς Σαλμωνέως. 1681, 49.

ἀδμήτη βοῦς ἡ ἀδάμαστος ἤγουν ἡ μήπω ὑπὸ ζυγὸν ἀχθεῖσα. 1473, 42.

ἅδοι, ὅ ἐστιν ἀρέσκοι, δεύτερος ἀόριστος ἀπὸ τοῦ ἥδω θέματος, ὅτι ψιλοῦται Ἰωνικῶς καὶ συστέλλει τὴν παραλήγουσαν ὡς δεύτερος ἀόριστος ἐν τῷ, καί οἱ ἅδοι αὐτόθι μίμνειν, Ὀδυσσ. ζ', 245. 1561, 51.

ἀδολέσχης, ὅτι ψιλοῦται ἡ λέξις. 539, 4.

ἀδόλεσχος καὶ ἀδολέσχης ὅτι δι' ἑνὸς δ' γράφεται. 1394, 36.

ἀδολεσχία λέγεται, ὅταν ἐκ περιουσίας προστίθενται τὰ δυνάμει ὑπακουόμενα· ζήτει τὸ, παρέλκουσαι λέξεις. 26, 4.

ἄδος ὁ κόρος, γένος, πνεῦμα, ποσότης καὶ χρόνος ἀρκτικὸς τῆς λέξεως. 539, 3. 792, 37. 833, 11.

ἄδος, κόρος, πλησμονὴ ἢ κάματος, ὅτι οἱονεὶ ἀηδής τις ὢν οὕτω λέγεται. 893, 46. 1394, 36. 1400, 35.

Ἅιδου καταβάσεις πολλαχοῦ τῆς γῆς, ἱστορία. 286, 45.

Ἅιδου τιμαὶ ἐν Πελοποννήσῳ, ἱστορία. 744, 5.

Ἅιδου κυνῆ ἀλληγορικῶς, καὶ, κυνῆν Ἅιδου φορεῖν, παροιμιακόν. 613, 24.

Ἅιδου πόκας πλάττει Ἀριστοφάνης ὡς οἷά τι χωρίον ἐν Ἅιδου. 531, 9.

Ἀδράμυστις κύριον, ἀφ' οὗ Ἀδραμύτιον πόλις, ἱστορία. 649, 45.

Ἀδραμυτινὸς κόλπος, ζήτει ἐν τῷ Κάνη. 1944, 11.

Ἀδραμύτιον πόλις ὅτι ἀπὸ Ἀδραμύστιος Πελασγοῦ παρωνόμασται πρὸς τὸ εὐφωνότερον, καὶ ὅτι καὶ Ἀτραμύτειον διὰ τοῦ τ καὶ διφθόγγου λέγεται. 649, 46. 63.

ἀδρανής ὁ μὴ δραίνειν δυνάμενος, καὶ ἀδράνεια ἡ τοῦ δρᾶν ἀσθένεια. 792, 28.

Ἀδράστεια πόλις, καὶ Ἀδραστείας εἴτουν Νεμέσεως ἱερὸν, ἱστορία, καὶ διὰ τί Ἀδράστεια καλεῖται ἡ Νέμεσις. 355, 12. 23-41.

Ἄδραστος ὁ Ταλαοῦ τοῦ Βίαντος ἀδελφοῦ Μελάμποδος, πρῶτος βασιλεύσας Σικυῶνος πόλεως καὶ πολεμήσας τοῖς ἰδίοις ἀνεψιοῖς περὶ τῆς Ἀργείων βασιλείας, ἱστορία. 288, 33. 291, 30.

Ἄδραστος Τυδεῖ καὶ Πολυνείκει συνοικίσας τὰς ἰδίας θυγατέρας, ἱστορία. 485, 1.

Ἀδριανὸς αὐτοκράτωρ λέοντα Μαυρούσιον ἀνελὼν, ἱστορία. 1616, 60.

ἀδύνατα, παροιμίαι ἐπὶ ἀδυνάτων, λέοντα ξυρεῖν, ἀσκὸν δέρειν, ὄνον πέκειν. 787, 8.

ἀδῶ ῥῆμα, ὅθεν ἡ ἀδηκὼς μετοχή. 807, 24.

Ἄδωνις, υἱὸς Κινύρα, ὅτι θηρῶν ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας ὑπὸ Ἄρεως ἀνῃρέθη, ἱστορία. 561, 2.

Ἄδωνις ὅτι νέος ἀπῆλθε τοῦ ζῆν ἀναιρεθεὶς κατά τινας ὑπὸ Ἄρεως, ἀφ' οὗ καὶ κῆποι Ἀδώνιδος, ζήτει ἐν τῷ, κῆποι Ἀδώνιδος. 1701, 48.

Ἄδωνις, ὅτι τινὲς δασύνουσι τὴν λέξιν ὡς παρὰ τὸ ἥδω. 539, 4. 1949, 30.

Ἄδωνις ὑπὸ θρίδαξιν ἀναιρεθεὶς ὑπὸ κάπρου, μῦθος καὶ ἀλληγορία. 1283, 30.

ἀεθλεύειν ἀντὶ τοῦ κακοπαθεῖν ἐν τῷ, ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίχου, Ἰλιάδ. ω', 734. 1373, 47.

ἄεθλος καὶ ἄεθλον, ὁ μὴ θελητὸς κόπος, ὅτι παρὰ τὸ α καὶ τὸ ἐθέλειν λέγεται, ὃν οὐκ ἂν ἐθέλοι τις. 691, 9. 1385, 15.

ἀέθλιον ἐν ἴσῳ τῷ ἄεθλον, ὅτι οὐ καθ' ὑποκορισμὸν ἀλλὰ κατὰ παραγωγὴν λέγεται παρ' Ὁμήρῳ. 740, 52. 1315, 10. 1897, 31.

ἀεθλοφόρος ἵππος ὁ νικητὴς καὶ λαβὼν ἔπαθλα. 1254, 43.

ἄει τρίτον πρόσωπον παρατατικοῦ ἀπὸ τοῦ ἄημι θέματος, ὡς ἀπὸ τοῦ τίθημι τὸ ἐτίθει. 1547, 16.

ἀεὶ ἐπίῤῥημα ἀντὶ τοῦ πολὺν χρόνον ἐν τῷ, ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεὶ, Ὀδυσσ. φ', 69. 1901, 43.

ἀεὶ ἐπὶ ὀλίγου καιροῦ ἐν τῷ, αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον, Ἰλιάδ. ψ', 502. 1313, 16.

ἀεὶ ἀντὶ τοῦ συνεχῶς ἐν τῷ, δύο δ' αἰὲν ἔχον πατρώια ἔργα, Ὀδυσσ. β', 22. 1431, 59.

ἀεὶ χρονικὸν ὅτι οὐ τὸ διὰ παντὸς ἁπλῶς ἐνίοτε σημαίνει, ἀλλὰ τὸ κατά τινα χρόνον ἀδιάλειπτον. 1040, 15.

ἀεὶ χρονικὸν ὅτι οὐ συντάσσεται τοῖς παρῳχημένοις τῶν ῥημάτων, εἰ μὴ τῷ παρατατικῷ· διόπερ ἐν τῷ, ὡς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο, Ἰλιάδ. φ', 263. χρόνος ἀντὶ χρόνου κεῖται. 1236, 18.

ἀεὶ χρονικὸν περιγραφόμενον διά τινος τέρματος, οἷον ἐν τῷ, αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς ᾤχετο, Ὀδυσσ. ρ', 103. 1812, 43.

ἀειγενέται θεοὶ οἱ ἀεὶ ὄντες ἢ ὧν τὸ γένος ἀεὶ διαρκεῖ. 245, 20.

ἀείδειν τὸ ἐμμέτρως λέγειν ὅτι πρωτότυπόν ἐστι τοῦ ᾄδειν, καὶ ὅτι παρὰ τὸ α ἐπιτατικὸν καὶ τοῦ εἴδειν, ὅ ἐστι γινώσκειν, λέγεται. 8, 45. 9, 18.

ἀείδελος ὅτι παρὰ τὸ εἴδω λέγεται, ἀΐδηλος δὲ διὰ τοῦ ι κατὰ στέρησιν τοῦ ἰδεῖν. 1599, 10.

ἀεικέλιαι πληγαὶ, δι' ὧν τὸ σῶμα αἰκίζεται. 1494, 39.

ἀεικέλιος δίφρος ὁ εὐτελὴς καὶ φαῦλος. 647, 5.

ἀεικελίη ἀλαωτὺς, Ὀδυσσ. ι', 503. ἡ αἰκιστικὴ ἢ ἡ ἀεικῶς, ὅ ἐστι παρὰ τὸ δέον, γενομένη. 1641, 29.

ἀεικέλιον καὶ ἀεικὲς λέγεται ἐνίοτε, ὃ οὐκ εἰκάσειέ τις εἶναι ὅπερ ἐστίν. 1746, 40.

ἀεικὴς μισθὸς ὁ αἰκιστικὸς καὶ δουλικὸς, καὶ ἀεικὴς πότμος ὁ ἀπρεπὴς καὶ μὴ κατὰ τὸ εἰκὸς, καὶ ἀεικὴς στόνος ὁ ἐξ αἰκίας γινόμενος. 488, 28. 819, 55. 912, 60.

ἀεικὴς πήρα ἡ μὴ κατὰ τὸ εἰκὸς ἐσκευασμένη, ἢ ἣν οὐκ εἰκάσειέ τις εἶναι πήραν διὰ τὸ πυκνὰ ῥωγαλέον, ὡς γράφεται Ὀδυσσ. ν΄, 437. 1746, 38.

ἀεικὲς ἔργον λέγει Ὅμηρος τὴν μοιχείαν λόγῳ σεμνότητος ἐν τῷ, καὶ ἀναίνετο ἔργον ἀεικὲς, Ὀδυσσ. γ΄, 265. ἁπλῶς δὲ ἀεικὲς ἔργον τὸ ἀτηρὸν ἢ τὸ αἰσχιστικὸν καὶ ἀπρεπές. 1176, 5. 1276, 3. 1285, 34. 1466, 44.

ἀείκεια, ἡ καὶ ἀεικία, ὅτι διὰ διφθόγγου γράφεται κατὰ τοὺς πλείστους ὡς ἀπὸ τοῦ ἀεικὴς γενόμενον. 1893, 24.

ἀείκεια ὅτι καὶ ἀεικία γράφεται διὰ τοῦ ῑ κατὰ τὴν παραλήγουσαν. 1336, 58.

ἀεικία διχρονοπαραλήκτως ταὐτὸ ὅπερ ἀείκεια. 1336, 58.

ἀεικιῶ ἀντὶ τοῦ αἰκίσομαι. 1268, 36.

ἀείρω τὸ κουφίζω καὶ ἀνωφορῶ καὶ τὸ ὁμοῦ εἴρω, ὅ ἐστι συζευγνύω καὶ συμπλέκω, καὶ τὸ εἰς ἀέρα αἴρω καὶ μετεωρίζω. 413, 34. 573, 21. 695, 54. 820, 56. 870, 56. 1212, 3.

ἀείρειν ἐν ἴσῳ τῷ προσφέρειν ἐν τῷ, μή μοι οἶνον ἄειρε, Ἰλιάδ. ζ΄, 264. 641, 18.

ἀείρεσθαι τὸ εἰς ἀέρα κουφίζεσθαι καὶ ἀέριον φέρεσθαι. 420, 14. 1720, 10.

ἀειραμένη ἐν ἴσῳ τῷ ἄρασα. 643, 17.

ἀείσκοπες οἱ μηδοτιοῦν φθεγγόμενοι σκῶπες· ἔστι δὲ εἶδος ὀρνέου. 1524, 5.

ἀεκάζω ὅτι παράγωγόν ἐστι ῥῆμα, ὡς καὶ τὸ ἀκουάζω. 1741, 22.

ἀεκάζεσθαι ὅτι ἐκ τοῦ ἀέκων δοκεῖ παρῆχθαι. 654, 22.

ἀεκαζόμενος ἀντὶ τοῦ ἄκων. 1841, 31.

ἀέκων ὅτι ἀπὸ τοῦ ἀέκω θέματος κεκίνηται καὶ ὅτι παραλόγως παροξύνεται, οὐδεμία γὰρ μετοχὴ ἀναβιβάζει τὸν τόνον ἐν τῇ συνθέσει. 1097, 64. 1841, 31.

ἀεκήλια ἔργα τὰ μὴ ἡσυχαστικὰ, ἐκ τοῦ ἕκηλος, ὃ δηλοῖ τὸν ἥσυχον, ἢ τὰ μὴ ἑκούσια καὶ ἃ ἄκων πάσχει τις. 1130, 34.

ἀέλιος, ζήτει ἐν τῷ ἠέλιος. 161, 17.

ἀέλιοι λέγονται οἱ ἀδελφὰς γυναῖκας ἔχοντες. 648, 45.

ἄελλα ὅτι παρὰ τὸ εἰλεῖν λέγεται. 223, 14.

ἀέλλη ὅτι ἐκ τοῦ ἄελλα γέγονεν, ὡς καὶ ἀπὸ τοῦ ἕερσα τὸ ἑέρση. 991, 26.

ἀελλὴς κονίσσαλος ὁ δίκην ἀέλλης συνεστραμμένος. 373, 39.

ἀελπὴς ὅτι καὶ ἄελπος λέγεται, καὶ ὅτι παρὰ τὸ ἔλπω ῥῆμα λέγονται. 1540, 36.

ἀελλόπος ἐκ τοῦ ἀελλόπους ἀπελεύσει τοῦ ῡ, καὶ ὅτι ἐχρῆν προπαροξύνεσθαι μὲν τὴν ἀπέλευσιν τοῦ ῡ, ὡς πούλυπος πόλυπος. 720, 55. 768, 48.

ἀέλποντες, δυσελπιστοῦντες. 682, 23.

ἀενάοντα ὕδατα, ὅτι ἐκτείνεται τὸ ἀρκτικὸν ᾱ τοῦ ἀενάοντα ἐν τῷ, ἐν δ' ὕδατ' ἀενάοντα, δύω δέ τέ οἱ θύραι εἰσὶν, Ὀδυσσ. ν΄, 109. ὅπου καὶ αἰενάοντα διὰ διφθόγγου γράφουσί τινες. 1735, 56.

ἀέντων γενικὴ πληθυντικὴ τῆς ἀεὶς ἀέντος μετοχῆς ἀπὸ τοῦ ἄημι θέματος, ὃ δηλοῖ τὸ πνέω, ὡς ἀπὸ τοῦ τίθημι ὁ τιθείς. 1547, 16.

ἀέξω καὶ ἀέξομαι, ζήτει ἐν τῷ αὔξω. 698, 29.

ἀέρα δαίρειν, παροιμία ἐπὶ τῶν ἀπράκτοις ἐγχειρούντων ἀπὸ τῶν πυγμαχούντων εἰλημένη. 1215, 54.

ἀεργία ἡ ἀργία καὶ ἡ εἰς ἔργον ἀτεχνία καὶ ἀνεπιστημοσύνη. 1960, 53.

ἀέρδην ἐπίῤῥημα ἐν ἴσῳ τῷ ἄρδην. 707, 38.

ἀέρι καλύπτειν, ἀφαντῶσαι ἐν ἀορασίᾳ. 882, 44.

Ἀερόπη Ἀτρέως γυνὴ ὅτι μοιχευθεῖσα ὑπὸ Θυέστου πολλῶν κακῶν αἰτία ἐγένετο. 1693, 24.

ἀερσίποδες ἵπποι οἱ ἀειρόμενοι, ὅ ἐστι κουφιζόμενοι τοῖς ποσὶ, τουτέστι ταχύποδες. 420, 13. 1160, 38. 1312, 3.

ἀερσιπότητος ἀράχνης ἐπιθετικῶς, ὅτι ἐκ τοῦ ἀείρω ἀέρσω Αἰολικῶς λέγεται, ὃ δηλοῖ τὸ εἰς ἀέρα κουφίζεσθαι. 420, 14.

ἀερτάζειν, αἴρειν, κουφίζειν. 1475, 29.

ἀέσαι τὸ κοιμηθῆναι καὶ τὸ ἀναπνεῦσαι. 1202, 55. 1461, 61. 1866, 50.

ἀεσιφροσύνη ἡ τῶν φρενῶν βλάβη. 1788, 48.

ἀεσίφρων, βλαψίφρων ἢ φρενοβλαβὴς, ὅτι ἐκ τοῦ παρ' Ὁμήρῳ φρεσὶν ἀασθεὶς δοκεῖ συγκεῖσθαι. 1910, 59.

ἀεσίφρων ὅτι ἐκ τοῦ ἀέσω, ὅ ἐστι βλάψω, καὶ τοῦ φρὴν σύγκειται ἢ ἐκ τοῦ ἀείρω, καὶ ὅτι καὶ δυσὶ σ̄ γράφεταί ποτε. 1319, 15.

ἀεσίφρων ὅτι ἐκ τοῦ ἆσαι, ὅ ἐστι βλάψαι, καὶ τοῦ φρὴν σύγκειται, ἢ ἐκ τοῦ ἀείρω ἀέρσω ἢ ἐκ τοῦ ἀέσαι, ὅ ἐστι κοιμηθῆναι. 1202, 46—54.

ἀεσίφρων ὁ κεκοιμημένος τὰς φρένας, παρὰ τὸ ἄω, ὃ δηλοῖ τὸ κοιμῶμαι. 1461, 62.

ἀετὸς ὄρνεον ὅτι παρὰ τὸ ᾱ ἐπιτατικὸν καὶ τὸ ἐτεὸν λέγεται, ὡς λίαν ἀληθὴς καὶ αἴσιος ἐν τοῖς οἰωνίσμασι, καὶ ὅτι τῷ Διὶ εἰς ἀέρα ἀλληγορουμένῳ ἀφιερῶσθαι λέγεται καθ' ὁμοιότητα ἐτυμολογίας· παρὰ τὸ ἄω γὰρ ἀετὸς δοκεῖ λέγεσθαι, ὡς καὶ ὁ ἀήρ. 87, 15. 711, 24.

ἀετὸς τὸ ὄρνεον ὅτι τῷ Διὶ ἀφιέρωτο καὶ διὰ πόσας αἰτίας, καὶ ἔκθεσις τῶν αἰτιῶν ἐξ ἱστοριῶν μυθικῶν, καὶ ἐκ τίνων μυθεύεται ὁ ἀετὸς εἰς ὄρνεον μεταμορφωθῆναι, ἑρμηνεία διεξοδικωτάτη. 1351, 26.

ἀετὸν κάνθαρος μαιεύεται, παροιμία καὶ μύθου ἀφήγησις διεξοδική. 1352, 44.

ἀέτωμα ναοῦ, μέρος τι τοῦ ναοῦ, ὃ καὶ ἀετὸς διὰ τὸ ἐοικέναι ἀετοῦ πτέρυξι. 1352, 38.

Ἀρχιμήδης ναῦς πολεμίων ἐμπρήσας ἐκ κατοπτρικῆς ἐπινοίας. 513, 10.

ἀζαλέη βοῦς ἀντὶ τοῦ ξηρὰ βύρσα. 679, 19.

Ἀζανία, μερὶς τῆς Ἀρκαδίας οὕτω καλουμένη, τὸ ἐθνικὸν Ἀζᾶνες. 301, 14.

Ἀζανία, τόπος τις ἄνυδρος, παρὰ τὴν ἄζην ἤγουν ξηρασίαν. 28, 8.

αζε ληγόντων ἐπιῤῥημάτων προσῳδία καὶ χρόνος παραληκτικός. 377, 2.

Ἀζείδαο, Ἀζείδου ἤγουν υἱοῦ Ἀζέως. 271, 43.

αζειν λήγοντα ἀπαρέμφατα ἀπὸ ληγόντων εἰς αν δευτεροζύγων περισπωμένων παρηγμένα, οἷον ἀνιάζειν ἀπὸ τοῦ ἀνιᾶν καὶ ἀγαπάζειν ἀπὸ τοῦ ἀγαπᾶν. 1510, 49.

ἄζειν ἐν ἴσῳ τῷ ἄζεσθαι, ὅ ἐστι σέβεσθαι, παρὰ Σοφοκλεῖ. 694, 30.

ἄζειν τὸ ξηραίνειν καὶ τὸ προσπνεῖν ἀθρόως τῷ στόματι ὁμωνύμως, ὅτι ψιλοῦται. 983, 63.

ἄζεσθαι, σέβεσθαι, παράγωγὴ καὶ πνεῦμα, ζήτει ἐν τῷ ἄζω. 28, 9.

ἄζη ἡ ξηρασία καὶ ἡ τοῖς μυδῶσιν ἐγγινομένη λευκότης εἴτουν εὐρὼς, παρὰ τὸ ἐστερῆσθαι τοῦ ζῆν τὰ ξηρανθέντα. 28, 8. 1924, 3.

ἀζηνάσκω, ὅτι παρὰ τὸ ἄζω τὸ ξηραίνω γίνεται ἀζαίνω καὶ κατὰ δευτέραν παραγωγὴν ἀζηνάσκω καὶ ἐν συνθέσει καταζηνάσκω, Ὀδυσσ. λ', 587. 1701, 40.

ἀζηχὴς ἐπίθετον καὶ ἀζηχὲς ἐπίῤῥημα ἐπιλεγόμενα ἤχοις ποιοῖς καὶ πράξεσιν, οἷον ἀζηχὴς ὀρυμαγδὸς, καὶ, ἀζηχὲς μεμακυῖαι, καὶ, ἀζηχὲς φαγεῖν καὶ πιεῖν. 1125, 42.

ἀζηχὴς, ἀδιεχὴς, ὅ ἐστι συνεχής. 1003, 45.

ἀζηχὲς οἱονεὶ ἀδιεχὲς, ὅ ἐστι συνεχὲς καὶ ἀδιάλειπτον, ἐκβολῇ τοῦ ι καὶ τροπῇ τοῦ δ εἰς ζ καὶ τοῦ ε εἰς η, καὶ ἀζηχὲς τὸ δεινὸν καὶ τὸ μέγα ἢ μεγαλόφωνον. 153, 39. 494, 5. 1003, 45. 1834, 1.

ἄζοι κοινῇ προσηγορίᾳ λέγονται οἱ δοῦλοι καὶ αἱ θεράπαιναι κατὰ γλῶσσαν. 1024, 44. 1090, 56.

ἀζόκροτος ἡ ξηρασία, παρὰ τὴν ἄζην, ζήτει ἐν τῷ αἰζόκροτος. 648, 46.

αζω λήγοντα ῥήματα ἐκ περισπωμένων παρηγμένα, οἷον χῶ χάζω, φρῶ φράζω, κλῶ κλάζω, σκεπῶ σκεπάζω, πετῶ πετάζω, βιβῶ βιβάζω. 157, 15. 441, 4. 1469, 3. 1654, 17. 1735, 29.

αζω λήγοντα ῥήματα ὅτι ἀνεκφώνητον ἔχουσι τὸ ι ἐν ὑπογραφῇ, οἷον σφαδάζω μετάζω. 1554, 23.

αζω καὶ ασσω ληγόντων ῥημάτων ἐχόντων πρὸ τοῦ παραληκτικοῦ α τὴν αλ συλλαβὴν σχηματισμὸς, οἷον στάζω σταλάζω, μάσσω μαλάσσω. 672, 4.

αζω ληγόντων ῥημάτων παραγωγὴ ἀπὸ βαρυτόνων, οἷον σέβω σεβάζω, σκέπω σκεπάζω, στέγω στεγάζω. 632, 29.

ἄζω τὸ ξηραίνω ψιλοῦται, παρὰ τὸ α στερητικὸν καὶ τὸ ζῶ· οὐ ζῶσι γὰρ τὰ ξηρά· ἅζομαι δὲ τὸ σέβομαι δασύνεται, παρὰ τὸ χάζω τὸ ὑποχωρῶ, καὶ αἰτιολογία τῆς δασύνσεως. 28, 7.

ἄζωστος βοηθὸς ἐπιθετικῶς ὁ κατὰ σπουδὴν, ὡς μηδὲ ζωσθῆναι, βοηθῶν. 1490, 29.

ἄη ἤγουν ἔπνεεν, ὅτι τινὲς μὲν διὰ τοῦ η γράφουσιν, ὡς ἀπὸ τοῦ ἀῶ ἄημι ὁ παρατατικὸς ἄην ἄης ἄη, ὅθεν καὶ τὸ ἄητον ἐν τῷ, τώτε Θρήκηθεν ἄητον, ὅ ἐστι πνέουσιν, Ἰλιάδ. ι', 5. τινὲς δὲ διὰ διφθόγγου ὁμοίως τῷ, ἀνέμων διάει μένος, Ὀδυσσ. ε', 478. τ', 440. 1724, 29.

ἀηδὴς ὅτι παρὰ τὸ ἦδος δοκεῖ παρῆχθαι· εἰ γὰρ ἐκ τοῦ ἡδὺς, ἄηδες ἦν ἄν, ὡς ἐκ τοῦ ὀξὺς κάτοξυς. 1395, 57.

ἀηδίζω ἀήδιζον, οὐκ ἠήδιζον διὰ τὴν ἐκ τῆς τῶν δύο ηη ἐπαλληλίας γινομένην κακοφωνίαν. 820, 33. 1575, 2.

ἀηδὼν ἀηδόνος ὅτι καὶ ἀηδοῦς εὕρηται λεγόμενον ἐν τῇ γενικῇ καὶ ἀηδοῖ ἐν τῇ κλητικῇ ὡς ἀπὸ τῆς ἀηδὼ, ὡς Λητὼ, εὐθείας. 601, 43. 716, 52.

Ἀηδὼν, ὅτι οὕτως ἐκαλεῖτο ἡ πρεσβυτάτη τῶν Πανδαρέου θυγατέρων, καὶ περὶ τῆς εἰς ὄρνιν μεταμορφώσεως αὐτῆς μῦθος διεξοδικός. 1875, 15.

ἀηδὼν, ὅτι τὰ θήλεα τῶν ἀηδόνων οὐκ ᾄδουσι. 395, 43.

ἀηδὼν παρὰ τὸ ἀείδειν τροπῇ Αἰολικῇ τῆς ει διφθόγγου εἰς τὴν η καταχρηστικὴν, καὶ ἀηδόνες αἱ Σειρῆνες παρὰ Λυκόφρονι ὡς καλὸν ἀείδουσαι. 9, 16.

ἀηθέσσω ἀήθεσσον, οὐκ ἠήθεσσον διὰ τὴν ἐκ τῆς τῶν δύο ηη ἐπαλληλίας γινομένην κακοφωνίαν. 1575, 2.

ἀηθέσσω γενικῇ, ὁ παρατατικὸς ἀήθεσσον ἀναυξήτως. 820, 24.

ἄημι ἐκ τοῦ ἀῶ ἀήσω. 732, 26.

ἀήμεναι ἀπαρέμφατον ὅτι ἐκ τοῦ ἀῶ περισπωμένου θέματος κεκίνηται. 1407, 63.

ἀῆναι ἀπαρέμφατον ὅτι ἐκ τοῦ ἀαίνω ἀχρήστου θέματος κεκίνηται. 1463, 10.

ἀὴρ κατὰ θηλυκὸν γένος ἡ ἀορασία διὰ τὸ μέλαν τοῦ ἀέρος, καὶ ἡ νέφωσις καὶ σκότωσις. 426, 28. 455, 8. 517, 4. 607, 12. 1087, 60.

ἀὴρ ἡ ἀορασία καὶ σκότωσις τοῦ περιέχοντος, αἰθὴρ δὲ ἡ αἰθρία καὶ καθαρὸς ἀὴρ παρ' Ὁμήρῳ. 1110, 23.

ἀὴρ, ὅτι αἱ πλάγιαι αὐτοῦ πᾶσαι διὰ τοῦ η λέγονται κατὰ γλῶσσαν ποιητικὴν, ἡ δὲ εὐθεῖα οὐδαμῶς πρὸς ἀποφυγὴν κακοφωνίας. 1575, 61.

ἀὴρ ὅτι φύσει ἐκτείνει τὸ α, καὶ οὐ διὰ βραχύτητα τρέπει αὐτὸ εἰς η, καὶ ὅτι καὶ κατὰ θηλυκὸν γένος λέγεται. 1620, 16.

ἀὴρ τὸ στοιχεῖον ὅτι Ζεὺς λέγεται ἀλληγορικῶς, καὶ ὅτι παρὰ τὸ ἄω τὸ πνέω λέγεται. 86, 18. 87, 17.

αης λήγοντα ὀξύτονα ὀνόματα διὰ τοῦ εος κλινόμενα παρὰ τὴν ἀεὶς ἀέντος μετοχὴν τοῦ ἄω ῥήματος, ὃ δηλοῖ τὸ πνέω, γενόμενα, οἷον ἁλιαὴς ἁλιαέος, δυσαὴς δυσαέος. 1500, 32.

ἀήσυλος, βλαπτικὸς ἢ ἀηδὴς, ἐτυμολογία καὶ σχηματισμός. 617, 23.

ἀήσυρον τὸ κοῦφον, παρὰ τὸ ἄω τὸ πνέω, ὅθεν καὶ ἀήσυροι μύρμηκες ἐπιθετικῶς. 1500, 27. 1547, 21.

ἀήτης ἡ τοῦ ἀνέμου πνοὴ καὶ αὐτὸς ὁ ἄνεμος, παρὰ τὸ ἄω. 1547, 17.

ἀήτης ὁ ἄνεμος ὅτι ὤφειλεν ὀξύνεσθαι ὡς ἀπὸ τοῦ ἀῶ ἀήσω περισπωμένου, ὁμοίως τῷ ποιητὴς, μιμητής. 533, 39. 1724, 35.

ἀήτης ἀνέμου ἐντελῶς λέγεται, καὶ ὅτι καὶ κατὰ μόνας ἀντὶ τοῦ ἄνεμος τίθεται. 979, 21.

ἀήτας αἰτιατικῆς τῶν πληθυντικῶν, ὅτι Ὅμηρος μὲν πνείοντας ἀήτας λέγει ἀρσενικῶς, Ἡσίοδος δὲ δεινὰς ἀήτας θηλυκῶς. 427, 26. 982, 28. 1034, 4. 1509, 48.

ἄητον θάρσος ἐπιθετικῶς τὸ πολὺ καὶ γοργὸν κατὰ ἄνεμον, παρὰ τὸ ἄω, ὅ ἐστι πνέω καὶ προθυμοῦμαι. 1243, 35.

ἄητο θυμὸς, Ἰλιάδ. φ', 386. ἀντὶ

τολοιγός, καὶ ὅτι καὶ ἀθάρης τορύνην, ὅ ἐστι δοίδυκα, δοκεῖ σημαίνειν ὁ ἀθηρηλοιγός. 1675, 54—57.

ἀθηρόβρωτον παρὰ Σοφοκλεῖ, ὅ περ Ὅμηρος ἀθηρηλοιγὸν, ὅ ἐστι πτύον λικμητικὸν, καὶ ὅτι ἀθερόβρωτον ὤφειλε λέγεσθαι διὰ τοῦ ε ὡς ἀπὸ τοῦ ἀθέρος. 1675, 52.

αθι ληγόντων προστακτικῶν τινῶν χρόνος παραληκτικὸς, οἷον πίμπλαθι, ἵλαθι, τέθναθι. 1418, 8.

ἀθληταὶ ὅτι ἐπὶ πάχει σώματός τε καὶ νοῦ ἐσκώπτοντο. 1299, 14.

Ἀθλίας κύριον παρὰ τὸ ἆθλον, καὶ ὅτι ἐκωμῳδεῖτο ὡς ἄθλιος διὰ τὴν πρὸς τὸ ἄθλιον παρήχησιν τῆς φωνῆς. 740, 55.

ἄθλιος ὁ δυστυχὴς καὶ δυσδαίμων, ὅτι παρὰ τὸν ἆθλον, ὃ δηλοῖ τὴν κακοπάθειαν. 740, 53.

ἆθλα τὰ διδόμενα οὐ μόνον τοῖς νικῶσιν, ἀλλὰ καὶ τοῖς ἁπλῶς ἀγωνιζομένοις, Ἰλιάδ. ψ'. 1302, 63.

ἆθλος ὁ ἀγὼν ὅτι κατὰ ἀρσενικὸν γένος λέγεται. 1589, 63.

ἆθλον οὐδετέρως ἀντὶ τοῦ ἆθλος ἀρσενικοῦ, ὃ δηλοῖ τὸν ἀγῶνα ἐν τῷ, νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτο ἐφήσω, Ὀδυσσ. τ', 576. 1879, 12.

ἆθλον λέγει Ὅμηρος Ὀδυσσείας φ', 155. ἐν ἴσῳ τῷ οὗ ἕνεκα, ὅ ἐστι τὸ τέλος. 1905, 18.

ἆθλον ὅτι ἐκ τοῦ ἄεθλον κέκραται. 740, 53.

ἆθλον τὸ ἔπαθλον, ἆθλος δὲ ὁ ἀγὼν, καὶ ὅτι παρὰ τὸ ἐθέλειν ἄμφω λέγονται. 1299, 10.

αθος λήγοντα οὐδέτερα τινὰ εἰς ενθος μετασχηματιζόμενα, οἷον βάθος βένθος, πάθος πένθος. 99, 6.

Ἄθοω γενικὴ ἐν τῷ, ἐξ Ἄθοω δ' ἐπὶ πόντον, Ἰλιάδ. ξ', 229. ζήτει ἐν τῷ οω λήγουσαι γενικαί. 1830, 60.

Ἄθοω γενικῆς προσῳδία καὶ σχηματισμὸς διεξοδικῶς. 391, 45. 479, 5. 980, 49.

ἄθρους ὅτι ἐκ τοῦ ἀθρόος συνῄρηται, καὶ ὅτι κατά τινας μὲν περισπᾶται, ἐν δὲ τῇ συνηθείᾳ παροξύνεται, καὶ ὅτι δασύνεται παρὰ τοῖς Ἀττικοῖς. 251, 39. 1387, 4.

ἀθροιστικαὶ λέξεις ὅτι φιλοῦσι δασύνεσθαι, οἷον ἅπας, ἅλις, ἅδης. 16, 30.

ἄθροος ὁ ἀθόρυβος προπαροξυτόνως παρὰ τὸν θροῦν, ἀθρόος δὲ παροξυτόνως ὁ συνηθροισμένος. 1387, 11. 1788, 36.

ἀθρόος ὅτι ὡς σύνθετον ὤφειλε προπαροξύνεσθαι. 1447, 60. 1788, 36.

ἀθρόος, ὅτι Ἀρίσταρχος ἐδάσυνε τὸ ἀθρόος. 966, 10.

ἀθρόοι οἱ ὁμοῦ συνηγμένοι καὶ μὴ ἐσκεδασμένοι. 1036, 10.

ἄθρους ὅτι ἐκ τοῦ ἀθρόος παραλόγως παροξυνθέντος παραλόγως καὶ αὐτὸ παρωξύνθη, ἑρμηνεία διεξοδική. 1447, 51. 62.

ἀθρόον τὸ αἰφνίδιον, παρὰ τὸ α στερητικὸν καὶ τὸ θροῦς, ὅ ἐστι θόρυβος, ὅτι ψιλοῦται, ἐπὶ δὲ τοῦ ὁμοῦ παρὰ τὸ ἁ, ὅ ἐστιν ἅμα, καὶ τὸ θροῦς ἢ τὸ θόρω, ὅ ἐστι πηδῶ, ἐδασύνετο παρὰ τοῖς Ἀττικοῖς, παρὰ δὲ τοῖς νεωτέροις ὁπωσοῦν ἔχῃ σημασίας, ψιλοῦται. 1386, 61.

ἀθρόα πάντ' ἀπέτισεν, Ὀδυσσ. α', 43. ὅτι εἰς παροιμίαν μετέπεσε. 1388, 29.

ἀθρεῖν ὅτι παρὰ τὸ δρῶ, ὅ ἐστι βλέπω, λέγεται οἱονεὶ ἀδρῶ κατὰ στέρησιν τροπῇ τοῦ δ εἰς θ, ἢ ἀπὸ τοῦ θεωρεῖν κατὰ συγκοπὴν μετὰ τοῦ α ἐπιτατικοῦ. 68, 39. 1874, 36.

ἀθρεῖν τὸ μετ' ἐπιτάσεως ὁρᾶν καὶ περισκοπεῖν, ὅτι ἐδασύνετο παρὰ τοῖς Ἀττικοῖς. 1387, 7.

ἄθυμος ὁ μὴ εὔθυμος ἤγουν μὴ εὐφραινόμενος. 1663, 9.

Ἀθύρας, Βυζαντίων ἐπίνειον, ὅτι ἐκ τοῦ α στερητικοῦ καὶ τοῦ θύρα λέγεται. 804, 33. 1627, 6.

ἀθύρειν τὸ ἀδιακρίτως ὁμιλεῖν, ὅτι ἐκ τοῦ α στερητικοῦ καὶ τοῦ θύρα σύγκειται, ἐτυμολογία διεξοδική. 1020, 11. 1627, 5.

ἄθυρμα ὅτι ἐδασύνετο ποτὲ παρὰ τοῖς παλαιοῖς. 1387, 8.

ἀθύρματα, παίγνια καὶ ἀντὶ τοῦ κόσμια γυναικεῖα ἐν τῷ, μυρί' ἄγοντες ἀθύρματα νηὶ μελαίνῃ, Ὀδυσσ. ο', 416. 1786, 34.

ἀθύρματα, παίγνια σκιρτήματα, παρὰ τὸ α ἐπιτατικὸν καὶ τὸ θύειν, ὅ ἐστιν ὁρμᾶν, κατὰ πρόσθεσιν τοῦ ρ. 1848, 56.

ἀθυρόγλωσσος λέγεται οὗ τῇ γλώσσῃ οὐκ ἐπίκειται θύρα, οἱ δὲ ὅτι παρὰ τὸ ἀθύρειν, ὅ ἐστιν ἀδιακρίτως ὁμιλεῖν. 1627, 5.

ἀθῷος ὁ ἀζήμιος, ἐτυμολογία καὶ προσῳδία, καὶ Ἀθῷος Ζεὺς ὁ ἐν Ἄθῳ τῷ ὄρει τιμώμενος, ἀναλογία καὶ προσῳδία τῆς λέξεως. 953, 42.

Ἄθῳος καὶ ἀθῷος, διαφορὰ σημαινομένου καὶ προσῳδίας καὶ γραφῆς παραληκτικῆς. 218, 3. 358, 42. 1441, 2.

Ἄθως ὄρος ἀπὸ Ἄθω Γίγαντος λεγόμενον, μῦθος καὶ παροιμία, Ἄθως σκιάζει νῶτα Λημνίας βοὸς, ἑρμηνεία διεξοδικὴ καὶ ἱστορίαι τινὲς περὶ τοῦ ὄρους. 980, 42.

αι δίφθογγος ἀποβάλλουσα τὸ ι ἔν τισι λέξεσιν, οἷον καίω κάω, αἰεὶ ἀεί. 28, 31.

αι δίφθογγος ἐκ τῆς ει τετραμμένη Δωρικῶς, οἷον κτείνω κταίνω, φθείρω φθαίρω, μεσόγειος μεσόγαιος, κύπειρον κύπαιρον. 1648, 6.

αι δίφθογγος ἐν μέσῳ λέξεων ἐκ πλεονασμοῦ ἔχουσα τὸ ι πρὸς θεραπείαν πολυβραχύτητος λέξεων, οἷον ἐν τῷ μεσαιπόλιος, ὃ ἐκ τοῦ μεσαπόλιος. 422, 33.

αι δίφθογγος μέση λέξεων γινομένη κατὰ τροπὴν τοῦ ο εἰς α καὶ πρόσθεσιν τοῦ ι, οἷον μεσοπόλιος μεσαπόλιος καὶ μεσαιπόλιος. 360, 30.

αι δίφθογγος μέση λέξεων ἐκ προσλήψεως τοῦ ι γινομένη, οἷον ἰθαγενὴς ἰθαιγενὴς, τιθαβώσσειν τιθαιβώσσειν. 937, 38.

αι δίφθογγος μέση λέξεων ἐκ τροπῆς τοῦ ο γινομένη, οἷον μεσοπόλιος μεσαιπόλιος, ἢ ἐκ τοῦ α προσλαβόντος τὸ ι, οἷον ταλάπωρος ταλαίπωρος. 365, 40. 1735, 46.

αι δίφθογγος ὅλη εἰς η μόνον τρεπομένη Βοιωτικῶς, οἷον ἐν τῷ Μαίων Μήων χωρὶς τοῦ ι καθ' Ἡρακλείδην. 365, 28.

αι δίφθογγος ὅτι ἐκθλίβεται, οἷον

ἐν τῷ, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, Ἰλιάδ. α', 117. 62, 41. 1239, 27.

αι δίφθογγος, ὅτι ἡ αι δίφθογγος ἀρχομένη λέξεων ὑπερμονοσυλλάβων ψιλοῦται. 1626, 38.

αἴ ὅτι εὐκτικόν ἐστι πολλαχοῦ παρ' Ὁμήρῳ ἀντὶ τοῦ εἴθε, καὶ ὅτι καὶ μεμπτικόν ἐστι καὶ δυσφορικὸν, ὡς τὰ πολλὰ δὲ θρηνητικόν. 1581, 21. 1763, 57. 1889, 51.

αια λήγοντα ὀνόματα παράγωγα ταὐτὸ ὅ περ τὰ ἐξ ὧν παράγονται δηλοῦντα, οἷον καλάμη καλαμαία, μέλισσα μελισσαία, δραχμὴ δραχμαία, οὐρὰ οὐραία. 474, 44. 1758, 55.

αια ληγόντων θηλυκῶν προπαροξυτόνων παραγωγὴ, οἷον φώκη Φώκαια, νίκη Νίκαια. 449, 33.

αια ληγόντων ὀνομάτων πόλεων ἀναλογία παραγωγῆς, οἷον πλαίη Πλαίαια, νίκη Νίκαια. 266, 45.

αια ληγόντων πληθυντικῶν οὐδετέρων ὀνομάτων ἑορτῶν σχηματισμὸς, οἷον Ἥρα Ἥραια, Ἀθηνᾶ Ἀθήναια. 444, 18.

αια ληγόντων πολυσυλλάβων παραγώγων κατάλογος. 84, 2.

Αἶα, ὄνομα κύριον πηγῆς τινός. 360, 11.

Αἶα, πόλις Κολχίδος περὶ τὸν Φᾶσιν ποταμόν. 1614, 1. 4.

αἰάζω παρὰ τὸ αἲ ἐπίῤῥημα. 127, 10.

αἰάζειν ὅτι οὐκ ἀεὶ τὸ θρηνεῖν δηλοῖ, καὶ ὅτι καὶ παρὰ τὸ ἄζειν, ὅ ἐστι προσπνεῖν ἀθρόως τῷ στόματι, λέγεται. 983, 63.

Αἴας ὁ Τελαμώνιος ὅτι ἄτρωτος ἐνομίσθη διὰ τὸ μηδαμοῦ τῆς Ἰλιάδος ἱστορεῖσθαι αὐτὸν τρωθῆναι. 1331, 28.

Αἴας παρὰ τὸ αἲ ἢ παρὰ τὸ αἰάζειν, καὶ ὅτι φερωνύμως παρὰ τὸ ἄξια αἰαγμάτων παθεῖν οὕτως ἐκλήθη. 640, 34. 776, 50. 1567, 58.

Αἴαντος τάφος καὶ ἀνδριὰς, ἱστορία. 666, 50.

Αἰαίη Κίρκη ἐθνικῶς ἀντὶ τοῦ Κολχικὴ ἀπὸ Αἴας πόλεως Κολχικῆς, καὶ Αἰαίη κυριωνυμικῶς ἡ τῆς Κίρκης νῆσος, καὶ ὅτι, εἰ ἀπὸ τῆς Αἰαίας νήσου ἐθνικῶς παρωνομάζετο ἡ Κίρκη, Αἰαιαία ὤφειλε λέγεσθαι ἐν τρισὶν αι. 1614, 64.

Αἰακὶς, εἶδος κύλικος παρωνύμως ἀπὸ Αἰακοῦ. 1230, 41.

Αἰγαὶ πόλις Εὐβοίας, ἀφ' ὧν δοκεῖ παρωνομάσθαι τὸ Αἰγαῖον πέλαγος, καὶ Αἰγαὶ νῆσός τις ἐν τῷ Αἰγαίῳ πελάγει, καὶ Αἰγαὶ πόλις τῆς Ἀχαΐας ἐν Πελοποννήσῳ, ἡ καὶ Αἰγὰ ἑνικῶς, καὶ ἔκθεσις ἱστοριῶν τινῶν περὶ ἑκάστης τῶν προειρημένων πόλεως. 292, 2. 708, 54. 917, 35—45.

Αἰγαῖον πέλαγος ἀπὸ Αἰγῶν πόλεως ἢ ἀπὸ Αἰγαίωνος τοῦ καὶ Βριάρεω. 123, 37. 708, 38. 54.

Αἰγαίων, ὁ καὶ Βριάρεως, συμμαχήσας τῷ Διὶ ἐπιβουλευθέντι, μῦθος καὶ ἀλληγορία, καὶ Αἰγαίωνος λόφος, ἱστορία. 123, 25. 32.

αἰγανέα, εἶδος δόρατος ἐλαφρὸν καὶ μακρὸν, διὰ τὸ κατὰ αἰγῶν ἵεσθαι ἢ ἄγαν ἵεσθαι οὕτω λεγόμενον. 344, 5. 1077, 5. 1512, 16. 1620, 35.

αἴγεια κρέα, ὅτι ἐκ τῆς τροφῆς αὐτῶν εὔτονοι καὶ γλίσχροι γίνονται χυμοί. 1753, 17.

αἴγειρος Ἀθήνησιν ἐπάνω τοῦ θεάτρου, ὅθεν καὶ ἀπ' αἰγείρου θέα παροιμιακῶς λέγεται. 1523, 53.

αἴγεος, ἀντὶ τοῦ αἴγειος ὅτι καθ' ὁμοιότητα τοῦ ἀργύρεος καὶ χρύσεος λέγεται. 1623, 35.

αἶγες καὶ αἰγίδες ἀέρος, πάθη ποιά. 602, 19.

Αἰγεὺς πολλαῖς γυναιξὶ ταῖς μὲν συνοικήσας, ταῖς δὲ καὶ ἁπλῶς συγγενόμενος, ἱστορία. 1345, 50.

Αἰγιαλὸς ἢ Αἰγίαλος, τόπος τις οὕτω καλούμενος, προσῳδία· καὶ ὅτι πολλὰ χωρία οὕτως ὠνομάζοντο. 362, 17.

Αἰγιαλὸς, χώρα τις τῆς Ἀχαΐας, ἡ καὶ Αἰγιάλεια καὶ ὕστερον Ἰωνία διὰ τὸ ὑπὸ Ἰώνων οἰκισθῆναι, καὶ Αἰγιαλὸς ἡ παραθαλασσία πλευρὰ τῆς Πελοποννήσου ἀπὸ Σικυῶνος ἕως Ἤλιδος. 292, 14—25.

Αἰγιάλεια χώρα, ἧς οἱ ἐγχώριοι Αἰγιαλεῖς· ζήτει ἐν τῷ Αἰγιαλός. 292, 2.

Αἰγιάλεια Διομήδους γυνὴ, ἱστορία. 566, 2.

αἰγίλιπες πέτραι ἀπὸ εὐθείας τῆς αἰγίλιψ, λέξις διαφόρως ἑτυμολογουμένη καὶ ἑρμηνευομένη, καὶ περὶ τῆς ληκτικῆς φωνῆς. 733, 35. 1041, 60.

αἰγίλιψ, τόπος ὁ αἶγας λιπαίνων ἢ ὁ ὑπ' αἰγῶν λιπόμενος διὰ τὸ ἀπρόσβατον, ὅτι ἐκ τῆς αἰγὶ δοτικῆς σύγκειται. 307, 25.

Αἴγινα νῆσος καὶ περὶ τοῦ ἐν αὐτῇ Ἀσκληπιείου, ἱστορία. 287, 42—288, 2.

Αἴγινα, ὅτι παροιμιακῶς λέγεται τὸ, τὰ πρῶτ' ἀρίστους παῖδας Αἴγιν' ἐκτρέφει, καὶ ὅτι διὰ τοὺς ἐξ αὐτῆς ἥρωάς τινας λέγεται, οἳ ἀκμαῖοι μὲν ὄντες ηὐδοκίμουν, ὕστερον δ' ἐπὶ τὸ χεῖρον μετέβαλον. 1695, 55.

αἰγίπυῤῥος, εἶδος πόας. 307, 28.

αἰγὶς Ἀπόλλωνος παρ' Ὁμήρῳ σκιὰ ἢ νέφος ἀλληγορικῶς. 1336, 54.

αἰγὶς, ὅπλον τι μυθικὸν, ὅτι παρὰ τὸν ἧγα μέσον παρακείμενον τοῦ ἀΐσσω ῥήματος λέγεται, καὶ ὅτι βραχυκαταληκτεῖ, καὶ αἰγὶς πλέγμα ποιὸν ὁμωνύμως, καὶ Αἰγὶς ἄκρα τις ἐν Λέσβῳ εἰς τὸ Αἰγαῖον προνεύουσα. 193, 40. 252, 11. 603, 15.

αἰγίδος μυθικῆς ἔκφρασις Ὁμηρικὴ καὶ ἀλληγορίαι διάφοροι, καὶ πῶς καὶ ἡ Ἀθηνᾶ καὶ ὁ Ἀπόλλων αἰγίδα φορεῖν λέγονται, καὶ ὅτι οὐ πληκτικὸν ἀλλ' ἐκφοβητικὸν ὅπλον πλάττεται. 460, 24-41. 602, 5-603, 35. 1014, 5. 1017, 29.

αἰγὶς Διὸς τὰ νέφη καὶ αἱ ἀστραπαὶ καὶ βρονταὶ, διὸ καὶ μαρμαρέη ἐπιθετικῶς λέγεται διὰ τὰς τῶν ἀστραπῶν μαρμαρυγὰς, καὶ ἐρεμνὴ διὰ τὸ ἐκ τῶν συννεφειῶν ἔρεβος. 1119, 34. 39.

αἰγίδος, ἀσπίδος τῆς Ἀθηνᾶς, διαγραφὴ εἴτουν ἔκφρασις διεξοδική. 600, 25.

αἰγίδες τὰ περὶ τὸν ἀέρα δείματα. 86, 19.

Αἴγιον πόλις Ἀχαΐας, ὅπου ἡ αἲξ ἐπισχεῖν μαζὸν τῷ Διὶ μυθεύεται, καὶ περὶ Αἰγιέων, ἱστορία. 292, 7. 917, 44.

αἰγίοχος παρὰ τὴν ἐξ αἰγὸς ὀχὴν, ὅ ἐστι τροφὴν, μῦθος, ἢ παρὰ τὸ αἰγίδα ἔχειν, ἀλληγορία. 86, 12.

αἴγλη, ὅτι ὁμώνυμος ἡ φωνὴ καὶ

ἔκθεσις τῶν σημαινομένων αὐτῆς. 823, 26.

αἰγυπιός, ὄρνεον ἀετῶδες. 1068, 47.

Αἴγυπτος, κατὰ θηλυκὸν γένος ἡ χώρα ἐν τῷ, μή τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἴκηαι, Ὀδυσσ. ρ', 448. παρ' Ὁμήρῳ, Αἴγυπτος δὲ ποταμὸς ὁ Νεῖλος ἀρσενικῶς. 1468, 28. 1827, 28.

Αἴγυπτος καὶ αἱ ἀπ' αὐτοῦ κινήσεις συστέλλουσαί ποτε τὴν τρίτην συλλαβὴν διὰ μέτρου χρείαν. 758, 27. 1488, 50.

Αἴγυπτος ὅτι παρὰ τὸ αἶγας πιαίνειν λέγεται κατά τινας. 1499, 52.

Αἴγυπτος, υἱὸς Βήλου τοῦ Λιβύης, πατὴρ υἱῶν πεντήκοντα, ὅτι ἀφ' ἑαυτοῦ τὴν τῶν Μελαμπόδων χώραν, ἧς ἦρξεν, Αἴγυπτον ὠνόμασεν. 37, 21.

Αἰγύπτου ἐμπόριον ὅτι περὶ Φάρον ἢ Ναύκρατιν ἦν. 1500, 21.

Αἰγύπτιοι Λακεδαιμονίους μόνους Ἑλλήνων τιμῶντες, ἱστορία. 1484, 37.

Αἰγύπτιοι ὅτι φιλοπόται ἱστοροῦνται, καὶ ὅτι ἄμπελος ἐν Αἰγύπτῳ πρῶτον εὑρέθη. 1635, 16.

Αἰγυπτιάζειν τὸ πανουργεύεσθαι διὰ τὸ παρ' Αἰγυπτίοις κακοήθειαν ἐπιχωριάζειν. 741, 21. 1494, 10.

Αἰγυπτιάσαι τὴν χρόαν τινὸς λέγεται ὁ ἥλιος ἀντὶ τοῦ ἐπικαῦσαι. 1484, 26.

αἰγῶν ἡλικίας ὀνομασίαι, ὅτι τῶν αἰγῶν οἱ μὲν τέλειοι τράγοι καὶ ἴξαλοι, οἱ δὲ μετὰ ταῦτα τῇ ἡλικίᾳ χίμαροι, τὰ δὲ νεώτατα ἔριφοι· καὶ ὅτι ἐσσῆνες καὶ πρητῆνες καὶ ἐπιπρητῆνες καὶ ἄττηγοι αἶγες κατὰ προσηγορίαν ἡλικιῶν καλοῦνται. 1625, 33.

αἲ δ' ἄγε ἀντὶ τοῦ ἐὰν δ' ἄγε, καί, αἲ δὲ λῇς, ἀντὶ τοῦ, ἐὰν θέλῃς. 1316, 40.

αἰδοῖος ὁ ἄξιος αἰδοῦς. 399, 36. 38. 1784, 47.

αἰδοιέστερος ἀντὶ τοῦ αἰδοιότερος. 1441, 11.

αἰδοίη ταμίη ἡ σώφρων. 1402, 2.

αἴδομαι βαρυτόνως, ἀφ' οὗ αἰδόμενος, ἐν ἴσῳ τῷ αἰδοῦμαι καὶ αἰδούμενος. 111, 38.

αἰδοῦμαι, ὅτι καὶ αἴδομαι βαρυτόνως λέγεται. 579, 45. 1257, 11.

αἰδεῖο ἀντὶ τοῦ αἰδοῦ ἢ αἰδέσθητι, ὅτι ἄτοπόν ἐστιν εὐκτικοῦ τύπου νομίζειν αὐτὸ εἶναι, ἀλλὰ δεῖ ἐκ τοῦ αἴδεο σχηματίζειν ἐπενθέσει τοῦ ῑ καὶ καταβιβασμῷ τοῦ τόνου. 1361, 34.

αἰδεῖσθαι ἀντὶ τοῦ εὐλαβεῖσθαι. 1892, 51.

αἰδὼς ἐν ὀφθαλμοῖς, ὅτι φυσικῶς λέγεται παρ' Ἀριστοτέλει τοὺς ὀφθαλμοὺς ἕδραν αἰδοῦς εἶναι, οἷα τῶν αἰδημόνων ἀπὸ τῆς ὄψεως χαρακτηριζομένων, παροιμιακῶς δὲ τὸ, αἰδὼς ἐν ὀφθαλμοῖς, λέγεται ἐπὶ ὀνειδισμῷ τῶν παρόντα μέν τινα περιεπόντων, ἀπόντος δὲ ἀμελούντων. 923, 17. 1754, 38.

αἰδὼς καὶ νέμεσις ὅτι καλῶς συνδυάζονται παρ' Ὁμήρῳ διὰ τὸ ἐκ τῆς νεμέσεως ἐπιγίνεσθαι τὴν αἰδῶ. 1434, 29.

αἰδώς, ὅτι ἐκ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ ἰδεῖν σύγκειται ἡ λέξις, δυσωπία γάρ τις ἐστὶν ἡ αἰδώς, καὶ ἐν τοῖς ὀφθαλμοῖς εἶναι λέγεται παροιμιακῶς, οἷα τῶν αἰδημόνων ἐκ τῆς ὄψεως χαρακτηριζομένων. 1754, 42.

αἰδώς, ὅτι ἡ μὲν ἀγαθὴ παρὰ τὸ ἀεὶ τὸ δέον ἔχειν αὐτὴν λέγεται, ἡ δὲ κακὴ παρὰ τὸ ἀεὶ ἐνδείας αἰτία εἶναι. 1606, 29.

Αἰδοῦς καὶ Ἀφελείας βωμὸς Ἀθήνησιν, ἱστορία καὶ ἀλληγορία διεξοδική. 1279, 38.

αἴδω ῥῆμα καὶ αἰδὼς ὅτι παρὰ τὸ ἀείδειν, ὅ ἐστι μὴ βλέπειν, λέγεται κατὰ κρᾶσιν. 9, 29.

αἰδῶ τὰ αἰδοῖα, Ὅμηρος Ἰλιάδ. β', 262. 215, 46.

ἀΐδηλος ὅτι ἐκ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ ἰδεῖν σύγκειται, ἀείδελος δὲ διὰ διφθόγγου παρὰ τὸ εἴδω. 1599, 10.

ἀΐδηλον πῦρ τὸ πολυφανὲς ἢ τὸ ἀφανιστικὸν, τὸ ἄστατον, οἱονεὶ ἀΐζηλον, ὅ ἐστι μὴ ἵζον. 254, 5. 761, 45. 837, 40.

αἴδης κατὰ διάλυσιν λήγοντα πατρωνυμικὰ ἀπὸ ληγόντων διὰ τοῦ αιος ὀνομάτων σχηματιζόμενα, οἷον Πείραιος Πειραΐδης, Ἀλκαῖος Ἀλκαΐδης. 465, 39.

ἀΐδης, ἀὴρ ἀϊδής, ὅ ἐστιν ἀφανής. 1012, 37.

ἀΐδιος ὁ βέβαιος καὶ στάσιμος, ὅτι παρὰ τὸ ἵζειν λέγεται τροπῇ τοῦ ζ εἰς δ. 153, 37.

Ἀϊδόσδε, εἰς Ἅιδου, ὅτι ἐλλιπῶς λέγεται, καὶ ὅτι τὸ δὲ ἢ ἀντὶ προθέσεως ἢ ἐπεκτατικῶς κεῖται. 683, 49.

Ἄϊδος καὶ Ἄϊδι πλαγίων κανονισμὸς καὶ ἐτυμολογία. 16, 20.

ἄϊδρις ὁ ἄπειρος καὶ ἀνεπιστήμων· ἡ γενικὴ ἀΐδριος, οὐκ ἀΐδριδος· ἡ δοτικὴ ἀΐδρεϊ καὶ ἀΐδρει. 407, 36. 676, 16. 1591, 10.

ἄϊδρις ὅτι ἐκ προσθέσεως ἔχει τὸ ρ, ἄϊδίς τις ὤν. 1848, 57.

ἀΐδρεϊ δοτικὴ ἀπὸ τῆς ἀΐδριος γενικῆς. 407, 35—39.

ἀϊδρείᾳ ἡ ἀτεχνία καὶ ἀνεπιστημοσύνη, τὸ δρι δίφθογγον διὰ τὴν τοῦ ε κλίσιν τοῦ ἴδρις ἴδρεως. 676, 16. 1063, 62. 1656, 13.

ἀϊδρείῃσι νόοιο ποιεῖν τι, Ὀδυσσ. λ', 272. ἀντὶ τοῦ κατ' ἄγνοιαν. 1683, 59.

αἰδύλος ὁ θρασὺς ἀντιφραστικῶς. 399, 37.

αἰειγενέται θεοὶ οἱ ἀεὶ ὄντες, ζήτει τὸ ἀειγενέται. 365, 19.

αἰέλιοι λέγονται οἱ ἀδελφὰς γυναῖκας ἔχοντες. 648, 46.

ἀΐειν ἀντὶ τοῦ ὁρᾶν ἐν τῷ, οὐκ ἀΐεις ὅτι μοι ἐπιλλίζουσι μνηστῆρες, Ὀδυσσ. σ', 11. 1831, 50.

ἀΐειν ἀντὶ τοῦ εἰδέναι ἢ αἰσθάνεσθαι ἐν τῷ, ὁπότε Τρώων ἀΐοιεν ἰόντων, Ἰλιάδ. κ', 189. 796, 35.

ἀΐειν τὸ κατὰ ψυχὴν αἰσθάνεσθαι καὶ τὸ ἀκούειν, καὶ ἀΐειν ἦτορ ἐν ἴσῳ τῷ ἀσθμαίνειν. 1014, 56.

αἰέννυπνος ὁ θάνατος παρὰ Σοφοκλεῖ. 1201, 26.

αἰζηὸς ὁ νεανίας καὶ ἀκμάζων τῇ ἡλικίᾳ παρὰ τὸ ἀεὶ ζέειν, ἢ ὁ εὐκίνητος παρὰ τὸ μὴ ἵζειν, καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως, καὶ αἰζηὸς ὁ ἁπλῶς ἀνήρ. 376, 26. 526, 16. 1309, 40.

αἰζηὸς ὅτι ἐκ τοῦ αἰζήιος τετρασυλλάβως λεγομένου δοκεῖ, ὅτι τῷ τρισυλλάβῳ δεῖ προσγεγράφθαι τὸ ι, οὐ προσγράφεται δὲ, καὶ ὅτι ὀξύνεται ἡ λέξις. 218, 2. 376, 26. 1117, 2. 1714, 26.

αἰζήιος ὅτι προπαροξύνεται ὡς Ἀρήιος. 1117, 3.

αἰζόκροτος ἡ ξηρασία ὅτι παρὰ τὸ ἄζη λέγεται πλεονασμῷ τοῦ ῑ. 648, 47.

Αἰήτης ὁ ἥρως ὅτι ἀπὸ Αἴας Κολχικῆς πόλεως οὕτως ἐκλήθη. 1614, 5.

αἴητον ἐπίθετον διαφόρως ἐτυμολογούμενον ἐν τῷ, πέλωρ αἴητον, περὶ Ἡφαίστου λεγόμενον Ἰλιάδ. σ', 410. 1150, 61.

αἴητον, ὅτι ἐκ τοῦ ἄω, ὅ ἐστι πνέω, γέγονεν ἄητον, ὅ ἐστι πολὺ καὶ γοργὸν κατὰ ἄνεμον, καὶ πλεονασμῷ τοῦ ῑ αἴητον. 1243, 36.

αἰθάλη καὶ αἰθαλόεσσα κόνις παρ' Ὁμήρῳ ἡ τέφρα. 1128, 56.

αἰθάλη, εἶδός τι καπνώδους ἀναθυμιάσεως ἐκ πυρὸς, παρὰ τὸ αἴθω τὸ λάμπω. 249, 24.

αἰθαλόεσσα κόνις ἡ ξηρὰ, ὁποία ἡ ἀπὸ τῶν αἰθομένων σωμάτων. 1962, 36.

αἰθαλόεν μέγαρον διὰ τὸ ἐν αὐτῷ αἰθόμενον πῦρ ἢ τὸ καταλαμπόμενον. 249, 22. 1925, 48.

αἶθε Δωρικῶς ἀντὶ τοῦ εἴθε, καὶ ὅτι ἐκ τοῦ εἴθε γέγονε τροπῇ τοῦ ε̄ εἰς ᾱ. 969, 6. 1648, 7.

αἴθεσθαι τὸ καίεσθαι καὶ τὸ φωτὶ καταλάμπεσθαι. 249, 22. 1193, 23.

Αἴθη, ὄνομα ἵππου θηλείας πυῤῥᾶς, αἴθωνος. 1314, 15.

αἰθὴρ ἀντὶ τοῦ ἀὴρ ἐν τῷ, λάβρον ἐπαιγίζοντα δι' αἰθέρος, Ὀδυσσ. ο', 293. 1781, 50.

αἰθὴρ ἐπὶ αἰθρίας καὶ καθαροῦ καὶ ἀνεφέλου ἀέρος παρ' Ὁμήρῳ, ἀὴρ δὲ ἡ ἀορασία καὶ σκότωσις. 1110, 23.

αἰθὴρ ἡ ἄνω κυκλοφορία, Ὄλυμπος δὲ τὸ ὄρος, οὐρανὸς δὲ ὁ λιμνάζων ἀὴρ καὶ παχὺς ἐν τῷ, ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω αἰθέρος ἐκ δίης, Ἰλιάδ. π', 364 sq. καὶ ὅτι θηλυκῶς λέγεται ἡ αἰθήρ. 1064, 25.

αἰθὴρ ἡ περὶ ἀέρα λαμπρότης ἐν τῷ, οὐρανόθεν ὑπεῤῥάγη ἄσπετος αἰθήρ, Ἰλιάδ. θ', 558. 1060, 51.

αἰθὴρ ὁ ὑψηλότατος καὶ φωτὶ λαμπόμενος ἀήρ. 729, 34. 1110, 23.

αἰθὴρ ὅτι καὶ θηλυκῶς λέγεται. 426, 29. 1064, 25.

αἰθὴρ ὅτι παρὰ τὸ αἴθειν, ὅ ἐστι καίειν καὶ λάμπειν, ἢ παρὰ τὸ ἀεὶ θέειν. 697, 13. 982, 34.

Αἰθίοψ Ζεὺς ἐπιθετικῶς λέγεται διὰ τὸ ἐν Αἰθιοπίᾳ ἐξαιρέτως τιμᾶσθαι, ἢ παρὰ τὸ αἴθω, ὅ ἐστι λάμπω, διὰ τὸ εἰς αἰθέρα ἀλληγορεῖσθαι. 1385, 61.

Αἰθίοψ ὅτι ἐκ τοῦ αἴθω καὶ τοῦ ὄπτω ὄψω σύγκειται καὶ δηλοῖ τὸν ἐπικεκαυμένον τὴν ὄψιν ἐτυμολογικῶς. 135, 35. 1389, 6.

Αἰθίοψ, τὸ θηλυκὸν Αἰθιόπισσα ἰδιωτικῶς, δοκιμώτερον δὲ περιφραστικῶς λέγειν ἡ ἐξ Αἰθιόπων. 1484, 47.

Αἰθίοψ φωνὴ καὶ Αἰθίοψ γυνὴ ἡ Αἰθιοπικὴ ἐπιθετικῶς παρ' Αἰσχύλῳ. 1484, 48.

Αἰθίοπες ἔθνος ὅτι παρὰ τὸ αἴθω λέγονται, καὶ πῶς δίχα μεμερίσθαι τοὺς Αἰθίοπας Ὅμηρος λέγει, καὶ περὶ τῆς τοποθεσίας τῆς Αἰθιοπικῆς χώρας ἑρμηνεία διεξοδικωτάτη. 1386, 2. 5. 15-35.

Αἰθίοπες ἑστιῶντες τὸν Δία σὺν τοῖς θεοῖς δώδεκα ἡμέρας, ἱστορία καὶ ἀλληγορία. 128, 8.

Αἰθιόπισσα ἰδιωτικῶς ἡ ἐξ Αἰθιόπων γυνή. 1484, 47.

Αἰθιοπία χώρα, ὅτι Αἰθιοπία καλεῖται πάντα τὰ μεσημβρινὰ μέρη ἀπὸ ἀνατολῶν χειμερινῶν μέχρι δυσμῶν, ἄλλοι δὲ ὅτι τὰ πρὸς Αἰγύπτῳ τῆς Λιβύης ἔσχατα Βόρεια, καὶ πῶς τοὺς Αἰθίοπας δίχα μεμερίσθαι ὁ Ὅμηρος λέγει, καὶ ἑρμηνεία διεξοδικωτάτη τῆς τοποθεσίας τῆς Αἰθιοπικῆς χώρας. 1386, 2. 5. 15—35.

αἰθόμεναι δᾶδες αἱ ἅμα τῷ καίεσθαι ἀναλάμπουσαι. 1571, 24.

αἰθόμενον πῦρ ἐπιθετικῶς ὅτι πρὸς διαστολὴν λέγεται τοῦ μὴ τοιούτου. 729, 63.

αἰθόμενα ἱερὰ πρὸς διαστολὴν τῶν μήπω αἰθομένων. 883, 62.

αἰθὸς ὁ ἀπηνθρακωμένος παρὰ τῷ κωμικῷ. 1314, 15.

αἴθουσα ἐρίδουπος, ὅτι οὐ δῶμα ἡ αἴθουσα, εἴγε παρὰ τὸ αἴθεσθαι τῷ ἡλίῳ λέγεται, ἐρίδουπος δὲ παρὰ τὸν ἐκ τῶν ἀνέμων δοῦπον. 1890, 25.

αἴθουσα, μέρος τι τῆς οἰκίας οὐχ ὑψηλὸν, ἀλλὰ περίπου τὴν αὐλήν· καὶ αἴθουσαι, αὐλῆς τειχία· καὶ ὅτι ἐρίδουπον τὴν αἴθουσαν ὁ Ὅμηρος λέγει διὰ τὸ ἐκκεῖσθαι ἀνέμοις. 1347, 51. 56.

αἴθουσα, ὅτι τὰς στυλωτὰς ἕδρας αἰθούσας καλεῖ Ὅμηρος Ἰλιάδ. υ', 11. διὰ τὸ αἴθεσθαι, ὅ ἐστι φωτὶ καταλάμπεσθαι. 1193, 22.

αἴθουσα, στοὰ περίστυλος ἡλίῳ αἰθομένη. 764, 44.

αἴθουσα τὸ ἐξωτάτω μέρος τῆς οἰκίας τὸ εὐθὺς μετὰ τὴν αὐλὴν, ὅτι παρὰ τὸ αἴθεσθαι ὑπὸ ἡλίου οὕτω λέγεται, καὶ ὅτι ἐρίδουπος λέγεται ἐπιθετικῶς διὰ τὸ ὑπὸ ἀνέμων καταπνέεσθαι. 1474, 5.

αἴθουσαι ξεσταὶ, ὕπαιθροι στοαὶ ἐκ λίθων ἐξεσμένων πεποιημέναι. 639, 34.

αἴθοψ ὁ θερμὸς ἢ λαμπρὸς ἢ πυῤῥὸς ἢ μέλας, παρὰ τὸ αἴθω. 1854, 63.

αἴθοψ καπνὸς ὁ ἐκ τοῦ αἴθεσθαι τινὰ ὕλην ἀναδιδόμενος. 1652, 19.

αἴθοψ λέγεται εἷς τῶν τοῦ Ἡλίου ἵππων ὁ πεπαίνων τὰς ὀπώρας, ὅθεν καὶ αἴθοψ οἶνος λέγεται. 883, 62.

αἴθοψ οἶνος ὁ οἷον ἐπικεκαυμένος τὴν ὄψιν ἤτοι μέλας ἢ ἐρυθρὸς, ἢ ὁ θερμὸς καὶ ἐκκαίων παρὰ τὸ αἴθω, καὶ ὅτι ἰδίως ὁ μέλας οὕτω λέγεται παρ' Ὁμήρῳ. 135, 34. 741, 42. 862, 10. 1449, 20.

αἴθοψ χροιὰ ἡ μέλαινα. 1409, 21.

Αἴθρα κύριον ὅτι παρὰ τὸ αἴθω λέγεται. 395, 20.

αἴθραχος ἡ καὶ ἀνδράχλη, δηλοῖ δὲ τὸ ἰδιωτικῶς γυναικεῖον ποδαλούριον, ὅτι παρὰ τὸ αἴθειν, ὅ ἐστι λάμπειν, λέγεται. 1571, 25.

αἴθρη ἡ εὐδία, ὅθεν καὶ Βορέας αἰθρηγενέτης λέγεται. 1551, 3.

αἴθρη, λάμψις, εὐδία, αἰθρία, ὅτι ἐκ τῆς αἰθέρος γενικῆς γέγονεν, ὡς ἐκ τῆς γαστέρος γάστρη καὶ πατέρος πάτρη. 1121, 39. 45.

αἰθρηγενέτης Βορέας ὁ αἴθρον, ὅ ἐστι ψῦχος, ποιῶν ἢ ὁ αἰθρίας, ὅ ἐστιν εὐδίας, αἴτιος ἢ ὁ ἐξ αἰθέρος γινόμενος, ὅ ἐστιν ὑψόθεν πνέων. 1538, 34. 1554, 49.

αἰθρηγενὴς καὶ αἰθρηγενέτης Βορέας ἐπιθετικῶς παρὰ τὸ αἶθρον, ὅ ἐστι ψῦχος, γεννᾶν· ζήτει ἐν τῷ αἰθρηγενέτης. 1010, 60.

αἰθρία, εὐδία, καὶ αἴθριον ὅτι παρὰ τὸ αἰθὴρ λέγονται. 1060, 51. 1064, 35. 1385, 64.

αἶθρος ἀρσενικῶς ἡ ἑωθινὴ στίβη, ὅ ἐστι πάχνη καὶ παγετὸς, καὶ τὸ ἐκεῖθεν ψῦχος. 1010, 60. 1534, 59. 1760, 29.

αἴθυια Ἀθηνᾶ ἐπιθετικῶς ἡ φωςφόρος, ὅτι παρὰ τὸ αἴθω λέγεται. 1385, 64.

αἴθυιαι, κορῶναι θαλάσσιαι. 1524, 16.

αἴθυγμα ὅτι παρὰ τὸ αἰθύσσω λέγεται. 472, 45.

αἴθω τὸ καίω καὶ τὸ λάμπω. 249, 23. 357, 11. 692, 13. 739, 62.

αἴθων ἵππος καὶ βοῦς καὶ λέων καὶ ἄνθρωπος ἐπιθετικῶς. 357, 10.

αἴθωνες ἵπποι οἱ μέλανες ἢ εὐκίνητοι ἢ πυῤῥοί. 894, 10.

αἴθων λέων ἐπιθετικῶς, καὶ ὅτι Ἐρυσίχθων τις Αἴθων ἐπωνομάσθη, ἐτυμολογία καὶ ἱστορία. 862, 5.

αἴθων λέων, ὅτι διὰ τὴν θερμότητα ἐπιτίθεται αὐτῷ τὸ αἴθων, ὃ παρὰ τὸ αἴθειν, ὅ ἐστι καίειν, λέγεται. 787, 11. 862, 30.

αἴθωνες λέβητες οἱ αἰθόμενοι, ὅ ἐστι λάμποντες καὶ γεγανωμένοι. 739, 58. 60.

αἴθων σίδηρος ὁ ἀκατέργαστος καὶ ἐπιτήδειος εἰς καῦσιν παρὰ τὸ αἴθω τὸ καίω, ἢ ὁ κατειργασμένος καὶ λαμπρὸς παρὰ τὸ αἴθω τὸ λάμπω, ἢ ὁ ἁπλῶς μέλας. 692, 13. 1409, 19.

αἴθωνες τρίποδες οἱ πυρὶ αἰθόμενοι ἢ οἱ λάμποντες καὶ γεγανωμένοι. 1347, 47.

αἶκα ἀντὶ τοῦ αἴκε τροπῇ Δωρικῇ τοῦ ε̄ εἰς ᾱ. 1573, 63.

αἴκεν ἀντὶ τοῦ ἐάν. 852, 27.

ἀϊκὴ παρὰ τὸ ἀΐσσω ὅτι ὀξύνεται, ὡς παρὰ τὸ φυλάσσω φυλακή. 1039, 15.

αἰκία, οἱονεὶ ἀϊκία, παρὰ τὸ ἀεικὲς, ὃ καὶ διὰ τοῦ ῑ δοκεῖ γράφεσθαι, ζήτει ἐν τῷ ἀϊκῶς. 1272, 27.

αἰκίσασθαί ὅτι ἐκ τοῦ ἀεικίσασθαι γίνεται ἐκβολῇ τοῦ ε̄ καὶ συναιρέσει τοῦ ᾱ καὶ ῑ εἰς αι. 1276, 16.

ἄϊκλον ἐκ τοῦ ἄϊκνον τροπῇ τοῦ ν̄ εἰς λ̄, τὸ δὲ ἄϊκνον ἐκ τοῦ ἱκνεῖσθαι σύγκειται, ζήτει ἐν τῷ ἄϊκνον. 1714, 63. 1715, 1.

αἶκλον καὶ αἶκνον τὸ βρῶμα κατὰ γλῶσσαν. 1141, 11.

ἄϊκνον, εἰς ὅ τις λίαν ἱκνεῖται, ὅτι καὶ ἄϊκλον λέγεται τροπῇ τοῦ ν̄ εἰς λ̄. 1714, 63.

αἶκνον ὅτι ἐκ τοῦ ἄϊκνον συνῄρηται, τὸ δὲ ἄϊκνον ἐκ τοῦ ἱκνεῖσθαι σύγκειται, ζήτει ἐν τῷ ἄϊκνον. 1714, 63.

—αικὸς λήγοντα ἐπίθετα, οἷον Ἀχαικὸς, ἐν ἴσῳ τῷ Ἀχαϊκός. 936, 45.

ἀϊκῶς ὅτι διὰ τοῦ ῑ γράφεται διὰ τὸ μέτρον ἐν τῷ, ἑλκήσουσ' ἀϊκῶς, τὸν δὲ κτεριοῦσιν Ἀχαιοί, Ἰλιάδ. χ', 336. 1272, 24.

αἴλινος ὁ ἐπὶ Λίνῳ τῷ ποιητῇ αἰαγμὸς, ὅ ἐστι θρῆνος, καὶ λίνος ᾠδὴ ἱστουργούντων παρὰ τὸ λίνον. 1164, 6.

αἷμα ἐν ἴσῳ τῷ σπέρμα καὶ γενεὰ ἐν τῷ, ταύτης τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι, Ἰλιάδ. ζ', 211. 637, 37. 1205, 30.

αἷμα σταφυλῆς ὁ οἶνος τροπικῶς. 309, 42.

αἷμα ὕσει πρότερον, παροιμία ἐπὶ ἀδυνάτων. 1895, 38.

αἱμασιὰ ὅτι κυρίως τὸ ἐξ ἀκανθῶν φράγμα, ἁπλῶς δὲ πᾶν περίφραγμα οὕτω λέγεται. 883, 50.

αἱμασιὰ παρὰ τὸ αἱμάσσειν τοὺς μεταχειριζομένους διὰ τὸ ἐξ ἀκανθῶν καὶ βάτων γίνεσθαι, καὶ αἱμασιὰ τὸ ἐκ λεπτῶν λίθων τειχίον. 1959, 41.

αἱμασιὰ, τειχίον ἐκ χαλίκων ὅμοιον φραγμῷ, καὶ ὅτι τῷ αἶμος συστοιχεῖ, ὃ δηλοῖ τὸν δρόμον κατὰ γλῶσσαν, καὶ ὅτι παρὰ τὸ αἱμάσσειν λέγεται διὰ τὸ συνήθως ἐξ ἀκανθῶν γίνεσθαι. 1851, 23. 30. 33.

αἱμασιαὶ, ὅτι καὶ αἱ τῶν ὄφεων καταδύσεις οὕτω λέγονται. 1259, 33.

αἱματοειδῆ ὕδατα τινὰ, ἱστορία. 830, 13.

αἱματόεντα ἤματα ἐπιθετικῶς τὰ κατὰ πόλεμον λέγει Ὅμηρος. 754, 5.

αἱματοπότης, ὅτι οἱ Ἀττικοὶ ἐξέτεινον τὴν παραλήγουσαν τοῦ αἱματοπότης, ὡς καὶ τοῦ ὑδροπότης. 1716, 36.

αἵματος πηγὴ ἀναβλύσασά ποτε παρὰ Συβαρίταις, ἱστορία. 1266, 53.

—αιμεν ληγόντων προπερισπωμένων πρώτων προσώπων εὐκτικῶν καὶ —αιεν τρίτων σχηματισμὸς, οἷον φαῖμεν καὶ φαῖεν. 176, 10.

Αἱμηρὰ, ὅτι οὕτως ἐκλήθη ποτὲ Ἐπίδαυρος ἡ πόλις, ἐτυμολογία. 287, 36.

αἵμνιον, τὸ καὶ ἀμνίον, ἀγγεῖον αἵματος τῶν σφαζομένων ἱερείων δεκτικὸν, παρὰ τὸ αἷμα. 1476, 38.

—αἱμο ἀρχόμενα ὀνόματα ἐκ τῆς αἵματος γενικῆς συγκείμενα ἐκ συγκοπῆς ἔχοντα τὴν μο συλλαβὴν, οἷον αἱματοβαφὴς αἱμοβαφὴς, αἱματόῤῥυτος αἱμόῤῥυτος. 1895, 34.

αἱμύλιοι λόγοι, οἵους ἂν εἴποι τις τῶν πρὸς αἵματος, ἢ οἱ ἁπτόμενοι τοῦ αἵματος, καὶ ὅτι παρὰ τὸ αἱμύλος παράγεται ἡ λέξις, ἑρμηνεία διὰ πολλῶν. 1391, 4.

Αἵμονες, ἔθνος Θεσσαλικόν. 321, 25.

αἶμος ὁ δρόμος παρ' Αἰσχύλῳ, ὅθεν ἴσως ἡ αἱμασιὰ λέγεται, ζήτει ἐν τῷ αἱμασιά. 1851, 27.

αἱμοφόρυκτον τὸ αἱμοβαφὲς, ὅτι ἐκ τοῦ αἱματοφόρυκτον συγκέκοπται, ζήτει ἐν τῷ αἷμα φωνὴ ἐν συνθέσει. 1895, 33.

αἱμόφυρτος ὁ αἵματι πεφυρμένος. 1835, 28.

αἵμων ὁ ἐπιστήμων. 520, 28. 37.

αἱμώνια σῦκα ἐν Πάρῳ τῇ νήσῳ διὰ τὸ ὑπέρυθρον καὶ αἱματοειδὲς τοῦ χρώματος οὕτω κληθέντα. 1964, 7.

—αινα λήγοντα θηλυκὰ ὅτι οὐ μόνον ἀπὸ ληγόντων εἰς ων ὀνομάτων παράγονται, οἷον δράκων δράκαινα, θεράπων θεράπαινα, ἀλλὰ καὶ ἀπὸ ἄλλων καταλήξεων, οἷον λύκος λύκαινα, ὗς ὕαινα, θεὸς θέαινα, ἔτι δὲ καὶ ἀπὸ ῥημάτων, οἷον ἀρύτω ἀρύταινα. 694, 15. 1599, 46.

—αινα λήγοντα θηλυκὰ, ὅτι πολλὰ τῶν διὰ τοῦ αινα θηλυκῶν ἀφορμὴν τῆς παραγωγῆς ἔχουσι τὸ

παραλῆγον ο̄ τῆς γενικῆς τῶν συστοίχων ἀρσενικῶν, ὅ περ τραπὲν εἰς ᾱ καὶ προσλαβὸν τὸ ι ποιεῖ τὰ τοιαῦτα θηλυκὰ, οἷον τέκτων τέκτονος τέκταινα, γείτων γείτονος γείταινα. 1129, 19 — 26.

αἰναρέτης ἐπιθέτου ἑρμηνεία διεξοδική. 1043, 46. 50.

αἰνεῖν τὸ συγκατατίθεσθαι καὶ τὸ ἀναδεύειν κριθὰς ὕδατι φύροντα ὁμωνύμως. 694, 33. 801, 58-802, 3.

Αἰνείου βασιλεία μετὰ τὴν τῆς Τροίας ἅλωσιν καὶ πλοῦς εἰς Σικελίαν, ἱστορία. 1209, 12.

Αἰνελένη ὅτι οὐ διὰ φαυλότητα τοῦ ὀνόματος οὕτω λέγεται παρ' Ὁμήρῳ, ἀλλ' ὅτι αὐτὴ καθ' ἧς τοὔνομα κακῶν τινῶν αἰτία γέγονε. 1863, 26.

αἰνὴ δηιοτὴς, ὅτι κατὰ κοινὸν ἐπίθετον οὕτω λέγεται ἢ πρὸς διαστολήν. 375, 29.

αἴνημι ἀντὶ τοῦ αἰνῶ ἐν τῷ, οὔ μιν ἔγωγε αἴνημι. 1432, 31. 1900, 8.

Αἰνία, πόλις Περῤαιβῶν, ὅθεν οἱ Αἰνιᾶνες ἔθνος. 335, 13.

Αἰνιᾶνες ἔθνος, οἱ καὶ Ἐνιῆνες παρ' Ὁμήρῳ διὰ τοῦ ε̄ ψιλοῦ, καὶ ὅτι ἀναλογώτερον διὰ διφθόγγου γράφεται ἡ λέξις ὡς ἀπὸ Αἰνίας πόλεως, ἧς οἱ πολῖται Αἴνιοι καὶ Αἰνιᾶνες κατὰ παραγωγήν. 335, 11 — 24.

αἴνιγμα ὁ λόχος ὁμωνύμως παρὰ Θηβαίοις διὰ τὸ τοὺς λοχῶντας κρύπτεσθαι καὶ λανθάνειν. 1769, 9.

αἰνίγματος ἀξίωσις, ὅτι δεῖ τὰς ἀξιώσεις τῶν αἰνιγμάτων σιωπᾶσθαι. 1768, 40. 43. 54.

αἰνίζομαι τὸ αἰνίσσομαι, ὅτι παρὰ τὸν αἶνον λέγεται, ὃ δηλοῖ ἀπόκρυφον λόγον. 1330, 42.

αἰνόθεν αἰνῶς, ἀπὸ δεινοῦ δεινῶς καὶ ἐκ δεινῶν δεινοτέρως. 668, 53.

Αἰνόθεν τοπικὸν ἐξ Αἴνου πόλεως, καὶ ποιότητος ἀντὶ τοῦ ἐξ αἰνοῦ πράγματος. 504, 41. 918, 43.

αἰνὸν φωνὴ προτασσομένη ἐν συνθέσει παρ' Ὁμήρῳ, οἷον ἐν τῷ αἰναρέτης, Αἰνόπαρις, Αἰνελένη. 1043, 50.

αἶνος, ὅτι καὶ ἐπὶ τοῦ ἁπλῶς λόγου τίθεται ἡ λέξις, ὅθεν τὸ παραινῶ. 154, 43. 1374, 27.

αἶνος ὁ ἔπαινος παρὰ τὸ ἰαίνειν, καὶ αἶνος ὁμωνύμως ὁ συμβολικὸς λόγος, ὅ ἐστιν αἴνιγμα, παρὰ τὸ αἰνὸν, ὅ ἐστι δεινὸν, ἢ παρὰ τὸ αἰανὸν, ὅ ἐστι σκοτεινὸν, καὶ ὅτι ἡπλωμένη παροιμία ἐστὶν ὁ τοιοῦτος αἶνος, καὶ ὅτι βαρύνεται ἡ λέξις πρὸς διαστολὴν τοῦ αἰνὸς ἐπιθέτου, καὶ Αἶνος κύριον καὶ πόλις οὕτω καλουμένη. 335, 18. 1768, 58. 1769, 4. 11.

αἶνος ὁ μυθώδης καὶ παροιμιώδης καὶ ἀπόκρυφος καὶ ἐσχηματισμένος λόγος, ὃς καὶ γρῖφος καὶ αἴνιγμα λέγεται. 713, 10. 855, 1. 1330, 3.

αἰνὸς ὄνειρος ὁ σκοτεινὸς ἢ ὁ αἰνιγματώδης, παρὰ τὸν αἶνον, ὃ δηλοῖ καὶ τὸ αἴνιγμα. 1878, 7.

αἶνος ἡ συγκατάθεσις. 668, 31. 1755, 12.

αἰνὸς αἰνὴ αἰνὸν καὶ αἰνῶς ἐπίῤῥημα ὅτι ἐκ τοῦ δεινὸς καὶ τῶν συστοίχων γεγόνασι, σχηματισμός. 148, 29. 1648, 7. 1842, 47.

αἴνυμι καὶ αἴνυμαι, ὅτι ἐκ τοῦ ὦ μονοσυλλάβου καὶ δασυνομένου ῥήματος γίνεται αἴω καὶ μετὰ τοῦ ν̄ αἴνω καὶ παραγώγως αἰνύω, ἢ παρὰ τὸ αἱρῶ αἱρύω καὶ τροπῇ αἰνύω, καὶ ὅτι ψιλοῦται ἡ λέξις. 533, 46. 1626, 35. 40.

αἴνυσθαι θυμὸν, ἀφελέσθαι τὴν ψυχήν· τὸ δὲ, τυρῶν αἰνύμενοι, παρ' Ὁμήρῳ Ἀττικῶς πέφρασται· καὶ ὅτι ἐκ τοῦ ἀνύω ἄνυμι γίνεται πλεονασμῷ τοῦ ῑ ἢ ἐκ τοῦ αἴρω τροπῇ τοῦ ῥ εἰς ν̄. 533, 46. 1213, 54.

αἴνυσθαι τὸ ἀφαιρεῖσθαι καὶ τὸ λαμβάνειν ἐν τῷ, ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο, Ὀδυσσ. ξ', 144. 613, 46. 1754, 35.

αινω λήγοντα ῥήματα ἀπὸ οὐδετέρων εἰς ᾱ ληγόντων παρηγμένα, οἷον ὄνομα ὀνομαίνω, θαῦμα θαυμαίνω. 1587, 55.

αινω λήγοντα ῥήματα, ὅτι τῶν διὰ τοῦ αινω τινὰ μὲν ἐκ μονοσυλλάβων ῥημάτων παράγονται, οἷον βῶ βαίνω, ῥῶ ῥαίνω, τινὰ δὲ ἐκ δισυλλάβων, οἷον ἀλῶ ἀλαίνω, ὀργῶ ὀργαίνω. 792, 31. 1514, 33. 1603, 11. 1655, 40.

αἰνῶς ἀντὶ τοῦ λίαν μεταληπτικῶς. 397, 31. 943, 5.

αἴξ ὅτι παρὰ τὸ ἀΐσσειν λέγεται, καὶ ὅτι ἐκ συναιρέσεως ἔχει τὴν δίφθογγον, καὶ ὅτι κοινόν ἐστι τῷ γένει τοὔνομα, παρὰ δὲ τοῖς Ἀττικοῖς ἀρσενικῶς λέγεται. 36, 20. 321, 46. 450, 35. 1015, 53.

αιξ, ὅτι δύο μόνα ὀνόματα εἰς αιξ λήγουσι τὸ αἴξ καὶ Θρᾷξ, τὸ δὲ γύναιξ ἔμφασιν μόνον ἔχει τοιαύτης καταλήξεως ἀπὸ τῶν πλαγίων. 1922, 9.

αἴξ οὐρανία ἡ μεγάλη καὶ ὑψηλὴ, καὶ, αἴξ οὐρανία, παροιμία ἐπὶ τῶν δωροδοκούντων. 917, 49. 1753, 23.

Αἰξωνεῖς δῆμος τῆς Ἀττικῆς, καὶ Αἰξωνεύεσθαι τὸ πονηρεύεσθαι. 741, 24.

Αἴξων κύριον, ἀφ' οὗ καὶ Αἰξωνεῖς δῆμος τῆς Ἀττικῆς, ὅτι παρὰ τὸ ἀΐσσω ἀΐξω λέγεται. 1591, 23.

αϊξ λήγοντα σύνθετα ἐκ τοῦ ἀΐσσω ῥήματος, οἷον κορυθάϊξ, πολυάϊξ. 1039, 10.

ἀΐξασα ὅτι ἐκτείνει τὴν ἄρχουσαν ἐν τῷ, Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο, Ἰλιάδ. ξ', 225. τ', 114. 1175, 33.

Αἴολος κύριον προπαροξυτόνως, αἰόλος δὲ ἐπίθετον, ὅ ἐστι ποικίλος, παροξυτόνως. 631, 32. 1681, 3.

Αἴολος κύριον, ὅτι τρεῖς Αἴολοι ἱστοροῦνται, ὁ μὲν Ἕλληνος τοῦ Δευκαλίωνος, ἀφ' οὗ Αἰολεῖς τὸ ἔθνος, ὁ δὲ Ἱππότου καὶ Μελανίππης, περὶ οὗ Ὅμηρος Ὀδυσσ. κ', 2. ὁ δὲ τρίτος Ποσειδῶνος καὶ Ἄρνης. 1644, 5.

Αἴολος ἀνέμων ταμίας καὶ τὰ κατ' αὐτὸν πάντα ὑφ' Ὁμήρου λεγόμενα, Ὀδυσσ. κ'. ὅτι εἰς τὰ κατὰ τὸν ἐνιαυτὸν γινόμενα ἀλληγοροῦνται, καὶ διασκευὴ διεξοδικὴ τῶν ἀλληγορουμένων, καὶ ὅτι διὰ τὸ προγνωστικὸς ἀνέμων πνοῆς γεγονέναι ἀνέμων ταμίας ἐμυθεύθη ὁ Αἴολος. 1644, 61. 1645, 47.

Αἰόλου νῆσοι, ὅτι ἑπτά τινες νῆσοι πρὸς τῇ Σικελίᾳ οὕτω κα-

λοῦνται, καὶ ἔκθεσις τῶν ὀνομάτων αὐτῶν. 1644, 32.

Αἰολεῖς ὅτι βαρυντικοὶ εἰσὶ τῶν λέξεων. 265, 16.

Αἰολεῖς ἔθνος ὅτι ἀπὸ Αἰόλου τοῦ Ἕλληνος οὕτως ἐκλήθη, καὶ ὅτι πλάτος ἔσχε ποτὲ τὸ Αἰολικὸν ἔθνος, Αἰόλου καταδραμόντος τὴν Θετταλίαν καὶ πάντας ποιήσαντος Αἰολεῖς κληθῆναι. 1644, 16. 25.

Αἰολεῖς ὅτι βαρυντικοί εἰσι τῶν λέξεων καὶ προπαροξυντικοὶ καὶ ψιλωτικοὶ καὶ συγκοπτικοὶ καὶ ἀποκοπτικοί, καὶ ὅτι καὶ διπλασιάζουσι τὰ σύμφωνα. 27, 38. 75, 36. 187, 27. 494, 2. 518, 37.

Αἰόλειοι νῆσοι αἱ τοῦ Αἰόλου, Αἰολίδες δὲ αἱ τῶν Αἰολέων. 1644, 43.

Αἰολία, νῆσος Αἰόλου, ὅτι διὰ διφθόγγου ὤφειλε γράφεσθαι ὡς κτητικόν, γράφεται δὲ διὰ τοῦ ῑ πρὸς μέτρον χρείαν. 1463, 40. 1644, 30.

Αἰολὶς ἢ Αἰολία μία τῶν Αἰόλου νήσων, κυριωνυμικῶς οὕτω καλουμένη διὰ τὸ ἐν αὐτῇ ἴσως εἶναι τὸ Αἰόλου βασίλειον. 1644, 33.

Αἰολικὴ διάλεκτος ὅτι ἐπικοινωνεῖ τῇ Δωρικῇ. 8, 41.

αἰόλος ἄνθρωπος ἐπιθετικῶς ὁ ποικίλος καὶ πανοῦργος. 1645, 5.

αἰόλος ὁ ποικίλος καὶ ὁ ταχύς, καὶ εἶδός τι σκάρου ὁμωνύμως. 1644, 12.

αἰόλος οἶστρος ὁ ποικίλος καὶ εὐκίνητος ἢ ὁ τοῦ αἰόλλεσθαι, ὅ ἐστι κινεῖσθαι, τὰ ζῷα αἴτιος. 1928, 18.

αἰόλος πόδας ἵππος ἐν ἴσῳ τῷ πόδαργος, ὅ ἐστι ταχύς. 1191, 23.

αἰόλοι τὰ μέσα λέγονται οἱ σφῆκες παρ' Ὁμήρῳ ἐπιθετικῶς ὡς εὐκίνητοι ἢ ποικίλοι. 897, 62.

αἰόλη κόρυς, ποικίλη περικεφαλαία. 352, 29.

αἰόλη νὺξ διὰ τὴν ἐκ τῶν ἄστρων ποικιλίαν καὶ δι' ἄλλα τινά. 814, 23.

αἰόλον σάκος τὸ πεποικιλμένον ἢ παρὰ τὸ αἰόλλειν, ὅ ἐστι κινεῖν. 678, 27.

αἰόλον τὸ ταχύ, παρὰ τὸ αἰόλλω τὸ κινῶ. 352, 30.

αἰολόπωλοι Φρύγες ἐπιθετικῶς, καὶ ἐτυμολογία τῆς αἰολόπωλοι φωνῆς. 403, 11.

αἰολοχαίτης ὁ ποικίλας ἔχων τρίχας. 1645, 5.

αἰόλλω τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ. 352, 31. 403, 12.

αἰόλλειν τὸ ἁπλῶς κινεῖν, καὶ τὸ κατ' εἴλησιν καὶ ποικίλως καὶ πυκνῶς καὶ ταχέως στρέφειν καὶ κινεῖν. 1881, 54.

ἄϊον, ἤγουν ἀπέπνεον ἢ κατὰ ψυχὴν ᾐσθανόμην, ἐκ τοῦ ἄω. 1014, 55.

—— αιον λήγοντα οὐδέτερα παρώνυμα προπαροξυνόμενα, οἷον Σκύλλαιον, Νύμφαιον, Ἀθήναιον, Τύχαιον· καὶ ὅτι τινὰ τῶν τοιούτων, ὧν τὰ σύστοιχα ἀρσενικὰ προπερισπῶνται, ὅμως αὐτὰ προπαροξύνονται, οἷον Ἑρμαῖος Ἕρμαιον τροπαῖος τρόπαιον. 1809, 45. 49.

—— αιος λήγοντα ὀνόματα προπερισπώμενα, ὧν τὰ σύστοιχα οὐδέτερα προπαροξύνονται, οἷον Ἑρμαῖος Ἕρμαιον, ὀγκαῖος ὄγκαιον, τροπαῖος τρόπαιον. 1809, 45.

—— αιος λήγοντα προπερισπώμενα ἐκ πλεονασμοῦ ἔχοντα τὸ ι ἐν τῇ προπαραληγούσῃ, οἷον μναϊαῖος, καμινιαῖος, ταλαντιαῖος. 1878, 60.

—— αιος ληγόντων καὶ τὴν πρώτην συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν ἐχόντων προσῳδία, οἷον χερσαῖος, ὀρφναῖος. 960, 11.

αἰπὰ ῥέεθρα ὅτι ἐκ τῆς τὸ αἰπὸν εὐθείας κεκίνηται ἢ ἐκ τοῦ αἰπέα συγκέκοπται. 718, 38.

αἰπὰ ῥέεθρα τὰ δύσβατα, ὅτι συστέλλει τὴν λήγουσαν ὡς ἐκ τοῦ αἰπέα συγκοπέν. 1220, 28.

αἰπα ῥέεθρα τὰ ὑψηλά, τουτέστι βαθέα. 1219, 30.

αἰπὰ ῥέεθρα ἀντὶ τοῦ δεινὰ καὶ χαλεπὰ μεταληπτικῶς. 1126, 5. 1677, 39.

Αἴπεια, ὄνομα πόλεως, παρὰ τὸ αἰπεῖα εἶναι, ὅ ἐστιν ἐφ' ὑψηλοῦ ἱδρύσθαι, καὶ ὅτι προπαροξύνεται πρὸς διαστολὴν τοῦ ἐπιθέτου, καὶ ὅτι πολλαί τινες Αἴπειαι. 743, 21. 27.

αἰπεινὴ Ἴλιος ἡ ὑψηλὴ ἢ ἡ χαλεπή τισι γενομένη. 760, 33.

αἰπὸς αἰπὴ αἰπόν, ὑψηλὸς ὑψηλὴ ὑψηλόν. 951, 8.

αἰπὸν οὐδέτερον σύστοιχον τοῦ αἰπὴ θηλυκοῦ. 718, 40.

αἰπόλος αἰγῶν, ὅτι ἐκ περισσοῦ πρόσκειται τὸ αἰγῶν. 1867, 27.

αἰπόλος, οἱονεὶ αἰγοπόλος ἢ αἰποπόλος ἤγουν περὶ τὰ ὕψη πολῶν. 472, 25.

αἰπόλιον αἰγῶν κυριολεκτικῶς λέγεται. 257. 25. 27.

Αἰπὺ ἢ Αἶπυ, πόλις τις οὕτω καλουμένη, προσῳδία καὶ ἐτυμολογία. 297, 13.

αἰπὺς ὁ ὑψηλὸς καὶ χαλεπός, ἐκ τοῦ α ἐπιτατικοῦ καὶ τοῦ ἰπῶ, ὅ ἐστι βλάπτω. 16, 44.

αἰπὺς βρόχος ὁ ὑψόθεν ἐκδεδεμένος εἰς ἀγχόνην ἐν τῷ, ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου, Ὀδυσσ. λ', 278. 1684, 43.

Αἴπυτος ἀρχαῖος ἥρως Ἀρκὰς ὑπὸ Κυλλήνῃ τῷ ὄρει ταφείς. 301, 4.

Αἰπύτιος τύμβος ὁ Αἰπύτου τάφος, τὸ τι ἰῶτα. 301, 4.

αἶρα ἡ σφύρα, παρὰ τὸ ῥαίω, ὅ ἐστι φθείρω, κατὰ μετάθεσιν, καὶ εἶδός τι σπέρματος ὁμωνύμως. 1648, 9.

αἴρειν ὅτι παρὰ τὸ ἀείρειν λέγεται. 1734, 11.

αἴρειν, ὅτι τὸ αἴρειν ἀπὸ χθονὸς ἀγκάζεσθαι λέγει Ὅμηρος, καὶ ὅτι ὕψωσιν καὶ ὄγκον σημαίνει. 807, 20. 1124, 39.

αἱρεῖν ὅτι καὶ θηρατικὴ λέξις ἐστί. 433, 31.

αἴρεσθαι μισθὸν τὸ μισθαρνεῖν ἐν τῷ, ἀεικέα μισθὸν ἄρηται, Ἰλιάδ. μ', 435. 912, 62.

αἱρεῖσθαι ἀντὶ τοῦ λαμβάνειν ἐν τῷ, ἐρχόμενος πόλεμόνδε ἡρεῖτο, Ὀδυσσ. φ', 40. 1899, 31.

αἱρεῖσθαι ἀντὶ τοῦ λαμβάνειν παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον τὸ προκρῖναι καὶ ἐπιλέξασθαι. 800, 63. 1450, 24.

αἱρεσιαρχεῖν ὅτι ἐκ τοῦ ἀρχαιρεσιάζειν παραπεποίηται. 1490, 15.

αιρω ληγόντων ῥημάτων παραγωγὴ ἀπὸ περισπωμένων, οἷον σπῶ σπαίρω, κερῶ κεραίρω. 746, 49.

ἄϊρος, ὁ λίαν πτωχὸς παρὰ τοῖς ὑπὲρ Σινώπην βαρβάροις ἐπὶ Εὐσταθίου, ὅτι ἐκ τοῦ παρ' Ὁμήρῳ Ἴρου ἴσως λέγεται. 1834, 45.

Ἄϊρος ἐν τῷ, Ἶρος Ἄϊρος,

Ὀδυσσ. σ', 73. ἀντὶ τοῦ Κακόϊρος, ἢ ὁ μηκέτι ἐσόμενος Ἶρος ἀλλὰ τεθνηξόμενος. 1837, 61.

ἀΐσσω ὅτι ἐκ τοῦ ἄω τὸ πνέω παρῆκται, καὶ ἀΐσσω ἐν ἴσῳ τῷ σπεύδω, καὶ ὅτι ἀΐσσειν λέγεταί τις ῥαδίως ἀπιὼν παρ' Ὁμήρῳ. 592, 32. 701, 13. 920, 48. 1296, 21.

ἀΐσσειν σκήπτροις λέγονται δικασταί τινες παρ' Ὁμήρῳ ὡς τοῖς λόγοις τὰ σκῆπτρα συνδιαφέροντες, ἢ ἀΐσσειν ἀντὶ ἀνίστασθαι. 1158, 5. 29.

ἀΐσθω τὸ ἀποπνέω ἐν τῷ, θυμὸν ἄϊσθων, Ἰλιάδ. π', 468. παρὰ τὸ ἄω τὸ πνέω, ἢ ἀντὶ τοῦ αἰσθάνομαι. 1071, 25. 28. 1214, 31.

αἴσθω τὸ αἰσθάνομαι, ὅτι ἐκ τοῦ ἀΐω ἀΐσω γίνεται ἀΐσθω, ὅθεν τὸ αἴσθω· τὸ δὲ ἀΐω παρὰ τὸ ἄω, ὃ δηλοῖ τὸ πνέω. 1014, 57. 1037, 37. 1071, 26.

αἶσα ὁ τοῦ παντὸς λόγος εἴτουν ἡ εἱμαρμένη, καὶ αἶσα τὸ καθῆκον εἴτουν προσῆκον, καὶ αἶσα ἡ μερὶς ὅτι παρὰ τὸ δαίω, ὅ ἐστι μερίζω, λέγεται. 659, 58. 1085, 50. 1200, 13. 1766, 50. 52.

αἶσα ἐλπίδος ἀντὶ τοῦ ἐλπὶς περιφραστικῶς. 1855, 60.

αἶσα τὸ πεπρωμένον καὶ τὸ καθῆκον, καὶ ἐν αἴσῃ τοιᾷδε τετάχθαι ἤγουν ἐν τοιᾷδε τάξει εἶναι. 1526, 18.

αἴσιος ὄρνις ὁ εὐτυχής. 805, 12.

αἴσιμος ἀνὴρ καὶ αἰσίμη γυνὴ ἡ τηροῦσα τὸ αἴσιον ἤγουν τὸ καθῆκον καὶ δίκαιον. 1936, 62.

αἴσιμον ἦμαρ τὸ κατ' αἶσαν, ὅ ἐστιν εἱμαρμένην, ἐπιόν. 699, 55.

αἴσιμον τὸ καθῆκον ἐν τῷ, ἀμείνω δ' αἴσιμα πάντα, Ὀδυσσ. η', 310. 1581, 1.

αἴσιμα πίνειν ἤγουν κατὰ τὸ αἴσιον καὶ καθῆκον. 1910, 33.

αἰσιμοῦν τὸ εἰς τὰ αἴσια, ὅ ἐστι καθήκοντα, δαπανᾶν, ἀναισιμοῦν δὲ ἴσως τὸ παρὰ τὸ δέον ἀναλίσκειν. 1595, 8.

ἄϊστος ἄπυστος, ὑφ' ἓν ὁ τελείως ἀφανής, Ὀδυσσ. α', 242. καὶ περὶ οὗ μηδὲν ἴσασί τις μήτε αὐτὸς ἰδὼν μήτ' ἐκ πύστεως μαθών. 1414, 43.

αἴσυλον, ἐφάμαρτον, οἱονεὶ αἰσόσυλον, δι' οὗ συλᾶται τὸ αἴσιον, ἢ τὸ αἴσης, ὅ ἐστι καθήκοντος, σεσυλημένον, ἢ τὸ βλαπτικὸν παρὰ τὸ ἆσαι, ὅ ἐστι βλάψαι, πλεονασμῷ τοῦ ι. 1203, 35. 1443, 4.

αἴσυλον τὸ ἄδικον παρὰ τὸ συλᾶν ἢ παρὰ τὸ ἆσαι, ὅ ἐστι βλάψαι, τὸ αἴσιον ἤγουν δίκαιον, μάλιστα δὲ παρὰ τὸ ᾱ στερητικὸν καὶ τὸ ἴσον, τὸ ἐστερημένον ἰσότητος. 1233, 9.

αἰσυλοεργὸς ὁ αἴσυλα, ὅ ἐστιν ἄδικα, ἐργαζόμενος. 1233, 10.

Αἰσύμη, πόλις Θρᾳκική. 714, 48.

αἰσυμνᾶν τὸ ἄρχειν καὶ τῶν αἰσίων, ὅ ἐστι δικαίων, μνείαν ποιεῖσθαι. 817, 43. 1353, 50.

αἰσυμνητὴρ, ἄρχων καὶ τῶν αἰσίων μνήμην ποιούμενος. 1353, 50.

αἰσυμνήτης, βραβευτὴς εἴτουν ἀγωνοθέτης, παρὰ τὸ τὰ αἴσια νέμειν τοῖς ἀγωνιζομένοις. 1594, 63.

αἰσυητὴρ, βασιλεὺς ἢ ἀρχικὸς ἄνθρωπος, ἢ νεανίας ἐρρωμένος καὶ ἐντρεχὴς ἢ κόσμιος καὶ ἐπιεικὴς, ἢ νομεὺς εὐκίνητος, διαφόρως ἐτυμολογούμενον. 1353, 49.

Αἰσυήτης, ἥρως Τρωικὸς, ὅτι δοκεῖ παρὰ τὸ αἰσυητὴρ παρῆχθαι, ὃ δηλοῖ βασιλικὸν εἴτουν ἀρχικὸν ἄνθρωπον. 348, 45. 1353, 55.

Αἰσχίνης, ῥήτωρ Μιλήσιος. 313, 11.

αἰσχρὸν ἔπος τὸ αἰσχυντηλὸν καὶ ὑβριστικόν. 1347, 64.

αἰσχρὰ ἔπη, ὀνειδιστικοὶ λόγοι. 379, 32.

αἰσχρολοιχὸς κατὰ σκῶμμα πρὸς ὁμοιότητα τοῦ ματιολοιχός. 518, 42.

αἰσχρορρημοσύνη ταυτὸ ὅ περ αἰσχρολογία. 1490, 17.

αἰσχρία καὶ αἰσχρίασμα, τὸ πρὸς τῇ νυκτὶ μέρος τῆς ἡμέρας, ὅτι παρὰ τὸ αἰσχρὸν λέγεται. 1401, 30.

Αἰσχύλος ὁ ποιητὴς ὅτι ἡττηθείς ποτε τραγῳδίᾳ τῷ Χρόνῳ ἔφη ἀνατιθέναι τραγῳδίαν. 1298, 36.

αἰσχύνη, ὅτι ὁ ἀρετῆς ἐκπεσὼν, εἶτα ἐντραπεὶς αἰσχύνην παθεῖν λέγεται. 1754, 47.

αἰσχύνη ἐν ἴσῳ τῷ αἰδὼς ἐν τῷ, δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ, παρὰ Σοφοκλεῖ. (Αj. 1079.) 111, 33. 399, 35. 667, 47. 1036, 13.

αἰσχύνειν ὅτι ἀντίκειται τῷ καλλύνειν. 1128, 60. 1257, 49.

αἰσχύνειν καὶ καταισχύνειν τις γένος λέγεται, ὅτε κατ' ἀρετὴν ἀνόμοιος τοῖς προγόνοις καὶ ἁπλῶς ἀνόμοιος ἐκβαίη. 1969, 15.

αἰσχύνειν τινὰ τὸ κακίᾳ τινὶ ἔνοχον ἀποδεῖξαι. implicite. 1316, 49.

αἰσχύνειν νεκρὸν τὸ τῆς κατὰ τὸ σῶμα ὁλότητος κολοβοῦν. 1136, 63.

αἰσχύνεσθαι ὅτι πρὸς τὸ νεμεσᾶν λέγεται. 646, 62.

Αἴσωπος, ὅτι παρὰ τὸ αἴθω αἴσω παρῆκται τοὔνομα. 1389, 7.

Αἰσώπειος φόρτος παροιμιακὸν, ἱστορία περὶ Αἰσώπου τοῦ μυθοποιοῦ. 1927, 7.

αιτερος λήγοντα συγκριτικὰ καὶ αιτατος ὑπερθετικὰ ἐκ τῶν διὰ τοῦ οτερος καὶ οτατος τροπῇ τοῦ ο εἰς ᾱ καὶ προσλήψει τοῦ ι γενόμενα, οἷον μυχὸς μυχότατος καὶ μυχαίτατος, μέσος μεσαίτερος, φίλος φιλαίτερος. 1905, 35.

αιτερος καὶ αιτατος ληγόντων συγκριτικῶν τινῶν καὶ ὑπερθετικῶν κατάλογος. 1441, 28.

αἴτημι ἀντὶ τοῦ αἰτῶ παρὰ Πινδάρῳ. 1490, 37.

αἰτεῖν τὸ μὴ χρεωστούμενον, ἀπαιτεῖν δὲ τὸ χρεωστούμενον. 1434, 60.

ἀΐτης ὁ ἐρώμενος, ὅτι παρὰ τὸ ἄω, ὃ δηλοῖ τὸ πνέω, λέγεται καὶ ὅτι καὶ διὰ διφθόγγου γράφεται κατὰ τὴν παραλήγουσαν. 1547, 20.

ἀΐτης ὁ ἐρώμενος διὰ τοῦ ι παρὰ τὸ ἄω, ὅ ἐστι πνέω, ὁ εἰσπνέων τῷ ἔρωτι τὸν ἐραστὴν, καὶ ἀΐτης ὁ ἁπλῶς φίλος· καὶ ὅτι φαύλως τινὲς διὰ διφθόγγου γράφουσι κατὰ τὴν παραλήγουσαν. 732, 24. 1300, 55. 1500, 29.

αἴτης ὅτι ἐκ τοῦ ᾱ ἐπιτατικοῦ καὶ τοῦ τῶ, ὅ ἐστι λαμβάνω, σύγκειται. 980, 7.

αἴτιος ἀπολελυμένως, καὶ αἴτιος τοῦδε τινός. 398, 30.

αἴτιος ὁ ὑπὸ αἰτίασιν καὶ μέμψιν, τουτέστιν αἰτιατέος, πολλαχοῦ παρ' Ὁμήρῳ. 70, 14. 1599, 14.

αἴτιος ὁ τὴν αἰτίαν τοῦ γινομένου

ἔχων, καὶ ὅτι καὶ ἐπὶ ὑπευθύνου καὶ κολάσεως ἀξίου τίθεται. 1422, 27.

αἴτια πόῤῥω ἀπέχοντα τοῦ αἰτιατοῦ, καὶ αἰτίων τινῶν πόῤῥω ἀπεχόντων τῶν αἰτιατῶν ἔκθεσις. 22, 17.

αἰτιολογικῶν μορίων ἐπαλληλία ἐν τῷ, ὄφρα μὴ οἶος ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικε, λεύσετε γὰρ τόγε πάντες, Ἰλιάδ. α΄, 118. sqq. 64, 3.

αἰτιατικὴ καθ᾽ αὑτὴν τὴν εἰς τόπον κίνησιν δηλοῦσα ἐν τῷ, ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος, Ἰλιάδ. α΄, 322. 110, 45.

αἰτιατικαὶ ἀποκοπὴν παθοῦσαι, οἷον Ζῆν ἀντὶ τοῦ Ζῆνα καὶ ἰχῶρ ἀντὶ τοῦ ἰχῶρα καὶ κυκεῶ ἀντὶ τοῦ κυκεῶνα. 566, 31. 984, 20.

αἰτιατικαὶ ὀνομάτων τῆς τρίτης τῶν συνῃρημένων εἰς η λήγουσαι ἰσοσυλλάβως τῇ εὐθείᾳ κατὰ ἀποκοπὴν γενόμεναι, οἷον Μηκιστῆα Μηκιστῆ, Τυδῆα Τυδῆ. 1018, 64.

αἰτιατικαὶ δύο οὐσιώδεις ἀσυνδέτως ἀλλήλων ἐχόμεναι, ὧν ἡ μὲν τὸ ὅλον, ἡ δὲ τὸ μέρος σημαίνει, οἷον ἐν τῷ, Ἕκτορα δ᾽ αἰνὸν ἄχος πύκασε φρένας. 93, 24.

αἰτιατικαὶ δύο οὐσιαστικαὶ, ὧν μία ἤτοι ἀντὶ ἐπιθετικῆς αἰτιατικῆς λαμβάνεται ἢ ἀντὶ γενικῆς, ἐφ᾽ ἣν μεταβαίνει ἡ λοιπὴ αἰτιατικὴ, οἷον ἐν τῷ, γυναῖκα τεθήσατο μαζὸν, ἀντὶ τοῦ γυναικεῖον ἢ ἀντὶ τοῦ γυναικὸς μαζόν. 1339, 6.

αἰτιατικαὶ πρὸ ἀπαρεμφάτου ἢ μετ᾽ ἀπαρέμφατον ὅτι ἀμφίβολον ἔννοιαν ἀποτελοῦσι. 753, 1.

αἰτιατικαὶ ἐπιῤῥηματικῶς λαμβανόμεναι, οἷον γαλήνην ἀντὶ τοῦ γαληνῶς καὶ ἀληθείην ἀντὶ τοῦ ἀληθῶς. 1581, 42.

αἰτιατικαὶ μεταπεπλασμέναι, οἷον ἰῶκα ἐκ τοῦ ἰωκὴν καὶ κρόκα ἐκ τοῦ κρόκην. 549, 12.

Αἴτνη, ὄρος Σικελικὸν πυρικαές. 345, 36.

αἶτος τὸ ἐνδιαίτημα, Πίνδαρος δὲ ἐπὶ ἄλσους. 381, 26. 907, 61.

Αἰτωλὸς κύριον, ἀφ᾽ οὗ Αἰτωλία ἡ χώρα, ἱστορία. 311, 13. 928, 22.

Αἰτωλὸς ὅτι ἐπαίτην αἰνίττεται παρὰ τὸ αἰτεῖν, ὅθεν παρ᾽ Ἀριστοφάνει (Eq. 79.) ἐν Αἰτωλοῖς ἔχειν τὼ χεῖρε λέγεταί τις. 1420, 9. 1764, 31.

Αἰτώλιος ἐθνικὸν ἐν ἴσῳ τῷ Αἰτωλός. 772, 9.

Αἰτωλοὶ κατάχρεοι γενόμενοι διὰ τοὺς πολέμους καὶ τὴν τρυφὴν, καὶ ὅτι σφενδονῆται ἄριστοι οἱ Αἰτωλοὶ ἱστοροῦνται. 311, 18. 1321, 7.

αἰχμὴ κυρίως ἡ τοῦ σιδήρου ὀξύτης ἐν δόρατι, ὅθεν καὶ αἰχμὴ ἀγκίστρου ἡ τοῦ στόματος αὐτοῦ ὀξύτης. 944, 23. 980, 14. 1213, 40.

αἰχμὴ ἡ ἐπιδορατὶς εἴτουν ὁ ἐστομωμένος σίδηρος τοῦ δόρατος, καὶ ὅτι αἰχμὴ ἔγχους ἐντελῶς λέγεται, αἰχμὴ δὲ κατὰ μόνας ἀτελῶς. 726, 14. 1062, 22.

αἰχμὴ, ἐτυμολογία καὶ σχηματισμὸς, καὶ ὅτι ἀπὸ μέρους τὸ ὅλον δόρυ λέγεται. 243, 9. 422, 46 — 423, 4. 672, 13.

αἰχμὴ κακῶς ἑστηκέναι τινὶ πρός τινα λέγεται, ὅταν τις δυστυχῇ κατὰ τὸν πρός τινα πόλεμον. 680, 17.

αἰχμηταὶ ἁπλῶς οἱ στρατιῶται ἀπὸ μέρους ὅπλου τῆς αἰχμῆς. 70, 5.

αἰχμάζειν ἢ αἰχμάσσειν ὅτι παρὰ τὴν αἰχμὴν λέγεται. 1292, 19.

αἶψα, ταχὺ καὶ ὡς εἰπεῖν συναπτῶς, ἐκ τοῦ ἅπτω ἅψω ἅψα καὶ αἶψα. 648, 47. 1107, 39.

αἰψηλὸς ἐκ τοῦ λαιψηρὸς ἀποβολῇ τοῦ λ. 756, 28.

αἰψηρὴ ἀγορὰ ὅτι οὐκ ἐπιθετικῶς ἀλλ᾽ ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ταχέως λέγεται ἐν τῷ, λῦσε δ᾽ ἀγορὴν αἰψηρὴν, παρ᾽ Ὁμήρῳ. 1444, 12.

αἴψιον Δωρικῶς ἀντὶ τοῦ αἶψα. 1643, 32.

ἀΐω τὸ ἀκούω, ὅτι παρὰ τὸ ἄω, ὃ δηλοῖ τὸ πνέω, παρῆκται. 1296, 22.

—αιω λήγοντα ῥήματα ἀπὸ περισπωμένων παρηγμένα, οἷον ἀγῶ ἀγαίω, κερῶ κεραίω. 746, 48.

—αιω λήγοντα ῥήματά τινα ἀπὸ ληγόντων εἰς αζω παρηγμένα, οἷον κεδαίω, ἰσαίω, ἀπὸ τοῦ κεδάζω καὶ ἰσάζω. 140, 26.

—αιω λήγοντα ῥήματα ἀπὸ μονοσυλλάβων γενόμενα, οἷον γῶ γαίω, κῶ καίω, μῶ μαίω. 684, 4. 1426, 43. 1905, 27.

—αιων ληγόντων ὀνομάτων τόνος καὶ χρόνος παραληκτικὸς τῶν πλαγίων αὐτῶν. 138, 11.

αἰὼν λέγεται οἱονεὶ ἀεὶ ὤν. 1075, 14.

αἰὼν ἀντὶ τοῦ ζωὴ ἐν τῷ, αὐτὰρ ἐπειδὴ τόνγε λίπῃ ψυχή τε καὶ αἰών, Ἰλιάδ. π΄, 453. 594, 11. 1070, 2.

αἰὼν θηλυκῶς ἡ ἀνθρωπίνη ζωὴ καὶ ὁ κατ᾽ αὐτὴν χρόνος. 1256, 56. 1528, 51.

αἰὼν τὸ μέτρον τῆς ἀνθρωπίνης ζωῆς, καὶ τελευτῆσαι τὸν αἰῶνα τὸ ἀποθανεῖν. 501, 22.

αἰὼν ὅτι δι᾽ ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτῶν ἀριθμεῖται. 226, 46.

αἰώνιος νεκρὸς, ὅτι αἰώνιον νεκρὸν τὸν ἄνθρωπον ἔφη τις. 1201, 17.

αἰώρα καὶ ἐώρα ἡ κρεμάθρα, καὶ ὄνομα γυναικός. 389, 39. 43.

ἀκάθαρτον ἐν ἴσῳ τῷ ἀθεράπευτον ἐνίοτε. 1551, 53.

ἄκαινα, κάμαξ γῆς μετρητικὴ, ἐτυμολογία. 911, 51.

ἀκάκητα Ἑρμῆς ὁ μὴ κακωτικὸς, ὅτι προπαροξύνεται ἡ λέξις. 75, 35. 1053, 55. 60.

ἀκαλαῤῥείτης Ὠκεανὸς ὁ ἀκαλῶς, ὅ ἐστιν ἡσύχως καὶ ἀψόφως, ῥέων. 688, 49. 1009, 30. 1871, 53.

ἀκαλήφη, κνίδη, ὅτι καὶ θαλασσία ἐστὶν ἀκαλήφη, καὶ ὅτι κατ᾽ ἀντίφρασιν λέγεται, ὡς μηδὲν ἀκαλὸν, ὅ ἐστι λεῖον, ἔχουσα κατὰ τὴν ἁφήν. 1009, 29. 1485, 41.

ἀκαλὸν, πρᾶυ, μαλθακὸν, ἄψοφον, ἥσυχον. 1009, 30.

ἀκάμας Ἥλιος ὁ στεῤῥὸς καὶ ἀκοπίαστος κατὰ τὴν περιπόλησιν. 1155, 21.

ἀκάμας ποταμὸς ἐπιθετικῶς ὁ ἀέναος καὶ ὡς εἰπεῖν ἀκάματος, καὶ ἀκάμας Ὠκεανὸς ὁ καὶ αὐτὸς ἀκάματος, καὶ ἀκάματος ἄνθρωπος ὁ ἀνύπεικτος καὶ περὶ πράξεις ἀκμαῖος καὶ ἀνδρικός. 1053, 22. 1155, 27.

ἀκάματον πῦρ τὸ ἐγκρατῶς τῆς ὑποκειμένης ὕλης δραττόμενον,

καὶ μὴ κάμνον μὴ ἐκείνης ἐπιλιπούσης. 514, 9. 1049, 35. 1886, 2.
ἀκάματος καὶ ἀθάνατος ὅτι ἀεὶ ἐκτείνουσι τὸ ἀρκτικὸν ᾱ παρ' Ὁμήρῳ πρὸς μέτρου χρείαν. 142, 26.
ἄκαμπτος δρόμος ὁ μακρὸς καὶ δι' εὐθείας περίπατος. 1328, 23.
ἄκανθαι, ὅτι τὸ, οὐ γὰρ ἄκανθαι, παροιμιακῶς εἰς ὑπόμνημα λέγεται τοῦ πάλαι ἀκανθώδους καὶ δυσκόλου βίου. 1859, 49.
ἀκάνθας ἐπεγείρειν λέγεταί τις θυμούμενος ἐκ μεταφορᾶς τῶν ἰχθύων. 1538, 14.
ἀκανθεὼν, περιεκτικὸν, ἐκ τοῦ ἄκανθαι. 1066, 20.
ἀκάνθινον ἔλαιον, ὅτι ἐξαίρετον ἦν τῷ βασιλεῖ τῶν Περσῶν τὸ ἀκανθίνῳ ἐλαίῳ μετὰ λουτρὸν χρίεσθαι, καὶ ὅτι ἐν Καρμανίᾳ ἐγίνετο. 1500, 2. 1552, 30.
ἀκανθοβόλον λέγεται τὸ ῥόδον, ὡς ἀκάνθης ὂν προβολή. 1295, 16.
Ἀκαρνᾶνες ἔθνος, ἱστορία καὶ ἐτυμολογία τῆς φωνῆς. 282, 5. 771, 42.
ἀκασκᾶ ἐπίῤῥημα ἀντὶ τοῦ ἠρέμα. 668, 28.
ἀκαταθύμιον τὸ μὴ κατὰ ψυχὴν ὄν. 755, 20.
ἀκαταθύμιος, ζήτει ἐν τῷ, ἀπὸ θυμοῦ. 149, 28.
ἄκατος, ποτήριόν τι πλοιοειδὲς οὕτω λεγόμενον ὁμωνύμως. 869, 24. 1632, 27.
ἀκαχείατο, ἤγουν ἤχθοντο, τρίτου προσώπου ὑπερσυντελίκου κανονισμὸς καὶ σχηματισμός. 898, 57. 64.
ἀκαχμένον χαλκῷ δόρυ, τὸ λυποῦν τῇ ὀξύτητι τοῦ σιδήρου, παρὰ τὸ ἀκαχεῖν τὸ ἀκωκὴν ἔχον, ὅ ἐστιν ἐστομωμένον. 1395, 34.
ἀκάχω τὸ λυπῶ, ὅτι καὶ ἀκαχῶ λέγεται περισπωμένως. 898, 61. 1395, 34.
ἀκέανοι τὰ ἐν φακοῖς στρογγύλα καὶ δυσκατακτὰ ὄσπρια, παρὰ τὸ κεάσαι. 1528, 44.
ἀκέραιος, ἁπλοῦς, πραΰθυμος καὶ ἀόργητος, ὅτι παρὰ τὸ μὴ κεραΐζειν οὕτω λέγεται. 364, 30. 1257, 6.
ἀκερσεκόμης ὁ Ἀπόλλων ἐπιθετικῶς, ὁ ἄφθαρτος τὴν κόμην, ὅς οὐκ ἂν καρηκομόων ῥηθείη διὰ τὸ τοῖς ἀνθρώποις ἀπονενεμῆσθαι τὸ ἐπίθετον ἐκεῖνο. 1194, 50. 57.
Ἀκεσαμενὸς κύριον ὅτι ὀξύνεται πρὸς διαστολὴν τῆς ἀκεσάμενος μετοχῆς. 1228, 19.
ἀκεῖσθαι τὸ θεραπεύειν καὶ φιλοκαλεῖν καὶ ἀναῤῥάπτειν, ὅτι καὶ περὶ νεῶν καὶ ἱματίων λέγεται, καὶ ὅτι παρὰ τὸ ἀκὴν, ὅ ἐστιν ἡσύχως, δοκεῖ λέγεσθαι. 923, 6. 1253, 64. 1647, 56. 1764, 60.
ἀκεσταὶ φρένες αἱ εὐδιόρθωτοι. 922, 37.
ἀκέστης ὁ ἰατρὸς κατὰ Φρύγας. 1254, 2.
ἀκέστρια ταὐτὸ ὅπερ ἠπήτρια, ὅ ἐστι ῥάπτρια, καὶ ὅτι ἀκέστριαν οὐκ ἠπήτριαν λεκτέον, καὶ ὅτι καὶ ἀντὶ τοῦ ὑφάντρια τίθεται. 1647, 57. 1764, 60.
ἀκέστριον, τὸ καὶ ἠπητήριον. 1647, 58.
ἀκεσώδυνον φάρμακον τὸ ἄκημα ὀδύνης φέρον. 1022, 30.
ἀκέφαλα ἔπη, καὶ περὶ θεραπείας τοῦ ποδισμοῦ αὐτῶν. 554, 42.
ἀκέφαλος, εἶδος βοτάνης ἀγαθῆς πρὸς τὰ σπληνικὰ πάθη. 894, 25.
ἀκέω ἀκέσω, ὅτι καὶ ἀκήσω ποιεῖ τὸν μέλλοντα. 1074, 20.
ἀκέων ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἡσύχως ἐν τῷ, ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, Ὀδυσσ. φ', 89. ἐκ τοῦ ἀκεόντως ἀποκοπῇ τῆς ἐσχάτης καὶ ἐκτάσει τῆς παραληγούσης. 1888, 42.
ἀκέων φωνὴ καθ' αὑτὴν ἐπιῤῥηματικῶς, ἐπιτιθεμένη δέ τινι μετοχικῶς ἀκουομένη, οἷον ἐν τῷ, Ἀθηναίη ἀκέων ἦν, Ἰλιάδ. δ', 22. 440, 33
ἀκὴ ἡ καὶ ἀκωκὴ, ὅ ἐστιν ἀκμὴ καὶ ὀξύτης τοῦ στομώματος τοῦ σιδήρου. 454, 36. 666, 19. 939, 8. 1085, 64. 1271, 39.
ἀκηδέα ὅπλα τὰ ἠμελημένα. 1853, 26.
ἀκήδεις δεύτερον πρόσωπον παρατατικοῦ ἀπὸ τοῦ ἀκηδῶ θέματος. 1288, 14.
ἀκήδεστος παρὰ τὸν κηδέσω μέλλοντα τοῦ κηδῶ περισπωμένου. 624, 47.
ἀκηδέστως, ἀφροντίστως, ἀνηλεῶς καὶ δίχα τοῦ κήδεσθαι, ὅτι παρὰ τὸν κηδέσω μέλλοντα παρῆκται, καὶ ὅτι καὶ τὸ ἀνενταφιάστως ὁμωνύμως σημαίνει. 717, 1. 1278, 60. 1356, 41.
ἀκηδὴς ὁ ἄφροντις ἢ ἄφοβος ἐν τῷ, οἵ σ' ὠτειλῆς αἷμ' ἀπολιχμήσονται ἀκηδέες, Ἰλιάδ. φ', 123. 1227, 4. 1822, 44.
ἀκηδὴς λέγεται, ὃν οὐκ ἔστι κήδειν ἢ κήδεα ἔχειν, τουτέστιν ὁ ἀβλαβὴς, καὶ ἀκηδὴς ὁ ἀκήδεστος ἤγουν οὗ μηδεὶς κήδεται. 1364, 35. 64.
ἀκηδὴς νεκρὸς ὁ ἀτημέλητος ἢ ὁ ἀκήδευτος. 1956, 51.
ἀκηδῆσαι ἀντὶ τοῦ ἀκηδιάσαι καὶ ἀφροντιστῆσαι. 717, 1. 1308, 32.
ἀκηδία, ἀφροντιστία, παρὰ τὸ κήδω ἢ κηδῶ. 624, 50. 717, 4.
ἀκηδιῶ ὅτι παρὰ τὸ ἀκηδῶ γέγονεν, ὡς παρὰ τὸ μειδῶ τὸ μειδιῶ. 624, 50. 1288, 15.
ἀκήλητος νοῦς ὁ ἀπαθὴς καὶ ἄθελκτος ἢ ἀκατάκλαστος, ἀπὸ τοῦ κλῶ γὰρ καὶ τὸ κηλῶ. 1660, 17.
ἀκήματα, θεραπεύματα, ὅτι παρὰ τὸν ἀκήσω μέλλοντα ἀνάγκη γίνεσθαι τὴν ἄκημα φωνήν. 1074, 20.
ἀκὴν ἔχειν καὶ ἀκὴν γενέσθαι σιωπῇ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ σιωπᾶν, καὶ ὅτι ἐκ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ χαίνειν σύγκειται τὸ ἀκὴν ἐπίῤῥημα τροπῇ Ἰωνικῇ τοῦ χ εἰς κ. 387, 40. 440, 40. 723, 25. 29. 1435, 6.
ἀκηράσιος οἶνος ὁ ἀκέραιος καὶ μὴ διεφθορὼς καὶ ᾧ οὐδεμία ἄση πρόσεστι. 1624, 13.
ἀκήρατα κτήματα τὰ ἀκέραια ἢ τὰ μὴ κειρόμενα πρὸς βίαν καὶ λῃστρικῶς. 1831, 10.
ἀκήρατον ὕδωρ τὸ καθαρὸν καὶ μὴ ἔχον κῆρα τινὰ, κτήματα δὲ ἀκήρατα τὰ ἀκέραια. 1351, 51. 1624, 15.
ἀκήρατος ὁ ἀκέραιος καὶ σῶος, ὅτι ἐκ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ κὴρ καὶ τοῦ ἄτη σύγκειται, ἢ παρὰ τὸ κείρεσθαι κατὰ στέρησιν. 126, 60. 852, 37.
ἀκήριον δέος τὸ κῆρος, ὅ ἐστι ψυχῆς, ἀποστεροῦν. καὶ ὅτι τὸ ἀκήριον διαφέρει τοῦ ἀκηρύσιον. 611, 6. 928, 48. 1624, 15.

ἀκήριος ὁ μὴ ἔχων κῆρ ἤγουν ψυχὴν, τουτέστι νεκρὸς, καὶ ἀκήριος ὁ ἄνισος καὶ ὁ ἀθάνατος καὶ μὴ ὑποκείμενος κηρί. 668, 56. 852, 35.

ἀκήριος ὁ ἀβλαβὴς καὶ μὴ παθὼν κῆρα τινὰ, καὶ ἀκήριος ὁ ἄψυχος κατὰ διάφορον ἐτυμολογίαν. 1715, 56.

ἀκηχέδαται ἤγουν λελύπηνται, ὅτι Ἰωνικῶς ἐσχημάτισται ἡ λέξις. 1570, 1.

ἀκηχεμένη ἀντὶ τοῦ ἀκαχημένη κατὰ χρόνου μετάθεσιν. 557, 12.

ακι λήγοντα ἐπιῤῥήματα ἐκ τῶν διὰ τοῦ ακις γενόμενα κατὰ ἀποβολὴν τοῦ σ, οἷον πολλάκι, πλειστάκι. 122, 6.

ἀκιδνὸς ὁ ἀσθενὴς, παρὰ τὸ αἰκίζειν ἀποβολῇ τοῦ ι, ἀναλογεῖ δὲ τῷ παίζω παιδνός. 1590, 62.

ἀκιδνότερος, ἀσθενέστερος ἢ εὐτελέστερος ἢ ὑπομενετικώτερος, παρὰ τὸ μὴ κίδνασθαι, ὅ ἐστι χωρίζεσθαι καὶ πόῤῥω γίνεσθαι τοῦ ἐπισυμβαίνοντος, ἢ παρὰ τὸ αἰκίζω· ζήτει ἐν τῷ ἀκιδνός. 1530, 45. 1841, 24.

ἄκικυς ὅτι ἐκτείνει τὴν παραλήγουσαν ἐν τῷ, νῦν δέ μ' ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἄκικυς, Ὀδυσσ. ι', 515. 1643, 6.

ακις ληγόντων ἐπιῤῥημάτων παραγωγὴ, οἷον πολλὰ πολλάκις, τοσαῦτα τοσαυτάκις. 349, 19.

Ἄκις ποταμὸς ὅτι παρὰ τὴν τῶν βελῶν ἀκίδα ἔσχε τοὔνομα ὡς ὀξυῤῥόας. 1053, 3.

Ἀκκὼ, ὄνομα γυναικὸς, παροιμιακῶς ἐν ἴσῳ τῷ ἀνόητος. 636, 57.

ἀκλέα αἰτιατικὴ ὅτι ἐκ τοῦ ἀκλεέα συγκέκοπται. 1516, 2.

ἄκλαυτος ὅτι οὐ πάθος δηλοῖ, ἀλλ' ἐνέργειαν ἐν τῷ, οὐδέ σε φημὶ δὴν ἄκλαυτον ἔσεσθαι, ἐπὴν εὖ πάντα πύθηαι, Ὀδυσσ. δ', 494. 1506, 9.

ἄκλαυτος παρ' Ὁμήρῳ, ἄκλαυστος δὲ παρὰ τοῖς ὕστερον. 1673, 17.

ἀκλεὲς ἢ ἀκλέες ἀντὶ τοῦ ἀκλεεῖς ἀπελεύσει τοῦ ι. 67, 38. 669, 1.

ἀκλεὴς λέγεται οὗ μηδαμοῦ κλέος, ὅ ἐστι φήμη, περίεστι. 1414, 44.

ἀκλειὴς ἐκ τοῦ ἀκλεὴς πλεονασμῷ τοῦ ι, καὶ ἀκληὴς τροπῇ τοῦ ε εἰς η. 907, 51.

ἄκληρος ἀντὶ τοῦ ὀλιγόκληρος ἐν τῷ, ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη, Ὀδυσσ. λ', 490. 1695, 37.

ἀκλίτων τινῶν ὀνομάτων κατάλογος, οἷον μῆχος, ἦδος, ὄφελος. 235, 7.

ἀκμὴν τὴν ἀσιτίαν Αἰολεῖς. 1178, 22.

ἀκμηνὸς θάμνος ὁ ἀκμάζων καὶ θάλλων, ἄκμηνος δὲ βαρυτόνως ὁ νῆστις. 1944, 38.

ἄκμηνος, νῆστις, παρὰ τὴν ἀκμὴν, ἢ ὁ οἷον αἴκμηνος ἤγουν χωρὶς ἰκμάδος. 1178, 21.

ἀκμόθετον ὁ τόπος ἔνθα ὁ ἄκμων τίθεται, οἱονεὶ ἀκμονόθετον. 1150, 56.

Ἄκμων ὁ τοῦ Κρόνου πατὴρ, ἐτυμολογία· καὶ Ἄκμων ὁ Ὠκεανὸς διὰ τὸ ἀκάματον αὐτοῦ, καὶ ὅτι Ἄκμονος παῖς ὁ οὐρανὸς εἶναι μυθεύεται, καὶ Ἀκμονίδαι οἱ Οὐρανίδαι. 1150, 58. 1154, 23.

ἄκνηστις τὸ κατὰ μέσα τὰ νῶτα τῶν τετραπόδων μέρος, ὅτι παρὰ τὸ μὴ εἶναι κνήσασθαι οὕτω λέγεται. 1652, 61.

ἄκνηστις λέγεται ἐν τοῖς τετραπόδοις ὁ ἐν τοῖς ἀνθρώποις ἰξὺς, καὶ ὅτι ἐκ τοῦ α καὶ τοῦ κνήσασθαι σύγκειται. 1531, 6.

ἀκοὴ ὅτι παρὰ τὸν ἤκοα μέσον παρακείμενον λέγεται. 1079, 40.

ἀκοίτης, ἀνὴρ σύνευνος. 653, 34.

ἄκοιτις ἡ ὁμόκοιτις, ἢ ἡ μὴ σὺν ἑτέρῳ κοιτασθεῖσα, ἀλλ' ἐκ παρθενίας ληφθεῖσα. 1388, 15.

ἄκολος ὁ μικρότατος ψωμὸς, παρὰ τὸ μὴ κολούεσθαι ἤγουν εἰς μικρὰ τέμνεσθαι, ἢ παρὰ τὸ κόλος, ὃ δηλοῖ την τροφὴν, πλεονασμῷ τοῦ α, καὶ ἄκολος ἡ ἁπλῶς τροφὴ ἢ ἔνθεσις. 1817, 44. 54, 64.

ἀκολουθίαι, καθ' ἃς τὸ ἑπόμενον ἑτεροπροσώπως ἐπάγεται τῷ ἡγουμένῳ, οἷον, μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος, ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλει. 236, 28.

ἀκομιστίη ἡ τῆς κομιδῆς ἤγουν τημελείας στέρησις. 1909, 4.

ἀκόνιτον φάρμακον λέγεται, καθ' οὗ οὐκ ἔστι τι κονῆσαι, ὅ ἐστιν ἐνεργῆσαι. 868, 43.

ἀκοντίζειν ἔγχει καὶ ἀκοντίζειν ἔγχος καὶ ἀκοντίζειν τοῦ δεῖνος ἐλλιπῶς τῆς κατὰ προθέσεως. 944, 20. 995, 30.

ἀκοντίζειν οὐ τὸ τύπτειν ἐκ τοῦ σχεδὸν, ἀλλὰ τὸ ἀφιέναι βέλος κατά τινος. 946, 30.

ἀκοντίων εἰδῶν τινῶν ἔκθεσις. 344, 5—29.

ἀκόρεστος ὅτι παρὰ τὸν κορέσω μέλλοντα. 669, 39.

ἀκόρητος ἀπειλῶν ὁ καυχητὴς ἀλαζὼν ἐν τῷ ἀπειλεῖσθαι, καὶ ἀκόρητος μάχης ὅτι ποτὲ μὲν ἐπὶ ψόγῳ, ποτὲ δὲ ἐπὶ ἐπαίνῳ ἐπιτίθεται παρ' Ὁμήρῳ. 998, 46. 1192, 31.

ἀκόρητος παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ ἀκόρεστος, ἀκόρητον δὲ Ἀττικοὶ τὸ ἀκαλλώπιστον ἀπὸ τοῦ κορήσω μέλλοντος. 669, 39. 908, 51. 951, 41.

ακος λήγοντα ὀξύτονα κτητικὰ ἀπὸ τῶν διὰ τοῦ ιος ἐσχηματισμένα, οἷον Ῥόδιος Ῥοδιακός. 215, 15.

ἄκοσμος ὁ ἄτακτος. 257, 31.

ἀκόσμως ἐν ἴσῳ τῷ ἀτάκτως. 900, 41.

ἀκοσταὶ αἱ τῶν ἵππων τροφαί. 658, 44.

ἀκοστῆσαι λέγεται ἵππος ἤγουν κριθιάσαι, ἀγοστῆσαι δὲ τὸ ῥυπανθῆναι. 658, 43.

ἀκουάζεσθαι δαιτὸς ἀντὶ τοῦ συγκαλεῖσθαι εἰς δαῖτα. 481, 20.

ἀκουάζεσθαι ἐν ἴσῳ τῷ ἀκούειν ἐν τῷ, ἀκουάζεσθε δ' ἀοιδοῦ, Ὀδυσσ. ν', 9. 1730, 61.

ἀκούειν ἤγουν εἰσακούειν τινὶ λέγεται ὁ θεὸς κατὰ δοτικὴν ἀντιπτωτικῶς ἐν τῷ, δύνασαι δέ τε πάντοσ' ἀκούειν ἀνέρι κηδομένῳ, Ἰλιάδ. π', 515. 1073, 51.

ἀκούειν οὔασιν τὸ αὐτήκοον γενέσθαι. 922, 21.

ἀκουὴ ἐν ἴσῳ τῷ ἀκοή. 1079, 38.

ἄκουρος ὁ κούρου, ὅ ἐστιν ἄῤῥενος παιδὸς, ἐστερημένος. 1568, 18.

ἀκράαντον τὸ ἀτελὲς ὅτι παρὰ τὸ κραιαίνω λέγεται, ὡς παρὰ τὸ κραίνω τὸ ἄκραντον. 250, 4. 1878, 6.

ἀκτὴ ὅτι πρὸς τὸ λιμὴν ἀντιδιαστέλλεται ἐν τῷ, λιμέσι τε καὶ ἀκταῖς, Ἰλιάδ. μ', 284. 905, 22.
ἀκτὴν ὅτι κατὰ θηλυκὸν γένος λέγεται ἐν τῷ, Δήμητρος ἀκτὴν, οὐκ ἀρσενικῶς ὡς ὑπέλαβόν τινές. 868, 32. 1450, 23.
ἀκτὶς, ὅτι ὁμώνυμος ἡ φωνὴ, καὶ ἔκθεσις τῶν σημαινομένων αὐτῆς. 823, 25.
Ἀκτορίωνες, Ἄκτορος παῖδες, ὅτι διφυεῖς καὶ συμπεφυκότες τοῖς σώμασι μυθεύονται, καὶ ἄλλα τινὰ περὶ αὐτῶν, ἑρμηνεία διεξοδική. 882, 24. 1321, 19.
Ἄκτωρ, Πατρόκλου πάππος, ὅτι γήμας Αἴγιναν ἔσχεν ἐξ αὐτῆς Μενοίτιον. 113, 2.
ἄκυλος, ὅτι οὕτω λέγεται ὁ τῆς πρίνου καρπός. 1657, 13.
ἀκυρολογία ἐν τῷ, ἀρνῶν ἑκατόμβη, νέκταρ οἰνοχοεῖν, χειρονομεῖν τοῖς σκέλεσι, καὶ τοῖς ὁμοίοις. 1334, 15.
ἀκωκὴ, ἀκὴ, ἀκμὴ, ὀξύτης σιδήρου, καὶ ἀκωκὴ δουρὸς ἡ αἰχμὴ τοῦ δόρατος. 1062, 24. 1271, 39.
ἄκων ἄκοντος μετοχικὸν ὅτι ἐκτείνει τὸ ᾱ ὡς ἐκ τοῦ ἀέκων συναιρεθὲν, ἄκων δὲ τὸ ἀκόντιον παρὰ τὸ ἀκὴ, ὅ ἐστιν ὀξύτης, συστέλλει. 454, 35. 524, 21. 1771, 52.
αλ, τὸ ᾱ πρὸ τοῦ λ̄ ἐπαγομένου τοῦ δ̄ ἢ θ̄ ἢ τ̄ ψιλοῦσθαι φιλεῖ. 1916, 61.
ἀλάβαστρον ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ρ̄, καὶ ὅτι καὶ χωρὶς τοῦ ρ̄ εὕρηται λεγόμενον. 1161, 29.
ἀλάβαστρος ἀρσενικῶς καὶ ἀλάβαστρον οὐδετέρως κατὰ γένους μεταπλασμόν. 946, 53.
ἀλαζονίστατος ἀντὶ τοῦ ἀλαζονικώτατος. 1441, 27.
ἀλαζὼν ὁ ἀπὸ ἄλης ζῶν καὶ ἀγύρτης, ἁπλῶς δὲ ὁ φέναξ καὶ πλάνην τινὰ αὐτοῦ διηγούμενος. 1381, 60. 1783, 38. 1909, 57.
ἄλαινος ποταμὸς ὁ ἐπὶ πολλὴν γῆν πλανώμενος, ζήτει ἐν τῷ ἀλαίνω. 792, 34.
ἀλαίνω ὅτι παρὰ τὸ ἀλῶ, ὅ ἐστι πλανῶ, λέγεται, ὅθεν καὶ ἄλαινος ποταμὸς ὁ ἐπὶ πολλὴν γῆν πλανώμενος. 792, 33.
ἀλαλὴ καὶ Δωρικῶς ἀλαλὰ ὁ στρατιωτικὸς ἀλαλαγμός. 994, 57.
ἀλάλησθαι, ὅτι ἐκ τοῦ ἄλαμαι ὡς ἄγαμαι γίνεται ἄλασθαι καὶ τροπῇ καὶ πλεονασμῷ τῆς αλ̄ συλλαβῆς ἀλάλησθαι προπαροξυτόνως. 1451, 1.
ἀλαλητὸς ὁ θόρυβος οἱονεὶ ὁμολαλητὸς, καὶ ἀλαλητὸς ἡ φωνὴ καὶ ὁ στρατιωτικὸς ἀλαλαγμὸς, ὅ ἐστιν ἡ πρὸ τῆς μάχης βοὴ, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ᾱ καὶ ὅτι ὀξύνεται. 180, 9. 705, 63. 994, 57.
ἀλαλκομενηὶς Ἀθηνᾶ παρὰ τὸ ἀλαλκεῖν, ὅ ἐστι βοηθεῖν μετὰ μένους, ἢ ἀπὸ Ἀλαλκομενίου ὄρους τινός. 439, 33.
Ἀλαλκομένιον, ὄνομα ὄρους τινός. 439, 34.
ἀλαλύκτημαι παθητικὸς παρακείμενος ἀπὸ τοῦ ἀλύσσω ἀλυκτῶ, ὡς τάσσω ἀτακτῶ, ἢ ἀπὸ τοῦ ἀλύκτημι τὸ παθητικὸν ἀλύκτημαι. 792, 6.
ἀλαὸς ὁ τυφλὸς παρὰ τὸ ᾱ καὶ τὸ λάω, ὅ ἐστι βλέπω. 857, 45. 1392, 30.
ἀλαοσκοπιὴν μὴ ἔχειν, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ὀξέως βλέπειν καὶ μὴ τυφλώττειν, ὅτι παρὰ τὸ ἀλαὸς, ὅ ἐστι τυφλὸς, λέγεται. 821, 55.
ἀλαοῖν τὸ τυφλοῦν, ζήτει ἐν τῷ ἀλαός. 1585, 64.
ἀλαπαδνὸς ὁ ἀσθενὴς καὶ εὐπόρθητος παρὰ τὸ ἀλαπάζω. 318, 2. 475, 23.
ἀλαπάζειν, ὅτι παρὰ τὸ λάπτειν, ὅ ἐστι ῥοφεῖν, γίνεται λαπάζειν καὶ πλεονασμῷ ἀλαπάζειν, καὶ ὅτι ἐκ τοῦ λέλαπα μέσου παρακειμένου ἢ ἔλαπον δευτέρου ἀορίστου λέγεται καὶ δηλοῖ τὸ πορθεῖν καὶ ἐκκενοῦν καὶ ἀναλίσκειν. 65, 26. 423, 39. 836, 61. 1413, 4.
ἀλαπάξαι τὸ ἁπλῶς κενῶσαι ἐν τῷ, μίαν πόλιν ἐξαλαπάξας, αἳ περιναιετάουσιν, ἀνάσσονται δ' ἐμοὶ αὐτῷ, Ὀδυσσ. δ', 176. 1490, 58.
ἀλᾶσθαι ὅτι ἐκ τοῦ πλανᾶσθαι γέγονεν ἀπελεύσει τῶν ἀρκτικῶν συμφώνων καὶ ἀντιθέσει τοῦ λ̄ ἀντὶ τοῦ ν̄. 756, 30. 842, 49.
ἀλαστεῖν καὶ ἐπαλαστεῖν τὸ δεινοπαθεῖν ὡς ἐπὶ ἀλάστοις, ὅ ἐστιν ἀλαθήτοις κακοῖς. 897, 24. 1003, 25. 1415, 14.
ἄλαστος ὁ ἀλάθητα λυπήσας ἐν ἴσῳ τῷ ἀλάστωρ ἐν τῷ, Ἕκτορ μή μοι ἄλαστε συνημοσύνας ἀγόρευε, Ἰλιάδ. χ', 261. 1268, 55.
Ἀλάστωρ κύριον ἐξ ἐπιθέτου, καὶ ὅτι Ἀλάστορες κυρίως δαίμονες Ἐριννυώδεις, καταχρηστικῶς δὲ οἱ ἁπλῶς φαῦλοι ἐχθροί. 1213, 44.
Ἀλάστωρ ὄνομα κύριον, καὶ Ἀλάστωρ φθονερὸν δαιμόνιον, καὶ Ζεὺς ἀλάστωρ οὗ ἡ βλάβη ἄληστος ἢ ὃν οὐκ ἔστι λαθεῖν ἢ ὁ ἐπαμύνων τοῖς ἄλαστα παθοῦσι. 474, 20. 763, 35. 1415, 17.
ἀλάστωρ ὁ περιέργως πάντα ὁρῶν. 415, 20.
ἀλαωπὸς ὁ ἀφανὴς ἢ ὁ τυφλός. 1392, 32.
ἀλαωτὺς ἡ τύφλωσις. 1392, 33.
ἀλγεινὸν ὅτι ἐκ τοῦ ἀλεγεινὸν συνεκόπη. 70, 14.
ἀλγινόεις καὶ ἀλγινόεν, ὅτι δίφθογγον ὤφειλεν ἔχειν τὸ γι̅, ὡς ἀπὸ τοῦ ἀλγεινόν. 989, 12. 1272, 25.
ἄλγιον συγκριτικοῦ σχηματισμὸς καὶ κλίσις διεξοδικῶς. 1144, 35.
ἀλγίστη ἀντὶ τοῦ ἀργαλέη. 1322, 35.
ἀλγύνω ὅτι ἐκ τοῦ ἀλεγύνω συγκέκοπται, ὅ ἐστιν ἀρτύνω καὶ σκευάζω, καὶ δηλοῖ τὸ αἴτιος γίνομαί τινι τοῦ ἀλεγύνειν. 1424, 17.
ἀλδαίνω τὸ αὔξω, ἀλθαίνω δὲ τὸ θεραπεύω, ὅτι ἄμφω ψιλοῦνται κανονικῶς. 145, 41.
ἀλδαίνω τὸ αὔξω, ὅτι παρὰ τὸ ἄλλεσθαι ἢ παρὰ τὸ ἀλθαίνειν γίνεται ἀλδῶ ἀλδήσω, ὅθεν τὸ ἀλδαίνω καὶ ἀλδήσκω. 1837, 59.
ἀλδήσκειν λέγεται λήιον ἤγουν ἐκ ποτισμοῦ αὔξεσθαι παρὰ τὸ ἄρδω τροπῇ τοῦ ρ̄ εἰς λ̄. 1318, 33.
ἄλδησκος ποταμός τις θρεμμάτων θεραπευτικὸς παρὰ τὸ ἀλδήσκω, ζήτει ἐν τῷ ἀλδαίνω. 720, 21. 1837, 59.
ἀλδήσκω, ζήτει ἐν τῷ ἀλδαίνω τὸ αὔξω. 1837, 59.
ἀλδήσκω τὸ αὐξάνω, παραγωγὴ καὶ σχηματισμός. 720, 21.
ἄλδω ἢ ἀλδῶ περισπωμένως τὸ αὐξάνω. 720, 18. 21.
ἀλέα ἡ θερμότης παρὰ τοῖς μεθ'

-Ὅμηρον, παρ' Ὁμήρῳ δὲ ἀλὴ ἡ ἀποφυγὴ καὶ ἔκκλισις. 1270, 24. 29.
ἀλεαίνειν ὅτι δασύνεται παρὰ τοῖς Ἀττικοῖς. 1636, 27.
ἀλέασθαι τὸ ἐκκλίνειν. 519, 13.
ἀλέγειν ὅτι αἰτιατικὴν ἀπαιτεῖ μεθ' ἑαυτὸ, κατὰ μόνας δὲ ἀτελῶς λέγεται. 1066, 8.
ἀλεγεινὰ ῥέεθρα τὰ ἀλέγεσθαι, ὅ ἐστι φροντίζεσθαι, ἄξια καὶ ὡς εἰπεῖν ἀξιόλογα, ἢ τὰ ἀλγεινὰ καὶ χαλεπά. 1126, 5.
ἀλεγεινὴ ἀγγελία ἡ ἀλγεινὴ καὶ φροντίδος ἀξία. 348, 28.
ἀλεγεινὴ ἡ παλαισμοσύνη λέγεται ἐπιθετικῶς διὰ τὸ κατ' αὐτὴν βίαιον καὶ κοπηρόν. 1588, 5.
ἀλεγεινὴ πυγμαχίη καὶ παλαισμοσύνη λέγονται διὰ τὰ ἐξ αὐτῶν συμβαίνοντα δυσχερῆ. 1322, 30.
ἀλεγύνειν ταὐτὸ ὅπερ ἀλέγειν, ὅ ἐστι φροντίζειν καὶ ἐν λόγῳ ποιεῖσθαι, ἐν τῷ, δαῖτας ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν, Ὀδυσσ. λ', 186. 1678, 63.
ἀλεγύνω τὸ σκευάζω καὶ ἀρτύω ὅτι ἐκ τοῦ ἀλέγω παρῆκται ἢ ἐκ τοῦ ἄλγος, ὃ δηλοῖ τὸν πόνον. 1424, 15. 1448, 40.
ἀλεείνειν θεοπροπίαν τὸ ἐκ μαντείας προσημαινόμενόν τι κακὸν ἐκκλίνειν. 1044, 30.
ἀλεείνω ὅτι παρὰ τὸ ἀλέω παρῆκται. 517, 22.
ἀλέες οἱ ὁμοῦ ἠθροισμένοι. 179, 21.
ἀλέη ἡ ἀποφυγὴ παρ' Ὁμήρῳ ἐκ τοῦ ἀλέω τὸ ἐκκλίνω, παρὰ δὲ τοῖς μεθ' Ὅμηρον ἀλέα ἡ θερμότης. 1270, 24. 29.
ἄλειαρ τὸ ἀπὸ πυρῶν ἄλευρον ὅτι παρὰ τὸ ἀλέω, ὅ ἐστιν ἀλήθω, λέγεται. 1885, 10.
Ἀλεῖον Δωρικῶς, Ἠλεῖον δὲ κοινῶς τὸ τοῦ Ἡλίου ἱερόν. 1562, 58.
ἀλεὶς ἤγουν ἀθροῦν συστρέψας ἑαυτὸν ἢ συστραφεὶς καὶ συσταλείς. 1067, 9. 1270, 53.
Ἀλείσιον πόλις ἡ καὶ Ἀλήσιον διὰ τοῦ ἦτα, γραφὴ καὶ ἐτυμολογία τῆς λέξεως καὶ ἱστορία. 304, 25 — 33.
ἄλεισον, εἶδος ποτηρίου διαφόρως ἐτυμολογούμενον καὶ σχηματιζόμενον, καὶ ὅτι καὶ ἀρσενικῶς λέγεται ὁ ἄλεισος ἐπὶ τοῦ αὐτοῦ, καὶ ὅτι καὶ ἄλισσον ἐνδέχεται γράφειν παρὰ τὸ ἃ στερητικὸν καὶ τὸ λισσὸν, ὅ ἐστι λεῖον. 883, 54. 54. 1357, 38.
ἄλεισον, ποτήριον τὸ ἄγαν λεῖον ἢ τὸ μὴ λεῖον διὰ τὰ ἐμπεπαισμένα δαιδάλματα. 1775, 10.
ἀλείτης παρὰ τὸ ἀλείτω τὸ ἁμαρτάνω, τὸ λῑ δίφθογγον, οὗ δεύτερος ἀόριστος ἤλιτον, ὅθεν ὁ ἀλιτρός. 1529, 50. 1885, 63.
ἄλειφα ὅτι ἐκ τοῦ ἄλειφαρ ἢ ἄλειφας γέγονεν ὑποστολῇ τοῦ ρ̄ ἢ τοῦ σ̄. 1560, 26.
ἄλειφαρ τὸ ἔλαιον ἢ τὸ ἐλαιῶδες τῆς πιμελῆς ἢ ἄλειμμά τι εὐῶδες, τὸ λῑ δίφθογγον, ὡς ἀπὸ τοῦ ἀλείφω. 1294, 25. 1561, 9. 1954, 1. 17.
ἀλειφατίτης ἄρτος λέγεται ὁ πιμελῇ συμπεφυρμένος. 975, 50.
ἀλείφειν τοῖχον τὸ κονίᾳ χρίειν. 764, 14. 975, 46.
ἀλείφω ὅτι παρὰ τὸ ἀλέω ἢ τὴν ἀλέαν λέγεται. 1561, 5.
ἀλείφω, ὅτι τῶν παρὰ τὸ ἀλείφω τὰ μὲν διὰ τοῦ πτ προφερόμενα διὰ διφθόγγου γράφεται, τὰ δὲ τὸ φ̄ μόνον ἔχοντα διὰ μόνου τοῦ ῑ. 1561, 7.
ἀλεκτορὶς ὅτι θηλυκόν ἐστι τοῦ ἀλέκτωρ. 1479, 25.
Ἀλεκτρυὼν, Ἄρεώς τις ὑπηρέτης, οὕτω καλούμενος εἰς ὄρνεον μεταμορφωθεὶς ὑπὸ Ἄρεως, μῦθος. 1598, 61.
ἀλεκτρυὼν τὸ ὄρνεον ὅτι Ἄρεϊ ἀνέκειτο, καὶ ὅτι οἱανοῦν θύραν εἰσιὼν ἐπικλίνει τὸν λόφον κατά τι ἰδίωμα. 1479, 40.
ἀλεκτρυών τις ἐρασθεὶς παιδὸς, ἱστορία. 1166, 28.
Ἀλεκτρυὼν κύριον, χρόνος παραληκτικὸς τῶν πλαγίων, καὶ ὅτι τὸ ἀλεκτρυὼν ἐπὶ ζῴου οὔπω σύνηθες ἦν ἐφ' Ὁμήρου. 1120, 12.
ἀλεκτρυὼν, ὅτι κοινόν ἐστι τῷ γένει τοὔνομα, καὶ ἔκθεσις τῶν παραδειγμάτων τῆς χρήσεως ἐπὶ θηλυκοῦ γένους. 1479, 26.
ἀλεκτρυὼν, ὅτι οὕτως ἐπεκαλεῖτο Ἀδαῖος ὁ τῶν Φιλίππου ξένων ἡγούμενος, καὶ γρῖφος περὶ τῆς τελευτῆς αὐτοῦ ὡς περὶ ὄρνιθος, καὶ ἱστορία. 1479, 35.
ἀλέκτωρ αὐλὸς ἐπιθετικῶς ὁ ἡδὺς, καὶ δι' ὃν οὐκ ἔχει λέγεσθαι, ὅ ἐστι κοιμᾶσθαι, ὁ ἀκροώμενος. 1479, 27.
ἀλέκτωρ ἡ ὁμόλεκτρος γυνὴ, καὶ ἀλέκτωρ παρθένος ἡ μὴ πειραθεῖσα λέκτρου, καὶ ὅτι καὶ Ἀθηνᾶ ἀλέκτωρ τῷ αὐτῷ λόγῳ λέγεται. 1479, 28.
ἀλέκτωρ τὸ ὄρνεον, ὅτι ἐκ τοῦ ᾱ καὶ τοῦ λέγω σύγκειται ἡ λέξις, καὶ ὅτι διὰ τὸ ἐκ λέκτρου ἡμᾶς ἐγείρειν οὕτω λέγεται, καὶ ὅτι θηλυκὸν αὐτοῦ ἡ ἀλεκτορίς. 182, 11. 1479, 24.
Ἀλέκτωρ, υἱὸς Ἀργείου τοῦ Πέλοπος καὶ Ἡγησάνδρας τῆς Ἀμύκλα, οὗ θυγάτηρ Ἰφιλόχη ἢ Ἐχέμελος Μεγαπένθει τῷ Μενελάου συνῴκησε. 1479, 21.
Ἀλέκτωρ, υἱὸς Ἐπειοῦ, βασιλεὺς Ἤλιδος, ἱστορία. 302, 7.
ἀλὲν, συστραφὲν, συναχθέν. 1309, 7.
Ἀλεξαμενὸς Τήιος εὑρετὴς τοῦ μιμητικῶς γράφειν, καὶ ὅτι ὀξύνεται τοὔνομα πρὸς διαστολὴν τῆς ἀλεξάμενος μετοχῆς. 1228, 21.
Ἀλεξάνδρεια τόπος ὅπου τὰς θεὰς ἔκρινεν Ἀλέξανδρος ὁ Πριάμου. 986, 56.
Ἀλέξανδρος Καρύστιος σφαιριστὴς, ὅτι πολίτην αὐτὸν ἐποιήσαντο Ἀθηναῖοι καὶ ἀνδριάντα ἐκείνῳ ἀνέστησαν. 1601, 41.
Ἀλέξανδρος ὁ μέγας ὅτι ἐν χρυσῇ πυέλῳ ταφεὶς ἐτυμβωρυχήθη. 1376, 16.
Ἀλέξανδρος ὁ μέγας ὅτι δίχουν ποτήριον πιὼν καὶ ἐκ τούτου νοσήσας ἀπέθανεν, ἱστορία. 1834, 3.
Ἀλέξανδρος ὁ Φιλίππου ὅτι θηλυδρίας καὶ οὐκ εὖ διακείμενος πρὸς τὰ ἀφροδίσια ἐνομίζετο τὸ κατ' ἀρχὰς, ἱστορία. 1680, 46.
Ἀλεξάνδρου τοῦ μεγάλου ὅτι σέλας ποτὲ τῶν ὅπλων ἐξέλαμψεν, ἱστορία. 512, 46.
ἀλεξάνεμος χλαῖνα ἡ ἀλέγουσα, ὅ ἐστιν ἀποσοβοῦσα, τὸ ἐξ ἀνέμων ψῦχος ἢ βοηθοῦσα κατὰ τῶν ἀνέμων. 1490, 14. 1767, 43. 1771, 41.
ἀλεξεῖν κακὸν ἦμαρ, ὅτι ἐντελῶς λέγεται, ἀλεξεῖν δὲ κατὰ μόνας ἐλλιπῶς. 750, 47.
ἀλεξῆσαι ἁπλῶς ὅτι ἀτελῶς λέγ-

ται, ἀλεξῆσαι δὲ φόνον ἐντελῶς. 1109, 62.

ἀλεξήσειε τοῦτο θεὸς, ἀντὶ τοῦ μὴ γένοιτο. 1471, 44.

ἀλεξίκακος Ἡρακλῆς ἢ Ἀπόλλων ὁ ἀλέγων τὰ κακὰ ὅτι ἐκ τοῦ ἀλεξῶ ἀλεξήσω λέγεται, καὶ ἀλεξίκακος βουλὴ ἡ τὰ κακὰ ἀλέγουσα. 786, 62. 1824, 14.

ἀλεξίλογα γράμματα κατὰ κοινὸν ἐπίθετον τὰ ἀλέγοντα, ὅ ἐστι βοηθοῦντα εἰς τὸν λόγον. 1771, 46.

αλεος λήγοντα ὀνόματα ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὴν αλ συλλαβήν. 672, 4.

ἀλὲς τὸ ἀολλὲς, ὅ ἐστιν ἄθρουν. 883, 57.

ἅλες, ὅτι ἐν τῷ, οὐδ' ἅλεσι μεμιγμένον εἶδαρ ἔδουσιν, Ὀδυσσ. λ', 123. ἅλας τινὲς νοοῦσι τὰ ἐκ θαλάττης βρώματα. 1676, 21.

ἅλες ὅτι κριθαῖς ἀνεμίγνυντο ἐν ταῖς θυσίαις, καὶ ὅτι τοῖς ξένοις πρὸ τῶν ἄλλων βρωμάτων ἅλες παρετίθεντο συμβολικῶς. 132, 44.

ἅλες, ὅτι παρὰ τοὺς ἐκ θαλάσσης εἰσὶ καὶ ἅλες τινὲς ὀρυκτοὶ, καὶ ὅτι καὶ ἐκ ῥιζῶν τινῶν ὑφαλμύρων καύσεως ἅλες γίνονται. 1676, 23.

ἅλεται ἐνὶ λ ἀντὶ τοῦ ἅληται ὑποτακτικοῦ ἐν τῷ, ἐπεί κε δουρὶ τυπεὶς εἰς ἵππους ἅλεται, Ἰλιάδ. λ', 192. 839, 26.

ἀλετὸς ὅτι παρὰ τὸ ἀλέω, ὅ ἐστιν ἀλήθω, λέγεται. 1885, 10.

ἀλετρεύειν ἀντὶ τοῦ ἀλήθειν, ὅ ἐστιν ἀλετὸν ποιεῖν. 1571, 37.

ἀλετρίδες γυναῖκες αἱ ἀλετρεύουσαι, ὅ ἐστιν ἀλήθουσαι. 1571, 37.

ἀλετρὶς ὅτι παρὰ τὸ ἀλέω, ὅ ἐστιν ἀλήθω, λέγεται, καὶ ὅτι ἀλετρίδες Ἀθήνησιν εὐδόκιμοι παρθένοι, αἳ τὰ εἰς τὰ ἱερὰ πόπανα ἄλευρα ἤλουν. 1885, 9. 12.

ἀλετὼν ἀλετῶνος περιεκτικὸν ὅτι παρὰ τὸν ἀλετὸν λέγεται. 1885, 30.

ἄλευαι ἤγουν ἔκκλινον προστακτικὸν χρόνου μέσου ἀορίστου πρώτου ἀπὸ τοῦ ἀλεύω θέματος. 1270, 14.

ἀλευάμενος μετοχὴ μέσου ἀορίστου πρώτου τοῦ ἀλεύω θέματος. 517, 23.

ἄλευρον ὅτι παρὰ τὸ ἀλέω, ὅ ἐστιν ἀλήθω, λέγεται πλεονασμῷ τοῦ υ. 1885, 11.

ἀλεύω τὸ ἐκκλίνω ἀπὸ τοῦ ἀλέω ἐπενθέσει τοῦ υ. 517, 22.

ἀλέω ἀλῶ τὸ ἀλήθω ὅτι οὐ μόνον κατὰ τὴν πρώτην, ἀλλὰ καὶ ἀλάω ἀλῶ κατὰ τὴν δευτέραν λέγεται, ὅθεν ἤλων ἀντὶ τοῦ ἤλουν. 1885, 28.

ἀλεωρὴ ἡ ἔκκλισις ὅτι ἐκ τοῦ ἀλέω ῥήματος γέγονε κατὰ πρόσληψιν συλλαβῆς. 1270, 25. 1346, 11.

ἄλη ἡ πλάνη, ὅτι παρὰ τὸ πλάνη ἀποβολῇ Αἰολικῇ τῶν δύο πρώτων φωνηέντων γίνεται ἄνη, καὶ ἀντιθέσει τοῦ λ ἄλη, ὡς νίτρον λίτρον, ἢ παρὰ τὸ ἀλῶ ῥῆμα· καὶ ἄλη ὁ ῥυπασμὸς ὁμωνύμως. 317, 3. 636, 54. 756, 30. 842, 48. 1648, 3. 1849, 12.

ἀληθείην ἀντὶ τοῦ ἀληθῶς ἐν τῷ, ταῦτα καὶ ἀχνύμενός περ ἀληθείην κατέλεξα, Ὀδυσσ. η', 297. 1581, 42.

ἀλήθω ὅτι παρὰ τὸ ἀλῶ παρῆκται. 871, 62. 1885, 28.

Ἀλήιον πεδίον τῆς Λυκίας ἢ Κιλικίας ὅτι παρὰ τὴν τοῦ Βελλεροφόντου ἐκεῖ γενομένην ἄλην, ὅ ἐστι πλάνην, λέγεται, ἢ διὰ τὸ ληίων ἐστερῆσθαι ἢ διὰ τὸ ἅλας φέρειν. 304, 33. 636, 49.

Ἀληὶς πόλις ἡ καὶ Τίρυνς. 286, 28.

ἀλησμένον βίον ζῆν παροιμιακῶς λέγονται οἱ ῥαδίως καὶ ἀπόνως βιοῦντες. 1859, 48.

ἄληκτα κτήματα τὰ μήπω εἰς λάχος ἐλθόντα καὶ μήπω λαχόντα τινί. 64, 40. 1590, 58.

ἄλημα, ὅ ἐστι πλάνημα, στρατοῦ τὸν Ὀδυσσέα λέγει τις παρὰ Σοφοκλεῖ ἐπιθετικῶς. 108, 33. 352, 34.

ἀλήμεναι, ἀλῆναι, συστραφῆναι ἢ συγκλεισθῆναι. 611, 15. 1143, 12.

ἀλήμων ἀντὶ τοῦ ἀλήτης, Ὀδυσσ. ρ', 376. 1824, 45.

ἀλῆναι ἀπαρέμφατον, ὅτι προϋπόκειται αὐτοῦ ἡ ἀλεὶς μετοχὴ καὶ πρόσωπον ῥηματικὸν δύσχρηστον τὸ ἤλη, ὃ διαλυθὲν γίνεται ἐάλη ὁμοίως τῷ ἐάγη. 1130, 32.

ἀλῆναι τὸ συγκλεισθῆναι ἢ ἀθροισθῆναι ἐν τῷ, αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες, Ἰλιάδ. φ', 534. 1250, 31.

Ἀλήσιον πεδίον καὶ Ἀλήσιον κύριον, ἱστορία καὶ γραφὴ προπαραληκτική. 883, 3. 7.

Ἀλήσιον πόλις ἡ καὶ Ἀλείσιον διὰ διφθόγγου, ἐτυμολογία καὶ γραφὴ καὶ ἱστορία. 303, 25—33.

Ἀλήσιος εἷς τῶν Ἱπποδαμείας μνηστήρων. 304, 27.

Ἀλθαία κύριον καὶ εἶδος φυτοῦ. 774, 49.

Ἀλθαιμένης δέκα πόλεις οἰκίσας ἐν Κρήτῃ, ἱστορία. 313, 36.

ἀλθαίνω τὸ θεραπεύω, ζήτει ἐν τῷ ἀλδαίνω. 145, 42.

Ἄλθικες ἔθνος, ἱστορία διεξοδική. 334, 7.

ἄλθω τὸ θεραπεύω παρὰ τὸ ἄλδω, ὅ ἐστιν αὔξω, τροπῇ τοῦ δ εἰς θ. 720, 17. 20.

ἁλία ἡ ἄθροισις παρὰ τὸ ἁλίζω. 179, 20.

ἁλιαέες ἄνεμοι οἱ διὰ θαλάσσης πνέοντες ἐκ τοῦ ἄω καὶ τοῦ ἅλς ἁλός. 1500, 25.

ἅλιαι θεαὶ αἱ Νηρηίδες. 1340, 41.

ἅλιαι ψάμαθοι λέγονται πρὸς διαστολὴν τῶν ποταμίων. 1456, 25.

ἅλιαρον λέγεται τὸ ἠρτυμένον ἅλατι ἔδεσμα. 1506, 61.

Ἁλίαρτος πόλις ἡ καὶ Ἀρίαρτος, ἱστορία, καὶ ὅτι δασύνεται τοὔνομα καὶ θηλυκοῦ ἐστι γένους. 268, 26—42.

ἀλίαστον ὀδύρεσθαι τὸ ἀχωρίστως, ὅ ἐστιν ἀδιαλείπτως, πενθεῖν παρὰ τὸ λιάζω, ὅ ἐστι χωρίζω, κατὰ στέρησιν. 1364, 45.

ἀλίαστος ὅμαδος καὶ ἀλίαστος πόλεμος ὅτι παρὰ τὸ λιάζω, ὅ ἐστι χωρίζω, λέγονται ἐπιθετικῶς. 347, 35. 915, 4.

ἀλίβας ὁ νεκρὸς ὁ τῆς ζωτικῆς λιβάδος ἄμοιρος, καὶ ποταμὸς μυθικὸς ἐν Ἅιδου οὕτω καλούμενος, καὶ ἀλίβας ὁμωνύμως ὁ ὀξὺς οἶνος οὐ μόνον διὰ τὸ καὶ αὐτὸς νενεκρῶσθαι, ἀλλὰ καὶ διὰ τὸ μὴ λείβεσθαι ἐν ταῖς σπονδαῖς, καὶ ὅτι βαρύνεται ἡ λέξις. 679, 19. 1559, 44. 49. 1679, 32.

ἀλίγκιος, ὅμοιος ἐν τῷ, Ἑκτορίδην ἀγαπητὸν ἀλίγκιον ἀστέρι καλῷ, Ἰλιάδ. ζ', 401. 650, 13.

ἁλιεῖς οἱ πορθμεῖς, Ὀδυσσ. ω', 419, καὶ ἁπλῶς οἱ περὶ ἅλα πονούμενοι. 1965, 46.

ἀλίζειν τὸ ἐν κόνει κυλίεσθαι ἢ κόνει φύρεσθαι, ὅθεν τὸ ἐξαλίσαι ἵππον τὸ κυλισθῆναι ποιῆσαι. 382, 34.

Ἁλίζωνοι ἔθνος οἱ καὶ Ἁλιζῶνες, ἱστορία περὶ τοῦ ἔθνους καὶ ἐτυμολογία τῆς λέξεως δι' ὅλης τῆς σελίδος 363, 1—364, 8. 519, 36.

ἁλιῆας ἐρέτας λέγει Ὅμηρος Ὀδυσσ. π', 349. ἢ τοὺς ἁλιεῖς ἢ τοὺς ἁπλῶς περὶ ἅλα πονουμένους. 1804, 54.

ἁλίη ὁδὸς ἡ μάτην γινομένη καὶ ἡ διὰ θαλάσσης ὁμωνύμως. 1445, 17.

Ἁλιθέρσης κύριον, ὅτι ναυτικὸν τὸ ὄνομα παρὰ τὸ ἐν ἁλὶ θέρεσθαι ὑπὸ τοῦ ἡλίου. 1439, 40.

Ἁλικαρνασσὸς πόλις, καὶ ὅτι Δωριεῖς οἱ Ἁλικαρνασσεῖς, ἱστορία. 368, 29.

Ἁλικοὶ ἐκαλοῦντο οἱ τὰ περὶ Τίρυνθα παραθαλάσσια τῆς Πελοποννήσου οἰκοῦντες. 286, 28.

ἁλικρείων ὁ τῆς ἁλὸς κρείων, ὅ ἐστι βασιλεύων. 57, 27.

ἅλικρας ὁ ἁλὶ κεκραμένος, ὅτι βαρύνεται ἡ λέξις. 1559, 50.

ἁλιμυρήεις ποταμὸς ὁ εἰς ἅλα μυρόμενος ἤγουν κατά τινα ποιὸν ἦχον ῥέων. 586, 9. 1230, 42. 1545, 62.

ἀλινδήθρα ἡ κονίστρα παρὰ τὸ ἀλινδῶ, ὃ παρὰ τὸ κυλίνδω, ὃ ἐκ τοῦ κυλίω. 382, 35. 836, 48. 1538, 39.

ἀλινδῶ ὅτι παρὰ τὸ κυλίνδω, ὅ ἐστι κυλίω, γίνεται, ὅθεν ἀλινδήθρα ἡ κονίστρα. 1538, 39.

ἅλιον τὸ μάταιον παρὰ τὴν ἅλα, ὅ ἐστι θάλασσαν, ἧς τὸ ὕδωρ εἰκαῖόν τι ἐδόκει πρὸ τῆς χρήσεως τῶν νεῶν, καὶ ὅτι καὶ ἐπιῤῥηματικῶς ἐνίοτε τίθεται ἡ ἅλιον φωνή, καὶ ὅτι προπαροξύνεται. 268, 37. 441, 26. 502, 24. 516, 18. 597, 23. 944, 22. 1500, 37.

ἅλιος γέρων ἐπιθετικῶς παρ' Ὁμήρῳ λέγεται ὁ Νηρεὺς καὶ ὁ Πρωτεύς. 1135, 46.

Ἅλιος κύριον ὅτι ὤφειλε παροξύνεσθαι ὡς τρίβραχυ, προπαροξύνεται δέ. 1587, 33.

ἀλίπαστον κρέας ὅτι παρὰ τὸ πάσσειν λέγεται, καὶ ἀλίπαστον χωρίον τὸ ἐξ ἐπιβουλῆς ποτὲ ἁλσὶ πεπασμένον πρὸς τὸ μὴ φύειν καρπούς. 393, 14. 1178, 13. 1827, 60.

ἀλίπεδον πεδίον τὸ κατά τινα ἄμπωτιν πεπατημένον τοῦ θαλάσσῃ σκέπεσθαι. 1716, 38.

ἁλιπόρφυρον τὸ μέλαν καὶ ὅμοιον ἁλὶ πορφυρούσῃ ἢ τὸ ἐκ θαλασσίας πορφύρας βεβαμμένον, ὅ ἐστιν ἁλουργὸν ἢ πορφυροῦν. 1453, 14. 1551, 11. 1735, 55.

ἅλις δρυὸς, παροιμία ἐπὶ τῶν δυσχερῶς καὶ ἀηδῶς βιούντων, ὕστερον δὲ κάλλιόν τι εὑρηκότων. 1859, 49.

ἅλις ἀντὶ τοῦ ἀθρόως καὶ ἠθροισμένως παρὰ τὸ ἁλίζω, καὶ ἅλις ἀντὶ τοῦ ἀρκούντως ὅτι δασύνεται δι' ἔμφασιν ἀθροισμοῦ. 16, 30. 177, 40. 179, 19.

ἅλις ἐπίῤῥημα ὅτι ποτὲ μὲν ἀπολύτως λέγεται, ποτὲ δὲ εὐθείᾳ συντάσσεται ἐλλιπῶς τοῦ ἔχω ῥήματος, ὡσεπιπολὺ δὲ γενικῇ ἐλλιπῶς ὑπαρκτικοῦ. 554, 34.

ἁλὶς ἡ ἁλμυρὶς ὀξυτόνως, ἅλις δὲ ἐπίῤῥημα βαρυτόνως. 906, 56.

ἀλίσπαρτοι λέγονται παρὰ τοῖς κωμικοῖς οἱ δυσθεράπευτοι τὰ σώματα. 1827, 61.

ἀλιταίνω τὸ ἁμαρτάνω ὅτι ἀπὸ τοῦ ἤλιτον δευτέρου ἀορίστου παρῆκται. 1529, 44.

ἀλιτεῖν τὸ ἁμαρτεῖν καὶ τὸ ἀποτυχεῖν. 1033, 34. 1175, 39.

ἀλιτεύω ὅτι παρὰ τὸν ἤλιτον δεύτερον ἀόριστον παρήχθη. 1529, 45.

ἀλίτημα, ἁμάρτημα, ὅτι παρὰ τὸν ἤλιτον δεύτερον ἀόριστον παρήχθη. 1529, 46.

ἀλιτήμενος θεοῖς ὁ ἐφάμαρτος εἰς τὸ θεῖον. 1518, 37.

ἀλιτήμων ὁ ἑκουσίως ἁμαρτάνων τοῦ δέοντος, ἢ ὁ ἀλιτάνευτος ἐν τῷ, οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἀλιτήμων, Ἰλιάδ. ω', 157. καὶ ὅτι ἀπὸ τοῦ ἤλιτον δευτέρου ἀορίστου παρήχθη. 1343, 34. 1529, 45.

ἀλιτήμωρος ὁ παράφρων ὅτι παρὰ τὸν ἤλιτον δεύτερον ἀόριστον λέγεται. 1529, 47.

ἀλιτήριος, ὅτι παρὰ τὸν ἤλιτον δεύτερον ἀόριστον γίνεται ἀλιτηρὸς καὶ ἀλιτήριος. 717, 23. 1529, 42.

ἀλίτομαι τὸ ἁμαρτάνω, λίτομαι δὲ τὸ εὔχομαι. 1765, 20.

ἀλίτρια ἡ ἁμαρτία ὅτι παρὰ τὸν ἤλιτον δεύτερον ἀόριστον παρήχθη. 1529, 45.

ἀλιτρὸς ὅτι παρὰ τὸν ἤλιτον δεύτερον ἀόριστον τοῦ ἀλείτω διφθογγοπαραλήκτου ῥήματος γίνεται ἀλιτηρὸς καὶ συγκοπῇ ἀλιτρός. 1717, 20. 26. 1529, 39.

ἀλιτῶ δεύτερος μέλλων τοῦ ἀλείτω διφθογγοπαραλήκτου ῥήματος. 1529, 48.

ἀλίω ὅτι ἐκ τοῦ κυλίω γίνεται ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ υ εἰς α, ὅθεν τὸ ἐξαλίσας παρ' Ἀριστοφάνει. 1538, 39.

ἀλιῶσαι λόγον ἢ γνώμην τινὸς, ὅ ἐστι ματαιῶσαι καὶ ἀφεῖναι διεκπεσεῖν ἄπρακτον, καὶ ἀλιῶσαι βέλος λέγεται ὁ μὴ ἐπιτυχὼν τοῦ σκοποῦ. 1084, 20. 1526, 6.

ἀλκαία ἡ ἀλκὴ κατὰ παραγωγήν. 84, 4.

ἀλκαία ἡ τοῦ λέοντος οὐρά. 1201, 62.

Ἀλκαῖος, ὅτι οὕτως ἐκαλεῖτο πρότερον ὁ Ἡρακλῆς. 989, 42.

Ἀλκαΐδης, Ἀλκαίου υἱός. 465, 40.

Ἀλκείδης ὁ Ἡρακλῆς, ὅτι οὐ παρὰ τὸ Ἀλκαῖος, ἀλλὰ τὸ Ἀλκεὺς Ἀλκέως παρήχθη ἡ λέξις. 128, 37.

ἀλκὴ ἀλκῆς, καὶ ἄλξ ἀλκὸς παρ' Ὁμήρῳ, ὅθεν ἡ ἀλκὶ δοτική. 1136, 18.

ἀλκὴ, ὅτι τὸ ἄλξ ἀλκὸς ἀλκὶ ἐκ τοῦ ἄλκω ἄλξω, ὅ ἐστι βοηθῶ, παρήγαγόν τινες. 1254, 6.

ἀλκὴ ἡ ἀνδρία, καὶ ἀλκῆς μνήσασθαι τὸ ἀνανδρίζεσθαι, καὶ ἀλκῆς ἐπιλαθέσθαι τὸ ἀμελῆσαι τοῦ ἀνδρίζεσθαι. 641, 41. 1434, 27.

Ἄλκηστις Ἀδμήτου γυνὴ ἀποθανοῦσα ὑπὲρ τοῦ ἀνδρὸς, ἱστορία. 526, 30.

ἀλκὶ δοτικὴ ἀπὸ τῆς ἄλξ εὐθείας ἢ μεταπεπλασμένη ἀπὸ τῆς ἀλκῆ, καὶ ἄλκα αἰτιατικὴ ἀπὸ τῆς ἀλκήν. 75, 23. 549, 10. 13. 1136, 30.

Ἀλκιβιάδης ἐξαλείψας γραφὴν κατὰ Ἡγήμονος γεγραμμένην, ἱστορία, καὶ ὅτι καὶ εἰς αἱμομιξίαν διεβάλλετο. 1645, 10. 1829, 42.

Ἀλκιμίδης, Ἀλκίμου υἱὸς, τὸ μῖ ἰῶτα. 1925, 22.

ἄλκιμον ἔγχος τὸ ἀλκιμοποιόν. 1395, 29.

Ἄλκιμος κύριον ὅτι ἐκ τοῦ Ἀλκιμέδων συγκέκοπται. 295, 4. 1189, 50. 1359, 42.

Ἀλκίνοος ὁ ὡς εἰπεῖν δαΐφρων, ἐπεὶ καὶ συγγενῆ εἰσὶν ἡ ἀλκὴ καὶ ἡ δαΐς. 1568, 35.

Ἀλκίφρων ὅτι τὸν ἀνδρεῖον καὶ φρόνιμον σημαίνει παρὰ τὸ ἀλκὴν καὶ τὴν φρένα. 380, 42.

Ἀλκμαίων, ὁ καὶ Ἀλκμάων παρ' Ὁμήρῳ, υἱὸς Ἀμφιαράου τοῦ Ὀϊκλέους τοῦ Ἀντιφάτου τοῦ Μελάμποδος, ὅτι ἀπεκτονὼς τὴν μητέρα καὶ διὰ τοῦτο μανίᾳ περιπεσὼν, ὕστερον ἀπηλλάγη ἀναθεὶς ἐν Δελφοῖς τὸν τῆς μητρὸς Ἐριφύλης ὅρμον. 1689, 9. 1697, 40. 1780, 55.

Ἀλκμὰν, ὅτι οὕτω καλεῖ Πίνδαρος Ἀλκμαίωνα τὸν Ἀμφιαράου υἱὸν, ὡς καὶ Ἀμυθᾶνα τὸν Ἀμυθάονα. 1681, 50. 1689, 9.

Ἀλκμανικὸν σχῆμα, τὸ καὶ προδιεζευγμένον, ὅτι παρὰ τὸ τὸν Ἀλκμᾶνα κατακόρως αὐτῷ χρήσασθαι οὕτω λέγεται, ἑρμηνεία διεξοδική. 1667, 34.

Ἀλκμανικὸν σχῆμα λόγου, ὃ καὶ προεπίζευξις· λέγεται δὲ οὕτως οὐχ' ὡς εὑρεθὲν ὑπὸ Ἀλκμᾶνος, ἀλλ' ὅτι ἔχαιρεν αὐτῷ ὁ Ἀλκμάν. 606, 38. 1160, 1. 1200, 54. 1762, 34.

Ἀλκμὰν, ὅτι παρὰ τὸ ἄλκιμος γίνεται ἀλκιμὰν καὶ κατὰ συγκοπὴν Ἀλκμάν. 335, 15.

ἀλκτὴρ ὁ ἀλεξητὴρ καὶ ἀμύντωρ, καὶ ἀλκτὴρ Ἄρεως ὁ φόνου ἐκδικητής. 998, 50. 1133, 3.

Ἀλκυονέως θυγατέρες εἰς ὄρνιθας μεταμορφωθεῖσαι, μῦθος. 776, 33.

ἀλκυονίδες ἡμέραι, περὶ τοῦ ἀριθμοῦ αὐτῶν διάφοροι γνῶμαι, καὶ μῦθος περὶ τῆς ἐξ ἀνθρώπων εἰς ὄρνις μεταμορφώσεως τῶν Ἀλκυόνων. 776, 18. 36.

ἀλκυὼν ὄρνεον ὅτι ἐξ ἀνθρώπου μετεμορφώθη, μῦθος· καὶ ὅτι παρὰ τὸ ἐν ἁλὶ κύειν λέγεται, καὶ ὅτι ψιλοῦνται διὰ τὴν τοῦ κ̄ ἐπιφοράν. 776, 18—41.

ἀλλὰ σύνδεσμος παρέλκων ἐν ἀρχῇ νοήματος ἐν τῷ, ἀλλ' ὃς μὲν ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς, Ἰλιάδ. ψ', 319. 1308, 17. 1374, 56.

ἀλλὰ σύνδεσμος ἀντὶ τοῦ δὲ ἐν τῷ, εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βούλεσθε αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα, Ὀδυσσ. π', 387. καὶ ὅτι τὸ εἰμὴ ἀντὶ τοῦ ἀλλὰ ἐνίοτε τίθεται. 72, 43. 1724, 43. 1805, 56.

ἀλλὰ σύνδεσμος ἐπαγόμενος τῷ γὰρ ὅτι ἀντὶ τοῦ δὴ λαμβάνεται πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ· ὦ φίλοι, οὐ γάρ πω ἴδμεν, ὅπη ζόφος, οὐδ' ὅπη Ἠὼς, ἀλλὰ φραζώμεθα θᾶσσον, Ὀδυσσ. κ', 190. 1653, 61.

ἀλλὰ σύνδεσμος ὅτι ἐκ πλεονασμοῦ ἔχει θάτερον τῶν δύο λ̄. 14, 15.

ἀλλᾶς ἀλλᾶντος ὅτι ἐκ τοῦ ἀλλάεις ἀλλάεντος κέκραται, διὸ καὶ περισπᾶται διόλου. 300, 17.

ἀλλαγαὶ, σταθμοὶ τεταγμένοι τοῖς ἡμεροδρόμοις εἴτε ἱππεῦσιν εἴτε πεζοπόροις. 531, 21.

ἀλλέξαι ἀντὶ τοῦ ἀναλέξασθαι. 1237, 57.

ἄλλεσθαι ποτὶ πυγὰν, ὅτι ὡς γυμνάσματος εἶδος παρὰ τῷ κωμικῷ λέγεται. 1818, 57.

ἄλλῃ ἐπίρρημα ἀντὶ τοῦ ἀλλαχοῦ μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου, καὶ ἄλλη ἀντὶ τοῦ ἄλλως. 174, 1. 1005, 29. 1251, 24.

ἀλληγορηταὶ μύθων, Παλαίφατος, Ἡράκλειτος καὶ Χάραξ. 1504, 55.

ἀλληγορία μύθων ἐξ ἱστορίας, ὅτι καὶ ἐξ ἱστοριῶν θεραπεύονται μῦθοι τινὲς, καὶ ἔστι τις καὶ τοῦτο ἀλληγορία. 19, 1.

ἀλληγορίας μύθων συγγραφεῖς, Παλαίφατος, Ἡράκλειτος καὶ Χάραξ. 1859, 44.

ἀλληγορίας περιφραστικῆς παράδειγμα. 1197, 62.

ἀλληγορίας ῥητορικῆς παραδείγματα. 831, 51. 832, 1. 958, 22.

ἀλληγορικοὶ ὄνειροι, ζήτει ἐν τῷ, θεωρηματικοὶ ὄνειροι. 1876, 41.

ἀλληλογραφία, ζήτει ἐν τῷ, ἀμοιβαῖοι λόγοι. 55, 39.

ἀλλήλους, ὅτι διαφέρει τὸ, ἀλλήλους ἀπέκτειναν, εἰπεῖν τοῦ, ἑαυτοὺς ἀπέκτειναν. 1547, 24.

ἄλλην δρῦν βαλάνιζε, παροιμία ὅτι ἐναλλαγήν τινα βίου δηλοῖ, οὐ μὴν τὴν ἐξ ἀγρίου εἰς ἥμερον. 1859, 51.

ἄλλο ἀντὶ τοῦ ἄλλοτε ἐξ ἀποκοπῆς Αἰολικῆς ἐν τῷ, ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ, Ἰλιάδ. ξ', 249. 983, 17.

ἄλλο ἀντὶ τοῦ ἀλλόφυλον καὶ ἕτερον τῷ εἴδει. 920, 44.

ἄλλο τόσον ἐπὶ τῶν παρ' ὀλίγον ἐντελῶς ἐχόντων παρ' Ὁμήρῳ. 1310, 12

ἄλλο ὅτι τὴν ἑτερότητα δηλοῖ τοῦ κακοῦ πρὸς τὸ ἀγαθὸν ἐν τῷ, μή τι μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο, Ὀδυσσ. ε', 179. 187. 1529, 30.

ἀλλόγνωτος δῆμος ὁ ἄλλα γινώσκων ἢ ὁ ἄλλοις γινωσκόμενος, ἐκ τοῦ γνωτὸς, ὅ ἐστι γνωστός. 1450, 61.

ἀλλοδαπὸς, ὅτι ἐκ τοῦ ἔδαφος σύγκειται ἡ λέξις. 1246, 22.

ἀλλοειδέα λέγεται φαίνεσθαι τῷ Ὀδυσσεῖ ἐπανελθόντι τὰ ἐν Ἰθάκῃ, ἤγουν ἠλλοιῶσθαι τὸ εἶδος, Ὀδυσσ. ν', 194. 1738, 47.

ἄλλοθεν, πάντοθεν, οἴκοθεν, ὅτι μόνα τῶν διὰ τοῦ οθεν ἐπιρρημάτων προπαροξύνονται. 174, 14. 17.

ἀλλόθροοι ἄνθρωποι οἱ ἀλλόγλωσσοι καὶ ἄλλα θροοῦντες, ὅ ἐστι λαλοῦντες, ἢ οἱ ἀγνώριστοι καὶ ὑπὸ ἄλλων θροούμενοι ἤγουν λαλούμενοι. 1408, 58.

ἀλλοίωσις ἐστὶ προτέρας ὑπολήψεως μεταποίησις, ἑτεροίωσις δὲ ἡ ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβολή. 1799, 31.

ἅλλομαι τὸ πηδῶ, ὅτι δασύνεται ἡ λέξις. 145, 38.

ἀλλοπρόσαλλος Ἄρης ἐπιθετικῶς ὁ ἄστατος καὶ ἄλλοτε ἄλλῳ φίλος. 612, 11.

ἄλλος ἀντωνυμικὸν δυσὶ λλ, Ἄλος δὲ πόλις δι' ἑνός. 667, 23.

ἄλλος αὐτὸς, ὅτι ὁ φίλος τῇ πρὸς τὸν φίλον παραθέσει ἄλλος αὐτὸς ἐστὶν, οὐ μὴν αὐτὸς ἐκεῖνος. 1359, 60.

ἄλλος ὄνομα ὅτι εἰς οὐδὲν δέον ἄρθρῳ συμφέρεται ἐν τῷ, πολ-

λοὺς ὀλέσαντ' αἰζηοὺς τοὺς ἄλλους, Ἰλιάδ. ο', 66. 1006, 30.
ἄλλος ἐν συνθέσει ὑποτασσόμενον ὅτι καὶ κατὰ κλητικὴν κινεῖται, οἷον ἐν τῷ ἀλλοπρόσαλλε. 617, 35.
ἄλλος ὅτι ἐπάγεται τῷ ἕτερος ἐν τῇ συντάξει. 764, 56.
ἄλλος ὅτι οὐ μόνον πρὸς διαστολὴν ὁμογενῶν τινῶν λέγεται, ἀλλὰ καὶ πρὸς δήλωσιν ἑτερογενείας, οἷον ἐν τῷ, μήτε τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν' ἄλλον δμώων, 'Οδυσσ. σ', 416. υ', 324. 1852, 36.
ἄλλος ὅτι οὐ μόνον πολλῶν τινῶν εἰς τοὺς καθ' ἕνα ἐστὶν ἐπιμεριστικὸν, ἀλλὰ καὶ δύο τινῶν, ἐν ἴσῳ τῷ ἕτερος. 1573, 48. 60.
ἄλλος ὅτι περὶ τρίτου τινὸς λέγεται. 389, 24.
ἄλλος οὗτος Ἡρακλῆς, παροιμία ἐπὶ Θησεῖ εἰρημένη. 589, 41.
ἄλλοσε τιθέναι, 'Οδυσσ. ψ', 184. 204. ἀντὶ τοῦ μετατιθέναι. 1943, 20.
ἀλλοτρίαις γνάθοις γελᾶν λέγονταί τινες 'Οδυσσ. υ', 347. ἀντὶ τοῦ ἐκ θυμοῦ ἢ ἀμηχανίας γελᾶν· καὶ ὁ ἀηδῶς ἢ ἄκων ἐσθίων ἢ ἀκούων ἢ ὁρῶν τι ἀλλοτρίαις γνάθοις ἢ ἀκοαῖς ἢ ὀφθαλμοῖς ἐσθίειν ἢ ἀκούειν ἢ ὁρᾶν λέγεται. 1895, 17 — 27.
ἀλλότριος φώς, πολέμιος ἄνθρωπος, Ἰλιάδ. ε', 214. 540, 28.
ἀλλοφάσσειν τὸ ἄλλοτε ἄλλα φράζειν, ὅτι παρὰ τὸ φῶ τὸ λέγω γίνεται φάσσω καὶ ἐν συνθέσει ἀλλοφάσσω. 1324, 10. 1728, 23.
ἀλλοφρονεῖν τὸ ἄλλα φρονεῖν παρὰ τὰ βλεπόμενα ἐν τῷ, ἀλλ' ἥμην ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός, 'Οδυσσ. κ', 374. ἀλλαχοῦ δὲ ἀλλοφρονεῖν ἀντὶ τοῦ παραφρονεῖν καὶ ἐξεστηκέναι τοῦ φρονεῖν. 1324, 6. 1661, 44.
ἀλλοφρονεῖν ὅτι διὰ τοῦ ἴσον ἀναύδῳ καθῆσθαι παραφράζεται, 'Οδυσσ. κ', 374. 1662, 7.
ἀλλύειν τὸ ἀναλύειν ἐν τῷ, νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο, 'Οδυσσ. β', 105. 1437, 6.
ἀλλύεσκεν, ἀνέλυε· ζήτει ἐν τῷ ἀλλύειν. 1437, 7.
αλλω ληγόντων ῥημάτων παραγωγὴ οἷον ἰῶ ἰάλλω, θέω θῶ θάλλω, ἀγάω ἀγῶ ἀγάλλω. 867, 19.
ἀλλώνιος κτητικὸν ὅτι ἐκ τῆς ἄλλων γενικῆς ἐσχημάτισται, ὡς ἐκ τῆς ἀνέμων ἀνεμώνιος. 1214, 28.
ἄλλως ἀντὶ τοῦ μάτην, καὶ ὅτι τὰ μὴ κατὰ γνώμην ἢ εὐχὴν συμβάντα ἄλλως ἀποβεβηκέναι λέγονται ὑπακουομένου τοῦ, ἢ ὡς ἤλπιζέ τις. 1293, 21.
ἄλλωστε ὅτι ἐκ προσλήψεως ἔχει τὸ τε. 1486, 60.
ἅλμη ὅτι λαμβάνεται ποτὲ καὶ ἐπὶ ποιότητος ἀγαθῆς, ὅ ἐστι νοστιμότητος, ὅθεν τὸ ἅλμην ἔχειν. 1506, 57.
ἅλμη θαλασσία, ὅτι σκεύασμά τι εὐτελὲς οὕτως ἐκαλεῖτο. 1828, 15.
ἅλμην ἔχειν παροιμιακὸν οὐ μόνον ἐπὶ τῶν πικρῶν τὸ ἦθος, ἀλλὰ καὶ ἐπὶ τῶν χαριέντων καὶ εὐνόστων κατὰ παράχρησιν ἐννοίας. 1859, 54. 1927, 13.
ἁλμίων, ὅτι οὕτως ἐπεκαλεῖτό τις διὰ τὴν ἐν αὐτῷ πικρίαν τοῦ ἤθους, ἁπλῶς δὲ πᾶς ἀκράχολος καὶ πικρὸς ἄνθρωπος οὕτω λέγεται παρὰ τὴν ἅλμην. 1506, 62. 1859, 58.
ἁλμυρὸν ὕδωρ τὸ θαλάσσιον Ὅμηρος ἢ ὡς φύσει τοιοῦτον ἢ ὡς πρὸς τὸν ἐν αὐτῷ πνιγέντα Αἴαντα ἐν τῷ, ὡς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ, 'Οδυσσ. δ', 511. καὶ ὅτι παρὰ τὴν ἅλμην λέγεται τροπῇ τοῦ η εἰς υ. 620, 21. 1506, 47.
ἀλογεῖν, ὅτι προϋπάρχει αὐτοῦ τὸ λογίζω, τούτου δὲ λόγος. 1010, 50.
ἀλοία, τρίτον πρόσωπον παρατατικοῦ, ὅτι ἐκ τοῦ ἀλοιάω ἀλοιῶ κεκίνηται. 775, 8.
ἀλοίην ἀντὶ τοῦ ἀλῴην, πρῶτον πρόσωπον εὐκτικόν. 1268, 26.
ἀλοιμὸς τὸ τῶν τοίχων κονίαμα. 764, 15.
ἀλοιτὸς παρὰ Λυκόφρονι ὅτι παρὰ τὸ ἀλείτω, ὅ ἐστιν ἁμαρτάνω, γίνεται τροπῇ τοῦ ε εἰς ο ἀναλογώτερον ἢ τὸ ἀλείτης. 717, 27. 1529, 51. 1885, 63.
ἀλοιφεῖον, σκεῦος ἢ ὄργανον, ᾧ οἱ ἀλεῖπται ἐχρῶντο. 764, 15.
ἀλοιφὴ τὸ ἔλαιον, ᾧ τις ἀλείφεται, ἐν τῷ, ἢ γὰρ δηρὸν ἀπὸ χροὸς ἐστιν ἀλοιφή, 'Οδυσσ. ζ', 220. 1560, 19.
ἀλοιφὴ τὸ καλλοποιὸν χρῖσμα ἐν τῷ, χρῶτ' ἀπονίπτεσθαι καὶ ἐπιχρίεσθαι ἀλοιφῇ, 'Οδυσσ. σ', 179. 1843, 4.
ἀλοιφὴ ἡ τῶν ζῴων πιμελὴ ὅτι ἐκ τοῦ μετὰ τὸν θάνατον αὐτῶν τέλους λέγεται, τότε γὰρ εἰς ἀλοιφὴν αὐτῇ χρώμεθα. 747, 58. 1111, 45. 1286, 12. 1606, 29.
ἀλοιφὴ τὸ λίπος καὶ τὸ τῶν τοίχων κονίαμα. 764, 12. 14.
ἀλοίω βαρυτόνως καὶ ἀλοιῶ περισπωμένως ἐκ τοῦ ἀλοῶ πλεονασμῷ τοῦ ι, ὡς ἐκ τοῦ ἀγνοῶ τὸ ἀγνοιῶ. 775, 8.
ἄλοξ ἀντὶ τοῦ αὖλαξ ὅτι παρὰ τὸ ἀλέγειν, ὅ ἐστι φροντίζειν, λέγεται. 956, 9.
Ἀλόπη πόλις Θεσσαλίας, καὶ ὅτι καὶ ἄλλαι τινὲς πόλεις οὕτω καλοῦνται. 320, 16.
ἁλὸς γενικὴ ἐν συνθέσει ὑποτασσομένη ὅτι ἐπὶ μὲν κυρίων ὀνομάτων ψιλοῦται, ἐπὶ δὲ ἐπιθέτων δασύνεται. 524, 18.
αλος λήγοντα ἐκ τοῦ ἅλς ἁλὸς συγκείμενα, ὅτι κύρια μὲν ὄντα ψιλοῦσιν ἀρχαϊκῶς τὸ παραληκτικὸν α, οἷον Εὐρύαλος, προσηγορικὰ δὲ ἢ ἐπίθετα δασύνουσιν, οἷον ἀμφίαλος, πλησίαλος. 1396, 19.
Ἄλος κύριον γυναικὸς, ἀφ' ἧς Ἄλος ἡ πόλις, ἱστορία· Ἄλος πόλις τῆς Φθιώτιδος καὶ ἑτέρα Ἀχαΐας· ὅτι οἱ μὲν ψιλοῦσι τὴν λέξιν παρὰ τὴν ἄλην, ὅ ἐστι πλάνην, ἣν ἐκεῖ ἔπαθεν ὁ Ἀθάμας, οἱ δὲ δασύνουσι παρὰ τὴν ἅλα, ὅ ἐστι θάλασσαν· καὶ ὅτι οὐ μόνον θηλυκῶς ἡ Ἄλος, ἀλλὰ καὶ ἀρσενικῶς ὁ Ἄλος λέγεται, καὶ ὅτι δι' ἑνὸς λ γράφεται πρὸς διαστολὴν τοῦ ἄλλος ἀντωνυμικοῦ. 320, 1 — 15. 667, 23.
Ἁλοσύδνη, ὄνομα Νηρηΐδος ἢ ἐπίθετον Ἀμφιτρίτης, καὶ ὅτι οὐ παρὰ τὸ ὕδωρ ἐτυμολογοῦσί τινες, ἀλλὰ παρὰ τὸ ἐν ἁλὶ σύεσθαι, ὅ ἐστιν ὁρμᾶν, ἢ παρὰ τὸ εἰς ἅλα δεύεσθαι ἢ δύεσθαι. 437, 21. 1502, 29.
ἁλοσύδνη ὅτι κατὰ τῆς θαλάσσης καὶ τῶν θαλασσίων Νηρηΐδων λέ-

γεται παρ' Ὁμήρῳ προσηγορικῶς. 1204, 1.

ἀλουσία, ὅτι Ἄλεξις κέχρηται τῇ λέξει. 1560, 60.

Ἄλπεις ὄρη, ὅτι ῥιπαῖα τὸ πρῶτον, ὕστερον δὲ ὄλβια προσηγορεύθησαν. 1485, 63.

ἅλς ἁλὸς ἡ θάλασσα, ὅτι δασύνεται ἡ λέξις δι' ἔμφασιν ἀθροισμοῦ, καὶ ὅτι οὐ διαβαίνει ἐπέκεινα τῶν ἑνικῶν ἡ κλίσις, καὶ ὅτι, εἰ διὰ τοῦ ετ ἁλτὸς ἁλτὶ ἐκλίνετο, ἐψιλοῦντο ἂν αἱ πλάγιαι διὰ τὴν τοῦ τ ἐπιφοράν. 16, 31. 1676, 25. 1916, 58.

ἅλς θεῖος ἐπιθετικῶς διὰ τὸ συναγωγὸς εἰς φιλίαν εἶναι, ἢ διότι ἐπὶ πολὺ παραμένειν ποιεῖ τὰ ἁλιπαστά, καὶ ὅτι οἱονεὶ ἅλιος λέγεται διὰ τὸ ἐκ θαλασσίου ὕδατος γίνεσθαι. 748, 50. 1542, 30.

ἄλσος ὅτι παρὰ τὸ ἅλλεσθαι ἐν αὐτῷ τὰ δένδρα οὕτω λέγεται. 1891, 41.

ἄλσος ὅτι παρὰ τὸ ἄλλω ἄλσω, ἐν ᾧ ἄλλονται τὰ φυτά, λέγεται, καὶ ὅτι ψιλοῦται ὡς ἀπὸ τοῦ ἄλσω Αἰολικοῦ μέλλοντος. 1193, 16. 1564, 7. 1624, 7.

ἄλσος χωρίον ἱερὸν σύνδενδρον, ὃ καὶ τέμενος λέγεται καὶ δηλοῖ χωρίον ἀφωσιωμένον θεῷ τινί, καὶ ἁπλῶς πάντα τὰ ἱερὰ ἄλση λέγονται παρὰ τοῖς ποιηταῖς. 270, 23. 907, 31. 1667, 18.

Ἄλταο γενικὴ Αἰολικῶς, Ἄλτεω δὲ Ἰωνικῶς ἀπὸ τῆς Ἄλτης εὐθείας. 1225, 39.

ἆλτο ἀντὶ τοῦ ἐπήδησεν ὅτι ἐκ τοῦ ἅλατο ἢ ἥλατο συνεκόπη, καὶ ὅτι, καίπερ ἀπὸ τοῦ ἅλλομαι δασυνομένου θέματος κεκινημένον, ὅμως ψιλοῦται διὰ τὴν τοῦ τ ἐπιφοράν, ἑρμηνεία διεξοδική. 145, 39. 376, 43. 918, 27. 1916, 53.

Ἀλύβη, πόλις Ἰταλίας ἡ παρ' Ὁμήρῳ Ἀλύβας ἀρσενικῶς, ὕστερον δὲ Μεταπόντιον, ἄλλοι δὲ ὅτι πόλις Θρακική. 1961, 62.

ἀλύειν πῇ μὲν τὸ ἀδημονεῖν, πῇ δὲ τὸ ἐκλελύσθαι τῇ χαρᾷ παρ' Ὁμήρῳ, καὶ ὅτι καὶ ἀλύιειν γράφεται διὰ διφθόγγου· καὶ ἀλυίειν τὸ μαίνεσθαι καὶ ἀμηχανεῖν, καὶ ἀχλύειν τὸ μηδὲν πράττειν· τινὲς δὲ ὅτι ἐπὶ μὲν τοῦ ἐπαίρεσθαι δασύνεται, ἐπὶ δὲ τοῦ ἐκλελύσθαι καὶ ἀδημονεῖν ψιλοῦται διαφόρως ἐτυμολογούμενον· καὶ ἀλύειν τὸ ἐν ἄλῃ καὶ παρέσει τὴν ψυχὴν ἔχειν. 555, 24. 654, 49. 1336, 30. 1636, 21 — 29. 1849, 10.

ἀλυκτεῖν τὸ δυσφορεῖν ὅτι παρὰ τὸ ἀλύειν παρῆκται. 1636, 29.

ἀλύξαι τὸ ἐκκλῖναι καὶ ἐκφυγεῖν καὶ τὸ ἐκτὸς γενέσθαι τοῦ βλέπεσθαι ἐν τῷ, ἀλλ' ὅτε δὴ διὰ νήσου ἰὼν ἤλυξα ἑταίρους, Ὀδυσσ. μ, 335. καὶ ὅτι γενικῇ συντάσσεται ἐν τῷ, οὐκ ἀλύξετον μόρου κακίστου (Soph. Ant. 488.). 710, 56. 1724, 64.

ἄλυς ἡ ἀδημονία παρὰ τὸ ἀλύειν, καὶ ἄλυς ταὐτὸ ὅπερ ἄλη, ὃ δηλοῖ τὸν ῥύπον. 1636, 25. 1849, 11.

ἀλυσθαίνειν τὸ ἀδυνατεῖν ὅτι παρὰ τὸ ἀλύειν παρῆκται. 1636, 28.

ἄλυσις ἐκ τοῦ α στερητικοῦ καὶ τοῦ λύω καὶ ὅτι δασύνεται ἡ λέξις. 574, 26.

ἀλυσκάζειν τὸ περιίστασθαι καὶ ἐκκλίνειν, ὅτι παρὰ τὸ ἀλύω γίνεται ἀλύσκω, ὅθεν τὸ ἀλυσκάζω. 387, 18. 545, 46. 654, 49. 1636, 28.

ἀλύσσειν λέγονται κύνες ἤγουν ἄλην, ὅ ἐστιν ἀδημονίαν, πάσχειν διὰ τὸ πολὺ τοῦ κόρου ἢ λυσσᾶν, καὶ ὅτι παρὰ τὸ ἀλύειν λέγεται. 1257, 38. 1636, 25.

ἄλυτον λέγεται ὃ οὐδεὶς λῦσαι δύναται. 1003, 29.

ἀλύω, πνεῦμα καὶ γραφὴ παραληκτικὴ καὶ χρόνος καὶ ἐτυμολογία, ζήτει ἐν τῷ ἀλύειν. 654, 49 - 57.

Ἀλφειὸς ποταμὸς ὅτι παρὰ τὸ ἀλφοὺς ἰᾶσθαι λέγεται, καὶ ὅτι Ἀλφειοῦ πόρος ἐπικαλεῖται τόπος τις, ὅπου πεζῇ περατὸς ἦν ὁ Ἀλφειός. 297, 5. 8. 580, 40.

ἀλφεσίβοια γυνὴ ἡ βοὰς ἄλφουσα λόγῳ προικὸς διὰ τὸ κάλλος, ὅτι παρὰ τὸν ἀλφέσω μέλλοντα τοῦ ἀλφῶ ῥήματος παρῆκται ἡ λέξις. 1166, 41. 1224, 44. 1385, 16. 1788, 32.

ἀλφησταὶ οἱ ἄνθρωποι λέγονται κατὰ κοινὸν ἐπίθετον ἤγουν εὑρετικοὶ καὶ ἐπινοητικοὶ διὰ τὴν περὶ τὰς τέχνας καὶ ἐπιστήμας εὕρεσιν, καὶ ὅτι παρὰ τὸ ἀλφῶ, ὅ ἐστιν εὑρίσκω, καὶ ὅτι καὶ εἶδός τι ἰχθύων οἱ ἀλφησταὶ ὁμωνύμως. 1166, 42. 1224, 45. 1422, 34.

ἄλφιτα πληθυντικῶς καὶ ἄλφιτον ἑνικῶς, καὶ ὅτι ἄλφιτον οὐ τὸ ἁπλῶς ἄλευρον, ἀλλὰ τὸ κρίθινον κυρίως, καὶ ἄλφιτον ἐπὶ ἄρτου καὶ ἐπὶ πάσματος, καὶ ἐτυμολογία καὶ γραφὴ τῆς λέξεως. 868, 26. 36. 38.

ἄλφιτα, ὅτι εὐτελέστερόν τι ἀλεύρου δοκεῖ τὸ ἄλφιτον, καὶ ὅτι ἐπὶ κριθίνων ἀλεύρων ἢ πιτύρων τίθεται, καὶ ὅτι παρὰ τὸ ἀλφέσθαι τοῖς ἴταις, ὅ ἐστι τοῖς πτωχοῖς, οὕτω λέγεται, ἢ παρὰ τὸ ἐν τῷ ἀλεῖσθαι φάειν ἤγουν φαίνειν καὶ λευκαίνεσθαι ἢ φονεύεσθαι, καὶ ὅτι καὶ ἄλφιτα τὰ ἁπλῶς ἄλευρα. 1445, 53 — 60.

ἄλφιτον τὸ κρίθινον ὅτι παχυντικόν ἐστι τῶν ὑγρῶν. 872, 35.

ἀλφιτόχρως κεφαλὴ ἐπιθετικῶς ἡ πολιά, καὶ ἀλφιτόχρωτες οἱ πολιοὶ κατὰ σκῶμμα λέγονται. 868, 37. 976, 53.

ἀλφίτων πάσμα ὅτι πάνυ σύνηθες ἦν τοῖς παλαιοῖς εἰς ῥόφημα. 1668, 27.

ἀλφίτων στοὰ ἐν Ἀθήναις, ὅπου ἡ τοῦ Ζεύξιδος ἀνέκειτο Ἑλένη. 868, 37.

ἀλφίτων τῶν κατὰ τὴν Εὐβοϊκὴν Ἐρέτριαν καὶ τῶν κατὰ Λέσβον τὴν νῆσον ἔπαινος. 280, 6.

ἄλφοι εὐκτικὸν τοῦ ἦλφον δευτέρου ἀορίστου τοῦ ἀλφῶ ἀλφήσω θέματος. 1788, 33.

ἀλφῶ τὸ εὑρίσκω, ὁ μέλλων ἀλφήσω, ὅθεν ἀλφηστής, καὶ ἀλφέσω, ὅθεν ἀλφεσίβοια. 1166, 41. 1422, 36.

ἁλῶα ἑορτή, ἱστορία καὶ ἐτυμολογία τῆς φωνῆς. 772, 25.

Ἀλωέως παῖδες Ἄρην δήσαντες, μῦθος καὶ ἀλληγορία, καὶ ἐτυμολογία τῆς Ἀλωεὺς φωνῆς. 560, 42.

ἀλωὴ ἡ σιτοφόρος γῆ καὶ ἡ δενδροφόρος καὶ ἡ ἀμπελόφυτος, ἣν καὶ ἀλωὴν οἰνόπεδον Ὅμηρος καλεῖ, καὶ ἀλωὴ ἡ ἅλως παρὰ τὸ ἀλοίω τὸ τύπτω καὶ συντρίβω ἐκτάσει τοῦ ο εἰς ω. 575, 41. 772, 21. 948, 21. 1410, 10.

ἀλῳὴ μετὰ τοῦ ι παρὰ τὸ ἀλοιῶ,

ἁμάρτω ὑποτακτικὸν ὅτι ἁμάτω χωρὶς τοῦ ρ̄ ὤφειλε λέγεσθαι, ἵνα τρισὶ γράμμασι λίποιτο τοῦ ἰδίου ὁριστικοῦ, ὡς τὸ μάθω τοῦ μανθάνω, καὶ τὸ λάχω τοῦ λαγχάνω. 1525, 16.

Ἄμαστρις Ἀμάστρεως, οὐκ Ἀμάστριδος. 362, 5.

ἁμάσυκον, μῆλον τὸ ἅμα σύκῳ ἀνθοῦν. 878, 21.

ἁματροχιαὶ αἱ εἰς ταὐτὸ σύνοδοι τῶν τροχῶν. 1309, 10.

ἁματροχόων ἢ ὁμοτροχόων, Ὀδυσσ. ο', 451. ἤγουν ἀκολουθητικὸς καὶ τρέχων ἐν τῷ συμπορεύεσθαι, ἢ δυνάμενος ἅμα τινὶ τρέχειν. 1788, 36.

ἀμάω ἀμῶ, ὅτι ἐκ τοῦ ἅμα ἐπιῤῥήματος παρῆκται. 1162, 29.

ἀμβατὸς ἀντὶ τοῦ ἀμβατὴ ἤγουν ἀναβαινομένη ἐν τῷ, ἀμβατός ἐστι πόλις, Ἰλιάδ. ζ', 434. 653, 27.

ἀμβλήδην ἐπίῤῥημα ἀντὶ τοῦ ἀναβλητικῶς καὶ προοιμιακῶς ἢ ὁρμητικῶς καὶ ἀθρόως ἐκ τοῦ ἀμβολάδην κατὰ συγκοπήν. 438, 44. 1282, 1. 1406, 2.

ἀμβλίσκειν λέγεται γυνὴ οἱονεὶ ἀναβάλλειν ἐκ τῆς μήτρας τὸ ἔμβρυον. 1406, 3.

ἀμβλὺ λέγεται παρὰ τὸ οἷον ἀναβάλλεσθαι τὴν τομὴν ἀνάπαλιν τοῦ βάλλοντος ὀξέως. 1406, 9.

ἀμβλωθρίδιον βρέφος τὸ ἐν γαστρὶ φθαρὲν βρέφος, τὸ καὶ ἄμβλωμα, τὸ οἷον ἀναβληθὲν ἐκ τῆς μήτρας. 1175, 42. 1406, 3.

ἄμβλωμα, τὸ καὶ ἀμβλωθρίδιον, τὸ οἷον ἀναβληθὲν ἐκ τῆς μήτρας. 1406, 3.

ἀμβλῶσαι τὸ οἷον ἀναβαλεῖν ἐκ τῆς μήτρας τὸ ἔμβρυον. 1406, 3.

ἀμβλῶσαι τὸ φθεῖραι βρέφος ἐν γαστρὶ, καὶ ὅτι ἀμβλωτικοί τινες εἰσὶ βότρυες καὶ οἶνος. 287, 17. 1175, 42.

ἀμβολάδην, ἤγουν ἀναβλητικῶς ἢ ἀναβολικῶς, παρὰ τὸ ἀναβάλλειν, ἑρμηνεία διεξοδική. 1241, 38. 1406, 2.

ἀμβολὰς γῆ λέγεται ἡ ἐν τῷ ὀρύσσεσθαι ἀναβαλλομένη ἤγουν ἄνω ῥιπτομένη, τουτέστιν ὁ ἐξ ὀρυγμοῦ ἀναγόμενος χοῦς. 1241, 42. 1404, 34.

ἀμβολιεργὸς ὁ ἀναπίπτων εἰς ἔργον, παρὰ τὸ ἀναβάλλεσθαι. 241, 32. 1406, 9.

ἀμβροσία, εἶδος ἄνθους, καὶ ἀμβρόσιον τὸ ἀνθηρὸν, καὶ ἀμβροσία μίγμα τι ἐξ ὕδατος καὶ μέλιτος καὶ ἐλαίου, καὶ ὅτι θεῖόν τι βρῶμα ἡ ἀμβροσία ἀλληγορικῶς. 438, 16. 976, 3. 1525, 46.

ἀμβροσία ἐπὶ εὐώδους τινὸς μύρου ἐν τῷ, ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα, Ὀδυσσ. δ', 445. 1504, 10.

ἀμβροσία ὅτι καὶ ἐπὶ θείου σμήγματος ποιοῦ λαμβάνεται, Ἰλιάδ. ξ', 170. 974, 48.

ἀμβροσία ὅτι παρὰ μὲν τοῖς πλείστοις ξηρόν τι βρῶμα νοεῖται, τινὲς δὲ καὶ ὑγράν τινα θείαν τροφὴν ἐνόησαν τὴν ἀμβροσίαν, κατασκευὴ διεξοδικὴ ἐκ ῥητῶν τινῶν συγγραφέων· καὶ ὅτι ἐννεαπλασίως γλυκυτέρα τοῦ μέλιτος ἡ ἀμβροσία, καὶ περὶ τῆς σκευασίας αὐτῆς. 607, 4. 1170, 21. 1632, 56 — 1633, 16.

ἀμβροσία, ὅτι ἐκ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ βροτὸς σύγκειται ἡ λέξις. 160, 20.

ἀμβροσία, ἄνθος τι, ὃ οἱ μὲν κρίνον, οἱ δὲ ἴον ἑρμηνεύουσι. 1295, 24.

ἀμβροσία νὺξ ἡ γλυκεῖα, ὡς ἡ ἀμβροσία. 172, 37.

ἀμβρόσιαι κάπαι ἐπιθετικῶς λέγονται παρ' Ὁμήρῳ αἱ τῶν θείων ἵππων φάτναι. 721, 63.

ἀμβρόσιος ὕπνος ὁ γλυκὺς, ὡς ἡ ἀμβροσία. 166, 43.

ἄμβωνες, λόφοι ὀρῶν καὶ πᾶσα ὑπεροχὴ καὶ οἷον ὀφρὺς, καὶ ἄμβωνες τὰ χείλη τῶν λοπάδων, καὶ ἄμβων τὸ γυναικεῖον μόριον ὁμωνύμως. 1539, 33. 1636, 50.

ἀμέγαρτος ὁ εὐτελὴς καὶ ἄτεχνος, καὶ ᾧ οὐκ ἄν τις φθονήσειεν, ἐν τῷ, ἀμέγαρτε συβῶτα, Ὀδυσσ. ρ', 219. 1817, 28.

ἀμέγαρτος πνοή, Ὀδυσσ. λ', 400. ἡ πολλὴ καὶ ἄφθονος, ἢ ἄζηλος καὶ ἀφθόνητος. 1692, 2.

ἀμέγαρτος πόνος ὁ εἰς μέγα αἱρόμενος, ὅ ἐστι πολὺς καὶ μέγας, ἢ ᾧ οὐδεὶς μεγαίρει, ὅ ἐστι φθονεῖ. 250, 5.

ἀμείβειν γόνυ γοννὸς, τὸ κατὰ βραχὺ προποδίζειν καὶ ἠρέμα προϊέναι. 862, 1. 4.

ἀμείβεσθαί τι λέγεται τοὺς ὀδόντας οἷον λόγος ἢ βρῶμα παρ' Ὁμήρῳ ἤγουν παρέρχεσθαι. 1660, 16.

ἀμείβεσθαι λόγοις τὸ ἀποκρίνεσθαι καὶ ἀνταπολογεῖσθαι, καὶ ἀμείβεσθαι ἔργοις τὸ ἀνταποδιδόναι. 55, 36.

ἀμείβεσθαι τὸ ἀνὰ μέρος τι ποιεῖν, οἷον ἐν τῷ, ταρφέ' ἀμειβόμενοι, Ὀδυσσ. θ', 379. ἀντὶ τοῦ ἀνὰ μέρος ὀρχούμενοι. 1602, 15.

ἀμείβοντες οἱ κοινῶς λεγόμενοι προσφιλοῦντες, εἰσὶ δὲ ξύλα ὑπανέχονται τὴν στέγην, ἑρμηνεία διεξοδική. 1326, 16. 1327, 1.

ἀμειβὼ ἀμειβοῦς θηλυκὸν παρὰ τὸ ἀμείβω. 1471, 30.

ἀμείρειν ὅτι παρὰ τὸ μείρειν, ὅ ἐστι μερίζειν, λέγεται, ὅθεν τὸ ἀπαμείρειν. 1766, 53.

ἀμέλγω ἐκ τοῦ ἀμέργω τὸ ἐκπιέζω τροπῇ τοῦ ρ̄ εἰς λ̄. 218, 12.

ἀμέλει ἐπίῤῥημα ὅτι ὡς τὰ πολλὰ ἀντὶ τοῦ πάντως λαμβάνεται καὶ δηλοῖ συγκατάθεσιν. 1407, 12.

ἀμελεῖν, ὅτι οὐ μόνον φίλος μὴ ἀμελεῖν φίλου, ἀλλὰ καὶ ἐχθρὸς μὴ ἀμελεῖν ἐχθροῦ λέγεται. 1092, 4.

ἄμεναι ἢ ἄμμεναι ἤγουν κορέσασθαι, παρὰ τὸ ἄω τὸ ἀπαρέμφατον ἄειν καὶ Δωρικῶς ἄεν καὶ ἀέμεναι καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ μ̄ ἄμμεναι. 1224, 13.

ἀμενηνοὶ ὄνειροι οἱ μὴ στερεμνίως φαντασιοῦντες τὰ βλεπόμενα. 1878, 4.

ἀμενηνὸς, ἀσθενὴς, παρὰ τὸ μένος καὶ τὸ στερητικὸν ᾱ ἀμενὸς κατ' ἐπένθεσιν τῆς νη̄ συλλαβῆς. 641, 55.

ἀμενήνωσεν, ἀμενηνὸν ἐποίησεν, ἠχρείωσεν. 946, 45.

ἀμέργειν τὸ ἐκπιέζειν καὶ τὸ καρπολογεῖν, καὶ ὅτι μέργειν λέγεται, καὶ ὅτι ἄδηλον ὁπότερον αὐτῶν ἐκ θατέρου γέγονε. 218, 11. 838, 55. 1608, 55.

ἀμέρδειν τὸ ἀφανίζειν καὶ στερίσκειν τοῦ μέρδειν, ὅ ἐστι λάμπειν, ἐν τῷ, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει, Ὀδυσσ. τ', 18. καὶ τὸ σκοτίζειν ἐν τῷ, ὄσσε δ'

ἄμερδεν αὐγὴ, Ἰλιάδ. ν', 340. ἁπλῶς δὲ τὸ στερίσκειν τῆς μερίδος. 910, 31. 1853, 23. 27.

ἀμέρδειν ὀφθαλμῶν τὸ τυφλῶσαι, ἀμέρδειν δὲ ὀφθαλμοὺς λέγεται ἡ λαμπηδὼν ἤγουν σκοτοῦν. 1045, 40. 1585, 64.

ἀμέρδειν τὸ τῆς μερίδος ἀποστερεῖν καὶ τὸ ἀμαυροῦν καὶ ἀποστερεῖν τοῦ μέρδειν, τουτέστι τοῦ βλέπειν. 936, 5. 1256, 58.

ἀμερμηρεὶ ἐπίῤῥημα, ἤγουν δίχα μερίμνης, ὅτι παρὰ τὸ μερμερίζειν λέγεται. 1881, 8.

ἀμέρσαι τὸ τῆς μερίδος στερῆσαι τινὰ, ἀπὸ τοῦ ἀμέρδω. 1045, 38.

ἄμες Δωρικῶς, ἄμμες δὲ Αἰολικῶς ἀντὶ τοῦ ἡμεῖς. 1112, 39.

ἀμετάβολα παρατεθέντα ἀμεταβόλοις συνεξομοιοῦνται ἐν τῇ συνθέσει, οἷον ἄγαν ῥόος ἀγάῤῥοος. 359, 7.

ἀμετάληπτος λέξις ἡ μὴ δυναμένη μεταληφθῆναι εἰς ἑρμηνευτικὴν ἑτέραν λέξιν. 79, 46. 777, 55. 1793, 16.

ἀμέτρητος, ὃν οὐκ ἔστι μετρῆσαι. 1947, 35.

ἀμετροεπὴς ὁ ὑπὲρ τὸ μέτρον λαλῶν. 204, 43.

ἀμὴ ἀντὶ τοῦ ἡμετέρα, ὑμὴ δὲ ἀντὶ τοῦ ὑμετέρα κατὰ δεύτερον πρόσωπον. 1677, 42.

ἀμηγέπη ἐπίῤῥημα ταὐτὸν τῷ ἀμωσγέπως, ὃ ἐκ τοῦ ἀμῶς σύγκειται, ὅ ἐστι κατὰ ἕνα τινὰ τρόπον, καὶ δηλοῖ τὸ ἐπ' ὀλίγον καὶ μετρίως καὶ κατά τι. 1383, 61.

ἀμῆσαι ῥῖνας καὶ οὔατα, Ὀδυσσ. φ', 301. ἀντὶ τοῦ ῥαδίως ἀποκόψαι. 1910, 62.

ἀμήσασθαι ἀντὶ τοῦ συνελεῖν καὶ συναγαγεῖν ταῖς χερσὶν πολλαχοῦ παρ' Ὁμήρῳ. 1627, 50.

ἄμητος ὁ καιρὸς τοῦ ἀμᾶν, ἀμητὸς δὲ ὀξυτόνως ἡ τοῦ ἀμᾶν ἐνέργεια καὶ ὁ τεθερισμένος καρπός. 1181, 32.

ἄμητος, σπορίμων συναγωγὴ διὰ χειρῶν γινομένη, ὅθεν ἀμήσασθαι τὸ ἁπλῶς συνελεῖν καὶ συναγαγεῖν ταῖς χερσί. 1627, 51.

ἀμήχανοι ὄνειροι, Ὀδυσσ. τ', 560. πρὸς οὓς οὐκ ἔστι κρίσιν τινὰ ὡρισμένην μηχανήσασθαι. 1878, 1.

ἀμηχανεῖν, ἀπορεῖν τῇ διανοίᾳ. 1636, 24.

ἀμήχανος ὁ ἀπορῶν μηχανῆς, ἤγουν ἁπλοῦς καὶ ἀπερίεργος καὶ ἄτεχνος, καὶ ἀμήχανος ἐν ἴσῳ τῷ κακομήχανος, καὶ ἀμήχανος ὁ δυσπειθὴς καὶ ἀνάλωτος μηχαναῖς, ἑρμηνεία διεξοδική. 197, 33. 646, 1. 701, 31. 790, 22. 1002, 40. 1043, 35. 1184, 21.

ἄμια, εἶδος ἰχθύος, ὅτι παρὰ τὸ ἅμα ἰέναι λέγεται ὡς συναγελαστικὸν, ἣ καὶ δασύνεται ἡ λέξις, ἢ παρὰ τὸ μὴ κατὰ μίαν, ἣ καὶ ψιλοῖτ' ἂν τὸ ἀὼς στερητικόν. 868, 5.

ἀμιθρεῖν τὸ ἀριθμεῖν κατὰ στοιχείων μετάθεσιν. 1801, 28.

ἀμὶν ἀντὶ τοῦ ἡμῖν ὀξυτόνως καὶ βραχυκαταλήκτως. 1112, 35.

ἅμιπποι, κέλητες ἵπποι ὁμοῦ συνεζευγμένοι, τουτέστιν ἵπποι ἐξευγμένοι χωρὶς δίφρου, ἐφ' ὧν ὁ μὲν τις ἡνιοχῶν, ὁ δὲ ὡπλισμένος ἐκάθητο, οἳ καὶ αὐτοὶ διὰ τὸ, εἰ καὶ χωρὶς ἑκάτερος, ἅμα δ' ὅμως ἱππεύειν, ἅμιπποι ἐλέγοντο. 1037, 56. 1539, 26.

ἁμὶς ὅτι δασύνεται παρὰ τοῖς Ἀττικοῖς, ἀλλαχοῦ δέ φησιν ὅτι ἐδασύνετο πάλαι ἡ λέξις. 1387, 9. 1636, 27.

Ἀμισὸς, πόλις ἐν τῷ Εὐξείνῳ πόντῳ, Πειραιεὺς μετονομασθεῖσα. 284, 26.

Ἀμισώδαρος, Καρίας δυνάστης, ὅς θρέψαι τὴν μυθευομένην Χίμαιραν ἱστορεῖται. 1062, 57.

ἀμιτροχίτωνες, ὅτι οὕτω καλεῖ Ὅμηρος τοὺς ἀζώστους, καὶ ὅτι καὶ μιτροχίτωνες τινὲς ἐκλήθησαν διὰ τὸ μίτραις ζώννυσθαι, ἑρμηνεία διεξοδική. 1056, 63. 1068, 11-28.

ἀμιχθαλόεσσα Λῆμνος ἡ εὐδαίμων κατὰ γλῶσσαν ἢ ἡ δυσπρόσιτος καὶ ἄμικτος, ὅθεν καὶ λέγεται ἡ λέξις τροπῇ τῶν δασέων εἰς ψιλὰ καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς. 1374, 15.

ἄμμε ἀντὶ τοῦ ἡμᾶς Αἰολικῶς ἐν τῷ, νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω, Ἰλιάδ. α', 59. ὅτι βαρύνεται ἡ λέξις καὶ ψιλοῦται καὶ δυσὶ μ γράφεται. 47, 30. 1636, 55.

ἄμμες ἀντὶ τοῦ ἡμεῖς Αἰολικῶς κατὰ συστολὴν τοῦ η καὶ διπλασιασμὸν τοῦ μ. 110, 39.

ἄμμι ἀντὶ τοῦ ἡμῖν Αἰολεῖς βαρυτόνως καὶ βραχυκαταλήκτως. 1112, 34

ἀμμορία ἡ δυστυχία. 1209, 26.

ἄμμορος ἐν ἴσῳ τῷ κακόμοιρος, καὶ ὅτι ἀντίκειται τῷ ἔμμορος, ὃ δηλοῖ τὸν ἐπιτυχῆ καὶ μέτοχον μερίδος. 1606, 28.

ἀμμωνιακὸν ἅλας ὅτι ἐξαίρετον ἦν τῷ βασιλεῖ τῶν Περσῶν. 1500, 2.

ἀμνὴ, θηλυκὸν τοῦ ἀμνὸς, οἱ μὲν ὅτι μέσον τῇ ἡλικίᾳ πρόβατον δηλοῖ, οἱ δὲ ὅτι ἄρνα ἐνιαύσιον. 1627, 13.

ἀμνίον θερίζειν, παροιμία ἐπὶ τῶν ἐκ διαλείμματος τιμωρουμένων. 1627, 14.

ἀμνίον παροξυτόνως, ἀγγεῖον δεκτικὸν τοῦ τῶν σφαγιαζομένων ἱερείων αἵματος, ὅτι οἱονεὶ ἀμένιον λέγεται παρὰ τὸ στερεῖσθαι μένους τὰ σφαζόμενα, ἕτεροι δὲ ἅμνιον οἱονεὶ αἵμνιον παρὰ τὸ αἷμα. 1476, 35.

Ἀμνισσὸς, ἐπίνειόν τι ἐν Κρήτῃ οὕτω καλούμενον καὶ ποταμὸς ὁμώνυμος, καὶ ὅτι οἱονεὶ ἀμενισσὸς λέγεται, ἐτυμολογία διεξοδική. 1861, 36.

ἀμνοκῶν ὁ προβατώδης καὶ εὐήθης καὶ ἀμνὸς τὰ ἐς νοῦν, παρὰ τὸ κοεῖν, ὅ ἐστι νοεῖν, ὡς ἀμνός. 962, 18. 1669, 57.

ἁμνὸς ὅτι δασύνεται παρὰ τοῖς Ἀττικοῖς. 1636, 28.

ἀμόθεν ἐπίῤῥημα ἀντὶ τοῦ ποθὲν καὶ ἀπό τινος ἑνὸς τόπου, παρὰ τὸ ἀμὸς, ὅ ἐστιν εἷς ἢ τίς. 1383, 52.

ἀμοιβαδὶς δικάζειν ἀντὶ τοῦ ἐναλλὰξ ἢ κατὰ λαχμὸν καὶ κλῆρον, καὶ ὅτι ἀμοιβαδὶς λέγεται ποιητικῶς τὸ κοινῶς ἀμοιβαδόν. 1158, 39. 1547, 24.

ἀμοιβαῖοι λόγοι, ἐν οἷς τὰ πρόσωπα συντόμως πρὸς ἄλληλα ἀνταποκρίνονται, ὃ καὶ ἀλληλογραφία λέγεται 55, 38.

ἀμοιβὰς χλαῖνα, Ὀδυσσ. ξ', 521. ἣν ἔχει τις πρὸς ἀμοιβήν. 1771, 5. 15.

ἀμοιβὴ ἐπὶ ποινῆς ἐν τῷ, εἰ δέ μοι οὐ τίσουσι βοῶν ἐπιεικέ' ἀμοιβὴν, Ὀδυσσ. μ', 382. 1727, 44.

ἀμοιβοὶ ἐπίκουροι ἐπιθετικῶς, Ἰ-

λιάδ. ν', 793. διαφόρως ἑρμηνευόμενον. 960, 21.

ἀμοιβὸς χάρις ἡ ἀντίχαρις. 960, 27.

ἀμολγοὶ ῥήτορες λέγονται κατὰ σκῶμμα παρὰ τὸ ἀμέλγειν, ζήτει ἐν τῷ ἀμοργοί. 838, 50. 1608, 57.

ἀμολγεὺς, σκεῦος ποιμενικὸν ἐν ᾧ ἀμέλγουσι, καὶ ὑπὲρ κεφαλῆς τὸν ἀμολγέα πληροῦν ἐν ἴσῳ τῷ ἐπιστέφειν. 1018, 24. 1625, 5.

ἀμολγὸς ἁπλῶς καὶ ἀμολγὸς νυκτὸς κατὰ συνθήκην διαφόρως ἑρμηνευόμενον καὶ ἐτυμολογούμενον διεξοδικῶς. 838, 50. 1018, 10-22.

ἀμολγὸς ὁ πρὸς τῷ τέλει τῆς νυκτὸς καιρὸς καὶ ὁ πρὸς ἑσπέρας παρὰ τὸ ἀμέλγειν, ἐπεὶ κατ' ἀμφοτέρους τοὺς καιροὺς τούτους ἀμέλγονται τὰ θρέμματα. 1255, 6 — 11.

ἀμόργη, πορφύρα κατὰ γλῶσσαν καὶ ἡ τοῦ ἐλαίου ὑποστάθμη, παρὰ τὸ ἀμέργω ἢ ὀμόργω διὰ τὸ τὴν τοῦ ἐλαίου ἀμόργην σπογγισμοῦ δεῖσθαι. 218, 12. 1587, 3.

ἀμοργοὶ πόλεως οἱ ἀμέργοντες, ὅ ἐστιν ἀμέλγοντες καὶ ἐκμυζῶντες, τὰ δημόσια. 838, 50. 1608, 57.

ἀμορφέστατος γυνὴ ἀντὶ τοῦ ἀμορφωτάτη. 1441, 11.

αμος ληγόντων καθόλου προσῳδία διεξοδικῶς. 1347, 11.

αμος ληγόντων ὀνομάτων παραγωγὴ, οἷον ἐκ τοῦ θάλλω θάλος καὶ θάλαμος, καὶ ἐκ τοῦ πλέκω πλόκος καὶ πλόκαμος. 1094, 54

αμος ληγόντων τινῶν προπαροξυτόνων ἀναλογία, οἷον πλόκος πλόκαμος, ὄρχος ὄρχαμος. 649, 8.

ἀμὸς ἀντὶ τοῦ εἷς ἢ ἀντὶ τοῦ τὶς κατὰ γλῶσσαν. 1383, 52.

ἀμὸς ἀντὶ τοῦ ἡμέτερος κατὰ πρῶτον πρόσωπον. 574, 43.

ἄμοτον τανύεσθαι λέγονται παρ' Ὁμήρῳ ὑποζύγια τινὰ ἅμαξαν ἕλκοντα, ἀντὶ τοῦ εὐτόνως κινεῖσθαι. 1552, 37.

ἄμοτον τὸ πλῆρες καὶ ἀνενδεὲς καὶ μότου μὴ δεόμενον ἐκ μεταφορᾶς τῶν μοτουμένων τραυμάτων, δηλοῖ δὲ τὸ λίαν ἐν τῷ, τῷ σ' ἄμοτον κλαίω, Ἰλιάδ. τ', 300. καὶ τὸ ἀπλήρωτον καὶ πολύ. 459, 13. 1184, 54. 1185, 30. 1316, 42.

ἄμπαλος ὁ ἀνάδασμος καὶ ἐκ δευτέρου πάλος, ὅ ἐστι κλῆρος, ὅτι ἐκ τοῦ ἀνάπαλος συγκέκοπται. 64, 43. 1434, 28.

ἀμπελεὼν τετρασυλλάβως ἐν ἴσῳ τῷ ἀμπελών. 1573, 27.

ἄμπελοι αὐθημερὸν ἀνθοῦσαι καὶ ἄκρατον χορηγοῦσαι, ἱστορία. 917, 36. 42.

ἄμπελος βασιλικὴ λιθοκόλλητος, ἔχουσα καὶ βότρυας ἐκ πολυτελεστάτων ψήφων συγκειμένους, κτῆμα τοῦ Περσῶν βασιλέως. 1484, 10.

ἄμπελος Ἀναχάρσιδος, ἀπόφθεγμα αἰνιγματικὸν περὶ τοῦ φυτοῦ τῶν ἀμπέλων. 1524, 22.

ἄμπελος, ὅτι καὶ Πράμνειός τις ἄμπελος καλεῖται καὶ Θασία καὶ μελίκηρις. 1656, 63.

ἀμπέλων εἴδη, ὅτι ἡ εἰκῆ πεφυτευμένη ἄμπελος ξυστὰς λέγεται, ἡ δὲ κατὰ στοίχους στοιχάς. 1524, 33.

ἀμπελὼν, ἀμπελῶνος, ὅτι καὶ ἀμπελεὼν τετρασυλλάβως λέγεται. 1573, 26.

ἀμπεπαλὼν, ἀνακινήσας, ἀπὸ τοῦ ἔπαλον δευτέρου ἀορίστου ἡ μετοχὴ ὁ παλὼν, καὶ διπλασιασμῷ Ἰωνικῷ ἐν συνθέσει τῆς ἀνὰ προθέσεως κατὰ συγκοπὴν ἀμπεπαλών. 1969, 38.

ἀμπέσχετο ὅτι ἐκ τοῦ ἀμπίσχειν κανονίζεται. 641, 43.

ἀμπέχειν ἐκ τοῦ ἀμφιέχειν κατὰ ἀντιστοιχίαν. 641, 46.

ἀμπεχόνη καὶ ἀμπέχονον ὅτι ἀπὸ τοῦ ἀμπέχω παρήχθησαν, ὃ ἐκ τοῦ ἀμφιέχω γέγονε τροπῇ τοῦ φ εἰς π. 83, 1. 641, 47. 1560, 44.

ἀμπέχω ὅτι ἐκ τῆς ἀμφὶ προθέσεως καὶ τοῦ ἔχω σύγκειται, τροπῇ τοῦ φ τῆς προθέσεως εἰς π, ὅπερ ἐν τῷ μέλλοντι οὐ τρέπεται, ἀμφέξω γάρ· καὶ ζήτει τὸ ἀμφέξω. 1560, 45. 1856, 26.

ἀμπίσχειν ὅτι παρὰ τὸ ἀμπέχειν λέγεται, ὃ ἐκ τοῦ ἀμφιέχειν γέγονε τροπῇ τοῦ φ εἰς π. 641, 47. 1560, 44.

ἀμπνύνθη, εἰς τὴν προτέραν πνοὴν ἐπανῆλθε. 996, 44.

ἄμπνυσθαι τὸ ἀναπνέειν, ὅ ἐστιν εἰς ἣν εἶχέ τις πνοὴν ἐπανέρχεσθαι. 1280, 38. 1964, 30.

ἄμπρον, σχοινίον ᾧ ἐχρῶντο πάλαι ἀντὶ ῥυμοῦ μέσῳ τεταμένῳ τῶν ἑλκόντων ὑποζυγίων, ὅθεν ἀμπράειν παρὰ Λυκόφρονι. 623, 38.

ἀμπυκάσαι τὸ χαλινῶσαι καὶ τὸ ἀναδῆσαι καὶ στεφανῶσαι. 1280, 54.

ἀμπυκίζειν τὸ τὰς ἐμπροσθίας τρίχας ἀναδεῖν. 1280, 53. 57.

ἀμπυκῖται, διαδήματα, παρὰ τὸ ἀμπυκίζειν, ὃ δηλοῖ τὸ τὰς τρίχας ἀναδεῖν. 1280, 56.

ἄμπυξ ἀρσενικοῦ γένους, διάδημα ποιὸν ἀναδετικὸν τῶν τριχῶν, ὅθεν καὶ χρυσάμπυκες ἵπποι· καὶ ἄμπυξ, χαλινὸς, ἑρμηνεία διεξοδικὴ καὶ ἔκθεσις τῶν ἐκ τοῦ ἄμπυξ παραγομένων καὶ συντιθεμένων, καὶ ἄμπυξ ὁ τροχὸς μεταφορικῶς. 556, 24. 1280, 51 — 58.

ἄμπωτις, ὅτι Ἀττικῶς ἐκτείνει τὴν παραλήγουσαν ἡ λέξις. 1716, 36.

ἄμυγμα ἴσον τῷ ἀμυχῇ, παρὰ τὸ ἀμύσσειν. 567, 32.

ἄμυδις ἀντὶ τοῦ ἅμα ὅτι ψιλοῦται ὡς Αἰολικόν. 732, 30. 806, 49. 1212, 5.

ἀμυδρὸς ὅτι παρὰ τὸ μύδρος λέγεται, καὶ ὅτι ὤφειλε προπαροξύνεσθαι ὡς σύνθετον. 463, 41.

Ἀμυδὼν, ἡ καὶ Ἀβυδὼν, πόλις Παιονίας, ὁ πολίτης Ἀμυδώνιος. 360, 3.

Ἀμυθὰν Ἀμυθᾶνος ἀντὶ τοῦ Ἀμυθάων παρὰ Πινδάρῳ, ὡς Ἀλκμὰν ἀντὶ τοῦ Ἀλκμάων. 1681, 50.

Ἀμύκλαι, μία τῶν τῆς Λακωνικῆς ἑκατὸν πόλεων, ἀπὸ Ἀμύκλαντος υἱοῦ Λακεδαίμονος. 295, 14.

Ἀμυκλαΐδες, εἶδος ὑποδήματος. 295, 18.

Ἀμύκλαιον, πόλις Κρήτης καὶ ὅρμος. 295, 17.

Ἀμύκλας, υἱὸς Λακεδαίμονος, ἀφ' οὗ Ἀμύκλαι πόλις, καὶ κλίνεται Ἀμύκλαντος καὶ τοῦ Ἀμύκλα ἰσοσυλλάβως. 295, 15.

Ἄμυλος, εἶδος πλακοῦντος εὐθρύπτου, περὶ ὃν μύλαι ὀδόντων οὐ πονοῦνται. 1053, 15.

Ἀμυμώνεια ὕδατα ἐν Ἄργει, ἃ Ποσειδῶν ἀνέῤῥηξε διὰ τὸν Ἀμυμώνης ἔρωτα. 461, 4.

ἀμύμων ὁ ἀμώμητος, ὅτι μόνοις τοῖς θνητοῖς προσώποις καὶ τού-

των μόνοις τοῖς ἐνδόξοις εἴωθεν ἐπιτιθέναι τὴν λέξιν ὁ Ὅμηρος. 317, 46. 860, 11. 996, 60. 1051, 32. 1857, 45.

ἀμύμονα εἰδέναι λέγεταί τις καθ' ἕξιν, ἀπηνὴς δὲ εἶναι κατὰ διάθεσιν. 1866, 37.

ἀμύμονες Αἰθίοπες ἐπιθετικῶς οὐχ' ὅτι πάντες, ἀλλ' ὅτι τινὲς τοιοῦτοι. 128, 38.

ἄμυνα ἐπὶ ἁπλῶς ἀμοιβῆς, καὶ ἀμύνεσθαι ἐπὶ τοῦ ἁπλῶς ἀμείβεσθαι, ὅ ἐστιν ἀνταποδιδόναι. 546, 27.

ἀμύνειν τὸ χωρὶς μύνης, ὅ ἐστι προφάσεως, βοηθεῖν, δοτικῇ, ἀμύνειν δέ τινι κακὸν ἀντὶ τοῦ ἀποσοβεῖν· καὶ ὅτι ἀμύνειν μὲν δοτικῇ, ἀμύνεσθαι δὲ αἰτιατικῇ παρ' Ὁμήρῳ. 49, 42. 1116, 30. 1608, 51. 1964, 54.

ἀμύνειν κατὰ μόνας καὶ ἀμύνειν τινὶ ἐλλιπῶς λέγεται, ἀμύνειν δὲ τινὶ ὄλεθρον ἤ τι ἄλλο τι ἐντελῶς. 761, 43. 1135, 10.

ἀμύνεσθαι ἀντὶ τοῦ ἁπλῶς ἀμείβεσθαι, ὅ ἐστιν ἀνταποδιδόναι, καὶ ἄμυνα ἡ ἁπλῶς ἀμοιβή. 546, 27.

Ἀμυνίας κύριον καὶ ἀμυνίας θυμὸς ἐπιθετικῶς ὅτι παρὰ τὸ ἀμύνειν λέγονται. 804, 23.

ἀμυντέα ἀντὶ τοῦ ἀμυντέον Ἀττικῶς. 759, 38.

Ἀμύντας καὶ Ἀμύντωρ κύρια ὅτι παρὰ τὸ ἀμύνειν λέγονται. 439, 41. 804, 23.

ἀμύντωρ ὁ ἐκδικητής. 998, 50.

Ἄμυρις, ὁ καὶ Θάμυρις, κύριον, ἱστορία· καὶ παροιμία, Ἄμυρις μαίνεται. 298, 2.

ἀμύσσειν τὸ ξέειν καὶ δρύπτειν, οἱονεὶ αἱμύσσειν, ὅτι ψιλοῦται ἡ λέξις, καὶ ὅτι κατὰ σαρκῶν κυριολεκτεῖται. 94, 32. 567, 31. 1062, 46.

ἄμυστις, εἶδος ποτηρίου, ὅτι παρὰ τὸ μὴ μύειν τοὺς ἐξ αὐτοῦ πίνοντας διὰ τὸ εὔκολον τῆς πόσεως οὕτω λέγεται· καὶ ἄμυστις πόσις, ἣν πίνει τις μὴ μύσας. 883, 58. 1282, 29. 1476, 32.

ἀμυχαί, ξέσματα, παρὰ τὸ ἀμύσσειν. 94, 35.

ἀμφ' ἐμοὶ ἀντὶ τοῦ δι' ἐμὲ ἢ ἐπάνω ἐμοῦ ἐν τῷ, τὴν κτεῖνε Κλυταιμνήστρα ἀμφ' ἐμοὶ, Ὀδυσσ. λ', 422. 1692, 60.

ἀμφαδὰ καὶ ἀμφάδια ὅτι ἀντίκειται τῷ κρυπτάδια. 147, 17. 631, 59.

ἀμφαδία φιλότης ἡ κατὰ νόμιμον γάμον ἀνδρὸς καὶ γυναικὸς μίξις. 631, 59.

ἀμφαδίῃ ἐλλιπῶς τοῦ μάχῃ ἐν τῷ, ἀμφαδίῃ μὲν ἀλέεινεν, Ἰλιάδ. ν', 356. 936, 63.

ἀμφαδίην ἐπίῤῥημα ἢ ἐπίθετον ἐλλειπτικὸν οὐσιαστικοῦ ἐν τῷ, οἵ τε θεοῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι ἀμφαδίην, Ὀδυσσ. ε', 120. καὶ ὅτι ἐκ τοῦ ἀμφαδὸν παρῆκται τὸ ἀμφαδίην. 612, 2. 1527, 38.

ἀμφαΐσσονται, κύκλῳ ὁρμῶσι. 853, 26.

ἀμφαμιῶται οἱ κατ' ἀγρὸν δοῦλοι κατὰ γλῶσσαν. 1024, 35.

ἀμφαξονεῖν τὸ μὴ πορεύεσθαι κατ' ὀρθὸν, ἀλλ' ὀκλάζειν τοῖς γόνασι, παρὰ τὸν ἄξονα μεταφορικῶς. 918, 62.

ἀμφαρίστερον τὸ ἀμφοτέρωθεν οὐκ αἴσιον ἀπεναντίας τῷ ἀμφιδεξίῳ. 1228, 44. 1398, 48.

ἀμφασία, ὅτι ὄγκου χάριν ἔχει τὸ μ ἡ λέξις, καὶ ὅτι ἐν τῷ ἀμφασίῃ ἐπέων, Ἰλιάδ. ρ', 695. ἐκ περισσοῦ πρόσκειται τὸ ἐπέων· καθ' αὐτὸ γὰρ στέρησιν τοῦ φάσθαι δηλοῖ, ὃ δι' ἐπῶν γίνεται. 1123, 41. 1514, 55.

ἀμφαφάασθαι τὸ μεταχειρίζεσθαι καὶ τῇ ἁφῇ διερευνᾶν, ὅτι παρὰ τὴν ἁφὴν λέγεται. 1543, 5. 1591, 45. 1593, 4.

ἀμφαφόων, ἁφῇ διερευνῶν. 1543, 5. 1591, 45.

ἀμφέξῃ, ἐνδύσῃ, ἀπὸ τοῦ ἀμπέχομαι ἀμφέξομαι. 1164, 37.

ἀμφέξω ἤγουν ἐνδύσομαι, ὅτι ἐν τῷ ἀμπέχω ἐνεστῶτι τραπέντος τοῦ φ τῆς ἀμφὶ προθέσεως εἰς π πρὸς τὸ μὴ παραλληλισθῆναι τῷ χ τοῦ ῥήματος, ἐν τῷ μέλλοντι λείψαντος τοῦ θεματικοῦ χ ἀποκαθίσταται τὸ δασὺ τῆς προθέσεως. 1560, 44. 1850, 27.

ἀμφέπειν τὸ ἐνεργεῖν, ὅτι διαλέλυται ἡ τοῦ ἀμφέπειν σύνθεσις ἐν τῷ, ἀμφὶ βόος ἕπετον κρέα, Ἰλιάδ. λ', 776. ἐκ παραδείγματος. 883, 63.

ἀμφέπειν ἐν ἴσῳ τῷ περιέπειν, καὶ ὅτι τὴν κύκλῳ ἐντρέχειαν δηλοῖ, παρὰ τὸ ἕπειν. 644, 59. 1218, 16.

ἀμφέπειν τρίποδα λέγεται τὸ πῦρ ἤγουν κυκλοῦν καὶ πάντοθεν ἐνεργεῖν. 1146, 37.

ἀμφεποτᾶτο τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ πέτω ῥήματος γίνεται ὄνομα ποτὸς, ὅθεν ποτῶ ῥῆμα, ὅπερ ἔδει μεγεθύνειν τὴν παραλήγουσαν. 229, 30.

ἀμφέχυτο ἀντὶ τοῦ περιῆλθεν ἐν τῷ, θείη δέ μιν ἀμφέχυτ' ὀμφή, Ἰλιάδ. β', 41. 169, 29.

ἀμφηρεφὴς φαρέτρα ἡ κύκλῳ ἐρεφομένη. 39, 2.

ἀμφὶ δοτικῇ ἐν τῷ, ἀμφ' Ἑλένῃ μάχεσθαι, Ἰλιάδ. γ', 70. καὶ ἐν τῷ, ἀξίνην εὔχαλκον ἐλαΐνῳ ἀμφὶ πελέκκῳ, Ἰλιάδ. ν', 612. 949, 57.

ἀμφὶ αἰτιατικῇ ἐν τῷ, οἱ ἀμφὶ Πρίαμον, ἀντὶ τοῦ ὁ Πρίαμος. 394, 39.

ἀμφὶ πρόθεσις τῷ βαίνειν καὶ τῷ ἵστασθαι ῥήματι συμφερομένη δοτικῇ συντάσσεται παρ' Ὁμήρῳ, οἷον, ἀμφὶ δ' ἄρ αὐτῷ βαῖνε, καὶ, ἔστασαν ἀμφὶ Μενοιτιάδῃ. 1091, 39.

ἀμφὶ πρόθεσις ὅτι ἐν συνθέσει τὸ κύκλῳ σημαίνει. 243, 21.

ἀμφὶ πρόθεσις τὸ περισσὸν μεταληπτικῶς, ὡς ἴσον δυναμένη τῇ περί. 1299, 59.

ἀμφὶ ἀντὶ τῆς περὶ γενικῇ ἐν τῷ, ἀμφ' Ἄρεως φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης, Ὀδυσσ. θ', 267. 1598, 9.

ἀμφὶ καὶ περὶ προθέσεις παραλλήλως κείμεναι ἐν τῷ, περί τ' ἀμφί τε τάφρον, Ἰλιάδ. ρ', 760. 1126, 58.

ἀμφὶ ἀντὶ τῆς περὶ καὶ ἀντὶ τῆς ἐν καὶ ἀντὶ τῆς ἐπὶ, καὶ ἀντὶ τοῦ δύο ἐν τῷ ἀμφίστομος καὶ τοῖς ὁμοίοις. 166, 32.

ἀμφὶ βοηλασίῃ ἀντὶ τοῦ περὶ βοηλασίας, καὶ ἀμφὶ γάμῳ ἀντὶ τοῦ περὶ γάμου. 877, 27. 938, 50.

ἀμφί τινι βαλεῖν πήχεε, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀμφιβαλεῖν τινὰ τοῖς πήχεσι. 1811, 25.

ἀμφί θ' ἕπον ἀντὶ τοῦ ἀμφεῖπον κατὰ διάλυσιν. 682, 61.

ἀμφίαλος νῆσος ἐπιθετικῶς ἡ πόντοθεν ἅλα ἔχουσα κατὰ σύλληψιν τῶν τεσσάρων πλευρῶν εἰς δύο. 1572, 25.

Ἀμφιάραος ὁ Ἰοκλέους τοῦ Μελάμποδος ὅτι Ταλαὸν τὸν Βίαντος, ἀνεψιὸν ἑαυτοῦ ὄντα, ἀνελὼν ἐβασίλευσεν Ἀργείων, ὕστερον δὲ ἐξελαθεὶς ὑπὸ Ἀδράστου καὶ φυγὼν εἰς Ἅρμα, κώμην τῆς Βοιωτίας, ἐσώθη, ὅθεν καὶ τὰ ἐκεῖ λουτρὰ Ἀμφιαράου ἐκλήθησαν. 266, 38. 288, 32

Ἀμφιάραος υἱὸς Ἰοκλέους ὅτι διενεχθεὶς πρὸς τὸν τῆς γυναικὸς Ἐριφύλης θεῖον Ἄδραστον, καὶ καταδιαιτηθεὶς ὑπὸ τῆς γυναικὸς, ἐπέσκηψε τῷ υἱῷ Ἀλκμαίωνι ἀποκτεῖναι τὴν γυναῖκα Ἐριφύλην, ὃ ποιήσας ἐκεῖνος ὑπὸ τῶν Ἐριννύων ἐτιμωρήθη. 1659, 3.

ἀμφιβαίνειν, λέξις τῶν ἀφ' ἑνὸς πολλὰ σημαινουσῶν, καὶ ὅτι ἀμφιβαίνειν πόνος λέγεταί τινα ἤγουν καταλαβεῖν καὶ περιελθεῖν. 647, 7.

ἀμφιβαίνειν τὸ σκέπειν καὶ ὑπερμαχεῖν παρ' Ὁμήρῳ ὅτι τροπικῶς λέγεται, καὶ ἀμφιβαίνειν τὸ κύκλῳ βαίνειν καὶ περιέχειν, καὶ νέφος ἀμφιβαίνειν ὄρος τι λέγεται ἀντὶ τοῦ περισκέπειν. 33, 8. 588, 15. 1046, 33. 1714, 3.

ἀμφιβαίνειν τὸ σκέπειν καὶ βοηθεῖν συνθέτως μὲν αἰτιατικῇ, διαλελυμένως δὲ δοτικῇ, οἷον, ἀμφὶ δ' ἄρ αὐτῷ βαῖνεν, Ἰλιάδ. ε', 299. 1091, 34.

ἀμφιβάλλειν οὐ μόνον τὸ ἐνδοιάζειν ἤγουν ἀμφὶς, ὅ ἐστιν ἀμφοτέρωθεν, βάλλειν τὸν νοῦν, ἀλλὰ καὶ τὸ ἑκατέρωθεν βάλλειν, ἔτι δὲ καὶ τὸ περιβάλλειν, ὅ ἐστι κυκλοῦν. 1406, 34.

ἀμφιβάλλειν ἐπὶ τοῦ ἐνδύειν παρ' Ὁμήρῳ ἀεὶ, ἐπὶ δὲ τοῦ διστάζειν οὔ. 1482, 2.

ἀμφιβαλεῖν ἀντὶ τοῦ ἔσω περιλαβεῖν καὶ περικλεῖσαι ἐν τῷ, τῷ δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, Ὀδυσσ. ψ', 192. 1944, 42.

ἀμφιβαλεῖν μένος ἀντὶ τοῦ συμβαλεῖν καὶ εἰς ἓν συναγαγεῖν. 1125, 53.

ἀμφιβαλεῖν τὸ περιλαβεῖν καὶ περισχεῖν καὶ περιπλακῆναι. 1290, 33. 1823, 24.

ἀμφιβάλλεσθαι ξίφος, περιβάλλεσθαι δὲ ἐσθῆτα παρ' Ὁμήρῳ, κατὰ συνθήκην. 169, 45. 421, 2.

ἀμφιβάλλεσθαι ὅπλα τὸ περιτίθεσθαι, ὅ ἐστιν ὁπλίζεσθαι. 1921, 4.

ἀμφίβασις, βοήθεια ἢ σκέπη, παρὰ τὸ ἀμφιβαίνειν. 588, 15.

ἀμφιβεβηκέναι ἄχος λέγεται τὸν λυπούμενον πρὸς ὁμοιότητα τοῦ ἀμφικαλύπτειν, ὡς ἀπὸ νέφους ἢ δικτύου μετενεχθὲν, καὶ ἀμφιβεβηκέναι τὸ ὑπερμαχεῖν. 1609, 21.

ἀμφίβληστρον ὅτι παρὰ τὸ ἀμφιβάλλειν, ὅ ἐστι κυκλοῦν, λέγεται. 1406, 34.

ἀμφιβολία λόγου ἐκ διαφόρου διαστολῆς, οἷον ἐν τῷ, ἐστὶν ἄξιος, ἢ, ἐστὶ νάξιος. 866, 56. 1170, 34.

ἀμφίβολος ὁ ἀμφοτέρωθεν βαλλόμενος παρὰ Ἀῤῥιανῷ. 1406, 35. 1445, 51.

ἀμφίβραχυς ποὺς μετρικὸς ὅτι ἀνοίκειος ἐστὶ δακτυλικῷ μέτρῳ. 80, 45.

ἀμφιβρότη ἀσπὶς ἐπιθετικῶς ὅτι μόνον τῶν ἐκ τοῦ βροτὸς συγκειμένων οὐκ ἔχει τὸ μ πρὸ τῆς βρο συλλαβῆς. 243, 40. 628, 12.

Ἀμφιγένεια, ἡ καὶ Ἀμφιγένειον οὐδετέρως, πόλις Πελοποννήσου, ὅπου τεκεῖν ἡ Λητὼ τὸν Ἀπόλλωνα μυθεύεται. 297, 23.

ἀμφιγνοεῖν τὸ διχονοεῖν, ὅτι τὸ νοεῖν γνοεῖν μετὰ τοῦ γ λέγεται Αἰολικῶς, ὅθεν τὸ ἀμφιγνοεῖν. 1722, 43.

ἀμφίγυια ἔγχεα τὰ ἑκατέρωθεν γυιῶσαι, ὅ ἐστι βλάψαι, δυνάμενα ὡς ἀμφίστομα, ἢ ἀμφίγυια τὰ ἑκατέρωθεν ἐσιδηρωμένα. 925, 41. 1021, 36.

ἀμφιγυήεις ὁ ἀμφοτέρους τοὺς πόδας γυιὸς, ὅ ἐστι χωλός. 151, 33. 720, 13.

ἀμφιδάσεια κόρυς ἡ πάντοθεν δασεῖα, καὶ ἀμφιδάσεια αἰγὶς ἐπιθετικῶς, ἀλληγορία καὶ προσῳδία τῆς λέξεως. 1017, 35. 1122, 61.

ἀμφιδεδινῆσθαι λέγεται ὁ κασσίτερος τοῖς γεγανωμένοις σκεύεσιν ἤγουν περικεχύσθαι, καὶ ἀμφιδεδινῆσθαι τῷ ξίφει λέγεται ἡ θήκη, Ὀδυσσ. θ', 405. ἀντὶ τοῦ κύκλῳ περιθέειν, οὐ μέντοι τετορνεῦσθαι κατὰ τὸν κυρίως δῖνον, οὐ γάρ ἐστιν ἐσφαιρῶσθαι ξίφους θήκην κυλινδροειδῶς. 1314, 52. 1604, 57.

ἀμφίδουλος ὁ ἐξ ἀμφοτέρων τῶν γονέων δοῦλος. 1445, 50.

ἀμφίδρομον τεῖχος τὸ ἑκατέρωθεν δρόμον ἔχον, καθ' ὁμοιότητα τοῦ περιδρομίου. 653, 58.

ἀμφιδρυφὴς γυνὴ ἡ περιεξεσμένη τοῖς ὄνυξι τὸ πρόσωπον, παρὰ τὸ δρύπτω, ὅ ἐστι ξέω καὶ ἀμύσσω. 325, 11.

ἀμφίδυμοι λιμένες οἱονεὶ δίδυμοι, ὅ ἐστιν ἐξ ἑκατέρου μέρους ἔχοντες εἰσδύσεις, ὅτι ἡ ἀμφὶ τὸ δύο σημαίνει. 166, 34. 1519, 62.

ἀμφιέννυμι, σχηματισμὸς, ζήτει ἐν τῷ ἕννυμι. 57, 37.

ἀμφιέννυσθαι ὕδωρ μεταφορικῶς ἀντὶ τοῦ καθ' ὕδατος δῦναι. 1871, 49.

ἀμφιεννύω, ὅτι παρὰ τὸ ἕω, ὅ ἐστιν ἐνδύω, πλεονασμῷ τοῦ ν γίνεται ἕνω καὶ ἐνύω, ὅθεν τὸ ἀμφιεννύω, ζήτει ἐν τῷ ἕννυμι. 57, 37. 1292, 24.

ἀμφιέπειν τὸ ἐνεργεῖν λόγοις παρὰ τὸ ἕπω τὸ λέγω, ἢ σωματικαῖς κινήσεσι παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ. 1376, 38.

ἀμφιέπειν τὸ κυκλοῦν ἢ τὸ βλαπτικῶς ἐνεργεῖν ἐν τῷ, εἰνάετες γάρ σφι κακὰ ῥάπτομεν ἀμφιέποντες, Ὀδυσσ. γ', 118. 1459, 56.

ἀμφιετεὶ ἐπίῤῥημα ὅτι παρὰ τὸ ἀμφιετίζεσθαι, ὅ ἐστι κατ' ἔτος περιέρχεσθαι, λέγεται. 1385, 1.

Ἀμφιετίδης, μωρός τις οὕτω καλούμενος. 1669, 51.

ἀμφιετίζεσθαι τὸ κατ' ἔτος περιέρχεσθαι, ὅθεν καὶ ἀμφιετεὶ ἐπίῤῥημα. 1384, 64.

ἀμφιζάνειν χιτῶνι τέφρα λέγεται παρ' Ὁμήρῳ ἤγουν παραμόνως ἐγκάθησθαι. 1129, 26.

ἀμφιθαλὴς παῖς ὁ ἀμφοτέρωθεν θάλλων, ἤγουν ᾧ ἄμφω οἱ γονεῖς περίεισιν. 1283, 1. 1445, 51.

Ἀμφιθέα, γυνὴ Αὐτολύκου, μάμμη δὲ πρὸς μητρὸς Ὀδυσσέως. 1870, 18.

ἀμφίθετος φιάλη, διαφόρως ἑρμηνευόμενον διεξοδικώτατα, Ἰ-

λιάδ. ψ', 270. 616. 1299, 54—1300, 10.

ἀμφικαλύπτειν τὸ πάντοθεν σκέπειν, καὶ ὅτι ἀμφικαλύπτειν βλέφαρα τινὸς λέγεται ὁ ὕπνος παρ' Ὁμήρῳ ἐκ μεταφορᾶς τῶν δικτύων, καὶ ἀμφικαλύπτειν λέγεται ὁ οἶκος τοὺς ἐν αὐτῷ, ὅ ἐστι περιέχειν καὶ σκεπάζειν. 216, 5. 987, 28. 1511, 29. 1883, 63.

ἀμφικαλύπτειν ὡς κάλυμμα καὶ σκέπασμά τι ἐπιῤῥῖψαι ἐν τῷ, ὄρος πόλει ἀμφικαλύψαι, παρ' Ὁμήρῳ. 1737, 10.

ἀμφικαρὲς τὸ ἀμφοτέρωθεν ἔχον κάρη, ὅ ἐστι κεφαλὴν, ἐξοχὴν δηλονότι ἢ λαβήν. 1818, 47.

ἀμφίκαυστις ἡ ὡρίμη κριθὴ, παρὰ δὲ τοῖς κωμικοῖς τὸ γυναικεῖον αἰδοῖον, Κρατῖνος δὲ τὴν ὀσφὺν οὕτως ἔφη. 1446, 28.

ἀμφικίονες οἱ κίοσι κύκλῳ περιεστυλωμένοι. 706, 22.

ἀμφίκομος θάμνος ἡ δασεῖα καὶ πάντοθεν κόμῶσα. 1122, 59.

ἀμφίκοπον ξίφος τὸ καὶ ἀμφίστομον. 1531, 35.

Ἀμφικτυονικὸν, σύνταγμά τι ἀνδρῶν ἐκδικούντων τὰ ἱερά. 270, 24.

Ἀμφικτύων βασιλεὺς Ἀθηναίων πρῶτος οἴνου καὶ ὕδατος κρᾶσιν ἐπινοήσας, οὗ εἰς σύμβολον τὰς Νύμφας συνίδρυσε τῷ Διονύσῳ καὶ ὀρθοῦ Διονύσου βωμὸν ἱδρύρατο. 1815, 16.

ἀμφικύπελλον, ποτήριον οὗ πάντοθεν ἔστι πιεῖν, ἢ τὸ ἀμφίκυρτον ἤτοι περικεκυρτωμένον τὰ ὦτα παρὰ τὸ κυφὸν, ὅ ἐστι κυρτόν· Κύπριοι δὲ ἀμφικύπελλον τὸ δίωταν, ἑρμηνεῖαι διάφοροι διεξοδικῶς, ζήτει ἐν τῷ κύπελλον. 158, 41—159, 7. 1776, 30.

ἀμφικύπελλον ποτήριον, ὅτι ἀνάπαλιν τῷ ἀμφώτῳ ἔχει τὸ ἄωτον ποτήριον, ὁποῖον καὶ τὸ ἀμφικύπελλον. 1624, 30.

ἀμφιλαφὴς, τόπος δασὺς καὶ πάντοθεν κομῶν φυτοῖς. 1122, 60.

ἀμφιλύκη νὺξ τὸ πρὸ τῆς ἠοῦς μέρος τῆς νυκτὸς, ὃ κοινῶς λυκόφως λέγεται διὰ τὴν πρὸς τὸ τοῦ λύκου χρῶμα ὁμοιότητα τῆς φαύσεως. 689, 13. 23. 809, 41.

ἀμφίμακρος ποὺς ὅτι ἄχρηστός ἐστιν εἰς δακτυλικὸν μέτρον. 720, 58.

ἀμφίμαλλοι τάπητες οἱ ἐξ ἑκατέρων τῶν μερῶν δασεῖς. 746, 40.

ἀμφιμέλαιναι φρένες αἱ οἷον καπνῷ τῷ θυμῷ μελαινόμεναι, ἢ μέλαιναι διὰ τὴν ἐν βάθει θέσιν τοῦ σπλάγχνου, ζήτει ἐν τῷ, μέλαιναι φρένες. 58, 4. 10. 1116, 9.

Ἀμφινόμη, ὄνομα θαλασσίας Νηρηΐδος, ὅτι παρὰ τὸ νέμεσθαι λέγεται. 1131, 10.

Ἄμφιος κύριον ὅτι ἐκ τῆς ἀμφὶ προθέσεως παρῆκται. 75, 12. 532, 46.

ἀμφὶ περὶ κρήνην, Ἰλιάδ. β', 305. ὅτι ἐκ παραλλήλου παράκεινται αἱ προθέσεις. 226, 4.

ἀμφιπένεσθαί τι τὸ περί τι πονεῖσθαι καὶ ἐνεργεῖν. 456, 4. 1294, 37. 1870, 36.

ἀμφιπεριστρωφᾶν τὸ ἀμφὶ καὶ πέριξ στρέφεσθαι. 716, 49.

ἀμφιπεσεῖν νεκρῷ λέγεται κατὰ συνθήκην, ἀμφιβαλεῖν δὲ ζῶντα. 1608, 51.

ἀμφιπολεύειν τὸ ἀμφιπολικῶς, ὅ ἐστι δουλικῶς, συνέπεσθαι καὶ συμπεριοδεύειν, καὶ ἀμφιπολεύειν ἀντὶ τοῦ ἁπλῶς συνέπεσθαι ἐν τῷ, καί ῥ' ἔδοσαν στυγερῇσιν Ἐριννύσιν ἀμφιπολεύειν, Ὀδυσσ. υ', 78. 1883, 53.

ἀμφίπολος ὅτι ἀεὶ ἐπὶ γυναικῶν λέγεται κατά τινας, ἄλλοι δὲ ὅτι κοινή ἐστι προσηγορία ἄῤῥενος δούλου καὶ θηλείας, ὅπερ ἐν τῷ, σὺν ἀμφιπόλοισι γυναιξὶ, παρ' Ὁμήρῳ πρὸς διαστολὴν τῶν ἀῤῥένων φασὶ προσκεῖσθαι τὸ γυναιξί. 994, 26. 1400, 56. 1551, 13. 1624 23. 1751, 1.

ἀμφίπολος ἡ θήλεια δούλη, πρόπολος δὲ ὁ ἄῤῥην δοῦλος, ἄλλοι δὲ ὅτι ἀμφίπολοι μὲν αἱ θήλειαι, δμῶες δὲ οἱ ἄῤῥενες. 1400, 56. 1624, 23.

ἀμφίπολος ἡ περὶ τὴν δέσποιναν πολουμένη θεράπαινα, πρόπολος δὲ ἡ προπορευομένη. 1090, 57.

ἀμφίπολος τάφος ὁ κύκλῳ περιπολούμενος, ὁμωνύμως τῷ ἀμφίπολος ὀνόματι δουλικῷ, καὶ ὅτι ἔδει αὐτὰ διαφέρειν τῇ προσῳδίᾳ, διαίτησις διεξοδική. 394, 26. 642, 30. 45. 1400, 56.

ἀμφίπυρος βροντὴ ἡ πάντοθεν πυροῦσα. 158, 43.

ἀμφίπυρος τρίπους ἐπιθετικῶς ὁ ὑπὸ τοῦ πυρὸς κυκλούμενος. 1146, 32. 39.

ἀμφιῤῥηδὴς ὁ περιεῤῥαντισμένος ἀπὸ τοῦ ῥίζω ἔῤῥαδον. 1920, 32.

ἀμφιρύτη ὅτι καὶ ἑνὶ ρ̄ γράφεται ἐνίοτε πρὸς μέτρου χρείαν. 1389, 33. 1722, 2.

ἀμφὶς ἐπίῤῥημα ἀντὶ τῆς ἀμφὶ προθέσεως. 724, 22. 882, 9.

ἀμφὶς τὸ πέριξ καὶ τὸ ἀμφοτέρωθεν καὶ τὸ κύκλῳ καὶ πάντοθεν. 598, 12. 37. 684, 33. 862, 51. 1563, 1.

ἀμφὶς τὸ ἰδίᾳ καὶ χωρὶς καὶ πόῤῥω ἐν τῷ, πολὺν χρόνον ἀμφὶς ἔσεσθον φυλόπιδος, Ὀδυσσ. π', 267. 722, 49. 1801, 60.

ἀμφὶς τὸ ἐκτὸς, οἷον ἐν τῷ, ἀμφὶς ὁδοῦ δραμέτην, Ἰλιάδ. ψ', 393. καὶ ἀμφὶς ἀντὶ τοῦ ἀμφότεροι ἐν τῷ, ἀμφὶς ἀριζήλω, περὶ Ἄρεως καὶ Ἀθηνᾶς, σ', 519. 166, 26. 1039, 16.

ἀμφὶς φράζεσθαι καὶ φρονεῖν τὸ διχονοεῖν. 166, 26.

ἀμφίσβαινα ὄφις, ἑκατέρωθεν βαίνων, ἐκ τοῦ ἀμφὶς ἐπιῤῥήματος καὶ τοῦ βαίνειν. 1445, 52.

ἀμφισβητεῖν ὅτι ἐκ τοῦ ἀμφὶς ἐπιῤῥήματος σύγκειται. 1445, 52.

ἀμφιστεφὴς, κατὰ κύκλον καμπτόμενος ἢ καμπτομένη. 829, 9.

ἀμφίστομος, ὅτι ἡ ἀμφὶ ἀντὶ τοῦ δύο κεῖται. 166, 34.

ἀμφίστομος παράταξις, ὅτι ἡ ἀμφὶ ἀντὶ τοῦ δύο κεῖται. 166, 34. 923, 53. 62.

ἀμφιστρεφὴς ἐπίθετον, ὅτι ἀμφιστρεφῆ λέγονται καὶ τὰ ἀλλήλοις συμπεπλεγμένα. 829, 10.

ἀμφιτάπητες οἱ ἀμφίμαλλοι τάπητες. 746, 39.

ἀμφίταπος, δίμαλλος εἴτουν ἀμφίμαλλος τάπης. 1057, 8. 12.

Ἀμφιτρύτη ὅτι ἐν Νάξῳ χορεύουσα ὑπὸ Ποσειδῶνος ἡρπάσθη. 1458, 40.

ἀμφίφαλος περικεφαλαία ἡ ἀμφοτέρωθεν φάλους, ὅ ἐστιν ἀσπιδίσκια τινὰ, ἔχουσα, καὶ ὅτι εἰς

ταὐτὸν συνάγεται τῷ τετραφάληρος. 601, 8. 829, 29.

ἀμφιφορεὺς ταὐτὸ ὅπερ ἀμφορεὺς, ὅ ἐστι κεράμειον μέγα ἀμφοτέρωθεν τῶν ὤτων αἰρόμενον. 1289, 6. 1445, 44.

ἀμφιφῶντες, πλακοῦντες οὕτω καλούμενοι, ἐτυμολογίαι τῆς λέξεως καὶ ἱστορία περὶ αὐτῶν. 1165, 11.

ἀμφιχυθῆναι τινὶ λέγεται ὁ διόλου περιπλακείς. 1799, 55.

ἀμφίχυτον τεῖχος τὸ βουνοειδὲς καὶ ἀμφοτέρωθεν κατακεχυμένον, ἢ τὸ περικεχυμένον ἤγουν ἐξ ἀναχώματος ὄν. 1200, 57.

Ἀμφίων ὁ Ἰάσου, βασιλεὺς Ὀρχομενοῦ καὶ Πύλου, οὗ θυγάτηρ Χλῶρις, ἐξ ἧς καὶ Νηλέως Νέστωρ ὁ παρ' Ὁμήρῳ. 1684, 58.

Ἀμφίων καὶ Ζῆθος, ζήτει ἐν τῷ Ζῆθος. 1682, 44.

ἀμφοῖν ὅτι ὤφειλε παροξύνεσθαι ὡς ἀπὸ παροξυτόνου εὐθείας τῆς ἄμφω, περισπᾶται δ' ὅμως. 1539, 44.

ἀμφορεῖς κατὰ τὸ ἐν Ὀδυσσείᾳ μυθευόμενον ἄντρον ὅτι εἰς τὰ ἀνθρώπινα σώματα διὰ τὸ γήινον ἀλληγοροῦνται. 1735, 9.

ἀμφορεὺς, ἀγγεῖον κεραμοῦν ἀμφοτέρωθεν φερόμενον, ὅ ἐστι δίωτον, καὶ ὅτι πίθου ἐλάττων ὁ ἀμφορεὺς, βίκου δὲ οὐκ ἐξ ἀνάγκης, καὶ ὅτι καὶ ταριχευτικόν τι ἀγγεῖον ὁ ἀμφορεύς. 1163, 30. 1445, 44.

ἀμφορὶξ ἐπίῤῥημα ἐκ τοῦ ἀμφορίζω ῥήματος, ὃ παρὰ τὸν ἀμφορέα λέγεται. 1924, 13.

ἀμφοτέραις ὅτι ἐλλειπῶς τοῦ χερσὶ λέγεται ἐνίοτε παρ' Ὁμήρῳ. 1835, 44.

Ἀμφοτερὸς κύριον ὀξυτόνως πρὸς διαστολὴν τοῦ ἀμφότερος προσηγορικοῦ, 109, 44. 1068, 3.

ἀμφότεροι περὶ δύο τινῶν πληθῶν, οἷον στρατευμάτων ἢ δήμων, ἀντὶ τοῦ ἄμφω τὰ μέρη. 1111, 50. 1141, 35.

ἀμφότερον, φωνὴ κατὰ τὰς ἀπαριθμήσεις δύο τινῶν πραγμάτων προτασσόμενον. 401, 1.

ἀμφότερον ἐπιῤῥηματικῶς, οἷον ἐν τῷ· ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής, Ἰλιάδ. γ', 179. 445, 4. 926, 37.

ἀμφοτέρωθεν περὶ τετραπλεύρου σχήματος ἀντὶ τοῦ πάντοθεν κατὰ σύλληψιν τῶν τεσσάρων πλευρῶν εἰς δύο συζυγίας. 1572, 22.

ἀμφουδὶς ἐπίῤῥημα ἀντὶ τοῦ, ἀμφὶ τὸ οὖδας· καὶ, ἀμφουδὶς ἐρεῖσαι, Ὀδυσσ. ρ', 237. ἀντὶ τοῦ πρὸς τῇ γῇ ῥῖψαι. 1818, 59.

ἀμφράσασθαι τὸ ἀνανοῆσαι. 1869, 8.

ἄμφω ἐπὶ δύο λαῶν ἢ στρατευμάτων, ζήτει ἐν τῷ ἀμφότεροι. 190, 16.

ἀμφώβολα παρὰ Σοφοκλεῖ αἱ διὰ σπλάγχνων μαντεῖαι. 1405, 30.

ἄμφωτις, ξύλινον ποτήριον χρήσιμον τοῖς ἀμέλγουσιν, ὅτι παρὰ τὸ ἄμφωτον εἶναι οὕτω λέγεται. 1624, 30.

ἀμφώτιδες ἐλέγοντο ἃς περὶ τὰ ὦτα εἶχον οἱ παλαισταὶ, καὶ εἶδος ἐκπώματος ὁμωνύμως. 308, 44. 1324, 38.

—αμεν λήγοντα πρῶτα πρόσωπα πληθυντικὰ ἐνεστώτων τῆς πρώτης καὶ τῆς τρίτης συζυγίας τῶν εἰς —μι, ἐξ ἐπενθέσεως ἔχοντα τὸ παραληκτικὸν ᾱ, οἷον τιθέαμεν καὶ διδόαμεν ἐκ τοῦ τίθεμεν καὶ δίδομεν. 210, 9.

ἁμῶς ἐπίῤῥημα ἀντὶ τοῦ μετρικῶς καὶ κατὰ ἕνα τινὰ τρόπον. 1383, 58.

ἁμωσγέπως ἀντὶ τοῦ ἐπ' ὀλίγον καὶ μετρίως καὶ κατά τι, ἐκ τοῦ ἁμῶς, ὃ δηλοῖ τὸ καθ' ἕνα τινὰ τρόπον. 1383, 61.

—αν λήγοντα ὀνόματα ἐκ τῶν διὰ τοῦ —αων γενόμενα ὑφαιρέσει τοῦ ω, οἷον Ἀλκμάων Ἀλκμάν. 138, 8. 1275, 41.

—αν λήγοντα οὐδέτερα, ἀπὸ ἀρσενικῶν εἰς ας ληγόντων παρεσχηματισμένα, ὅτι συστέλλουσι τὴν λήγουσαν, οἷον μέλας μέλαν, τάλας τάλαν. 1434, 3.

—αν ληγόντων μονοσυλλάβων τρίτων προσώπων χρόνου ἀορίστου δευτέρου τῶν εἰς μι σχηματισμὸς, οἷον στὰν ἀντὶ τοῦ ἔστησαν, καὶ φὰν ἀντὶ τοῦ ἔφασαν. 746, 10.

—αν λήγοντα ἐπιῤῥήματα συστέλλοντα τὸ —αν· πάμπαν, ἄγαν, λίαν. 1433, 64.

ἂν πύργους ἀντὶ τοῦ ἀνὰ πύργους. 1142, 59.

ἀν' ἰθὺν ἐν δυσὶ μέρεσιν ἀντὶ τοῦ καθ' ὁρμὴν, ἢ ἀνιθὺν ἐν ἑνὶ μέρει λόγου ἐπιῤῥηματικῶς, παρὰ τὸ ἄνω καὶ τὸ ἰθύειν, ὅ ἐστιν ὁρμᾶν, ἐν τῷ, αὐτὰρ ἐπειδὴ σφαίρῃ ἀν' ἰθὺν πειρήσαντο, Ὀδυσσ. θ', 377. καὶ ἀν' ἰθὺν ἀντὶ τοῦ ἐπ' εὐθείας ἐν τῷ, πρὸς ῥόον ἀΐσσοντος ἀν' ἰθὺν, Ἰλιάδ. φ', 303. 1234, 13. 1602, 3.

—ανα ἀρκτικὸν λέξεων ἐξ ἐπεμβολῆς ἔχον τὸ ν μεταξὺ δύο στερητικῶν ᾱ, οἷον ἀάγνωστον ἀνάγνωστον. 937, 57.

ἀνὰ πρόθεσις ἐν συνθέσει ὅτι καὶ στέρησιν ἐνίοτε δηλοῖ κατά τινας, οἷον ἀνάεδνοι ἀντὶ τοῦ ἄπροικοι, καὶ ὅτι τὸ ἐκ δευτέρου τι ποιεῖν, ἢ πάσχειν ὡς ἐπὶ τὸ πλεῖστον ὑπαγορεύει, οἷον ἐν τῷ ἀνάκρισις καὶ ἀναβαπτισμὸς, καὶ μετὰ τῶν ῥημάτων ὁμοίως, οἷον ἐν τῷ ἀναπαλαίειν καὶ ἀναμάχεσθαι. 250, 41. 743, 6. 1009, 19. 1147, 35. 1164, 12. 1701, 40.

ἀνὰ δοτικῇ τὸ ἐπάνω, οἷον ἐν τῷ, ἀνὰ Γαργάρῳ ἄκρῳ, ἤγουν ἐπάνω τοῦ Γαργάρου ἀκρωτηρίου. 818, 45. 991, 28. 1010, 5. 1136, 56.

ἀνὰ αἰτιατικῇ ἀντὶ τοῦ ἄνω, οἷον ἐν τῷ, θῆκεν ἀνὰ μυρίκην, καὶ ἀντὶ τῆς κατὰ, οἷον ἐν τῷ, ἀνὰ στρατόν. 25, 14. 818, 45.

ἀνὰ πρόθεσις τὴν εἰς ὕψος κίνησιν ἐν τῷ ὑπεξαναδὺς καὶ ἐξυπανέστη, καὶ περὶ ἄλλων τινῶν σημασιῶν τῆς προθέσεως. 217, 18. 936, 47. 1676, 9.

ἀνὰ πρόθεσις ὅτι ἐκτείνει τὴν λήγουσαν ἐν συνθέσει ἐν τῷ, ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ θέτ' ὤμων, Ὀδυσσ. φ', 119. 1904, 29.

ἀνὰ πρόθεσις πρὸ λέξεως ἀπὸ τοῦ ρ ἀρχομένης κειμένη καὶ ἕτερον ρ προσλαμβάνει, οἷον ἀνὰρ ῥῶγας μεγάροιο, Ὀδυσσ. χ', 143. 1922, 3.

ἀνὰ πρόθεσις ἀποκοπὴν παθοῦσα

ἐν τῷ, ἂν πύργους καὶ ἂν βωμοῖσι, καὶ ὅτι διαφόρως ἐν τοῖς ῥηθεῖσι παραδείγμασι συντέτακται. 1142, 59.

ἄνα κλητικὴ ἐν τῷ, Ζεῦ ἄνα, ἐκ τῆς ἀνὰ προθέσεως ἢ ἐκ τῆς ἄναξ εὐθείας ἀποβολῇ τοῦ ξ. 345, 14. 423, 12. 1057, 36.

ἄνα παροξυτόνως ἀντὶ τοῦ ἀνάστηθι κατ' ἔλλειψιν παντελῆ ῥήματος. 75, 7. 1136, 57.

ἀνὰ νεὼς βῆναι παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐπὶ νεὼς ἀντιπτωτικῶς, ἢ καθ' ὑπερβατὸν ἀναβῆναι ἐπὶ νεώς. 1621, 15.

ἀνὰ σοὶ τάδε πάντα λέπαργε, παροιμιακὸν ἐπὶ τῶν μηδὲ μετὰ κόπον ἀνιεμένων, ἑρμηνεία διεξοδική. 1676, 5.

ἀνὰ φαιδίμω ὤμω, δυϊκῶς ἀντὶ τοῦ, ἀνὰ τοὺς ὤμους, ἢ ἑνικῶς κατὰ δοτικὴν ἀντὶ τοῦ ἐπάνω τοῦ ὤμου. 1676, 2.

ἀνὰ κρατῆρα κέρασεν, Ὀδυσσ. γ', 390. ἀντὶ τοῦ ἀνεκέρασεν, ὅ ἐστιν ἐκ δευτέρου ἐκέρασεν. 1473, 53. 1576, 10.

ἀνὰ πρυμνήσια λῦσαι, ὃ ταὐτόν ἐστι τῷ λῦσαι. 1621, 23.

ἀνὰ στόμα ἔχειν τινὰ, ἀντὶ τοῦ ἐν στόματι ἔχειν. 214, 3.

ἀνὰ στόμα πάλλεται ἦτορ, Ἰλιάδ. χ', 452. ἀντὶ τοῦ σφοδρῶς πατάσσει, ὥστε καὶ μέχρι τοῦ στόματος ἀνιέναι ἄν, εἰ μὴ ἦν τὰ ἐπέχοντα αὐτήν. 1279, 52.

ἀνὰ δὲ σχέο, ἀντὶ τοῦ ἀνάσχου. 668, 7.

ἀναβαίνειν ἀντὶ τοῦ ἀνάγεσθαι καὶ ἀναπλέειν καὶ ἀπαίρειν τοῦ λιμένος. 138, 37. 140, 46. 1408, 32.

ἀναβαίνειν ἀνθρώπους λέγεται φήμη ἀντὶ τοῦ ἀνὰ τοὺς ἀνθρώπους βαίνειν ἐν τῷ, ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει, Ὀδυσσ. ζ', 29. 1550, 2.

ἀναβαίνειν νεκροῖς ἀντὶ τοῦ ἐπάνω τῶν νεκρῶν βαίνειν ἐν τῷ, νεκροῖς ἀμβαίνοντες, Ἰλιάδ. κ', 493. 820, 35.

ἀναβαίνειν εἰς δίφρον λέγεται ὁ ἡνίοχος, παραβαίνειν δὲ ὁπλίτης ἢ ἄλλως συνοχούμενος. 412, 35.

ἀναβαίνειν νεὼς, ὅτι ἐλλιπῶς τῆς ἐπὶ προθέσεως λέγεται, ἢ ἀντὶ τοῦ ἄνω βαίνειν τῆς νεώς. 1452, 20.

ἀνάβαλλε ἀντὶ τοῦ ἀναβάλλου, ὅ ἐστιν ὑπερτίθεσο, Ὀδυσσ. τ', 584. 1879, 19.

ἀναβάλλειν ὕδωρ λέγεται τὸ χαλκεῖον ἀντὶ τοῦ ἀναζέειν καὶ ἄνω κάτω ποιεῖν τὸ ὕδωρ ἐν τῷ παφλάζειν, καὶ ἀναβάλλειν λέγονται οἱ ὀρύσσοντες ἤγουν ἄνω ῥίπτειν τὸ χῶμα. 1241, 39.

ἀναβάλλειν σφαῖραν τὸ εἰς ὕψος ῥίπτειν, καὶ ἀναβάλλειν τινὰ ἐφ' ἵππου τὸ ἀναβιβάζειν, ὅθεν ἀναβολεύς. 1406, 4.

ἀναβάλλειν χοῦν λέγονται οἱ ὀρύσσοντες, ὅ ἐστιν ἀνάγειν· καὶ ἀναβάλλειν ὕδωρ λέγεται κρήνη, ὅ ἐστιν ἀναβλύζειν, καὶ μύρμηκες δὲ ἀναβάλλειν χοῦν λέγονται. 117, 28. 1404, 36.

ἀναβάλλεσθαι λέγονται οἱ κιθαρίζοντες ἀντὶ τοῦ προανακρούεσθαι ἤτοι προοιμιάζεσθαι, ἢ πνεῦμα συνάγειν ἢ ἀνάγειν, οἷον ἐν τῷ, ἀνεβάλλετο καλὸν ἀείδειν, παρ' Ὁμήρῳ, ἢ καὶ ἀναβάλλεσθαι ὕδωρ διὰ σωλῆνος λέγεται, ἑρμηνεία διεξοδική. 1241, 42. 1282, 3. 1404, 34.

ἀναβάλλεσθαι ἔργον τὸ ὑπερτιθέναι εἰς ἑτέραν βολὴν, ὅ ἐστιν ἐπιτυχίαν, καὶ ἀναβάλλεσθαι τὸ ὀκνεῖν καὶ ἀργεῖν καὶ ἀναδύεσθαι· ζήτει ἐν τῷ δύεσθαι. 117, 26. 241, 40. 250, 40. 1406, 7.

ἀναβαπτίζειν τὸ ἐκ δευτέρου βαπτίζειν. 80, 9.

ἀναβάτης ἵππου, ἐπιβάτης δὲ νεώς. 1515, 20.

ἀναβέβροχεν ὕδωρ, Ἰλιάδ. ρ', 54. ἀντὶ τοῦ ἀναπίνεται, ὅτι συστοιχεῖ τῷ ἀναβρόξασα καὶ τῷ ἀναβροχὲν, καὶ ζήτει ταῦτα. 1095, 6.

ἀνάβλησις ἀντὶ τοῦ ἀναβολὴ καὶ παράτασις. 241, 29.

ἀναβλυσθονεῖν τὸ ἀναβλύζειν. 1095, 8.

ἀναβολαὶ τάφρων τὸ ἐκ τῶν τάφρων ἀναβαλλόμενον χῶμα. 1229, 49.

ἀναβολεὺς τὸ εἰς ὃ ἐντιθέντες τοὺς πόδας ἔφιπποι γινόμεθα, καὶ ἀναβολεὺς ἄνθρωπος ὁ εἰς τοιοῦτον ἔργον ὑπουργῶν. 1406, 5.

ἀναβολὴ ἡ ἀνάπτωσις καὶ παράτασις καὶ ἀργία καὶ ὁ ἱματισμὸς καὶ τὸ προοίμιον ὁμωνύμως. 1404, 34. 1406, 8.

ἀνάβραστον κρέας παρὰ τὸ βράττειν, ἑκζεστὰ δὲ λάχανα παρὰ τὸ ζέειν. 1241, 18.

ἀναβρόξασα, ἀναπιοῦσα, περὶ Χαρύβδεως λεγόμενον Ὀδυσσ. μ', 240. 1729, 36.

ἀναβρόξειεν, ἀναροφήσειεν, ἀπὸ τοῦ βρόχω ἀχρήστου. 1719, 56.

ἀναβροχὲν ἀντὶ τοῦ καταποθὲν καὶ ῥαφηθὲν, ὅτι ὠνοματοπεποίηται ἡ λέξις, Ὀδυσσ. λ', 586. καὶ ὅτι παρὰ τὸν βρόχον, τὸν καὶ βρόχθον, λέγεται, ἐξ οὗ τὸ ἀναβροχθὲν τραχύτερον λέγεται, καὶ ὅτι παρέλκει ἡ πρόθεσις, ἢ τὸ πολλάκις ταὐτὸ γίνεσθαι ὑπαγορεύει. 1701, 34. 39.

ἀναβρύχειν λέγεται ὕδωρ ἀντὶ τοῦ ἀναπηγάζειν. 1095, 6.

ἀναγαγεῖν ἀντὶ τοῦ ἁπλῶς ἀγαγεῖν ἐν τῷ, ἀνήγαγεν ὅνδε δόμονδε, Ὀδυσσ. γ', 272. 1466, 39.

ἀνάγειν ἀντὶ τοῦ ἁπλῶς ἄγειν πολλαχοῦ παρ' Ὁμήρῳ, καὶ ὅτι τῆς Ἰώνων ἐστὶ διαλέκτου. 708, 58. 1507, 63. 1839, 19.

ἀνάγειν ἴσον τῷ ἀναφέρειν, ὅθεν ἀναγωγεὺς καὶ ἀναφορεὺς ἐπὶ τοῦ αὐτοῦ. 995, 28.

ἀνάγεσθαι τὸ ἀπαίρειν τοῦ λιμένος καὶ ἀναπλέειν ὡς ἀνωτέρω κειμένου τοῦ ὕδατος, κατάγεσθαι δὲ τὸ καταπλέειν. 138, 37. 624, 41. 951, 15. 968, 35.

ἀναγινώσκειν ἀντὶ τοῦ πείθειν καὶ ἀντὶ τοῦ ἁπλῶς γινώσκειν. 957, 56.

ἀναγκαία τύχη ἡ δουλικὴ, καθ' ἣν οὐ ζῇ τις ὡς βούλεται. 1089, 38.

ἀναγκαιέστερος ἀντὶ τοῦ ἀναγκαιότερος. 1441, 17.

ἀναγκαίη ἀντὶ τοῦ ἀνάγκη κατὰ παραγωγὴν ἐν τῷ, ἀναγκαίη γὰρ ἐπείγει, Ἰλιάδ. ζ', 85. Ὀδυσσ. τ', 73. καὶ ἀναγκαίη ἐπίθετον ἀντὶ τοῦ ἀναγκαστική. 84, 6. 697, 57. 1856, 30.

ἀναγκαῖος ὁ βίαιος καὶ ἀναγκαστικὸς, ἀναγκαῖος δὲ κοινότερον ὁ ἐπιτήδειος καὶ χρήσιμος, καὶ ἀναγκαῖοι οἱ προσήκοντες κατὰ γένος. 1894, 37.

ἀναγκαῖος μῦθος ὁ ἀναγκαστικός, Ὀδυσσ. ρ', 399. 1825, 38.

ἀναγκαῖοι δμῶες οἱ χρειώδεις, ἀναγκαῖοι δὲ πολεμισταὶ οἱ καὶ ἀνάγκην πολεμοῦντες. 1958, 11.

ἀναγκαῖον ἦμαρ τὸ τῆς ἁλώσεως καὶ δουλώσεως, ἐν ᾧ τις ἀνάγκην πάσχει. 1089, 37.

ἀναγκαῖον τὸ αἰδοῖον ὁμωνύμως ὡς ἀνάγκης τινὸς σύμβολον. 1968, 39.

ἀνάγκῃ ἐπιῤῥηματικῶς ἀντὶ τοῦ βίᾳ καὶ ἀκοντὶ ἤγουν βιαίως καὶ ἀναγκαίως, οἷον· θυμὸν δαμάσαντες ἀνάγκῃ, καὶ σφίσιν ἐργάζεσθαι ἀνάγκῃ. 1134, 39. 1404, 15. 1749, 30. 1826, 44.

ἀναγνάμψαι δεσμὸν ἀντὶ τοῦ λῦσαι· κάμπτεται γὰρ ὁ δεσμὸς δεσμευόμενος, ἀνακάμπτεται δὲ λυόμενος. 937, 29. 1094, 18. 1761, 9.

ἀναγνῶναι ἀντὶ τοῦ ἀναγνωρίσαι καὶ ἀναμνησθῆναι. 1677, 10. 1864, 38. 1963, 2.

ἀνάγνωστος ὁ λίαν ἄγνωστος ὅτι κατὰ στέρησιν στερήσεως λέγεται ἐκ τοῦ ἀάγνωστος ἐπεμβολῇ τοῦ ν̄ μεταξὺ δύο στερητικῶν ᾱ. 743, 5. 937, 57. 985, 22.

ἀναγραμματισμὸς, ὅτι πολλά τινα ὀνόματα ἐξ ἄλλων τινῶν ἐγένοντο κατὰ ἀναγραμματισμὸν, καὶ ἔκθεσις παραδειγμάτων τινῶν. 45, 45 — 46, 10. 488, 13.

ἀναγωγεὺς ἀσπίδος ὁ κατὰ κυριολεξίαν λεγόμενος ἀναφορεύς. 995, 26. 1236, 13.

ἀναγωγὴ ὁ ἀνάπλους. 968, 35.

ἀναγωγὴ ὁ ἀνάπλους παρὰ τὸ ἀνάγεσθαι, καὶ ἀναγωγὴ βλαυτῶν τὰ ἰδιωτικῶς λεγόμενα καλάμια τῶν ὑποδέσεων. 995, 29.

ἀνάγωγον ἀντὶ τοῦ ἀπαίδευτον, καὶ ἀναγωγότερον ἀντὶ τοῦ ἀπαιδευτότερον. 1236, 14. 1349, 14.

ἀνάδασμος ὁ δεύτερος μερισμός. 64, 43.

ἀναδέδρομα, μέσος παρακείμενος ἀπὸ τοῦ δρέμω ἀχρήστου θέματος. 1540, 48.

ἀναδεῖπνια, ἑσπερινὰ ἐδέσματα τραγηματώδη μετὰ κρέα καὶ ἰχθῦς παρατιθέμενα. 1141, 15.

ἀναδεῖσθαι ὅτι περὶ κεφαλῆς λέγεται, ὅθεν ἀναδέσμη, ὑποδεῖσθαι δὲ, ὅθεν ὑπόδημα, περὶ ποδῶν. 170, 31. 1395, 4.

ἀναδέσμη, σειρὰ ἣν κύκλῳ περὶ τοὺς κροτάφους ἀναδοῦσιν αἱ γυναῖκες, ἀλλαχοῦ δὲ ὅτι κοσμοποιὸς τῆς κεφαλῆς. 128, 59. 976, 45.

ἀνὰ δ' ἴσχεο ἀντὶ τοῦ ἀνέχου. 668, 6.

ἀναδιπλασιασμὸς τῆς αὐτῆς συλλαβῆς ἐν ἀρχῇ ῥημάτων σὺν καὶ προσλήψει τοῦ ρ, οἷον δάπτω δαρδάπτω. 80, 21.

ἀναδιπλασιασμοὶ ἐν ἀρχῇ ῥηματικῶν χρόνων αὐξήσεως τύπον ἔχοντες ὅτι τῆς Ἰώνων εἰσὶ διαλέκτου, οἷον κεκάμω, λελάθω· κατὰ δ' ἑτέρους τὰ τοιαῦτα ἐκ παρακειμένων εἰς ἐνεστῶτας ἀνήχθησαν, οἷον καὶ τὸ πεπλήγω ἐκ τοῦ πέπληγα καὶ τὸ πεφύκω ἐκ τοῦ πέφυκα. 73, 4. 1596, 2-12. 1654, 29.

ἀναδιπλασιασμὸς Ἰωνικὸς ἐν ῥήμασιν, ὅτι οἱ Ἴωνες ἐν τοῖς τῶν ῥημάτων ἀναδιπλασιασμοῖς τὸ αὐτὸ στοιχεῖον ἀρκτικὸν ποιοῦνται τῆς πρώτης καὶ τῆς δευτέρας συλλαβῆς, οἷον κάμω κεκάμω, πιθέσθαι πεπιθέσθαι, πλὴν εἰ μὴ μέλλοι δασέα κείσεσθαι ἐπ' ἄλληλα. 1722, 50.

ἀναδιπλασιασμοὶ παρακειμένων κατὰ μὲν Ἴωνας οὐκ ἀποβάλλονται ἐν ταῖς πλαγίαις ἐγκλίσεσιν, Αἰολικῶς δὲ ἀφαιροῦνται, οἷον ἐν τῷ δέγμενος ἀντὶ τοῦ δεδεγμένος. 1295, 31.

ἀναδιπλασιασμὸς, ὅτι ἡνίκα μὲν συλλαβῆς ἡ ἀναδίπλωσις ᾖ, τότε τὸ δεδιπλασιασμένον μιᾷ συλλαβῇ ὑπερέχει τοῦ ἁπλοῦ, οἷον λάβω λελάβω· ὅταν δὲ στοιχείου ἡ ἀναδίπλωσις ᾖ, ἰσοσυλλαβεῖ τῷ κοινῷ τὸ δεδιπλασιασμένον, οἷον μένω μέμνω καὶ μίμνω, γένω γέγνω καὶ γίγνω. 1722, 60.

ἀναδιπλασιασμὸς ὅτι οὐδέποτε διὰ μακρῶν γίνεται φωνηέντων, τὸ δὲ κηκίω ἐκ τοῦ κίω γέγονε, κακίω καὶ τροπῇ κηκίω. 680, 21.

ἀναδρακεῖν, εἰς τὸ πρώην βλέμμα ἐλθεῖν. 996, 44.

ἀναδραμεῖν λέγεται ζῶον ἢ φυτὸν ἤγουν ἄνω δραμεῖν, ὅ ἐστιν αὐξηθῆναι. 586, 14. 1130, 29.

ἀναδραμεῖν λέγονται σμώδιγγες ἀντὶ τοῦ ἐξογκωθῆναι καὶ ἐπαναστῆναι. 1326, 31.

ἀναδραμεῖν ἐν ἴσῳ τῷ ἀναχωρῆσαι. 849, 15.

ἀναδρομὴ ἡ καθ' ἡλικίαν αὔξησις. 586, 15.

ἀναδύεσθαι ἀντὶ τοῦ ἀναχωρεῖν, ἐτυμολογία διεξοδική. 928, 52. 58.

ἀναδύεσθαι τὸ ἐκ βάθους ἀνιέναι καὶ τὸ ἀναβάλλεσθαι, ζήτει ἐν τῷ καταδύεσθαι. 117, 23.

ἀναδῦναι τὸ ἐκ τοῦ βάθους μέχρι τῆς ἐπιφανείας τοῦ ὕδατος ἀνελθεῖν. 140, 45.

ἀναδῦναι ἐν ἴσῳ τῷ ἀναποδίσαι εἴτουν ὑποχωρῆσαι. 678, 7.

ἀνάεδνος γυνὴ ἐπιθετικῶς ἢ ἄεδνος, ὅ ἐστιν ἄπροικος, ἐτυμολογία καὶ σχηματισμὸς τῆς ἀνάεδνος φωνῆς. 743, 5. 937, 50.

ἀναεῖραι τὸ ἄνω ἆραι καὶ ἀναβαστάσαι. 1276, 24. 1326, 47.

ἀναθεῖναι ὄνειδος ἀντὶ τοῦ ἀνάπτειν καὶ ἐκκρεμᾶν δίκην ἀναθήματος, καὶ ἀναθεῖναι φορτίον ἀντὶ τοῦ ἐπιθεῖναι. 1260, 48.

ἀνάθημα ὅτι παρὰ τὸ θεῖναι λέγεται. 1725, 25.

ἀναθήματα δαιτὸς τὴν μολπὴν καὶ τὴν ὀρχηστὺν λέγει Ὅμηρος ἐκ μεταφορᾶς τῶν ἐν τοῖς ναοῖς ἀνατιθεμένων. 1403, 57. 1404, 5.

ἀναθυμιᾶσθαι μῖσος, ἀντὶ τοῦ ἀνανεοῦσθαι, ὅτι παρὰ τὸν θυμὸν, ὅ ἐστιν ὀργὴν, λέγεται, καὶ ὅτι ἡ ἀνὰ τὸ ἐκ δευτέρου σημαίνει. 1447, 33.

$\overline{\text{αναι}}$ λήγοντα ἀπαρέμφατα ἀντὶ τῶν διὰ τοῦ $\overline{\text{ασαι}}$ καὶ $\overline{\text{ησαι}}$ περισπωμένων, οἷον γηρᾶναι, ἀριστᾶναι καὶ δειπνᾶναι, ἀντὶ τοῦ γηρᾶσαι, ἀριστῆσαι καὶ δειπνῆσαι. 1490, 35.

ἀναιμωτὶ, τὸ τί μακρὸν ἐν τῷ, νήπιοι οὐδ' ἄρ ἔμελλον ἀναιμωτί γε νέεσθαι, Ἰλιάδ. ρ', 497. 1116, 2.

ἀναίνεσθαι τὸ ἀποφάσκειν καὶ τὸ παραιτεῖσθαι. 1153, 64.

ἀναίνεσθαι τὸ μὴ αἰνεῖν, ὅ ἐστι συγκατατίθεσθαι, παρὰ τὸν αἶνον, ὃ δηλοῖ τὴν συγκατάθεσιν. 668, 30. 739, 42. 1755, 10.

ἀναισιμοῦν, ὅτι τὸ παρὰ τὸ δέον ἀναλίσκειν δοκεῖ σημαίνειν ἡ λέξις· αἴσιμον γὰρ τὸ εἰς τὰ αἴσια, ὅ ἐστι καθήκοντα, δαπανᾶν. 1595, 9.

ἀνάκαμψις, στροφὴ εἰς τὸ ἔμπαλιν. 1094, 20.

Ἀνάκεια, ἑορτὴ Ἀνακοῖν Διοσκούροιν τελουμένη, καὶ ὅτι καὶ Ἑλένη μετεῖχε τῆς κατ' ἐκείνην τὴν ἑορτὴν θυσίας, ἱστορία. 1425, 61.

ἀνακείμενος τόπος ὁ χθαμαλὸς ἢ ταπεινὸς καὶ κεκλιμένος, ἐπεὶ καὶ ταὐτόν ἐστι κεκλίσθαι καὶ ἀνακεῖσθαι. 1498, 45. 48.

Ἀνακεῖον τὸ τῶν Διοσκούρων ἱερόν. 1119, 10.

ἀνακεῖσθαι λέγονται τὰ ἀναθήματα, οἷον ἀνδριάντες καὶ ἀγάλματα, κατακεῖσθαι δὲ οἱ εὐωχούμενοι, ἑρμηνεία διεξοδικὴ μετὰ παραδειγμάτων. 1404, 6.

ἀνακεῖσθαι ὅτι ταὐτόν ἐστι τῷ κεκλίσθαι, ὅθεν καὶ ταὐτόν ἐστι καὶ ἀνακείμενον τόπον εἰπεῖν καὶ κλίμα ὄρους. 1498, 45. 48.

ἀνακεράσαι τὸ ἐκ δευτέρου κεράσαι ἐν τῷ, ἀνὰ κρητῆρα κέρασεν, Ὀδυσσ. γ', 390. 1473, 53. 1576, 10.

ἀνακεφαλαιώσεων τρόποι δύο παρ' Ὁμήρῳ. 120, 32.

ἀνακεχωρηκὼς τόπος ὁ ἔρημος καὶ ἥσυχος. 495, 40.

ἀνακηκίειν τὸ ἀναπηδᾶν καὶ ἀναδίδοσθαι καὶ ἔξω περὶ τὸν χροῦν ἐπιπολάζειν, παραγωγὴ καὶ σχηματισμός. 680, 20. 955, 62.

ἀνακλῖναι θύραν ἀντὶ τοῦ ἀνοῖξαι, κλῖναι δὲ ἀντὶ τοῦ κλεῖσαι. 604, 26. 31. 974, 43. 1549, 40.

ἀνακλῖναι τόξον πρὸς τῇ γῇ, Ἰλιάδ. δ', 112. ἀντὶ τοῦ καταθεῖναι. 451, 20.

ἀνάκλιντρον, εἶδος θρόνου. 1400, 25.

Ἀνακοὶ οἱ Διόσκουροι, καὶ κατεύχεσθαι Ἀνακοῖς Διοσκούροιν, φράσις· καὶ ὅτι ἐκ τοῦ ἄκος σύγκειται ἡ λέξις, καὶ ὅτι ὀξύνεται. 345, 13. 1425, 59. 1426, 4.

ἀνακόπτειν ἀντὶ τοῦ ἀνακρούειν καὶ ἀνωθεῖν ἐν τῷ, θυρέων δ' ἀνέκοπτεν ὀχῆας, Ὀδυσσ. φ', 47. καὶ ἀνακόπτειν ἵππον τὸ ἀνασειράζειν, ὅθεν καὶ ἀταξίαν ἢ ὁρμὴν ἀνακόπτειν, καὶ ὅτι καὶ ὕδωρ ἀνακόπτεσθαι λέγεται, 1900, 61. 1901, 24. 29.

Ἀνακρέων κύριον· ὅτι ἐκ τοῦ κρέων σύγκειται, ὃ δηλοῖ τὸν βασιλέα προσηγορικῶς. 401, 11.

ἀνακρίνειν τὸ ἐκ δευτέρου κρίνειν. 80, 10.

ἄνακτες προσηγορικῶς οἱ βασιλεῖς καί τι γένος ἔνδοξον ἐν Κύπρῳ, ἱστορία. 947, 48.

Ἀνακτορία ἡ Μίλητος ἐκλήθη ποτὲ ἀπὸ Ἄνακτός τινος, Οὐρανοῦ καὶ Γῆς υἱοῦ γεγονέναι μυθευομένου. 21, 24.

ἀνακτόριος ὁ δεσποτικὸς, ἢ οὗ τις ἀνάσσει. 1785, 36.

ἄνακτας ἄνακτι ἄνακτα, πλάγιαι ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὸ τ. 345, 12.

ἀνακυμβαλιάζειν λέγονται δίφροι ἤγουν ἠχεῖν κυμβάλων δίκην ἐν τῷ ἀνατρέπεσθαι, ἑρμηνεία διεξοδική. 1065, 14. 1381, 49.

ἀνακῶς, ἐπιμελῶς, φροντιστικῶς, πεφυλαγμένως, ὅτι παρὰ τοὺς Ἀνακοὺς, ὅ ἐστι τοὺς Διοσκούρους, λέγεται, καὶ ὅτι τὸ ἄκος ἔγκειται ταῖς λέξεσι. 21, 16. 1425, 57. 1426, 4.

ἀνάλκιδες γυναῖκες λέγονται κατὰ κοινὸν ἐπίθετον. 555, 13.

ἀναλογία σωμάτων, ὅτι ἀνάλογον σῶμα εἶναι λέγεται, οὗ τὸ πλάτος τρίτον ἐστὶ τοῦ μήκους. 1688, 2.

ἄναλτον παρὰ Δεινάρχῳ τὸ χωρὶς ἁλῶν ἔδεσμα, καὶ ἄναλτος μεταφορικῶς ὁ ἀνάρτητος, ὅ ἐστιν ἀχρεῖος καὶ ἀηδὴς ἄνθρωπος, ἄναλτος δὲ γαστὴρ παρ' Ὁμήρῳ ἡ μηδέποτε ἅλις τροφῆς ἔχουσα ἢ ἡ μὴ ἀλδομένη, ὅ ἐστιν αὐξομένη τῇ τροφῇ. 1507, 1. 1818, 35. 1840, 22.

ἀναλύειν τὸ σύνθετόν τι εἰς τὸ ἁπλοῦν ἀποκαταστῆσαι, ὅθεν καὶ ἀναλύειν ὕφασμα παρ' Ὁμήρῳ. 1070, 7. 1265, 3.

ἀναλῦσαι τινὰ ἐκ θανάτου, ὃ καὶ συνθέτως ἐξαναλῦσαι λέγεται παρ' Ὁμήρῳ, ἑρμηνεία διεξοδικὴ, καὶ ἀναλῦσαι ἱστόν. 1265, 3.

ἀναμάσσειν τὸ προστρίβειν καὶ προσκολλᾶν ἐν τῷ, ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις, Ὀδυσσ. τ', 92. ἁπλῶς δὲ ἀναμάσσειν τὸ ἄνω περὶ τὴν κεφαλὴν ἀποσπογγίζειν. 1857, 3. 12.

ἀναμάχεσθαι τὸ ἐκ δευτέρου μάχεσθαι. 250, 41. 1064, 13.

ἀναμένειν ἐπὶ τοῦ μικρὸν ὑποχωροῦντα πάλιν μένειν ἐν τῷ, ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους, Ἰλιάδ. π', 363. 1064, 12.

ἀναμετρεῖν τὸ δὶς, ὅ ἐστιν ἐκ δευτέρου, μετρεῖν ἐν τῷ, ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν, Ὀδυσσ. μ', 428. 1729, 33.

ἀναμνῆσαι αἰτιατικῇ ἐν τῷ, ὦ φίλ' ἐπειδὴ ταῦτά μ' ἀνέμνησας, Ὀδυσσ. γ', 211. 1464, 11.

ἀνάμνησις, ὅτι ἀναμνήσεις εἶναι τὰς μαθήσεις ὑπέλαβόν τινες. 260, 30.

ἀναμοχλεύειν καὶ ἐκμοχλεύειν, ζήτει ἐν τῷ μοχλός. 1944, 24.

ἀναμύειν λέγονται τὰ φυτὰ ἀντὶ τοῦ ἀναβλαστάνειν τροπικῶς. 308, 38.

ἀνανεύειν τὸ τῇ ἀνανεύσει κωλύειν παρ' Ὁμήρῳ. 1904, 39.

ἀνανεώσασθαι λόγους παρὰ Σοφοκλεῖ (Trach. 396.) τὸ ἀνακινῆσαι εἴτουν ἀναπολῆσαι. 811, 23.

ἄναντα τὰ προσάντη καὶ ἀνωφερῆ χωρία, Ἰλιάδ. ψ', 116. 1291, 36.

ἄναξ ἄνακτος, ὅτι ἄνακος ὤφειλεν εἶναι, προσέλαβε δὲ τὸ τ πρὸς τὸ μὴ δοκεῖν ἐκ τοῦ ἄκος συγκεῖσθαι. 32, 36. 1426, 2. 1627, 39.

ἄναξ ἐπιτιθέμενον κυρίοις ὀνόμασι θεῶν, οἷον ἄναξ Ἀπόλλων καὶ ἄναξ Ἥφαιστος. 182, 2. 1598, 21.

ἄναξ ὅτι ἴσον δύναται τῷ φροντιστής, ὅθεν ἄναξ ὁ βασιλεὺς παρὰ τὸ ἀνακῶς, ὅ ἐστιν ἐπιμελῶς, ἔχειν τῶν ὑπηκόων, καὶ Ἄναξ κύριον υἱὸς Γῆς καὶ Οὐρανοῦ μυθευόμενος. 21, 15. 23. 650, 33.

ἄναξ ὁ ἁπλῶς ἐν τῷ, αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο, Ὀδυσσ. α', 397. 345, 8. 1425, 49.

Ἀναξανδρίδης κωμικὸς ὅτι ἡττώμενος καὶ δυσχεραίνων τὰς ἑαυτοῦ κωμῳδίας κατέτεμνεν. 1273, 6. 1834, 14.

Ἀνάξαρχος φιλόσοφος συμβουλεύσας Ἀλεξάνδρῳ ἐν δείπνῳ προσφέρεσθαι τὰς τῶν ἐχθρῶν βασιλέων κεφαλάς. 1273, 3.

ἀνάξυρις τὸ βρακίον παρὰ τὸ ἀνασύρεσθαι τροπῇ τοῦ σ εἰς ξ. 22, 8. 216, 5.

ἄκρη αἰχμὴ παρὰ νείατον ὦμον ἀνέσχεν, Ἰλιάδ. ρ', 310, 1108, 17.
ἀνασχεῖν χεῖρας τὸ ἀνατεῖναι, περὶ πυγμάχων Ὀδυσσ. σ', 89. καὶ ἀνασχεῖν μαζὸν ὁμοίως, ἀνασχεῖν δὲ ὁ ἥλιος λέγεται ἀντὶ τοῦ ἀνατεῖλαι. 419, 16. 1839, 21.
ἀνασχεῖν τὸ ἄνω σχεῖν, καὶ ἀνασχεῖν ὦτα λέγεται κύων Ὀδυσσ. ρ', 291. ἀντὶ τοῦ ἀνεγεῖραι καὶ ὀρθῶσαι, καταβαλεῖν δὲ τοὐναντίον. 1208, 42. 1820, 29. 47.
ἀνασχέσθαι κατὰ μόνας τὸ ὑπομεῖναι, οἷον καί, ἀνάσχεο κηδομένη περ, καὶ ἀνασχέσθαι βέλος ἐπὶ τοῦ αὐτοῦ, οἷον, ἀνασχήσεσθαι κρατερὸν βέλος, Ἰλιάδ. ε', 104. καὶ ἀνασχέσθαι ἀντὶ τοῦ ἀνασχεῖν, οἷον ἐν τῷ, δούρατ' ἀνασχόμενοι, ἀντὶ τοῦ ἀνασχόντες. 529, 14. 1016, 44.
ἀνασχέσθαι κοινῶς τὸ ὑπομεῖναι, παρ' Ὁμήρῳ δὲ ἀντὶ τοῦ ἀνατεῖναι ἐν ἴσῳ τῷ ἀνασχεῖν, οἷον ἀνασχέσθαι δόρυ καὶ ἀνασχέσθαι χεῖρας εἰς πλῆξιν. 424, 3. 503, 12. 591, 39. 808, 59. 864, 28. 1223, 9. 1839, 29. 1872, 26.
ἀνασχέσθαι κρήδεμνον λέγεται γυνὴ τὸ ἀνασχέσθαι ἐπὶ ἀνακαλύψει τοῦ προσώπου. 431, 9.
ἀνσχήσεσθαι ἀντὶ τοῦ ἀνασχήσεσθαι. 528, 7.
ἀνατέμνειν τὸ ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω προχωροῦντα τέμνειν. 1258, 42.
ἀνατιθέναι ὅτι ἐν διαλύσει κεῖται ἐν τῷ, θῆκεν ἀνὰ μυρίκην, Ἰλιάδ. κ', 466. 818, 34.
ἀνατολή, ὅτι δεξιὰ μέρη τοῦ κόσμου τὰ ἀνατολικὰ νομίζει Ὅμηρος. 1439, 26.
ἀνατραπῆναι ἐν ἴσῳ τῷ ἀναστραφῆναι, ὅ ἐστιν ὕπτιον πεσεῖν, καὶ ὅτι ἀνατραπῆναι λέγεται ἀγγεῖον καὶ τράπεζα. 625, 20. 997, 5.
ἀνατρέπειν ἄνθρωπον ἢ σκεῦος ἢ τράπεζαν, καὶ ἀνατρέπειν ἔθνος ἢ πόλιν. 625, 26. 997, 6.
ἀνατρέχειν παρ' Ὁμήρῳ λέγονται αἱ ὑψηλαὶ πέτραι κατὰ ἰδίαν γλυκύτητος, οἷον ἐν τῷ, λισσὴ δ' ἀναδέδρομε πέτρη, Ὀδυσσ. ε', 412. 1540, 47.
ἀναυδὴς ταὐτὸ ὅ περ ἄναυδος. 864, 31.
ἄναυος ὁ ἄφωνος, παρὰ τὸ αὔω τὸ φωνῶ. 387, 44.
ἀναύξητοι παρῳχημένοι τινὲς Ἀττικῶς καὶ ὑπὸ τῆς κοινῆς συνηθείας παραδεδεγμένοι, οἷον εὔξαιτο ἀντὶ τοῦ ηὔξαντο. 135, 30.
ἀναυσία, στέρησις τοῦ ναυσιᾶν. 1409, 27.
ἀναφαίνειν τὸ δεῖξαι τινὰ κρυπτόμενον, ὅτι παρέλκει ἡ πρόθεσις, καὶ ἀναφαίνειν τὸ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἄγειν. 1214, 61. 1495, 13. 20.
ἀναφανδὰ ὅτι τοῦ ἀναφανδὸν ἐπιῤῥηματικοῦ ὀνόματός ἐστι πληθυντικόν. 1464, 50.
ἀναφανδὸν ὀπυίειν τὸ φανερῶς καὶ νομίμως συνεῖναι γυναικί. 1053, 28.
ἀναφέρειν ἐκ νόσου ἢ παραφροσύνης λέγεταί τις ἤγουν ῥαΐσαι καὶ ἀνασφάλλειν, καὶ ἀναφέρειν ἐκ μέθης τὸ ἀνανήφειν. 573, 15. 1140, 31. 1604, 9. 1788, 5.
Ἀνάφη νῆσος ὑπὸ πλήθους περδίκων κινδυνεύσασα ἐρημωθῆναι, ἱστορία. 35, 25.
ἀναφορεὺς ἀσπίδος καὶ ἀναγωγεὺς ἐπὶ τοῦ αὐτοῦ, ἐπεὶ καὶ τὸ ἀνάγειν ταὐτόν ἐστι τῷ ἀναφέρειν. 243, 32. 995, 25.
ἀναφορικὰ ἄρθρα, ὅτι διὰ τῶν ἀναφορικῶν περιορίζεται τὰ ἀόριστα, ζήτει ἐν τῷ, ὃς ἀναφορικόν. 1892, 62.
ἀναφορικὰ ἄρθρα κατ' ἐπίθεσιν ἢ ἐπιφωνηματικῶς ἐπαγόμενα πτωτικοῖς κατὰ γένους διαφωνίαν, οἷον Στυγὸς ὕδωρ, ὅστε μέγιστος ὅρκος δεινότατός τε πέλει, Ἰλιάδ. ο', 37. 734, 12. 1004, 61.
ἀναφορικὰ χωρὶς ἀνταποδοτικῶν ὅτι ἐπίτασιν ὑπαγορεύει ποιότητός τινος ἢ ποσότητος, οἷον ἐν τῷ, οἵου ἀνδρὸς ἔχεις παράκοιτιν, Ἰλιάδ. γ', 53. 382, 9. 28.
ἀναφορικὸν ἄρθρον ἑνικὸν πρὸς πληθυντικὸν πτωτικὸν ἀναφερόμενον, οἷον ἐν τῷ, ἀνθρώπους τίνυσθον, ὅτις κ' ἐπίορκον ὀμόσσῃ, Ἰλιάδ. γ', 279. καὶ ἀνάπαλιν ἀναφορικὸν πληθυντικῶς ἐσχηματισμένον πρὸς ἑνικὸν πτωτικὸν ἀναφερόμενον, οἷον ἐν τῷ, μή τις Ἀχαιῶν ἐνθάδ' ἐπέλθῃσι βουληφόρος, οἵ τέ μοι αἰεὶ βουλὰς βουλεύουσιν, Ἰλιάδ. ω', 650. 415, 8. 1370, 18.
ἀναφορικοῦ ἄρθρον ἀπόδοσις οὐ πρὸς τὸ προηγούμενον πτωτικόν, ἀλλὰ πρός τι τῶν ἔγγιστα, οἷον ἐν τῷ, ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινὸν ἄντυξ, ἣ πυμάτη θέεν ἀσπίδος, Ἰλιάδ. ζ', 117. 628, 16.
ἀναφορικῶν ἄρθρων σύνταξις πρός τε τὰ προηγούμενα, οἷον χαίρω τῷ λόγῳ ᾧ λέγεις καὶ ὃν λέγεις. 147, 7.
ἀναφρονῆσαι τὸ ἀναλαβεῖν φρόνησιν. 128, 45.
ἀναφύσησις ὅτι καὶ μουσική ἐστι λέξις. 1406, 49.
ἀναχάζεσθαι τὸ ἀναχωρεῖν καὶ ἀναποδίζειν. 680, 26. 1243, 53.
Ἀνάχαρσις ἐν συμποσίῳ ἐπὶ γελωτοποιοῖς μὲν οὐ γελάσας, ἐπὶ πιθήκῳ δὲ γελάσας, ἱστορία καὶ ἀπόφθεγμα. 1836, 62.
Ἀναχάρσιδος ἀπόφθεγμα ἐπὶ τῷ, διὰ τί οὐκ εἰσὶν αὐληταὶ παρὰ Σκύθαις. 22, 23.
Ἀναχάρσιδος ἀπόφθεγμα ἀπολογητικὸν ἐπὶ τῷ αἰσχρὰν γυναῖκα γεγαμηκέναι. 1896, 13.
ἀναχθῆναι τὸ ἀναπλεῦσαι καὶ ἀπᾶραι τοῦ λιμένος. 1408, 33.
ἀναχρονισμοῦ παραδείγματά τινα. 361, 23. 1037, 59.
ἀναχωρεῖν, ἀνὰ πόδα χωρεῖν, ὅ ἐστιν ἀναποδίζειν. 528, 21. 1826, 64.
ἀνάψαι πρυμνήσια τὸ ἐκ πέτρας ἢ ἄλλου τινὸς ἐκδῆσαι, καὶ ἀνάψαι μῶμον τὸ οἱονεὶ διὰ φανοῦ ἐκφῆναι, παρὰ τὸ ἅπτω, ἢ ἀντὶ τοῦ προσάψαι ὡς εἰ καὶ πεῖσμα ἐκ πέτρας. 1436, 1.
ἀναψηφίζεσθαι τὸ μεταψηφίζεσθαι. 250, 42.
ἀναψύχειν λέγεται τὸ τὴν ψυχὴν ἐπανάγον, καὶ ἀναψύχεσθαι λέγονται οἱ τὴν ψυχὴν ἐκ λειποθυμίας ἐπαναλαμβάνοντες, ὅθεν καὶ τό, ἀνέψυχθεν ἦτορ, Ἰλιάδ. κ', 575. 824, 39. 42. 921, 27. 1509, 52.
ἀναψυχὴ ἡ ἐκ λειποθυμίας ἐπανάληψις τῆς ψυχῆς. 847, 34.
ἂν δ' ἴσχων ἀντὶ τοῦ ἀνίσχων δέ, ὅ ἐστιν ἀνέχων καὶ ἀνατείνων. 608, 34.

Ἀνδανία πόλις, ἡ καὶ Οἰχαλία παρ' Ὁμήρῳ. 743, 26.

ἁνδάνω τὸ ἀρέσκω ἀπὸ τοῦ ἥδω, ὡς λαμβάνω ἀπὸ τοῦ λήβω καὶ μανθάνω ἀπὸ τοῦ μήθω, καὶ ὅτι δασύνεται ἡ λέξις ὡς δῆλον ἐκ τοῦ ἀφανδάνω, ἀλλαχοῦ δὲ ὅτι ἀπὸ τοῦ ἅδω, ὅ ἐστιν ἀρέσκω, ὡς ἀπὸ τοῦ μάθω τὸ μανθάνω καὶ τοῦ λάχω λαγχάνω. 28, 41. 1417, 18. 1525, 9.

ἄνδηρα κατὰ γλῶσσαν αἱ ὄχθαι, ἢ αἱ τῶν τάφρων ἀναβολαὶ ἤγουν τὸ ἀναβαλλόμενον χῶμα. 1229, 48.

ἀνδράγρια τὰ ἀπὸ ἀνδρῶν ἀγρευόμενα ἢ ἀγειρόμενα σκῦλα. 890, 27. 999, 55.

ἄνδραγχος ὁ δήμιος ὅτι παρὰ τὸ ἄγχειν λέγεται, καὶ ὅτι πᾶς τις μοχθηρὸς ἄνθρωπος οὕτως ἐλέγετο κατὰ σκῶμμα, καὶ ἄνδραχνος ἐπὶ τοῦ αὐτοῦ. 1833, 54. 1858, 57.

ἀνδρακὰς ὀξυτόνως ἐπίῤῥημα ἀντὶ τοῦ κατ' ἄνδρα, Ὀδυσσ. ν', 14. καὶ ἀνδρακὰς ἀνδρακάδος ἡ τῶν ἀνδρῶν δεκὰς ὁμωνύμως. 1731, 35.

ἀνδράποδα οἱ δοῦλοι παρὰ τὸ εἶναι τοῖς δεσπόταις, ὅπερ οἱ πόδες τῷ ἄνω σώματι, καὶ ὅτι τοῖς ὑποζυγίοις μᾶλλον ἥρμοζεν ἡ κλῆσις. 692, 24. 1416, 23.

ἀνδραποδισταὶ οἱ τὰ ἀνδράποδα ποριζόμενοι τοῖς ἐμπόροις. 692, 25.

ἀνδραποδοκάπηλος ὁ τῶν ἀνδραπόδων μεταβολεύς. 1416, 26.

ἀνδράποδον, ὅτι ἐν τῷ ἀνδράποδον τὸν ἁπλῶς ἄνθρωπον σημαίνει ἡ ἀνὴρ λέξις, ὡς καὶ ἐν τῷ ἀνδροφόνος. 1381, 16.

ἀνδραποδώδεις τρίχας ἔχειν λέγονται οἱ ἀνόητοι κατὰ σκῶμμα. 79, 7.

ἀνδραπόδων κουρά, ἣν ἤλλασσον οἱ ἐλευθερωθέντες Ἀθήνησιν. 79, 8.

ἀνδράριον ὑποκοριστικὸν ὅτι καὶ ἀνδρίον λέγεται. 1680, 27.

ἀνδραχθεῖς λίθοι οἱ ἀνδροβαρεῖς, ἢ ὧν ἕκαστος ἀνδρὸς ἂν εἴη ἄχθος, ὅ ἐστι φόρτος. 1469, 50. 1651, 9.

ἀνδράχλη τὸ ἰδιωτικῶς λεγόμενον γυναικεῖον ποδαλούριον. 1571, 25.

ἄνδραχνος, ζήτει ἐν τῷ ἄνδραγχος. 1833, 54.

ἀνδρεία γυνὴ οὐ λέγεται, ἀλλ' ἀνδρική. 84, 23.

ἀνδρεῖαι γυναῖκες γεγονέναι ἱστοροῦνται Πρόκρις ἡ Ἐρεχθέως, καί τις Ἀργαθώνη καὶ Ῥοδογούνη καὶ Ἀταλάντη. 1688, 28.

ἀνδρειφόντης ὁ ἀνδροφόνος ὅτι ἐκ τροπῆς τοῦ ο̄ εἰς ε̄ καὶ ἐπενθέσεως τοῦ ῑ ἔχει τὴν προπαραληκτικὴν δίφθογγον, καὶ ὅτι καὶ διὰ τοῦ ῑ γράφουσί τινες τὴν δρι συλλαβήν, ὡς ἀπὸ τῆς ἀνδρὶ δοτικῆς, καὶ ὅτι ἀποκεκλήρωται τῷ Ἄρεϊ τὸ ἐπίθετον. 183, 2. 673, 51.

ἀνδρείων καύχημα διὰ μέλους σκολίου, ἱστορία· καὶ ἀνδρείων τινῶν, τῶν αὐτῶν δὲ καὶ σοφῶν κατάλογος ἐξ ἱστοριῶν. 1319, 61. 1574, 6.

ἄνδρεσσι μετεῖναι, παρ' Ὁμήρῳ ἀντὶ τοῦ τοῖς ἀνδράσιν, ὅ ἐστιν ἀνδρείοις, συναριθμεῖσθαι. 1132, 29.

ἀνδρεῶν τρισυλλάβως, ὁ καὶ ἀνδρῶν δισυλλάβως. 1573, 29.

ἀνδρικὴ γυνὴ λέγεται, ἀνδρεία δὲ οὔ. 84, 23.

ἀνδρίον καὶ ἀνδράριον ὑποκοριστικά. 1680, 27.

Ἀνδρόγεως υἱὸς Μίνωος, καὶ περὶ τῆς τελευτῆς αὐτοῦ, καὶ τῶν κατὰ Θησέα καὶ Ἀριάδνην καὶ τὸν λαβύρινθον, ἱστορία διεξοδική. 1688, 31.

ἀνδροδόμος ταὐτὸ ὅπερ καὶ ἀνδρὼν καὶ τρίκλινος. 1573, 29.

ἀνδρόκμητος τύμβος, ἀνδρὸς καμόντος, ὅ ἐστι τεθνηκότος, τάφος. 849, 58. 1114, 14.

ἀνδροκτασία, ὅτι καὶ ὁ παιδός τινος τὴν ἡλικίαν φόνος ἀνδροκτασία λέγεται. 1289, 36.

Ἀνδρομάχη, γυνὴ Ἕκτορος, ὅτι παρὰ τὸ ἀνδρεῖον καὶ μάχιμον οὕτω λέγεται. 647, 39.

Ἀνδρομέδα ὅτι Δωρικῶς οὕτω λέγεται, Ἀνδρομέδη δ' ἂν ἦν τὸ κοινόν. 1687, 17.

ἀνδρόμεος ὅμιλος ὁ τῶν ἀνδρῶν ὄχλος. 861, 19.

ἀνδρομήκης ἀσπίς, ἡ καὶ ποδηνεκὴς παρ' Ὁμήρῳ. 628, 12

ἀνδρὸς γενικὴ ὅτι ἐκ τῆς ἀνέρος γέγονε συγκοπῇ καὶ πλεονασμῷ τοῦ δ̄. 106, 28.

ἀνδροσάθων ὁ μεγάλα ἔχων αἰδοῖα. 1968, 42.

ἀνδροτὴς ἡ τοῦ ἀνδρὸς φύσις ἢ ἀνθρωπότης. 1090, 32.

ἀνδροφόνον φάρμακον τὸ ἀνθρωποκτόνον, παρὰ τὸ ἀνὴρ, ὃ δηλοῖ τὸν ἁπλῶς ἄνθρωπον. 1416, 20.

ἀνδροφόνος λέγεται ὁ ἁπλῶς ἄνθρωπον ἀποκτείνας, εἴτε παῖδα τὴν ἡλικίαν εἴτε γέροντα εἴτε γυναῖκα. 1289, 39. 1381, 16.

ἀνδροφόνος ὁ φονεὺς ὅτι κοινόν ἐστιν ἐπίθετον, ἀνδρειφόντης δὲ ἴδιον Ἄρεως, καὶ ὅτι διαφέρει τι τὸ ἄνδρα κατακτεῖναι λέγειν, ὡς γράφεται Ἰλιάδ. σ', 432. καὶ ἀνδροφόνον εἶναι. 673, 53. 1018, 42.

ἀνέδην ἐπίῤῥημα ἀντὶ τοῦ ἀνέτως καὶ ἐλευθέρως, παρὰ τὸ ἀνίημι. 168, 36.

ἀνείη εὐκτικὸν ὅτι καὶ ἀνήη γράφεται ἐν δυσὶν ἡ τροπῇ τῆς παραληκτικῆς διφθόγγου τοῦ ἀνείη ἢ ἐκ τοῦ ἀνῇ ὑποτακτικοῦ πλεονασμῷ τοῦ η̄ 1273, 27.

ἀνειλείθυια ἡ μὴ γεννήσασα γυνὴ λέγεται παρ' Εὐριπίδῃ ἐκ τοῦ Εἰλείθυια στερητικῶς. 1861, 42.

ἀνειμένη φράσις ὅτι ἐκ φωνηέντων ἐπαλληλίας γίνεται. 12, 2.

ἀνειμένος ὁ ἀπόλυτος, ἀπὸ τοῦ ἀνίημι. 168, 36.

ἀνείμων λέγεται ᾧ οὐκ εἰσὶν ἱμάτια. 1471, 50.

ἀνεῖν κριθὰς τὸ πτίσσειν, ὅθεν πτισσάνη, ὅτι καὶ αἰνεῖν λέγεται καὶ ὅτι μακρὸν ἔχει τὸ ᾱ. 801, 60.

ἀνεῖναι ἀντὶ τοῦ ἀναπεῖσαι. 1124, 4.

ἀνεῖναι τὸ ἀναπεῖσαι καὶ τὸ ἐρεθίσαι. 168, 34. 1124, 4.

ἀνειρώτευν, ὡς ἐποίευν, ὅτι ἐκ τῆς δευτέρας συζυγίας εἰς τὴν πρώτην ἀνῆλθεν, ἀνειρωτάω γάρ. 1500, 60.

ἀνέκαθεν ὑποκεῖσθαί τι λέγεται ἀντὶ τοῦ ἐξ ἀρχῆς θεματικῆς, ὡς τοῦ φράζω ὑπόκειται τὸ φῶ, ὅ ἐστι λέγω, ἐξ οὗ φάζω καὶ μετὰ τοῦ ρ̄ φράζω. 1654, 14.

ἀνέκαψεν ὅτι ἀπὸ τοῦ κάπτω, ὅ ἐστι χανδὸν ἐσθίω, κεκίνηται. 1481, 32.

Ἄνεκτος κύριον προπαροξυτόνως πρὸς διαφορὰν τοῦ ἀνεκτὸς ἐπιθέτου. 156, 46.

ἀνεκτὸς ἐπίθετον ὅτι καὶ θηλυκοῖς ἐπιτίθεται. 865, 57.

ἀνελεῖν ἀντὶ τοῦ φονεῦσαι ὅτι ἐλλιπῶς λέγεται. 1215, 39.

ἀνελεῖν τὸ φονεῦσαι καὶ τὸ ἀναβαστάσαι καὶ τὸ κάτωθεν ἐκ γῆς ἀναλαμβάνειν τι, καὶ ὅτι καὶ ἐπὶ τοῦ φονεῦσαι κατὰ ταύτην τὴν ἔννοιαν λέγεται, ἑρμηνεία διεξοδική. 107, 3. 1315, 61. 1476, 56.

ἀνελεῖν παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον ἀνελέσθαι, τουτέστιν ἀναλαβεῖν. 107, 15.

ἀνελέσθαι τὸ κείμενόν τι γῆθεν ἀναλέγεσθαι, καὶ ἀνελέσθαι ἆθλα τὸ ἀπενέγκασθαι. 1851, 21. 1908, 60.

ἀνελέσθαι ἀντὶ τοῦ ἁπλῶς ἑλέσθαι ἐν τῷ· ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητευέμεν, εἴ σ' ἀνελοίμην, Ὀδυσσ. σ', 357. 1851, 21.

ἀνελέσθαι τὸ ἀναλαβεῖν καὶ τὸ ἀναμνησθῆναι ἐν τῷ, ἐπιφροσύνας ἀνέλοιο, Ὀδυσσ. τ', 22. 1853, 41.

ἀνελθεῖν τὸ ἀπᾶραι τοῦ λιμένος, κατελθεῖν δὲ τὸ καταχθῆναι. 1408, 32.

ἀνέλκειν πῆχυν τόξου, Ἰλιάδ. λ', 375. ἑρμηνεία διεξοδική. 850, 25.

ἀνεμιαῖος ἄνθρωπος ὁ ἄστατος ὡς ὁ ἄνεμος. 846, 21.

ἀνεμόδαρτα δένδρα λέγουσιν οἱ ἰδιῶται, ἅπερ Ὅμηρος ὑπὸ πνοῆς παντοίων ἀνέμων δονεῖσθαι λέγει. 1095, 12.

ἀνεμόεσσα Ἴλιος ἡ ὑψηλὴ, ὡς ἐπὶ γεωλόφου ἱδρυμένη. 1204, 61.

ἄνεμοι, ὅτι θέρους μὲν ἐτησίαι πνέουσι, φθινοπώρου δὲ νότοι, ἔαρος δὲ οἱ λευκόνοτοι. 1645, 2.

ἀνεμοκοῖται, γένος ἐν Κορίνθῳ διὰ τὸ τοὺς ἀνέμους ἐπίστασθαι κοιμίζειν οὕτως ὀνομασθέν. 1645, 41.

ἄνεμος ὅτι παρὰ τὸ ἄω, ὅ ἐστι πνέω, λέγεται ἐπενθέσει τοῦ ν̄. 579, 21. 1547, 13.

ἄνεμος ὅτι ῥύσις ἐστὶν ἀέρος, καὶ ὅτι ἀνέμου ὕλη ἐστὶν ἀτμὶς οὐ μόνον ὑγρὰ, ἀλλὰ καὶ καπνώδης καὶ θερμή. 564, 62. 982, 27. 1463, 7.

ἀνεμοτρεφὲς ἔγχος τὸ ὑπ' ἀνέμων στερεωθὲν ὅτ' ἦν δένδρον, καὶ ἀνεμοτρεφὲς κῦμα, ὃ ἀνέμῳ τρέφεται, ὅ ἐστι πήγνυται καὶ συνίσταται καὶ αὔξεται, Σιμωνίδης δὲ ἀνεμοτρεφέας πύλας τὰς εὐτόνους λέγει. 623, 50. 842, 64. 1034, 1.

Ἀνεμούριον, χωρίον τι τῆς Κιλικίας, ὅτι διὰ τὸ ἀνέμοις καταπνεῖσθαι οὕτως ἐκλήθη. 274, 45.

ἀνεμόφθορα σπέρματα τὰ ἐξ ἀνέμων φθαρέντα. 541, 1.

ἀνεμώκης ἐν ἴσῳ τῷ ποδώκης. 720, 54.

ἀνεμώλια βάζειν τὸ κενὰ φθέγγεσθαι, σχηματισμὸς ἐτυμολογικὸς τῆς ἀνεμώλια φωνῆς. 482, 14. 21. 540, 44.

ἀνεμώλια τόξα λέγονται τὰ κενὰ καὶ ἀνενέργητα καὶ μὴ κατευστοχοῦντα τοῦ σκοποῦ, Ἰλιάδ. ε', 216. 540, 36. 44.

ἀνεμώλιος, ὅτι ἐκ τῆς ἀνέμων γενικῆς γίνεται ἀνεμώνιος καὶ τροπῇ ἀνεμώλιος. 482, 14. 21. 540, 44. 1214, 28.

Ἀνέμων παῖδες ποῖοι τινὲς ἄνθρωποι γεγονέναι μυθεύονται. 18, 37.

ἀνέμων ὑλικὸν αἴτιον, ἱστορία φυσικὴ, ζήτει ἐν τῷ ἄνεμος. 138, 46

Ἀνεμώρια ἢ Ἀνεμώλεια, πόλις ἐν μεθορίῳ Δελφῶν καὶ Φωκέων, ὅτι διὰ τὸ ἐφ' ὑψηλοῦ κεῖσθαι καὶ ἀνέμοις καταπνεῖσθαι οὕτως ἐκλήθη. 274, 41. 275, 6.

ἀνενεγκεῖν τὸ ἀναγαγεῖν καὶ τὸ ἀναβῆναι καὶ τὸ ἀναπνεῦσαι καὶ ἀναστενάξαι καὶ τὸ ἐκ νόσου ἢ παραφροσύνης ῥαΐσαι. 1604, 3.

ἀνενείκασθαι ἀντὶ τοῦ ἀνελθεῖν ἢ ἀνακομίζεσθαι, καὶ ἀντὶ τοῦ ἀναγαγεῖν τὸ πνεῦμα ἐν τῷ, ἀνενείκατο φώνησέν τε, παρ' Ὁμήρῳ Ἰλιάδ. τ', 314. 1704, 14.

ἀνενείκατο ἤγουν ἀνήνεγκε τὸ πνεῦμα ἐν τῷ, ἀνενείκατο φώνησέν τε, ὅτι ἐκ τοῦ ἀνηνέγκατο γέγονε τροπῇ τοῦ ν̄ εἰς ῑ, ζήτει ἐν τῷ ἀνενείκασθαι. 1186, 7. 1404, 4. 1604, 3—12.

ἀνέντες ἀντὶ τοῦ ἀναπείσαντες καὶ ἀντὶ τοῦ ἀφέντες καὶ ἀπολέσαντες, ἀπὸ τοῦ ἀνίημι ἐν τῷ, ἄφρονα τοῦτον ἀνέντες, Ἰλιάδ. ε', 761. 1846, 20.

ἀνέξοιστον τὸ ἀνέκφορον. 1788, 3.

ἀνεπάϊστος ἀντὶ τοῦ ἄγνωστος. 773, 15.

ἀνέπαλτο ἤγουν ἀνεπήδησε καὶ ὄρθιος ἔστη, περὶ ἵππου λεγόμενον. 701, 7.

ἀνεπίφθονον τὸ ἄμεμπτον, ἐπεὶ καὶ φθόνος ἐπὶ μέμψεως τίθεται. 1422, 15.

ἀνερείπτειν ὅτι ἐκ τοῦ ἐρέπτειν γίνεται πλεονασμῷ τοῦ ῑ. 1231, 40. 1414, 41.

ἀνέρες ἐστὲ, παρ' Ὁμήρῳ προστακτικῶς ἀντὶ τοῦ ἀνδρίζεσθε. 1059, 26.

ἀνερμάτιστος ναῦς ἡ εὐπερίτρεπτος διὰ τὸ μὴ ἔχειν ἕρμα, ὅ ἐστι βάρος ἐκ κα χλήκων ἢ ἄμμου ἤ τινος ἑτέρας τοιαύτης ὕλης ἐντιθέμενον ταῖς ναυσὶ πρὸς τὸ μὴ ἀνατρέπεσθαι· ζήτει ἐν τῷ, ἕρματα νεῶν. 140, 18. 976, 31. 1075, 38. 1534, 2.

ἀνερύειν ἐν ἴσῳ τῷ αὖ ἐρύειν, περὶ τῶν θυομένων ἱερείων λεγόμενον, ὅτι ἐκ τοῦ ἄνω λέγεται, ὅπου ἀπονεύει τὰ τῆς θυσίας. 1057, 37.

ἀνέσαι τὸ ἀναπεῖσαι καὶ τὸ ἀναβιβάσαι καὶ ἀναθεῖναι ἐν τῷ, ἐς δίφρον ἀνέσαντες, Ἰλιάδ. ν', 657. καὶ ἀνέσαι ἀντὶ τοῦ ἀφεῖναι καὶ ἀπολῦσαι ἐν τῷ, εἴ κεν ἀνέσει θεός, Ὀδυσσ. σ', 265. 952, 59. 979, 6. 1846, 19.

ἄνεσαν ἤγουν ἀνῆκαν καὶ ἐχαύνωσαν ἐν τῷ, ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας, Ἰλιάδ. φ', 537. 1250, 47.

ἀνέστιος ὁ ἄπολις καὶ φυγάς. 815, 10.

ἄνεται ἤγουν τελειοῦται ἐν τῷ, νὺξ ἄνεται, Ἰλιάδ. κ', 251. ἐκ τοῦ ἄνω, ὅθεν τὸ ἀνύω. 802, 8. 26.

ἄνετοι βόες οἱ ἄφετοι, παρὰ τὸ ἀνίημι. 168, 35.

ἄνευ ὅτι ἐκ τοῦ ᾱ στερητικοῦ, ὅ ἐστι μὴ, καὶ τοῦ νεύειν ἢ νίσσεσθαι, ὅ ἐστι πορεύεσθαι, σύγκειται διὰ τὸ τὰ χωρὶς ὄντα μὴ νεύειν μηδὲ νίσσεσθαι πρὸς ἄλληλα. 1582, 12.

ἀνέχειν ἵππον ἐν ἴσῳ τῷ ἐπέχειν, ἀνασειράζειν· καὶ ἀνέχειν τὸ τιμᾶν ὁμωνύμως ἐν τῷ, εὐδικίας ἀνέχοντα, Ὀδυσσ. τ', 111. 1309, 12. 1857, 56.

ἀνέχεσθαι ἀντὶ τοῦ ὑποδέχεσθαι ἐν τῷ, ἐμὲ δ' οὔπως ἔστιν ἅπαντας ἀνθρώπους ἀνέχεσθαι, Ὀδυσσ. ρ', 13. καὶ ἀνέχεσθαι ἀντὶ τοῦ ἀνέχειν, ὃ δηλοῖ τὸ τιμᾶν, ὁμωνύμως, συνήθως δὲ τὸ ἐπανέχειν καὶ φέρειν καὶ βαστάζειν. 566, 27. 1025, 41. 1810, 42.

ἀνέχεσθαι συνήθως μὲν γενικῇ, ποτὲ δὲ καὶ αἰτιατικῇ Ἀττικῶς, ὡς καὶ παρ' Ὁμήρῳ πολλαχοῦ, οἷον καὶ ἐν τῷ, τοσσάδ' ἐνὶ φρεσὶν ᾗσιν ἀνέσχετο κήδεα, Ἰλιάδ. σ', 430. 619, 14. 725, 54. 1152, 19. 1853, 57. 1932, 57.

ἀνεψιὸς ὁ κοινῶς πρῶτος ἐξάδελφος λεγόμενος. 303, 3.

ἀνεψιοὶ λέγονται πάντες οἱ τοῦ αὐτοῦ γένους ἀπὸ μέρους τῶν ἀνεψιῶν, ὅ ἐστι τῶν κοινῶς ἐξαδέλφων. 764, 5.

ἄνεως ὁ ἄφωνος, παρὰ τὸ αὔω ἄνανος καὶ ἀποβολῇ τοῦ υ ἄναος καὶ Ἀττικῶς ἄνεως· τὸ πληθυντικὸν ἄνεω μετὰ προσγραφῆς τοῦ ι, ὃ καὶ χωρὶς τοῦ ι ἐπιῤῥηματικῶς ἐνίοτε τίθεται παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, ἡ δ' ἄνεω δὴν ἧστο, Ὀδυσσ. ψ', 93. 230, 27. 387, 43. 733, 43. 1443, 19. 1939, 26.

ἀνέῳγε ἀντὶ τοῦ ἤνοιξεν ἐνεργητικῶς, καὶ ἀντὶ τοῦ ἠνοίγη παθητικῶς ἐνίοτε. 1056, 49.

ἀνέῳγεν ἀντὶ τοῦ ἤνοιγε κατὰ χρόνον παρατατικὸν, ἢ ἀντὶ τοῦ ἀνέῳξεν, ἵν' ᾖ μέσου παρακειμένου ἐν τῷ, θύρας δ' ἀνέῳγε συφειοῦ, Ὀδυσσ. κ', 389. 1662, 50.

ἄνζα χυδαϊκῶς ἡ γαστροκνημία, ἀλλαχοῦ δὲ ὅτι ἄνζα ἢ ἄντα ἡ περὶ τὴν ἰγνύαν ἀγκύλη. 1061, 42. 1326, 51.

ἀνήγαγεν ἀντὶ τοῦ ἀναπλέειν πεποίηκεν ἐν τῷ, λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας Ἀτρείδης, Ἰλιάδ. ι', 538. 755, 10.

ἀνῆκεν ἀντὶ τοῦ ἀνήγειρε καὶ ἀνέπεισε, καὶ ἀνῆκεν ἡ γῆ βοτάνας, ἀντὶ τοῦ ἀνεβλάστησε. 1249, 53.

ἀνήῃ τρίτον πρόσωπον ὑποτακτικὸν ἐκ τοῦ ἀνῇ ἐπενθέσει τοῦ η, ἢ ἐκ τοῦ ἀνείη εὐκτικοῦ τροπῇ τοῦ ει εἰς η. 168, 32.

ἀνήκεστος χόλος λέγεται, ὡσεὶ καὶ νόσος τις δεινή. 1013, 28.

ἀνηκουστῶ ὅτι παρὰ τὸ ἀκουστὸς ὄνομα παρήχθη. 1175, 19.

ἀνήλατος ὁ ἀπειθὴς ἵππος ὅτι παρὰ τὸ ἐλᾶν λέγεται, ὃ ἱππική ἐστι λέξις. 1538, 49.

ἀνηλιφὴς ναῦς ἡ μήπω ἀλιφεῖσα πίσσῃ. 1561, 9.

ἀνηνέγκατο ἀντὶ τοῦ ἐκ βάθους ἐξεβόησεν ἐν τῷ, ἀνηνέγκατο ἄρα καὶ ἐς τρὶς ἐκάλεσε τὸν Σόλωνα, παρ' Ἡροδότῳ (I, 86.). 1404, 45.

ἀνήνοθεν, ἀνέρχεται, ἀναβαίνει, ἐν τῷ, κνίσση μὲν ἀνήνοθεν, Ὀδυσσ. ρ', 270. 1819, 35.

ἀνήνοθεν, ἀνεφέρετο, ἀνηκοντίζετο, ἐν τῷ, ὄφρα οἱ αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς, Ἰλιάδ. λ', 266. ὅτι ἀπὸ τοῦ ἔθω ἢ ὤθω θέματος κεκίνηται, ὡς καὶ τὸ ἐνήνοθεν, ὃ καὶ ζήτει. 843, 17. 30.

ἀνήνυστον τὸ ἀτέλεστον ὅτι ἀναλόγως ἔχει τὸ σ ὡς ἀπὸ τοῦ ἀνυστὸν, λέγεται δὲ καὶ ἀνήνυτον ἀποβολῇ τοῦ σ, ὡς γνωστὸς γνωτός. 1795, 35. 62.

ἀνήνυτος ὅτι ἐκ τοῦ ἀνυστὸς ἐνδείᾳ τοῦ σ λέγεται. 384, 5. 1795, 62.

ἀνήνωρ ὁ ἄνανδρος ὅτι ἀντίκειται τῷ εὐήνωρ. 1659, 29. 1660, 42.

ἀνὴρ κυρίως ὁ ἄῤῥην ἄνθρωπος, καταχρηστικῶς δὲ τῷ τοῦ ἀνδρὸς ὀνόματι συμπεριλαμβάνεται καὶ τὸ θηλυγενός. 1289, 38. 1422, 34.

ἀνὴρ, ἀντὶ τοῦ ἄνθρωπος, ὅτι πρός τινα μερικώτερα ἀντιδιαστέλλεται ἐν τῷ, ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας, Ὀδυσσ. κ', 102. καὶ, οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασιν, ib. 120. 1650, 38.

ἀνὴρ ὅτι καὶ γαμέτης καὶ εὐνέτης καὶ σύζυγος καὶ ξυνάορος καὶ πόσις καὶ ἀκοίτης καὶ παρακοίτης συνωνύμως λέγεται. 653, 35.

ἀνὴρ νέος καὶ ἀνὴρ μέσος ὅτι καθ' ἡλικίας προσηγορίαν λέγονται. 727, 24.

ἀνὴρ λέγεται ὁ τέλειος τὴν ἡλικίαν καὶ ὁ ζευχθεὶς γυναικὶ καὶ ὁ ἀνδρεῖος καὶ ὁ ἄῤῥην τὴν ἕξιν καὶ ὁ ἁπλῶς ἄνθρωπος. 1381, 5. 15.

ἀνὴρ ἐπὶ ἀνδρείου καὶ πολεμιστοῦ. 502, 19. 645, 21.

ἀνὴρ ὅτι ἐκτείνει ποτὲ τὴν ἄρχουσαν, πολλαχοῦ δὲ συστέλλει. 535, 20. 557, 1. 973, 9. 1006, 57. 1407, 7.

ἄνηστις ἐν ἴσῳ τῷ νῆστις πλεονασμῷ τοῦ α. 947, 17.

ἀνῆφθαι ἔκ τινος τόπου λέγονται πέρατα σχοινίων, ἤγουν δεδέσθαι, Ὀδυσσ. μ', 162. 1710, 29.

ἀνῆχθαι, εἰς ὀξὺ, τὸ εἰς ὀξὺ λήγειν. 207, 12.

Ἀνθέας ὅτι πρῶτος εὗρε τὴν διὰ συνθέτων ὀνομάτων ποίησιν, ἱστορία. 1277, 50.

Ἄνθεια παρ' Ὁμήρῳ πόλις Πελοποννήσου πλησίον Ἄργους, καὶ Ἄνθεια πόλις ἐν Πόντῳ καὶ κώμη Λιβύης. 743, 20. 27.

Ἀνθεμίδης πατρωνυμικὸν παρ' Ὁμήρῳ ἐκ τοῦ Ἀνθεμίων θετικοῦ κατὰ συγκοπὴν, εἰ δὲ ἐκ τοῦ Ἄνθεμος, ἀπαθῶς ἂν ἐλέγετο. 501, 39.

Ἀνθέμιος, μιμητὴς Ἀρχιμήδους κατὰ τὰς δι' ἐνόπτρων καύσεις. 513, 17. 1528, 39.

ἀνθεμόεις λειμὼν ὁ θαλερὸς καὶ ἀνθηρός. 255, 17. 324, 18.

ἀνθεμόεις λέβης ὁ ἀναθηματικὸς ἢ ἀνθηρός. 255, 17. 1334, 36. 1476, 14.

ἄνθεμον τὸ ἄνθος κατὰ γλῶσσαν. 225, 17. 324, 18.

Ἀνθεμοῦσα, νῆσος ἐν τῷ Τυῤῥηνικῷ πελάγει, ἣν αἱ Σειρῆνες ᾤκησαν. 1709, 43.

ἀνθερεὼν τὸ τέλος τοῦ ὑπογενείου. 425, 38. 548, 1.

ἀνθερεὼν, ἐτυμολογία καὶ σχηματισμὸς, καὶ τί, ὑπ' ἀνθερεῶνος ἑλεῖν, παρ' Ὁμήρῳ. 141, 43. 142, 2.

ἀνθέρικος ὁ τῆς ἀσφοδέλου καρπὸς ἢ καυλός· οἱ δὲ ὅτι ἀνθέρικοι οἱ ἀθέρες τῶν ἀσταχύων πλεονασμῷ τοῦ ν, καὶ ὅτι ὁ ἀνθέρικος τοῦ ἀνθερίκου ἰσοσυλλάβως κλίνεται. 100, 15. 1206, 11.

ἀνθέων στεφανωτικῶν εἴδη, ἴον, Διὸς ἄνθος, ἡμεροκαλλές. 1049, 37.

Ἀνθηδὼν, πόλις ἐσχάτη τῆς

Βοιωτικῆς παραλίας πρὸς Εὔβοιαν, ὅτι παρὰ τὸ ἀνθηρὸν αὐτῆς οὕτως ἐκλήθη, ἢ ἀπὸ Ἀνθηδόνος ἢ Ἀνθίου, καὶ ὅτι ὑπὸ Θρακῶν συνῳκίσθη. 271, 13. 35.

ἀνθίας, εἶδος ἰχθύος, καὶ ἱστορία φυσικὴ περὶ αὐτοῦ. 1067, 37.

ἄνθος ὅτι ἐκ τοῦ ἀναθέειν παρῆκται κατὰ συγκοπήν. 867, 20.

ἀνθοσμίας οἶνος ὅτι ἠρτημένος ἦν, ὅ ἐστι σκευαστὸς, καὶ οὐχ' ἁπλῶς οἶνος. 1449, 11.

ἀνθρωπείη, ἡ τοῦ ἀνθρώπου δορά. 374, 36. 1646, 9.

Ἄνθρωπος κύριον ὁμωνύμως τῷ προσηγορικῷ. 356, 7.

ἄνθρωπος τοῦ δεῖνος, ὅτι ὡς κτῆμα λέγεται. 1821, 17.

ἀνθρώπου ἡλικιῶν ὀνομασίαι κατὰ τάξιν, βρέφος, παιδίον, παιδάριον, παιδίσκος, παῖς, εἶτα ἔφηβος, μειράκιον ἢ μεῖραξ, εἶτα νεανίσκος καὶ νεανίας, εἶτα ἀνὴρ, εἶτα ὠμογέρων, εἶτα γέρων καὶ πρεσβύτης, εἶτα ἐσχατόγηρως, ὃ καὶ πέμπελος καὶ σύφαρ παρὰ Λυκόφρονι. 962, 8. 1788, 53—59.

ἀνθρώπινον ἦθος, ἀντὶ τοῦ ἀνθρώπινον, κατὰ σχῆμα λόγου, καὶ ἑρμηνεία διεξοδικὴ τοῦ σχήματος. 1339, 8.

ἀνθρώπων γένεσις μυθικὴ μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν, μῦθος καὶ ἀλληγορία, καὶ ἁπλῶς περὶ μυθικῆς γενέσεως ἀνθρώπων ἐκ διαφόρων φυσικῶν σωμάτων. 23, 38.

ἀνθρωποφάγα ἔθνη καὶ τινὲς τῶν κατὰ μέρος ἀνθρώπων, ἱστορία. 1630, 6.

Ἀνθύλλα κύριον, ἀφ' ἧς πόλις ὁμώνυμος ἐν τῷ Νείλῳ. 117, 46.

ἀνιάζειν ἀντὶ τοῦ ἀνιᾶσθαι ἢ ἀνιᾶν. 1126, 45.

Ἄνιγρος ποταμὸς, ὁ καὶ Μινύειος, καὶ περὶ τινῶν ἰδιωμάτων αὐτοῦ ἱστορία. 296, 44. 880, 50.

ἀνιέναι ἁπλῶς τὸ ἐπανέρχεσθαι καὶ τὸ ἀφιέναι τινὰ κατά τινος· καὶ ἀνιέναι τὸ ἀναπείθειν καὶ ἐρεθίζειν καὶ διεγείρειν· καὶ ἀνιέναι κύνα κατὰ θηρὸς, ἀντὶ τοῦ ἀφιέναι· καὶ ἀνιέναι τινὰ δεσμοῦ, ἀντὶ τοῦ λύειν· καὶ ἀνιέναι ὁ θυμὸς τὸν θυμούμενον λέγεται, ἀντὶ τοῦ ἀφιέναι καὶ καταλιπεῖν· καὶ ἀνιέναι ὁμωνύμως τὸ γυμνοῦν καὶ ἐκδέρειν. 123, 20. 617, 30. 1003, 43. 1441, 8. 1599, 54. 1600, 27. 1611, 2.

ἀνίεσθαι κόλπον λέγεται γυνὴ, ἀντὶ τοῦ γυμνοῦν ἢ ἀντὶ τοῦ ἀνατείνειν, καὶ ἀνίεσθαι αἶγας ὁμοίως τὸ γυμνοῦν ἐν τῷ ἐκδέρειν ἢ ἀντὶ τοῦ ἀνατέμνειν. 1258, 41. 57.

ἀνίεσθαι τὸ ἐκδέρειν, παρὰ τὸ ἐκ τῶν κάτω ἐπὶ τὰ ἄνω ἵεσθαι τοὺς ἐκδέροντας, καὶ ἀνίεσθαι τὸ γυμνοῦν ὁμωνύμως. 1446, 33.

ἀνίημι τὸ ἀναπείθω καὶ παροξύνω, ζήτει ἑρμηνείαν διεξοδικὴν ἐν τῷ ἀνιέναι. 605, 38.

ἀνιηρέστερος ἀντὶ τοῦ ἀνιηρότερος. 1441, 10.

ἀνιμᾶσθαι τὸ δι' ἱμονιᾶς ὕδωρ ἀντλεῖν, καὶ ἀνιμᾶσθαι τὸ κάτωθεν ἐπὶ τὰ ἄνω ἵεσθαι 1453, 5. 1944, 62.

Ἄνιος κύριον ὅτι ἐκ τῆς ἀνὰ προθέσεως ἢ μᾶλλον ἐκ τῆς ἀνίας παρήχθη, καὶ ὅτι προπαροξύνεται ἡ λέξις. 75, 13. 264, 37. 532, 45. 1081, 57. 1368, 58.

ἀνιοῦσα, ἐπανερχομένη, ἐν τῷ, ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδεῖ πόντῳ, Ὀδυσσ. θ', 568. περὶ νεὼς ὁ λόγος. 1611, 2.

ἀνιπτόποδες οἱ μὴ νιπτόμενοι τοὺς πόδας, ἢ οἱ τοῖς ποσὶν ἀνιπτάμενοι. 1058, 3.

ἄνις, ὅτι οὕτω λέγεται κατὰ γλῶσσαν τὸ ἄνευ ἐπίῤῥημα. 1582, 12.

ἀνιστάναι τὸ ἐγεῖραι καὶ τὸ ἄνω κάτω τι ποιεῖν ὁμωνύμως. 80, 13.

ἀνίσχειν τὸ ἁπλῶς ἄνω ἔχειν, ἰδίως ἀνίσχειν τὸ ἀνατέλλειν ἐπὶ ἡλίου, καὶ ἀνίσχειν χεῖρας τὸ ἀνατείνειν, ὃ καὶ ἀνασχέσθαι λέγεται παρ' Ὁμήρῳ. 133, 22. 529, 16. 608, 34. 716, 45. 1020, 26.

ἀννεῖται ὁ ἥλιος ἀντὶ τοῦ ἀνανέεται, ὅ ἐστιν ἀνέρχεται καὶ ἀνατέλλει. 1654, 5.

ἀννέφελος ὅτι δυσὶ ν γράφεταί ποτε διὰ μέτρον ἀνάγκην. 1551, 6.

ἀνξηράνῃ ἀντὶ τοῦ ἀναξηράνῃ. 1240, 7.

ἀνοήμων ὁ ἀνόητος, νοήμων δὲ ὁ φρόνιμος. 1444, 56.

ἀνοίγειν οἶνον, ὅτι ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον ἀνοίγεσθαι λέγεται, Ὀδυσσ. γ', 392. 1473, 57.

ἀνοίγω καὶ οἴγω τὸ ἁπλοῦν ὅτι ἐκ τοῦ ἐπείγω, ὅ ἐστι σπεύδω, δοκοῦσιν ἔχειν τὴν παραληκτικὴν δίφθογγον τραπέντος τοῦ ε εἰς ο. 838, 11.

ἄνοικος ταυτὸ ὅπερ ἄοικος. 1817, 24.

ἄνοιτο ὅτι ἐκ τοῦ ἄνω κεκίνηται, ὅθεν τὸ ἀνύω. 1153, 51.

ἄνολβος ὁ ἀπαίδευτος, ἐπεὶ καὶ ὄλβος ἐπὶ φρονήσεως ἐνίοτε τίθεται. 1364, 7.

ἀνόλεθρος τὸ νο μικρὸν διὰ μέτρου χρείαν ἐν τῷ, τοὺς δ' εὗρεν οὐ πάμπαν ἀπήμονας, οὐδ' ἀνολέθρους, Ἰλιάδ. ν', 761. 958, 57.

—— ανον ληγόντων τρισυλλάβων προπαροξυτόνων οὐδετέρων ἀναλογία, οἷον ξέω ξόανον, κόπτω κόπανον, ἔχω ὄχανον. 152, 27. 1528, 22.

—— ανος λήγοντα τρισύλλαβα ῥηματικὰ ὀξύτονα ὅτι βραχεῖαν ἔχει τὴν ἄρχουσαν, οἷον ἑανὸς, πιθανὸς, τραγανὸς, ἱκανὸς, καὶ περὶ τοῦ παρακτικοῦ χρόνου. 128, 43. 974, 52.

—— ανος λήγοντα ὀξύτονα ὑπερτρισύλλαβα ὅτι ἐκτείνει τὸ παραληκτικὸν α, πλὴν τῶν παρὰ τοῖς ὕστερον, οἳ τὴν παραλήγουσαν τοῦ Ἰουλιανὸς συστέλλουσι, τὸ δὲ ἱκανὸς, τρισύλλαβον ὄν, οὐκ ἐνέχεται τῷ κανόνι τούτῳ. 128, 43.

ἀνόπαια διαφόρως ἑρμηνευόμενον καὶ ἐτυμολογούμενον ἐν τῷ, ὄρνις δ' ὡς ἀνόπαια διέπτατο, Ὀδυσσ. α', 320. περὶ Ἀθηνᾶς λεγόμενον καὶ ὅτι ὄρος τι Ἀνόπαια λέγεται, καὶ ἀτραπὸς Ἀνόπαια περὶ τὴν Λοκρίδα, ἑρμηνεία διεξοδική. 1419, 18—40.

ἀνόσιος πάλαι ὁ ἄταφος, ὕστερον δὲ ὁ ἀσεβής. 29, 36.

ἀνόστιμον τὸ τοῦ νοστίμου ἐστερημένον, οὐ τοῦ σημαίνοντος τὸ ἡδὺ, ἀλλὰ τὸ νοστῆσαν. 1490, 40.

ἀνουτητὶ ἐπίῤῥημα ὅτι ἐνεργητικῶς ἀκούεται ἐν τῷ, οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη, Ἰλιάδ. χ', 371. 1274, 35.

ἀνοχλίζειν τὸ ἀνακινεῖν, ἐκ τοῦ ὀχλίζειν, ὃ παρὰ τὸ ὀχλεῖν, ζήτει ἐν τῷ ὀχλεῖν. 1944, 23.

ἀνοψία, ἡ τῶν ὄψων ἀπορία, ὅτι ἀντίκειται τῇ εὐοψίᾳ. 867, 57.
ἀνσχεθέειν, ἀνασχεῖν, ἀναδῦναι, ἀνελθεῖν, ἐν τῷ, οὐδὲ δυνάσθη αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ἀρθείς, Ὀδυσσ. ε', 320. ἢ ἀντισχεθέειν ἀντὶ τοῦ ἀντισχεῖν καὶ κατὰ συγκοπὴν ἀνσχεθέειν. 1538, 60.
ἀνσχετὸν ὅτι ἐκ τοῦ ἀνασχετὸν συγκέκοπται. 1434, 27.
ἄντα μάχεσθαι τὸ ἀντιμάχεσθαι, καὶ ἄντα ἵστασθαι τὸ ἀνθίστασθαι. 1198, 44.
ἄντα, τὸ ἀντικρὺ καὶ ἐξ ἐναντίας, ὅτι ἐκ τοῦ ἄντην γέγονεν, ὡς ἐκ τοῦ κρύβδην τὸ κρίβδα. 59, 2. 306, 27. 1197, 34.
ἄντα παρειῶν σχέσθαι κρήδεμνον λέγεται ἡ Πηνελόπη, Ὀδυσσ. α', 334. ἤγουν καλύψασθαι τῷ ἐπὶ τῆς κεφαλῆς κρηδέμνῳ τὰς παρειάς. 1420, 58. 1421, 12.
αντωι λήγοντα τρίτα πρόσωπα παρακειμένων ἑνικά, ἀπὸ θεμάτων διὰ τοῦ αινω φυσικῶς ἔχοντα τὸ ν καὶ ὁμοφωνοῦντα τοῖς ἰδίοις τρίτοις τῶν πληθυντικῶν, οἷον πέφανται, ἐξήρανται, μεμίανται. 189, 23. 1055, 8.
Ἀνταῖος ὅτι ἀφ' ἧς εἶχε δεξιότητος περὶ τὸ καταβάλλειν τοὺς ἀντιπαλαίοντας Γῆς υἱὸς γεγονέναι μεμύθευται. 1700, 1.
ἀντᾶν μάχης λέγεται παρ' Ὁμήρῳ ὁ εὑρὼν τὸν ἀντιμαχούμενον. 671, 39.
ἀντᾶν γενικῇ ἐν ἴσῳ τῷ ἐπιτυχεῖν ἢ ἄντην γενέσθαι, ὅ ἐστιν ἀντίον ἐλθεῖν παρ' Ὁμήρῳ. 673, 7. 1456, 37.
ἀνταπόδοσις, ὅτι ἐπὶ τῶν κακὸν ἀντὶ κακοῦ ἀποδιδόντων παροιμιάζεται τὸ Ὁμηρικὸν ἐκεῖνο, τοῦτό τοι ἀντὶ ποδὸς ξεινήιον, Ὀδυσσ. χ', 290. 1926, 62.
ἀνταποδοτικὰ χωρὶς ἀναφορικῶν ὅτι ἐπίτασιν ὑπαγορεύει ποιότητός τινος ἢ ποσότητος, οἷον ἐν τῷ, ἡ τοιόσδε ἐὼν γυναῖκα εὐειδέ' ἀνῆγες, Ἰλιάδ. γ', 46. 382, 9.
ἀντάω ἀντῶ ἀντήσω, γενικῇ τὸ ἄντην γίνομαι ἐν τῷ, ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, Ἰλιάδ. π', 423. καὶ ἐν τῷ, ὅπως ἤντησας ὀπωπῆς, παρ' Ὁμήρῳ. 1068, 36.
ἀντερείδειν τὸ ἀντωθεῖν καὶ ἀντιβαίνειν. 1094, 34.
ἄντεσθαι τινὶ παρ' Ὁμήρῳ ἀντὶ τοῦ συμμῖξαι. 1038, 42.
ἀντέσθην τρίτον πρόσωπον τῶν δυϊκῶν ἀπὸ τοῦ ἄντομαι βαρυτόνου, ἀντήσθην δὲ ἀπὸ τοῦ ἀντῶ περισπωμένου. 662, 26.
ἀντήλια, τὰ καὶ παρώπια, καὶ ἀντήλιος, ἀντὶ τοῦ παρήλιος, ὅτι ὤφειλον ἀνθήλια λέγεσθαι καὶ ἀνθήλιος διὰ τὴν ἐπὶ τοῦ ἥλιος δασεῖαν, Ἰωνικῶς δὲ οὕτω λέγεται. 83, 3. 1562, 38.
ἀντήλια τὰ χάριν σκιᾶς προβεβλημένα τῶν προσώπων τοῖς ἡλιαζομένοις. 1281, 3.
ἀντήλιον, τὸ καὶ παρώπιον, δέρμα περὶ τὰς ὄψεις τῶν ἵππων τιθέμενον. 914, 44.
ἄντην ἀντὶ τοῦ ἄντικρυς καὶ κατενώπιον ἢ ἀντὶ τοῦ αὐτόχρημα ἐν τῷ, ὁμοιωθήμεναι ἄντην, παρ' Ὁμήρῳ. 78, 22. 1430, 29. 1460, 14. ἀλλαχοῦ δὲ ὅτι ἄντην τὸ ἀντικρὺ καὶ κατὰ πρόσωπον. 795, 60. καὶ τὸ φανερῶς παρ' Ὁμήρῳ. 1915, 25.
ἄντην εἰσιδεῖν, παρ' Ὁμήρῳ τὸ παρὰ τοῖς ὕστερον ἀντωπῆσαι. 1169, 15.
Ἀντήνωρ, Τρωικὸς ῥήτωρ, ὅτι ἐκ τοῦ ἀντὶ καὶ τοῦ ἀνὴρ σύγκειται ἡ λέξις. 635, 56. 1301, 35.
ἀντήρεις ἀντήρειδος, ἢ ἀντήρις διὰ τοῦ ι, ὅτι ἀντήρειδες εἰσὶν ἃς Ὅμηρος στήλας προβλῆτας λέγει Ἰλιάδ. μ', 359. καὶ ἀντήρις ἡ μεσόδμη. 903, 48. 52.
ἀντήρης πληγὴ, ἣν τις ἐρείσας τὸ βέλος ἐνέτριψε. 1094, 34.
ἀντῆσαι ἀντὶ τοῦ τυχεῖν ἐν τῷ, ὅπως ἤντησας ὀπωπῆς, παρ' Ὁμήρῳ, ὅ ἐστι περίφρασις τοῦ ἰδεῖν. 1811, 46.
αντι λήγοντα τρίτα πρόσωπα πληθυντικὰ ἐνεστώτων τῆς δευτέρας συζυγίας τῶν περισπωμένων Δωρικῶς ἐσχηματισμένα, οἷον βοᾶντι ἀντὶ τοῦ βοῶσι. 1557, 39.
ἀντὶ πρόθεσις ὅτι ἰσότητα σημαίνει ἐν τῷ ἀντιφερίζειν, ὃ καὶ ἰσοφαρίζειν λέγεται. 156, 10.
ἀντὶ γυναικὸς τετύχθαι, παρ' Ὁμήρῳ τὸ γυναικὶ ἐξισωθῆναι τὰ πολεμικά. 705, 5.
ἀντιᾶν ῥῆμα καὶ ἀντίος ὄνομα ὅτι παρὰ τὴν ἀντὶ πρόθεσιν λέγονται. 31, 13. 75, 9.
ἀντιᾶν τὸ συναντᾶν συνήθως καὶ τὸ ἀπολαύειν ἐν τῷ, ἀντιόων ἑκατόμβης, καὶ τὸ ἐπιμελείας ἀξιοῦν ἐν τῷ, ἐμὸν λέχος ἀντιόωσα, καὶ τὸ μετέχειν ἢ ἄντην γίνεσθαι ἐν τῷ, ἔρχεται οὗ παιδὸς τεθνειῶτος ἀντιόωσα, Ὀδυσσ. ω', 56. καὶ, ἀντιᾶν ὀνήσιος, ἀντὶ τοῦ ὄνασθαι περιφραστικῶς, Ὀδυσσ. φ', 402. 629, 1. 1913, 53. 1954, 9.
ἀντιάνειραι αἱ Ἀμαζόνες ἐπιθετικῶς, αἱ τοῖς ἀνδράσιν ἐναντιούμεναι ἢ ἐξισούμεναι. 403, 14. 635, 54.
ἀντιάω ἀντιῶ, ὅτι φύσει μὲν τῆς δευτέρας ἐστὶ τῶν περισπωμένων, ἐνίοτε δὲ ἀντιόω λεγόμενον ἔμφασιν ἔχει τριτοζύγου, οὐκ ἔστι δέ· ζήτει τὸ ἀντιόω. 30, 40.
ἀντιβάλλειν ἐν ἴσῳ τῷ ἀντιτιθέναι. 1406, 26.
ἀντίβια ἔπη τὰ ἐναντιοδύναμα. 108, 3.
ἀντιβολεῖν τὸ ἐπιτυχεῖν καὶ συναντᾶν παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον τὸ παρακαλεῖν καὶ ἱκετεῦσαι, διαφόρως ἐτυμολογούμενον καὶ συντασσόμενον. 481, 15. 669, 24. 1211, 2. 1654, 60. 1911, 7.
ἀντιβολῆσαι μάχης, τὸ ἄντην βαλεῖν, ὅ ἐστιν ἐπιτυχεῖν, γενικῇ· ἀντιβολῆσαι δὲ τινὶ, ὅ ἐστι συναντῆσαι, δοτικῇ. 907, 47. 929, 46.
ἀντιβολία ἡ δέησις. 1406, 27.
ἀντιβολῶ τὸ συναντῶ καὶ τὸ παρακαλῶ, ζήτει ἐν τῷ ἀντιβολεῖν. 1405, 4.
ἀντίθεος ἀντὶ τοῦ ἰσόθεος, καὶ ὅτι παρ' Ὁμήρῳ ἀντίθεοι οἱ τῆς Πηνελόπης μνηστῆρες διὰ τὸ γένος ἢ τὸ κάλλος λέγονται, καὶ ὅτι καὶ διὰ πλοῦτον ἢ ἀνδρίαν ἀντίθεός τις λέγεται. 635, 7. 1749, 3.
ἀντιθέτου σχήματος παράδειγμα. 154, 35. 731, 25.
Ἀντίκλεια Αὐτολύκου θυγάτηρ, μήτηρ δὲ Ὀδυσσέως. 1673, 61.

Ἄντυλλα, πόλις εἰς ζώνας βασιλικῶν γυναικῶν φόρον τελοῦσα, ἱστορία. 258, 37.

ἄντυξ ὅρματος καὶ ἀσπίδος καὶ οὐρανοῦ καὶ κιθάρας κατὰ συνθήκην. 599, 20. 628, 24.

ἄντω καὶ ἄντομαι κατὰ τὴν τρίτην τῶν βαρυτόνων παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον ἀντῶ περισπωμένως, οὗ μέλλων ἀντήσω, καὶ ὅτι τοῦ ἄντω οὐχ' εὕρηται μέλλων, καὶ ὅτι συνήθως δοτικῇ συντάσσονται τὰ τοιαῦτα ῥήματα, ἐνίοτε δὲ γενικῇ, οἷον ἐν τῷ, ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, Ἰλιάδ. π', 423. 454, 26. 721, 9. 764, 27. 1087, 6.

ἀντωμοσία, δίκη ἀντωμοσμένη, τουτέστιν ἡ τῶν ἀντιδίκων διωμοσία, τοῦ μὲν κατηγόρου τὸ δικαίως ἐγκαλεῖν, τοῦ δὲ φεύγοντος τὸ ἀδίκως ἐγκαλεῖσθαι. 1660, 48.

ἀντωνυμίαι δύο ταὐτόσημοι ἐκ παραλλήλου κείμεναι ἀντὶ συνθέτου μιᾶς παρ' Ὁμήρῳ καὶ τοῖς Ἀττικοῖς, παρ' οἷς οὐκ ἔστι χρῆσις τῶν συνθέτων ἀντωνυμιῶν, οἷον σφῶν αὐτῶν ἀντὶ τοῦ ἑαυτῶν. 103, 21. 921, 8.

ἀντωνυμίαι ὅτι ἀντὶ κυρίων ὀνομάτων τίθενται πρὸς τὸ μὴ ἐπαναφέρειν τὸ αὐτὸ ὄνομα, καὶ ὅτι καὶ δι' ἄγνοιαν τοῦ κυρίου ἀντωνυμίαις χρώμεθα ἐνίοτε. 39, 25. 1136, 25.

ἀντωνυμίαι πρωτότυποι ὅτι οὐ φιλοῦσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν. 966, 33.

ἀντωνυμίαι σύνθετοι, ὅτι οὐχ' εὑρίσκονται παρ' Ὁμήρῳ σύνθετοι ἀντωνυμίαι, ἀλλ' ἐν διαλύσει. 921, 8.

ἀντωνυμίαι ἀντὶ ἐπιῤῥημάτων κατ' ἐναλλαγήν, οἷον ταύτῃ ἀντὶ τοῦ οὕτω. 44, 31. 44, 35.

ἀντωνυμιῶν πρωτοτύπων γενικαὶ κατὰ τέσσαρα πάθη κινούμεναι, διάλυσιν, συναίρεσιν, ἐπένθεσιν καὶ παραγωγήν, οἷον ἐμέο ἐμεῦ ἐμεῖο ἐμέθεν, καὶ ὅτι ἀναλογώτερον τὸ ἐμεῖο σεῖο εἷο τοῦ ἐμέο σέο ἕο. 13, 9. 32, 40.

ἀντωπῆσαι τὸ ἄντην εἰσιδεῖν. 1169, 15.

ἀνύειν τὸ σπεύδειν καὶ τὸ τελειοῦν καὶ τὸ θανατοῦν ἐν τῷ, ἢ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας, Ἰλιάδ. λ', 365. 763, 32. 1213, 56. 1478, 5.

ἀνύειν τι λέγεται ἡ φλὸξ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀναλίσκειν. 1954, 15.

ἄνυπηνος ὅτι παρὰ τὴν ὑπήνην λέγεται, ὡς παρὰ τὴν ἥβην ὁ ἄνηβος. 1353, 47.

ἀνύποιστος ὅτι ἐκ τοῦ οἰστὸς σύγκειται, ὃ παρὰ τὸ οἴω, ὅ ἐστι κομίζω, λέγεται. 1902, 36.

ἀνυπόστατος, ὅτι ὁμώνυμος ἡ φωνὴ διαφόρως ἐτυμολογουμένη. 1093, 7.

ἀνυπόστατον πρᾶγμα καὶ ἀνυπόστατος ἄνθρωπος καὶ ἀνυπόστατος θυμὸς ἐπιθετικῶς. 743, 54. 744, 9.

Ἄνυτος κύριον ὅτι ἐκ τοῦ ἀνυτὸς ἐπιθέτου δοκεῖ λέγεσθαι, καὶ ὅτι πρὸς διάφορον σημασίαν προπαροξύνεται. 384, 5. 1796, 2.

ἀνύω Ὅμηρος, ἀνύτω δὲ οἱ μεθ' Ὅμηρον. 1216, 61. 64.

ἀνύω ὅτι παρὰ τὸ ἄνω, ὅ ἐστι τελειῶ, παρῆκται. 802, 26. 1153, 51. 1784, 39.

ανω λήγοντα ῥήματα ἐξ ὑποτακτικῶν γενόμενα ὅτι τρισὶ γράμμασιν ὑπερβάλλει τὰ ἐξ ὧν γεγόνασιν ὑποτακτικά, οἷον ἐὰν λάχω λαγχάνω, ἐὰν μάθω μανθάνω, ἐὰν ἐρύγω ἐρυγγάνω· καὶ ἀντιστρόφως, ὅτι τὰ τῶν διὰ τοῦ ανω ῥημάτων ὑποτακτικὰ τρισὶ γράμμασι καὶ αὐτὰ θέλει λείπεσθαι τῶν συστοίχων ὁριστικῶν. 1525, 13.

ανω λήγοντα ῥήματα ὅτι μέχρι τοῦ παρατατικοῦ κλίνονται. 1473, 34.

ανω λήγοντα ῥήματα ὅτι συνήθως μὲν βραχυπαραληκτοῦσιν, ἐνίοτε δὲ ἐκτείνουσι τὴν παραλήγουσαν διὰ μέτρου χρείαν, οἷον φθάνω καὶ ἱκάνω. 1236, 7. 1434, 21. 1740, 2.

ανω λήγοντα ῥήματα ἀπὸ ληγόντων εἰς αινω ἀποβολῇ τοῦ ι γενόμενα, οἷον οἰδάνω ἀπὸ τοῦ οἰδαίνω. 774, 47.

ανω λήγοντα ῥήματα ἐκ πλεονασμοῦ ἔχοντα τὸ ν πρὸ τοῦ τῷ α συλλαβιζομένου συμφώνου, οἷον θιγγάνω, λαγχάνω. 1382, 36.

ανω λήγοντα ῥήματα ἐκ δισυλλάβων τῷ η παραληγόντων γενόμενα συστολῇ τοῦ η καὶ πλεονασμῷ τοῦ ν, οἷον λήβω λαμβάνω, μήθω μανθάνω, ἢ ἐξ ὑποτακτικῶν, οἷον ἐὰν λάβω λαμβάνω, ὁμοίως τῷ ἐὰν φύγω φυγγάνω, καὶ ἐὰν ἐρύγω ἐρυγγάνω. 28, 43 — 29, 5.

ἄνω ῥῆμα προϋπάρχον τοῦ ἀνύω. 1434, 17.

ἄνω ἐπίῤῥημα ὅτι παρὰ τὴν ἀνὰ πρόθεσιν λέγεται. 166, 30.

ἄνωγα ὅτι μέσος ἐστὶ παρακείμενος τοῦ ἀνώγω ῥήματος. 1808, 26.

ἄνωγε προπαροξυτόνως καὶ ἠνώγει, ἤγουν ἐκέλευεν, ἀπὸ τοῦ ἀνώγω, ἀνῷγε δὲ προπερισπωμένως ἀντὶ τοῦ ἤνοιγεν ἀπὸ τοῦ ἀνοίγω. 619, 20. 974, 46.

ἀνώγειν ἀντὶ τοῦ ἱκετεύειν ἢ ἁπλῶς λέγειν ἐν τῷ, οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι Δαρδανίδης Πρίαμος, Ἰλιάδ. χ', 351. 1273, 39.

ἀνώγω παρὰ τὸ ἄνω, ὅ ἐστι τελειῶ, ὅθεν καὶ τὸ ἀνύω. 1784, 39.

ἀνώιστος, ἀνέλπιστος, ἐκ τοῦ νοῶ ἢ τοῦ οἴω ἐκτάσει τοῦ ο εἰς ω, καὶ ἀνωιστὶ ἐπίῤῥημα, ὃ δηλοῖ τὸ ὡς οὐκ ἄν τις οἴσαιτο. 1222, 21. 1486, 39

ἀνώνυμος ὁ μὴ ἔχων κύριον ὄνομα, ὅ ἐστι κλῆσιν, καὶ ὅτι ἔθνος τι ἦν, ἐν ᾧ οὐδεὶς κυρίῳ ἐκαλεῖτο ὀνόματι, καὶ ἀνώνυμος ὁ ἀκλεὴς καὶ μὴ ὀνομαστός. 1609, 61. 1610, 6.

ἀνώξω, ἤγουν κελεύσω, Ὀδυσσ. π', 404. ἀπὸ τοῦ ἀνώγω θέματος. 1806, 9.

ἀνώσαντες, ἀνωθήσαντες. 1790, 58.

ἄνωχθι, προστακτικὸν μεταπεπλασμένον ἐκ τοῦ ἄνωγε. 33, 4. 58, 44. 790, 16.

αξ λήγοντα ὑποκοριστικά, οἷον νέος νέαξ, λίθος λίθαξ, σκύλος σκύλαξ. 1091, 54. 1540, 53.

αξ λήγοντα ὑποκοριστικὰ ὀνόματα ἰχθύων, οἷον θύνναξ ἀντὶ τοῦ θύννος καὶ ὄρφαξ ἀντὶ τοῦ ὀρφώς. 1720, 50. 60.

αξ λήγοντα ἐπιῤῥήματα ἀπὸ μελλόν-

των διὰ τοῦ ηξω γινόμενα συστολῇ τοῦ ᾱ, οἷον λήγω λήξω λὰξ, δήκω δήξω δὰξ καὶ ὀδὰξ, καὶ ὅτι τὰ εἰς αξ ἐπιῤῥήματα ὀξύνονται πλὴν τοῦ ἅπαξ. 249, 33. 842, 43.

ἄξαντες, κλάσαντες, θραύσαντες. 623, 35. 1064, 48.

ἄξασθε ἀντὶ τοῦ ἄξατε παρ' Ὁμήρῳ. 726, 31.

ἀξέμεν ὕλην, παρ' Ὁμήρῳ, ὅτι τὸ ἀγαγεῖν μᾶλλον δηλοῖ ἢ τὸ κλάσαι. 1376, 3.

ἀξίνη ὅτι παρὰ τὸ ἄγειν, ὅ ἐστι κλᾶν, λέγεται, καὶ ὅτι ἐκτείνει τὴν παραλήγουσαν ἐν τῷ, ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο, Ἰλιάδ. ο', 711. 1039, 21. 1370, 59.

ἄξιον ἀντὶ τοῦ ἀντάξιον παρ' Ὁμήρῳ, καὶ ἄξιον τὸ τίμιον καὶ τὸ εὔωνον ὁμωνύμως. 836, 22. 25.

ἄξιον ἡ ἀξία τιμὴ ἐν τῷ, ὅθεν κέ τοι ἄξιον ἄλφοι, Ὀδυσσ. υ', 383. καὶ ἄξιον τὸ εὔωνον παρὰ τοῖς Ἀττικοῖς. 1896, 54.

Ἄξιος, ὄνομα ποταμοῦ τῆς Παιονίας χώρας. 359, 22.

ἄξιον πάντων ἦμαρ λέγεται τὸ τῶν προλαβόντων ἀντάξιον εἴτουν ἰσόῤῥοπον, καὶ ἄξιον ἁπλῶς τὸ εὔωνον παρὰ τοῖς Ἀττικοῖς. 1039, 44.

ἄξυλος ὕλη ἐπιθετικῶς ἡ πολύξυλος κατ' ἐπίτασιν, ἢ ἀφ' ἧς οὐδεὶς ἐξυλεύσατο. 837, 55.

αο καὶ εω καὶ οιο ληγουσῶν γενικῶν διαλελυμένων χρόνος ληκτικὸς καὶ παραληκτικός. 13, 2.

ἀοιδιάειν ἀντὶ τοῦ ᾄδειν παρ' Ὁμήρῳ. 1655, 57.

ἀοίδιμος ὅτι μέση λέξις ἐστὶν, ἤγουν ὅτι ἀοίδιμός τις ἐπὶ καλοῖς καὶ ἀοίδιμος ἐπὶ κακοῖς λέγεται. 647, 13. 1394, 56.

ἀοιδὸς, ὅτι τοὺς περὶ μουσικὴν καὶ ποιητικὴν ἀοιδοὺς ἐν μοίρᾳ φιλοσόφων ἔταττον οἱ παλαιοὶ, καὶ ὅτι ἀπολύτως ἀοιδοὶ οἱ τοιοῦτοι λέγονται πρὸς διαστολὴν τῶν περὶ θρήνους καὶ γάμους καὶ τοιούτων ἄλλων ἀοιδῶν, καὶ ὅτι τὸν τῆς παρ' Ὁμήρῳ Κλυταιμνήστρας ἀοιδὸν εὐνοῦχον ἐνόησάν τινες λεχθῆναι παρὰ τὸ αἰδοῖα μὴ ἔχειν, ἱστορία διεξοδική. 1466, 35 — 1467, 12.

ἀολλέες, ὁμοῦ ἀθροισμένοι καὶ πεπυκνωμένοι. 179, 21. 893, 42.

ἀολλὴς, ἐτυμολογία. 641, 62.

ἀολλὴς ὄνομα καὶ ἀολλίζω ῥῆμα, ἀντὶ τοῦ συναθροίζω, ὅτι ἐκ τοῦ ᾱ ἐπιτατικοῦ ἢ ἀθροιστικοῦ σύγκειται. 641, 62.

ἀολλίζω τὸ συναθροίζω, ζήτει ἐν τῷ ἀολλής. 641, 62.

Ἀονία ἡ Βοιωτία, καὶ Ἄονες οἱ Βοιωτοὶ, καὶ Ἀόνιος σίδηρος ὁ Βοιώτιος. 262, 43.

ἄορα, ἤγουν ξίφη, ἐκ τῆς ἄορ εὐθείας. 1818, 7.

ἄορας, τὰς γυναῖκας, ἐν τῷ· αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας, Ὀδυσσ. ρ', 222. ὅτι παρὰ τὸ ἀείρω, τὸ συζευγνύω, λέγεται ἡ λέξις. 1818, 5.

ἀοργησία καὶ ἀόργητος ὅτι ἐκ τοῦ ἀοργῶ περισπωμένου ῥήματος δοκοῦσι λέγεσθαι μᾶλλον ἢ ἀπὸ τοῦ ὀργίζομαι βαρυτόνου. 1252, 29.

ἀόργητος καὶ ἀοργησία ὅτι, καίπερ ἀπὸ τοῦ ὀργίζομαι ὁρμώμενα, ὅμως τὸ ἀοργῶ ἀοργήσω ἔγγιστα δοκοῦσιν ἔχειν. 706, 17. 1252, 29.

ἀόριστος ἀριθμὸς ἀντὶ ὡρισμένου ἐν τῷ πολύπους ἀντὶ τοῦ ὀκτάπους. 1541, 8.

ἀόριστος χρόνος ὅτι τὸ ἅπαξ γενέσθαι τὴν πρᾶξιν ὑπαγορεύει. 763, 43.

ἀόριστος χρόνος ῥηματικὸς ὅτι ταχεῖαν ἀπαλλαγὴν πράξεώς τινος ὑπαγορεύει, ὁ δὲ παρατατικὸς ἐπιμονὴν καὶ παράτασιν implicite. 19, 25.

ἀόριστοι ἀπὸ περισπωμένων ῥημάτων, οἷον ἔμυκον, ἔχραισμον, ἔδουπον, ἔκτυπον, ἔλακον. 604, 41.

ἀόριστοι πρῶτοι παθητικοὶ ὅτι εὐχρηστότεροι εἰσὶ τῶν δευτέρων παρὰ ποιηταῖς, οἷον βρεχθῆναι μᾶλλον ἢ τὸ βραχῆναι. 519, 40.

ἀόριστοι παθητικοὶ εἰς νω ληγόντων ῥημάτων ἔχοντες τὸ ν πρὸ τοῦ θην, οἷον ἐκλίνθην, ἐκρίνθην. 388, 23. 515, 16.

ἀορίστων παθητικῶν τρίτα πρόςωπα πληθυντικὰ ἀπὸ τῆς γενικῆς τῶν συστοίχων μετοχῶν σχηματιζόμενα Αἰολικῶς ἀποβολῇ τῆς ληγούσης, οἷον τυφθέντος ἔτυφθεν, καὶ ὅτι καὶ χωρὶς αὐξήσεως λέγονται Ἰωνικῶς, οἷον τύφθεν. 85, 22. 30. 628, 1.

Ἄορνος, κόλπος τις ἐγγὺς τοῦ ἐν Βαΐαις, ἐτυμολογία ἐξ ἱστορίας, καὶ Ἄορνος λιμὴν τῆς Τυρσηνικῆς καὶ λίμνη περὶ Κύμην τὴν Χαλκιδικὴν, ἱστορία. 1667, 48. 63.

ἀορτὴρ ἱμὰς ἢ σχοινίον ἐπιθετικῶς, καὶ τελαμὼν ἀσπίδος ἀορτὴρ, ἤγουν ἐξ οὗ αἰρεῖται, ὅ ἐστι κουφίζεται καὶ βαστάζεται, ἡ ἀσπίς. 413, 33. 828, 35. 1703, 26. 1746, 43.

ἄορτο ἢ ἄωρτο ἀντὶ τοῦ ᾐώρητο καὶ ἐκρέματο, σχηματισμὸς καὶ γραφὴ παραληκτική. 413, 31.

αος λήγοντα ὀνόματα προπαροξύτονα ἐκ τῶν διὰ τοῦ αιος ὀξυτόνων Αἰολικῶς σχηματιζόμενα ἀποβολῇ τοῦ ῐ, οἷον Ἄχαος, πάλαος, ἀντὶ τοῦ Ἀχαιὸς καὶ παλαιός. 28, 33.

ἀοσσητὴρ ὁ ἕτοιμος καὶ σπουδαῖος βοηθὸς καὶ χωρὶς ὄσσης, ὅ ἐστι μαντείας καὶ ἐπερωτήσεως χρηστηρίου, βοηθῶν τινί. 1014, 64. 1015, 5. 1040, 21. 1490, 26. 1941, 35.

ἀπάγειν βόας ἀντὶ τοῦ ἁπλῶς ἄγειν ἐν τῷ, αὐτοὶ τοί γ' ἀπάγουσι βόας καὶ ἴφια μῆλα, κούρης δαῖτα φίλοισιν, Ὀδυσσ. σ', 278. ἄλλως δὲ ἀπάγειν βόας οἱ ληιζόμενοι λέγονται. 1846, 55.

ἀπαγγέλλειν ἐν ἴσῳ τῷ εἰπεῖν. 1112, 16.

ἀπαγγελτικοὶ λόγοι δὶς καὶ τρὶς ταῖς αὐταῖς λέξεσιν ἐπαναφερόμενοι παρ' Ὁμήρῳ. 173, 13.

ἀπαγγελτικὴ διήγησις λέγεται, ὅταν τις κελευσθεὶς ἀγγείλῃ τὸ ἐπιταχθέν. 122, 18.

ἀπαγχωνίσαι κατὰ τὴν κοινὴν διάλεκτον τὸ τὰς χεῖρας τινὸς ὀπίσω δῆσαι. 1221, 55.

ἀπαγωγὴ ἡ αἰχμαλωσία, ὅτι καὶ ἄγεσθαι λέγονται τὰ λαφυραγωγούμενα. 110, 42. 119, 25. 1889, 30.

ἀπαείρεσθαι ἀντὶ τοῦ ταχὺ φεύγειν καὶ οἷον ἀέριον φέρεσθαι. 1251, 30.

ἀπαίνυσθαι τὸ ἀφαιρεῖσθαι. 1032, 35.

ἀπαιόλη ἡ ἀπάτη, καὶ ἀπαιόλημα τὸ ἀποπλάνημα, παρὰ τὸ αἰόλλω. 352, 33.

Ἀπαισός, ἡ καὶ Παισὸς χωρὶς τοῦ ἀρκτικοῦ ᾱ, πόλις καὶ ποταμὸς μεταξὺ Φαρίου καὶ Λαμψάκου, ἱστορία. 356, 2.

ἀπάλαμνος, ἄναλκις καὶ ὁ ἄπειρος καὶ ἄτεχνος καὶ μὴ ἔχων παλαμᾶσθαι, ὅ ἐστι μηχανᾶσθαι. 174, 2. 585, 46.

ἀπαλθήσεσθαι, θεραπευθήσεσθαι. 720, 17.

ἁπαλὸν ὅτι παρὰ τὴν ἁφὴν λέγεται, καὶ ἁπαλὸν ἦτορ καὶ ἁπαλαὶ φρένες ἐπιθετικῶς, καὶ ἁπαλὸν κέρας τὸ αἰδοῖον μεταφορικῶς. 834, 61. 851, 53.

ἁπαλὸς αὐχὴν, τὰ περὶ τὴν λαυκανίαν ἀνωτέρω τῆς κλειδὸς ἔνθεν καὶ ἔνθεν μέρη, καὶ ὅτι οὐχ ὡς ἁπλῶς τοιοῦτος, ἀλλὰ κατά τι τοιοῦτος οὕτω λέγεται. 1271, 60. 1917, 22.

ἁπαλὸς οἶνος, ὅτι καὶ οἴνοις τισὶν ἐπιτίθεται τὸ ἁπαλόν. 871, 30.

ἁπαλοτρεφὴς σίαλος ὁ ἐν οἴκῳ τρόφιμος χοῖρος πρὸς διαστολὴν τῶν συάγρων. 1241, 37.

Ἀπάμεια, πόλις περὶ τὸν Κιανὸν κόλπον καὶ ἑτέρα τῆς Συρίας, καὶ ὅτι οὕτω μετωνομάσθη ἡ πρότερον Μύρλεια. 363, 34. 449, 31.

ἀπαμείρειν, ζήτει ἐν τῷ ἀμείρειν. 1766, 53.

ἀπαμείρεται ἀντὶ τοῦ μερίζει, ἀπὸ τοῦ μείρω. 947, 16.

ἀπαμείρεται παρ' Ἡσιόδῳ ἔργ. 576. ὅτι ἐκ τοῦ ἀπομείρεται γέγονε τροπῇ τοῦ ō εἰς ᾱ. 1243, 23.

ἀπαμύνειν ἴσον τῷ ἀμύνειν παρελκούσης τῆς προθέσεως. 775, 34.

ἀπαμύνεσθαι ὅτι ἀργὴν ἔχει τὴν πρόθεσιν. 343, 36.

ἅπαν, ὅτι Ἴωνες καὶ Ὅμηρος συστέλλουσι τὴν λήγουσαν τοῦ ἅπαν, Ἀττικοὶ δὲ ἐκτείνουσι, καὶ ὅτι συστέλλεσθαι ὀφείλει κανονικῶς. 1434, 1.

ἀπανθρακίζειν ἀντὶ τοῦ ὀπτᾶν. 135, 23.

ἀπαντᾶν ταὐτὸ ὅπερ ἀντᾶν. 343, 35.

ἀπαράσσειν ἐν ἴσῳ τῷ ἀποκόπτειν. 524, 41.

ἀπάραξεν, ἀπεκόψεν, ὡς ἀπὸ τοῦ ἀράσσω. 1049, 14.

ἀπάργματα καὶ ἄργματα ποιητικῶς αἱ κοινῶς ἀπαρχαί. 677, 24. 1767, 13.

ἀπαρέμφατα ὅτι ὀνόματα εἰσὶ τῶν ῥημάτων, καὶ ὅτι ἀντὶ ὀνομάτων τίθενται κατ' ἐναλλαγὴν, καὶ ἀνάπαλιν τὰ ὀνόματα ἀντὶ ἀπαρεμφάτων, οἷον, ἐπιστάμενος ἄκοντι, ἀντὶ τοῦ ἀκοντίσαι. 44, 30. 753, 48. 1016, 10.

ἀπαρέμφατα δυσὶν αἰτιατικαῖς συμφερόμενα ὅτι ἀμφίβολον ἔννοιαν ἀποτελοῦσι. 753, 1.

ἀπαρέμφατα χωρὶς ἄρθρου παρ' Ὁμήρῳ ἀντὶ ὀνομάτων. 99, 35.

ἀπαρέμφατα ἀντὶ προστακτικῶν κατ' ἔλλειψιν προστακτικοῦ προαιρετικοῦ ῥήματος, καὶ ὅτι συνήθως μὲν ἀντὶ δευτέρου προσώπου τίθενται, ἐνίοτε δὲ καὶ ἀντὶ τρίτου, οἷον ἐν τῷ, θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν, Ἰλιάδ. ζ', 92. ἀντὶ τοῦ θέσθω Ἑκάβη. 110, 31. 627, 3. 789, 34. 1667, 24.

ἀπαρέμφατα ἐν εὐκτικοῖς λόγοις ἐλλιπῆ τοῦ δὸς προστακτικοῦ ῥήματος, οἷον, ὦ Ζεῦ νικῆσαί με. 805, 34.

ἀπαρέμφατον κατ' εὐχὴν προφερόμενον ἐλλειπτικῶς ἐν τῷ· αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, τοῖος ἐὼν οἷος ἐσσὶ, τά τε φρονέων ἅτ' ἐγώ περ, παῖδά τ' ἐμὴν ἐχέμεν καὶ ἐμὸν γαμβρὸν καλέεσθαι, Ὀδυσσ. η', 311. 1581, 17.

ἀπαρέμφατα εἰς ειν ὅτι διὰ τοῦ εν καὶ διὰ τοῦ εμεν καὶ εμεναι λέγονται κατὰ διαφόρους διαλέκτους, τὰ δὲ εἰς αν διὰ τοῦ ην, οἷον διψᾶν διψῆν. 1179, 34.

ἀπαρέσασθαι τινὰ ἐλλιπῶς λέγεται, ἀπαρέσασθαι δὲ τινὰ δώροις ἐντελῶς. 1178, 50.

ἀπαρκίας ἄνεμος ὅτι παρὰ τὸ ἄρκος, ὅ ἐστιν ἄρκτος, λέγεται. 1156, 17. 1535, 16.

ἀπαρτιλογία ὁ ἀπηρτισμένος λόγος. 1594, 1.

ἀπάρχεσθαι ὅτι αἰτιατικῇ συντάσσεται, καὶ ὅτι οἱ Αἰγύπτιοι ἱερεῖς ἀπῆρχθαι, ὅ ἐστιν εὐνουχίζεσθαι, ἱστόρηνται. 1183, 10.

ἅπας ὅτι πλείονα ἄθροισιν δηλοῖ ἢ τὸ πᾶς. 968, 27.

ἀπαστία, νηστεία, παρὰ τὸ πάσασθαι, ὅ ἐστι γεύσασθαι. 1224, 34.

ἄπαστος ὁ ἄγευστος παρὰ τὸ πάσασθαι, ὅ ἐστι γεύσασθαι, καὶ ὅτι ὡς βρώματος οὕτω καὶ ποτοῦ λέγεταί τις ἄπαστος ἐν τῷ, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος, Ὀδυσσ. δ', 788. 134, 42. 1177, 61. 1399, 20. 1518, 9.

ἀπατᾶν τὸ κακύνειν καὶ βλάπτειν, κυρίως δὲ τὸ ἀπάγειν τοῦ πάτου, ὅ ἐστι τῆς πεπατημένης ὁδοῦ. 188, 46. 637, 2. 4. 755, 28.

ἀπάτη κακὴ ὅτι πρὸς διαστολὴν ἀγαθῆς ἀπάτης λέγεται. 188, 42-189, 3. 480, 43.

ἀπατήλιος ὅτι παρὰ τὸν ἀπατήσω μέλλοντα λέγεται. 540, 45.

ἀπαυρᾶν τὸ ἀφελέσθαι, καὶ ἀπαυρᾶν θυμὸν τὸ ἀνελεῖν περιφραστικῶς. 622, 24. 710, 41.

ἀπαυρεῖν ἐν ἴσῳ τῷ ἐπαυρεῖν, ὅ ἐστιν ἀπολαύειν, ἐν τῷ, πολλάκι καὶ σύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα (Hesiod. op. 238.). 127, 1.

ἀπαφαναίνειν ὅτι ἐκ τοῦ αὔω, ὅ ἐστι καίω, σύγκειται, καὶ ὅτι δασύνεσθαι τὸ αὔω ἐλέγχει ἡ τοιαύτη σύνθεσις. 1547, 61.

ἀπαφαυάνθην, ἀπεξηράνθην, καὶ ἀπαφαυανθῆναι, ὅ ἐστιν ἀποξηρανθῆναι, ἀπὸ τοῦ αὔω, ὅ ἐστι ξηραίνω, ὃ δασύνεται Ἀττικῶς. 881, 1. 1387, 2.

ἀπάφεσθαι τὸ δι' ἁφῆς ἀπατᾶσθαι ἐτυμολογικῶς. 757, 5. 7.

ἀπειθεῖν ὅτι παρ' Ὁμήρῳ διὰ τοῦ ῑ γράφεται ὡς ἀπὸ τοῦ πιθῶ δευτέρου μέλλοντος, παρὰ δὲ τοῖς ὕστερον διὰ διφθόγγου ὡς ἐκ τοῦ ἀπειθὴς ὀνόματος. 89, 34.

ἀπειλεῖν τὸ εὔχεσθαι καὶ τὸ λόγοις ἐκφοβεῖν ὁμωνύμως κατὰ διαφόρους ἐτυμολογίας, καὶ ἀπειλεῖν ἐν ἴσῳ τῷ φυγαδεύειν. 316, 43. 668, 36. 38. 704, 28. 1334, 21.

ἀπειλεῖν τὸ εὔχεσθαι παρ' Ὁμήρῳ, καὶ τὸ καυχᾶσθαι κατὰ μετάληψιν, ἐπεὶ καὶ τὸ εὔχεσθαι ἐπὶ τοῦ καυχᾶσθαι τίθεται. 1602, 20.

ἀπειλὴ ἡ μετά τινος ἀρᾶς ἐκφόβη-

σις, ἐτυμολογία διεξοδική· καὶ ἀπειλὴ τὸ καύχημα καὶ ἡ εὐχή, ἐτυμολογία καὶ σχηματισμός. 334, 20. 22. 704, 28. 32.

ἀπειλητὴρ ὁ καυχώμενος καὶ λόγοις ἐκφοβῶν. 668, 36. 38.

ἀπειλείτην, ἐκαυχῶντο ἢ σφοδρῶς ἔλεγον, ὅτι εἰ μὲν διὰ διφθόγγου γράφεται κατὰ τὴν παραλήγουσαν, παρατατικοῦ ἐστι χρόνου, εἰ δὲ διὰ τοῦ η, ἐκ τοῦ ἀπειλησάτην συγκέκοπται. 1688, 4.

ἀπειλοῦμαι ἐν ἴσῳ τῷ ἀπειλῶ. 678, 41.

ἀπείπασθαι ἐν ἴσῳ τῷ ἀπειπεῖν. 37, 45.

ἀπειπεῖν δοτικῇ ἀντὶ τοῦ ἀπαγορεῦσαι, οἷον, τάλαιν' ἀπεῖπον ἄλγει. ἀποειπεῖν δὲ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀποφάσκειν καὶ ἀπαρνεῖσθαι ἐν τῷ, θεῶν δ' ἀπόειπε κελεύθους, Ἰλιάδ. γ', 406. 430, 10.

ἀπειπεῖν τὸ ἀπαρτίσαι λόγον ἐν τῷ, πᾶσαν ἐφημοσύνην ἀπέειπεν, Ὀδυσσ. π', 340. παρὰ δὲ τοῖς ὕστερον τὸ ἀπαγορεύειν σημαίνει, ὡς καὶ τὸ ἀπαυδᾶν καὶ τὸ ἀπειρηκέναι. 1804, 13.

ἀπειπεῖν ἀντὶ τοῦ λόγοις ἀποτρέψαι, συνήθως δὲ τὸ σιγῆσαι, καὶ τὸ ἀποκαμεῖν καὶ ἀπαγορεῦσαι, ὃ καὶ ἀπειπάσθαι λέγεται. 688, 34. 1305, 50. 1394, 26.

ἀπείργειν ἀντὶ τοῦ διαχωρίζειν. 533, 5.

ἀπείρηθεν ἐπίῤῥημα ἀντὶ τοῦ ἠπειρόθεν, ζήτει ἐν τῷ ἄπειρος. 1565, 55.

ἀπειροκαλία τὸ ἄπειρον κάλλος κατὰ τὸ ἔτυμον τῆς φωνῆς. 170, 15.

ἄπειρος παρ' Ὁμήρῳ ἡ ἰδίως ἤπειρος καλουμένη χώρα ὁμωνύμως τῇ ὅλῃ γῇ, ὅθεν τὸ ἀπείρηθεν ἐπίῤῥημα ἀντὶ τοῦ ἠπειρόθεν. 1565, 54. 1566, 1.

ἀπείρων ὅτι ἐκ τοῦ ἄπειρος παρωνύμως λέγεται. 1228, 17.

ἀπείρων ἡ ὅλη γῆ ἐπιθετικῶς ἤγουν σφαιροειδὴς καὶ στρογγύλη. 690, 42.

ἀπείρων ὕπνος ὁ βαθὺς καὶ πολὺς καὶ ἀσύμμετρος, ὡς πρὸς τὸ σύνηθες τοῖς ἀνθρώποις. 1580, 10.

ἄπεκτον ἀρνίον τὸ μήπω πεχθέν, ὅ ἐστι καρέν, καὶ ὅτι νόμος ἦν Ἀθήνησιν ἀπέκτου ἀρνὸς μὴ γεύεσθαι, ἱστορία. 1348, 62. 1485, 55.

ἀπέλεθρον ἐπιῤῥηματικῶς ὅτι παρὰ τὸ πέλεθρον, ὅ ἐστι πλέθρον, λέγεται, καὶ ὅτι τὸ α στέρησιν ἢ τὸ πολὺ σημαίνει, καὶ δύναμις ἀπέλεθρος ἐπιθετικῶς καθ' ὁμοίαν ἐτυμολογίαν. 545, 17. 849, 14.

Ἀπελλῆς ὅτι ἐκ τοῦ Ἀπελλέας κέκραται καὶ περισπᾶται. 1951, 14.

Ἀπέλλωνα τὸν Ἀπόλλωνα Δωριεῖς. 183, 10.

ἄπελος τὸ ἕλκος παρὰ τὸ μὴ πελάζειν κατὰ μετάληψιν τοῦ παρελκύσθαι εἰς τὸ μὴ πελάζειν. 462, 45. 843, 33. 1849, 18.

ἀπεμόρξατο ὅτι ἀπὸ τοῦ μόργω ἢ μοργνύω κεκίνηται, ὃ καὶ ὀμόργω καὶ ὀμοργνύω μετὰ τοῦ ο λέγεται. 1587, 2.

ἀπένεικας καὶ ἀπενεῖκαι ἀπὸ τοῦ ἀπενείκω θέματος. 983, 35.

ἀπενιαυτίζειν ὅτι παρὰ τὸ ἐνιαυτὸς λέγεται. 1384, 64.

ἀπεπλίξατο ἀντὶ τοῦ ἀπέβη, ἀπὸ τοῦ πλίσσειν, ὅ ἐστι βηματίζειν. 1564, 50.

ἀπεπυδάρισα ὅτι παρὰ τὸν πόδα λέγεται τροπῇ τοῦ ο εἰς υ Αἰολικῶς καὶ δηλοῖ ἢ τὸ λὰξ πατάξαι ἢ τὸ ἄραντα τὸν πόδα ἀποπαρδεῖν. 1679, 37.

ἀπερείσια ἀντὶ τοῦ ἀπειρέσια, ὅ ἐστιν ἄπειρα, ἐτυμολογία. 24, 31.

ἀπεῤῥίγασι, ὅτι περιττὴ ἡ πρόθεσις, καὶ ὅτι τὸ ἔῤῥιγα ἐκ τοῦ ἐῤῥίγηκα συγκέκοπται. 1434, 9.

ἀπερωεύς, κωλυτής, ὅτι γενικῇ συντάσσεται, οἷον· ἐμῶν μενέων ἀπερωεύς. 717, 15.

ἄπεσαν ἀντὶ τοῦ ἀπῆσαν. 811, 42.

ἀπεσθίειν τὸ ἀπό τινος ἐσθίειν καὶ τὸ μὴ ἐσθίειν. 1753, 25.

ἀπεσκολυμμένος, ζήτει ἐν τῷ ἀπεσκολύφθαι. 1710, 18.

ἀπεσκολύφθαι τὸ περιτετμῆσθαι τὸ δέρμα τοῦ αἰδοίου, καὶ ἀπεσκολυμμένος ὁ οὕτω περιτετμημένος, ἀπὸ τοῦ σκολύπτω θέματος. 1710, 18.

ἀπεσκοτωμένα τὰ ἐζωγραφημένα καὶ κεχρωσμένα. 953, 53.

ἀπεσκυθίσθαι λέγονται οἱ ἐφ' ὕβρει ὑπό τινων φορτικῶς κεκαρμένοι. 1292, 63.

ἀπέσσουα Λακωνικῶς ἀντὶ τοῦ ἀφώρμησε καὶ ἀπῆλθεν ἢ ἀπέθανεν, ἀπὸ τοῦ σούω, ὅ ἐστιν ὁρμῶ, ἑρμηνεία διεξοδική. 63, 1. 1792, 6.

ἀπέστιχον, πρόσωπον ῥηματικὸν ἀορίστου δευτέρου, τὸ στι ἰῶτα. 1724, 63.

ἀπεσχαροῦσθαι λέγονται τὰ ἕλκη ἐξηρημένων τῶν ἐσχαρῶν. 1575, 42.

ἀπευθὴς λέγεται παρ' Ὁμήρῳ, ὃν οὐδεὶς ἐπύθετο καὶ ὃς οὐδὲν ἐπύθετο. 1458, 28. 1463, 13. 15.

ἀπέχειν τὸ ἄποθεν ἔχειν, παρέχειν δὲ τὸ ἐγγὺς ἔχειν. 1584, 40. 1848, 45.

ἀπέχειν τὸ κωλύειν καὶ πόῤῥω ἔχειν ἐν τῷ, κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω, Ὀδυσσ. υ', 263. 1891, 20.

ἄπεχεν ἀντὶ τοῦ ἀπεῖχεν. 1336, 50.

ἀπέχεσθαι χεῖρας κακῶν, Ὀδυσσ. χ', 316. ὅτι ἐντελῶς εἴρηται, παρὰ δὲ τοῖς ὕστερον ἀπέχεσθαι κακῶν ἐλλιπῶς λέγεται. 1928, 60.

ἀπέχθεσθαι ὅτι ἀργὴν ἔχει τὴν πρόθεσιν. 343, 36.

ἀπηθεῖν ἀντὶ τοῦ διηθεῖν, ὅ ἐστι διυλίζειν. 1753, 5.

ἀπηλεγέως, ἤγουν ἀφροντίστως καὶ ἀπὸ τοῦ ἀλέγειν. 1424, 18.

ἀπηλεγὴς ὁ καὶ ἀπηνής. 485, 28.

ἀπηλιώτης ὅτι ὤφειλεν ἀφηλιώτης λέγεσθαι διὰ τὴν ἐπὶ τοῦ ἥλιος δασεῖαν, Ἰωνικῶς δὲ οὕτω λέγεται. 83, 3. 1562, 38.

ἀπηλοίησε, ἤγουν συνηλόησε. 504, 44.

ἀπήμων ὕπνος ἐπιθετικῶς ὁ πημάτων ἀμέτοχος. 974, 24.

ἀπηνέα εἰδέναι λέγεταί τις καθ' ἕξιν, ἀπηνὴς δὲ εἶναι κατὰ διάθεσιν. 1866, 37.

ἀπηνὴς ὁ σκληρὸς καὶ ἄπο αἴνου ἐτυμολογικῶς. 113, 21. 1312, 14.

ἀπηνὴς ὅτι ἐκ τοῦ ἠΰς λέγεται, οἱονεὶ ὁ ἄπο ἀγαθότητος ὤν. 485, 25. 1102, 42.

ἀπήνυσαν, ἤγουν ἐτέλεσαν, ὅτι ἀπὸ τοῦ ἀνύω κεκίνηται. 1582, 17.

ἀπήραξεν ἀντὶ τοῦ ἄρει, ὅ ἐστι σιδήρῳ, ἀπέκοψε. 999, 21.

ἀπηρτῆσθαι ἀντὶ τοῦ αἰωρεῖσθαι καὶ μηδὲν βέβαιον λέγειν. 1872, 14.
ἀπητίμησεν ἐν ἴσῳ τῷ ἠτίμησε κατὰ ἀργίαν τῆς προθέσεως. 923, 1.
ἀπήωροι κλάδοι οἱ ἀποκρεμεῖς, ὅ ἐστιν ἀφεστῶτες τῆς ῥίζης καὶ παρεκτεταμένοι, ὅτι παρὰ τὸ αἰωρῶ λέγεται ἡ λέξις, διὸ καὶ τῷ ω μεγάλῳ γράφεται· παρήορος δὲ καὶ συνήορος καὶ μετήορος, ὡς ἀπὸ τοῦ ἀείρω, διὰ τοῦ ο μικροῦ γράφονται. 1587, 19. 1729, 50.
ἀπία γῆ παρ' Ὁμήρῳ ἡ ἄπο κειμένη, ἢ ἡ Πελοπόννησος ἀπὸ Ἄπιδος, ἢ ὅτι ἀπίων πλῆθος φέρει. 102, 40. 382, 13. 1845, 16.
Ἀπιδανεῖς οἱ Ἀρκάδες. 102, 42.
ἀπιθεῖν, τὸ πι ἰῶτα παρ' Ὁμήρῳ ὡς ἀπὸ τοῦ ἔπιθον δευτέρου ἀορίστου. 446, 12. 794, 9.
ἀπινύσσειν τὸ ἀλλοφρονεῖν καὶ μὴ πινυτὸν εἶναι. 595, 20. 983, 19. 1002, 23. 1543, 61.
ἄπιος ὅτι παρὰ τὸ μὴ ἔχειν πιότητα οὕτω λέγεται. 1572, 31.
ἀπίσχειν τὸ ἄπο ἴσχειν, ὅ ἐστιν ἀφιστᾶν καὶ ἀπέχειν. 1584, 41. 1674, 11.
ἄπιχθυς, ὅτι οἱ παντελῶς μικροὶ ἰχθύες, οἱ καὶ μὴ ἐσθιόμενοι, ἀπίχθυες ἐλέγοντο, κατὰ δέ τινας ἀπίχθυες οἱ μὴ ἐσθίοντες ἰχθύας. 727, 19. 1720, 24.
ἁπλοΐδες χλαῖναι ὅτι ἀντιδιαστέλλονται ταῖς διπλοΐσι. 1961, 21.
ἁπλοῦν τὸ οἱονεὶ ἄπελον, ὅ ἐστι μόνον πέλον. 402, 40. 1428, 29.
ἄπο ἐπίῤῥημα ἐκ τῆς ἀπὸ προθέσεως. 166, 32.
ἀπὸ πρόθεσις ὅτι τὴν ἀπὸ ἀψύχων δηλοῖ κίνησιν, ἡ δὲ παρὰ τὴν ἀπὸ ἐμψύχων. 1134, 37.
ἀπὸ πρόθεσις ἐν συνθέσει ὀνομάτων ὅτι ἀποχὴν ἢ παῦσιν τινὸς ἐνεργείας ἢ στέρησιν ἕξεως σημαίνει, οἷον ἐν τῷ ἄπιχθυς καὶ ἄποινος, καὶ ἐν τῷ ἀπόδρομος καὶ ἀπόμαχος καὶ ἀπόθριξ, ὅ ἐστιν ἄνηβος. 727, 19. 760, 47. 1592, 55. 1720, 27.
ἀπὸ πρόθεσις ἐν συνθέσει ἐπί τινων οὐδὲν προστιθεῖσα τῇ σημασίᾳ τῶν ἁπλῶν, οἷον ἐν τῷ ἀπομνημονεύειν καὶ ἀπομάχεσθαι, καὶ ὅτι καὶ ἐν παραθέσει ἐνίοτε ἀργῶς πρόσκειται, οἷον ἐν τῷ, ἀπ' οὐρανόθεν. 343, 34. 641, 25. 931, 1. 1256, 43.
ἀπὸ πρόθεσις ἐν τῷ ἀποκηδῆσαι ὅτι πέρας καὶ ἀπόθεσιν τοῦ κήδεσθαι δηλοῖ. 1308, 32.
ἀπὸ πρόθεσις ἐκτείνουσα ἐνίοτε τὴν λήγουσαν λόγῳ κοινῆς συλλαβῆς. 625, 10.
ἀπὸ πρόθεσις ἀντὶ τῆς μετὰ, οἷον, ἀπὸ δείπνου, ἀντὶ τοῦ, μετὰ τὸ δεῖπνον. 697, 53.
ἀπὸ βασιλέων καὶ ἀπὸ ἐπάρχων, ὅτι ἀπόθεσιν τῶν τοιούτων ἀξιωμάτων δοκεῖ ὑπαγορεύειν ἡ πρόθεσις. 149, 30.
ἀπὸ βιβλίου λέγειν ὅτι ἀντιδιαστέλλεται τῷ ἀπὸ στήθους λέγειν. 974, 7. 9.
ἀπὸ δόξης, πόῤῥω τῆς ὑπολήψεως. 809, 6. 1690, 2.
ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρας, ὅτι καὶ ἐπὶ τῶν ἀγενεαλογήτων ἢ ἀγρίων καὶ θηριωδῶν τὸ ἦθος παροιμιακῶς λέγεται, καὶ πόθεν ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης ἐμυθεύθησαν γενέσθαι οἱ ἀρχαῖοι ἄνθρωποι, ἑρμηνεία διεξοδική. 1262, 14. 21. 1859, 17. 28. 52.
ἀπὸ ἕθεν, ἀφ' ἑαυτοῦ. 818, 15.
ἀπὸ θυμοῦ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἔξω τῆς ψυχῆς, ὅθεν σύγκειται τὸ ἀποθύμιος ἐν ἴσῳ τῷ ἀκαταθύμιος, ὅπερ ἀντίκειται τῷ καταθύμιος, ἀφ' οὗ καὶ Καταθυμία κύριον γυναικός. 149, 27.
ἀπὸ θυμοῦ πεσεῖν, ἀντὶ τοῦ μακρὰν τῆς ψυχῆς, τουτέστιν ἐκπεσεῖν τῆς ψυχῆς. 755, 19. 1142, 40.
ἀπὸ καιροῦ προοίμιον λέγεται τὸ ἐκ τῶν παρὰ πόδας ἀφορμῶν λαμβανόμενον. 1388, 61.
ἀπὸ κοινοῦ κατὰ δύο ἢ πλειόνων πτωτικῶν λεγόμενα ῥήματα ὅτι ῥᾶον ὑπακούονται, ὅταν προταχθῶσιν ἢ ὅταν ἐπιταχθῶσιν, οἷον ἐν τῷ, οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις, Ἰλιάδ. ξ', 192. 976, 64.
ἀπὸ κοινοῦ σχῆμα, ὅτι ἐνίοτε ἀπὸ τοῦ δευτέρου ἐπὶ τὸ πρότερον μεθέλκεται τὸ ἀπὸ κοινοῦ νοούμενον μέρος τοῦ λόγου, οἷον παρὰ Σοφοκλεῖ (Phil. 771.) ἐν τῷ, ἑκόντα μηδ' ἄκοντα, ἀντὶ τοῦ, μήτε ἑκόντα μήτ' ἄκοντα. 1694, 7.
ἀπὸ μέρους τὸ ὅλον οὐκ ἔστι καλέσαι, εἰ μὴ τὸ μέρος ἐκεῖνο εἴη λόγου ἄξιον. 713, 3.
ἀπὸ νευρῆφιν, ἀπὸ νευρᾶς, ἢ ἀπονευρῆφιν ἐπιῤῥηματικῶς κατὰ παρολκὴν τῆς προθέσεως. 947, 61.
ἀπὸ νόσφιν ὅτι περισσὴν ἔχει τὴν πρόθεσιν. 147, 16.
ἀπ' οὔατος εἴη ἔπος, ἀντὶ τοῦ, πόῤῥω γένοιτο τῆς ἐμῆς ἀκοῆς, καὶ εἴθε μὴ ἀκούσαιμι. 958, 28. 1142, 41. 1279, 60.
ἀπ' ὀφθαλμῶν γενέσθαι λέγεταί τις νεκρὸς, ὅταν ταφῇ, Ἰλιάδ. ψ', 53. 1287, 15.
ἀπὸ πασσάλου λαβεῖν, παροιμιακῶς λέγεται ἀντὶ τοῦ ἐπιμεληθῆναι, καὶ ὅτι ἀντίκειται τῷ πασσάλῳ ἀνακρεμάσαι. 540, 20.
ἀπὸ πυθμένος ταμεῖν δένδρον ὅτι διαφέρει τοῦ ἐκ ῥίζης ταμεῖν. 1944, 50.
ἀπὸ σκαρίου πλοῖον λέγεται ἀντὶ τοῦ ἀπὸ ἐσχαρίου, ὃ δηλοῖ τὸ δι' οὗ ἕλκονται τὰ πλοῖα εἰς θάλασσαν. 1575, 43.
ἄπο σκοποῦ, τὸ μακρὰν τοῦ σκοποῦ, καὶ, οὐκ ἄπο σκοποῦ λέγειν, Ὀδυσσ. λ', 344. ἀντὶ τοῦ εὐστοχεῖν τοῦ σκοποῦ. 1690, 1.
ἀπὸ σπουδῆς ἀγορεύειν, ἤγουν σπουδαίως καὶ ἀπὸ σκέψεως καὶ κρίσεως. 181, 10. 685, 26. 901, 44.
ἀπὸ στόματος διηγεῖσθαι, ὅτι ἀντίκειται τῷ ἐκ βιβλίου εἴτουν γράμματος ἀπαγγέλλειν. 632, 42.
ἀπὸ τόξου κτείνειν, ἀντὶ τοῦ διὰ τόξου. 712, 54.
ἀπὸ χεῖρας ἰάλλειν, τὸ ἀπέχειν καὶ ἀπάγειν τὰς χεῖρας. 1403, 13.
ἀπὸ κεφαλῆς ἑλεῖν φᾶρος, Ὀδυσσ. θ', 85. ἀντὶ τοῦ ἐκκαλύψασθαι, ὅτι ἀντίκειται τῷ κατὰ κεφαλῆς ἐρύσαι φᾶρος, ὃ δηλοῖ τὸ συγκαλύψασθαι. 1586, 59.
ἀποαίνυσθαι ἀντὶ τοῦ ἀφαιρεῖσθαι. 930, 46.
ἀποαίρεο ὅτι τὸ ἐντελὲς ἐστὶ τοῦ ἀφαιροῦ. 104, 17.
ἀποβαίνειν ἵππων, ἀντὶ τοῦ πεζεύειν, καὶ ἀποβαίνειν νεὼς ὁμοίως. 546, 8. 866, 13.
ἀποβῆναι ἐξ ἵππων, παρ' Ὁμήρῳ ἀντὶ τοῦ καταβῆναι τοῦ ἅρματος. 413, 17. 725, 56.
ἀποβάλλειν ἀντὶ τοῦ ἀποῤῥίπτειν. 1406, 36.

ἀπόβλητος παρὰ τὸ ἀποβάλλειν, ὅ ἐστιν ἀποῤῥίπτειν, καὶ ἀπόβλητον τὸ καὶ ἔκβλητον. 384, 22. 1406, 37.

ἀποβολὴ ἀρκτικοῦ συμφώνου ὅτι οὐ μεταβάλλει τὸ σημαινόμενον, οἷον ἐν τῷ χλιαρὸς λιαρὸς, καὶ γαῖα αἶα. 244, 42. 701, 17.

ἀποβουκολεῖν ὅτι καὶ τὸ ἀπατᾶν σημαίνει, καὶ ὅτι καὶ ἀποβουκολίζειν λέγεται ἐπὶ τοῦ αὐτοῦ. 1246, 2. 1416, 38.

ἀποβώμια ἱερὰ, τὰ μὴ ἐπὶ βωμοῦ ἀλλ' ἐπὶ ἐδάφους καθαγιζόμενα. 727, 20. 1720, 28.

ἀπόγονος κυρίως μὲν ὁ ἄποθεν ἔκ τινος γένους καταγόμενος, καταχρηστικῶς δὲ παρὰ τοῖς ἱστορικοῖς καὶ ἀντὶ τοῦ υἱὸς ἐνίοτε τίθεται, ζήτει ἐν τῷ ἔκγονος. 1682, 18.

ἀπογυιοῦν τινὰ ἐν ἴσῳ τῷ γυιοῦν. 641, 24.

ἀπόδασμος ὅτι παρὰ τὸν ἀποδάσομαι μέλλοντα παρήχθη, ὡς ἀπὸ τοῦ δάσομαι ὁ δασμός. 1366, 52.

ἄποδες χελιδόνες ἀντὶ τοῦ μικρόποδες. 1502, 27.

ἀποδιδόναι τὸ χρεωστικῶς ἀντιδιδόναι, καὶ ἀποδιδόναι ἀντὶ τοῦ ἁπλῶς διδόναι. 62, 4. 591, 34. 666, 23.

ἀποδιοπομπεῖν, ζήτει ἐν τῷ Διοπομπεῖν. 1935, 12.

ἀποδισκεύεσθαι ἀκτῖνες ἐκ τῆς τοῦ ἡλίου σφαίρας λέγονται τροπικῶς, ἐπεὶ καὶ δίσκος αὐτὴ ἡ τοῦ ἡλίου σφαῖρα λέγεται. 1591, 31.

ἀποδίωμαι ἀντὶ τοῦ ἀποδιώξω. 605, 30.

ἀποδοῖτε ὅτι ἐκ τοῦ ἀποδοίητε συγκέκοπται. 1919, 28.

ἀπόδοσις τοῦ ἡγεμονικοῦ ῥήματος ἑτεροπροσωπικῶς γινομένη, οἷον ἐν τῷ, νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν, αὔριον ὄψει τὰς ἐμὰς ναῦς ἀποπλεούσας, Ἰλιάδ. ι', 356. 755, 53.

ἀπόδοσις παραβολῆς ἀκαταλλήλως ἔχουσα κατὰ πτῶσιν πρὸς τὸ ἡγούμενον αὐτῆς. 493, 36.

ἀποδοχμῶσαι τὸ πλαγιάσαι. 1635, 19.

ἀπόδρομος ὁ δρόμων ἀγωνιστικῶν πεπαυμένος, παρὰ δὲ Κρῆσιν ἀπόδρομοι οἱ ἔφηβοι λέγονται διὰ τὸ μήπω μετέχειν τῶν δημοσίων δρόμων. 727, 18. 21. 1592, 55. 1788, 56.

ἀποδύειν τεύχεα, ἀντὶ τοῦ σκυλεύειν καὶ συλᾶν περιφραστικῶς. 927, 14. 1132, 7.

ἀποδύσασθαι ταὐτὸ ὅπερ ἐκδύσασθαι. 1930, 53.

ἀποειπεῖν τὸ ἀποφῆσαι, ἐνίοτε δὲ ἀντὶ τοῦ ἁπλῶς εἰπεῖν, οἷον ἐν τῷ, ὡς μεμνέῳτο δρόμον καὶ ἀληθείην ἀποείποι, Ἰλιάδ. ψ', 361. 688, 29. 760, 54. 1305, 49.

ἀποειπεῖν αἰτιατικῇ ἀντὶ τοῦ παραιτεῖσθαι καὶ ἀπαρνεῖσθαι ἐν τῷ, θεῶν δ' ἀπόειπε κελεύθους, Ἰλιάδ. γ', 406. ἀπειπεῖν δὲ δοτικῇ, ἀντὶ τοῦ ἀπαγορεύειν· καὶ ζήτει τὸ ἀπειπεῖν. 430, 10.

ἀποειπεῖν μῆνιν τῷ δεῖνι, τὸ πρός τινα εἰρηνεῦσαι παρ' Ὁμήρῳ. 1169, 49.

ἀποέργαθεν ἀντὶ τοῦ ἀπεῖργε. 1252, 48.

ἀποέργειν ἀντὶ τοῦ ἀπείργειν, ὅ ἐστιν ἀπαγαγεῖν, ἐν τῷ, ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς, Ὀδυσσ. φ', 221. 1907, 4.

ἀπόερσεν ἀντὶ τοῦ ἀπέφθειρε, καὶ ἀποέρσειεν ἀντὶ τοῦ ἀποφθείροι, ἀπὸ τοῦ ἔῤῥω ἔρσω, ὅ ἐστι φθείρω, Αἰολικῶς κινουμένου ῥήματος ἀποέρσῃ ὑποτακτικόν. 23, 16. 641, 21. 1236, 64. 1238, 24.

ἀποθαυμάζειν ἀντὶ τοῦ ἀποδιδόναι τὸν μισθὸν παρὰ τοῖς Ἀττικοῖς. 912, 58.

ἀπόθεστος ὁ ἀφίλητος καὶ ἀτημέλητος καὶ μὴ ποθούμενος, παρὰ τὸ ποθῶ ποθέσω. 106, 41. 669, 41. 1013, 41. 1450, 27. 1821, 39.

ἀπόθετον τὸ ἀποκείμενον καὶ ἀποτεθειμένον κειμήλιον. 1056, 44.

ἀπόθριξ ἀπότριχος, ὁ ἄνηβος παρὰ Καλλιμάχῳ. 1592, 58.

ἀποθύμιον, τὸ καὶ ἀκαταθύμιον, ὃ καὶ ἀπὸ θυμοῦ ἐν παραθέσει λέγεται· ζήτει ἐν τῷ, ἀπὸ θυμοῦ. 149, 28. 755, 20. 983, 64.

ἀποθυννίζεσθαι τὸ περιφρονεῖσθαι, ὡς ἀπὸ τοῦ θύννου φαύλου καὶ μὴ σπουδαστοῦ ὄντος ἰχθύος. 1720, 63.

ἀποκαίνυσθαι τὸ νικᾶν ἐν τῷ, ἀπεκαίνυτο φῦλ' ἀνθρώπων, παρ' Ὁμήρῳ Ὀδυσσ. γ', 282. 741, 11.

ἀποκαπύσαι ψυχὴν, τὸ ἀποπνεῦσαι ἐν τῷ, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν, Ἰλιάδ. χ', 467. 1280, 34.

ἀποκαρτερεῖν, ὅτι ποινῆς εἶδός τι οὕτως ἐλέγετο. 1175, 21.

ἀποκηδῆσαι ἐν ἴσῳ τῷ ἀκηδῆσαι, ὅ ἐστιν ἀφροντιστῆσαι. 1308, 31.

ἀπόκινος ὅτι ἐκ τοῦ κινῶ ῥήματος σύγκειται. 637, 6.

ἀποκλήρωσις, τύπωμά τι ψυχῆς νοερᾶς, ὅτι παρὰ τὸν κλῆρον λέγεται. 419, 11. 674, 26.

ἀποκοπὴν τῆς ληγούσης παθόντα ὀνόματα ὅτι οὐ κινοῦνται εἰς πλαγίας, οἷον δῶ ἐκ τοῦ δῶμα, κρῖ ἐκ τοῦ κρῖμνον καὶ ἧλ ἐκ τοῦ ἧλος, καὶ ὅτι Αἰολέων εἰσὶν αἱ τοιαῦται ἀποκοπαί. 127, 29. 217, 5. 730, 2. 1542, 26. 1713, 27.

ἀποκοπὴν παθοῦσαι αἰτιατικαὶ, οἷον Ζῆν ἀντὶ τοῦ Ζῆνα, καὶ ἰχῶρ ἀντὶ τοῦ ἰχῶρα ἐν τῷ, ἀπ' ἰχῶρ χειρὸς ὀμόργνυ, Ἰλιάδ. ε', 416. 566, 29. 984, 20.

ἀποκοπὴν παθόντα ὅτι περισπῶνται διὰ τὴν ἀποκοπὴν, οἷον ἱδρῶτα ἱδρῶ, καὶ ὅτι τινὰ οὐ περισπῶνται διὰ τὴν ἀποκοπὴν, οἷον τὸ νῶ δυϊκὸν ἀντωνυμικόν. 153, 42.

ἀποκοπὴν παθόντα ῥήματα δισύλλαβα, εἰ μὲν κατ' ἀρχὰς πάθῃ, περισπᾷ τὴν καταλειπομένην συλλαβὴν, εἰ δὲ κατὰ τὸ τέλος, ὀξύνει αὐτὴν, οἷον χρήζει χρή. 751, 60.

ἀποκόπτειν τὸ ἀποτέμνειν. 1476, 34.

ἀποκοπτὴ νίκη, ἰδιωτικῶς ἡ μεγάλη. 1593, 9.

ἀποκοσμεῖν ἔντεα δαιτὸς, παρ' Ὁμήρῳ τὸ τὰ εἰς δαῖτα κεκοσμημένα σκεύη ἀφαιρεῖν. 257, 33. 1565, 60. 1578, 16.

ἀποκρανίζειν τὸ τὴν κεφαλὴν ἀποκόπτειν. 1850, 30.

ἀποκρῆθεν ἐπίῤῥημα ὅμοιον τῷ κατακρῆθεν, ὅτι ἐκ τοῦ κάρη θηλυκοῦ ὀξυτόνου ἀμφότερα γίνονται. 1257, 54.

ἀποκρινθῆναι ἀντὶ τοῦ χωρισθῆναι. 515, 14.
ἀποκρίσεων τάξις πρὸς πολλάς τινας ἐρωτήσεις, ὅτι οὐκ ἀνάγκη πρὸς τὰς πεύσεις ἀποκρίνεσθαι κατὰ τάξιν, ἀλλ' ὅπως τύχῃ καὶ ὡς συμφέρῃ τῷ ἀποκρινομένῳ. 1678, 54.
ἀποκρότημα ὁ ἀποτελούμενος ἦχος ἐκ τῆς ἐπερείσεως τοῦ μέσου δακτύλου πρὸς τὸ τοῦ μεγάλου σαρκῶδες. 1602, 17.
ἀποκρύψαι γαστέρα, Ὀδυσσ. ρ', 286. ἀντὶ τοῦ ἀνεξέλεγκτον σχεῖν. 1820, 6.
ἀπολαύω, ὅτι ἐκ τοῦ λάω γίνεται λαύω καὶ ἀπολαύω. 531, 13.
ἀπολελεμμένος μετοχὴ ὅτι ἀπὸ τοῦ λέπω θέματος κεκίνηται. 1863, 54.
ἀπολεψέμεν, ἀντὶ τοῦ ἀποκόψειν σιδήρῳ, ὅτι ἀπὸ τοῦ λέπω λέψω κεκίνηται. 1246, 26.
ἀπολιβάζειν τὸ λείβεσθαι καὶ κατὰ λιβάδα ὑποῤῥεῖν καὶ εἰς φθορὰν ῥέειν. 1030, 10. 1725, 12.
Ἀπόλλων ὅτι πῆ μὲν μακρὸν, πῆ δὲ βραχὺ ἔχει τὸ ᾱ παρ' Ὁμήρῳ, καὶ ὅτι ἐπίθετον ἐστὶν Ἡλίου παρὰ τὸ ἀπόλλειν ἢ ἀπολύειν λεγόμενον, καὶ ὅτι διὰ τοῦ ωνος κλίνεται ὡς ῥηματικόν. 32, 17—33. 54, 21. 1254, 30.
Ἀπόλλων Διὸς, ὅ ἐστιν ἀέρος ἢ εἱμαρμένης, υἱὸς, ἀλληγορία διεξοδική. 22, 37.
Ἀπόλλων ὅτι Λητοῦς, ὅ ἐστι νυκτὸς, υἱὸς, ἀλληγορία διεξοδική. 22, 29.
Ἀπόλλων ὅτι εἰς πεπρωμένην ἀνάγεται, ὡς ὁ αὐτὸς τῷ Ἡλίῳ. 495, 5. 550, 39.
Ἀπόλλων ὅτι αἴτιος αἰφνιδίου θανάτου τοῖς ἀνδράσι ἐνομίζετο παρὰ τοῖς Ἕλλησι. 637, 15. 1171, 25.
Ἀπόλλων καὶ Ποσειδῶν Λαομέδοντι θητεύσαντες καὶ τὸ τῆς Τροίας τεῖχος οἰκοδομήσαντες, μῦθος καὶ ἀλληγορία ἱστορικὴ καὶ φυσικὴ διεξοδικῶς. 1245, 46. 1382, 47.
Ἀπόλλωνι εἰς ἥλιον ἀναγομένῳ, ὅτι διάφορα ζῷα ἀφιέρωτο, οἷον ὁ κύκνος καὶ ὁ κόραξ καὶ ἄλλα τινά. 87, 12. 36. 449, 2.
Ἀπόλλωνι διὰ τί ταῦροι καὶ αἶγες καὶ ἵπποι ἐθύοντο, καὶ ἄλλων τινῶν ζῴων ἐκείνῳ θυομένων κατάλογος. 36, 17. 30.
Ἀπολλώνιον, ναὸς Ἀπόλλωνος, προπαροξυτόνως μὴ βραχυπαραλήκτως, ὡς Ποσειδώνιον τὸ τοῦ Ποσειδῶνος. 1562, 51. 54.
Ἀπόλλωνος γενέθλιος ἡμέρα ὅτι ἡ ἑβδόμη τοῦ σεληνιακοῦ μηνὸς ἐνομίζετο. 1908, 53.
Ἀπόλλωνος γοναί, αἴνιγμα περὶ τῆς Ἀπόλλωνος γενετῆς ἐν Δήλῳ τῇ νήσῳ. 1558, 1.
Ἀπόλλωνος παῖδες ποῖοι τινὲς ἄνθρωποι γεγονέναι μυθεύονται. 18, 31.
Ἀπόλλωνος καὶ Ποσειδῶνος μάχη διεξοδικῶς ἀλληγορουμένη. 1196, 40.
ἀπολουσέμεν ἀντὶ τοῦ κολοβώσσειν, λοῦσον γὰρ κατὰ γλῶσσαν τὸ κολοβόν. 1246, 37.
ἀπολυμαίνεσθαι τὸ καθαίρεσθαι καὶ ἀπολούεσθαι. 108, 25. 974, 47.
ἀπολυμαντὴρ δαιτῶν, Ὀδυσσ. ρ', 220. ὁ ταῖς δαισὶ λυμαινόμενος ἢ ὁ τὰ λύματα τῶν δαιτῶν ἀποφερόμενος. 1817, 31.
ἀπολῦσαι αἰχμάλωτον τὸ λύτρα λαβόντα ἀφεῖναι, ἀπολύσασθαι δὲ τὸ λύτρα δόντα ῥύσασθαι, οἷον ἐν τῷ, χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθα, Ἰλιάδ. χ', 50. 817, 47. 1256, 42.
ἀπολύσασθαι ὅτι περισσὴν ἔχει τὴν πρόθεσιν ἐν τῷ, χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθα, Ἰλιάδ. χ', 50. ζήτει ἐν τῷ ἀπολῦσαι. 1256, 42.
ἀπομαγδαλιὰ καὶ ἀπομαγδαλὶς, ψωμὸς ἢ σταῖς, δι' οὗ μετὰ δεῖπνον ἐξέματτον τὸν τῶν χειρῶν ῥύπον καὶ ἔῤῥιπτον τοῖς κυσίν· ὅθεν ἀπομαγδαλιὰς σιτεῖσθαι παροιμιακῶς λέγονται οἱ ῥυπαρῶς βιοῦντες, ἑρμηνεία διεξοδικωτάτη. 1857, 17. 1887, 51.
ἀπομάγματα, ἀποκαθάρματα, παρὰ τὸ ἀπομάσσειν. 1857, 17.
ἀπόμακτρον ταὐτὸ ὅπερ ἀπόμαγμα, ὅ ἐστιν ἀποκάθαρμα, παρὰ τὸ ἀπομάσσειν. 1857, 17.
ἀπομάσσειν τὸ ἀποσπογγίζειν. 1857, 11.
ἀπομεριμνᾶν το θνήσκειν κατα τὴν κοινὴν γλῶσσαν. 821, 38.
ἀπομερμηρίσαι το ἀποδαρθεῖν, ἐτυμολογία, καὶ ἀποθέσθαι τὰς μερμήρας, ὅ ἐστι φροντίδας. 821, 36.
ἀπομηνῖσαι, τὸ ἀποθέσθαι μῆνιν καὶ τὸ ἁπλῶς μηνίειν, ὅτι καὶ περιττὴν ἔχει τὴν πρόθεσιν. 343, 32. 760, 45. 1171, 36. 1805, 47.
ἀπομηνῖσαι καὶ μῆνιν ἀποειπεῖν ἀντὶ τοῦ εἰρηνεῦσαι παρ' Ὁμήρῳ. 1169, 51.
ἀπομνημονεύειν χάριτος, ὅτι ἀργὴν ἔχει τὴν πρόθεσιν. 343, 34.
ἀπομνημόνευμα ὅτι ἐκ τοῦ ἀπομνήσασθαι ῥήματος δοκεῖ παρῆχθαι, οὗ χρῆσις παρ' Ὁμήρῳ Ἰλιάδ. ω', 428. 1357, 29. ὅτι ἐξ Ὁμήρου ἀφορμὴν ἔσχε τῆς συνθέσεως ἡ λέξις. 769, 63. 770, 4.
ἀπομνήσασθαι ταὐτὸ ὅπερ μνήσασθαι, ὡς καὶ τὸ ἀπομηνῖσαι ἴσον ἐστὶ τῷ μηνῖσαι. 1357, 25.
ἀπομνύναι καὶ ἀπόμνυσθαι τὸ ἀποφατικῶς ὀμνύναι εἴτουν ἐνόρκως ἀποφάσκειν, ἐπομνύναι δὲ τὸ καταφατικῶς ὀμνύναι. 809, 34. 1450, 39.
ἀπομόργεσθαι, ὅθεν τὸ, ἀπομόρξατο δάκρυ, Ἰλιάδ. β', 269. ὅτι παρὰ τὸ μόργω λέγεται, ὅθεν τὸ μοργνύω. 218, 14.
ἀπόμοργμα ὅτι παρὰ τὸ μόργω λέγεται, ὅθεν τὸ μοργνύω. 218, 11.
ἀπομοργνύειν καὶ ἀπομόργνυσθαι, τὸ ἀπομάσσειν καὶ ἀποπιέζειν, ὅτι παρὰ τὸ μόργω λέγονται πλεονασμῷ τοῦ ν, καὶ ὅτι ἀπομόργνυσθαι δάκρυα καὶ κονίαν λέγεται. 218, 14. 608, 35. 1151, 17. 1327, 26.
ἀπομόρξατο, ἀπέμαξεν ἢ ἐξέθλιψεν, ἀπὸ τοῦ μόργω, ὃ καὶ ὀμοργῶ λέγεται. 218, 8.
ἀπόμουσος ἐν ἴσῳ τῷ ἄμουσος. 727, 20.
ἀπομύζουρις γυνὴ ἡ τὴν οὐρὰν, εἴτουν τὸ πέος, μυζῶσα. 862, 44.
ἀπομυθεῖσθαι ἐν ἴσῳ τῷ ἀπειπεῖν καὶ ἀπαγορεύειν. 738, 34. 1394, 28.
ἀπομύξαι τινὰ τὸ ἐξαπατῆσαι ὡς

εὐήθη, ὃς ἐκ τοῦ μύξῃ καταῤῥεῖσθαι χαρακτηρίζεται. 1761, 18.
ἀπομύσσεσθαι τὸ τὴν μύξαν ἐκμάσσειν. 723, 9.
ἀπόνασθαι τὸ κερδῆσαι καὶ ὄνησίν τινα σχεῖν. 1796, 11. 1952, 38.
ἀπονάσσωσιν ἀντὶ τοῦ ἀποστρέψωσιν ἐν τῷ, περικαλλέα κούρην ἂψ ἀπονάσσωσιν, Ἰλιάδ. π', 86. ἀπονάσασθαι δὲ συνήθως τὸ μετοικεῖν. 1047, 12.
ἀπονέεσθαι ἀντὶ τοῦ ἀπονοστῆσαι, ἀπὸ τοῦ νέω θέματος, ὅθεν καὶ ὁ νόστος. 222, 12.
ἀπονέεσθαι τὸ ἐπανέρχεσθαι. 1638, 62.
ἀπονίζεσθαι τὸ ἀπονίπτεσθαι. 824, 26.
ἀπόνιμμα τὸ ἀποπῖπτον ἐκ τῆς νίψεως τῶν χειρῶν ὕδωρ, ἰδίως δὲ παρ' Ἀττικοῖς ἐπὶ χοῶν νεκρικῶν καὶ ἐναγιῶν καθαιρομένων τίθεται. 1401, 8.
ἀπονίπτεσθαι ἐλέγοντο μετὰ τὴν τροφὴν, κατὰ χειρῶν δὲ ὕδωρ ἐλέγετο τὸ πρὸ τῆς τροφῆς. 1401, 20, 43.
ἀπόνιπτρον τὸ τῶν χειρῶν ἢ ποδῶν ἀπόνιμμα, ἤγουν τὸ ἐκ τῆς νίψεως ἀποπῖπτον ὕδωρ, ἀλλαχοῦ δὲ ἀπόνιπτρον τὸ ὕδωρ, ᾧ τοὺς πόδας νίπτεταί τις. 1401, 7. 1867, 25.
ἀποξέειν ἀντὶ τοῦ ῥᾷστα ἀποκόπτειν ἐν τῷ, ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν, Ἰλιάδ. ε', 81. 524, 39.
ἀποξενοῦσθαι τὸ ἀλλοτριοῦσθαι. 423, 25.
ἀποξιφίσαι, τὸ ἐξορχήσασθαι, ὅτι παρὰ τὸν ξιφισμὸν λέγεται, ὃς ἦν ὀρχήσεως εἶδος. 1167, 22.
ἀποξύνειν τὸ λεπτύνειν ἢ ξύειν ἐν τῷ, ἀποξύνουσιν ἐρετμά, Ὀδυσσ. ζ', 269. 1563, 5.
ἄποινα τὰ λύτρα, δι' ὧν φόνον ἐκφεύγει τις, οἱονεὶ ἄφοινα. 42, 22. 834, 49.
ἄποινος θυσία ἡ νηφάλιος καὶ χωρὶς σπονδῆς οἴνου γινομένη. 727, 19. 760, 48. 1720, 27.
ἀποιχόμενοι οἱ θανόντες, ζήτει ἐν τῷ οἴχεσθαι. 119, 23.
ἀπόπαστος ἀντὶ τοῦ ἄπαστος, ὅ ἐστι νῆστις. 1180, 13.
ἀπόπατος, ἄφοδος, ὅ ἐστι κόπρος, καὶ ἀποπατεῖν τὸ ἀφοδεύειν, ὅτι παρὰ τὸν πάτον λέγονται. 636, 64. 1619, 41.
ἀποπέμψαι παρ' Ὁμήρῳ, ἀποπέμψασθαι δὲ παρὰ τοῖς ὕστερον. 1434, 29.
ἀποπλαγχθῆναι ἐπὶ τοῦ πόῤῥω πεσεῖν τοῦ οἰκείου τόπου καὶ ἐκτιναχθῆναι. 947, 32. 948, 32.
ἀποπροϊεὶς ἰὸν, ἤγουν ἀπὸ τοῦ τόξου ἢ ἀφ' ἑαυτοῦ προπέμψας τὸν ὀϊστόν. 1919, 55.
ἀποπτανέουσι διαφόρως κανονιζόμενον καὶ ἑρμηνευόμενον ἐν τῷ, ἀλλ' ἀποπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης, Ἰλιάδ. ξ', 101. 969, 33.
ἄποπτος τόπος ταὐτὸ ὅπερ περιωπὴ εἴτουν σκοπιά. 1427, 37.
ἀποῤῥαίσει, ἤγουν φθερεῖ, ἀπὸ τοῦ ῥαίω θέματος. 1426, 41.
ἀπόῤῥαξις, τρόπος τῆς διὰ σφαίρας παιδιᾶς, ὅτι παρὰ τὸ πρὸς τὸ ἔδαφος ἀράσσεσθαι τὴν σφαῖραν, ὥστε καὶ ἀποπάλλεσθαι, οὕτω λέγεται. 1601, 33.
ἀποῤῥίπτειν μῆνιν, Ἰλιάδ. ι', 517. ὅτι ὡς περὶ φορτίου λέγεται. 769, 29.
ἀποῤῥὼξ ἡ ἀπόῤῥοια τοῦ ὕδατος, καὶ ἀποῤῥὼξ πέτρα ἐπιθετικῶς, ζήτει ἐν τῷ, ἀποῤῥῶγες πέτραι. 334, 46. 1632, 56.
ἀποῤῥῶγες πέτραι αἱ ἀλλήλων ἀπεῤῥηγμέναι, καὶ ἀποῤῥῶγες ἀκταὶ αἱ διεῤῥωγυῖαι, ὅτι παρὰ τὸ ῥήσσω λέγονται τροπῇ τοῦ η εἰς ω. 1633, 40. 1735, 25.
ἄπος οὐδετέρως ὁ κάματος παρ' Εὐριπίδῃ (Phoen. 858.) 381, 19.
ἀποσεσυκάσθαι ἀντὶ τοῦ ἀποτετρυγῆσθαι, ἀπὸ τοῦ συκάζειν, ὅ ἐστι τρυγᾶν σῦκα. 1572, 55.
ἀποσιμοῦν τὸ ὑψοῦν καὶ πρὸς τὸ λαμπρότατον ἀγαγεῖν, καὶ ἀποσιμῶσαι ναῦν τὸ μετεωρίσαι. 965, 45.
ἀποσιμοῦσθαι τὸ ἀπὸ σιμοῦ καὶ κοίλου τόπου ἀνῆχθαι εἰς ὕψος. 965, 44.
ἀποσκλῆναι ὅτι ἀπὸ τοῦ σκλῆμι κεκίνηται, ὃ παρὰ τὸ σκλῶ δοκεῖ γενέσθαι, τοῦτο δὲ ἐκ τοῦ σκέλλω, ὃ δηλοῖ τὸ ξηραίνω. 1295, 39.
ἀποσκολύπτειν τὸ ἀφαιρεῖν τὸ δέρμα, τουτέστιν ἐκδέρειν. 952, 13.
ἀποσκοτοῦσθαι τὸ ζοφοῦσθαι, ὅτι περιττὴν ἔχει τὴν πρόθεσιν. 1256, 44.
ἀποσπένδειν ἀντὶ τοῦ ἁπλῶς σπένδειν ἐν τῷ, πολλὰ δ' Ἀθήνῃ εὔχετ' ἀποσπένδων, Ὀδυσσ. γ', 394. 1474, 2.
ἀπόστα ἀντὶ τοῦ ἀπόστηθι, ὡς κατάβα ἀντὶ τοῦ κατάβηθι. 1761, 38.
ἀποσταδὰ, τὸ πόῤῥω καὶ ἐκ διαστήματος, ὅτι ἐκ τοῦ ἀποσταδὸν ἐσχημάτισται, ὡς ἐκ τοῦ ἀναφανδὸν τὸ ἀναφανδά. 1555, 64.
ἀποστατικῶς λέγεσθαί τινα λέγονται ἀντὶ τοῦ ἀσυνδέτως, καὶ ἀποστατικοῦ σχήματος παραδείγματα. 635, 58. 1925, 29.
ἀποστηθίζειν καὶ ἀπὸ στήθους λέγειν, ὅτι ἀντιδιαστέλλονται τῷ ἀπὸ βιβλίου λέγειν. 974, 7. 9.
ἀποστήσασθαι ἀντὶ τοῦ ἀποσταθμίσαι, ὅ ἐστι σταθμῷ ἀποδοῦναι. 958, 20.
ἀποστίλβειν ἀλείφατος, ὅτι ἐλλειπτικῶς τοῦ ὡς ὁμοιωματικοῦ εἴρηται ἐν τῷ, ἀποστίλβοντες ἀλείφατος λίθοι, Ὀδυσσ. γ', 408. 1474, 24.
ἀποστροφὴ, σχῆμα λόγου, καὶ ἀποστροφῆς παραδείγματα. 453, 11. 465, 32. 525, 6. 1019, 50. 1750, 29.
ἀποσφάλλειν τινὰ τὸ τῆς ὁδοῦ ἀποπλανᾶν, καὶ ἀποσφάλλειν τινὰ πόνου ὁμοίως. 583, 11. 17. 1470, 14.
ἀποσφῆλαι, ζήτει ἐν τῷ ἀποσφάλλειν. 1470, 14.
ἀποσχεῖν τινὰ τόπου τινὸς ἢ πράγματος, τὸ πόῤῥω σχεῖν καὶ ἐκβάλλειν, οἷον ἐν τῷ, ἤ μ' Ὀδυσῆος οἴκου ἀποσχήσει, Ὀδυσσ. τ', 572. 627, 29. 42. 1878, 50.
ἀποσχήσει, ἤγουν ἀφέξει, ὅ ἐστι πόῤῥω ἕξει καὶ ἐκβαλεῖ, ζήτει ἐν τῷ ἀποσχεῖν. 1878, 50.
ἀποσχοινίζεσθαι ὅτι παρὰ τὸ σχοῖνος λέγεται, καὶ ζήτει τὸ σχοῖνος. 1854, 37.
ἀποτεθνάναι, ὅτι ἡ ἀπὸ τὴν ἀπὸ τῶν οἰκείων διάστασιν δηλοῖ ἐν τῷ, σεῦ ἀποτεθνειῶτος, περὶ Ἕκτορος ῥηθὲν ὑπὸ Ἑκάβης Ἰλιάδ. χ', 432. 1278, 21.

ἀποτελεσματική ἡ περὶ τοὺς ὄρνις καὶ τὰς διοσημείας ἐπιστήμη. 900, 34.

ἀποτίεσθαι ἀντὶ τοῦ ἀποτίειν, ὅ ἐστιν ἀποδιδόναι, ἐν τῷ, καὶ ὡς ἀπετίσατο ποινὴν ἰφθίμων ἑτάρων, Ὀδυσσ. ψ', 312. 1949, 44.

ἀποτίθεσθαι ἐν ἴσῳ τῷ ἀποτιθέναι. 1056, 45.

ἀποτίνειν ἀθρόα, φράσις Ὁμηρικὴ ὅτι εἰς παροιμίαν μετέπεσε, καὶ ἑρμηνεία διεξοδικὴ τοῦ παροιμιακοῦ τούτου ῥητοῦ. 1269, 15. 1388, 31.

ἀποτίνειν τῇ ἰδίᾳ κεφαλῇ, ἤγουν σὺν τῇ ἰδίᾳ κεφαλῇ, καὶ ὅτι τὸ, σύν τε μεγάλῳ ἀπέτισαν, Ἰλιάδ. δ', 161. εἰς παροιμίαν μετέπεσε. 458, 33. 41.

ἀποτίνειν ἕλωρά τινος, φράσις Ὁμηρικὴ, Ἰλιάδ. σ', 93. 1132, 24.

ἀποτίνειν κομιδὴν καὶ θρέπτρα, συνθήκη. 707, 3.

ἀποτίνειν ὅτι ἐλλειπτικῶς ἐνίοτε λέγεται τῆς ποινὴν αἰτιατικῆς, ὅτε καὶ ἀντὶ τοῦ τιμωρηθῆναι ἐνδέχεται ἀκούεσθαι. 769, 8.

ἀποτίνειν ἀντὶ τοῦ ἐμποινίμως ἀποδοῦναι ἐν τῷ, ἀποτισέμεν ὅσσα μ' ἔοργας, Ἰλιάδ. φ', 399. 1243, 3.

ἀποτίννυσθαι ποινὴν, ἀντὶ τοῦ ἐκδικεῖν. 1067, 4.

ἀποτίσεται, ἤγουν ἀμυντικῶς ἐκδικήσει, Ὀδυσσ. π', 255. 1801, 35.

ἀποτμήγεσθαι ἀλλήλων λέγονται τὰ ἡνωμένα κατ' ἴσον ἐπίπεδον, οὐ μὴν τὰ ὑπερκείμενα ἀλλήλων. 1066, 22.

ἀποτμῆξαι λαοῦ, Ἰλιάδ. κ', 364. ἀντὶ τοῦ πόῤῥω τοῦ λαοῦ ἀπαγαγεῖν. 812, 11.

ἄποτμος, δυσθάνατος ἢ δυστυχής. 1355, 40.

ἄποτμος ἐν ἴσῳ τῷ δύσποτμος, ὅ ἐστι δυστυχὴς, ἐπεὶ καὶ πότμος οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη, παρὰ τὸ πετεῖν, ὅ ἐστι πεσεῖν. 1412, 41.

ἀποτομὰς γῆ ἡ ἀποτετμημένη τῶν πέριξ. 1600, 64.

ἀποτρέπεσθαι ἀντὶ τοῦ ἀναχωρεῖν, οἷον ἐν τῷ, ἀπετράπετ' ὄβριμος Ἕκτωρ, Ἰλιάδ. κ', 200. 798, 20.

ἀπότριχες οἱ ἄνηβοι παρὰ Καλλιμάχῳ. 727, 21. 1592, 58.

ἀπότροπος ὁ κεχωρισμένος καὶ οἷον ἐξόριστος, ὑπότροπος δὲ ὁ ὑποστραφεὶς καὶ παλιννοστήσας. 1764, 7.

ἀποτυμπανισθῆναι, τὴν κεφαλὴν ἀποκοπῆναι, καὶ ὅτι παρὰ Ῥωμαίοις ἐπὶ πέντε μναῖς ὑπέμενόντες ἀποτυμπανισθῆναι, ἱστορία. 1837, 29. 34.

ἀποτυχία, παροιμία ἐπὶ τῶν ἀποτυγχανόντων, αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. 760, 44.

ἀποτυχίσαι λίθον, τὸ ἀποπελεκῆσαι, παρὰ τὸ τύχος, ὅ ἐστιν ὄργανον λιθοξοϊκόν. 967, 23.

ἀποτρωπᾶν ἀντὶ τοῦ ἀποτρέπειν ἐν τῷ, εἰ δέ κ' ἀποτρωπῶσι θεοὶ, παύσασθαι ἄνωγα, Ὀδυσσ. π', 405. 1806, 10.

ἀποῦραι Ἰωνικῶς τὸ ἀφορίσαι καὶ ἀφελέσθαι, παρὰ τὸν οὖρον, ὅ ἐστιν ὅρον, ὅτι καὶ ἀπουρίσαι λέγεται. 1282, 15. 1774, 36.

ἀπούρας μετοχὴ, ζήτει ἐν τῷ ἀποῦραι. 121, 4.

ἀπουρίζειν τὸ ἀφορίζειν καὶ ἀφαιρεῖσθαι, κατουρίζειν δὲ τὸ κατ' οὖρον πλέειν, ζήτει ἐν τῷ ἀποῦραι. 1282, 14.

ἀπόφαθι προστακτικὸν ὅτι ἀντίκειται τῷ φάθι. 1641, 31.

ἀποφαίνω, ὅτι ἐκ τοῦ φῶ τὸ λέγω γίνεται φαίνω, ἐξ οὗ τὸ ἀποφαίνω, ὅθεν ἀπόφανσις. 1728, 20.

ἀποφάσθαι ἀγγελίαν, τὸ ἀποφατικῶς ἀπαγγεῖλαι. 760, 36.

ἀπόφασις ἐπεισφέρουσα κατάφασιν, οἷον, οὐκ ἀλαπαδνὸς, ἀντὶ τοῦ ἀνδρεῖος. 479, 12. 1002, 32.

ἀπόφασις καὶ ἀποφάσκειν ὅτι ἐκ τοῦ Ὁμηρικοῦ ἀπόφημι ἀποφορμὴν ἔσχον τοῦ λέγεσθαι. 685, 28.

ἀπόφασις παρατιθεμένη θετικαῖς φωναῖς ὅτι ἴσον δύναται στερήσει ἐν συνθέσει παραλαμβανομένη, οἷον, οὐ παραγένησις, ἐν ἴσῳ τῷ ἀπουσία, καὶ οὐ περιτείχισις, ἀντὶ τοῦ τὸ ἀτείχιστον. 111, 24.

ἀποφάσεις δύο Ἀττικῶς ἀντὶ μιᾶς ἐν τῷ, οὐ μὰ γὰρ Ἀπόλλωνα, οὔτις ἐμεῦ ζῶντος ἐποίσει σοὶ χεῖρας, Ἰλιάδ. α', 86. 54, 25.

ἀποφατικοὶ λόγοι, ὅτι πολλάκις διὰ τῆς ἀποφάσεως ἀντεισάγεται τοὐναντίον. 479, 12. 1002, 32.

ἀπόφθεγμα ἐστὶ βιωφελὴς προφορὰ δι' ὀλίγων λέξεων. 767, 41.

ἀποφθίμην πρόσωπον ῥηματικὸν ὅτι ἀπὸ τοῦ φθίω θέματος κεκίνηται. 1647, 17.

ἀποφθίσθω πρόσωπον προστακτικὸν ὅτι διφορεῖται κατὰ τὴν παραληκτικὴν γραφὴν, ὡς καὶ τὸ θέμα αὐτοῦ τὸ φθίω. 721, 37.

ἀποφοιτᾶν τὸ παύσασθαι φοιτῶντα, ὅ ἐστι μανθάνοντα. 1167, 23.

ἀποφορὰ ἡ ὀσμή. 372, 33. 1788, 14.

ἀποφρὰς ἡμέρα ἡ δυσφραδὴς καὶ δυστυχὴς καὶ μηδὲ ὀνομαστή· ζήτει ἐν τῷ, δυσώνυμος ἠώς. 1538, 19. 1878, 51.

ἀποφράτη ἡ δούλη κατὰ γλῶσσαν. 1090, 57.

ἀποφώλιος ὁ ἀπαίδευτος καὶ ἀδίδακτος, ὅτι παρὰ τὸν φωλεὸν, ὃ δηλοῖ παιδευτήριον κατὰ γλῶσσαν, λέγεται, ἢ ἐκ μεταφορᾶς τῶν ἐκ τῶν φωλεῶν ἀποβαλλομένων ὀρνέων διὰ φαυλότητα. 1488, 63. 1529, 53.

ἀποφώλιος εὐνὴ, ἡ ἀδόκιμος καὶ ἄγονος καὶ ἄκαρπος, ἐκ μεταφορᾶς τῶν ἐκ τῶν φωλεῶν ἀποῤῥιπτομένων οὐρίων ᾠῶν. 1682, 32.

ἀποχειρισθῆναι τὸ ἀποκοπῆναι τὴν χεῖρα. 1960, 10.

ἀπόχρη ὅτι παροξύνεται καὶ ὅτι ἐκ τοῦ χρὴ σύγκειται, ἑρμηνεία διεξοδική. 752, 7. 11.

ἀποχρῆν ὅτι ἐκ τοῦ ἀποχρῆναι ἀπεκόπη. 1179, 36.

ἀποχρώντως, ὅτι ἐκ τῆς ἀποχρῶν μετοχῆς τοῦ ἀπόχρη ῥήματος παρῆκται. 752, 14.

ἀπόψυξις, ἀποπνευμάτωσις, παρὰ τὸ ἀποψύχειν. 866, 17.

ἀποψύχειν τὸ ἄπο ψυχῆς γίνεσθαι, ὅ ἐστιν ἀποπνέειν λειποθυμοῦντα ἢ θνήσκοντα, καὶ ὅτι καὶ ἀποψύχειν τὸν βίον κατὰ συνθήκην λέγεται. 622, 23. 824, 43. 1964, 29.

ἀποψύχεσθαι ἀντὶ τοῦ ἀναψύχεσθαι, οἷον, ἱδρῶ ἀπεψύχοντο, Ἰλιάδ. χ', 2. ἀποψύχειν δὲ ἐνεργητικῶς τὸ λειποθυμεῖν. 1253, 59.

ἀποψυχθῆναι ἱδρῶτα, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐκ τοῦ ἱδρῶτος ἀναψυχθῆναι. 1251, 29. 1253, 61.

ἄππα, προσφώνησις ὑποκοριστικὴ καὶ παιγνιώδης. 1118, 9.

ἄπρακτος ἀνία, ἡ καθ' ἣς οὐκ ἔστι τι πρᾶξαι οὐδὲ μηχανήσασθαι, περὶ Σκύλλης Ὀδυσσ. μ', 223. 1718, 40.

ἀπρεπὲς λέγεται τὸ ὑπ' οὐδενὸς περιεπόμενον. 729, 32.

ἄπρηκτοι ὀδύναι, παρ' Ὁμήρῳ αἱ ἐφ' αἷς οὐκ ἔστιν ἐκδίκησις. 1434, 62.

ἀπριάτην ἐπιῤῥηματικῶς ἀντὶ τοῦ προῖκα ἐν τῷ, ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων ἥρως ἀπριάτην, Ὀδυσσ. ξ', 316. κατὰ ἄῤῥενος προσώπου λεγόμενον· καὶ ἀπριάτην κατὰ θηλυκοῦ προσώπου Ἰλιάδ. α', 99. 56, 38. 1760, 34.

ἀπρὶξ ὅτι ἐκ τοῦ πέριξ συγκέκοπται, ὃ παρὰ τὴν περὶ πρόθεσιν λέγεται. 166, 32.

ἀπροτίμαστος παρ' Ὁμήρῳ ὁ ἀπρόσψαυστος, παρὰ τὸ μάσασθαι, ὅ ἐστιν ἅψασθαι. 1183, 30. 32.

ἄπτερος μῦθος, Ὀδυσσ. ρ', 57. τ', 29. φ', 386. χ', 398. ὁ παράμονος καὶ μὴ ἀποπτὰς, ἢ ὁ ταχὺς καὶ ἰσόπτερος καὶ ταχέως εἰς τὴν ψυχήν τινος εἰσδύς. 1811, 41.

ἅπτεσθαί τινος οὐ μόνον σωματικῶς λεγόμεθα, ἀλλὰ καὶ ἐν λόγοις. 1432, 46.

ἅπτεσθαι λέγεται τὸ βέλος τινὸς, ἀντὶ τοῦ εὐστοχεῖν καὶ ἐπιτυγχάνειν. 1120, 61.

ἅπτεσθαι τὸ διὰ χειρὸς ἐπαφᾶσθαι καὶ τὸ ἀνάπτεσθαι καὶ κρεμᾶν ὁμωνύμως, καὶ ὅτι ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ συντάσσεται κατὰ διάφορα σημαινόμενα. 166, 35. 38. 194, 15. 716, 31. 1635, 55.

ἀπτὴν νεοσσὸς, ὁ μὴ δυνάμενος πτῆναι. 753, 50.

ἀπτοεπὴς δασυτόνως ὁ καθαπτόμενος τοῖς ἔπεσι, τουτέστιν ὑβριστικὸς, ἢ ὁ μὴ πτοούμενος ἔπεσιν, ἢ καὶ ψιλοῦται ἡ λέξις. 709, 8.

—απτω λήγοντα ῥήματα ἀπὸ μονοσυλλάβων ῥημάτων παρηγμένα, οἷον ῥῶ ῥάπτω, βῶ βάπτω, θῶ θάπτω. 150, 31. 615, 11. 857, 54. 1746, 14.

ἀπύειν Δωρικῶς ἀντὶ τοῦ ἠπύειν, ὅ ἐστι φωνεῖν. 686, 23. 944, 61.

ἀπύλωτον στόμα, τὸ ἀθυρόγλωσσον. 723, 52.

ἀπυνδάκωτος κύλιξ, ἡ μὴ ἔχουσα πύνδακα, ὅ ἐστι πυθμένα. 870, 27.

ἄπυροι τρίποδες, οἱ μήπω πυρὶ προσενεχθέντες πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν λεγομένων. 739, 59. 740, 7.

ἄπυρος λέβης, ὁ μήπω ὁμιλήσας πυρί. 1299, 45.

ἄπυρος οἶνος, ὁ μὴ ἑψητὸς, ἀπύρωτος δὲ φιάλη, ἡ μὴ ἐπιτιθεμένη τῷ πυρί. 1300, 9.

ἄπυστος ὁ μὴ πυθόμενος, καὶ ὁ περὶ οὗ οὐκ ἐπύθετό τις, καὶ ἄπυστον τὸ ἀνήκουστον, ἐκ τοῦ πέπυσται τρίτου προσώπου ῥηματικοῦ. 1512, 36. 1684, 38.

ἀπύτης κῆρυξ, ἐπιθετικῶς παρὰ τὸ ἀπύειν, ὅ ἐστι φωνεῖν. 944, 62.

ἄπφαν τὴν ἀδελφὴν μόνη ἂν ἡ ἀδελφὴ προσείποι. 565, 23.

ἀπφάριον ὑποκοριστικῶς, ἤγουν ἀδέλφιον. 886, 36.

ἄπφιον, ὑποκόρισμα ἐρωμένης. 565, 26.

ἀπφὺς ὁ πατὴρ, ἐτυμολογία καὶ σχηματισμὸς διεξοδικὸς, καὶ ὅτι παρ' Ἀττικοῖς βάρβαρος νομίζεται ἡ λέξις. 565, 27. 886, 36. 971, 30. 1048, 28.

ἀπωθεῖν μοχλὸν θύρας, τὸ κάτωθεν ἄνω κινεῖν. 1359, 2.

ἀπώμοσις ἡ ἄρσις, ἐπώμοσις δὲ ἡ θέσις. 809, 31.

ἀπωμοτικὰ ἐπιῤῥήματα, οἷον μὰ καὶ οὐ μά. 1450, 43.

ἀπώνατο, ὠφελήθη, ἀπὸ τοῦ ὄνημι. 1093, 1.

ἀπῶσαι παρ' Ὁμήρῳ, ἀπώσασθαι δὲ παρὰ τοῖς ὕστερον. 1438, 29.

—αρ λήγοντα ὀνόματα τῇ ει διφθόγγῳ παραλήγοντα, ἐξ ἐπενθέσεως ἔχοντα τὸ ι, οἷον ἔαρ εἶαρ, ἔδαρ εἶδαρ, ὄνεαρ ὄνειαρ. 1851, 42.

—αρ λήγοντα οὐδέτερα ἀπὸ ἀρσενικῶν καὶ θηλυκῶν μετασχηματισθέντα, οἷον μῶμαρ ἀπὸ τοῦ μῶμος, καὶ ἄλκαρ ἀπὸ τοῦ ἀλκή. 154, 45.

—αρ ληγόντων τινῶν οὐδετέρων ἀναλογία, οἷον μῆχαρ, δέλεαρ. 235, 6.

—αρ συλλαβὴ ἀρκτικὴ ῥημάτων μετὰ συμφώνου συλλαβιζομένη, ἐκ διπλασιασμοῦ καὶ προσλήψεως τοῦ ρ̄ γενομένη, οἷον δάπτω δαρδάπτω. 80, 21.

ἀρὰ καὶ ἀρᾶσθαι ὅτι παρὰ τὸν ἄρνα λέγονται, καὶ ὅτι φύσει μακρὰν ἔχουσι τὴν ἄρχουσαν, καὶ ὅτι μέσαι λέξεις εἰσὶ, καὶ ὅτι ἐπὶ ἱκετείας καὶ βλάβης λέγεται ἡ ἀρά. 518, 9. 1032, 25. 1093, 61. 1117, 1.

ἄρα σύνδεσμος παρέλκων ἐν τῷ ἦ ἄρα ἐρωτηματικῷ, ἢ ἐκ παραλλήλου καὶ αὐτὸς ἐρωτηματικῶς κείμενος, ἢ καὶ περισπᾶσθαι ὤφειλεν. 1152, 24.

Ἄραβες ἔθνος ὅτι ἀπὸ Ἀράβου τινὸς οὕτως ἐκλήθησαν. 1484, 63.

ἄραβος ὁ τῶν ὅπλων κτύπος. 520, 3.

ἀραιὰ γλῶσσα ἐπιθετικῶς, μετὰ μὲν δασείας ἡ στερεὰ καὶ ἐπιμήκης, μετὰ δὲ ψιλῆς ἡ βλαπτική. 1052, 4.

ἀραιὰ χεὶρ ἐπιθετικῶς ἡ ἀσθενὴς ἢ προσηγορικῶς ἡ ἀριστερὰ, καὶ ὅτι κοινῶς μὲν ψιλοῦται ἡ ἀραιὸν φωνὴ, Ἀττικῶς δὲ δασύνεται. 568, 7.

ἀραιαὶ κνῆμαι ἐπιθετικῶς, καὶ ἀραιαὶ νῆσοι προσηγορικῶς, καὶ παραγωγὴ καὶ σχηματισμὸς τῆς ἀραιὸς φωνῆς. 1151, 2.

ἀραιὰς φρένας ἔχειν λέγεται ὁ χαῦνος ἀντικειμένως τῷ πυκινὰ, ὥς φησιν Ὅμηρος, φρονοῦντι. 1638, 36.

ἀραιὴ εἴσοδος, ἀντὶ τοῦ λεπτὴ καὶ στενὴ, καὶ ὅτι δασύνεται κατὰ τοῦτο ἡ λέξις πρὸς διαστολὴν τοῦ ἄλλως ἀραιοῦ. 1649, 46.

Ἄραμοι, οἱ καὶ Ἄριμοι, ἔθνος τι οὕτω καλούμενον, ζήτει ἐν τῷ Ἄριμοι. 346, 41.

ἄραξε ποτὶ τρόπιν, Ὀδυσσ. μ', 422. ἀντὶ τοῦ, προσέκρουσε τῇ τρόπει. 1729, 15.

Ἀράξης ποταμὸς ὅτι ἐκ τοῦ ἀράσσειν τῇ ὀξύτητι τοῦ ῥεύματος ἔσχε τοὔνομα. 1053, 4.

ἀράξω, ἤγουν θραύσω, ἀπὸ τοῦ ἀράσσω θέματος. 1323, 14.
ἄραρεν, ὅτι ἀναλογώτερον τὸ ἤραρεν, Ἀττικώτερον δὲ τὸ ἄραρε. 451, 13.
ἀράρισκεν, ἀντὶ τοῦ ἥρμοττεν, ἀπὸ τοῦ ἀραρίσκω, ὃ ἐκ τοῦ ἀράρω γίνεται. 1749, 11. 24.
ἀράρω ἐνεστὼς ἐκ τοῦ ἄραρα παρακειμένου γεγονὼς, ὡς ἐκ τοῦ πέφυκα τὸ πεφύκω. 1055, 58.
ἀραρὼν, ἤγουν τεχνησάμενος καὶ τεκτήνας, ὅτι μετοχή ἐστι τοῦ ἄραρον ἀορίστου δευτέρου. 1798, 50.
ἄρασθαι ἀπαρέμφατον μέσου ἀορίστου πρώτου, ἀρέσθαι δὲ δευτέρου. 1144, 20.
ἄρασθαι τὸ ὑπομένειν καὶ τὸ βαστάζειν, ἔτι δὲ τὸ πολεμεῖν, παρὰ τὸν Ἄρην, ἐν τῷ, ἔσσ' Ὀδυσεὺς ἐμόγησε καὶ ἤρατο, Ὀδυσσ. δ', 107. 1487, 34.
ἄρασθαι ἕλκος, ἀντὶ τοῦ οὐτάσθαι ἢ βεβλῆσθαι, ἄρασθαι δὲ κῦδος, ἀντὶ τοῦ κομίσασθαι δόξαν. 807, 2. 972, 10.
ἀράσσειν τὸ ῥαδίως καὶ ἀπόνως ἀποκόψαι καὶ κρατερῶς ὡς πρέπει ἄρει, ὅ ἐστι σιδήρῳ, καὶ ἀράσσειν τὸ συντρίβειν καὶ θραύειν. 910, 32. 947, 31. 1049, 14. 1641, 24.
Ἄρατος κύριον, ἀρατὸς δὲ ἐπίθετον. 906, 48.
Ἄρατος κύριον ὅτι παρὰ τὸ Ἄρης Ἄρητος κατὰ ἀναδρομὴν τῆς γενικῆς εἰς εὐθεῖαν καὶ τροπὴν τοῦ η εἰς ᾱ γέγονε. 1474, 33. 50. 1567, 54.
Ἄρατος ὁ Σικυώνιος εὐξάμενος θύσειν ἀνδρῶν ἑκατόμβην, ἱστορία. 331, 20.
ἀραχνίων γέμειν λέγεταί τι καὶ ἀράχνια ἔχειν ἀντὶ τοῦ ἀμελεῖσθαι, καὶ ἐλᾶν ἀράχνας ἀντὶ τοῦ ἐπιμέλειαν ποιεῖσθαι. 1793, 33-43.
Ἄραχνος Κρὴς ὅτι, συγγενόμενος Τειρεσίᾳ ὅτ' ἦν γυνὴ, εἰς γαλῆν μυθεύεται μεταβληθῆναι Ἀφροδίτης χόλῳ. 1665, 62.
ἀρβύλαι καὶ ἀρβυλίδες, εἶδος ὑποδήματος οὕτω καλούμενον. 1522, 12. 1712, 23.
ἀρβύλη, ὑπόδημα καὶ μέρος τι τῆς ἁρματείας ἄντυγος ὁμωνύμως. 599, 22.
ἀρβυλόπτερος ἐλέγετο ὁ Περσεὺς, ἤγουν πτερόπους, ταῖς γὰρ ἀρβύλαις καὶ οἱ πόδες συννοοῦνται. 1712, 23.
ἀργαίνειν τὸ λευκαίνειν. 1430, 61.
ἀργαλέον ὅτι παρὰ τὸ ἔργον λέγεται ἢ παρὰ τὸ ἄλγος. 1322, 35.
ἀργαλέον τὸ δύσκολον καὶ ἐργῶδες. 826, 39. 1684, 62.
ἀργαλέον ἆσθμα, τὸ ἀλγεινὸν καὶ δύσεργον καὶ μὴ κατὰ φύσιν εἰςοδεῦον καὶ ἐξοδεῦον. 1048, 44.
ἀργᾶντες ταῦροι, οἱ λευκοὶ τὸ χρῶμα ἢ λευκοὶ διὰ τὸ λίπος. 1430, 61. 1454, 6.
Ἀργεάδης πατρωνυμικὸν ὅτι ἀπὸ τοῦ Ἀργέας παρῆκται, ὡς ἀπὸ τοῦ Αἰνέας Αἰνεάδης. 1068, 5.
Ἀργεία Ἑλένη, ἡ Λάκαινα καὶ Πελοποννησία. 195, 22. 1490, 56.
Ἀργεία Ἥρα, ἡ τοῦ Ἄργους προστατοῦσα. 45, 23.
Ἀργεία φορὰ, ὅτι περὶ συκοφαντῶν λέγεται, ὧν εὐφόρησέ ποτε τὸ Ἄργος. 286, 19.
Ἀργειφόντης ὁ Ἑρμῆς ἀλληγορικῶς λέγεται, ὡς λόγος ἐναργῶς φαίνων τὰ κατὰ τὴν ψυχὴν, ἢ ὡς ἀργὸς φόνου διὰ τὸ εἰρηνικὸς εἶναι, μυθικῶς δὲ ὡς Ἄργου τοῦ πανόπτου φονεὺς, καὶ ὅτι τὸ γῑ ἀεὶ διὰ διφθόγγου γράφεται. 182, 22. 183, 1. 1249, 1. 1522, 52.
Ἀργείων βασιλέων τῶν μετὰ Προῖτον βασιλευσάντων στάσις καὶ μεταβολὴ, ἱστορία. 288, 25.
ἄργεμος, νόσος ὀμμάτων, καὶ ἄργεμα τὰ ἐπὶ τῶν ὀφθαλμῶν λευκώματα, παρὰ τὸ ἀργὸν, ὅ ἐστι λευκόν. 1430, 60.
ἀργεννὸν τὸ λευκὸν, παρὰ τὸ ἀργον, καὶ ὅτι τῷ φαεννὸν καὶ ἐρεβεννὸν ἀναλογεῖ ἡ λέξις. 392, 44.
ἀργέστης βαρυτόνως ὄνομα ἀνέμου, ἀργεστὴς δὲ ὀξυτόνως Νότου ἐπίθετον, ὅτι παρὰ τὸ ἀργὸν, ὅ ἐστι λευκὸν, λέγεται καὶ δηλοῖ τὸν λευκόνοτον. 845, 60. 1238, 51. 56. 64.
ἀργέτι δημῷ, ἀντὶ τοῦ, λευκῇ πιμελῇ, καὶ ἀργέτα κατ' αἰτιατικὴν ὁμοίως, ὅτι ἐκ τοῦ ἀργῆτι καὶ ἀργῆτα συνεστάλησαν. 886, 24. 1227, 30.
ἀργὴν χῆνα, τὴν οἰκουρὸν καὶ ἥμερον, Ὅμηρος Ὀδυσσ. ο', 161. 1778, 9.
Ἄργης, εἷς τῶν Κυκλώπων ὁ σκευάζειν τοὺς κεραυνοὺς τῷ Διὶ μυθευόμενος, ἀργὴς δὲ κεραυνὸς ὀξυτόνως καὶ ἀργὴς πέπλος ὁ λευκός. 427, 37. 906, 46. 1227, 29. 1528, 35.
ἄργης ὁ ὄφις κατὰ γλῶσσαν, ὅθεν ἀργειφόντης κατά τινας ὁ ὀφιοκτόνος. 183, 12.
ἀργιμήτης ταῦρος, ὁ λευκὸς, ὅτι περὶ τοῦ διακομίσαντος τὴν Εὐρώπην εἴρηται. 1430, 63.
ἀργινόεις ταὐτὸ ὅπερ ἀργιλώδης, ὅ ἐστι λευκόγειος, ὅτι δίφθογγον ὤφειλεν ἔχειν τὸ γῑ ὡς ἀπὸ τοῦ ἀργεννόν. 312, 33. 315, 31.
ἀργιόδοντες σύες ἢ κύνες ἐπιθετικῶς, ζήτει ἐν τῷ ἀργιόδους. 845, 7. 853, 45.
ἀργιόδους σῦς ἢ κύων ἐπιθετικῶς ὁ φύσει λευκοὺς ἔχων τοὺς ὀδόντας, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ῑ ἡ λέξις ἢ ἐκ τροπῆς τοῦ ō εἰς ῑ, ὡς ἀπὸ τοῦ ἀργός. 773, 18. 22. 845, 7. 853, 45. 1286, 9.
ἀργίποδες, οἱ λευκοὶ τοὺς πόδας, ὅτι ἴσον δύναται τῷ, πόδας ἀργοί. 1430, 58. 1490, 22.
Ἄργισσα, πόλις ἐπὶ τῷ Πηνειῷ κειμένη, καὶ ἱστορίαι τινὲς περὶ τῆς πόλεως, καὶ ὅτι παρὰ τὸ ὁμορεῖν τῷ Ἀμφιλοχικῷ Ἄργει οὕτως ἐκλήθη, καὶ ὅτι διὰ τοῦ ῑ καὶ δύο σσ̄ γράφεται. 333, 15. 334, 15. 335, 29.
ἄργματα ἀντὶ τοῦ ἀπάργματα, ὅ ἐστιν ἀπαρχαί, Ὀδυσσ. ξ', 446. 1767, 13.
ἀργοὶ κύνες ἀντιφραστικῶς οἱ ταχεῖς ἢ οἱ ἀργοῦντες ἢ οἱ λευκοί. 42, 18.
ἀργοὶ κύνες καὶ πόδας ἀργοὶ παρ' Ὁμήρῳ, εἰ μὲν περὶ θηρευτικῶν, ἀντὶ τοῦ ταχεῖς, εἰ δὲ περὶ κατοικιδίων, ἀντὶ τοῦ νωθροί· καὶ ὅτι δύναται καὶ ἀντὶ τοῦ λευκόποδες ἀκούεσθαι. 1430, 55.
ἀργοὶ βόες, οἱ ταχεῖς ἢ οἱ λευκοὶ τὴν χρόαν ἢ οἱ μετὰ τὸ ἀποδαρῆναι λευκοὶ φαινόμενοι διὰ τὴν πιότητα. 1286, 1.
ἀργὸν τὸ λευκὸν καὶ τὸ ταχὺ ἀντιφραστικῶς. 310, 41. 1713, 41.
Ἀργοναῦται πῶς ἐν τῷ εἰς Κόλ-

χους ἀνάπλῳ τὰς Πλαγκτὰς πέτρας παρέπλευσαν δι' ὑποθήκης τοῦ Φινέως, καὶ περὶ τῆς ἐπανόδου αὐτῶν διὰ τοῦ Ὠκεανοῦ, ἱστορία διεξοδική. 642, 64. 1711, 63—1712, 28.

*Ἄργος ὁ πανόπτης ἱστορία διεξοδικὴ καὶ μῦθος, καὶ περὶ τοῦ κατ' αὐτὸν φόνου, καὶ ὅτι ἐν Ἀργούρᾳ, χωρίῳ τῆς Εὐβοίας, ἐφονεύθη. 182, 23—46. 333, 18.

ἄργος, ὅτι πᾶν πεδίον ἄργος ἐκάλουν Μακεδόνες καὶ Θετταλοί. 1845, 15.

*Ἄργος πόλις ὅτι ἀπὸ Ἄργου ἀπογόνου Φορωνέως ὠνομάσθη. 288, 41.

*Ἄργος Ἀχαιικὸν, ἡ Πελοπόννησος καὶ ἰδίως ἡ Λακωνικὴ πρὸς διαστολὴν τοῦ Ἀμφιλοχικοῦ καὶ τοῦ Θετταλικοῦ καὶ τοῦ Κιλικίου καὶ τοῦ κατὰ Νίσυρον καὶ τοῦ Μακεδονικοῦ καὶ τοῦ Τροιζηνίου καὶ ἄλλων τινῶν· τὸ δὲ Ἀχαιικὸν Ἄργος καὶ ἱππόβοτον λέγεται. 182, 43. 195, 23. 293, 35. 742, 13. 1465, 57.

*Ἄργος Ἴασον καὶ ἵππιον καὶ ἱππόβοτον, ἡ Πελοπόννησος· καὶ Ἄργος Ἀχαιικὸν ἡ αὐτὴ, ἰδίᾳ δὲ ἡ Λακωνική. 1845, 11.

*Ἄργος ὅτι ἐν τῷ αὐτῷ χρόνῳ τριχῶς ὠνομάσθη, Ἴασον δηλονότι καὶ Πελασγικὸν καὶ ἱππόβοτον, ἱστορία. 385, 41.

*Ἄργος ἀπὸ μέρους ἀξιολόγου ὅλη ἡ Ἑλλὰς, ὅθεν Ἀργεῖοι παρ' Ὁμήρῳ οἱ Ἕλληνες. 1020, 57.

*Ἄργος ἱππόβοτον λέγεται ἡ Πελοπόννησος, κυριώτερον δὲ τὸ Θετταλικὸν οὕτω λέγοιτ' ἄν. 222, 17. 1187, 29.

*Ἄργος, ὄνομα κυνὸς παρ' Ὁμήρῳ, ὅτι διὰ τὸ ἀργὸς, ὅ ἐστι ταχὺς κατ' ἀντίφρασιν ἢ λευκὸς τὸ χρῶμα, γεγονέναι οὕτως ἐκλήθη. 1820, 25.

ἀργὸς ἐπίθετον κατὰ θηλυκοῦ προσηγορικοῦ λεγόμενον Ἀττικῶς. 1559, 9.

*Ἀργουρα, τόπος ἐν Εὐβοίᾳ ἀπὸ τοῦ ἐκεῖ φονευθῆναι τὸν Ἄργον ὀνομασθείς. 333, 18.

ἀργύριον, ὅτι καὶ ὁ χρυσὸς οὕτω λέγεται συνεκδοχικῶς. 1295, 54.

ἀργυρὶς, φιάλη ἀργυρᾶ. 1402, 26.

ἀργυροδίνης ποταμὸς, ὁ ἀργυρέαις δίναις, ὅ ἐστι καθαρῷ ῥεύματι, διοικούμενος. 337, 24.

ἀργυρόπεζα Θέτις ἀλληγορικῶς καὶ μυθικῶς, ἑρμηνεία διεξοδική. 146, 24.

ἄργυρος ὅτι τῷ ἀέρι εἰκάζεται ἐν τῇ Ὁμηρικῇ ἀσπιδοποιίᾳ, ἄλλως δὲ τῇ σελήνῃ ἀνάκειται. 25, 4. 1154, 48.

ἀργυρότοξος Ἀπόλλων ὁ λαμπρότοξος μυθικῶς καὶ ἀλληγορικῶς, ἑρμηνεία διεξοδική. 32, 46.

ἀργυρώματα τὰ ἀργυρᾶ ποτήρια, καὶ ὅτι ἀδόκιμος ἡ λέξις ὡς καὶ ἡ χρυσώματα. 1776, 22.

ἀργύφεον ἱμάτιον καὶ ἀργύφεον σπέος ἐπιθετικῶς, ἐτυμολογία καὶ σχηματισμὸς, καὶ ὅτι προϋπάρχει αὐτοῦ τὸ ἄργυφον. 1131, 27. 30. 1530, 56.

ἄργυφον πρόβατον τὸ ἀργὸν, ὅ ἐστι λευκὸν φανῆναι, καὶ ἄργυφον ἱμάτιον παρὰ τὸ ἀργὸν τοῦ ὕφους, ὃ καὶ ἀργύφεον ἰδίᾳ λέγεται κατὰ τροπὴν τοῦ ο εἰς υ. 1368, 42. 1649, 26.

*Ἀργὼ ἡ ναῦς, ἀφ' ἧς οἱ Ἀργοναῦται, ὅτι κατ' ἀντίφρασιν οὕτως ἐκλήθη, καθὰ καὶ τὸ ἀργὸν ἀντὶ τοῦ ταχύ. 1713, 40.

ἀρδαλία καὶ ἄρδαλος καὶ ἀρδαλῶσαι ὅτι ἐκ τοῦ ἄρδειν δοκοῦσι παρῆχθαι. 707, 34.

ἀρδαλῶσαι τὸ μολῦναι κατὰ γλῶσσαν. 1761, 29.

ἀρδάνιον, ἀγγεῖον ἐν ᾧ ἄρδουσι τὰ θρέμματα. 707, 32.

ἄρδειν ἵππον τὸ ποτίζειν. 707, 32.

ἄρδην ἐπίῤῥημα ἀντὶ τοῦ φοράδην, παρὰ τὸ αἴρειν. 707, 37.

ἀρδμὸς ὁ ποτισμὸς τῶν ζώων, οἷον ἐν τῷ, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασιν, Ὀδυσσ. ν', 247. 1740, 27.

*Ἀρέθουσα, κρήνη ἐν Ἰθάκῃ, ἀπὸ Ἀρεθούσης γυναικός τινος ἀποπνιγείσης ἐν αὐτῇ· ζήτει ἐν τῷ, Κόραξ Ἰθακήσιος· καὶ ὅτι καὶ ἐν Σμύρνῃ κρήνη τις Ἀρέθουσα ἐλέγετο, καὶ ἑτέρα ἐν Χαλκίδι, καὶ ἄλλη ἐν Συρακούσαις, ἧς λόγος ἐρᾶν τὸν Ἀλφειὸν, μῦθος. 281, 43. 1746, 56.

*Ἀρεθυρέα, ἡ ὕστερον Φλιοῦς, πόλις Πελοποννήσου. 291, 15.

*Ἀρειθύσανοι παρ' Αἰσχύλῳ, οἱονεὶ Ἄρεως θύσανοι, ὅ ἐστιν ἀποσχίσματα. 600, 44.

ἀρειὴ ἀπειλὴ, ἐκ τοῦ ἀρὰ πλεονασμῷ τῆς ει διφθόγγου. 539, 17. 1114, 5. 1199, 42.

*Ἄρειον τεῖχος, τὸ τοῦ Ἄρεως ἢ τὸ κρεῖττον καὶ ὀχυρώτερον, Ἰλιάδ. δ', 407. 489, 15.

*Ἄρειος κύριον καὶ Ἄρειος ἐπίθετον ἐκ τοῦ Ἀρήιος, τὸ ρι δίφθογγον. 217, 44. 894, 43.

*Ἄρειος πάγος, ὅτι εὕρηται καὶ πληθυντικῶς λεγόμενον ἐπὶ τοῦ αὐτοῦ. 490, 14.

*Ἀρείων, ὄνομα ἵππου ὁμωνύμως τῷ ἀρείων συγκριτικῷ, ἱστορία διεξοδικὴ καὶ γενεαλογία τοῦ ἵππου, καὶ ὅτι διφθόγγῳ παραλήγεται, Ἀρίων δὲ κύριον μελῳδοῦ τὸ ρι ἰῶτα. 1304, 55. 62.

ἀρείων, ὁ ἐπικρατέστερος καὶ νικητὴς, ὅτι παρὰ τὸν Ἄρην λέγεται. 55, 19.

ἄρεκτον τὸ ἄπρακτον, ἐνὶ ρ διὰ τὸ μέτρον ἐν τῷ, ἔτι γὰρ μέγα ἔργον ἄρεκτον, Ἰλιάδ. τ', 150. 1177, 5.

*Ἄρες Ἄρες, κατὰ ἀνομοιότητα τοῦ παραληκτικοῦ χρόνου ἐν τῷ, Ἄρες Ἄρες βροτολοιγέ, Ἰλιάδ. ε', 31. καὶ τίνι λόγῳ τοῦτο γέγονε. 517, 44. 518, 4.

ἀρὲς ὀξυτόνως κατὰ κλητικὴν πτῶσιν ἀντὶ τοῦ βλαπτικέ. 518, 19.

ἀρέσαι τὸ συγκατατιθέσθαι, ἀρέσασθαι δὲ τὸ φιλιωθῆναι παρ' Ὁμήρῳ, καὶ ἀρέσαι ἀντὶ τοῦ ἀρέσασθαι ἐν τῷ, ἂψ ἐθέλω ἀρέσαι, Ἰλιάδ. ι', 120. τ', 138. 660, 33. 1178, 50.

ἀρέσασθαι τὸ εἰς φιλίαν ἁρμόσασθαι, ἀρήσασθαι δὲ τὸ εὔξασθαι. 738, 58. 60.

ἀρέσασθαι, ἀντὶ τοῦ φιλιωθῆναι παρ' Ὁμήρῳ, ὅτι καὶ ἀρέσαι λέγεται, ὡς ἐπιπολὺ δὲ κατὰ παθητικὴν φωνὴν, καὶ ὅτι αἰτιατικῇ συντάσσεται. 1176, 31. 1178, 50. 1604, 54. 56. 1918, 59.

ἀρέσθαι μέσου ἀορίστου δευτέρου, ἄρασθαι δὲ πρώτου. 1144, 20.

ἀρέσθαι κλοπὴν ποδοῖν, παρὰ Σοφοκλεῖ (Aj. 247.) ἀντὶ τοῦ λάθρα φυγεῖν. 66, 2.

ἀρέσκω ὅτι παρὰ τὸν ἀρέσω

Κιλικίας, καὶ Ἄριμοι ἔθνος ἀπὸ Ἀρίμου βασιλέως, ἱστορία. 345, 34. 45. 346, 23 — 347, 8.

Ἄριμοι, ἔθνος οἰκῆσαν τὴν κατακεκαυμένην κληθεῖσαν χώραν, ἀπὸ Ἀρίμου βασιλέως οὕτω κληθὲν, καὶ ἄριμοι οἱ πίθηκοι παρὰ Τυῤῥηνοῖς, ζήτει ἐν τῷ Ἄριμα. 346, 39.

Ἄριμος βασιλεύσας τῆς κατακεκαυμένης καλουμένης χώρας, ὅπου τὰ κατὰ τὸν Τυφώεα μυθεύονται, ἀφ' οὗ Ἄριμοι ἔθνος. 346, 31.

Ἄριος ψάλτης, τὸ ρῑ ἰῶτα· ὅτι ὁ Ἄριος ἐνοχλῶν ποτὲ Στρατονίκῳ τῷ κιθαρῳδῷ ἤκουσε παρ' αὐτοῦ, ψάλλ' ἐς κόρακας. 894, 45.

ἀριπρεπὲς ἄστρον τὸ περιφανὲς καὶ ἐκπρεπὲς τῇ λαμπρότητι. 729, 29.

Ἀρίσβη, πόλις Τρωικὴ, Μιτυληναίων ἄποικος, Ἀρίσβα δὲ Λέσβου· καὶ Ἀρίσβη ἡ μέν τις Τεύκρου θυγάτηρ τοῦ Κρητὸς, Δαρδάνου δὲ γυνὴ, ἡ δὲ Μάκαρος ἢ Μέροπος θυγάτηρ, Πάριδος δὲ πρώτη γυνή. 357, 5. 622, 7. 894, 30. 1222, 33.

ἄριστα ἀντὶ τοῦ ἄριστον ἐν τῷ, δοκεῖ εἶναι ἄριστα, παρ' Ὁμήρῳ. 1737, 49.

Ἀρισταῖος Προκοννήσιος ὅτι Ὁμήρου διδάσκαλος γεγονέναι νομίζεται. 331, 7.

ἀρίσταμεν, πρῶτον πρόσωπον ῥηματικὸν, καὶ ἀριστάμεν ἀπαρέμφατον ὅτι ἐκ τοῦ ἀρίστημι θέματος κεκίνηνται. 1900, 9.

ἀριστεῖον, δῶρον τοῖς ἀρίστοις διδόμενον. 713, 39.

ἀριστερὰ κόσμου, ὅτι ἀριστερὸν μέρος τοῦ κόσμου τὸ δυτικὸν νομίζεται, δεξιὸν δὲ τὸ ἀνατολικόν. 902, 11.

ἀριστερὰ ὅτι κατ' εὐφημισμὸν ἐκ τοῦ ἀρίστου παρωνόμασται. 850, 37. 1398, 51.

ἀριστερὰ ὅτι δυσοιώνιστα ἐνομίζοντο παρὰ τοῖς ἀρχαίοις, ὡς δῆλον ἐκ τῶν οἰωνοσκοπιῶν καὶ τῶν ἐξ ἀριστερᾶς πταρμῶν. 805, 5. 1228, 46.

ἀριστερὰ χεὶρ ὅτι δυσοιώνιστος, καὶ ὅτι ἀπ' αὐτῆς σκαιὰ καὶ ἐπαριστερὰ λέγονται τὰ μὴ αἴσια. 129, 10.

ἀριστερεών, φυτὸν ἐπιτήδειον εἰς καθαρμὸν μιασμάτων. 1935, 5.

ἀριστεύω ὅτι ἐκ τοῦ ἄριστος παρῆκται, διὸ καὶ γενικῇ συντάσσεται πληθυντικῇ. 655, 45.

ἀριστοκρατία λέγεται τὸ πολίτευμα, καθ' ὃ οἱ ἄριστοι μόνοι ἐννόμως κρατοῦσι. 202, 17.

ἄριστον, ὅτι τρὶς τῆς ἡμέρας αἱρουμένων τροφὴν τῶν παλαιῶν ἄριστον ἔλεγον τὸ πάνυ πρωὶ γινόμενον Ἄρεως ἱσταμένου, οἱ δὲ πλείους ἄριστον λέγουσι κοινῶς γεῦμα, οὐ παρὰ τὸν Ἄρην, ἀλλὰ παρὰ τὸ ἀρίστως ἔχειν κατ' ἐξοχὴν, καὶ ὅτι ἄριστον ἐνίοτε ἐπὶ δείπνου τίθεται συνωνύμως. 1342, 6. 1432, 2. 16. 1791, 25 — 55. 1833, 6.

ἄριστος παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ ἀριστεύς. 566, 19.

Ἀρίστυλλος ὁ Ἀριστοκλῆς ὑποκοριστικῶς. 989, 49.

ἀρισφαλὴς ὁδὸς ἡ πάνυ σφάλλουσα καὶ προσκόπτειν ποιοῦσα τὸν ὁδεύοντα ὡς τραχεῖα. 1815, 16.

ἀριφραδὲς σῆμα τὸ εὔγνωστον σημεῖον. 1675, 37.

ἀριφράδης ὀξυτόνως ὁ ἄγαν συνετὸς, ὅτι ἐκ τοῦ φραδὴς σύγκειται, ὃ παρὰ τὸ φράζω λέγεται, Ἀριφράδης κύριον βαρυτόνως. 135, 25. 1411, 41. 1570, 10.

Ἀρίων κύριον ὅτι τῷ ἰῶτα παραλήγεται καὶ διὰ τοῦ ω μεγάλου κλίνεται. 1304, 61.

Ἀρκάδας μιμούμενος, παροιμία ἐπὶ τῶν ἄλλοις πονούντων, ἱστορία. 302, 30.

Ἀρκαδίας χώρας διάφοροι ὀνομασίαι, καὶ ἱστορίαι τινὲς περὶ Ἀρκάδων καὶ τῆς χώρας αὐτῶν. 300, 12.

Ἀρκὰς Ἀρκάδος, κύριον καὶ ἐθνικὸν, ὅτι συστέλλει τὸ ᾰ καὶ ὀξύνεται καὶ διὰ τοῦ δος κλίνεται, καὶ ὅτι παρὰ τὸ ἄρκος, ὅ ἐστιν ἄρκτος, λέγεται. 300, 13. 1535, 16.

Ἀρκὰς κυνῆ, Ἀρκαδικὸς πῖλος, καὶ Ἀρκὰς φελλὸς, μέσον τι πρίνου καὶ δρυὸς φυτόν. 302, 26.

ἀρκεῖν τινὶ θάνατον ὅτι ἐντελῶς λέγεται, ἀρκεῖν δὲ κατὰ μόνας ἀτελῶς. 622, 21.

Ἀρκείσιος, Ὀδυσσέως πάππος, παρὰ τὸν ἀρκέσω μέλλοντα ἢ παρὰ τὸν ἄρκον, ὅ ἐστιν ἄρκτον, θηλάσαι, ἱστορία. 1516, 61. 1756, 52. 1961, 13. 17.

Ἀρκείσιος, Ὀδυσσέως πάππος, ὅτι Διὸς καὶ Εὐρυοδίας υἱὸς ἱστορεῖται γεγονέναι. 1796, 36.

Ἀρκεσίλαος ὁ ἐπαρχῶν τοῖς λαοῖς, ὅτι παρὰ τὸν ἀρκέσω μέλλοντα λέγεται, καὶ ἀναλογία τῆς διὰ τοῦ ῑ γραφῆς τῆς παραληγούσης. 264, 30.

Ἀρκεσίλαος καὶ Τηλέμαχος υἱοὶ Ὀδυσσέως ἐκ Πηνελόπης. 1796, 50.

ἄρκιλοι τὰ τῶν ἄρκων, ὅ ἐστιν ἄρκτων, νεογνά. 1535, 15. 1625, 46.

ἄρκιον τὸ μέτριον καὶ τὸ ἐπαρκοῦν, καὶ ἄρκιον εἶναι ἢ γενέσθαι ἀντὶ τοῦ ἐπαρκέσαι, οἷον ἐν τῷ, οὔ οἱ ἔπειτα ἄρκιον ἐσσεῖται φυγέειν κύνας, Ἰλιάδ. β', 393. 242, 14. 1029, 2. 1413, 43.

ἄρκιος πνοὴ, ἡ ἐκ τοῦ ἀπαρκίου ἀνέμου. 1156, 17. 1535, 17.

ἄρκος διὰ μόνου τοῦ κ̄ ἀντὶ τοῦ ἄρκτος, ἀλλαχοῦ δὲ ὅτι ἄρκτος μετὰ τοῦ τ̄ λέγεται, ἄρκος δὲ οὔ. 1156, 16. 1535, 14.

ἀρκτικὰ ἄστρα ὅτι ἀειφανῆ εἰσί. 1155, 33.

ἄρκτος, ἀστροθέτημά τι· ὅτι ἡ μὲν μικρὰ ἄρκτος Κυνόσουρα λέγεται, ἡ δὲ μεγάλη, Ἑλίκη· περὶ ἧς φασὶ λέγειν τὸν Ὅμηρον ἑκάστοτε, ὅταν ἄρκτου μέμνηται· καὶ ὅτι ἐκ πλειόνων ἄστρων σύγκειται, καὶ οὐκ ἐξ ἑπτὰ μόνον κατὰ τὴν Κυνόσουραν, ἣν ὕστερον παρετήρησαν Φοίνικες. 1535, 12.

ἄρκτος καλεῖται τὸ τῆς Καλλιστοῦς, τῆς Λυκάονος, ἀστροθέτημα, καὶ μῦθος περὶ τῆς ἀστροθετήσεως τῆς Καλλιστοῦς. 300, 28. 1156, 11.

ἄρκτος ὅτι μετὰ τοῦ τ̄ λέγεται, ἄρκος δὲ οὔ, ἀλλαχοῦ δὲ ὅτι καὶ χωρὶς τοῦ τ̄ διὰ μόνου τοῦ κ̄. 1156, 16. 1535, 14.

Ἀρκτοῦρος, ἀρκτοφύλαξ, ὅτι οὕτω καλεῖται ἄστρον τι, ὃ καὶ Βοώτης, ὅ ἐστι βοηλάτης καὶ ἁμαξηγὸς, διὰ τὸ καὶ ἅμαξαν τὴν ἄρκτον καλεῖσθαι. 1535, 28.

ἄρκυες τὰ περιτιθέμενα λίνα τοῖς θηρίοις, ὅτι παρὰ τὸ ἄρκος, ὃ

ἐστιν ἄρκτος, λέγονται, καὶ ὅτι Ἀττικῶς δασύνεται ἡ λέξις. 1535, 17.
ἀρκυωρὸς ὁ τῶν ἀρκύων φύλαξ, ὅθεν καὶ ἀρκυωρεῖν τὸ φυλάσσειν, ἄρκυες δὲ τὰ τῶν θηρίων δίκτυα. 1535, 19.
ἅρμα, ὅτι δασύνεται ἡ λέξις. 140, 11.
Ἅρμα, ὄνομα τόπου τινὸς ἐν Βοιωτίᾳ, ἐτυμολογία τῆς λέξεως καὶ παροιμία, ὅταν ἀστράψῃ δι' Ἅρματος, ἑρμηνεία διεξοδική. 236, 1. 266, 35—43.
ἅρμα, ὅτι ἅρματα περὶ ἑνὸς λέγει Ὅμηρος πληθυντικῶς, ὡς ἐπὶ τὸ πολὺ σεμνύνων τὸ πρᾶγμα τῷ πληθυσμῷ, καὶ ὅτι σπανίως εὑρίσκεται ἅρμα ἑνικῶς λεγόμενον παρ' Ὁμήρῳ. 1477, 27. 33.
ἅρμα ὅτι ἐπὶ μόνων ἵππων εἴωθε λέγεσθαι, ἅμαξα δὲ καὶ ἀπήνη καὶ ἐπὶ ἄλλων ὑποζυγίων. 1550, 15.
ἅρμα ἀντὶ τοῦ ὅπλον, Ῥωμαϊκῶς. 243, 14.
ἁρματομαχεῖν, ὅτι σύνηθες ἦν τοῖς Ἕλλησιν ἐσφαιρωμένοις δόρασιν ἁρματομαχεῖν. 1088, 27.
ἁρματροχιαὶ τὰ ἴχνη τῆς χαράξεως τῶν ἁρματείων τροχῶν, καὶ ὅτι ἄλλο τί ἐστι παρὰ τὴν ἁματροχιάν. 1313, 21.
ἅρμενον ἀντὶ τοῦ ἁρμόδιον, ὅτι ψιλοῦται ἡ λέξις, καὶ ἄρμενα τὰ ἱστία ἰδιωτικῶς. 140, 12. 1533, 44.
ἁρμόζεσθαι ἐν ἴσῳ τῷ ἁρμόζειν ἐν τῷ, ἁρμόζεο χαλκῷ, Ὀδυσσ. ε', 162. 1533, 19.
Ἁρμοθόη, Πανδαρέου γυνὴ, ζήτει ἐν τῷ Πανδαρέως. 1875, 34.
ἁρμοῖ τὸ νεωστὶ κατὰ γλῶσσαν Συρακουσίων, ὅτι δασύνεται ἐκ τοῦ ἁρμὸς ἁρμοῦ ἁρμῷ γενόμενον. 140, 13
Ἁρμονία ὅτι θυγάτηρ Ἄρεως καὶ Ἀφροδίτης μυθεύεται, διὰ τὸ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν κεκρᾶσθαι ἀλλήλοις. 1244, 42.
ἁρμονίαι αἱ συνθῆκαι, ὡς ἁρμόττουσαι τὰ μέρη. 1268, 30.
Ἁρμονίδης, ὄνομα ναυπηγοῦ, ὅτι παρὰ τὸ ἁρμόζεσθαι λέγεται. 1528, 56.
Ἀρναῖος ὁ εὐκταῖος τῇ μητρὶ αὐτοῦ, παρὰ τὴν ἀρὰν πλεονασμῷ τοῦ ν, ἢ ὁ προβατώδης, ὅ ἐστιν εὐήθης, ἢ παρὰ τὸ ἄρνυσθαι. 1834, 18.
ἄρνεια κρέα ὅτι ἀδιαπόνητα ὄντα ταῖς ἕξεσι ῥᾷον φθείρονται διὰ τὴν πιμελήν. 1753, 20.
ἀρνειὸς ὀξυτόνως τὸ ζῶον, ἀρνεῖος δὲ προπερισπωμένως ὄνομα μηνός. 1676, 41.
ἀρνειὸς, ὅτι οὕτω λέγεται τὸ ἄῤῥεν πρόβατον καὶ τέλειον τῇ ἡλικίᾳ καὶ οὐκ ἀτελὲς κατὰ ἄρνα καὶ ἀρνίον. 1627, 10.
ἀρνειὸς ὅτι ἐκ τοῦ ἀρνὸς γέγονεν, ὡς ἐκ τοῦ ἀδελφὸς ἀδελφειός. 403, 39.
ἄρνειος φόνος λέγεται παρὰ Σοφοκλεῖ ὁ τῆς συμμίκτου λείας φόνος ἀπὸ ἑνὸς εἴδους τοῦ τῶν ἀρνῶν. 1383, 8.
ἄρνες, ὅτι ἐκ τοῦ ἀρῆνες συνεκίπη ἡ φωνή. 799, 35.
ἀρνευτὴρ ἐπίθετον καὶ ἀρνευτὴς εἶδος ἰχθύος, καὶ ἱστορία φυσικὴ περὶ αὐτοῦ. 1083, 56. 59.
ἀρνευτὴρ, ὁ καὶ κυβιστητὴρ παρ' Ὁμήρῳ, ἢ ὁ ἄῤῥην δελφὶς, παρὰ τὸ κατὰ τοὺς ἄρνας ἐπὶ κεφαλὴν ἵεσθαι. 910, 36.
Ἄρνη πόλις ἀπὸ Ἄρνης ἡρωΐδος, ἢ πολύαρνος γεγονέναι ἱστορεῖται, καὶ ὅτι τέσσαρες Ἄρναι πόλεις, καὶ ἱστορίαι τινὲς περὶ αὐτῶν. 270, 26—44.
ἀρνίον Ἀτρέως, τὸ χρυσόμαλλον μυθευόμενον, ὅτι ποτήριον ἦν ἔχον ἐντετυπωμένον ἀρνίον περὶ τὸν πυθμένα. 1319, 45.
ἀρνὸς ἀρνὶ ἄρνα, πλάγιαι ἐκ τῶν ἀρὴν ἀρῆνος ἀρῆνι ἀρῆνα συγκεκομμέναι. 49, 26.
ἄρνυσθαι ἐπὶ τοῦ ἁπλῶς λαμβάνειν, ὅτι παρὰ τὸ ἀόρω λέγεται, καὶ ἄρνυσθαι μισθὸν ἀντὶ τοῦ μισθαρνεῖν, καὶ ἄρνυσθαί τινι κλέος ἢ τιμὴν ἀντὶ τοῦ περιποιεῖν. 57, 40. 654, 60. 915, 1.
ἄρνυσθαι κυρίως τὸ ἄρνα διδόντα ἄλλο τι λαμβάνειν ἀντ' ἐκείνου, ἁπλῶς δὲ ἄρνυσθαι τὸ ἀντικαταλλάσσεσθαι ἀπὸ ἑνὸς εἴδους τὸ καθόλου, ἢ ἄρνυσθαι ἀντὶ τοῦ περιποιεῖσθαι ἐν τῷ, ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων, Ὀδυσσ. α', 5. 1383, 7. 19.
ἄρνυσθαι λέγονται οἱ ἀθληταὶ τὰ ἆθλα, ἤγουν ἀντικαταλλάσσεσθαι καὶ ἀντὶ τῆς ἑαυτῶν ἀρετῆς τὰ ἆθλα λαμβάνειν. 1264, 13.
ἀρνῳδοὶ, οἱ καὶ ῥαψῳδοὶ, ὅτι παρὰ τὸ ἄρνα ἔπαθλον τῆς ᾠδῆς λαμβάνειν οὕτως ἐλέγοντο. 6, 26.
ἀρόμην μέσου ἀορίστου δευτέρου, ἠράμην δὲ πρώτου. 740, 33.
ἄρος τὸ ὄφελος παρ' Αἰσχύλῳ (Suppl. 889.) παρὰ τὸ ἀρῶ, ὅ ἐστιν ἁρμόζω. 1422, 19.
ἄροτος προπαροξυτόνως τὸ ἔργον τοῦ ἀροτριᾶν, καὶ ὁ ἐνιαυτὸς παρὰ Σοφοκλεῖ. 811, 27.
Ἀρότται, δοῦλοι παρὰ Συρακουσίοις. 295, 32.
ἄρουρα, μέτρον γῆς ἑκατὸν πηχέων, ἁπλῶς δὲ ἄρουρα ἡ πεφυκυῖα ἀροῦσθαι γῆ. 391, 18. 411, 37. 636, 18.
Ἁρπάγειον καὶ Ἁρπάγη, ὅτι οὕτως ἐκλήθη ὁ τόπος, ὅθεν ἡρπάγη ὁ Γανυμήδης. 986, 40. 1205, 12.
ἁρπάγη, ὄργανον δι' οὗ ἐκ τῶν φρεάτων τοὺς κάδους ἀνάγουσι, καὶ ὅτι βαρύνεται ἡ λέξις πρὸς διαστολήν. 906, 48. 1390, 52.
ἁρπάζειν ὅτι περὶ λέοντος λέγεται καὶ λύκου καὶ κυνὸς καὶ τῶν ὁμοίων ζῴων, καὶ ὅτι ἐπὶ πάντων τῶν καρχάρων κυριολεκτεῖται, καὶ οἱ λῃσταὶ ἁρπάζειν λέγονται ὡς καὶ τὰ θηρία. 906, 21. 1095, 59. 1787, 36.
ἁρπάζω ἁρπάσω καὶ ἁρπάξω τροπῇ Δωρικῇ τοῦ σ εἰς ξ. 1419, 18.
ἁρπαλέον κέρδος τὸ πάνυ περισπούδαστον. 1590, 8.
Ἁρπαλύκη, ᾠδὴ ἐπὶ Ἁρπαλύκῃ γυναικί τινι ἀποθανούσῃ δι' ἔρωτα, καὶ ὅτι εἰς χαλκίδα ὄρνιν μεταβληθῆναι μυθεύεται ἡ Ἁρπαλύκη. 986, 35. 1236, 62.
ἅρπαξ, ὅτι καὶ ἡ κρεάγρα ἅρπαξ ἐλέγετο. 747, 27.
ἁρπαστὸν εἶδος σφαιριστικῆς, ὅτι τὸ ἁρπαστὸν καλούμενον εἶδος τῆς σφαιριστικῆς παιδιά τις ἦν γυμναστική. 1601, 51.
ἄρπεζον Ἴωνες τὴν αἱμασιάν. 1851, 25.
ἅρπη, ὄρνεόν τι ἀετῶδες, ἱστορία τις φυσικὴ περὶ αὐτοῦ. 1188, 3.
Ἅρπυια ἡ τοῦ ἀνέμου καταιγὶς

καὶ δαιμόνιόν τι ἱπποφυὲς παρ' Ὁμήρῳ. 1051, 4.

Ἅρπυιαι, ἄνεμοι καταιγιδώδεις ἁρπακτικοὶ καὶ τῶν βαρέων σωμάτων, καὶ ἀλληγορία περὶ τῶν ὑπὸ Ἁρπυιῶν ἀνηρπάσθαι μυθευομένων, καὶ ὅτι καὶ πτερωτά τινα δαιμόνια πλάττονται αἱ Ἅρπυιαι. 1414, 38.

Ἅρπυιαι, ὄρνεα ἁρπακτικά, αἳ εἰς γυναῖκας ἀσώτους ἀλληγοροῦνται. 1712, 24.

ἀῤῥάβαξ, ὀρχηστὴς ἢ βλάσφημος κατὰ γλῶσσαν Θρᾳκικήν. 1854, 33.

ἀῤῥαβάσσειν τὸ ὀρχεῖσθαι, ὅθεν ἀῤῥάβαξ ὁ ὀρχηστής, καὶ ζήτει τὸ ἀῤῥάβαξ. 1854, 35.

ἀῤῥενικὸν, γραφικόν τι φάρμακον. 913, 57.

ἀῤῥενόπαιδες, οἱ καὶ ἀνδρόγυνοι. 1490, 23.

ἀῤῥενῶπα τὸν ἀνδρόγυνον ἡ σκωπτικὴ παράχρησις καλεῖ. 827, 29. 1412, 31.

ἄῤῥηκτος νεφέλη, παρ' Ὁμήρῳ ἡ πυκνωτάτη. 1201, 7.

ἄῤῥιχοι, κόφινοι οἰσύϊνοι, ἐν οἷς σταφυλαὶ συνεκομίζοντο, οὓς Ἴωνες μὲν ἀρσενικῶς, Ἀττικοὶ δὲ θηλυκῶς προφέρουσι. 1163, 49. 1533, 58. 1625, 14.

ἀῤῥωδεῖν τὸ μὴ ὀῤῥωδεῖν ἀλλὰ τεθαῤῥηκέναι καὶ καταφρονεῖν, ἐκ τοῦ α στερητικοῦ καὶ τοῦ ὀρρωδεῖν, ὅ ἐστιν εὐλαβεῖσθαι· ζήτει ἐν τῷ ὄῤῥος καὶ ἐν τῷ ὀῤῥωδεῖν. 1871, 47.

ἀῤῥωδεῖν ἐν ἴσῳ τῷ ὀῤῥωδεῖν, ἕτεροι δὲ κατὰ στέρησιν τὸ μὴ ὀῤῥωδεῖν. 907, 2.

ἄρσαι ναῦν τὸ ναυπηγῆσαι καὶ τὸ εἰς πλοῦν ἐξαρτίσαι. 1417, 29.

ἄρσας ἄρσαντος μετοχὴ ὅτι κατὰ μὲν τινας δασύνεται, κατὰ δέ τινας ψιλοῦται ὡς ἀπὸ τοῦ ἄρω ἄρσω Αἰολικοῦ. 67, 3. 974, 40.

ἀρσενικὰ ἐπιθετικὰ θηλυκοῖς ὑποκειμένοις ἐπιτιθέμενα, οἷον, ἀργὸς στρατιὰ, καὶ, κλυτὸς Ἱπποδάμεια. 174, 27. 550, 16. 723, 14. 1160, 3. 1174, 62. 1502, 36.

ἀρσενικὰ ἐπίθετα θηλυκοῖς πόλεων ὀνόμασιν ἐπιτιθέμενα, οἷον ποιήενθ' Ἁλίαρτον, καὶ Πύλον ἠμαθόεντα, καὶ ὑλήεντα Ζάκυνθον. 268, 37.

ἀρσενικαὶ μετοχαὶ κατὰ ὑποκειμένων θηλυκῶν λεγόμεναι, οἷον, Τειρεσίου ψυχὴ σκῆπτρον ἔχων, Ὀδυσσ. λ', 90. 316, 29.

ἀρσενικὸν γένος, ὅτι ἐν ταῖς συλλήψεσι τῆς συντάξεως ἐπικρατεῖ τὸ ἀρσενικὸν γένος καὶ συνεκδέχεται τὸ θηλυκὸν, οἷον· Μοῦσαι καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδω. 781, 56. 985, 52. 1601, 8. 1742, 29.

ἀρσενικὸν, τὸ καὶ ἀρσενίκιον καλούμενον, γραφικὸν φάρμακον. 913, 58.

ἄρσην, ὁ ἄῤῥην ἄνθρωπος, ὅτι παρὰ τὸ ἄρδειν λέγεται. 1384, 59.

Ἀρσινόη, οἱονεὶ Ἥρας ἴον κατὰ ἀναγραμματισμόν. 46, 3.

Ἀρσίνοος κύριον, καὶ δηλοῖ τὸν ὑψηλόνουν καὶ μετάρσιον ἔχοντα τὸν νοῦν. 866, 35.

ἄρσον ἀντὶ τοῦ γέμισον ἐν τῷ, ὅπλισσόν τ' ἤια καὶ ἄγγεσιν ἄρσον ἅπαντα, Ὀδυσσ. β', 289. 1445, 43.

ἀρτάβη, μέτρον τι Περσικόν. 1854, 12.

Ἀρτακία, ὄνομα κρήνης Λαιστρυγονικῆς παρ' Ὁμήρῳ, ἢ ἐπίθετον κρήνης, παρὰ τὸ ἄρτι κίειν, ὅ ἐστιν ἀναδίδοσθαι, καὶ Ἀρτακία ὄνομα πόλεως Ἀσιανῆς παρ' Ἡροδότῳ. 1650, 52.

Ἄρταμις Δωρικῶς ἡ Ἄρτεμις τροπῇ τοῦ ε εἰς α. 969, 7.

ἄρταμος, κρεουργὸς, παρὰ τὸ εἰς ἄρτια τέμνειν. 577, 45.

ἀρτεμὴς ὁ ὑγιὴς καὶ ἄρτιος, ὅ ἐστιν ἀκέραιος, οἱονεὶ ἀτεμὴς, ὅθεν δοκεῖ καὶ ἡ Ἄρτεμις λέγεσθαι ὡς παρθένος. 577, 43. 682, 31. 1732, 27.

Ἄρτεμις, οἱονεὶ ἀερότομις ὡς ἡ αὐτὴ τῇ Σελήνῃ, ἢ ἡ ἀρτεμὴς, ὅ ἐστιν ἀκέραιος ὡς παρθένος, ἢ παρὰ τὸ ἄρτιον ὡς ὑγείας περιποιητική. 32, 33. 577, 43. 1197, 4. 1732, 27.

Ἄρτεμις λοχεία ἐπωνυμικῶς, καὶ διὰ τί τοξότις μυθεύεται ἡ Ἄρτεμις. 843, 61.

Ἄρτεμις ὅτι δότειρα μεγέθους ταῖς γυναιξὶν εἶναι μυθεύεται. 1882, 43.

Ἄρτεμις ὅτι αἰφνιδίου θανάτου αἰτία ταῖς γυναιξὶν ἐνομίζετο. 636, 31. 637, 14. 1171, 25.

Ἄρτεμις ὅτι γυνὴ Ἀπόλλωνος ὑπό τινων ἐνομίσθη. 1197, 39.

Ἄρτεμις Ἀρτέμιδος καὶ Ἀρτέμιτος Δωρικῶς. 1618, 29.

Ἀρτέμιδος καὶ Ἥρας μάχη παρ' Ὁμήρῳ διεξοδικῶς ἀλληγορουμένη, καὶ ἐτυμολογία τῆς Ἄρτεμις φωνῆς. 1197, 4.

ἀρτιγάλαξ, ὅτι ἐκ τῆς γάλαξ εὐθείας δοκεῖ συγκεῖσθαι ἡ λέξις. 1627, 46.

ἀρτιεπὴς ὁ ἀπηρτισμένος ἐν τῷ λέγειν καὶ παραλογιστὴς ἐν τῷ, ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων, Ἰλιάδ. χ', 281. ἢ ἀρτιεπὴς ὁ ἄρτια λέγων. 1269, 34.

ἀρτίπος ὅτι ἐκ τοῦ ἀρτίπους γέγονεν ἀποβολῇ τοῦ υ πρὸς μέτρου χρείαν, καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως. 768, 18. 47. 1599, 11.

ἀρτίφρων ὅτι διὰ τοῦ φρεσὶν ἄρτια εἰδέναι περιφράζεται παρ' Ὁμήρῳ. 1863, 19.

ἄρτος ὅτι παρὰ τὸ αἴρειν, ὅ ἐστι προσφέρειν, λέγεται, ὅθεν καὶ προσάρματα αἱ τροφαὶ, ἢ διὰ τὸ τοῦ σχήματος ἄρτιον, ὅ ἐστι τέλειον· ζήτει ἐν τῷ, ἄρτων σχῆμα. 265, 31. 641, 18. 1816, 31.

Ἄρτος βασιλεύς τις Ἰαπυγίας, καὶ Ἄρτος ἕτερός τις μέγας ἐπικληθεὶς, ἀφ' οὗ ἑορτὴ τὰ Μεγαλάρτια. 265, 31.

ἀρτύειν τὸ κατασκευάζειν καὶ ἀπαρτίζειν καὶ τὸ ἀραρότως ἐπιτιθέναι. 1148, 38. 1462, 1.

ἀρτύνειν ὅτι ἀπὸ τοῦ ἀρτύειν γέγονε πλεονασμῷ τοῦ ν, καὶ ὅτι ἀμφοῖν προϋπάρχει τὸ ἀρῶ, ὅ ἐστιν ἁρμόζω, καὶ ἀρτύνειν μάχην τὸ ἀραρότως μάχεσθαι. 172, 20. 839, 45. 892, 10. 1017, 22. 1517, 52.

ἀρτύνεσθαι ἐν ἴσῳ τῷ ἀρτύνειν, ὅ ἐστιν ἀπηρτισμένως τι ποιεῖν, οἷον ἐν τῷ, τοὺς ὅγε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν, Ἰλιάδ. β', 55. 172, 20.

ἄρτων σχῆμα, ὅτι κυκλοτερεῖς γίνονται οἱ ἄρτοι εἰς ὁμοίωσιν τῆς τοῦ παντὸς σφαιροειδείας, ἢ καὶ ἄρτοι λέγονται οἱονεὶ ἄρτιοι διὰ

τὸ τοῦ σχήματος ἄρτιον, ὅ ἐστι τέλειον. 1816, 31.
ἀρῦ, ἐπίφθεγμα κωπηλατῶν. 855, 23.
ἀρύβαλλος, ὅτι ἐκ τοῦ ἀρύειν καὶ τοῦ βάλλειν σύγκειται ἡ λέξις. 1159, 59. 1405, 12.
ἀρυσάνη, ἀρυστὴρ, ἀρύστιχος, ἀρύταινα, ὅτι παρὰ τὸ ἀρύω λέγονται. 1159, 59.
ἀρύστιχος, κοτύλη οἰνοχόη, παρὰ τὸ ἀρίω ἀρύτω προσθέσει τοῦ σ. 32, 40. 1216, 63.
ἀρύταινα, εἶδος λεκανίδος, ὅτι παρὰ τὸ ἀρύτω λέγεται. 1216, 63. 1599, 50.
ἀρύτειν Ἀττικῶς ἐν ἴσῳ τῷ ἀρύειν, καὶ ἀρίτεσθαι ἐν ἴσῳ τῷ ἀρύεσθαι. 1216, 63.
ἀρύω ὅτι ἐκ τοῦ ἐρύω δοκεῖ γεγονέναι τροπῇ τοῦ ε εἰς α. 1159, 58.
ἀρχαῖον λέγεται τὸ κεφάλαιον τοῦ χρέους. 458, 44.
ἀρχαιρεσιάζειν ὅτι ἐκ τοῦ ἀρχὴ καὶ τοῦ αἱρεῖσθαι σύγκειται. 522, 13.
ἄρχαμος, ὅτι παρὰ τὸ ἄρχω γίνεται ἀρχὸς, ὅθεν ἄρχαμος ὁ καὶ ὄρχαμος. 1094, 55.
ἄρχειν ἀντὶ τοῦ ἁπλῶς προηγεῖσθαι ὁδοῦ ἢ ἔργου πολλαχοῦ παρ' Ὁμήρῳ. 1452, 25.
ἄρχειν ἀντὶ τοῦ ἄρχεσθαι, οἷον ἐν τῷ, ἄρχετε νῦν νέκυας φορέειν, Ὀδυσσ. χ', 437. ὅτι καὶ ὑπάρχειν καὶ κατάρχειν λέγεται, καὶ ὅτι συνήθως μὲν γενικῇ συντάσσεται, ἐνίοτε δὲ μετοχῇ, οἷον ἐν τῷ, ἐγὼ δ' ἦρχον χαλεπαίνων, Ἰλιάδ. β', 378. καὶ ὅτι τὸ ἄρχεσθαι κατὰ παθητικὴν φωνὴν λέγεται ὡς ἐπὶ τὸ πλεῖστον. 241, 17. 445, 36. 1933, 4.
ἄρχειν ἀντὶ τοῦ βασιλεύειν, συνήθως μὲν γενικῇ, ἐνίοτε δὲ δοτικῇ, οἷον ἐν τῷ, ἄρχε δὲ Μυρμιδόνεσσιν, Ἰλιάδ. π', 65. καὶ ὅτι τὸ ἄρχειν ὑποδεέστερόν τι τοῦ βασιλεύειν σημαίνει. 77, 12. 235, 11.
ἀρχέκακοι νῆες, ὅτι οὐ κατὰ κοινὸν ἐπίθετον, ἀλλ' ἰδίᾳ τινὲς οὕτω λέγονται Ἰλιάδ. ε', 63. 522, 6.
Ἀρχέστρατος ὁ μάντις ὅτι οὕτως ἰσχνὸς ἦν, ὥστε ὀβολοῦ μόνον ὁλκὴν ἔχειν, ἱστορία. 1288, 44.
ἀρχεύειν ἐν ἴσῳ τῷ ἄρχειν δοτικῇ, οἷον ἐν τῷ, ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας, Ἰλιάδ. ε', 200. 540, 4.
ἀρχὴ Σκυρία, παροιμία ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελούντων, ἱστορία. 782, 52.
ἀρχηγὸς ὅτι ἐκ ταὐτοδυνάμων σύγκειται λέξεων. 437, 14.
Ἀρχίας ἢ Χαιρίας, παῖς τις ὑπὸ Ἡρακλέους κονδύλῳ ἀναιρεθεὶς, ἱστορία. 1900, 24.
ἀρχικὰ εἴπουν ἡγεμονικὰ ῥήματα, οἷον ἄρχω, ἡγοῦμαι, ἀνάσσω, ὅτι συνήθως μὲν γενικῇ συντάσσονται, ἐνίοτε δὲ καὶ δοτικῇ παρ' Ὁμήρῳ, οἷον· ἄρχε δὲ Μυρμιδόνεσσιν, Ἰλιάδ. π', 65. καὶ, ἡγεύμην Τρώεσσι, ε', 211. 77, 12. 540, 3.
Ἀρχίλοχος ὅτι δεινὸς ἦν σκώπτειν καὶ βλασφημεῖν, ὅθεν καὶ αἴτιός τισι τοῦ ἀπάγξασθαι γέγονεν, ἱστορία· καὶ ὅτι ἐξ αὐτοῦ καὶ τὸ, Ἀρχίλοχον πεπάτηκας, παροιμιακῶς λέγεται ἐπὶ τῶν δυνατόν τινα ἀμύνεσθαι βλαψάντων. 1684, 45.
ἀρχογλυπτάδης ὁ οἱονεὶ γλύφων τὰς ἀρχὰς, ὁ καὶ ἀρχολίπαρος, ζήτει τὸ ἀρχολίπαρος. 211, 2.
ἀρχολίπαρος ὁ λιπαρῶν ὅπως ἄρξῃ, ἢ ὁ ἀπὸ τῶν ἀρχῶν λιπαινόμενος. 1430, 27.
ἄρχοντες ἀρχαῖοι ὅτι ἐκ διαφόρων θεῶν γεννηθῆναι ἐμυθεύθησαν διὰ διάφορα ἐπιτηδεύματα. 18, 23.
ἀρχὸς, ὅτι καὶ κρύφιόν τι μέρος τοῦ σώματος οὕτω λέγεται ὁμωνύμως. 211, 3.
ἄρχω ῥῆμα ἐν συνθέσει προτασσόμενον, τρέπον τὸ ληκτικὸν ω εἰς ε, οἷον ἐν τῷ ἀρχέστρατος καὶ ἀρχέκακος. 42, 41.
ἀρῶ ἀρέσω τὸ εἰς φιλίαν συναρμόττω, καὶ ἀρῶ τὸ ἁπλῶς ἁρμόζω. 660, 31. 1055, 33.
ας λήγοντα κύρια ἰσοσυλλάβως κλινόμενα ὅτι διὰ τοῦ αδης σχηματίζουσι τὰ πατρωνυμικὰ, οἷον Ἀλεύας Ἀλευάδης. 13, 44. 1644, 46.
ας λήγοντα δισύλλαβα ἀπὸ μετοχῆς γενόμενα ὅτι διὰ τοῦ ντ κλίνεται, οἷον τλὰς Ἄτλας, φὰς Περίφας. 1390, 32.
ας λήγοντα ὀνόματα μακροκατάληκτα ὑπερδισύλλαβα τῷ α παραλήγοντα ὅτι βαρύνεται, οἷον Ἀκράγας, πλὴν τοῦ ἀτταγᾶς. 854, 25.
ας λήγοντα ἀρσενικὰ περιττοσύλλαβα διὰ μόνου τοῦ ν κλινόμενα, οἷον τάλας τάλανος. 622, 6.
ας λήγοντα ὀνόματα, δὶς τὸ αὐτὸ σύμφωνον ἔχοντα, ὅτι διὰ τοῦ ντ κλίνεται, οἷον Γίγας Γίγαντος, Μίμας Μίμαντος. 1390, 33.
ας λήγοντα ἀρσενικὰ ὀξύτονα βραχυκατάληκτα διὰ τοῦ δ κλινόμενα, οἷον Ἀρκὰς, φυγὰς, καὶ ὅτι τὸ ἱμὰς καὶ ἀνδριὰς ὡς μακροκατάληκτα διὰ τοῦ ντ κλίνονται. 300, 15.
ας λήγοντα ὀξύτονα θηλυκὰ ὅτι διὰ τοῦ δ κλίνονται, οἷον στιβὰς, ἰσχὰς, πελειὰς, καὶ ὅτι ἓν μόνον τούτων τὸ δᾴς εἰς δίφθογγον καταλήγει. 1571, 30.
ας λήγοντα οὐδέτερα τῆς πέμπτης τῶν συνῃρημένων ὅτι καὶ διὰ τοῦ ος λέγονται παρὰ ποιηταῖς καὶ κατὰ τὴν πρώτην κλίνονται, οἷον τὸ γῆρας καὶ τὸ γῆρος, τὸ κῶας καὶ τὸ κῶος. 1173, 54. 1456, 22.
ας ληκτικὸν αἰτιατικῶν πληθυντικῶν ἀπὸ εὐθειῶν εἰς αι ὅτι συστέλλεται Δωρικῶς, τὸ δὲ τῶν ἀπὸ τῶν εἰς ες ἐκτείνεται ἀνάπαλιν ἢ ὡς κατὰ τὴν κοινὴν διάλεκτον γίνεται. 558, 22. 990, 55.
ας περισπώμενον λήγουσαι αἰτιατικαὶ πληθυντικῶν, ἀπὸ εὐθειῶν εἰς ευς καθαρὸν ληγουσῶν ἐκ συναιρέσεως γενόμεναι, οἷον τοὺς Πλαταιέας καὶ Πλαταιᾶς. 269, 5.
ας λήγοντα ἐπιῤῥήματα ὀξύτονα ὅτι βραχὺ ἔχουσι τὸ ας, οἷον ἑκὰς, ἀγχὰς, ἀνδρακὰς, εὐτυπάς. 558, 17. 990, 53. 1731, 35.
ασαι λήγοντα δεύτερα πρόσωπα ῥηματικὰ ὅτι διὰ τοῦ εαι προφέρονται Ἰωνικῶς, οἷον δύνεαι καὶ ἐπίστεαι ἀντὶ τοῦ δύνασαι καὶ ἐπίστασαι. 969, 24.
ἆσαι τὸ βλάψαι, ὅτι ἐκ τοῦ ἀάσαι συνῄρηται. 710, 40. 772, 44.
ἆσαι τὸ κορέσαι καὶ, ἆσαι χροὺς, παρ' Ὁμήρῳ ἀντὶ τοῦ κορεσθῆναι

ἀσκὸς ἔοικε λέγεσθαι, ὡς καὶ ὁ ἀσκίτης ὕδερος. 1646, 20.

Ἀσκληπιὸς κύριον διαφόρως ἐτυμολογούμενον διεξοδικῶς, καὶ ὅτι ἐκτείνει τὴν πῖ συλλαβὴν διὰ μέτρου ἀνάγκην, καὶ ὅτι ὤφειλε προπαροξύνεσθαι ὡς ἐκ τοῦ ἤπιος συγκείμενον, καὶ ἱστορία τις ἐτυμολογικὴ τοῦ ὀνόματος. 330, 22. 463, 35. 860, 10. 1447, 48.

Ἄσκλητος Ἐπιδαύριος ὀφθαλμιῶν ὑπὸ Ἀσκληπιοῦ ἰαθεὶς, ἱστορία. 463, 35.

ἄσκοπος, ἀπρονόητος τοῦ συμφέροντος. 1343, 33.

ἀσκὸς Αἰόλου, ὅτι εἰς τὸ ἀνθρώπινον ἀλληγορεῖται σῶμα, ἐπεὶ καὶ ἡ ἀσκὸς λέξις τροπικῶς ἐπὶ ἀνθρωπείου τίθεται σώματος, ποτὲ μὲν ζῶντος, ποτὲ δὲ νεκροῦ. 1303, 39. 1645, 60.

ἀσκὸς ὅτι ἐκ διαφόρων ζωικῶν δερμάτων ἐγίνοντο ἀσκοὶ, καὶ ὅτι καὶ ἡ ἀνθρωπεία δορὰ ἀσκὸς λέγεται, καὶ ὅτι εἰς ἀσκὸν δέρεσθαί τις λέγεται. 1646, 7.

ἀσκὸς ὅτι οὕτως ἐπεκαλεῖτο πᾶς τις ἐξ οἰνοφλυγίας παχυνθείς. 1646, 14.

ἀσκὸς, παροιμία· εὖ μὲν ἀσκὸς, εὖ δὲ θύλακος, ἐπὶ τῶν τῷ βίῳ ἐπαμφοτεριζόντων. 1646, 19.

Ἄσκρης πόλεως θέσις καὶ ψόγος. 266, 15. 270, 37.

ασκω λήγοντα ῥήματα ἀπὸ μελλόντων γενόμενα, οἷον βῶ βάσω βάσκω. 922, 60.

ασκω λήγοντα ῥήματα ὅτι οὐ πέρα τοῦ παρατατικοῦ κλίνονται. 1473, 35.

ασκω λήγοντα ῥήματα, ἔχοντα τὸ ᾱ μετὰ τοῦ σ̄ συλλαβιζόμενον, ὅτι ἐκ πρώτων ἀορίστων ἑτέρων ῥημάτων γίνονται, οἷον ἐρύτησα ἐρυτησάσκω, ὁμόκλησα ὁμοκλησάσκω. 200, 5. 218, 29.

ἀσκωλιάζειν τὸ ἐπὶ ἀσκοῦ πεφυσημένου ἑνὶ ποδὶ ἅλλεσθαι, ὅπερ ἔν τισιν ἑορταῖς ἐγίνετο πάλαι πρὸς παιδιὰν, καὶ ἀσκωλιάζειν ἁπλῶς τὸ ἑνὶ ποδὶ ἅλλεσθαι, καὶ περὶ τῆς ἀφορμῆς τῆς τοιαύτης παιδιᾶς ἱστορία. 1646, 21. 1769, 47.

ἀσκῷ φλαυρίζειν, παροιμία, ἤγουν κενῷ σώματι φλυαρεῖν. 1552, 23.

ἀσμεναίτατα ἀντὶ τοῦ ἀσμενώτατα. 1441, 29.

ἀσπάζεσθαι τὸ ἐπισπᾶσθαι καὶ ἕλκειν εἰς ἑαυτὸν, τουτέστι περιπλέκεσθαι καὶ φιλοφρονεῖσθαι, ἀπὸ τοῦ σπᾶσθαι πλεονασμῷ τοῦ ᾱ· καὶ χερσὶν ἀσπάζεσθαι τὸ δεξιοῦσθαι, πρὸς διαστολὴν τοῦ λόγοις ἀσπάζεσθαι· καὶ ὅτι καὶ φιλήματι ἀσπάζεσθαι λέγεται. 823, 3. 1249, 34. 1456, 11. 1871, 34.

ἀσπάθητος χλαῖνα ἡ ἀνύφαντος. 787, 7.

ἀσπαίρειν τὸ σπᾶσθαι καὶ ἐπωδύνως κινεῖσθαι, ὅτι ἐκ τοῦ σπῶ γίνεται σπαίρω καὶ πλεονασμῷ ἀσπαίρω. 1608, 53. 1721, 5.

ἀσπαίρειν λέγεται βοῦς ἀκουσίως ἑλκόμενος, καὶ οἱ θνήσκοντες ἀσπαίρειν λέγονται, καὶ ὅτι ἐκ τοῦ σπαίρειν γέγονε πλεονασμῷ τοῦ ᾱ. 416, 34. 947, 11. 1164, 30.

ἀσπάλαξ, ὅτι πάσης τῆς Βοιωτίας ἐχούσης τὸ ζῷον μόνη Κορώνεια πόλις οὔτε φέρειν οὔτε τρέφειν αὐτὸ δύναται. 268, 16.

ἀσπάραγος, φυταρίου τινὸς καυλὸς, ὁ καὶ ἀσφάραγος διὰ τοῦ φ̄. 1272, 13.

ἄσπαρτα, εὐθεῖα πληθυντικὴ, ὅτι ἐκτείνει τὴν λήγουσαν πρὸς μέτρου χρείαν ἐν τῷ, ἀλλὰ τάγ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, Ὀδυσσ. ι', 109. 1618, 52.

ἀσπάσιος γῆ Ἀττικῶς, ἀσπασία δὲ κοινόν. 1946, 45.

ἀσπασίως, ἀσμένως, ἀγαπητῶς. 1142, 34. 1651, 20.

Ἄσπενδος, πόλις τῆς Παμφυλίας, Λεοντέως καὶ Πολυποίτου κτίσμα. 334, 28.

ἄσπερμος ὁ μὴ γεννῶν, καὶ ἄσπερμος γενεὰ λέγεται ἡ τοῦ μὴ ἔχοντος διαδόχους. 380, 27. 1209, 17.

ἀσπερχὲς τὸ ἐντρεχὲς καὶ πολυσπούδαστον, παρὰ τὸ ᾱ ἐπιτατικὸν καὶ τὸ σπέρχω. 442, 8. 1385, 23.

ἄσπετον οὖδας κυρίως ἡ ὅλη γῆ λέγεται, καταχρηστικῶς δὲ καὶ πολλοστημόριόν τι τῆς γῆς, οἷον ἐν τῷ, ὀδὰξ ἕλον ἄσπετον οὖδας, παρ' Ὁμήρῳ πολλαχοῦ. 1171, 32. 1373, 54. 1744, 61. 1926, 15.

ἄσπετος ὕλη ἡ πολλὴ καὶ ἄῤῥητος. 253, 42.

ἀσπιδαποβλὴς, ὁ καὶ ῥίψασπις. 1359, 7.

ἀσπιδὲς πεδίον τὸ δίκην ἀσπίδος περιφερές. 882, 53.

ἀσπιδοποιίας Ὁμηρικῆς ἀλληγορία διεξοδικὴ τῶν κατὰ μέρος. 1154, 41.

ἀσπίδος Ἀγαμεμνονέης τῆς παρ' Ὁμήρῳ ἔκφρασις, καὶ ὅτι μίμημά ἐστι τῆς τοῦ κόσμου καταστάσεως. 828, 42.

ἀσπιδοφέρμονες ἄνδρες οἱ ἀσπισταί. 465, 10.

ἀσπὶς παρὰ τὸ ᾱ στερητικὸν καὶ τὸ σπίζω, ὅ ἐστιν ἐκτείνω, ἡ μὴ ἐκτεταμένη, ἀλλ' εἰς κύκλον συνηγμένη. 882, 55. 996, 23.

Ἀσπληδὼν, πόλις ἡ καὶ Εὐδείελος κληθεῖσα. 272, 16.

ἀσπουδεὶ ἐπίῤῥημα, ἤγουν ἀπόνως καὶ ῥαδίως, ζήτει ἐν τῷ σπουδῇ. 181, 9. 726, 44. 1025, 50. 1098, 18. 1270, 27. 1468, 35. 1915, 24.

ἄσσα ψιλούμενον ἀντὶ τοῦ τίνα, δασυνόμενον δὲ ἀντὶ τοῦ ἅτινα, καὶ ὅτι ἐκ τοῦ ᾱ καὶ τοῦ σᾱ, ὅ ἐστι τινὰ, σύγκειται, ἑρμηνεία διεξοδική. 148, 37. 813, 36. 42.

ἄσσιον Δωρικῶς ἀντὶ τοῦ ἆσσον. 1643, 32.

ἆσσον, ἐκ τοῦ ἐγγὺς ἔγγιον ἔσσον καὶ ἆσσον. 112, 36. 630, 16. 21.

Ἄσσος, πόλις Ἀσιανὴ δυσπρόσοδος καὶ κατάκρημνος, ἐφ' ἣ παρῳδηται τὸ Ὁμηρικὸν ἐκεῖνο, ἄσσον ἴθ' ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι, Ἰλιάδ. ζ', 143. υ', 429. 630, 2.

ἀσσύτερον Αἰολικῶς ἀντὶ τοῦ ἀσσότερον. 631, 44.

ἀστάθμητος ὁ ὧδε κἀκεῖ ῥέπων καὶ μὴ μένων ἐν ἰσότητι σταθμοῦ, τουτέστι μὴ σταθερός. 987, 28. 1266, 42.

ἀσταὶ, ὅτι οὕτως ἐλέγοντο πάλαι αἱ Ἀθηναίων γυναῖκες, Ἀθηναῖαι δὲ οὔ. 84, 11.

ἀστάνδαι παρὰ Πέρσαις οἱ καὶ ἄγγαροι, ἤγουν ἐκ διαδοχῆς γραμματοφόροι. 1854, 28.

ἀσταφὶς ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ᾱ. 799, 37.

ἄσταχυς ἐκ τοῦ στάχυς πλεονασμῷ τοῦ ᾱ. 194, 3. 799, 38.

ἀστεῖος ὁ ἐξ ἄστεος καὶ μὴ ἀγρότης. 1383, 4.
ἀστέμβακτον τὸ ἀμετακίνητον, παρὰ τὸ στέμβειν, ὅ ἐστιν ὑβρίζειν καὶ συχνῶς μετακινεῖν. 235, 9.
ἀστεμφὲς τὸ ἀστρεφὲς καὶ ἀμετακίνητον, παρὰ τὸ στέμβειν, ὃ δηλοῖ τὸ συχνῶς μετακινεῖν. 235, 8. 407, 23.
ἀστέρες διάττοντες καὶ κομῆται ὅτι ἐκ στροφῆς ἀέρος συμβαίνουσι καὶ ὅτι ἀέρος μεταβολὴν καὶ ἀνέμους ὡς ἐπὶ τὸ πλεῖστον σημαίνουσι. 446, 30.
Ἀστερία, ἡ καὶ Ἀστερὶς, νῆσός τις οὕτω κληθεῖσα. 1519, 59.
Ἀστέριον πόλις τῆς Θετταλίας, Ἀστερία δὲ τῆς Συρίας, Ἀστερὶς δὲ νῆσός τις. 332, 17.
Ἀστερὶς, νῆσός τις, ἡ καὶ Ἀστερία. 1519, 55. 59.
ἀστερίσκος, σημεῖον ὅτι παρετίθετο τοῖς ἄριστα πεφρασμένοις Ὁμηρικοῖς ἔπεσιν, ὀβελὸς δὲ τοῖς ἀθετουμένοις, ὀβελὸς δὲ ὁμοῦ καὶ ἀστερίσκος τοῖς ἄριστα μὲν πεφρασμένοις, μὴ κατὰ χώραν δὲ κειμένοις. 1015, 23. 1610, 46.
ἀστερίσκος, ὅτι τὸ χ̄ τετραχῆ στιζόμενον οὕτως ⁘ ἀστερίσκου σημεῖον γίνεται, καὶ ὅτι τοῖς ἄριστα κειμένοις ἔπεσι προτίθεται. 599, 34. 1627, 59.
ἀστερόεις οὐρανὸς περιεκτικῶς ὁ ἀστέρας ἔχων, ἀστερόεις δὲ οἶκος ἢ θώραξ ὁ λαμπρὸς καὶ ἄστρῳ ἐοικώς. 1050, 15. 1147, 51. 1727, 35.
Ἀστερουσία, ὄρος Κρήτης καὶ πόλις περὶ τὸν Καύκασον. 332, 20.
ἀστὴρ ὅτι παρὰ τὸ αἴθειν λέγεται, καὶ ὅτι ἄστρου διαφέρει, ζήτει ἐν τῷ ἄστρον. 446, 43. 514, 1. 692, 13. 1776, 47.
Ἄστηρ πόλις βαρυτόνως πρὸς διαστολὴν τοῦ ἀστὴρ προσηγορικοῦ. 1967, 22.
ἀστιβὴς ὁδὸς ἡ ἄτριπτος. 1218, 35.
αστον λήγοντα ἐπίθετα ἀπὸ ληγόντων διὰ τοῦ αζω ῥημάτων γενόμενα, οἷον ἀγῶ ἀγάζω ἀγαστόν. 1599, 4.
ἀστόξενοι οἱ ἐκ προγόνων ἀστῶν, αὐτοὶ δὲ ξένοι, ἀλλαχοῦ δὲ ὅτι ἀστόξενοι οἱ ἐκ προγόνων τισὶν ἐπιχώριοι. 405, 38. 485, 20.
ἀστὸς ἀστὴ, ὅτι ἀστοὺς ἔλεγον οἱ Ἀττικοὶ τοὺς ἐκ τοῦ ἄστεος τῶν Ἀθηνῶν, καὶ ἀστὰς τὰς ἐκ τοῦ ἄστεος γυναῖκας, καὶ ἀστὴν ἐλαίαν τὴν ἐν τῇ ἀκροπόλει, τὴν καὶ ἱεράν. 1383, 5.
ἄστρα ἀρκτῷα ὅτι ἀειφανῆ εἰσί. 1155, 33.
ἀστράβαι οἱ κατὰ μόνας σωματηγοῦντες ἡμίονοι, καὶ ἀστραβηλάται οἱ αὐτοὺς ἐλαύνοντες, ὑποζυγίαι δὲ οἱ ὑφ᾽ ἁμάξαις ζευγνύμενοι. 1625, 40.
ἀστράβη, σέλλα ἢ σαγμάριον, ὅτι παρὰ τὸ στρέφω λέγεται. 1410, 20.
ἀστραγαλίζειν ἐν ἴσῳ τῷ πεττεύειν καὶ κυβεύειν. 1397, 1. 1426, 28.
ἀστράγαλοι, περὶ τῆς δι᾽ ἀστραγάλων παιδιᾶς καὶ τῶν ὀνομασιῶν τῶν βόλων εἴτουν πτώσεων τῶν ἀστραγάλων ἑρμηνεία διεξοδική. 1289, 55 — 1290, 4. 1397, 34.
ἀστράγαλος, ὅτι ἀστραγάλους τοὺς κατὰ τὸν τράχηλον σπονδύλους καλεῖ Ὅμηρος, καὶ ὅτι ἐν τοῖς ποσὶν οὔτε ἄνθρωπος ἀστράγαλον ἔχει οὔτε ἄλλο τι καὶ μωνύχων καὶ ἀκεράτων, καὶ ἐτυμολογία τῆς φωνῆς. 998, 15. 20. 1669, 22.
ἀστράγαλος, ὅτι καὶ ἀστραγάλη θηλυκῶς λέγεται ἐπὶ τοῦ αὐτοῦ, καὶ ὅτι παρὰ τὸ ἀστραβὲς οὕτω λέγεται, οἱονεὶ ἀστράβαλος. 1289, 48.
ἀστράγαλος ὅτι τρία σημαίνει, τὸν ἐν τῷ ποδὶ καὶ τὸν σπόνδυλον ἁπλῶς καὶ τὸν πεττευτικὸν βόλον. 1397, 3.
ἀστραγαλωταὶ μάστιγες ὅτι παρὰ τοὺς ἀστραγάλους λέγονται. 998, 21. 1289, 52.
ἀστραπαὶ σημειώδεις περὶ τόπον τινὰ τῆς Βοιωτίας Ἅρμα λεγόμενον, ὅθεν καὶ παροιμία, ὅταν ἀστράψῃ δι᾽ Ἅρματος. 266, 42.
ἀστραπαῖος Ζεὺς ἐπωνυμικῶς λέγεται παρὰ τὸ ἀστράπτειν. 786, 4.
ἀστραπὴ ὅπλων ἡ λαμπηδών. 471, 41.
ἀστράπτειν ὅτι παρὰ τὸ ἀστέρας ἰάπτειν λέγεται. 786, 14.
ἄστρασι δοτικὴ πληθυντικὴ ὅτι ἐκ τοῦ ἄστροις μεταπέπλασται. 677, 21.
ἀστρίαι ἢ ἄστριες οἱ ἀστράγαλοι, οἷς παίζουσι. 1289, 54.
ἀστρίζειν τὸ ἀστραγάλοις παίζειν. 1289, 53.
ἄστριχοι οἱ ἀστράγαλοι, οἷς παίζουσι. 1289, 50.
ἀστροβλῆτες ἄμπελοι, ὅτι ἐκ τοῦ ἄστρον καὶ τοῦ βεβλῆσθαι σύγκειται ἡ λέξις. 700, 16.
ἄστροις σημειοῦσθαι ὁδὸν, παροιμιακὸν, ἤγουν μακρὰν καὶ ἐρήμην ὁδὸν βαδίζειν ὡς οἱ πλέοντες. 1535, 59.
ἄστρον ὅτι περιεκτικόν τι ἀστέρων ζῴδιον σημαίνει, ἀστὴρ δὲ ἓν μόνον σῶμα. 446, 43. 514, 1. 13. 1698, 33.
ἄστυ κοινῶς πᾶσα πόλις, ἰδίως δὲ αἱ Ἀθῆναι παρὰ τοῖς Ἀττικοῖς, καὶ ὅτι ἄστυ μὲν ἡ ἀκρόπολις, πόλις δὲ τὸ ὑπ᾽ αὐτὴν πόλισμα. 349, 35. 1100, 1. 1383, 3. 1650, 41.
Ἀστυάναξ κύριον παρὰ τὸ ἄστεος ἀνάσσειν, καὶ ἀστυάναξ ὁμωνύμως ὁ ψυχρὸς τὰ εἰς λαγνείαν παρὰ τὸ μὴ στύειν. 650, 32. 656, 63. 1283, 24.
Ἀστυδάμας Μιλήσιος ὅτι ὑπερφυὴς ἦν τὸ μέγεθος, καὶ ὅτι ἀδηφάγος καὶ ὅτι ῥωμαλεώτατος καὶ περί τινων ἔργων, ἱστορία διεξοδική. 1289, 9.
Ἀστυόχη, Πριάμου ἀδελφὴ, Τηλέφου δὲ γυνὴ, ἐξ ἧς Εὐρύπυλος ὁ τοῖς Τρωσὶ συμμαχήσας. 1697, 37.
Ἀστυπάλαια, νῆσος ὑπὸ πλήθους λαγωῶν ἐνοχληθεῖσα ποτὲ, ἱστορία. 35, 28.
ἀστυπολεῖν τὸ κατὰ τὸ ἄστυ ἀναστρέφεσθαι. 1469, 50.
Ἄστυρα, πόλις χρύσεια ποτὲ μέταλλα ἐσχηκυῖα. 366, 23.
ἄστυτις, θρίδαξ ἡ πλατύφυλλος καὶ τετανὴ καὶ ἄκαυλος. 1283, 28.
ἄστυτος ἄνθρωπος ὁ ἀργὸς ἐν ταῖς συνουσίαις, καὶ ἄστυτος οἶκος, ἐν ᾧ οὐκ ἔστιν ἀνὴρ, τουτέστιν ὁ ἄκαρπος καὶ ἄγονος, παρὰ τὸ στύειν στερητικῶς. 849, 54. 862, 43. 1283, 24.
ἀσύμβλητος ὁ ἀσύγκριτος καὶ

ἀπαράβλητος ἢ ᾧ οὐκ ἔστιν ἀπαντῆσαι. 1405, 57.

ἀσύμβολον δεῖπνον, καθ' ὃ ἐσθίει τις δωρεὰν καὶ δίχα συμβολῆς, ὅ ἐστιν ἐράνου, καὶ ἀσύμβολος ἄνθρωπος ὁ δυσοιώνιστος καὶ ἀπαίσιος, ἢ ἀσυντελὴς καὶ μηδὲν συμβαλλόμενος εἰς τὴν κοινὴν ὠφέλειαν. 606, 43. 965, 17. 1085, 49. 1405, 51. 53.

ἀσύμβολος ἄνθρωπος ὁ εἰς μηδὲν χρήσιμος, ζήτει ἐν τῷ, ἀσύμβολον δεῖπνον. 965, 17.

ἀσυμβόλως δειπνεῖν, ἤγουν δωρεὰν καὶ δίχα συμβολῆς ἤγουν δαπάνης οἴκοθεν· ζήτει ἐν τῷ, ἀσύμβολον δεῖπνον. 1404, 9.

ἀσύνδετον ὅτι σχῆμα ἐστὶ γοργότητος καὶ θυμῷ καὶ ἀγωνίᾳ πρέπον, καὶ ὅτι ὁ ἀσύνδετος λόγος συντομώτερός ἐστι τοῦ μετὰ συνδέσμου, καὶ ὅτι οἱ ἀσύνδετοι λόγοι ἀρχοντικοῦ ἤθους εἰσίν. 165, 45. 381, 35. 893, 60. 1591, 20.

ἀσύφηλον ἔπος τὸ ἀπαίδευτον καὶ βλαπτικὸν, παρὰ τὸ ἆσαι καὶ φηλῆσαι ἀσόφηλον, καὶ τροπῇ Αἰολικῇ ἀσύφηλον. 781, 8. 1374, 52.

ἀσύφηλος ἄνθρωπος ὁ ἄσοφος καὶ ἀπαίδευτος ἢ βλαβεὶς καὶ ἀπατηθεὶς, παρὰ τὸ ἆσαι καὶ φηλῆσαι, ζήτει ἐν τῷ ἀσύφηλον. 781, 8.

ἀσφάλιος Ποσειδῶν ὁ ἀσφαλῶς συνέχων τὴν γῆν ὡς γαιήοχος. 554, 19. 999, 14.

Ἀσφαλίων ὅτι προσφυὲς ἐστι θεράποντι τοὔνομα, ὃν οὐ χρὴ σφάλλεσθαι τοῦ καθήκοντος. 1492, 54.

ἀσφαλῶς λέγεται θέειν ἅρμα, ὃ μὴ σφάλλεται κλονούμενον ἢ ἐμποδιζόμενον. 1734, 17.

ἀσφαλῶς ἀγορεύειν τὸ ἀπροσκόπως, ἐκ μεταφορᾶς τῶν τοῖς ποσὶ σφαλλομένων. 159, 64.

ἀσφάραγος καὶ ἀσπάραγος, εἶδος φυτοῦ, καὶ περὶ μεγέθους ἀσπαράγων ἱστορία φυσική. 899, 18.

ἀσφάραγος διὰ τοῦ φ τὸ ἐκ τῶν ἀκανθῶν ἀναφυόμενον, τὸ δὲ ἐκ τῆς κράμβης, ὅρμενον. 1220, 59.

ἀσφάραγος, λαιμὸς, βρόχθος, ἐν τῷ, οὐδ' ἄρ ἀπ' ἀσφάραγον μελίη τάμεν, Ἰλιάδ. χ', 328. ὅπου τινὲς σφάραγον γράφουσι χωρὶς τοῦ α, καὶ ὅτι ἀσφάραγος καυλός ἐστι γνώριμος, ὃς καὶ διὰ τοῦ π ἀσπάραγος λέγεται. 1272, 8. 12.

ἀσφόδελος, εἶδος φυτοῦ, ἀσφοδελὸς δὲ ὁ τόπος ἐν ᾧ φύεται. 906, 58.

ἀσφοδελὸς λειμὼν, ὁ περιεκτικὸς ἀσφοδέλων, ὅτι οἰκείως ἐν Ἅιδου εἶναι μυθεύεται διὰ τὸ τῶν ἀσφοδέλων ἄκαρπον. 446, 45. 653, 49. 1667, 6.

ἀσφοδελὸς λειμὼν παρ' Ὁμήρῳ, ὅτι καὶ χωρὶς τοῦ α γράφεται ὑπό τινων, καὶ ὅτι ὀξύνεται τὸ ἀσφοδελὸς ἐπίθετον πρὸς διαστολὴν τοῦ ἀσφόδελος προσηγορικοῦ. 1698, 21.

ἀσφόδελος φυτὸν ὅτι τοῖς νεκροῖς ᾠκείωται διὰ τὸ πρὸς τὴν σποδὸν ὁμοιόφωνον τῆς λέξεως, διὸ καὶ ἐφυτεύετο ἐπὶ τῶν τάφων, καὶ ὅτι πολύρριζον τὸ φυτὸν, καὶ ὅτι προπαροξύνεται ἡ λέξις πρὸς διαστολὴν τοῦ ἀσφοδελὸς ὀξυτόνου, ὃ δηλοῖ τόπον ἀσφοδέλων περιεκτικὸν, Τρύφων δὲ προκρίνει ὁμοτονεῖν ἄμφω. 1698, 21.

ἀσχάλλω ὅτι παρὰ τὸ ἄχω γέγονε πλεονασμῷ τοῦ σ. 224, 2. 867, 19.

ἀσχέδωρος ὁ σύαγρος κατὰ γλῶσσαν, οὐ μὴν ὁ ἄσχετα δωρούμενος, ὡς ὑπέλαβόν τινες· καὶ ὅτι ἀσχέδωρος οὐχ' ὁ ἁπλῶς οἷον ὁ σίαλος ἢ ὁ ἀγελαῖος, ἀλλ' ὁ μονιὸς ἢ ὁ χλούνης. 774, 23. 1872, 3. 13.

ασω λήγοντες μέλλοντες τῆς δευτέρας τῶν περισπωμένων ὅτι ἀναλογώτεροί εἰσι τῶν διὰ τοῦ ησω· ζήτει ἐν τῷ, μελλόντων περισπωμένων ῥημάτων παραλήγουσα. 1723, 7—15.

Ἀσωπὸς, ποταμὸς Βοιώτιος παρὰ τὴν ὑπώρειαν τοῦ Κιθαιρῶνος ῥέων, καὶ ὅτι τέσσαρες Ἀσωποί. 265, 37. 291, 24.

ἄσωτος ὅτι ἐκ τοῦ σέσωσμαι ἐνδείᾳ τοῦ σ λέγεται στερητικῶς. 384, 6.

αται λήγοντα πρόσωπα ῥηματικὰ, Ἰωνικῶς ἐσχηματισμένα, ὅτι τὸ ἀρχικὸν τῆς ληγούσης τοῦ ἐνεστῶτος σύμφωνον ἔχουσι πρὸ τοῦ α, οἷον ἐρείδω ἐρηρέδαται, ἢ συγγενές τι, οἷον ὀνομάζω ὠνομάδαται· εἰ δὲ καθαριεύει ὁ ἐνεστὼς, καθαρὸν ἔχουσι καὶ αὐτὰ τὸ α, οἷον νοέω νενοέαται. ἰmplicite. 1895, 44—51.

αται λήγοντα τρίτα πρόσωπα πληθυντικὰ παρακειμένων, ἀπὸ τῶν συστοίχων ἑνικῶν κατ' ἐπένθεσιν τοῦ α Ἰωνικῶς ἐσχηματισμένα. 1568, 31.

αται καὶ ατο ἁπλῶς λήγοντα τρίτα ῥηματικὰ πρόσωπα πληθυντικὰ ὅτι Ἰωνικοῦ εἰσὶ σχηματισμοῦ, οἷον ἐσπάραται καὶ εἰλίχατο. 234, 10.

αται καὶ ατο λήγοντα τρίτα πληθυντικὰ ῥηματικὰ πρόσωπα τῷ ε προπαραλήγοντα, ἀπὸ τῶν διὰ τοῦ ηνται καὶ ηντο κοινῶν γενόμενα, οἷον εἰρέαται ἀντὶ τοῦ εἴρηνται καὶ ἐκτέατο ἀντὶ τοῦ ἐκτηντο εἴτουν ἐκέκτηντο. 234, 15.

ἀταλαὶ παρθένοι αἱ μηδὲν δυνάμεναι τλῆναι διὰ τὸ τῆς ἡλικίας ἁπαλόν. 1672, 14.

Ἀταλάντη, Μελεάγρου ἐρωμένη, καὶ περὶ τῆς τοῦ Καλυδωνίου κάπρου θήρας, καὶ τοῦ Μελεάγρου τελευτῆς, ἱστορία διεξοδική. 774, 26.

ἀτάλαντον ἐν ἴσῳ τῷ ἰσοπαλές. 912, 25.

ἀτάλαντος ὁ μὴ ἄνισος κατὰ τὸ τάλαντον, ἀλλὰ ἴσος. 196, 27. 33. 314, 3. 865, 53. 1299, 53.

ἀτάλαντος Διὶ μῆτιν, ἴσος Διὶ κατὰ τὴν βουλήν. 196, 24.

ἀταλάφρων ὁ ἀταλὰ, ὅ ἐστιν ἁπαλὰ καὶ παιδαριώδη, φρονῶν. 650, 25. 1162, 60.

ἀτάλλειν τὸ εὖ τρέφειν ὥστε μὴ τάλαν εἶναι τὸ τρεφόμενον, καὶ τὸ ἀναπαύειν καὶ στερεῖν τοῦ ταλάσσειν, καὶ ἀτάλλειν ἀντὶ τοῦ σκιρτᾶν ἐνίοτε παρ' Ὁμήρῳ. 918, 36. 978, 53. 1054, 10.

ἀταλοὶ λέγονται οἱ μὴ πονοῦντες, κατὰ στέρησιν τοῦ ταλάσσειν. 1054, 11.

ἀτὰρ ἀντὶ τοῦ δὴ ἐν τῷ, Ἕκτορ ἀτάρ που ἔφης σῶς ἔσσεσθαι, Ἰλιάδ. χ', 331. 1272, 20.

ἀτὰρ καὶ αὐτὰρ ἀντὶ τοῦ δὲ, ὅτι

προτακτικοί εἰσιν ἐν τῇ συντάξει, καὶ περὶ τῆς προσῳδίας αὐτῶν. 72, 28. 35.

ἀτάρβητος ὁ μὴ ταρβῶν, τουτέστιν ἄφοβος. 384, 25.

Ἄταρνα, πόλις μεταξὺ Μυσίας καὶ Λυδίας, Τάρνη δὲ Ἀχαΐας. 356, 7.

ἀταρπιτός, στενὴ ὁδὸς καὶ διηνεκὴς καὶ καθ' ἣν οὐκ ἔστιν ἐκτραπῆναι. 1163, 41.

ἀταρπὸς ταὐτὸ ὅπερ ἀτραπός, ὅ ἐστι στενὴ ὁδὸς μὴ ἔχουσα ἐκτροπάς. 1125, 55.

ἀταρπὸς καὶ ἀταρπιτὸς ὅτι ἐκ τοῦ ἀτραπὸς καὶ ἀτραπιτὸς κατὰ μετάθεσιν λέγονται, ζήτει ἐν τῷ ἀτραπιτός. 1738, 52.

ἀταρτηρὸς ἐκ τοῦ ἀτηρὸς πλεονασμῷ τῆς ταρ συλλαβῆς. 89, 40. 1217, 3. 1408, 13.

ἀτασθαλία ἡ ταῖς ἄταις θάλλουσα ἀφροσύνη, ἢ ἡ ἐν ταῖς θαλίαις, ὅ ἐστιν εὐωχίαις, ἄτη ἐκ παροινίας, τουτέστιν ἡ ἐπιτράπεζος ὕβρις καὶ ἀκοσμία. 742, 37. 1383, 34. 1401, 50.

ἀταυρώτη γυνὴ ἡ ἄζυξ καὶ μὴ ὑπὸ ἀνδρὶ γενομένη, ὡς δάμαλις ὑπὸ ταύρῳ. 295, 9. 881, 20. 1554, 28.

ἀταύρωτος γυνὴ ἡ ἄζυξ καὶ παρθένος, ἣν καὶ ἀταυρώτην λέγει ὁ κωμικός, ζήτει τὸ ἀταυρώτη. 1554, 28.

ἀτειρὴς ὁ μὴ τέρην, ἀλλὰ δυσδάμαστος καὶ ὡς εἰπεῖν ἀδαμάντινος. 548, 20. 27.

ἀτειρὴς φωνὴ ὅτι τροπικῶς λέγεται, ἀτειρὴς δὲ χαλκὸς κυριολεκτικῶς. 1267, 38.

ἀτειρὴς χαλκὸς ὁ σκληρὸς καὶ δυσκατέργαστος, παρὰ τὸ τείρω. 1153, 52. 1154, 14. 47.

ἀτελὲς τὸ μήπω τελεσθέν, ἀτέλεστον δὲ τὸ ἀδύνατον τελεσθῆναι. 1410, 40.

ἀτέλεστον τὸ ἀδύνατον τελεσθῆναι, ἀτελὲς δὲ τὸ μήπω τελεσθέν. 1410, 40.

ἀτελεύτητον λέγεται τὸ ἀτελὲς εἴτουν ἀτέλεστον, καὶ τὸ ἀΐδιον ὁμωνύμως. 462, 2.

ἀτελεύτητος ὁ μὴ ἐπάγων τελευτὴν ταῖς πράξεσι, καὶ ἀτελεύτητος λόγος ὁ μὴ τετελεσμένος ἔργῳ. 144, 12. 441, 27.

ἀτελὴς ὁ ἀδάπανος, παρὰ τὸ τέλος, ὃ καὶ ἐπὶ δαπάνης τίθεται. 881, 26.

ἀτέμβειν τὸ στερίσκειν καὶ βλάπτειν, ὅτι παρὰ τὸ εἰς ἄτην ἐμβιβάζειν λέγεται, καὶ ἀτέμβεσθαι παρὰ τὸ εἰς ἄτην ἐμβαίνειν. 880, 14. 1436, 59. 1615, 13. 1892, 61.

ἀτέοντα, βεβλαμμένον. 1210, 60.

ἄτερ, χωρίς, ὅτι ἐκ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ τείρω σύγκειται, τὰ γὰρ χωρὶς ὄντα καὶ διεστῶτα οὐ τείρουσιν ἄλληλα. 1582, 8.

ἀτέραμνα καὶ ἀτεράμονα ὄσπρια, ἤγουν δυσέψητα, καὶ ἦθος ἀτέραμνον τὸ ὠμὸν καὶ ἀνύπεικτον, καὶ ἀτέραμνα ὕδατα τὰ πυκνοῦντα καὶ οὕτω σκληρύνοντα, ὅτι παρὰ τὸ τείρειν λέγονται. 1154, 15. 1532, 17.

ἀτέραμνον τὸ μὴ τέρεν, καὶ ἀτέραμνα σπέρματα, τὰ καὶ κερασβόλα, ζήτει ἐν τῷ κερασβόλα· τέραμνον δὲ ἀσυνθέτως οἶκου στέγην σημαίνει. 1942, 64 — 1943, 5.

ἀτεράμων ἄνθρωπος ὁ σκληρὸς καὶ ἄτεγκτος, ἐκ μεταφορᾶς τῶν ἀτεράμνων ὀσπρίων, τὰ μὴ ἑψόμενα. 1154, 14. 1427, 21.

ἀτέρμονα ἔσοπτρα ἐπιθετικῶς τὰ κυκλοτερῆ, παρὰ τὸ μὴ ἔχειν τέρμα, ὅ ἐστι τέλος. 690, 41.

ἅτερος, ἀντὶ τοῦ ἕτερος, ὅτι ἐκ τοῦ ὁ ἕτερος κέκραται, ἢ ἐκ τοῦ ἕτερος μόνου τροπῇ Δωρικῇ τοῦ ε̄ εἰς ᾱ, οἷον καὶ ἐν τῷ τρέπω τράπω, τρέχω τράχω. 1573, 62.

ἀτερπὴς ὅτι καὶ ἄτερπος λέγεται ἐν τῷ, ἀτέρπου ὀϊζύος, παρ' Ὁμήρῳ Ἰλιάδ. ζ', 285. 642, 14. 1188, 8. 1697, 18.

ἄτερπος ὀϊζὺς ὅτι πρὸς διαστολὴν λέγεται τῶν ὑποτερπουσῶν ὀϊζύων, οἵας κατὰ προαίρεσιν ἐπί τινι καλῷ ἀνέσχεταί τις. 642, 16.

ἀτεχνῶς ἀντὶ τοῦ δίχα δόλου καὶ φανερῶς. 1598, 19.

ἀτέω ἀτῶ κατὰ τὴν πρώτην συζυγίαν παρ' Ὁμήρῳ, ἀτάω δὲ ἀτῶ κατὰ τὴν δευτέραν παρὰ τοῖς μεθ' Ὅμηρον. 1210, 60.

ἄτη ἡ βλάβη, καὶ Ἄτη δαιμόνιόν τι πλαττόμενον ὑπὸ τῶν ποιητῶν, ὅτι μακρὸν ἀεὶ ἔχει τὸ ᾱ παρ' Ὁμήρῳ ἡ λέξις ὡς ἐκ τοῦ ἀάτη κεκραμένη. 710, 41. 739, 32. 768, 22. 1173, 26. 33.

Ἄτη, θεία τις οὐσία σωματοειδὴς μυθικῶς, καὶ ἄτη, παθητικὴ ποιότης, ἐνέργημα ἐκείνης. 1176, 9.

ἄτη ἐν λόγοις ἢ διὰ λόγων ὕβρις. 89, 37.

ἄτη, παραγωγὴ καὶ χρόνος παραληκτικός, ζήτει ἐν τῷ ἄασα. 1910, 57.

ἀτηρὸς λόγος ὁ κατὰ χόλον λεγόμενος. 89, 39.

Ἄτης, δαιμονίου τινὸς μυθικοῦ, διαγραφὴ Ὁμηρική. 767, 63.

Ἄτης λόφος ἐν Τροίᾳ, ὅπου ἡ Ἄτη μυθεύεται κατενεχθῆναι ὑπὸ Διὸς ῥιφεῖσα ἐκ τοῦ οὐρανοῦ, καὶ ὅτι περὶ Τροίαν πέπλασται εἶναι διὰ τὰς μεγάλας τῶν Ἰλιέων ἄτας, ὅ ἐστι βλάβας. 157, 5. 1175, 61.

Ἀτθὶς διάλεκτος ὅτι ἐπικοινωνεῖ τῇ Ἰάδι. 8, 39. 130, 43.

ἀτίζειν τὸ περιφρονεῖν. 1201, 55.

ἀτιμαγέλαι ταῦροι, ὅτι τῶν ταύρων οἱ χαλεπώτατοι καὶ δι' ἀκμὴν μονάζοντες οὕτω λέγονται. 1625, 42.

ἀτιμάω ἀτιμῶ κατὰ τὴν δευτέραν παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, ὅν ποτ' ἀτίμα, Ὀδυσσ. φ', 99. ἀτιμόω δὲ ἀτιμώσω κατὰ τὴν τρίτην παρὰ τοῖς μεθ' Ὅμηρον· καὶ ὅτι τὸ ἀτιμᾶν πρωτότυπόν ἐστι τοῦ ἀτιμάζειν. 24, 14. 660, 18. 735, 38. 1803, 30. 1886, 49. 1902, 56.

ἀτίμητος ὁ ἄτιμος παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον ὁ πολυτίμητος, παραγωγή. 781, 19.

ἄτιμος ἀντὶ τοῦ ἀτιμώρητος, καὶ ἄτιμον ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἀτίμως ἐν τῷ, τοῦ νῦν οἶκον ἄτιμον ἔδεις, Ὀδυσσ. π', 431. ἤγουν προῖκα καὶ μηδὲ καταβαλὼν τίμημα ὑπὲρ τῶν ἐσθιομένων. 1807, 32.

ατιον καὶ αδιον λήγοντα ὑποκοριστικά, οἷον σημάτιον καὶ χειμάδιον. 1675, 44.

ἀτιτάλλειν τὸ ἁπαλῶς τρέφειν, ὅτι παρὰ τὸ ἀτάλλειν λέγεται κατὰ ἀναδιπλασιασμόν, ὃ δηλοῖ τὸ ἀναπαύειν καὶ μὴ ἐᾶν ταλάσσειν, ὅ ἐστι κακοπαθεῖν. 546, 44. 978, 54. 1054, 9. 1682, 37.

ἄτιτος, ἄτιμος ἢ ἀτιμώρητος, καὶ ἄτιτος ποινὴ ἡ ἀνεκδίκητος καὶ ἀναπόδοτος. 938, 21. 998, 48.

Ἄτλαντες, ἔθνος τι Λιβυκὸν ἑσπέριον, παροικοῦν Ἄτλαντι τῷ ὄρει, ἐν ᾧ ἔθνει οὐδεὶς ἀπὸ κυρίου ὀνόματος ἐκαλεῖτο, καὶ ἄτλαντες ὁμωνύμως παρ' Ἀθηναίῳ ἀνδριάντες τινὲς τοῦ Ἄτλαντος. 1390, 29. 1610, 1.

Ἄτλας, οἱονεὶ τάλας, παρὰ τὸ ταλάσσειν, ὅ ἐστι καρτερεῖν, κατ' ἐπίτασιν οἱονεὶ πολύτλας ἢ κατὰ στέρησιν ὁ μὴ ταλάσσων ὡς ἀκάματος. 46, 7. 196, 39. 1390, 37.

Ἄτλας ὄρος ὅτι εὕρηται καὶ πληθυντικῶς Ἄτλαντες λεγόμενον. 490, 13. 1390, 28.

Ἄτλας ὅτι διὰ τὸ κατευστοχεῖν τῶν οὐρανίων κινήσεων ἀνέχειν τὸν οὐρανὸν ἐμυθεύθη. 1645, 49.

Ἄτλας, Καλυψοῦς πατὴρ παρ' Ὁμήρῳ, ὅτι εἰς τὴν τῶν πάντων πρόνοιαν ἀλληγορεῖται, καὶ εἰς τὸν νοητὸν ἄξονα τὸν ἀπὸ πόλου εἰς πόλον, καὶ Ἄτλας ἱστορικῶς ὅτι Λίβυς γέγονεν ἀποτελεσματικὸς, καὶ ὅτι εἷς τῶν Τιτάνων ὁ Ἄτλας μυθικῶς, ἑρμηνεία διεξοδική. 1389, 53. 1390, 13. 22—36.

ἀτλητῶν παρὰ Σοφοκλεῖ ὁ μὴ ἔχων τὸ τλήμων εἶναι. 562, 27.

ἄτμενος οὐ μόνον ὁ δοῦλος κατὰ γλῶσσαν, ἀλλὰ καὶ ὁ τεταγμένος ἐλεύθερος. 1750, 62.

ἀτμὶς ἀτμίδος ὅτι ἐκ τοῦ ἄω παρῆκται. 778, 8.

ἀτμὸς ἀτμοῦ ὅτι ἐκ τοῦ ἄω παρῆκται. 778, 8.

ἀτονία, ὅτι δι' ἀτονίαν λέγεταί τις ἀφροδισίων ἀπέχεσθαι, ἤγουν διὰ τὸ μὴ τείνεσθαι αὐτῷ τὸ αἰδοῖον. 1680, 47.

—ατος λήγοντα ἀπὸ ληγόντων εἰς —ος παρηγμένα προπαροξύνονται, οἷον τρίτος τρίτατος, μέσος μέσατος. 971, 57.

—ατος λήγοντα ἀριθμητικὰ παράγωγα, ἐπὶ τοῦ αὐτοῦ τοῖς ἰδίοις πρωτοτύποις κείμενα, οἷον τρίτατος ἀντὶ τοῦ τρίτος καὶ ὀγδόατος ἀντὶ τοῦ ὄγδοος. 1469, 57.

—ατος κλινομένων εὐθεῖαι σεσιγημέναι, οἷον τοῦ ὕδατος ἡ ὕδας, τοῦ φρέατος ἡ φρέας, τοῦ γούνατος ἡ γοῦνας, τοῦ δούρατος ἡ δοῦρας. 1606, 63.

ἆτος ὁ ἀκόρεστος, ὅτι ἐκ τοῦ ἄατος κέκραται, ὃ παρὰ τὸ ἆσαι, ὅ ἐστι κορέσαι· καὶ ὅτι γενικῇ συντάσσεται, οἷον, ἆτος πολέμοιο, πολλαχοῦ παρ' Ὁμήρῳ. 615, 3. 855, 7. 958, 27. 1267, 33. 1741, 54.

Ἀτραμύττιον πόλις, ἣ καὶ Ἀδραμύτιον, ὅτι Ἀθηναίων ἦν ἄποικος, καὶ ὅτι καὶ διφθόγγῳ παραλήγεται καὶ δυσὶ τ̄ γράφεται ἡ λέξις κατά τινας. 284, 29. 649, 63.

Ἄτραξ, πόλις ὑπερκειμένη Ἀργίσσης τῆς ἐπὶ τῷ Πηνειῷ κειμένης. 335, 30. 337, 15.

ἀτραπίζειν τὸ βαδίζειν ἢ ὁδοποιεῖν. 1747, 62.

ἀτραπιτὸς ἡ μὴ ἔχουσα ἐκτροπὴν ὁδὸς, τουτέστι στενὴ καὶ εὐθεῖα, ὅτι καὶ ἀταρπὸς καὶ ἀταρπιτὸς κατὰ μετάθεσιν λέγεται, καὶ παροιμία, ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς; 1065, 5. 1125, 55. 1738, 48.

ἀτραπὸς, παροιμία· ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς; ζήτει ἐν τῷ ἀτραπιτός. 1163, 43. 1738, 54.

ἀτράφαξυς ἢ ἀδράφαξυς, τὸ χρυσολάχανον, ὅτι δασύνεται κατά τινας. 539, 5.

Ἀτρεΐδης τετρασυλλάβως κατὰ διάστασιν Δωρικῶς. 21, 14.

ἀτρεκὲς αἷμα τὸ ἀληθὲς καὶ μὴ φαντασιῶδες. 539, 38.

ἀτρέμας ἐπίῤῥημα ἀντὶ τοῦ ἡσύχως, ὅτι καὶ χωρὶς τοῦ σ̄ λέγεται πρὸς μέτρου χρείαν, καὶ ἀτρέμας ἧσθαι ἀντὶ τοῦ βεβαίως ἢ ἡσύχως μένειν. 201, 24. 578, 45. 931, 59. 1017, 59. 1862, 41.

Ἀτρέος γενικὴ συστέλλουσα ἐνίοτε τὴν λήγουσαν Ἰωνικῶς. 623, 54.

Ἀτρεὺς ὅτι δείξας τὸν τοῦ ἡλίου δρόμον ἐναντίον τῷ οὐρανῷ ἐτιμήθη ὡς σοφός. 1645, 56.

Ἀτρεὺς, ὅτι οὕτως ἐπεκαλεῖτο πᾶς ὁ κλέψας ἀρνίον. 1642, 62.

Ἀτρέως χρυσόμαλλον ἀρνίον ὅτι ποτήριον ἦν ἔχον ἐντετυπωμένον ἀρνίον ἐν τῷ πυθμένι. 868, 49. 1319, 45.

ἀτρύγετος ἐπίθετον κατὰ θαλάσσης καὶ πυρὸς καὶ ἀέρος, παρὰ τὸ μὴ τρυγᾶσθαι, ἢ παρὰ τὴν τρύγην ἢ τρύγα, ὃ δηλοῖ τὸν Δημητριακὸν καρπόν. 108, 44. 1003, 58. 1112, 42.

ἄτρυτος ἐν πόνοις λέγεται ὃν οὐ τείρουσιν οἱ πόνοι, παρὰ τὸ τρύω. 1517, 12.

Ἀτρυτώνη Ἀθηνᾶ ἡ ἄτρυτος, ὅ ἐστιν ἀτειρὴς, παρὰ τὸ τρέω τρῶ, ὅθεν τὸ τρύω. 1517, 6.

ἄττα, προσφώνημα νεωτέρων πρὸς πρεσβυτέρους, ὅτι τῆς Θετταλῶν ἐστὶ διαλέκτου, καὶ ὅτι πρὸς τροφέας λέγεται, τέττα δὲ πρὸς φίλους. 659, 52. 777, 54.

ἄττα, προσφώνημα κατὰ κλητικὴν πτῶσιν ἐκ νεωτέρου ἀδελφοῦ πρὸς πρεσβύτερον, καὶ ὅτι πρωτόθετός ἐστιν ἡ λέξις καὶ ἀκίνητος καὶ ἀνερμήνευτος. 1118, 6. 1793, 11.

ἄττα Ἀττικῶς τὸ κοινῶς ἅσσα, ψιλῶς μὲν ἀντὶ τοῦ τινὰ, δασέως δὲ ἀντὶ τοῦ ἅτινα· ζήτει ἐν τῷ ἅσσα. 148, 42. 813, 40.

ἀτταγᾶς ὅτι παραλόγως περισπᾶται, καὶ ὅτι καὶ ἀτταγὴν ἀτταγῆνος λέγεται. 854, 26.

ἀττάλλειν ὅτι ἐκ τοῦ ἄττειν καὶ ἅλλεσθαι ταυτοδυνάμων λέξεων σύγκειται. 437, 11. 547, 1.

ἀττάραγος ταὐτὸ ὅπερ ψώθιον, ὅ ἐστιν ἄρτου θραῦσμα ἢ τὸ ὑποκάτω τοῦ ἄρτου. 1635, 31. 1817, 48.

ἄττηγοι, αἶγες ἄῤῥενες, ὅτι κατὰ προσηγορίαν ἡλικίας οὕτω λέγονται. 1625, 36.

Ἀττικὴ γυνὴ λέγεται, Ἀθηναία δὲ οὔ. 84, 11.

Ἀττικὴ διάλεκτος ὅτι ἐπικοινωνεῖ τῇ Ἰωνικῇ. 8, 39. 130, 43.

Ἀττικῆς δήμων τινῶν ὀνόματα, καὶ ἱστορίαι περὶ αὐτῶν. 284, 16-24.

Ἀττικῆς χώρας εὐφορία κωμικῶς ἐγκωμιαζομένη. 955, 3.

Ἄττις ὁ Ζεὺς παρὰ Βιθυνοῖς. 565, 6.

ἀτύζεσθαι τὸ ταράσσεσθαι καὶ ἐκπλήττεσθαι, καὶ ἀτύζεσθαι ὄψιν τινὸς κατὰ συνθήκην παρ' Ὁμήρῳ, καὶ ἀτύζεσθαι ἀντὶ τοῦ ἄττειν καὶ σκιρτᾶν, καὶ ὅτι ἀπὸ τοῦ ἀτῶ γέγονεν ἀτύζω, ὡς ἀπὸ τοῦ κλῶ κλύζω. 623, 34. 656, 7. 1007, 19. 1702, 57.

ἀτῶ καὶ ἀταίνω τὸ βλάπτω. 1881, 18.

αυ δίφθογγος ἐκ τῆς ᾱ συλλαβῆς γενομένη κατὰ πρόσληψιν Αἰολικὴν τοῦ ῡ, οἷον δαλὸς δαυλὸς, ἀτὰρ αὐτάρ. 1065, 64. 1654, 27.

αυ δίφθογγος ἐν μέσῳ λέξεων ἐξ Αἰολικοῦ πλεονασμοῦ ἔχουσα τὸ ῡ, οἷον ἐν τῷ ταλάρινος ταλαύρινος. 548, 30.

αυ δίφθογγος πρὸ συμφώνου ὅτι ψιλοῦται, οἷον αὐτὸς, αὔρα, αὔριον. 1416, 42.

αὖ ἀντὶ τοῦ πάλιν καὶ ἀντὶ τοῦ ὀπίσω καὶ ἔμπαλιν, καὶ αὖ παρέλκον ἐνίοτε. 715, 44.

αὖ ἐ ρ ύ ε ι ν ἢ αὐερύειν ἐν συνθέσει τὸ ὀπίσω ἕλκειν καὶ ἀνακλᾶν τὸν τοῦ σφαζομένου ἱερείου τράχηλον, καὶ αἰτιολογία τῆς τοιαύτης ἀνακλήσεως· καὶ αὖ ἐρύειν τὸ εἰς τὸ ὀπίσω ἕλκειν, περὶ νευρᾶς τόξου λεγόμενον Ἰλιάδ. Θ', 325. 134, 16. 715, 46.

αὐ α ί ν ο υ λίθος ἐν Ἅιδου πέπλασται, παρὰ τὸ αὐαίνεσθαι, ὅ ἐστι ξηραίνεσθαι τοὺς νεκρούς. 880, 64. 1559, 45.

αὐ α ί ν ω τὸ ξηραίνω, ὅτι παρὰ τὸ αὔω παράγεται, καὶ ὅτι δασύνεται, ὡς δηλοῖ ἡ σύνθεσις τοῦ ἀφαυάνθην. 1304, 6. 1416, 44.

Αὐ γ ε ι α ὶ, πόλις Λοκρίδος καὶ ἑτέρα τῆς Λακωνικῆς. 277, 42. 295, 13.

αὐ γ ὴ πυρὸς τὸ σέλας, καὶ, ἐν πυρὸς αὐγῇ, παρ' Ὁμήρῳ οὐχ ὅπου τὸ πῦρ, ἀλλ' ὅπου ἡ αὐγὴ αὐτοῦ ἐφικνεῖται, τουτέστιν ὁ φωτιζόμενος ὑπὸ τοῦ πυρὸς τόπος. 1564, 26. 1939, 22.

αὐ δ ᾶ ν τὸ ἀνθρωπίνως λαλεῖν, φθέγγεσθαι δὲ τὸ ἁπλῶς φωνὴν ἀφιέναι, καὶ ὅτι αὐδὴ καὶ φθογγὴ διαφέρουσι κατὰ ταὐτὰ, καὶ ὅτι καὶ αὐδᾶσθαι ἀντὶ τοῦ αὐδᾶν λέγεται. 1641, 14.

αὐ δ ᾶ σ θ α ι ἐν ἴσῳ τῷ αὐδᾶν ἐν τῷ, ποικίλως αὐδωμένου. 806, 54.

αὐ δ ά ω αὐδῶ, ζήτει ἐν τῷ αὐδή. 56, 18.

αὐ δ ὴ ἰδίως ἡ ἀνθρωπίνη φωνὴ εἴτουν λαλιὰ, παρὰ τὸ αὔω τὸ φωνῶ καὶ τὸ δέω, ὅ ἐστι δεσμῶ, διὰ τὸ ἐναρμονίως συνδεδέσθαι. 56, 18. 1190, 44 1711, 1.

αὐ δ ὴ ἡ ἀνθρωπίνη λαλιὰ, φθογγὴ δὲ ἡ ἁπλῶς φωνὴ καὶ ἐπὶ ἀλόγων λέγεται. 97, 34. 1641, 15.

αὐ δ ὴ ὅτι ἐπέλαττόν τι ἐστὶν ἢ ἡ φωνή. 1639, 5.

αὐ δ ή ε ι ς ὁ λόγῳ χρώμενος προφορικῷ. 1639, 7.

αὐ δ ή ε ν τ ε ς ἄνθρωποι, οἱ λόγῳ χρώμενοι προφορικῷ, ὅτι κατ' ἴδιον ἐπίθετον λέγονται. 1554, 49.

αὐ δ ή ε σ σ α γυνὴ ἡ περιβόητος διά τι σύμβαμα, ἢ ἔνδοξος καὶ εὐγενὴς, ἢ ἡ χρωμένη ἀνθρωπίνῃ φωνῇ· αὐδήεντες γὰρ λέγονται οἱ ἄνθρωποι πρὸς διαστολὴν τῶν ἄλλων ζῴων. 1543, 47. 1651, 45.

αὐ δ ή ε σ σ α ι θεαὶ λέγονται παρ' Ὁμήρῳ ἡ Κίρκη καὶ ἡ Καλυψὼ διὰ τὸ ἀνθρωπίνῃ αὐδῇ χρῆσθαι. 1384, 37.

αὐ δ ὴ ν χέειν λέγεταί τις παρ' Ὁμήρῳ ἀντὶ τοῦ φθέγγεσθαι, αὐτὴ δὲ ἡ αὐδὴ ῥέειν ἐκ στόματός τινος λέγεται. 1875, 46.

ἀΰ ε ι ν ὅτι ἐκ τοῦ αὔειν διαλέλυται, καὶ ὅτι καὶ περὶ ἀψύχων λέγεται. 856, 58. 941, 21.

αὔ ε ι ν τὸ φωνεῖν καὶ τὸ καίειν ὁμωνύμως. 1547, 56.

αὐ ε ρ ύ ε ι ν, ζήτει ἐν τῷ, αὖ ἐρύειν.

αὐ θ ά δ ε ι α, αὐτοαρέσκεια, παρὰ τὸ ἀδεῖν, ὅ ἐστιν ἀρέσκειν. 539, 8.

αὐ θ έ ν τ η ς ὅτι ἐκ τοῦ αὐτοέντης κατὰ ἀντιστοιχίαν λέγεται. 82, 41. 524, 17. 641, 48.

αὐ θ έ ν τ η ς οὐχ ὁ δεσπότης, ἀλλ' ὁ αὐτοέντης, ὅ ἐστιν αὐτοφόντης καὶ αὐτοχειρίᾳ φονεὺς, καὶ ὅτι ἐκ τῆς αὐτὸς ἀντωνυμίας σύγκειται. 882, 61. 945, 10. 1332, 16. 1350, 34.

αὐ θ η μ ε ρ ι ν ὸ ς σοφὸς ὁ αὐτοσχέδιος, ὅτι παρὰ τὸ αἴτημαρ λέγεται. 44, 14.

αὖ θ ι ὅτι ἐν ἴσῳ τῷ αὐτόθι, ἐξ οὗ καὶ συνεκόπη. 230, 21. 789, 26.

αὖ θ ι ς ὅτι καὶ αὖθι χωρὶς τοῦ σ λέγεται, καὶ αἶθιν μετὰ τοῦ ν, καὶ ὅτι παραλόγως βαρύνεται. 1062, 51. 1879, 54.

αὖ θ ι ς τὸ πάλιν καὶ τὸ εἰς τοὐπίσω καὶ τὸ ἐκ δευτέρου, καὶ ὅτι αἶτις λέγεται Ἰωνικῶς. 1175, 63.

αὐ θ ό μ α ι μ ο ι λέγονται οἱ τοῦ αὐτοῦ γένους ὄντες. 410, 38.

αὐ θ υ π ό τ α κ τ α εἰς ομεν δια τοῦ ο μικροῦ γραφόμενα Ἰωνικῶς διὰ μετρικὴν ἀνάγκην. 67, 40. 684, 18.

αὐ θ υ π ό τ α κ τ α ῥήματα ὅτι χρόνου εἰσὶν ἀορίστου πρώτου ἢ δευτέρου. 983, 42.

αὔ ι α χ ο ς ὁ ἅμα ἰαχῇ, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ῡ τῆς διφθόγγου. 919, 26.

αὐ λ α ί α ἡ αὐλὴ κατὰ παραγωγήν. 84, 2.

αὖ λ α ξ ἡ τοῦ ἀρότρου εἰς μῆκος τομὴ, παρὰ τὸν αὐλὸν, ὃ δηλοῖ ἐπιμήκη παράτασιν. 849, 8. 1046, 40. 1157, 36. 1236, 51. 1917, 33.

αὔ λ ε ι α ι θύραι παρ' Ὁμήρῳ αἱ περὶ τὴν αἴθουσαν ἤγουν αἱ ἔξω τοῦ προδόμου πρὸς αὐτῇ τῇ αὐλῇ. 1938, 3.

αὔ λ ε ι ο ς θύρα παρὰ Σικελοῖς λέγεται, ἣν αἴθουσαν Ὅμηρος καλεῖ. 1347, 56.

αὐ λ ὴ ὅτι παρὰ τὸ ἄω, ὅ ἐστι πνέω, λέγεται ἐπενθέσει τοῦ ῡ. 1337, 41. 1347, 55.

αὐ λ ὴ συνεκδοχικῶς ἡ ὅλη οἰκία ἐν τῷ, Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή, Ὀδυσσ. δ', 74. αὐλὴ δὲ κυρίως τόπος διαπνεόμενος, ὅ ἐστιν ὕπαιθρος, πρὸ τῶν μεγάλων οἴκων, καὶ αὐλαὶ τὰ βασίλεια διὰ τὸ μεγάλους ἔχειν πρὸ τῶν οἴκων ὑπαίθρους τόπους. 1483, 39—51.

αὐ λ ή σ ε ω ν προσηγορίαι, κῶμος, ἐπίφαλλος, χορεῖος, καλλίνικος, πολεμικὸν, ἡδύκωμος, σικιννοτύρβη, θυροκοπικὸν τὸ καὶ κρουσίθυρον, κνησμὸς, μόθων, ἃ καὶ μετ' ὀρχήσεως ηὐλεῖτο. 1236, 56.

αὐ λ η τ ι κ ὸ ς κάλαμος ὅτι ἐν ἕλει τῷ ἐκ τοῦ Μέλανος ποταμοῦ γινομένῳ φύεται. 268, 33.

αὐ λ ι ζ ό μ ε ν α ι βόες, Ὀδυσσ. μ', 265. αἱ μὴ ἄγριαι, ἀλλ' ἐν ἐπαύλει διάγουσαι. 1721, 31.

αὔ λ ι ο ν ὅτι παρὰ τὸ αὐλὴ λέγεται ὑποκοριστικῶς ἢ κατὰ παραγωγήν. 1337, 41.

αὔ λ ι ο ς ἀστὴρ ἐπιθετικῶς, ὁ ἑσπερινὸς, ὁ αὐλίζεσθαι ποιῶν τὰ ζῷα. 831, 9.

αὖ λ ι ς ἀντὶ τοῦ κοίτη καὶ κατασκήνωσις, καὶ ὅτι ἐν ἴσῳ τῷ αὐλὴ Αἰολικῶς λέγεται, καὶ ὅτι βαρύ-

νεται πρὸς διαστολὴν τοῦ *Αὐλίς*. 265, 15. 1791, 3. 1934, 35.

Αὐλὶς, ὄνομα πόλεως, ἐτυμολογία. 225, 45.

Αὐλίδος πόλεως θέσις, καὶ ἐτυμολογία τῆς φωνῆς καὶ προσῳδία. 265, 5. 14.

αὐλίσκος, ὑποκοριστικὸν τοῦ αὐλοῦ. 1157, 53.

αὐλοὶ, ὅτι ὁμωνύμως οὕτω λέγονται καὶ ῥαβδοειδεῖς τινὲς ἀνατάσεις, εἰς ἃς κατακλείονται αἱ τῶν ἐσθήτων περόναι. 1863, 37.

αὐλοὶ, ὅτι οἱ θαλάσσιοι σωλῆνες οὕτω λέγονται διὰ τὴν κατὰ τὸ στενὸν καὶ ἐπίμηκες πρὸς τοὺς αὐλοὺς ὁμοιότητα. 1485, 50.

αὐλὸς ὅτι παρὰ τὸ αὔειν, ὅ ἐστι βοᾶν, λέγεται, ἢ παρὰ τὸ ἄω, ὃ δηλοῖ τὸ πνέω. 1157, 32. 1337, 41.

αὐλὸς, ἐπιμήκης παράτασις, καὶ αὐλὸς ὁμωνύμως τὸ μουσικὸν ὄργανον, καὶ ὅτι *Λίβυς* τις νομὰς τὴν αὐλητικὴν πρῶτος εὗρε. 1236, 50. 55.

αὐλὸς ὅτι πένθιμος ἦν τὸ κατ' ἀρχὰς, πρῶτος δὲ Μίδας ὁ Γορδίου παραβώμιον αὐτὸν ἐποίησεν ἀποθεῶσαι τὴν μητέρα βουληθείς. 1372, 30.

αὐλὸς, ὅτι ὁμώνυμος ἡ φωνὴ καὶ ἔκθεσις τῶν σημαινομένων αὐτῆς, ἁπλῶς δὲ αὐλὸς πᾶν τὸ στενὸν καὶ ἐπίμηκες, καὶ οὐ μόνον στενὸν καὶ ἐπίμηκες, ἀλλὰ καὶ κοιλότητος μετέχον. 849, 7. 1107, 60. 1917, 36.

αὐλὸς αἵματος, κρουνὸς ἢ ἐξακόντισμα καὶ ὀξεῖα ἀναφορὰ, καὶ ὅτι ἀπὸ τοῦ τῶν ῥινῶν πόρου αὐλοειδοῦς ὄντος εἴρηται αὐλὸς αἵματος παρ' Ὁμήρῳ. 1917, 30—39.

αὐλὸς ὁμωνύμως ἡ ὀπὴ τῆς αἰχμῆς, ἣ τὸ ξύλον ἐμβάλλεται. 1620, 36.

αὐλὸς τὸ ὄργανον ὅτι διὰ τὸ δι' αὐτοῦ διέρχεσθαι πνεῦμα οὕτω λέγεται, καὶ αὐλὸς τὸ διατεταμένον εἰς εὐθὺ σχῆμα, καὶ ὁ κρουνὸς ἐν τῷ, αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν αἵματος, παρ' Ὁμήρῳ Ὀδυσσ. χ', 18. 1483, 48. 52.

αὐλῶν εἴδη τινὰ καὶ ἔκθεσις τῶν προσηγοριῶν αὐτῶν διεξοδικῶς. 1157, 37.

αὐλών, ἐπιμήκης καὶ παραμήκης τόπος, καὶ αὐλὼν ἡ τάφρος παρ' *Αἰσχύλῳ*. 1157, 34.

αὐλὼν ὅτι ἐν μὲν πεζῷ λόγῳ κατ' ἀρσενικὸν γένος λέγεται, παρὰ δὲ ποιηταῖς κατὰ θηλυκόν. 1483, 55.

αὐλῶπις περικεφαλαία ἡ ἐκ μέσου ἀνατείνουσα εἰς αὐλοῦ σχῆμα, ἀλλαχοῦ δὲ ὅτι αὐλῶπις περικεφαλαία, ἧς ὁ αὐλίσκος, εἰς ὃν ὁ λόφος ἐνίεται, εἰς ὀξὺ λήγει. 537, 1. 849, 6. 1483, 54.

αὐλωτοὶ φιμοὶ λέγονται, οἷς κώδωνες προσήπτοντο, οἷς ἐμφυσῶντες οἱ ἵπποι αὐλῶν ἔμφασιν ἐνεποίουν τοῖς ἀκούουσι. 1157, 34.

αὔξεσθαι ἡ ἡμέρα μέχρι μεσημβρίας λέγεται διὰ τὸ τὸν ἥλιον ἐκ τῶν ταπεινοτέρων εἰς ὕψος αἴρεσθαι. 826, 20.

αὔξεσθαι ὁ θυμὸς λέγεται παρ' Ὁμήρῳ ἐν τῷ, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός, Ὀδυσσ. β', 315. ὅτι ἐπὶ ὀργῆς τίθεται, ἕτεροι δὲ ἀντὶ τοῦ αὔξεσθαι τὴν ψυχὴν ἐνόησαν, ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ δηλονότι, ἑρμηνεία διεξοδική. 1447, 25—33.

αὔξεσθαι κῦμα λέγεται ἀντὶ τοῦ ἐγείρεσθαι ἐν τῷ, οὐ μὲν γάρ ποτ' ἀέξετο κύματ' ἐν αὐτῷ, Ὀδυσσ. κ', 93. 1649, 61.

αὐξήσεις ῥηματικαὶ ὅτι Ἰωνικῶς μὲν συστέλλονται κατ' ἀναύξησίαν, Ἀττικῶς δὲ ἐκ βραχέων μηκύνονται, οἷον ἐβουλόμην ἠβουλόμην. 1523, 46.

αὐξήσεις συλλαβικαὶ κατὰ ἀναδιπλασιασμὸν ἐν ἀορίστοις καὶ παρατατικοῖς χρόνοις κατὰ πάσας τὰς ἐγκλίσεις, οἷον τετύκοντο, λελάθοιντο, λελαχών. 73, 4.

αὐξήσεις ἐπὶ τῶν ῥημάτων οὐ ποιοῦσιν Ἴωνες, οὔτε χρονικὰς οὔτε συλλαβικὰς, πλὴν ἐπὶ τῶν παρακειμένων. 72, 45.

αὐξήσεων ῥηματικῶν ἀνωμαλία παρὰ τοῖς μεθ' Ὅμηρον, καὶ ὅτι ποτὲ μὲν ἔξωθεν γίνονται, οἷον ἐν τῷ δεδιοίκηται, ποτὲ δὲ ἔσωθεν καὶ ἔξωθεν, οἷον δεδιῴκηται καὶ δεδιῃτημένος καὶ μεμεθωδευμένος καὶ πεπαρῳνηκὼς καὶ μεμελοπεποιημένος καὶ ἠνώχλησα καὶ ἠνέωγα. 1325, 27. 1382, 29.

αὔξησις διὰ τοῦ ε γινομένη Ἀττικῶς κατ' ἀρχὰς παρῳχημένων τινῶν χρονικῶς ηὐξημένων, οἷον ἥνδανον ἑήνδανον. 438, 6.

αὔξησις ῥημάτων συνθέτων μετὰ προθέσεων, καθ' ἕξιν αὐτοῖς συγκειμένων, ἔξωθεν γίνεται, οἷον καμμύω ἐκάμμυον. 207, 36.

αὔξησις παρακειμένων ἀποβάλλουσα τὸ ἀρκτικὸν σύμφωνον, πῆ μὲν διὰ κακοφωνίαν, οἷον ἐν τῷ ἔσπακα, ἔφθακα, ἔζηκα, πῆ δὲ κατ' ἔθος Ἀττικὸν, οἷον ἐν τῷ ἐβλάστηκα, ἔβλαμμαι. 759, 43.

αὔξω, ὅτι παρὰ τὸ ἔχω ἕξω μετὰ τοῦ ᾱ στερητικοῦ γίνεται ἀέξω, παρὰ τὸ μὴ ἐπέχεσθαι τῆς κατὰ φύσιν ἐνεργείας τὰ αὐξόμενα, ἀέξω οὖν καὶ κράσει ἄξω καὶ πλεονασμῷ αὔξω. 698, 31.

αὖον, ὅτι μονήρης ἡ φωνὴ, καὶ ὅτι κοινῶς μὲν ψιλοῦται, Ἀττικῶς δὲ δασύνεται, καὶ αὖον βοᾶν λέγονται τὰ ξηρὰ σώματα συγκρουόμενα. 897, 16. 1304, 3.

αὖον ξύλον τὸ ἀφθὲν καὶ καὲν, παρὰ τὸ αὔω τὸ καίω. 1547, 58.

ἄϋπνος τέχνη ἡ κυβερνητικὴ λέγεται παρὰ *Λυκόφρονι*. 1534, 57.

αὔριον ὅτι παρὰ τὸ ἄω, ὅ ἐστι λάμπω, λέγεται, ὡς καὶ ἡ ἠώς. 727, 56.

αυρος λήγοντα τινὰ ὀνόματα ὀξύτονα, οἷον ἀγαυρὸς, ἀμαυρὸς, ἀφαυρός. 1444, 11.

αυς λήγοντα ὀνόματα θηλυκὰ, οἷον ναῦς, ὅτι κοινῶς μὲν ναὸς, Ἰωνικῶς δὲ νηὸς, Ἀττικῶς δὲ νεὼς ποιεῖ τὴν γενικήν. 1715, 64.

αὖσαι τὸ καῦσαι ὅτι δασύνεται, καταῦσαι δὲ ἐν συνθέσει ψιλῶς προφέρεται, καὶ ὅτι τὸ αὖσαι καὶ τὸ θιγεῖν καὶ ἅψασθαι σημαίνει, ὅθεν τὸ χραῦσαι, ὅ ἐστι χροὸς αὖσαι. 1547, 56. 60. 62.

ἀϋσταλέος κατὰ διάλυσιν, ἀντὶ τοῦ αὐσταλέος, ὅ ἐστιν αὐστηρὸς καὶ αὐχμῶν, ὅτι παρὰ τὸ αὔω γίνεται αὐστὸς, ὅθεν αὐσταλέος. 1866, 34.

αὐστηρὸς, ὅτι παρὰ τὸ αὔω τὸ ξηραίνω γίνεται αὐστὸς, ὅθεν αὐστηρός. 1547, 59. 1866, 36.

αυσω λήγοντες μέλλοντες ἐνεστῶσι διὰ τοῦ αιω συστοιχοῦντες, οἷον καίω καύσω, κλαίω κλαύσω. 36, 11.

Αὔσων, υἱὸς Ὀδυσσέως ἐκ Κίρκης. 1379, 20.

αὐτάγρετον τὸ αὐθαίρετον, ἢ

τὸ αὐτόθεν ἀγειρόμενον ἢ ἀγρευόμενον 1797, 18.

αὔτανδρος ἀπολωλέναι ναῦς λέγεται, ἤγουν σὺν αὐτοῖς τοῖς ἀνδράσι. 695, 52. 1217, 54.

αὐτανέψιοι οἱ κοινῶς ἐξάδελφοι. 971, 25.

αὐτὰρ ὅτι ἐκ τοῦ ἀτὰρ γέγονεν ἐπενθέσει τοῦ $\bar{υ}$, ζήτει ἐν τῷ ἀτάρ. 72, 28. 40. 1654, 27. 1678, 43.

αὐτερέται λέγονται, οἳ οἱ αὐτοὶ καὶ ἐρέται εἰσὶ καὶ ὁπλῖται εἴτουν ἐπιβάται. 1332, 16.

ἀΰτευν ἀντὶ τοῦ ἀΰτεον, ὅ ἐστιν ἐβόων. 897, 14.

ἀΰτέω ἀΰτῶ τὸ φωνῶ, ὅτι παρὰ τὸ αὔω γέγονε κατὰ διάλυσιν καὶ παραγωγήν. 1195, 37.

ἀϋτὴ ἡ ἁπλῶς βοὴ ἢ φωνὴ, παρὰ τὸ αὔω, ὃ δηλοῖ τὸ φωνῶ, καὶ ἀϋτὴ ἡ μάχη ἐκ τοῦ παρακολουθοῦντος, καὶ ὅτι ἀϋτὴ ἐπὶ πολέμου κατὰ μόνας λεγόμενον ἐλλιπῶς ἔχει, ἀϋτὴ δὲ πολέμου καὶ ἀϋτὴ δηΐων ἐντελῶς. 140, 34. 247, 35. 552, 16. 951, 38. 966, 8. 1100, 46.

αὐτῇ πήληκι καὶ αὐταῖς βουλαῖς καὶ αὐτοῖς ἀνδράσιν ὤλετο ἡ ναῦς, ὅτι Ἀττικῶς λέγονται. 1217, 54.

αὐτῆμαρ, αὐθημερόν. 44, 13.

αὐτήν μιν, ἀντὶ τοῦ αὐτὴν ἁπλῶς. 835, 2.

αὐτίκα νῦν, ἀντὶ τοῦ αὐθωρὸν, ὅτι ἐκ παραλλήλου ταὐτὸ σημαίνουσι. 1530, 21.

αὖτις Ἰωνικῶς τὸ κοινῶς αὖθις, ὅ ἐστι πάλιν καὶ εἰς τοὐπίσω καὶ ἐξ ἀρχῆς καὶ ἐκ δευτέρου. 789, 26. 1006, 20. 1175, 63.

αὖτις ἰέναι, ἀντὶ τοῦ ἀναχωρεῖν ἐν τῷ, ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας, Ἰλιάδ. σ', 286. καὶ αὖτις ἀναδραμεῖν ἐπὶ τοῦ αὐτοῦ. 1088, 41. 1143, 12.

ἀϋτμὴ ἀϋτμῆς ἡ πνοὴ, παρὰ τὸ ἄω, ὅ ἐστι πνέω, ἢ παρὰ τὸ αὔω κατὰ διάλυσιν· ἀϋτμὴν δὲ ἀϋτμένος ἀρσενικῶς ἐπὶ τοῦ αὐτοῦ. 938, 54. 778, 7. 1328, 59.

ἀϋτμὴ πυρὸς ἡ ἀναθυμίασις, τουτέστιν ὁ καπνὸς, παρὰ τὸ ἄω τὸ πνέω. 1803, 1.

ἀϋτμὴν ἀϋτμένος ἀρσενικῶς ἐν ἴσῳ τῷ ἀϋτμὴ θηλυκῷ. 778, 4. 1328, 59. 1468, 14.

αὐτοβοεὶ ὅτι παρὰ τὴν βοὴν, ὃ δηλοῖ τὴν μάχην, ἢ τὴν ἐν μάχῃ. 923, 20.

αὐτοδὰξ ἀντὶ τοῦ παραχρῆμα, ὅτι παρὰ τὸ ὀδὰξ λέγεται, ὃ δηλοῖ τὸ δηκτικῶς καὶ μετὰ δηγμοῦ. 1424, 51.

αὐτοδιάκονος ὁ αὐτοχειρὶ δουλεύων. 1113, 64.

αὐτοδίδακτος ἀντὶ τοῦ αὐτομαθής. 1930, 1.

αὐτόδιον ποιεῖν τι ἀντὶ τοῦ παραχρῆμα καὶ ἐξ αὐτῆς τῆς ὁδοῦ ἢ κατὰ τὴν ὁδὸν, ὅτι αὐθόδιον ὤφειλε γράφεσθαι διὰ τὸ δασύνεσθαι τὴν ὁδὸς λέξιν, Ἰωνικῶς δὲ ἐτράπη τὸ ϑ εἰς $\bar{τ}$. 1562, 37. 1605, 8.

αὐτόετες ἀντὶ τοῦ δι' ὅλου ἔτους. 1470, 15.

αὐτόθεν ἀπ' αὐτοῦ τοῦ ἀνθρώπου ἢ ἀπ' αὐτοῦ τοῦ τόπου. 1200, 8.

αὐτοίτοιγε, ἀντὶ τοῦ αὐτοὶ οὗτοι, Ὀδυσσ. σ', 278. 1846, 55.

αὐτοῖς ἅρμασιν, ἀντὶ τοῦ σὺν αὐτοῖς τοῖς ἅρμασιν, ὅτι Ἀττικῶς πέφρασται. 1284, 52.

αὐτοκασίγνητος ὅτι κατά τινα ἐνδιάθετον ἐπίτασιν ἐν ἴσῳ τῷ κασίγνητος λέγεται, καὶ ὅτι οἱ ὁμομήτριοι αὐτοκασίγνητοι λέγονται. 410, 30. 39.

αὐτοκάνδαλοι, οἱ καὶ ἴαμβοι, ὅτι μῖμοι τινὲς κωμικοὶ οὕτως ἐλέγοντο. 884, 26.

αὐτοκράτωρ, ὅτι ἐκ τοῦ Ὁμηρικοῦ αὐτομέδοντος δοκοῦσιν ἀφορμὴν εἰληφέναι οἱ συνθέντες τὴν αὐτοκράτωρ λέξιν. 1055, 10.

Αὐτόλυκος, πάππος πρὸς μητρὸς Ὀδυσσέως, ὅτι κλέπτων μετεχρώννυε τὰ κλεπτόμενα ζῷα. 804, 23. 1870, 11. 1871, 7.

αὐτόματα λέγονται τὰ κατὰ τύχην γινόμενα, παρὰ τὸ μάτην, καὶ αὐτόματος ὁ ἀφ' ἑαυτοῦ μεμαὼς, ὅ ἐστιν ὁρμώμενος, οἷον ἐν τῷ, αὐτόματος δέ οἱ ἦλθεν, Ἰλιάδ. β', 408. καὶ, αὐτόματοι δὲ πύλαι μύκον, ε', 749. καὶ αὐτόματοι μηχαναὶ αἱ καθ' αὑτὰς ἐνεργοῦσαι. 247, 27. 604, 46. 1148, 30.

Αὐτόμεδον κατὰ κλητικὴν πτῶσιν προπαροξυτόνως. 1115, 18.

Αὐτομήδης, ποιητὴς Μυκηναῖος, γράψας τὴν Ἀμφιτρύωνος πρὸς Τηλεβόας μάχην καὶ ἄλλα τινά. 1466, 56.

αὐτόν μιν, ἀντὶ τοῦ ἑαυτὸν παρ' Ὁμήρῳ ἐν τῷ, αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας, Ὀδυσσ. δ', 244. τὸ δὲ μὶν αὐτὸν ἀντὶ τοῦ αὐτὸν ἐκεῖνον ἐν τῷ, λίσσεσθαι δέ μιν αὐτὸν ὅπως νημερτέα εἴπῃ, Ὀδυσσ. γ', 19. 522, 22. 835, 3. 1359, 61. 1455, 15. 1494, 38.

Αὐτονόη, γυνή τις εἰς ναῦν μεταμορφωθεῖσα. 1566, 54.

αὐτονυχεὶ ἐπίῤῥημα, τὸ χῖ κατὰ μέν τινας διὰ τοῦ $\bar{ι}$, κατὰ δὲ τοὺς πλείστους διὰ διφθόγγου. 708, 1.

αὐτὸς ἀντωνυμία, ἔκθεσις ὀνομάτων τινῶν ἐχόντων τὴν αὐτὸς ἀντωνυμίαν ἐν συνθέσει προτεταγμένην, οἷον αὐτοκάβδαλον καὶ αὐτόξυλον ἔκπωμα, καὶ ὅτι περὶ τῶν μὴ εἰς κάλλος εἰργασμένων λέγεται τὰ τοιαῦτα. 1332, 13. 17.

αὐτὸς ἀντωνυμία ἀναφέρουσα μέρος ὅλου τινὸς διαλυθέντος, οἷον ἐν τῷ, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν, Ἰλιάδ. α', 4. 774, 8.

αὐτὸς ἀντωνυμία ὅτι ποτὲ μὲν μόνον τὸ σῶμα ἀναφέρει παρ' Ὁμήρῳ, ποτὲ δὲ μόνην τὴν ψυχὴν, ποτὲ δὲ τὸ συναμφότερον. 19, 11.

αὐτὸς ἀντωνυμία παρατιθεμένη ἐνίοτε κατὰ τὰς πλαγίας τῶν πρωτοτύπων, οὐ πρὸς τὸ συνθέτων χρείαν ἀναπληροῦν, ἀλλὰ πρὸς ἐξοχῆς ἔμφασιν. 769, 50.

αὐτὸς ἀντωνυμία ὅτι κατ' ἐξοχὴν ἐπιλέγεται πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, ἐν δ' αὐτὸς ἐδύσατο χαλκόν, Ἰλιάδ. β', 578. 299, 18.

αὐτὸς ὅτι ἐξοχῆς εἴτουν ὑπεροχῆς ἐστὶ σημαντικὴ ἐν τῷ, αὐτὸς ἔφη, καὶ ἐν τῷ, οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων, Ἰλιάδ. ψ', 633. 586, 26. 1321, 9.

αὐτὸς ἀντὶ τοῦ μόνος ἢ ἀντὶ τοῦ αὐτόματος ἐν τῷ, ἀλλά τις αὐτὸς ἴτω νεμεσιζέσθω δ' ἐνὶ θυμῷ, Ἰλιάδ. ρ', 254. 1105, 45.

αὐτοσχεδιάζειν τὸ ἀσκέπτως λαλεῖν, ἢ γράφειν παρὰ τὸ ἀληθὲς ἢ ἀκριβές. 1062, 35.

αὐτοσχέδιον τὸ ἄσκεπτον καὶ ἀμελέτητον, καὶ οὗ ἡ κατασκευὴ προσεχὴς, ἐκ τοῦ αὐτοσχεδὸν, ὅ ἐστιν ἔγγιστα. 1062, 41. 1927, 21.

ἀφέστατε ὅτι ἐκ τοῦ ἀφεστήκατε συγκέκοπται. 481, 7.

ἀφέται, ὅτι παρὰ Λακεδαιμονίοις οἱ ἀπελευθερωθέντες Εἵλωτες οὕτως ἐκαλοῦντο. 1024, 45.

Ἀφέτη ὄνομα νήσου, ἀφετὴ δὲ ἡ ἀπόλυτος ἐπιθετικῶς. 1967, 22.

ἀφέτης καὶ ἀφετηρία ὅτι παρὰ τὸ ἵημι ἥσω, ὅ ἐστι πέμπω, λέγονται. 1335, 2.

ἀφέτω ὅτι ἀφήτω διὰ τοῦ ἦτα ὤφειλε λέγεσθαι ὡς ἀπὸ τῆς εἰς ἔντος μετοχῆς, διαίτησις διεξοδική. 1756, 4.

ἀφεψιασάμην, ἀφωμίλησα, παρὰ τὸ ἑψιᾶσθαι, καὶ ζήτει τὸ ἑψιᾶσθαι. 1831, 4.

ἀφέω ὅτι ἐκ τοῦ ἀφῶ γέγονε πλεονασμῷ τοῦ ε̄. 1859, 39.

ἀφέωνται ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ προπαραληκτικὸν ε̄. 1077, 8.

ἀφηγεῖσθαι ὁδοῦ τὸ προάρχειν. 1399, 28.

ἀφηνιάζειν λέγονται ἵπποι, ἤγουν ζυγομαχεῖν καὶ πειρᾶσθαι ἀπὸ ἡνίων γενέσθαι. 1071, 40.

ἀφήτωρ Ἀπόλλων ὁ τοξότης, ὅτι παρὰ τὸ ἀφίημι λέγεται. 759, 62.

ἄφθιτοι ἄμπελοι ἐπιθετικῶς αἱ μακρόβιοι. 1619, 60.

ἀφθονέστατος ἀντὶ τοῦ ἀφθονώτατος. 1441, 17.

Ἀφίδνα, δῆμος τῆς Ἀττικῆς, ὅτι ὑπὸ τῶν Διοσκούρων ἐπορθήθη διὰ τὴν Ἑλένην ἁρπαγεῖσαν ὑπὸ Θησέως. 284, 16.

ἀφιέναι ἔγχος, Ἰλιάδ. φ', 115. ἀντὶ τοῦ παύσασθαι κρατοῦντα, ὁμωνύμως τῷ ἀφιέναι, ὅ ἐστι βάλλειν καὶ ἀκοντίσαι. 1226, 43.

ἀφίη ὅτι φύσει μακρὸν ἔχει τὸ φῖ, συστέλλει δὲ ἐνίοτε κατ' ἀναυξησίαν Ἰωνικήν. 42, 46.

ἀφίημι ἀντὶ τοῦ ῥίπτω ἐν τῷ, ὅσσον τίς τ' ἀφέηκε καλαύροπα βουκόλος ἀνήρ, Ἰλιάδ. ψ', 845. 1332, 41.

ἀφικέσθαι ἐν ἴσῳ τῷ ἐφικέσθαι, ὅ ἐστιν ἐφάψασθαι καὶ καταλαβεῖν, ἐν τῷ, τοῦτον νῦν ἀφίκεσθε νέοι, Ὀδυσσ. θ', 202. 1592, 5.

ἀφικέσθαι ἐν ἴσῳ τῷ ἐφικέσθαι, ὅ ἐστι καθικέσθαι καὶ φθάσαι διὰ βολῆς, ἐν τῷ, τόξῳ ὀϊστεύσας κοῖλον σπέος εἰσαφίκοιτο, Ὀδυσσ. μ', 84. 1714, 29.

ἀφικέσθαι Ἴλιον, ὅτι ἐλλιπῶς τῆς εἰς προθέσεως λέγεται παρ' Ὁμήρῳ. 1142, 37.

ἀφίκτωρ ὁ ἱκέσιος, παρὰ τὸ ἵκω, ὃ καὶ τὸ ἱκετεύω σημαίνει. 1458, 46.

αφιον λήγοντα ὑποκοριστικὰ, ἐξ ἐπενθέσεως τῆς αφ συλλαβῆς γενόμενα, οἷον χρυσὸς χρυσάφιον, ξύλον ξυλάφιον. 492, 36. 1532, 63.

ἄφλαστον, μέρος τι τῆς νεὼς, ἑρμηνεία διεξοδικὴ καὶ ἐτυμολογία τῆς φωνῆς. 1039, 35.

ἀφλοισμὸς, ἐτυμολογία καὶ σχηματισμὸς διὰ πολλῶν καὶ προσῳδία. 1033, 7.

ἀφνειέστατος ἀντὶ τοῦ ἀφνειότατος. 1441, 17.

ἀφνειοὶ Ζελεῖται λέγονται παρ' Ὁμήρῳ ἀπὸ λίμνης τινὸς Ἀφνίτιδος καλουμένης. 354, 18.

ἀφνειὸν φρένας τὸν μωρὸν λέγει ὁ Ἡσίοδος ἔργ. 453. ἀντιφραστικῶς. 1638, 38.

ἀφνειὸς ὅτι καὶ ἀφνεὸς λέγεται. 623, 59.

ἀφνειὸς βιότοιο καὶ ἀφνειὸς βίοτον, σύνταξις. 622, 9.

Ἀφνῖτις λίμνη, ἡ καὶ Δασκυλῖτις. 354, 19. [Δασκυλῖτις scr. in textu.]

ἄφοδος ἡ κόπρος, ὅθεν ἀφοδεύειν ῥῆμα, ὅτι παρὰ τὴν ὁδὸν λέγονται. 637, 1. 1619, 41.

ἀφοπλίζεσθαι καθ' αὑτὸ ἀτελῶς λέγεται, ἀφοπλίζεσθαι δὲ ὅπλα ἐντελῶς. 1285, 37.

ἀφόρητοι βλαῦται τὰ καινοεργὰ ὑποδήματα. 804, 50.

ἀφορισμὸς, σχῆμα καταστατικὸν καὶ συμπληρωτικὸν καὶ ἀνακεφαλαιωτικόν. 339, 8.

ἄφορμος ἀντὶ τοῦ ἐκτόπιος. 488, 35.

αφος ληγόντων ὀνομάτων ἀναλογία, οἷον ἕδος ἔδαφος, κρότος κρόταφος. 1532, 63.

ἀφόων μετοχὴ ἀντὶ τοῦ ψηλαφῶν. 644, 53.

ἀφραδέοντες, ἤγουν κακῶς φραζόμενοι. 133, 49.

ἀφραδέως, ἀνεπιστημόνως. 1308, 49.

ἀφραδὴς ὁ ἀνόητος καὶ κακόβουλος, καὶ ὅτι καὶ περὶ τῶν ἐν Ἅιδου σκιοειδῶν ψυχῶν λέγεται παρ' Ὁμήρῳ. 1411, 42. 1445, 29.

ἀφραδία ἡ ἄγνοια καὶ ἀπρονοησία. 810, 51.

ἀφρήτωρ ἐν ἴσῳ τῷ ἄπολις, ὅτι παρὰ τὴν φρήτρην, ὅ ἐστι φρατρίαν, λέγεται. 239, 29. 735, 50.

ἀφρῖτις, εἶδος ἀφύης ἐξ ἀφροῦ ἐπιπολάζοντος τῇ θαλάττῃ γινομένης, καὶ ὅτι τῇ Ἀφροδίτῃ ἀφιέρωτο. 87, 35. 1150, 38.

ἀφροδισία ἄγρα λέγονται εἶναι τὰ εἰς ἀφροδίσια κατωφερῆ ζῷα, οἷον πέρδιξ καὶ σῦς. 1183, 18.

Ἀφροδισιὰς, ὅτι οὕτως ἐκλήθη ποτὲ Τροιζὴν ἡ πόλις. 287, 11.

ἀφροδίσιος, εἶδος ἐρωδιοῦ. 804, 63.

Ἀφροδίτη, τὸ δῖ ἰῶτα. 413, 11.

Ἀφροδίτη λέγεται ὡς ἄρχουσα ἀφροσύνης. 414, 37.

Ἀφροδίτη ἡ μῖξις κατὰ μετωνυμίαν, Ὀδυσσ. χ', 444. 1934, 10.

Ἀφροδίτη ἑταίρα ἐπωνυμικῶς λέγεται διὰ τὸ χαίρειν ταῖς ἑταίραις. 1185, 3.

Ἀφροδίτης υἱὸς ἐλέγετο πᾶς τις ἡδὺς καὶ ἐπέραστος καὶ ὡς εἰπεῖν ἐπαφρόδιτος. 353, 10.

Ἀφροδίτης καὶ Ἄρεως μῖξις διαφόρως ἀλληγορουμένη διεξοδικῶς. 1597, 48 — 1598, 2.

Ἀφροδίτης ἀστὴρ ὅτι καὶ ἕσπερος καὶ στίλβων καὶ ἑωσφόρος λέγεται κατὰ καιροῦ μεταβολήν. 1271, 33.

Ἄφρος ἐθνικὸν βαρυτόνως πρὸς διαστολὴν τοῦ ἀφρὸς προσηγορικοῦ. 907, 3.

ἀφύαι ὅτι πληθυντικῶς λέγονται παρὰ τοῖς Ἀττικοῖς ὡς ἐπὶ τὸ πλεῖστον, σπανιώτατα δὲ ἑνικῶς. 1657, 43.

ἀφύειν ἐν ἴσῳ τῷ ἀφύσσειν ἐν τῷ, οἶνον ἐξαφύοντες, Ὀδυσσ. ξ', 95. 1752, 54.

ἀφυὲς ἀντὶ τοῦ μικροφυὲς, ὅθεν καὶ ἀφύη ὁ ἰχθὺς λέγεται ὡς μικροφυὴς ὢν ἐν ἰχθύσι. 1061, 1.

ἀφύη, εἶδος ἰχθύος, ὅτι διὰ τὸ ἀφυὴς ἤγουν μικροφυὴς εἶναι οὕτω λέγεται, καὶ ὅτι τῇ Ἀφροδίτῃ ἀφιέρωτο. 87, 35. 1061, 2.

ἄφυκτον ὅτι ἐκ τοῦ ἄφευκτον γέ-

ἤγουν ἤρτητο καὶ ἐκρέματο, σχηματισμὸς καὶ γραφὴ παρωληκτική. 413, 31. 1182, 61.

αως λήγουσαι μετοχαὶ ὀξύτονοι ἀπὸ παρακειμένων διὰ τοῦ αα, οἷον ἕσταα ἑσταώς, δέδαα δεδαώς, μέμαα μεμαώς, βέβαα βεβαώς, γέγαα γεγαώς. 1700, 44.

ἄως ἀντὶ τοῦ ἠώς, παρὰ τὸ ἄω, ὅ ἐστι λάμπω, καὶ ὅτι καὶ αὔως ἐπενθέσει Αἰολικῇ τοῦ υ λέγεται. 161, 15.

ἀωτεῖν ὕπνον, τὸ ὑπνοῦν ὕπνον ἀφρόντιδα καὶ ὡς εἰπεῖν ἀνθηρὸν, παρὰ τὸ ἄωτον, ὃ δηλοῖ ἐρίου ἢ λίνου ἀπάνθισμα. 1429, 13.

ἀωτεῖν, ὅτι τῷ ἀωτεῖν οὐκ ἔγκειται τὸ ὦς ὠτὸς, ἀλλὰ τὸ ἄωτον, ὅ ἐστιν ἄνθος. 796, 9.

ἀωτεύειν, ὑφαίνειν καὶ τὸ ὑπνοῦν, παρὰ τὸ ἄωτον, ὃ δηλοῖ ἐρίου ἢ λίνου ἀπάνθισμα. 1429, 20.

ἄωτοι οἱ νεκροὶ διὰ τὸ κωφὸν καὶ ἀναίσθητον. 1429, 19.

ἄωτον οἷος τὸ ἀκατέργαστον ἔριον, παρὰ τὸ ἄω προσλήψει συλλαβῆς, ὡς εἴδω εἴδωλον. 948, 60. 949, 1.

ἄωτον οἰὸς τὸ ἐξ ἐρίων ἀνθηρὸν ὕφασμα· ἄωτον γὰρ κυρίως τὸ ἄνθος, παρὰ τὸ ἄω τὸ πνέω, καὶ λίνου λεπτὸν ἄωτον τὸ ἐκ λίνου ἀπάνθισμα, καὶ οἰὸς ἄωτον τὸ ἐξ ἐρίων ἀπανθισθὲν, καὶ ἄκρον ἄωτον ἐν λογίοις λέγονται οἱ ἐν λόγοις ἀνθοῦντες, καὶ Θεόκριτος τοὺς Ἀργοναύτας θεῖον ἄωτον ἡρώων, καὶ Πίνδαρος τὴν λυρικὴν ἐπιστήμην μουσικῆς ἄωτον φασί· καὶ ἄωτον τὸ ἁπλῶς ἔριον, ὅπερ ἐστὶν οἷον δέρματος ἄνθος· καὶ ὅτι ἄωτον λέγεται τὸ διὰ τὴν ἁπαλότητα μὴ ἀκουόμενον ἐν τῷ πίπτειν· λέγεται δὲ καὶ ποτήριον ἄωτον ὁμωνύμως τὸ μὴ ἔχον ὦτα. 1429, 9—21.

Ἀρχὴ τοῦ Β στοιχείου.

β εἰς ζ τρεπόμενον, οἷον ἐν τῷ βέρεθρον ζέρεθρον. 381, 20.

β εἰς μ τρεπόμενον, οἷον ἐν τῷ σέβω σεμνός. 460, 39.

β ἐκ τοῦ φ τραπὲν Μακεδονικῶς, οἷον Βίλιππος ἀντὶ τοῦ Φίλιππος, καὶ ὅτι ἐν τῇ κατὰ Παμφυλίους διαλέκτῳ παντὸς φωνήεντος προτίθεται τὸ β, οἷον φάος φάβος, ἀέλιος βαβέλιος. 1654, 19.

β πλεονάζον διὰ καλλιφωνίαν ἐν τῷ γαμβρὸς καὶ μεσημβρία. 548, 15.

βᾶ ἐπίῤῥημα, ὅπερ εἰώθαμεν ἀντεμβοῶντες λέγειν. 855, 21.

βαβάκτης καὶ βάβαξ, λάλος, μαινόμενος, ἄσωτος, Γάλλος, ὅτι παρὰ τὸ βάζειν λέγεται. 1494, 61.

βάβαξ καὶ βαβάκτης, ὁ ἄσωτος καὶ λάλος καὶ μαινόμενος καὶ κατεχόμενος δαιμονίῳ τινὶ, ὅτι παρὰ τὸ βάζειν, ἀντὶ τοῦ φλυαρεῖν ἀκουόμενον, λέγεται. 1431, 49. 1494, 61. 1604, 60.

βαβέλιος ἀντὶ τοῦ ἀέλιος, ὅ ἐστιν ἥλιος, κατὰ γλῶσσαν Παμφυλίων. 1654, 21.

βαδίζω ὅτι παρὰ τὸ βάδω παρῆκται. 637, 7.

βάδος ἀντὶ τοῦ βάδισις, ὡς δοκὸς ἀντὶ τοῦ δόκησις. 1627, 44.

βάδος ὄνομα καὶ βάδω ῥῆμα ὅτι συστοιχοῦσι τῷ βαδίζω. 637, 5.

βάζω, ὅτι ἐκ τοῦ φῶ, ὅ ἐστι λέγω, γίνεται φάζω καὶ Μακεδονικῶς ἢ Σικελικῶς βάζω. 741, 30. 1654, 17.

βαθεῖα λαῖλαψ ἡ εἰς βάθος ἱκνουμένη τοῦ ἀέρος. 846, 4.

βαθεῖα νειὸς ἡ εἰς βάθος σχιζομένη. 811, 19.

βάθος ἔχειν λέγεται οὐ μόνον τὸ ὕδωρ, ἀλλὰ καὶ δάσος τι καὶ ὕλη καὶ τάξις στρατιωτική. 1822, 36.

βάθρακος ὁ βάτραχος Ἰωνικῶς κατὰ ἀντιστοιχίαν. 468, 33. 746, 16.

βαθύζωνοι γυναῖκες ἀντὶ τοῦ εὔστολοι. 1462, 2.

βαθύκολποι ἐπίθετον κατὰ βαρβαρικῶν γυναικῶν λεγόμενον παρ' Ὁμήρῳ. 1146, 4.

βαθύλειμος λέγεται τόπος τις ἀντὶ τοῦ πολύχορτος. 743, 29.

βαθὺ λήιον ἐπιθετικῶς τὸ ὑψηλοὺς καὶ εὐτραφεῖς ἔχον στάχυας. 862, 54.

Βάθυλλος Ἀλεξανδρεὺς ὀρχηστὴς, ζήτει ἐν τῷ ἐμμέλεια. 1942, 7.

βάθυλλος ὁ βαθυκλῆς ὑποκοριστικῶς. 989, 49.

βαθὺς ἀὴρ ὁ ζόφος παρ' Ὁμήρῳ. 1121, 33.

βαίνειν καὶ βαίνεσθαι ἀντὶ τοῦ ποιεῖν καὶ πάσχειν κατὰ συνουσίαν. 1678, 59.

βαίνω ὅτι ἀπὸ τοῦ βῶ μονοσυλλάβου παρῆκται. 1603, 12.

βαιὸν ἐντρέπεσθαι ἀντὶ τοῦ οὐδόλως ἐπιστρέφεσθαι. 610, 9.

βαιὸς ὁ μικρὸς, Βαῖος δὲ κύριον. 1967, 23.

βαιὼν, εἶδος ἰχθύος, καὶ παροιμία, μή μοι βαιὼν κακὸς ἰχθύς. 1211, 23.

Βάκχαι ἀλληγορικῶς αἱ ἄμπελοι. 629, 22.

Βακχέβακχος φωνὴ ὅτι οὐ σύγκειται ἐκ τῆς Βάκχε κλητικῆς, ὡς οὐδὲ τὸ γυναιμανὲς ἐκ τῆς γύναι. 380, 17.

Βακχεῖος, ποὺς μετρικὸς ἐκ βραχείας καὶ δύο μακρῶν, διὰ τὸ τοὺς ἐπὶ Βάκχῳ ὕμνους πλεονάζειν αὐτῷ οὕτω λεγόμενος. 1551, 55.

Βάκχος, ὁ μανιώδης καὶ ἀκρατὴς, ὅτι παρὰ τὸ βάζω βέβαχα λέγεται πλεονασμῷ τοῦ κ. 493, 26. 629, 29. 962, 61. 1494, 62.

Βάκχων, ἀντὶ τοῦ Βακχυλίδης καθ' ὑποκορισμὸν, ὅτι διὰ τοῦ ω μεγάλου κλίνεται. 1653, 33.

βαλανειόμφαλοι φιάλαι αἱ καθ' ὁμοιότητα τῶν ἐν τοῖς βαλανείοις ὀμφαλῶν εἰργασμέναι. 1261, 21.

βάλανοι δρυῶν κυρίως λέγονται, καὶ φοινίκων δὲ καθ' ὁμοιότητα, καὶ βάλανος ὁμωνύμως τὸ ἄκρον τοῦ αἰδοίου, καὶ ὅτι καὶ φάρμακόν τι οὕτω καλεῖται, καὶ ὅτι καὶ Διὸς βάλανοι τὰ κάστανα λέγονται. 1458, 48. 1657, 16.

βάλανοι φηγοῦ καὶ φοινίκων, καὶ βάλανοι τὰ Εὐβοϊκὰ κάσταινα καὶ τὰ Σαρδιανὰ, καὶ Διὸς βάλανοι τὰ Ποντικὰ κάρυα. 948, 48.

βαλβῖδες αἱ κατὰ τὴν ἀφετηρίαν γραμμαὶ, καὶ ἐγκοπαὶ εἴτουν ἐξοχαὶ, δι' ὧν ἔστι κατιέναι εἰς φρέατα. 1404, 55.

βαλεῖν ἀγκύρας τὸ κατὰ βυθοῦ ῥῖψαι. 1619, 63.

βαλεῖν ἐν χερσὶν ἀντὶ τοῦ θεῖναι παρ' Ὁμήρῳ. 1093, 44.

βαλεῖν ἀντὶ τοῦ τιθέναι καὶ ἀντὶ τοῦ ῥίπτειν. 675, 46.

βαλεῖν ἐν ἴσῳ τῷ ἁπλῶς τυχεῖν καὶ εὐστοχῆσαι, κἂν μὴ ἐκ τῆς

βολῆς τραῦμα ἐπακολουθήσῃ. 1030, 62. 1078, 45. 1252, 24.

βαλεῖν κεφαλὴν ἑτέρωσε παρ' Ὁμήρῳ, ἤγουν ἐπὶ θάτερα κλίνειν. 714, 58.

βαλεῖν ἐν κονίαις τὸ κτεῖναι καὶ καταβαλεῖν παρ' Ὁμήρῳ. 704, 49.

βαλεῖν τὸ πόῤῥωθεν καθικέσθαι, οὐτάσαι δὲ τὸ ἐγγύθεν πατάξαι. 506, 18.

βαλεῖν τινὰ καὶ βαλεῖν χαλκὸν ἐν στήθεσί τινος παρ' Ὁμήρῳ. 551, 17.

βαλεῖν χεῖρα ἀμφὶ ἔγχει, φράσις Ὁμηρική. 1915, 61.

βάλετο ἐνὶ λ̄ ἀορίστου δευτέρου, βάλλετο δὲ δυσὶ παρατατικοῦ. 170, 37.

βαλὴν ὁ βασιλεύς, ὅτι βαρβαρικὴ οὖσα ἡ λέξις ἐπεχωρίασε τοῖς Ἕλλησι. 381, 17. 1854, 25.

βαληναῖον ὄρος τὸ βασιλικὸν, ὅτι παρὰ τὸ βαλὴν, ὅ ἐστι βασιλεὺς κατὰ γλῶσσαν, λέγεται. 381, 17. 1854, 26. [381, 17. scr. βαληναῖον.]

Βαλίμερ Γότθος σπινθηροβολήσας ποτὲ ἐκ τοῦ ἰδίου σώματος, ἱστορία. 513, 4.

Βαλίος βαρυτόνως ὄνομα ἵππου, βαλιὸς δὲ ὀξυτόνως ὁ ταχὺς ἢ στικτὸς παρὰ τὸ βάλλειν, ὅ ἐστι κεντεῖν καὶ στίζειν, καὶ ὅτι Ξάνθος καὶ Βαλίος οἱ Τιτᾶνες εἰς ἵππους μετεβλήθησαν καὶ ἐδόθησαν τῷ Πηλεῖ, μῦθος διεξοδικός. 1051, 16. 1190, 11. 55. 1309, 4.

βάλλ' ἐς κόρακας, καὶ, βάλλ' ἐς μακαρίαν, ἀντὶ τοῦ, ἄπαγε εἰς ὄλεθρον· ζήτει ἐν τῷ, εἰς κόρακας. 1405, 35. 1746, 62.

βάλλειν ἀντὶ τοῦ νοεῖν ἐπιτυχῶς. 1410, 44.

βάλλειν ἐν θυμῷ ἀντὶ τοῦ ἐνθυμεῖσθαι. 1410, 38.

βάλλειν ἁπλῶς κατὰ γενικὴν ἔννοιαν ὅτι τὸ πλήττειν δηλοῖ. 857, 23. 866, 1.

βάλλειν βήματα ἀντὶ τοῦ κατὰ βῆμα πορεύεσθαι. 812, 46.

βάλλειν εἰς οἶνον φάρμακον παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐμβάλλειν καὶ ἐντιθέναι. 1493, 24.

βάλλειν ἐπὶ τοῦ θεῖναι ἢ ῥῖψαι. 583, 1. 584, 39. 598, 1. 1225, 3.

βάλλειν ὀδόντας λέγονται τὰ ζῷα ἀντὶ τοῦ ἐκβάλλειν καὶ ῥίπτειν. 583, 21.

βάλλειν καὶ βεβλῆσθαι, ὅτι βεβλῆσθαί τις κατὰ παντοῖον ἕλκος γενικῶς λέγεται. 965, 62.

βάλλειν καὶ ἐνδιαβάλλειν τὸ διαμπὰξ καὶ συκοφαντικῶς βάλλειν. 106, 17.

βάλλειν καὶ οὐτᾶν, ὅτι τὸ μὲν πόῤῥωθεν, τὸ δὲ ἐκ τοῦ ἐγγὺς γίνεται. 523, 27. 1040, 41.

βάλλειν ὄμματα λέγει Ὅμηρος, ὅπερ οἱ ὕστερον ῥίπτειν τὰς ὄψεις. 1799, 25.

βάλλειν χεῖρας ἀμφὶ γούνασι παρ' Ὁμήρῳ ἀντὶ τοῦ ῥίπτειν ἢ τιθέναι. 1574, 10.

βάλλειν ὅτι οὐδέποτε ἐπὶ τοῦ ἁπλῶς ἀφιέναι τίθεται παρ' Ὁμήρῳ. 451, 28.

βάλλειν, ὅτι τὰ ἀπὸ τοῦ βάλλειν κινούμενα ποτὲ μὲν ἔχουσι τὸ ἄλφα, ποτὲ δὲ ἀντ' αὐτοῦ τὸ ο̄. 1406, 50.

βάλλειν πρὸς ἀλλήλους τινὰς ἀντὶ τοῦ συμβάλλειν. 1085, 62.

βάλλειν τὸ πόῤῥωθεν ἀφιέντα ἐπιτυγχάνειν, καὶ τὸ ῥίπτειν καὶ τὸ τιθέναι. 42, 21. 29.

βάλλειν τὸ ἁπλῶς ἐπιτυγχάνειν καὶ τὸ ῥίπτειν. 516, 17. 713, 8. 12. 1181, 7.

βάλλειν ὅτι παρὰ τὸ βίᾳ ἢ ἐκ βιοῦ, ὅ ἐστι τόξον, ἰάλλειν ἢ ἅλλεσθαι τὸ ἀφιέμενον λέγεται, καὶ βάλλειν τὸ προέσθαι καὶ τὸ τρῶσαι καὶ τὸ ῥῖψαι, καὶ περὶ τῶν ἐξ αὐτοῦ καὶ παρ' αὐτοῦ κινουμένων κατὰ τὰς προειρημένας σημασίας ἔκθεσις διεξοδικωτάτη. 1404, 46 — 1406, 55.

βάλλεσθαι ἐν ἴσῳ τῷ βάλλειν ἤγουν τιθέναι πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον καὶ ἐν τῷ, ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, Ἰλιάδ. ξ', 50. 966, 38.

βάλλεσθαι ἀντὶ τοῦ ῥίπτειν ἐκ μεταφορᾶς τῶν κύβων ἐν τῷ, νῦν δ' ἑτέρως ἐβάλοντο θεοὶ κακὰ μητιόωντες, Ὀδυσσ. α', 234. 1414, 2.

βάλλεσθαι ἐν θυμῷ ἐν ἴσῳ τῷ βάλλειν ἐν θυμῷ, ὅ ἐστιν ἐνθυμεῖσθαι. 1031, 11. 1719, 23.

βάλλεσθαι πήραν ἀμφ' ὤμοις, Ὀδυσσ. ρ', 197. ἀντὶ τοῦ ἐνάψασθαι. 1815, 31.

Βαλλήνη, ἡ καὶ Παλλήνη, πόλις Θρᾴκης, ὅθεν καὶ Βαλληνικὸν βλέπειν αἰνιγματικῶς λέγεται ὁ ἕτοιμος ὢν βάλλειν ἤδη λίθοις τὸν ἐχθρόν. 1618, 43.

βαλλίζειν τὸ κωμάζειν ἢ χορεύειν, ὅθεν παρέφθαρται τὸ βαβαλλίζειν. 1051, 18.

βαλλισμὸς ἐκ τοῦ βαλλίζειν, ὅ ἐστι κωμάζειν ἢ χορεύειν. 1051, 18.

βάλλω τὸ ἀφίημι βέλος καὶ τὸ ἐπιτυγχάνω καὶ τὸ καταῤῥίπτω καὶ τὸ τίθημι, ζήτει ἐν τῷ βάλλειν. 422, 36.

βαμβαίνειν τὸ συγκρούειν τοὺς ὀδόντας ὑπὸ ῥίγους ἢ δέους. 812, 42 — 46.

βαμβαλίζειν τὸ τρέμειν ὑπὸ ψύχους. 812, 45.

βάναυσος, οἱονεὶ βαύναυσος, παρὰ τὸ βαῦνος καὶ τὸ αὔω, ὅ ἐστι καίω καὶ ἐξάπτω. 1547, 57.

βάπτω ὅτι παρὰ τὸ βῶ, ὅ ἐστιν ἐμβιβάζω, λέγεται· ἔστι γὰρ βάπτειν τὸ ἐμβιβάζειν καὶ ἐνιέναι ποι τὸ βαπτόμενον. 1746, 14.

βαρβαρικαὶ εἴτουν ἐθνικαὶ λέξεις ἐπιχωριάσασαι τοῖς Ἕλλησιν, οἷον ἀχάνη, ἅβρα, ἀβυρτάκη, ἄγγαρος. 1854, 14

βαρβαρισμὸς ὅτι ἁμάρτημά ἐστι προφορᾶς ἐν λέξει παρὰ τόνον ἢ χρόνον ἢ διάλεκτον ἢ πνεῦμα, καὶ ὅτι ὁ παρὰ διάλεκτον βαρβαρισμὸς σαρκασμὸς λέγεται κωμικώτερον. 367, 44. 1949, 31.

βάρβαρος, ὅτι κατὰ τῶν δυσεκφόρως καὶ τραχέως φθεγγομένων ἐλέγετο κατ' ἀρχὰς ἡ λέξις, ὕστερον δὲ τούτῳ τῷ ὀνόματι πάντα τὰ λοιπὰ ἔθνη πρὸς τοὺς Ἕλληνας ἀντιδιῃρεῖτο. 367, 28. 33 — 368, 2.

βαρβαρόφωνοι ἐκαλοῦντο οἱ Ἐρετριεῖς διὰ τὸν τοῦ ρ̄ πλεονασμὸν, καὶ ὅτι ταὐτὸ ἤκουον καὶ Κᾶρες καὶ Ἠλεῖοι. 279, 33. 367, 26.

βάρβιλον, ὅτι οὕτω λέγεται ὁ καρπὸς τῆς κρανείας. 1657, 20.

βάρδιστος, βραδύτατος, καὶ ὅτι κατὰ μετάθεσιν ἐκ τοῦ βράδιστος λέγεται. 1302, 40.

βαρεῖαι χεῖρες αἱ κακοποιοὶ παρ'

Ὁμήρῳ, καὶ ὅτι βαρεῖαν χεῖρα ἀντὶ τοῦ ἀριστερὰν ἐνόησάν τινες. 54, 26. 81, 15.

βαρεῖαι χεῖρες ἐπιθετικῶς αἱ τῶν πυκτευόντων, ὅτι παρὰ τὸ βίᾳ αἱρεσθαι λέγονται ἐτυμολογικῶς. 1324, 28.

βαρύτονα ῥήματα τὰ αὐτὰ καὶ περισπωμένως λεγόμενα, οἷον ἕλκω καὶ ἑλκῶ, αἴδομαι καὶ αἰδοῦμαι, ἐπιμέλομαι καὶ ἐπιμελοῦμαι. 111, 40. 1257, 12.

βαρυτόνησις λέξεων, ὅτι οἱ Αἰολεῖς φιλοῦσι βαρυτονεῖν τὰς λέξεις. 517, 37.

βαρύτονον λέγεται καὶ τὸ ἐν συνεπείᾳ ἀνόξυντον μόριον. 930, 55.

βαρυχνᾶς, πάθος τι, ὃ καὶ ἐφιάλτης λέγεται. 561, 10.

βασίλεια ἀντὶ τοῦ δέσποινα ἐνίοτε παρ' Ὁμήρῳ. 1578, 24.

βασίλεια ὅτι καὶ βασίλινα καὶ βασίλισσα λέγεται παρὰ τοῖς ὕστερον, ζήτει ἐν τῷ βασιλεύς. 1514, 43.

βασιλεία ἐστὶν ἔννομος μοναρχία. 202, 11.

βασίλεια σῦκα, ζήτει ἐν τῷ, βασιλίδες ἰσχάδες. 1964, 7.

βασιλειᾶν τὸ βασιλείας ἀντιποιεῖσθαι. 1425, 41.

βασιλείας τέλος, ὅτι βασιλείας τέλος τίθησιν Ὅμηρος πλοῦτον καὶ τιμήν. 1425, 30.

βασίλειος ὅτι ἐκ τοῦ βασιλήιος λέγεται. 217, 44.

βασίλειος στοὰ Ἀθήνησι πλησίον τῆς τοῦ ἐλευθερίου Διὸς στοᾶς. 1425, 43.

βασιλεῖς παρ' Ὁμήρῳ καὶ τοῖς μετ' αὐτὸν ποιηταῖς οἱ ἔνδοξοι καὶ βασιλικοὶ ἄνδρες καὶ οἱ δικασταί, καὶ ἁπλῶς οἱ εὐγενεῖς. 1425, 47.

βασιλεῖς, ὅτι τῶν σφαιριζόντων τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν, τοὺς δὲ ἡττημένους ὄνους, οἳ καὶ ὄνοι καθῆσθαι ἐλέγοντο. 1601, 41.

βασιλεῖς, ὅτι καὶ οἱ κατὰ μέρος ἄρχοντες βασιλεῖς λέγονται ἐν τῷ, ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο, Ἰλιάδ. υ', 84. 1198, 29.

βασιλεύς, ὅτι καὶ τὸν οἰκοδεσπότην ἐνδέχεταί ποτε σημαίνειν ἡ λέξις. 1162, 44.

βασιλεύς, τὸ θηλυκὸν οὐ μόνον βασίλεια ὡς ἱερεὺς ἱέρεια, ἀλλὰ καὶ βασίλισσα Ἀττικῶς καὶ βασιλίννα παρὰ Μενάνδρῳ. 1425, 39.

βασιλεὺς ἐπὶ δικαστοῦ παρ' Ἡσιόδῳ (ἔργ. 200.) ἐν τῷ, αἶνον βασιλεῦσ' ἐρέω. 1158, 35.

βασιλεὺς Περσῶν, ὅτι μιᾷ ῥητῇ ἡμέρᾳ ἐξῆν αὐτῷ μεθύσκεσθαι· ζήτει ἐν τῷ, Περσῶν βασιλεύς. 1834, 6.

βασιλέων τοῦ Περσῶν καὶ τοῦ Σουσίου καὶ τοῦ Αἰγυπτίου ἐξαίρετά τινα βρώματα καὶ πόματα, ἱστορία. 1499, 61.

βασιλέως φίλος παρὰ Πέρσαις, ἱστορία. 1837, 27.

βασιλίδες ἰσχάδες, παρὰ τὸ ἐκ τῶν βασιλείων καλουμένων σύκων γίνεσθαι οὕτω λεγόμεναι. 1964, 8.

βασιλίδες, εἶδος ὑποδημάτων οὕτω καλούμενον. 1425, 40.

βασιληὶς τιμὴ παρ' Ὁμήρῳ ἡ βασιλική. 636, 6.

βασιλικὴ ἄμπελος, καὶ βασιλικὸν προσκεφάλαιον, καὶ βασιλικὸν ὑποπόδιον, ἱστορία. 1484, 10. 14.

βασιλίνδα, παιδιὰ παρὰ τὸ βασιλέα τινὰ ἐν αὐτῇ καθίστασθαι οὕτω λεγομένη. 1425, 41.

βασιλίννα ἀντὶ τοῦ βασίλεια, ὅ ἐστι βασίλισσα. 1514, 43.

βασιλὶς ὅτι καὶ βασίλεια καὶ βασίλισσα καὶ βασιλίννα λέγεται. 1425, 39.

βάσκ' ἴθι ὅτι ἐκ παραλλήλου ταὐτὸ δύνανται, ἢ τὸ μὲν βάσκε ἀντὶ τοῦ πορεύθητι, τὸ δὲ ἴθι ἐπίῤῥημα παρακελευστικόν. 165, 37. 719, 61.

βάσκω τὸ λέγω, ὅτι παρὰ τὸ βῶ βάσω γέγονε. 922, 60.

Βασσάραι αἱ τοῦ Διονύσου τροφοί, ἐτυμολογία. 989, 31.

βαστάζεσθαι ἐλέγοντο αἱ τράπεζαι μετὰ τὴν δαῖτα, ὅ ἐστιν αἴρεσθαι, παρατίθεσθαι δὲ ἐν καταρχῇ δαιτός. 1525, 59.

βαταρίζειν λέγονται οἱ δυσεκφόρως φθεγγόμενοι. 367, 29.

Βάτεια κύριον καὶ πόλις, ἱστορία καὶ ἐτυμολογία τῆς φωνῆς· ζήτει ἐν τῷ Βατίεια. 351, 29. 44.

βατεῦνται λέγει Θεόκριτος περὶ ζῴων ἀῤῥένων καὶ θηλέων συνουσιαζόντων. 741, 48.

βατήρ, ὅτι ἡ ἀρχὴ τοῦ τῶν πεντάθλων σκάμματος οὕτως ἐλέγετο, καὶ ἦν ὅμοιόν τι τῇ τῶν δρομέων βαλβῖδι. 1404, 56.

Βατίεια παρ' Ὁμήρῳ, ἡ καὶ Βάτεια, ὅτι ἡ τοῦ Δαρδάνου γυνὴ οὕτως ἐκαλεῖτο, ἀφ' ἧς καὶ τόπος τις περὶ Τροίαν ὁμωνύμως ἐκλήθη· τινὲς δὲ Βάτειαν πόλιν Τρωϊκὴν ἀπὸ τῶν περὶ αὐτὴν βάτων, ἑρμηνεία διεξοδική. 351, 25—36.

βάτος, φυτὸν ἀκανθῶδες, ὅτι οἱονεὶ βατὸς λέγεται ἀντιφραστικῶς, καὶ ὅτι βαρύνεται, καὶ περὶ τὸ γένος ἀμφισβητεῖται· Βάττος δὲ δυσὶ τ, ὄνομα βασιλέως Λιβυκοῦ. 1960, 27.

βάτραχοι οὐρανόθεν κατενεχθέντες ὑετοῦ δίκην, ἱστορία. 35, 18.

βαττολογεῖν, ζήτει ἐν τῷ Βάττος. 1960, 31.

Βάττος δυσὶ τ, ὄνομα βασιλέως Λιβυκοῦ, ἀφ' οὗ τὸ βαττολογεῖν δοκεῖ λέγεσθαι. 1960, 31.

βαυβᾶν τὸ κοιμᾶσθαι κατὰ γλῶσσαν. 1761, 27.

βαΰζειν τὸ ὑλακτεῖν παρὰ Θεοκρίτῳ. 1749, 40.

βαυκίδες, εἶδος ὑποδήματος οὕτω καλούμενον, καὶ ὅτι καὶ φελλὸς ταῖς βαυκίσιν ἐνεκαττύετο. 1522, 10.

βαῦνος ὁ κάμινος, καὶ βαῦνος ἡ τοῦ πυρὸς ἑστία, τουτέστι πρόσγειος ἐσχάρα, ἡ πρὸς βιωτικὴν χρῆσιν γινομένη. 132, 33. 1511, 13. 1557, 40. 1564, 34.

βδάλλειν τὸ ἐκμυζᾶν. 464, 33.

βεβαιωτικὰ ἐπιῤῥήματα, δήπου, δήπουθεν, δηλαδή, πάντως, ἀμέλει. 1407, 11.

βέβηλος τόπος ὁ παντὶ βάσιμος· ζήτει ἐν τῷ βηλός. 156, 29. 1003, 40.

βεβίηκα, παρακείμενος τοῦ βιῶ βιήσω. 1043, 29.

βεβλῆσθαι ἀντὶ τοῦ ἁπλῶς ἕλκος ἔχειν ἐνίοτε παρ' Ὁμήρῳ. 967, 2.

βεβολήατο, ἐβέβληντο, ὅτι ἀπὸ τοῦ βολῶ βολήσω κεκίνηται. 731, 40. 1405, 3.

βεβολημένος ἀντὶ τοῦ βεβλημένος. 731, 43.

βεβολῆσθαι ἀντὶ τοῦ βεβλῆσθαι. 1657, 28.

βέβουλα ὅτι ἐκ τοῦ βεβούληκα συγκέκοπται. 1403, 51. 1434, 11.
βεβριθυῖα ἀντὶ τοῦ βαρεῖα, ἀπὸ τοῦ βρίθειν. 1242, 20.
βεβρώθω ῥῆμα, ἐκ τοῦ βρῶ βρώθω, ὡς κλῶ κλώθω, καὶ διπλασιασμῷ βεβρώθω. 442, 18.
βεβρὼς βεβρῶτος ὅτι ἐκ τοῦ βεβρωκὼς συγκέκοπται. 229, 12.
βεβρωτωμένα τεύχεα τὰ αἵματι μεμολυμμένα. 1672, 17.
βεβρῶτος γενικὴ μετοχικὴ ὅτι ἐκ τοῦ βεβρωκότος γέγονε κατὰ συγκοπήν. 1248, 48.
βέβυκται ἀντὶ τοῦ πεφλυάρηται. 1604, 59.
βεβύσθαι οὓς λέγεται βλαβὲν τὸν ἀκουστικὸν πόρον. 1489, 8.
βεβυσμένος ὁ γέμων καὶ μετὰ ὠθισμοῦ μεμεστωμένος, ἀπὸ τοῦ βύω. 1489, 5.
βέῃ δεύτερον πρόσωπον ῥηματικὸν ὅτι ἐκ τοῦ βέω βῶ κεκίνηται, καὶ ἔστι δεύτερον τοῦ βέομαι, οὗ χρῆσις παρ' Ὁμήρῳ. 1090, 5. 1342, 34.
βείδιοι οἱ ἄρχοντες παρὰ Λάκωσι, τὸ βῑ δίφθογγον. 1453, 11.
βειέλοπες οἱ ἱμάντες παρὰ Λάκωσι, τὸ βῑ δίφθογγον. 1453, 11.
βείομαι, ἀντὶ τοῦ βιώσομαι, ὅτι ἐκ τοῦ βῶ βείω γίνεται, ἢ ἐκ τοῦ βέομαι ἐπενθέσει τοῦ ῑ. 1090, 8. 1278, 15. 1342, 34.
βεκκεσέληνος, παρ' Ἀριστοφάνει ὁ ἀρχαῖος καὶ ἁπλοῦς, ὅτι πρὸς ὁμοιότητα σύγκειται τοῦ προσέληνος, ὃ τοῖς Ἀρκάσιν ἐπετίθετο. 300, 27.
βέλεμνον καὶ βέλος ὅτι παρὰ τὸ βέλλειν δοκοῦσιν ἔχειν τὸ ε̄. 42, 28.
Βελλεροφόντης κύριον, ἱστορία καὶ ἐτυμολογία, καὶ ὅτι Ἱππόνους ἢ Λεωφόντης πρότερον ἐκαλεῖτο, καὶ ὅτι καὶ Βελλεροφῶν τετρασυλλύβως καὶ Βέλερος εὕρηται λεγόμενον. 632, 2—8.
Βελλεροφόντης καθ' ἑαυτοῦ γράμματα, παροιμία. 633, 55.
βέλος ὅτι ἐκ τοῦ βέλλω ἀῤῥήτου θέματος δοκεῖ ἔχειν τὸ ε̄. 1406, 52.
βέλος φωνὴ ἐκτείνουσα ἐνίοτε τὴν λήγουσαν διὰ μέτρου χρείαν. 42, 41.
βέλος, πᾶν τὸ πόῤῥωθεν βαλλόμενον. 704, 53.
βέλος ἐνίοτε ἡ βολὴ καὶ ἡ ἐκεῖθεν ὀδύνη. 996, 36.
βέλος, ὅτι καὶ τὸ δόρυ καὶ τὸ ξίφος βέλος λέγεται. 502, 21. 547, 17. 644, 47.
βέλος τὸ βαλλόμενον δόρυ, ὀρεκτὸν δὲ τὸ ἐκ χειρὸς ὀρεγομένης οὐτάζον. 552, 39.
βέλος ὠκὺ λέγει Ὅμηρος τὸ σφοδρῶς ἀφεθὲν δόρυ, Ἰλιάδ. ξ', 407. 995, 43.
βέλος τὸ τοῦ ὀϊστοῦ σιδήριον, ὅθεν ὀϊστὸς ὀξυβελής. 452, 28.
βέλος ὀξύ, αἱ τῶν τικτουσῶν γυναικῶν ὠδῖνες, Ἰλιάδ. λ', 269. 843, 23.
βελουλκίας τρόποι τρεῖς παρ' Ὁμήρῳ. 464, 41.
βελτίων ὅτι παρὰ τὸ βάλλειν λέγεται. 1448, 12.
βένθος ὅτι παρὰ τὸ βάθος λέγεται κατὰ γλῶσσαν. 99, 5.
βένθος τὸ βάθος, ὡς πένθος τὸ πάθος. 695, 33.
βέομαι, βιάζομαι ἢ βαίνω ἐν τῷ, τῷ ῥα καὶ οὔτι Διὸς βέομαι φρεσίν, Ἰλιάδ. ο', 194. 1012, 47.
βέρβερι, ὄστρακον φέρον τὸν μαργαρῖτιν λίθον. 759, 50.
Βερβέριοι, ὄνομα παικτικῶς πεπλασμένον παρὰ τῷ κωμικῷ ὡς τοπικόν, πρὸς ὁμοιότητα τοῦ Κιμμέριοι. 1671, 4.
βέρεθρον ὅτι ἐκ τοῦ βάραθρον γέγονε τροπῇ τοῦ ᾱ εἰς ε̄. 695, 32. 1715, 38.
Βερενίκη, πόλις Λιβύης, καθ' ἣν ποταμὸς Λήθων καλούμενος, περὶ ὃν πολλαὶ κινάραι φύονται. 1822, 26.
βερτέρη κατὰ γλῶσσαν ἡ παρ' Ὁμήρῳ ὑπερτερία, ὅ ἐστι τῶν ἁμαξῶν κιβωτοειδὲς πλινθίον. 1551, 26.
βη λήγοντα ὀνόματα θηλυκὰ καὶ βος ἀρσενικὰ ἀπὸ ῥημάτων εἰς πτω ληγόντων παρηγμένα, οἷον βλάπτω βλάβη, καλύπτω καλύβη, κύπτω κύβος. 1083, 62. 1732, 16.
βῆ βῆ ὅτι μίμημά ἐστι φωνῆς προβάτων. 592, 18. 768, 13. 1721, 28.
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων, Ἰλιάδ. α', 44. ἀντὶ τοῦ κατέβη δέ. 52, 5.
βήῃ ἀντὶ τοῦ βαίη, ὡς στήῃ ἀντὶ τοῦ σταίη. 1090, 20.
Βῆλος κύριον καὶ ὄνομα ποταμοῦ ὅτι προπερισπᾶται, βηλὸς δὲ προσηγορικὸν ὀξύνεται. 156, 37.
βηλὸς ὀξυτόνως βαθμός, παρὰ τὸ βῶ βήσω. 1003, 40.
βηλὸς ὁ τῆς οἰκίας βατήρ, παρὰ τὸ βαίνεσθαι, ὅθεν βέβηλοι τόποι οἱ βατοί, ἀβέβηλοι δὲ οἱ ἄβατοι, καὶ βηλὸς θεσπέσιος διαφόρως ἀλληγορούμενον ἐν τῷ, ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο, Ἰλιάδ. α', 591. 156, 28—38.
βηλὸς θεσπέσιος παρ' Ὁμήρῳ ὅτι πρὸς διαστολὴν τῶν μὴ τοιούτων λέγεται. 157, 11.
βῆμα ὅτι παρὰ τὸ βῶ βήσω βέβηκα βέβημαι λέγεται. 722, 38.
βῆν, ἀντὶ τοῦ ἔβην παρ' Ὁμήρῳ, ὅτι περισπᾶται. 1647, 31.
βῆναι ἀντὶ τοῦ ἀποβῆναι καὶ ἀποπλεῦσαι ἐν τῷ, οἱ δ' ἐκβήσαντες ἔβησαν, Ὀδυσσ. ω', 301. 1961, 53.
βῆναι κατ' οὐδοῦ παρ' Ὁμήρῳ ἀντὶ τοῦ τῇ θύρᾳ ἐγγίσαι ἢ εἰσελθεῖν. 1513, 53.
βήρηξ, τολύπη ἐρίου καὶ φύραμα μάζης ὁμωνύμως. 1414, 29.
Βῆσα διὰ ἑνὸς σ̄, πόλις Λοκρίδος καὶ δῆμος τῆς Ἀττικῆς. 276, 2. 277, 34.
βῆσα ἐνὶ σ̄, εἶδος ποτηρίου πλατὺ τὰ κάτω, στενὸν δὲ τὰ ἄνω. 1405, 15.
βῆσεν ἀφ' ἵππων, παρ' Ὁμήρῳ ἀντὶ τοῦ, ἀνελὼν κατέῤῥιψεν, ἢ ἀντὶ τοῦ, ἐξ ὀχημάτων ἀνέτρεψε. 1088, 27.
Βῆσσοι, ἔθνος Θρᾳκικόν. 277, 32.
βητάρμονες παρ' Ὁμήρῳ οἱ δεξιοὶ ὀρχησταί, παρὰ τὸ βαίνειν ἐναρμονίως. 1594, 44.
βία ἡ δύναμις, καὶ βίᾳ ἐπίῤῥημα ἤγουν δυναστικῶς. 129, 43.
βία ἐπὶ ἰσχύος καὶ ῥωμαλεότητος παρ' Ὁμήρῳ. 1834, 10.
βία, ὅτι ἡ ἀκούσιος κατοχὴ βία λέγεται. 1012, 24.
βία φρενῶν ἡ φρόνησις περιφραστικῶς. 380, 42.
βιάζεσθαι ἐπὶ παθητικῆς ἐννοίας

ἐν τῷ, πυκινοῖσι βιαζόμενον βελέεσσιν, Ἰλιάδ. λ', 576. 863, 55.
βιάζεσθαι τὸν μισθὸν ἀντὶ τοῦ βίᾳ ἀποστερεῖν. 1246, 14.
βιάζω ὅτι παρὰ τὸ βιῶ βιήσω παρῆκται. 1089, 8.
βίαιον νόημα οἱ μεθ' Ὅμηρον ῥήτορες τὸ γενναῖον καὶ ἀνδρικόν. 476, 43.
Βίας, υἱὸς Ἀμυθάονος, ἀδελφὸς Μελάμποδος τοῦ μάντεως, ἐξ οὗ καὶ γένος οἱ Βιαντίδαι, ὅτι ἐκ Πηροῦς τῆς Νηλέως ἔσχε παῖδας Περιάλκην καὶ Ἄρητον καὶ θυγατέρα Ἀλφεσίβοιαν, καὶ ὅσα ἔπαθεν αὐτὸς καὶ Μελάμπους ὁ ἀδελφὸς διὰ τὸν τῆς Πηροῦς γάμον, ἱστορία διεξοδική. 1685, 10—48.
Βίας, ἀδελφὸς Μελάμποδος, τὰ δύο μέρη σχῶν τῆς Προίτου βασιλείας, ἱστορία. 1480, 6.
βιᾶσθαι τὸ ἁπλῶς βιάζεσθαι καὶ τὸ γυναῖκα πειρᾶν. 1936, 50.
βιβάζειν τὸ ὀχεύειν ὁμωνύμως, κυρίως δὲ τὸ βαίνειν. 1735, 30.
βιβᾶν μακρὰ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐπὶ πολὺ διαστᾶν τὰ σκέλη. 677, 30.
βιβάσθω ὅτι ἐκ τοῦ βιβῶ βιβάσω γίνεται ἐπενθέσει τοῦ ϑ. 1037, 38. 1071, 28.
βίβλινον σχοινίον, ζήτει ἐν τῷ βύβλινον διὰ τοῦ υ ψιλοῦ. 1913, 28.
βιβλινοπέδιλος ὁ βύβλινα ὑποδήματα φορῶν, ζήτει ἐν τῷ βύβλος διὰ τοῦ υ ψιλοῦ. 1913, 43.
βίβλοι, τὰ ὑποκείμενα σώματα τοῖς γράμμασιν, ὅτι ἐκ τῆς ἀρχαίας χρήσεως τῶν βυβλίνων παπύρων λέγονται κατ' ἐναλλαγὴν φωνήεντος 421, 29. 633, 16.
βίβλος, ζήτει ἐν τῷ βύβλος διὰ τοῦ υ ψιλοῦ. 1913, 28.
βίη Ἰφικληείη καὶ βίη Ἡρακληείη, περιφραστικῶς ὁ Ἰφικλῆς καὶ ὁ Ἡρακλῆς. 1686, 11.
Βιθυνοὶ ὅτι Βυζαντίοις ἐδούλευσάν ποτε. 1090, 60.
βῖκοι, οἰνοδόχα ἀγγεῖα καὶ ἁπλῶς ὀστράκινα σκεύη μεγάλα. 1163, 23.
Βίλιππος ἀντὶ τοῦ Φίλιππος κατὰ γλῶσσαν διὰ τὴν τοῦ β πρὸς τὸ φ συγγένειαν. 1618, 43.
βίος ἡ ζωή, ὅτι ἐκ τοῦ βιός, ὅ ἐστι τόξον, οἴονταί τινες παρῆχθαι τὴν φωνὴν διὰ τὸ τοὺς ἀρχαίους ἀνθρώπους ἐκ βιοῦ, ὅ ἐστι τόξον, ποριζέσθαι τὸν βίον. 852, 1.
βίος ἡ ζωή, βιὸς δὲ τὸ τόξον παρὰ τὴν βίαν. 41, 2.
βιὸς τὸ τόξον, ὅτι τῷ μὲν ὀνόματι βίος ἐστί, τῷ δὲ ἔργῳ θάνατος. 851, 64.
βιοτὴ ὀξύτονον θηλυκὸν τοῦ βίοτος βαρυτόνου. 94, 32. 1087, 4.
βίοτος κοινῷ ὀνόματι λέγονται πάντα τὰ εἰς βίον χρήσιμα. 971, 51.
βίοτος βαρυτόνως, βιοτὴ δὲ ὀξυτόνως. 1087, 4.
βιστάκια, τὰ καὶ πιστάκια. 1210, 42.
βιτίνα, ἀγγεῖον ποιόν. 1163, 31.
βιῶ βιήσω παρ' Ὁμήρῳ ὅτι πρωτότυπόν ἐστι τοῦ βιάζω, βιῶ δὲ βιώσω ἀντὶ τοῦ ζῶ, ὃ ἐκ τοῦ βέω βῶ δοκεῖ γενέσθαι προσλήψει τοῦ ι. 1043, 30. 1089, 6. 1090, 6.
βιῷατο ἀντὶ τοῦ βιάζοιντο. 857, 7.
βιώσαο ἀντὶ τοῦ ἐβιώσαο, ὅ ἐστι ζῆν πεποίηκας καὶ ὡς εἰπεῖν ἐζώγρησας, ὅτι ἀλλοπαθῶς εἴρηται ἐν τῷ, σὺ γάρ με βιώσαο κούρη, Ὀδυσσ. θ', 468. 1605, 28. 34.
βιώτω, ἤγουν ζήτω, ὅτι ἐκ τοῦ βιούτω γέγονε τροπῇ τῆς ου εἰς ω Δωρικῶς. 721, 39. 1418, 13.
βλάβεται παρ' Ὁμήρῳ ἀντὶ τοῦ βλάπτεται. 1732, 16.
βλάβος ἡ βλάβη, ὡς καὶ δίψος ἡ δίψα, ὅτι ἀπὸ σεσιγημένου ῥήματος τοῦ βλάβω δοκεῖ λέγεσθαι. 1410, 17.
βλάβω τὸ βλάπτω, ζήτει ἐν τῷ βλάπτω. 54, 13. 991, 6. 1410, 17.
βλακεύεσθαι τὸ μωραίνειν, παρὰ τὸ βλάξ, ὅ ἐστιν εὐήθης, καὶ τὸ νωθρεύεσθαι παρὰ Ξενοφῶντι. 1405, 33.
βλακεύματα αἱ εὐήθειαι. 1405, 33.
βλὰξ ὁ καταβεβλημένος διὰ τρυφὴν ἢ εὐήθειαν, καὶ βλὰξ ὁμωνύμως εἶδος ἰχθύος ἀχρεῖον. 1405, 32.
βλάπτειν κυρίως τὸ συμποδίζειν τὸν τρέχοντα, ὅτι ἐκ τοῦ βάλλειν, ὅ ἐστι ῥίπτειν, καὶ τοῦ λάπτειν σύγκειται. 768, 21. 1410, 21.
βλάπτειν γούνατά τινος ἀντὶ τοῦ συμποδίζειν καὶ τῆς κατὰ φύσιν ἐνεργείας ἀποσφάλλειν. 680, 40.
βλάπτειν κελεύθου, Ὀδυσσ. α', 195. ἀντὶ τοῦ κατέχειν καὶ κωλύειν. 1410, 16. 24.
βλάπτεσθαι ἀντὶ τοῦ προσκόπτειν. 623, 28.
βλάπτεσθαι ἐν ἴσῳ τῷ προσκόπτειν, παρὰ τὸ βάλλεσθαι ἤγουν ῥίπτεσθαι ὥστε λάπτεσθαι. 623, 28. 768, 64.
βλάπτω ὅτι καὶ βλάβω δοκεῖ λέγεσθαι, ὅθεν τό, βλάβεται δέ οἱ γούνατ' ἰόντι, Ἰλιάδ. τ', 166. Ὀδυσσ. ν', 34. ὁ ἀόριστος δεύτερος ἔβλαβον, ἡ μετοχὴ ὁ βλαβείς, καὶ βλάβη ὄνομα. 991, 6. 1410, 16.
βλασφημία, βολή τις ἐν φήμαις. 1489, 54.
βλασφημίαι ἀπὸ ἐθνῶν ἢ πόλεων παρωνύμως λεγόμεναι, οἷον Κρητίζειν, Λεσβιάζειν. 741, 20.
βλάσφημος ὁ φήμαις βάλλων. 219, 39. 1490, 3.
βλαῦται ἀφόρητοι, ὑποδήματα μήπω φορηθέντα. 454, 38.
βλαύτης καὶ βλαυτίον ὑποκοριστικῶς τὸ ὑπόδημα, καὶ βλαυτῶν ἀναγωγαὶ τὰ ἰδιωτικῶς λεγόμενα καλάμια τῶν ὑποδέσεων. 995, 30.
βλαυτίον ὑποκοριστικῶς τὸ ὑπόδημα. 995, 30.
βλάχνον, ἡ καὶ πτέρις, βοτάνη τις. 1017, 19.
βλαψίφρων ἐν ἴσῳ τῷ φρενοβλαβής, ἤγουν βεβλαμμένος τὰς φρένας. 1039, 50.
βλεῖο, δεύτερον πρόσωπον εὐκτικὸν μέσου ἀορίστου δευτέρου ἐκ τοῦ βλείοιο συγκοπὲν ἐν τῷ, εἴπερ γάρ κεν βλεῖο πονεύμενος, Ἰλιάδ. ν', 288. 932, 25. 1907, 47.
βλεμεαίνειν, οἱονεὶ φλεβεαίνειν, παρὰ τὸ φλὲψ φλεβός, καὶ δηλοῖ τὸ γαυριᾶν καὶ ἐπαίρεσθαι ἢ ἐπιῤῥώννυσθαι, καὶ οἷον βρέμειν καὶ ὀργίζεσθαι. 54, 15. 892, 2.
βλεμεαίνειν τὸ περίβλεπτον εἶναι ἢ τὸ δεινοῦσθαι τῷ βλέμματι ἢ τὸ βρέμειν, οἱονεὶ βρεμεαίνειν, ἐναλλαγῇ ἀμεταβόλου εἰς ἀμετάβολον. 716, 14. 1194, 45.
βλεπεδαίμων ὁ διεστραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς, καὶ ὅτι τοὺς Σωκρατικοὺς οὕτω τινὲς ἐκάλουν. 206, 27.

βλέπειν νάπυ ἢ ὀρίγανον λέγονται οἱ δριμεῖς ἄνθρωποι, καὶ βλέπειν Ἄρην ἀντὶ τοῦ πολεμικὸν καὶ ἄγριον βλέπειν. 1054, 52.

βλέπησις ὅτι παρὰ τὸν βλεπῶ δεύτερον μέλλοντα λέγεται. 450, 31.

βλέπος ἀντὶ τοῦ βλέμμα παρὰ Ἀριστοφάνει. 1286, 23.

βλεπῶ, δεύτερος μέλλων ἀναγόμενος εἰς ἐνεστῶτα. 450, 31.

βλήδην ληγόντων τινῶν ἐπιῤῥημάτων ἀναλογία, οἷον ὑποβλήδην, ἀναβλήδην, παραβλήδην. 438, 43.

βλησείδιον, ζήτει ἐν τῷ βλῆσις. 241, 31.

βλῆσις σύστοιχον τῷ ἀνάβλησις, ὅθεν καὶ βλησείδιον λέγεται. 241, 31.

βλῆτο ἀντὶ τοῦ ἐπλήγη. 1120, 5.

βλῆτρον, κύκλος σιδηροῦς, δι' οὗ δύο ξύλα εἰς ἓν συμβάλλονται, καὶ ὅτι κατ' ἔνδειαν τοῦ σ λέγεται. 384, 7. 1021, 44. 1037, 41.

βληχᾶσθαι λέγονται κυρίως τὰ πρόβατα, καὶ βληχὴ ἡ τῶν προβάτων φωνή· ὅτι παρὰ τὸ βῆ, ὅ ἐστι μίμημα τῆς τῶν προβάτων φωνῆς, δοκεῖ λέγεσθαι ἡ βληχὴ πλεονασμῷ τοῦ λ ἐν συνθέσει τοῦ ἦχος, ἵν' ᾖ βληχὴ ὁ τοῦ βῆ ἦχος. 1721, 22. 29.

βληχᾶσθαι λέγονται τὰ πρόβατα, μηκᾶσθαι δὲ αἱ αἶγες. 494, 10. 1619, 46. 1638, 28.

βληχρὸν ἐν ἴσῳ τῷ ἀβληχρόν, ὅ ἐστιν ἀσθενές. 705, 61.

βλισσὴ πέτρα ἀκρωτήριον τῆς Γορτυνίας, ἣ καὶ βλισσὴν ἀρσενικῶς ὡς σωλήν. 1468, 38.

βλοσυρὸς ὅτι παρὰ τὸ ὑποσύρειν τὸ βλέμμα λέγεται, καὶ ὅτι δι' ἑνὸς σ εὕρηται γραφόμενον πολλαχοῦ παρ' Ὁμήρῳ. 68, 36. 677, 4. 768, 14. 829, 5. 1033, 14. 1406, 38.

βλοσυρῶπις καὶ βλοσυρωπὸς ὅτι παρὰ τὸ βλοσυρὸν λέγονται. 677, 5. 829, 5.

βλὸψ ὁ τῆς κλεψύδρας ἦχος μιμητικῶς. 768, 11.

βλύζειν λέγονται ὕδατα, ὅ ἐστιν ἐκ γῆς ἀναδίδοσθαι, καὶ ὅτι λειότερόν ἐστι τοῦ βρύειν. 1095, 16. 1106, 13.

βλῶ βλήσω ὅτι ἐκ τοῦ βολῶ συνεκόπη. 731, 42. 748, 26.

βλωθρὴ πίτυς, ὅτι παρὰ τὸ εἰς αἰθέρα μολεῖν τῷ ὕψει οὕτω λέγεται, οἱονεὶ μολοθρή. 986, 19. 1532, 44.

βλωθρὴ πίτυς ἐπιθετικῶς παρ' Ὁμήρῳ, διαφόρως ἑρμηνευόμενον καὶ ἐτυμολογούμενον. 939, 3.

βλωμὸς ταὐτὸ ὅπερ ψωμὸς, ὅ ἐστιν ἄρτου κόμμα ἁδρομερὲς, ὅτι ἐκ τοῦ βλῶ μονοσυλλάβου ἢ ἐκ τοῦ βάλλω λέγεται. 1224, 37. 1405, 5. 1635, 27. 29. 1817, 48.

βλώσκω ὅτι ἐκ τοῦ μολῶ μολίσκω γίνεται κατὰ μετάθεσιν καὶ τροπὴν καὶ συναίρεσιν. 1064, 5. 1722, 41. 1809, 17.

βο συλλαβὴ ἀρκτικὴ λέξεων, ὅτι τῶν παρὰ τὸ βόω βῶ, ὅ ἐστι βόσκω, τὸ μὲν βόσω καὶ βόσις καὶ βοτὴρ καὶ βότειρα διὰ τοῦ ο μικροῦ, τὸ δὲ βώτωρ καὶ βωτιάνειρα διὰ τοῦ ω μεγάλου γράφονται. 1723, 14. 22.

βοάα ἐν δυσὶν αα γράφεται παρ' Ὁμήρῳ πρὸς ἦχου μίμησιν. 994, 36.

βοάγρια, ἀσπίδες ἐκ βοῶν ἀγρίων. 1803, 3.

βοάγρια, ἀσπίδες ἐκ βοῶν ἀγρίων, ἀλλαχοῦ δὲ ὅτι βοάγρια τὰ ἐκ βοῆς, ὅ ἐστι μάχης, ἀγειρόμενα λάφυρα. 809, 25. 1803, 3.

Βοάγριος ποταμὸς, ὁ καὶ Μάνης ἐπονομασθείς. 277, 46.

βοᾶν, ἠπύειν, ἀΰειν, φωνεῖν, ἐπὶ τοῦ αὐτοῦ συνωνύμως. 994, 27.

βοᾶν τὸ τρανέστερον φωνεῖν, καὶ μακρὰ βοᾶν παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ εὐρὺ βοᾶν, ὀξὺ δὲ βοᾶν ἀντὶ τοῦ λιγέως βοᾶν. 732, 57. 1195, 35.

βόαξ καὶ βόηξ, ἰχθὺς, ὁ καὶ βῶξ, ὅτι τῷ Ἑρμῇ ἀφιέρωτο. 87, 34. 909, 11.

βοέη ἡ τοῦ βοὸς βύρσα, ὅτι ἐκ τοῦ βοείη λέγεται ἐκβολῇ τοῦ ι. 1880, 28. 32.

βοεία ἀσπὶς ὅτι πρὸς διαστολὴν λέγεται τῶν ἐξ ἄλλης ὕλης ἀσπίδων. 911, 61.

βοείη ἡ τοῦ βοὸς βύρσα, ἢ ἡ ἐκ βύρσης ἀσπὶς ἐν τῷ, ἐπεὶ οὐχ ἱερήιον οὐδὲ βοείην ἀρνύσθην, Ἰλιάδ. χ', 159. 1264, 12.

βοείη βοὸς παρ' Ὁμήρῳ, ὅτι παρέλκει ἡ προσθήκη τοῦ βοός. 1930, 54.

βόειος δημὸς, παρῳδία καὶ σκῶμμα κατὰ δήμου ἀλογίστου. 710, 51.

βόεοι ἱμάντες τὰ ἡνία περιφραστικῶς ἐν τῷ, ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν, Ἰλιάδ. ψ', 324. 1303, 26.

βόες αὗαι αἱ ἀσπίδες παρ' Ὁμήρῳ. 678, 30.

βόες ἰχθυοφάγοι, ὅτι περί που τὴν Θρᾴκην οἱ βόες ἰχθῦς παρατιθεμένους αὐτοῖς ἐν ταῖς φάτναις σιτοῦνται. 1720, 52.

βοεὺς βοέως ὁ ἐκ βοείου δέρματος ἱμάς. 1453, 2.

βοὴ ἄσβεστος ἐπιθετικῶς ἡ κατὰ μάχην λέγεται παρ' Ὁμήρῳ διὰ τὸ τῆς μάχης καυστηρόν. 829, 63.

βοὴ ἡ μάχη ἐκ τοῦ παρακολουθοῦντος, ὅθεν καὶ βοὴν ἀγαθὸς ὁ πολεμικὸς, καὶ ὅτι ἡ βοὴ οὐ καθ' αὑτὸ τὴν μάχην δηλοῖ, ἀλλ' ὑπακούεται ἡ μάχης γενικὴ, ἵν' ᾖ βοὴ μάχης. 140, 35. 247, 34. 951, 38.

βοὴ, ὅτι οὕτω λέγεται παρ' Ὁμήρῳ καὶ ὁ τῶν μελικῶν ὀργάνων ἦχος. 1157, 50.

βοηθεῖν τὸ εἰς βοὴν, ὅ ἐστι μάχην, θέειν. 1026, 46.

Βοηθόος κύριον, καὶ δηλοῖ τὸν μάχιμον, καὶ βοηθόον ἅρμα ἐπιθετικῶς. 1480, 60.

Βόηθος κύριον ὅτι ἐκ τοῦ Βοηθοος συγκέκοπται, καὶ ὅτι ἄλλως τονίζεται ἢ τὸ βοηθὸς ἐπίθετον. 907, 11. 1480, 63.

βοηθὸς ὅτι παρὰ τὴν βοὴν, ἤγουν μάχην, λέγεται. 439, 32.

βοηλασία ὅτι ἐκ τοῦ βοῦς καὶ τοῦ ἐλᾶν λέγεται. 877, 30.

βοὴν ἀγαθὸς ὁ κατὰ τὴν μάχην ἢ τὴν κραυγὴν δυνατός. 923, 20.

βοητὺς, ὡς ἐδητὺς, ἡ βοή. 1424, 10.

βόθροι τὰ ὀρύγματα. 1552, 62.

Βοιβηὶς λίμνη καὶ Βοίβη πόλις Θετταλικὴ, ἱστορία τοποθετική. 327, 21—34.

βοίδης ὁ πρᾶος καὶ εὐήθης, ὅτι παρὰ τὸν βοῦν λέγεται. 962, 18.

βοΐνος, εἶδος σάλπιγγος παρὰ Παφλαγόσιν, ἱστορία. 1139, 58.

βοιον λήγοντα ὀνόματα ἐκ τοῦ βοῦς

βου μόριον ἐν συνθέσει προτασσόμενον πρὸς ἐπίτασιν, ὅτι παρὰ τὸν βοῦν ἔχει τὸ μέγα τι σημαίνειν, καὶ κατάλογος τινῶν ἐξ αὐτῆς συγκειμένων ὀνομάτων. 252, 25. 962, 6. 1524, 49.

βούβαλις ὅτι κατὰ ἀναλογίαν τοῦ δάμαλις λέγεται, καὶ ὅτι καὶ τῶν βουβάλων τὰ νεογνὰ πῶλοι λέγονται. 1625, 44. 46.

βουβάρας ὁ μέγας καὶ ἀναίσθητος, παρὰ τὸν βοῦν καὶ τὸ βάρος. 962, 14.

βούβρωστις κυρίως ἡ μεγάλη πεῖνα, ἔτι δὲ καὶ ἡ μεγάλη λύπη, παρὰ τὸ βιβρώσκω· οἱ δὲ ὅτι δαίμων τις παρ' Ἴωσιν οὕτω καλούμενος, ἑρμηνεία διεξοδική. 1363, 60.

βουβὼν, τόπος τοῦ σώματος καί τι πάθος περὶ αὐτὸν ὁμωνύμως. 499, 12.

βουγάϊος ἐπίθετον παρ' Ὁμήρῳ διαφόρως ἑρμηνευόμενον καὶ ἐτυμολογούμενον. 962, 3. 11. 17.

Βούδεια, γυνὴ Βοιωτία, καὶ Βούδεια, πόλις Μαγνησίας καὶ ἄλλη Φρυγίας· καὶ Βούδεια Ἀθηνᾶ ἐπωνυμικῶς ἐν Θεσσαλίᾳ. 1076, 24.

Βούδειοι, ὄνομα ἔθνους Μηδικοῦ, καὶ γράφεται ὡς τὸ Κήτειοι. 1076, 28.

Βούδειον, πόλις Βοιωτική, ἡ καὶ Βούδεια, ἀπὸ Βουδείας γυναικὸς Βοιωτικῆς. 1076, 24—30.

βούδορα ἤματα προπαροξυτόνως κατὰ παθητικὴν ἔννοιαν, ἐν οἷς βόες ἐκδέρονται, ἢ βουδόρα παροξυτόνως κατὰ ἐνέργειαν τὰ βόας ἐκδέροντα. 1117, 53.

Βουδόρας ἢ Βούδορος, ποταμός τις περὶ Κήρινθον πόλιν Εὐβοίας. 280, 30.

Βουζύγης ὅτι πρῶτος ἄροτρον ἔζευξεν ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς. 1156, 57.

βουθυτεῖν ὗν καὶ τράγον παρὰ Ἀριστοφάνει ὅτι ἀκύρως εἴρηται. 160, 13.

βουκαῖος καὶ βοῦκος ὁ ἀγροῖκος. 962, 12.

βουκολεῖν ἵππους ὅτι ἀκύρως λέγεται. 159, 42. 160, 8.

βουκολεῖν καὶ ἀποβουκολεῖν ὅτι καὶ τὸ ἀπατᾶν σημαίνει. 212, 41. 1246, 2.

βουκολισμὸς ἡ τῶν βοσκόντων ᾠδή. 1164, 11.

Βουκόλος, ὄνομα κύριον ὁμωνύμως τῷ προσηγορικῷ. 1018, 46.

βουκόλος ὅτι παρὰ τὸ κόλον λέγεται, ὃ δηλοῖ τὴν τροφήν. 1817, 53.

βουκόλος βοῶν, ὅτι ἐκ περισσοῦ πρόσκειται τὸ βοῶν. 1867, 26.

βουκολῶ ὅτι καὶ βουκολίζω λέγεται κατὰ διφόρησιν καταλήξεως. 1416, 38.

βουκόρυζα ἡ μεγάλη κόρυζα, παρὰ τὸ βου ἐπιτατικόν. 962, 15.

βοῦκος καὶ βουκαῖος ὁ ἀγροῖκος. 962, 12.

Βουλγαρία, ἡ καὶ Παννονία. 1263, 31.

βούλεσθαι ὅτι ἐπίτασιν δηλοῖ τοῦ θέλειν. 61, 2.

βουλεύειν ἐν ἴσῳ τῷ βουλεύεσθαι παρ' Ὁμήρῳ. 1429, 22.

βουλὴ ἡ σύγκλητος παρ' Ὁμήρῳ, ἀγορὰ δὲ ἡ κοινὴ σύναξις. 1460, 25.

βουλὴ τὸ τῶν ἐντίμων συνέδριον, ὃ καὶ σύγκλητος λέγεται παρὰ τοῖς μεθ' Ὅμηρον, ἀγορὰ δὲ ἡ τοῦ πλήθους συνέλευσις, Ἰλιάδ. β', 53. 172, 5.

βουλὴ τὸ ἐπιτυχὲς σκέμμα, ὅτι οἱονεὶ βολὴ λέγεται ἐπενθέσει τοῦ υ, καὶ ὅτι τρία ταῦτα σημαίνει ἡ λέξις, τὸν τόπον, τοὺς βουλευτὰς καὶ τὸ περὶ οὗ ἡ σκέψις. 42, 24. 1404, 52.

βουληφόροι λέγονται παρ' Ὁμήρῳ οἱ ἐν ἀξιώμασιν ὄντες, ὡς παρὰ τοῖς ὕστερον οἱ τῆς συγκλήτου. 68, 1. 1731, 27.

βουληφόρος, ὅτι βουληφόρον προσειπών τις ἡγεμονικὸς ἄνδρα λεληθότως ὑποσκώπτει. 591, 1.

βουλεύω Ὅμηρος ἐνεργητικῶς ἐν ἴσῳ τῷ βουλεύομαι. 1630, 50.

βουλεύω δοτικῇ ἐκ δευτέρου καὶ αἰτιατικῇ ἐκ τρίτου, οἷον βουλεύω σοι ὄλεθρον. 998, 12.

βουλυτὸς τὸ μετὰ μεσημβρίαν μέρος τῆς ἡμέρας, ἤγουν ὁ δειλινὸς καιρὸς ὁ πρὸς ἑσπέραν, καθ' ὃν οἱ βόες λύονται τοῦ κάμνειν. 1086, 30. 1615, 38. 1676, 8.

βοῦν ἐπὶ γλώσσης φέρειν παροιμιακῶς λέγονται οἱ δωροδοκοῦντες. 252, 24.

Βουνίμας, τόπος τις ἐν τῇ πρὸς Ἰθάκην μεσογείῳ, ἐν ᾧ ἔφυγεν Ὀδυσσεὺς μετὰ τὴν μνηστηροφονίαν. 1675, 35.

βουνὸς ὅτι Λιβυκή ἐστι λέξις ἐπιχωριάζουσα τοῖς Ἕλλησι. 1854, 21.

βουπλὴξ, βούκεντρον ἢ πέλεκυς ἢ μάστιξ, ὅτι κανονικῶς ὀξύνεται. 629, 51.

Βουπράσιον, πόλις ἀξιόλογος τῆς Ἠλείας χώρας, ἱστορία. 303, 27. 882, 62.

βούπρωρα οὐδετέρως, ὅτι ἐκ τοῦ ὀρθοκραίρας λέγεσθαι τὰς ναῦς ἐπιθετικῶς, ὡς καὶ τὰς βόας, ἀφορμὴν ἔσχε τῆς συνθέσεως ἡ λέξις. 1725, 27.

βούπρωρος θυσία, ἡ καὶ τριττύα, ἥ τις ἦν ἐκ τριῶν ζῴων, βοὸς δηλονότι καὶ ἑτέρων δύο, παρὰ τὸ προηγεῖσθαι αὐτῆς οἷα νεὼς πρῶραν τὸν βοῦν, βούπρωρος λεγομένη. 1676, 38.

Βούρινα, ὄνομα πηγῆς τινὸς παρὰ τὸ βοὸς ῥινὶ ἐοικέναι τὸν τόπον οὕτω κληθεῖσα. 309, 2.

βοῦς, μόσχος, μονόκερως, ὁ ἐνιαυτὸς ἀλληγορικῶς. 73, 36.

βοῦς τυκτὴ, ἡ ἀσπὶς ἐκ βοείας βύρσης τετεχνιτευμένη. 894, 53. 56.

βοῦς ἡ βύρσα, ἀπὸ τοῦ ὅλου τὸ μέρος. 455, 43. 678, 29. 1880, 39.

βοῦς, εἶδος πέμματος, καὶ παροιμία, ἕβδομος βοῦς, καὶ, πέμπτος βοῦς, ἑρμηνεία διεξοδικὴ τῆς παροιμίας. 1165, 5.

βοῦς, σκῶμμα ἐπὶ ἀναισθησίας, καὶ παροιμία, βοῦν ἐπὶ γλώσσης φέρειν, καὶ ἄλλη, βοῦς ἐν αὐλείῳ κάθηται. 962, 18.

βοῦς, ὅτι παρ' Ἀθηναίοις ἀπώμοτον ἦν τὸ βόας ἐργάτας θύειν. 1717, 39.

βοῦς φωνὴ ἐν συνθέσει προτασσομένη ὅτι τὸ μέγα ὑπαγορεύει, ζήτει ἐν τῷ, βου μόριον. 962, 5.

βοῦς φωνὴ ἐν συνθέσει ὑποτασσομένη τιμῆς εἴτουν ἀξίας τινὸς πράγματος ὑπαγορεύει· καὶ βοῦς, νόμισμα παρ' Ἀθηναίοις· ζήτει ἐν τῷ, βοιον λήγοντα ὀνόματα. 252, 20 23.

βούσταθμον ὁ τῶν βοῶν σταθμὸς, τουτέστι τὸ βουστάσιον, παραγωγή. 582, 14. 658, 41.
Βούτης, υἱὸς Ποσειδῶνος, ἀφ' οὗ καὶ γένος οἱ Ἐτεοβουτάδαι. 13, 43.
βουφάγος, ὅτι εἶδός τι λάρων οὕτω λέγεται, καὶ ὅτι βουφάγοι ἄνθρωποι ἱστοροῦνται γεγονέναι Ἡρακλῆς, Λεπρεὺς, Θεαγένης Θάσιος, Μίλων Κροτωνιάτης καὶ Τίτορμος. 1523, 3—10.
βουφόνια, ἑορτὴ παρ' Ἀθηναίοις. 691, 63.
βοῶν ἡλικίας προσηγορίαι, ὅτι τῶν βοῶν οἱ μὲν τέλειοι καὶ ἐνόρχαι ταῦροι, αἱ δὲ θήλειαι βόες καλοῦνται, τὰ δὲ νέα δαμάλαι καὶ δαμάλιες καὶ μόσχοι καὶ πόριες καὶ πόρτιες καὶ πόρταχες. 1625, 41.
βοῶπις, θηλυκὸν τοῦ βοώπης ἀρσενικοῦ. 768, 43.
βοῶπις γυνὴ ἡ τρανῶς βλέπουσα. 394, 22.
βοῶπις Ἥρα, ἀλληγορικῶς μὲν διὰ τὰς περὶ τὸν ἀέρα βοὰς, ὅ ἐστιν ἤχους, μυθικῶς δὲ ἡ μεγαλόφθαλμος κατὰ βοῦν. 141, 28.
Βοώτης ὁ ἁμαξηγὸς, ὅτι οὕτω καλεῖται ἄστρον τι, ὁ καὶ Ἀρκτοῦρος διὰ τὸ τὴν ἅμαξαν, ἀφ' ἧς ἔχει τὸ Βοώτης λέγεσθαι, ταὐτὸ εἶναι ὅπερ ἡ Ἄρκτος τὸ ἄστρον· καὶ ὅτι ὁ Ἰκάριος ἀστροθετηθεὶς οὕτως ἐκλήθη, καὶ ὅτι διὰ τὸ κατὰ τὴν ἐπιτολὴν τοῦ ἄστρου τούτου βοηλατεῖν τοὺς ἀροτριῶντας οὕτως ἐκλήθη. 1535, 28. 38.
βρ ἀρκτικὸν λέξεων, ὅτι τὸ β̄ πρὸ τοῦ ρ̄ πλεονάζει Αἰολικῶς, οἷον ῥάκος βράκος, ῥόδον βρόδον, ῥυτὴρ βρυτήρ. 222, 4. 1387, 41. 1654, 22.
βρὰ καὶ βράδιον ἀντὶ τοῦ ῥᾴδιον Αἰολικῶς. 163, 21.
βράβηλα, τὰ καὶ κοκκύμηλα, ὅτι παρὰ τὸ τὴν βορὰν ἐκβάλλειν λέγονται ὡς εὐκοίλια. 1963, 34.
βράδιον Αἰολικῶς ἀντὶ τοῦ ῥᾴδιον, πλεονασμῷ τοῦ β̄. 1387, 41.
βράκα Ῥωμαϊκῶς τὸ κάλυμμα τῶν αἰδοίων. 216, 5.
βράκος Αἰολικῶς τὸ κοινῶς ῥάκος, πλεονασμῷ τοῦ β̄. 223, 4. 1387, 42.
βράσσων ὁ βραδὺς ἢ ὁ βραχὺς ἢ ὁ βρασσόμενος ἐν τῷ, ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις, Ἰλιάδ. κ', 226. 800, 10.
βράσσων συγκριτικὸν ἀρσενικὸν καὶ βρᾶσσον οὐδέτερον, ὅτι ἐκ τοῦ βραδὺς βραδίων ἢ τοῦ βραχὺς βραχίων γεγόνασιν. 630, 19. 1584, 14.
βραχέα φωνήεντα ὅτι ταχέως ἐκφωνεῖται, τὰ δὲ μακρὰ βραδύτερον. 900, 21.
βραχέα φωνήεντα ὅτι κατὰ τέσσαρας τρόπους κοινῆς συλλαβῆς ἐνδέχεται ἐκτείνεσθαι. 81, 1.
βραχεῖα συλλαβὴ ἐκτεινομένη δι' ἐπαγωγὴν τελείας στιγμῆς λόγῳ κοινότητος, οἷον ἐν τῷ, μή μ' ἀπογυιώσῃς μένεος, Ἰλιάδ. ζ', 265. 641, 28.
βραχεῖα συλλαβὴ ὅτι διὰ πολλά τινα ἐκτείνεσθαι δύναται λόγῳ κοινότητος, καὶ ἔκθεσις τῶν τρόπων διεξοδικῶς. 480, 36. 625, 13. 654, 48. 1465, 4—18.
βραχεῖα συλλαβὴ ληκτικὴ λέξεως ἐκτεινομένη διὰ φωνήεντος ἐπιφορὰν, οἷον ἐν τῷ, Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ, Ἰλιάδ. ξ', 1. καὶ, ὤτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσιν, Ἰλιάδ. ρ', 215. 963, 47. 1103, 15.
βραχεῖαι δύο ἀντὶ μιᾶς βραχείας ἐν συνιζήσει. 12, 22.
βράχειν ὅτι μίμημά ἐστι ταυρείας φωνῆς, καὶ ὅτι καὶ θύραι ἀνοιγόμεναι καὶ ἡ γῆ βαρουμένη καὶ ὕδατα καὶ ὅπλα καταπεσόντα βράχειν λέγονται παρ' Ὁμήρῳ, καὶ ὅτι τραχυφωνεῖται ἡ λέξις διὰ τὴν τῶν β̄ καὶ ρ̄ καὶ χ̄ στοιχείων ποιότητα. 911, 4. 1001, 9. 22. 1242, 26.
βράχειν ἐπὶ ὅπλων ἤχου καὶ ἄξονος καὶ θυρῶν, καὶ ἁπλῶς ἐπὶ μεγάλης βοῆς. 613, 1. 615, 12.
βράχειν, ὅτι ἄδηλον εἰ ἔχει κίνησιν κλίσεως, ὥς περ τὸ βρέχειν. 927, 12.
βραχίων ἐπαλληλία ἐν λέξεσιν ὅτι πολλῶν καὶ διαφόρων παθῶν ἀφορμὴ γίνεται, καὶ ἔκθεσις τῶν παθῶν. 611, 33.
βραχέων ἐπαλληλίας ἐν μιᾷ λέξει διάφοροι θεραπεῖαι πρὸς εὐχρηστίαν μέτρου δακτυλικοῦ. 422, 28—34. 474, 16.
βραχίων θηλυκῶς ἡ ὅλη χεὶρ, ἀρσενικῶς δὲ μέρος οὕτω καλούμενον ὁμωνύμως τῷ ὅλῳ. 945, 20.
βράχος βράχεος ὅτι παρὰ τὸ ῥάχις ῥάχεως, ὅθεν καὶ αἱ ῥαχίαι πέτραι, δοκεῖ παρῆχθαι, πλεονασμῷ τοῦ β̄. 747, 57.
βρέγμα διὰ τοῦ γ̄ καὶ βρεχμὸς διὰ τοῦ χ̄, μέρος τῆς κεφαλῆς διὰ τὸ οἱονεὶ βεβρέχθαι καὶ ἁπαλὸν εἶναι τοῖς βρέφεσιν. 584, 32.
βρέμειν ὅτι κατὰ πυρὸς καὶ ἀνέμων καὶ ὑδάτων λέγεται, καὶ ὅτι καὶ βρέμεσθαι λέγεται ἐπὶ τοῦ αὐτοῦ. 203, 35. 439, 1. 919, 37. 994, 28. 55.
βρένθειον, μῦρόν τι, ὅτι παρὰ τὸ βρένθος λέγεται, ὃ δηλοῖ τὴν ἀλαζονείαν. 695, 33.
βρένθος, ὑπερηφανία, ἀλαζονεία. 695, 33.
βρενθύεσθαι, κατατρυφᾶν ἀλαζονικῶς, ὅτι παρὰ τὸ βρένθος λέγεται, ὃ δηλοῖ τὴν ἀλαζονείαν. 695, 34.
Βρεντέσιον πόλις ὅτι εὐλίμενος καὶ ὅτι κέρασιν ἐλάφου κατὰ τὸ σχῆμα ἔοικε, καὶ ὅτι βρεντέσιον ἡ Μεσαπίων γλῶσσα τὴν τοῦ ἐλάφου λέγει κεφαλήν. 1409, 9.
βρέφος ἀντὶ ἐμβρύου παρ' Ὁμήρῳ ἐν τῷ, βρέφος ἡμίονον φορέουσαν, Ἰλιάδ. ψ', 266. καὶ ἀνάπαλιν ἔμβρυον ἀντὶ βρέφους ἐν τῷ, καὶ ὑπ' ἔμβρυον ἦκεν ἑκάστη, Ὀδυσσ. ι', 245. 309. 342. 1299, 42. 1627, 28.
βρέφος, τὸ ἄρτι γεγονὸς παιδάριον, ὅτι παρὰ τὸ τρέφω λέγεται, οἱονεὶ τρέφος. 727, 15. 1392, 29.
βρέχω ὅτι ἐκ τοῦ βρῶ μονοσυλλάβου παρήχθη, καὶ ὅτι καὶ ἐπὶ τοῦ πίνειν τίθεται τὸ βρέχειν. 890, 48. 1635, 64.
βρεχμὸς, ἐτυμολογία· ζήτει ἐν τῷ βρέγμα. 584, 32.
βρι ἐπιτατικὸν μόριον ὅτι ἐκ τοῦ βριθὺ ἢ βριαρὸν ὀνόματος ἀπεκόπη. 295, 5. 1395, 46.
Βριάρεω τάφος ἐπὶ λόφου τινὸς κατὰ τὸν Ῥυνδακὸν ποταμὸν, ὅπου καὶ πίδακές τινες Βριάρεω παλάμαι καλούμεναι. 123, 38.

Ἀρχὴ τοῦ Γ στοιχείου.

δῶρον [ἐν γάμῳ διδόμενον. 1541, 49.

γαμηλιὼν, μὴν παρ' Ἀθηναίοις εἰς γάμους ἀφωρισμένος, καὶ γαμηλιὼν ὁμωνύμως εἶδος πλακοῦντος. 1156, 45.

γαμῆσαι τὸ γυναῖκα λαβεῖν, γαμέσαι δὲ τὸ γυναῖκα δοῦναι. 758, 52.

γάμος, ὁμίλου συνέλευσις ἐπὶ γάμῳ τινῶν ἐν τῷ, εἰλάπιν' ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν, Ὀδυσσ. α', 226. 1413, 1.

γάμος, οἱονεὶ δάμος, παρὰ τὸ δεδμῆσθαι ἀλλήλοις τοὺς συζύγους. 1418, 37.

γάμος τὸ συνοικέσιον, ὅτι ἐν Ἀθήναις πρῶτον ἤχθη Κέκροπος εἰσηγησαμένου. 1156, 40.

γαμφηλαὶ αἱ γένυες, ὅ ἐστι σιαγόνες, ὅτι παρὰ τὸ γέγναμπται λέγονται. 853, 62. 927, 58.

γαμψῶνυξ γαμψώνυχος, ὅτι παρὰ τὸ γνάμπτω λέγεται ἐλλείψει τοῦ ν̄. 1928, 30.

γάνος ἡ χαρὰ, ὅτι παρὰ τὸ γάλα λέγεται τροπῇ τοῦ λ̄ εἰς ν̄. 200, 1. 918, 30.

γανοῦσθαι τὰ χαλκώματα χυδαϊκῶς λέγονται ἀντὶ τοῦ κασσιτέρῳ χρώζεσθαι εἴτουν ἀλείφεσθαι, ἃ καὶ γεγανωμένα λέγονται. 1188, 61.

γανόωντες θώρακες, ὅ ἐστι γάνος ἐμποιοῦντες τοῖς βλέπουσιν αὐτούς. 930, 11.

γανύειν καὶ γανύσκεσθαι ὅτι παρὰ τὸ γάνος λέγονται. 1205, 23.

Γαννμήδης ὁ ἡδὺς βουλεύεσθαι, παρὰ τὸ γάνος καὶ τὸ μήδεσθαι, καὶ ὅτι δι' ἑνὸς ν̄ γράφεται· καὶ ὅτι ἡ μυθευομένη Γανυμήδους ἁρπαγὴ τὸν ἄωρον τοῦ παιδὸς θάνατον αἰνίττεται, καὶ ὅτι καὶ ἱστορικῶς οἱ μέν τινες ὑπὸ Ταντάλου φασὶν αὐτὸν ἁρπαγῆναι, οἱ δὲ ὑπὸ Μίνωος. 1205, 10. 23.

γάννμι ὅτι οὐκ ἔχει μέλλοντα, ζήτει ἐν τῷ γανύσσεται. 998, 60.

γάνυσθαι καὶ γανύσκεσθαι τὸ χαίρειν, καὶ γάνως ἡ χαρὰ, ὅτι δι' ἑνὸς ν̄ γράφονται, ὡς δῆλον ἐκ τοῦ, οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται, Ὀδυσσ. μ', 43. καὶ τοῦ, πιόμεν' ἐκ βοτάνης, γάνυνται δ' ἄρα τε φρένα ποιμήν, Ἰλιάδ. ν', 493. 944, 3. 1710, 9.

γανύσκω ὅτι ἐκ τοῦ γανύω παρῆκται. 998, 60.

γανύσσεται, χαρήσεται, ἐκ τοῦ γανύω· τὸ γὰρ γάννμι οὐ κινεῖται εἰς μέλλοντα. 998, 60.

γανῶντες θώρακες, ἤγουν γάνος ἐμποιοῦντες, καὶ γανῶσαι πρασιαὶ κατὰ μεταγωγὴν τοῦ πάθους ἀπὸ τῶν πασχόντων ἐπὶ τὰ ποιοῦντα. 1574, 28. 31.

γὰρ σύνδεσμος ἀντὶ τοῦ ἐπειδὴ ἐν ἀρχῇ λόγου. 349, 29. 956, 62. 1370, 54.

γὰρ σύνδεσμος παρέλκων ἢ πρός τι ὑπακουόμενον ἀποδιδόμενος. 1137, 9. 1666, 39. 1866, 5.

Γάργαρα πληθυντικῶς καὶ Γάργαρον ἑνικῶς, ἀκρωτήριον Ἴδης καὶ πόλις Αἰολικὴ ἐν τῇ Τρωάδι, ἐτυμολογία τῆς φωνῆς, καὶ ἱστορία περὶ τῆς πόλεως, ἣ καὶ Γάργαρος λέγεται κατὰ θηλυκὸν γένος· καὶ ὅτι ἡ γάργαρα φωνὴ πλῆθος σημαίνει ἐν τῷ ψαμμοκοσιογάργαρα. 309, 21. 697, 26. 48. 986, 50.

Γαργαρεῖς, ἔθνος μιγνύμενον ταῖς Ἀμαζόσιν, ἀπὸ Γαργάρου πόλεως Τρωικῆς. 986, 46.

γαργαρεὼν, ὅτι παρὰ τὸ ποιὸν ἦχον ἀποτελεῖν οὕτω λέγεται. 697, 28.

γαργαρίζειν τὸ ποιὸν ἦχον ἀποτελεῖν τῷ γαργαρεῶνι. 697, 28.

Γάργαρος, πόλις Τρωάδος κατὰ θηλυκὸν γένος, Γάργαρον δὲ οὐδετέρως ἀκρωτήριον τῆς Τρωικῆς Ἴδης, καὶ ἐτυμολογία τῆς φωνῆς. 986, 44. 50.

γάρος ὅτι καὶ γάρον λέγεται κατὰ γένους μεταπλασμόν. 1148, 25.

γαρύειν τὸ φωνεῖν. 686, 22.

γαστέρες, φῦσκαι πλήρεις κνίσης καὶ αἵματος, Ὀδυσσ. σ', 44. 1837, 13.

γαστροπλὴξ, ὁ καὶ γαστρίμαργος. 1837, 39.

γαστὴρ, ὅτι ἡ γογγυλὶς παρὰ Λάκωσι, παρὰ δὲ Βοιωτοῖς ἡ κράμβη γαστὴρ λέγεται. 1577, 63.

γάστρα ὅτι ἐκ τῆς γαστέρα αἰτιατικῆς συγκοπείσης εἰς εὐθεῖαν ἀνέδραμε. 665, 6.

γάστρα νεὼς ἰδιωτικῶς τὸ ἔδαφος αὐτῆς. 1532, 64.

γάστρη τρίποδος ἡ κοιλότης, ἡ οἷον γαστὴρ, ἀλλαχοῦ δὲ ὅτι γάστρη τρίποδος ὁ πυθμήν· καὶ ὅτι πρὸς ὁμοιότητα τοῦ πάτρη ἐσχημάτισται ἡ λέξις. 1146, 37. 1605, 5.

γαστρίζεσθαι τὸ κορέννυσθαι καὶ τὸ κατὰ γαστρὸς τύπτεσθαι. 1881, 53.

γάστρις ἀντὶ τοῦ γαστρίμαργος. 1837, 39.

γαστρίσαι τὸ χορτάσαι καὶ τὸ κατὰ γαστρὸς πλῆξαι. 1837, 38.

γαστροειδής, ὅτι οὕτω καλεῖται ὑπὸ τῶν Ἀττικῶν πᾶς τις τὴν γαστέρα ἐξωγκωμένος, παρὰ τὸ οἰδεῖν. 1684, 28.

γαστρὸς, εἴτουν γαστριμαργίας, ψόγος ἐκ γνωμολογίας Ὁμηρικῆς. 1820, 6. 12.

Γαύιοι, ἔθνος Σκυθικὸν, οὓς Ἀβίους Ὅμηρος ὀνομάζει, ἱστορία. 916, 24.

γαυλὸς, σκεῦος ποιμενικὸν εἰς τὸ ἀμέλγειν χρήσιμον, ὅτι παρὰ τὸ γάλα λέγεται πλεονασμῷ τοῦ ῡ, καὶ ὅτι ὀξυτόνως προφέρεται· γαῦλος δὲ βαρυτόνως, εἶδός τι πλοίου καὶ ἡ ἀντλία ὁμωνύμως. 1625, 3. 1626, 8.

γαῦλος ταὐτὸ ὅπερ ἄντλον, ὅ ἐστι μέρος τι τῆς νεὼς, ἐν ᾧ συῤῥέει τὰ ὕδατα· ζήτει ἐν τῷ γαυλός. 1728, 56.

γδοῦπος ἀντὶ τοῦ δοῦπος, ὅθεν καὶ ἐρίγδουπος· ὅτι τῆς Ἠπειρωτῶν διαλέκτου ἐστὶν ἡ πρόσθεσις τοῦ γ̄. 1064, 8.

γδοῦπος καὶ γδουπεῖν ῥῆμα ὅτι ἐκ προσθήκης τοῦ γ̄ λέγονται κατὰ γλῶσσαν ἀντὶ τοῦ δοῦπος καὶ δουπεῖν, καὶ ὅτι ἡ γδοῦπος λέξις ἐν συνθέσει μόνον εὑρίσκεται. 633, 45. 829, 39. 1722, 47.

γὲ σύνδεσμος ὅτι οὐκ ἀεὶ ἀργῶς πρόσκειται, ἀλλ' ἔχει καί τινας ἐμφάσεις ἐννοιῶν, οἷον περιγραφὴν, ὡς ἐν τῷ, οὐ γένος γε κακὸν καὶ ἀνάλκιδα, Ἰλιάδ. ξ', 126. 969, 56.

γέα διὰ τοῦ ε̄ ψιλοῦ καὶ γαῖα διὰ διφθόγγου ὅτι παρὰ τὸ γῶ, ὅ ἐστι χωρῶ ἢ τίκτω, λέγονται, καὶ ὅτι ἐκ τοῦ ψιλοῦ μαρτυρημένου

γέα τὸ γῆ κέκραται, καὶ ὅτι ἐξ ἑκατέρου παράγονταί τινα. 188,

γεγανωμένα χαλκώματα τὰ κασσιτέρῳ κεχρωσμένα. 1188, 64.

γέγηθα ὅτι ἐκ τοῦ γεγήθηκα γέγονε κατὰ δευτέραν κίνησιν, ὡς ἐκ τοῦ πεφίληκα τὸ πέφιλα. 1700, 38.

γεγηθὼς γεγηθυῖα, ὅτι ἐκ τοῦ γεγηθηκὼς καὶ γεγηθηκυῖα συνεκόπησαν Ἰωνικῶς. 1700, 48.

γεγράφηκα, παρακείμενος ἀπὸ τοῦ γραφῶ δευτέρου μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα, καὶ γεγραφηκὼς μετοχή. 1126, 4.

γέγωνα μέσος παρακείμενος ὅτι ἐκ τοῦ γέγνωα κατὰ μετάθεσιν τοῦ γῶ ἐσχημάτισται, οὗ τὸ ὑποτακτικὸν ἐὰν γεγώνω, τὸ ἀπαρέμφατον γεγωνέναι, ἡ μετοχὴ ὁ γεγωνώς. 709, 42. 1540, 2.

γέγωνε βοήσας, ἀντὶ τοῦ, ἐγνώσθη καὶ ἠκούσθη ἐφ' οἷς ἐβόησεν. 1599, 1. 1639, 57.

γεγωνεῖν καὶ γεγωνέναι τὸ ἐξάκουστον καὶ γνωστὸν βοᾶν, ὡς ἀπὸ τοῦ γνώω γεγωνεῖν, ὅτι οὐ τὸ ἁπλῶς βοᾶν, ἀλλὰ τὸ βοῶντα ἀκούεσθαι δηλοῖ, οὐ μέντοι καθ' αὑτὸ, ἀλλὰ σὺν τῷ βοᾶν, ὡς ἐν τῷ, γέγωνε βοήσας, πολλαχοῦ παρ' Ὁμήρῳ. 908, 57. 1256, 14. 1539, 63.

γεγωνέμεν ἀντὶ τοῦ γεγωνεῖν, ἤγουν ἐξάκουστον βοᾶν. 826, 59.

γεγώνευν, τρίτον πρόσωπον πληθυντικὸν παρατατικοῦ χρόνου ἀντὶ τοῦ ἐγεγώνεον, ἀπὸ τοῦ γεγωνέω γεγωνῶ θέματος. 1615, 26.

γεγωνέω γεγωνῶ, ὅτι ἀπὸ τοῦ γνώω γνώσω γέγνωκα ὁ μέσος γέγνωα καὶ καθ' ὑπέρθεσιν γέγωνα γίνεται ῥῆμα γεγώνω καὶ γεγωνέω γεγωνῶ. 1615, 28.

γεγωνίσκειν τὸ ἐξάκουστον βοᾶν, ἐν ἴσῳ τῷ γεγωνεῖν. 909, 7.

γεγωνοκῶμαι γυναῖκες αἱ τὰς κώμας ἐμπιπλεῖσαι κραυγῆς. 909, 7. 10.

γεγωνὸς ἐπιῤῥηματικῶς ἀντὶ τοῦ μέγα, καὶ γεγωνὸς λόγος ὁ προφορικὸς καὶ τρανὴς καὶ μέγας, πρὸς διαστολὴν τοῦ ἐνδιαθέτου· καὶ κλίνεται γεγωνοῦ, ὡς οἰωνὸς οἰωνοῦ. 909, 8. 925, 51. 1540, 3.

γεγωνότερον ἀντὶ τοῦ τρανώτερον, ὅτι ἐκ τοῦ γεγωνὸς γεγωνοῦ ἀρσενικοῦ ὀνόματος ἐσχημάτισται, οὐ μὴν ἐκ τοῦ μετοχικοῦ οὐδετέρου. 225, 52. 1540, 5.

γεγωνὼς μετοχὴ ὅτι ἐκ τοῦ γεγωνηκὼς παρακειμένου τοῦ γεγωνέω γεγωνῶ περισπωμένου ῥήματος συνεκόπη. 1814, 14.

γείνεαι ἀντὶ τοῦ γεννήσῃς ἐν τῷ, οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτός, Ὀδυσσ. υ', 202. 1889, 21. 26.

γεινόμεθα, ἤγουν ἐγεννήθημεν ἐν τῷ, ἰῇ ἄρα γεινόμεθ' αἴσῃ, Ἰλ. χ', 477. 1281, 25.

γεινόμενος ἀντὶ τοῦ γεννώμενος παρ' Ὁμήρῳ ἐν τῷ, πείσεται ἄσσα οἱ Αἶσα γεινομένῳ ἐπένησεν, Ἰλιάδ. υ', 128. 1577, 12.

γεινομένῳ ἀντὶ τοῦ γεννωμένῳ, ἢ ἀντὶ τοῦ γεννῶντι καὶ τεκνοποιοῦντι ἐν τῷ, γαμέοντί τε γεινομένῳ τε, Ὀδυσσ. δ', 208. 1200, 19. 1492, 14.

γείταινα, θηλυκὸν τοῦ γείτων, ὡς καὶ τέκταινα τοῦ τέκτων. 1129, 20.

γελᾶν, ὅτι καὶ κατὰ ψυχὴν ἔστι γελᾶν ἐνδιαθέτως. 1831, 55.

γελᾶν χείλεσι τὸ παρασῦραι τὰ χείλη καὶ σεσηρέναι κατὰ τοὺς σαρδόνιον γελῶντας. 1007, 59.

γελᾶν λέγεται ἡ γῆ ἀντὶ τοῦ περιαστράπτεσθαι τῇ διαχύσει καὶ ἱλαρότητι τοῦ ἀέρος, ὁμοίως καὶ ἀὴρ καὶ ἡμέρα καὶ θάλασσα γελᾶν λέγονται τροπικῶς. 159, 36. 1188, 50.

γελάσαι δακρυόεν ὅτι ἐκ πάθους γίνεται μικτοῦ ἐκ λύπης καὶ χαρᾶς. 657, 14.

γελαστὸν καὶ ἀγέλαστον ὅτι ἀπὸ τοῦ γελάζω ἀῤῥήτου θέματος δοκοῦσι κεκινῆσθαι. 1599, 3.

γέλγη ὁ λεπτὸς καὶ εὐτελὴς φόρτος, ὅθεν γελγοπώλης. 927, 54.

γελοίιον ὅτι ἐκ τοῦ γελοῖον γέγονε πλεονασμῷ τοῦ παραληκτικοῦ ῑ. 205, 39.

γελοῖος προπερισπωμένως ὁ καταγέλαστος, γελοιὸς δὲ ὀξυτόνως ὁ γελωτοποιός· ἀλλαχοῦ δὲ ὅτι τοῦ γελοῖος τινὲς ὀξυτονοῦσι τὴν πρώτην· οἱ δὲ πλεῖστοι γελοῖον μὲν προπερισπωμένως τὸν γελωτοποιὸν, γέλοιον δὲ τὸν καταγέλαστον· τῆς δὲ παλαιᾶς Ἀτθίδος ἐστὶ τὸ προπερισπᾶν τὰ τοιαῦτα· καὶ ὅτι ἀπὸ τοῦ γελῶος λέγεται τροπῇ τοῦ ῶ εἰς οῖ, ἢ ἀπὸ τοῦ γέλος βραχυκαταλήκτου. 136, 45. 205, 44. 906, 51. 1967, 24.

γελοίων ἀντὶ τοῦ ἐγέλων, ἀπὸ τοῦ γελόω ἐγελόων ἀφαιρέσει τῆς αὐξήσεως καὶ ἐπενθέσει τοῦ ῑ, καὶ γελοίωντες μετοχὴ ἐκ τοῦ γελόωντες ὁμοίᾳ ἐπενθέσει τοῦ ῑ. 1895, 29. 1897, 4.

γέλω κατὰ δοτικὴν ὅτι ἐκ τοῦ γέλωτι ἀπεκόπη ἢ κατ' ἰσοσύλλαβον κλίσιν κεκίνηται. 1607, 18. 1697, 17.

γέλω θανεῖν, Ὀδυσσ. σ', 100. ὅτι παροιμιακῶς ἀντὶ τοῦ μεγάλως καὶ ἀθρόως γελᾶν. 1839, 29.

γέλως ὅτι παρὰ τὴν ἕλην, ἤγουν θερμασίαν, λέγεται. 160, 38.

γέλως Τιρυνθίων, ζήτει ἐν τῷ, Τιρύνθιοι φιλογέλωτες. 1839, 48.

γέλως θαλάσσης ἡ γαλήνη τροπικῶς. 1574, 29.

γέλωτι θανεῖν καὶ ἀπαφανανθῆναι ἀντὶ τοῦ ἐπιτεταμένως γελᾶν. 881, 1.

γελωτοποιοὶ, ὅτι Ἀνάχαρσις ἐν συμποσίῳ γελωτοποιῶν εἰσαχθέντων ἀγέλαστος διέμεινε, πιθήκου δὲ ἐπεισαχθέντος ἐγέλασεν εἰπὼν, τοῦτο μὲν φύσει γελοῖον εἶναι ζῷον, ἄνθρωπον δὲ ἐπιτετηδεῦσθαι. 1836, 62.

γελώωντες ὅτι ἐκ τοῦ γελοίωντες γέγονεν ἐκτάσει τῆς οῖ διφθόγγου εἰς ῶ, ζήτει ἐν τῷ γελοίων. 1897, 4.

γέμμα τὸ γάμμα στοιχεῖον Ἰωνικῶς. 370, 15.

γενεὰ, τριάκοντα ἐτῶν περίοδος, καὶ ὅτι γενεὰ οὐ μόνον ἐπὶ ἀνθρώπων, ἀλλὰ καὶ φύλλων καὶ ἵππων καὶ ὀρνέων καὶ ἄλλων τινῶν παρ' Ὁμήρῳ λέγεται. 97, 10. 30. 545, 8. 1778, 30.

γενεᾷ προγενέστερος, ἤγουν πρότερος τῇ γενέσει. 743, 63.

γενεάτις τρίγλη, εἶδος τρίγλης οὕτω καλούμενον παρὰ τὸ γένειον ἔχειν, ἱστορία καὶ σχηματισμὸς τῆς φωνῆς. 1015, 57.

γενεῇ ὑπέρτερος, ἤγουν εὐγενείᾳ ὑπερέχων παρ' Ὁμήρῳ, ἢ νεώτερος. 884, 33.

γμένη ἀντὶ αἰτιατικῆς Ἀττικῶς, οἷον ὤπτησε κρεῶν, παρ' Ὁμήρῳ, καὶ βοὸς βεβρωκώς. 1626, 25. 1775, 44.
γενικῶν ἑνικῶν καταλήξεις διάφοροι κατὰ διαφόρους διαλέκτους ἐκ παραδειγμάτων μόνων. 1396, 25.
Γένιος, βασιλεὺς Ἰλλυριῶν, ἱστορία καὶ γραφὴ παραληκτικὴ τοῦ ὀνόματος. 1015, 61.
γενναιέστατος ἀντὶ τοῦ γενναιότατος. 1441, 16.
γενναῖος ἐπίθετον, καὶ γενναῖα σῦκα, καὶ σταφυλὴ γενναία, ἐπιθετικῶς. 545, 37.
γεννᾶν λέγεται κυρίως ὁ πατὴρ, τίκτειν δὲ ἡ μήτηρ, καταχρηστικῶς δὲ ἑκάτεροι καὶ τίκτειν καὶ γεννᾶν λέγονται, ᾗ καὶ τοκεῖς καὶ γονεῖς ἑκάτεροι λέγονται. 1568, 1.
γεννικὸς, γενναῖος, καὶ γεννικὸν κρέας τὸ γενναῖον διὰ πάχος. 1426, 56.
γεννικὸν κρέας τὸ ἁδρὸν κόμμα ἢ τὸ γενναῖον διὰ τὸ πάχος. 545, 44. 1426, 56.
γένος τὸ τριακοστὸν μέρος τῆς φρατρίας εἴτουν τριττύος ἑκάστης τῶν Ἀθήνησι φυλῶν. 239, 39.
γένους ἀκαταλληλία ἐν τῷ, ἔθνεα ὀρνίθων ἀγαλλόμεναι πτερύγεσσιν, Ἰλιάδ. β', 459—62. 255, 6.
γένους ἐναλλαγὴ κατὰ τὴν ἀπόδοσιν τῶν ἐπιθετικῶν ὡς πρὸς τὸ νοούμενον, ἀλλὰ μὴ πρὸς τὴν φωνὴν τῶν ὑποκειμένων. 44, 21.
γένους ἐναλλαγὴ κατὰ ἀναφορὰν ἄρθρου ἀρσενικοῦ πρός τι προηγούμενον οὐδετέρως εἰρημένον, οἷον ἐν τῷ, ναὶ μὰ τόδε σκῆπτρον — ὁ δέ τοι μέγας ἔσσεται ὅρκος, Ἰλιάδ. α', 234—9. 92, 35.
γένους ἐναλλαγὴ, ὅτι καὶ μετοχαὶ ἀρσενικαὶ ἐπιτίθενται θηλυκοῖς προσηγορικοῖς γενικαῖς μεταβατικῶς συντασσομένοις, οἷον, ψυχὴ Τειρεσίαο, σκῆπτρον ἔχων, Ὀδυσσ. λ', 90. 878, 48. 1674, 15.
γένους ἐναλλαγὴ ἐν τῷ, ἀκέων Ἀθηνᾶ, καὶ, ὑλήεις Ζάκυνθος. 440, 37.
γένους μετάπλασις ἀπὸ ἀρσενικοῦ εἰς οὐδέτερον, οἷον οἱ μηροὶ τὰ μηρὰ, καὶ ἐναλλαγὴ ἀπὸ ἀρσενικοῦ εἰς θηλυκὸν, οἷον ἡ Τάρταρος ἀντὶ τοῦ ὁ Τάρταρος. 108, 17.
γέντα τὰ κρέα κατὰ γλῶσσαν Θρᾳκικήν. 918, 29. 1854, 33.
γέντο ἀντὶ τοῦ ἕλετο, ἐξ οὗ καὶ γέγονε κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ λ̄ εἰς ν̄ καὶ προσθήκην τοῦ γ̄ κατὰ γλῶσσαν. 756, 31. 918, 26. 1722, 48. 1934, 30.
γενῶν ἐναλλαγῆς παραδείγματα. 333, 42.
γενῶν ἐναλλαγὴ, ὅτι τῆς Καρῶν διαλέκτου τὸ τὰ ἀρσενικὰ θηλυκῶς προφέρειν καὶ ἀνάπαλιν. 367, 41.
γενῶν σύλληψις, ὅτι τὸ ἀρσενικὸν συνεκδέχεται τὸ θηλυκὸν, οἷον, Μοῦσαι καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδω. 985, 52.
γεοῦχος, τὸ γε ψιλὸν κατά τινας, κατὰ δέ τινας δίφθογγον. 1392, 23.
γέρα τὰ ἐξαιρέτως διδόμενα τοῖς προέχουσι. 72, 19.
γέρα Θετταλικὰ αἱ Θετταλικαὶ χλαμύδες, διότι ἔπαθλα ἦσαν τοῖς ἐκεῖ ἀγῶσιν. 331, 16.
γεραιαὶ γυναῖκες λέγονται αἱ ἔντιμοι Ἰλιάδ. ζ', 87. 270. 287. 296. 642, 27.
γεραιὸς ὁ γηραιὸς, ὅ ἐστι γέρων, συστολῇ τοῦ η εἰς ε, ἢ παρὰ τὸ γέρας, ἔντιμοι γὰρ οἱ γέροντες. 32, 11.
Γεραιστὸς, λιμήν τις ἐν Εὐβοίᾳ οὕτω καλούμενος. 1462, 55.
γεραίτερος ὅτι ἐκ τοῦ γεραιότερος συνεκόπη. 1343, 17.
Γεράνα, γυνή τις ὡς θεὸς παρὰ Πυγμαίοις τιμωμένη, καὶ ὑπὸ τῆς Ἥρας ἀπορνιθωθεῖσα, ἱστορία διεξοδική. 1322, 49.
γεράνεια κατά τινας τὰ λεγόμενα ὕδνα. 1017, 19.
γέρανοι ὅτι κλάζειν λέγονται, οὐ κράζειν. 40, 1.
γέρανος ὅτι παρὰ τὸ τὴν γῆν ἐρευνᾶν λέγεται, καὶ ὅτι δειλὸν τὸ ζῷον καὶ εὐαίσθητον τῶν τοῦ περιέχοντος ποιοτήτων. 371, 42.
γεραρὸς λέγεται ὁ ἐκ μόνης θέας τὸ τίμιον ἔχων. 399, 10. 18.
γέρας τὸ ἀξίωμα ἐν τῷ, καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος κτήματ' ἐνὶ μεγάροισι, γέρας θ' ὅ τι δῆμος ἔδωκεν, Ὀδυσσ. η', 149. 1575, 25.
γέρας τὸ ἁπλῶς δῶρον ἢ τὸ ἐπέκεινα τῆς μοίρας ἢ τὸ πρὸς χάριν διδόμενον δῶρον. 90, 39. 1892, 64.
γέρας λέγεται, ὃ αὐτὸς ἐξαιρεῖται ὁ στρατηγὸς πρὶν μοιρασθῆναι τὴν λείαν. 1760, 3.
γέρας θανόντων λέγει Ὅμηρος τὰ κατὰ τὸν τάφον πρὸς μνήμην τοῦ τῶν κειμένων ὀνόματος συντελοῦντα. 1070, 24.
γεργέριμοι ἐλαῖαι, αἱ καὶ δρυπέπεις ἢ δρυπεπεῖς, ὅ ἐστιν ἐπὶ τοῦ δένδρου πεπαινόμεναι. 664, 40. 1726, 7.
γέργηθες οἱ τοῦ δήμου ἄνθρωποι παρὰ Μιλησίοις, καὶ ὅτι οἱ γέργηθες στασιάσαντές ποτε πρὸς τοὺς πλουσίους καὶ ἡττηθέντες κατεκαύθησαν πίσσῃ καταχρισθέντες, ἱστορία. 1433, 42.
γέρην ἡ θήλεια γέρανος. 231, 35.
Γερηνία, ὄνομα πόλεως Μεσσηνιακῆς ἐν Πελοποννήσῳ, ἣ καὶ Γέρηνον οὐδετέρως καὶ Γέρηνα πληθυντικῶς λέγεται. 231, 28.
Γερήνιος Νέστωρ, παρὰ τὸ γέρας ἢ ἀπὸ Γερήνων πόλεως, ἑρμηνεία διεξοδική. 231, 25. 296, 37.
Γερήνιος, ποταμὸς τῆς κοίλης Ἤλιδος ἐν Πελοποννήσῳ. 231, 25. 33.
Γέρηνοι, ὄνομα ἐθνικὸν ἀπὸ Γερηνίας πόλεως. 231, 32.
Γέρηνον, ὄνομα πόλεως, ἣ καὶ Γερηνία καὶ Γέρηνα πληθυντικῶς οὐδετέρως λέγεται. 231, 29.
γέρινοι, βάτραχοι· ζήτει ἐν τῷ γυρῖνοι. 1864, 7.
Γερμανοὶ ἀκρατοπόται, ἱστορία. 916, 35.
γέρον προσφώνημα ὅτι ἢ κατὰ θαυμασμὸν ἢ κατὰ βαρύτητα σκωπτικὴν ἢ κατ' οἰκτειρμὸν ἐπιλέγεται παρ' Ὁμήρῳ. 240, 27.
γέρον προσφώνησις ὅτι ποτὲ μὲν ἐπὶ τιμῇ λέγεται, ποτὲ δὲ ἐπὶ οἴκτῳ, ποτὲ δὲ ἐπὶ ἀτιμίᾳ. 866, 58.
γέρον προσηγορικῶς, ξύλον τι στυλίδι παραπλήσιον, ἔχον κεφαλὴν γεροντοειδῆ πλαστὴν καὶ χεῖρας, ἐξ ὧν ἐκρέματο τὰ νηθόμενα. 1923, 62.
γέρον σάκος, Ὀδυσσ. χ', 184. τὸ παλαιὸν καὶ γηρᾶσαν, καὶ γέροντα πληθυντικῶς τὰ παλαιὰ καὶ ἀρχαῖα. 1923, 59.
γέροντες οἱ παλαιοὶ τῇ ἡλικίᾳ, καὶ οἱ ἔντιμοι καὶ ἀριστεῖς παρ' Ὁμήρῳ. 167, 14. 18.

γέροντες λέγονται παρ' Ὁμήρῳ καὶ οἱ ἁπλῶς ἔντιμοι καὶ βασιλικοὶ ἄνδρες, κἂν μὴ τῇ ἡλικίᾳ γέροντες ὦσι. 481, 27. 736, 36. 1157, 63.

γεροντίας ἐλέγετο παρὰ Λάκωσιν ὁ πρὸς πατρὸς πάππος. 971, 23.

γεροντικῆς ἡλικίας σκωπτικαὶ προσηγορίαι, Κρόνος, Ἰαπετὸς, Τιθωνὸς, σαπρὸς, βεκκεσέληνος, πρωτοσέληνος, τυμβογέρων, παρεξηυλημένος, σορόπληκτος, σοροπλὴξ καὶ σορέλλην. 1330, 12.

γερόντοις, ἀντὶ τοῦ γέρουσιν, ὅτι κατὰ γλῶσσαν Αἰτωλῶν λέγεται. 279, 40. 1761, 35.

γερουσία ἡ σύγκλητος, ὅτι ἐξ Ὁμήρου ἀφορμὴν ἔσχε τοὔνομα. 200, 24. 732, 54.

γερούσιος οἶνος ὁ ἐν τῷ τῶν γερόντων ἤγουν ἐντίμων συμποσίῳ πινόμενος, καὶ δαὶς γερούσιος ἡ τοῖς τοιούτοις γέρουσι παρατιθεμένη. 470, 5. 481, 24. 1730, 54.

γερούσιος ὅρκος ὁ τοῖς γέρουσι πρέπων. 1261, 52.

γέῤῥον δυσὶ ρ̄, ἀσπὶς Περσικὴ ἐκ λύγων, καὶ φραγμὸς καὶ σκηνὴ, καὶ γέῤῥον ὁμωνύμως τὸ αἰδοῖον, καὶ γέῤῥα βόεια οἱονεὶ δέρα. 890, 26. 1923, 63.

γέρων, ἡλικίας ἀνθρωπίνης ὄνομα καὶ ἀκάνθης ἐξάνθημα ὁμωνύμως, καὶ αἴνιγμα περὶ τοῦ τοιούτου γέροντος, ἑρμηνεία διεξοδική. 1343, 18.

γέρων ὅτι παρὰ τὸ γέρας λέγεται. 477, 45.

γέρων οἶνος, ὅτι καὶ πολιὸς καὶ ὅσα ἄλλα ἐπίθετα γερόντων μεταληπτικῶς λέγεται. 1449, 6—14.

γέρων ὅτι κατὰ οἶκτον ἐπιφωνεῖται ἐνίοτε, ζήτει ἐν τῷ γέρον προσφώνημα. 1701, 33.

Γέρων, ὄνομα ποταμοῦ τῆς κοίλης Ἤλιδος ἐν Πελοποννήσῳ. 231, 33.

Γέται ἔθνος ὅτι μετὰ κιθάρας ἐπεκηρυκεύοντο ἐπὶ πραΰνσει τῶν πολεμίων. 1320, 4.

γεύεσθαι ἀντὶ τοῦ ἀποπειρᾶσθαι. 1207, 2. 1223, 27.

γέφυρα, ὅτι διὰ τὸ οἱονεὶ γῆ ἐφ' ὑγρᾶς εἶναι οὕτω λέγεται. 1235, 23.

γέφυρα ἁπλῶς καὶ γέφυραι πολέμου αἱ ἐν ταῖς παρατάξεσι διέξοδοι παρ' Ὁμήρῳ 474, 41. 718, 57. 728, 62.

Γέφυρα, ἡ καὶ Τάναγρα, πόλις, τὸ ἐθνικὸν Γεφυραῖος. 266, 26.

Γέφυροι, γένος τι οὕτως ἐπικληθὲν ἐξ ἱστορίας τινός. 933, 28.

γεώλοφος, σκῶμμα κατὰ παχέος καὶ ἀναισθήτου ἀνθρώπου. 962, 22.

γεωπείνης ὁ περὶ γῆν πονούμενος. 222, 40.

γῆ ὅτι κοινὴ πάντων ἐστὶ τῶν θεῶν καὶ οὐδενὶ αὐτῶν ἀπεκληρώθη ἐν τῇ τῶν πάντων μυθευομένῃ διανομῇ, ἀλληγορία. 1012, 6.

γῆ, ὅτι ἡ γῆ φωνὴ χρήσιμος εἰς σκῶμμα μεγαλοσωμάτων καὶ ἀναισθήτων ἀνθρώπων. 962, 23.

γῆ, ὅτι διὰ τὸ μονῆρές τι σημαίνειν οὐ κινεῖται εἰς πληθυντικὸν ἀριθμὸν ἡ λέξις, τὸ δὲ γαιάων παρ' Ὁμήρῳ ἀντὶ τοῦ νήσων ἀκούεται. 1598, 46.

γῆ στυγερὴ ἐπιθετικῶς ἡ ἐν Ἅιδου ἐν τῷ, καὶ γαῖαν ὑπὸ στυγερὴν ἀφικοίμην, Ὀδυσσ. υ', 81. 1883, 57.

γῆ, ὅτι ἐκ τοῦ ψιλογραφουμένου γέα κέκραται ἡ λέξις, καὶ περὶ τῶν συγκειμένων ἐκ τῆς γῆ φωνῆς λέξεων ἀπὸ τῆς γη συλλαβῆς ἀρχομένων, οἷον γήπεδον, γήλοφος, γηπόνος. 188, 26. 1154, 17.

γηγενὴς ὁ ἐκ γῆς γεγονὼς, τὸ γῖ ἦτα, καὶ γηγενεῖς μύκητες ἐπιθετικῶς. 283, 14. 1490, 20.

γηθεῖν αἰτιατικῇ ἐν τῷ, τίς ἂν τάδε γηθήσειεν; Ἰλιάδ. ί, 77. 719, 3.

γηθοσύνη ὅτι οὐκ ἔστιν ἐπίθετον ἐν τῷ, γηθοσύνη δὲ θάλασσα διΐστατο, Ἰλιάδ. ν', 29. γηθόσυνος δὲ τὸ ἀρσενικὸν ἐπιθετικῶς λέγεται. 918, 46. 50.

γηθυλλὶς καὶ γαθυλλὶς, τὸ καὶ γήτειον, ὅ ἐστιν εἶδος λαχάνου ἀγρίου. 1155, 20.

γήθυον, τὸ καὶ γήτειον, ὅτι παρὰ τὸ ἐκ γῆς θύειν, ὅ ἐστιν ὁρμᾶν, οὕτω λέγεται. 1154, 18.

γηθῶ περισπωμένως ὅτι καὶ γήθω βαρυτόνως λέγεται. 670, 61. 972, 42.

γῆμαι λέγεται ὁ ἀνὴρ, γήμασθαι δὲ ἡ γυνή. 1678, 58.

γήμασθαι κυρίως λέγεται ἡ γυνὴ, γῆμαι δὲ ὁ ἀνήρ· Εὐριπίδης δὲ γήμασθαι περὶ ἀνδρὸς λέγει ἐν ἴσῳ τῷ γῆμαι. 694, 24. 1678, 58. 1684, 34.

γήπεδον ὅτι ἐκ τοῦ γῆ καὶ πέδον ταὐτοδυνάμων λέξεων σύγκειται. 436, 41. 45. 437, 37.

γηπόνος ὁ περὶ γῆν πονούμενος. 222, 40.

γηραίτερος ὅτι παρὰ τὸ γῆρας λέγεται πλεονασμῷ τοῦ ῑ. 1905, 40.

γηρᾶναι ἀντὶ τοῦ γηρᾶσαι. 1490, 30.

γηράντεσσι, δοτικὴ μετοχικὴ ἀπὸ τοῦ γήρημι ἀχρήστου θέματος, ἀλλαχοῦ δὲ ὅτι ἀπὸ τῆς γηρὰς γηράντος εὐθείας. 1101, 63. 1490, 37. 1900, 9.

γηρὰς γηράντος μετοχὴ ὅτι ἐκ τοῦ γηράσας συνεκόπη ἢ ἐκ τοῦ γήρημι ἀχρήστου θέματος κεκίνηται. 1101, 63.

γῆρας, ὅτι δεσμὸν φύσεως ἐνδέχεται λέγειν εἶναι τὸ γῆρας. 1695, 43.

γῆρας γήραος καὶ γήρους, ὡς ἀπὸ τῆς γῆρος εὐθείας. 1354, 2.

γηράσκειν περὶ ἀψύχων παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, Ὀδυσσ. ή, 120. 1573, 17.

γήρειον λευκῆς ἀκάνθης, τὸ ἀκάνθινον ἐν ξηρότητι πολίωμα, τουτέστι τὸ ἐξάνθημα, ὅτι παρὰ τὸ γῆρος λέγεται, ὃ δηλοῖ τὸ γῆρας. 565, 9. 33. 1343, 23.

γηροβοσκεῖν καὶ γηροτροφεῖν ὅτι οὐκ ἐκ τοῦ γῆρας, ἀλλ' ἐκ τοῦ γῆρος ἔχουσι τὴν ρο̄ συλλαβήν. 1456, 23.

γηροβοσκὸς καὶ γηροβοσκεῖν ὅτι ἐκ τῆς γῆρος εὐθείας παρήχθησαν, γηρωβοσκὸς δὲ καὶ γηρωβοσκεῖν ἐκ τῆς γήρως γενικῆς. 600, 13.

γηροκομεῖν τὸ τοὺς γηρῶντας κομεῖν, ὅ ἐστιν ἐπιμελείας ἀξιοῦν. 1364, 30. 1964, 62.

γηροτροφεῖν καὶ γηροβοσκεῖν, ζήτει ἐν τῷ γηροβοσκεῖν. 1456, 23.

γῆς ἐπιθέτων τινῶν ἔκθεσις, καὶ ὅτι τινὰ μὲν αὐτῶν καθόλου τῆς γῆς λέγεται, τινὰ δὲ κατὰ μέρος. 699, 46. 51.

γῆς υἱοὶ γεγονέναι μυθεύονται οἱ μεγαλοσώματοι καὶ οἱ περὶ γεωρ-

γλαφυρὰ κυρίως λέγονται τὰ τεχνικῶς κοιλαινόμενα, παρὰ τὸ γλάφω, ὅ ἐστι κοιλαίνω, ἐπὶ δὲ σπηλαίων καὶ ἄλλων τινῶν αὐτοφυῶν καταχρηστικῶς λέγεται· νοήματα δὲ γλαφυρὰ μεταφορικῶς λέγονται, ὁμοίως καὶ σπίνου στόμα γλαφυρόν· καὶ ὅτι καὶ τὰ λήια φρίσσειν γλαφυρὸν λέγονται, ἑρμηνεία διεξοδικὴ τῶν καθ᾽ ἕκαστα. 178, 34. 1384, 50.

Γλαφύραι βαρυτόνως πόλις καὶ κώμη τῆς Κιλικίας, καὶ περί τινος πηγῆς ἐν αὐτῇ ἐκ παρθένου τινὸς μεταμορφωθείσης γενομένη, ἑρμηνεία διεξοδική. 327, 34.

γλαφυρὴ ναῦς ἐπιθετικῶς ὅτι παρὰ τὸ γλάφω λέγεται, καὶ ὅτι γλαφυρὴ φόρμιγξ, ὅ ἐστι κοίλη, κυριώτερον λέγεται ἢ ναῦς γλαφυρή. 1714, 24. 1930, 33.

γλαφυρὸς λιμὴν, ὅτι οὐ μόνον γλαφυρὰ ναῦς, ἀλλὰ καὶ γλαφυρὸς λιμὴν λέγεται. 1723, 27.

γλεῦξις, οἶνος πολὺ ἕψημα ἔχων, ὅτι παρὰ τὸ γλεῦκος λέγεται. 1385, 14.

γλέφαρα Δωρικῶς τὰ κοινῶς βλέφαρα. 1534, 63.

γλη καὶ χλη ληγόντων ὀνομάτων τινῶν ἀναλογία, οἷον ζεύγλη, ὀμίχλη. 117, 44.

γλήνεα τὰ θέας ἄξια ἐν τῷ, θάλαμον ὃς γλήνεα πολλὰ κεχάνδει, Ἰλιάδ. ω', 192. ὅτι ἀπὸ τῆς γλῆνος γλήνεος εὐθείας κεκίνηται. 1344, 51. 1345, 6.

γλήνεα ἐν ἴσῳ τῷ γλῆναι, ὃ δηλοῖ ὀφθαλμοῦ κόρας. 976, 39.

γλήνη ἡ τοῦ ὀφθαλμοῦ κόρη καὶ ἡ πρόσοψις, καὶ γλήνη τὰ τῶν μελισσῶν κηρία ὁμωνύμως. 1344, 51.

γλήνη ἡ τοῦ ὀφθαλμοῦ κόρη, ὅτι ἐκ τοῦ γαλήνη συγκέκοπται. 79, 26. 705, 7. 976, 39.

γλία ἡ κόλλα. 1560, 32.

γλιᾶσθαι τὸ παίζειν ἢ προθυμεῖσθαι. 1560, 32.

γλίνη διὰ τοῦ ἰῶτα, ῥύπος ἢ γλοιός. 1344, 55.

γλίον τὸ εὔτονον. 1560, 32.

Γλίσσας ἢ Γλισσᾶς, πόλις Βοιωτικὴ, καὶ περὶ τῆς προσῳδίας καὶ κλίσεως τῆς λέξεως ἑρμηνεία διεξοδική. 269, 17.

γλίσχρος ὁ φειδωλὸς, ὅτι διὰ τὸ πολλῶν γλίχεσθαι οὕτω λέγεται. 1828, 11.

γλίττον τὸ ἀπόλουμα, γλίττων δὲ ὁ ἐν ταῖς ἐμβάσεσι γινόμενος ῥύπος. 1560, 32.

γλουτὸς, μέρος τοῦ σώματος διαφόρως ἑρμηνευόμενον διεξοδικῶς, καὶ ἐτυμολογία τῆς λέξεως. 522, 28. 716, 34.

Γλυκέρα ἑταίρα ἀναθεῖσα τὸν Πραξιτέλους Ἔρωτα, ἱστορία. 266, 14.

γλυκύτης, λόγου ποιότης, ὑπογραφὴ καὶ παραδείγματά τινα. 452, 34.

γλυκὺ ὅτι ἐκ τοῦ γλεῦκος γέγονεν ἐκβολῇ τοῦ ε̄ πρὸς εὐφωνίαν. 1385, 14.

γλυκὺς ἀγκὼν, παροιμία καὶ ἱστορία διεξοδική. 791, 14. 1082, 28.

γλυκὺς ὕπνος λέγεται ἢ ὡς καθόλου τοιοῦτος ἢ ὡς ποτὲ τοιοῦτος. 162, 25. 1631, 45.

γλυκυσίδη ὅτι σύκῳ μάλιστα τὴν μορφὴν ἔοικε, καὶ ὅτι αἱ γυναῖκες ἀπείχοντο αὐτῆς. 1964, 8.

γλύφειν ὅτι ἐκ τοῦ γλῶ μονοσυλλάβου παρήχθη. 633, 45.

γλυφίδες ὀϊστοῦ, ὁ τόπος ὅπου ἐνίεται ἡ νευρά. 452, 10. 1915, 33.

Γλύφιος, μειράκιον Τροιζήνιον, ὅτι ἐρασθὲν Τειρεσίου, ὅτ᾽ ἦν γυνὴ, ἡττήθη καὶ ἀπεπνίγη, ἱστορία. 1665, 54.

γλῶσσα ἀντὶ τοῦ διάλεκτος, ἐκ τοῦ ὀργάνου τὸ ἀποτέλεσμα, οἷον ἐν τῷ, ἄλλη δ᾽ ἄλλων γλῶσσα, παρ᾽ Ὁμήρῳ. 1861, 2.

γλῶσσα, ὅτι πᾶσα ἀπεξενωμένη διάλεκτος οὕτω λέγεται, ὅθεν καὶ τὸ γλωσσηματικόν. 96, 10. 19.

γλῶσσα τὸ ὄργανον, οἱονεὶ κλῶσσα διὰ τὸ εὔκλαστον, καὶ γλῶσσα ὁμωνύμως πᾶν ἰδίωμα διαλέκτου. 1206, 44. 1471, 25.

γλώσσασπις ὁ τὴν γλῶσσαν ὡς ἀσπίδα προβεβλημένος. 1471, 5.

γλῶσσαι ἱερείων θεοῖς θυόμεναι, καὶ ὅτι ἄριστον καὶ κάκιστον ἡ γλῶσσα, καὶ ὅτι πρὸς ἑσπέραν ἐθύοντο, καὶ εἰς τί ἐθύοντο αἱ γλῶσσαι, καὶ ὅτι Ἑρμῇ ἐθύοντο. 1470, 32—58. 1471, 11—18.

γλωσσηματικὸν, ζήτει ἐν τῷ γλῶσσα. 96, 19.

γλωσσὶς, μέρος τι τοῦ αὐλοῦ. 96, 17.

γλωσσοκηλόμπης ὁ γλώσσῃ καὶ κόμποις κηλῶν. 1689, 41.

γλωχὶν ζυγοῦ καὶ γλωχῖνα γνάμπτειν, διαφόρως ἑρμηνευόμενον, Ἰλιάδ. ω', 274. 1350, 20.

γλωχὶν, οἱονεὶ γωνιοχὴν, παρὰ τὸ γωνίας ἔχειν, ἢ παρὰ τὸ κλῶ, οἱονεὶ κλωχὶν, ἡ κεκλασμένη καὶ κλάσμα ἔχουσα. 563, 17.

Γνάθαινα κύριον ὅτι ἐκ τοῦ γνάθων λέγεται, ὡς ἐκ τοῦ γείτων γείταινα, καὶ τέκτων τέκταινα. 1129, 12.

γναθαίνης ἑταίρας ἀποφθέγματα σκωπτικὰ κατὰ στρατιώτου καὶ κατὰ φαύλου παλαιστοῦ. 1349, 13.

γναμπτὰ μέλη τὰ καμπτόμενα κατὰ τὰς κινήσεις. 877, 17.

γνάμπτειν, ζήτει ἐν τῷ ἐπιγνάμπτειν. 150, 33.

γνάμπτεσθαι τὸ κάμπτεσθαι καὶ ἀμβλύνεσθαι μεταφορικῶς. 422, 43.

γναμπτὸν ἄγκιστρον τὸ κεκαμμένον, παρὰ τὸ γνάμπτω, ὅ ἐστι κάμπτω. 1500, 48.

γναμπτὸν νόημα ἡ ἐπιείκεια καὶ τὸ ἐκ μεταμέλου στρεπτὸν ἐν τῷ, ᾧ οὔτ᾽ ἂρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα γναμπτὸν ἐνὶ στήθεσσιν, Ἰλιάδ. ω', 40. ὅτι παρὰ τὸ γνάμπτω, ὅ ἐστι κάμπτω, λέγεται. 1338, 16.

γναμπτὸς καὶ γναμπτὴ ἐπίθετα παρὰ τὸ γνάμπτω, ὅ ἐστι κάμπτω. 854, 1.

γνάμπτω ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ μ̄ πρὸς διαστολὴν τοῦ γνάπτω, ὅ ἐστι βάπτω. 854, 1.

γνάμπτω ὅτι παρὰ τὸ γόνυ καὶ τὴν κατ᾽ αὐτὸ γωνίαν λέγεται, οἱονεὶ γονάπτω καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ μ̄ γνάμπτω, πρὸς διαστολὴν τοῦ γνάπτω, ὃ δηλοῖ τὸ βάπτω. 854, 1. 1350, 23.

γνάπτω ταὐτὸ ὅπερ κνάπτω, καὶ γναφεὺς ταὐτὸ ὅπερ κναφεύς. 1746, 16.

γναφεύειν ἐπὶ τῶν ἐριωδῶν, ὁ

ἐπὶ τῶν λινῶν τὸ πλύνειν. 1956, 41.

γναφεὺς ταὐτὸ ὅπερ κναφεύς, ἀλλαχοῦ δὲ ὅτι τὸ γναφεὺς ἐκ τοῦ κναφεὺς γέγονε τροπῇ τοῦ κ εἰς γ. 150, 33. 1746, 16.

γναφεὺς καὶ γναφεύειν ὅτι παρὰ τὸ γνάπτω, ὅ ἐστι βάπτω, λέγονται. 854, 3.

γνόφος ἀπὸ τοῦ νείφω πλεονασμῷ τοῦ γ, ἀλλαχοῦ δὲ ὅτι ἀπὸ τοῦ νέφος γίνεται νόφος καὶ προσθέσει Αἰολικῇ τοῦ γ γνόφος, ἀλλαχοῦ δὲ ὅτι τῆς Ἠπειρωτῶν διαλέκτου ἐστὶν ἡ ἐν τῷ γνόφος προσθήκη τοῦ γ. 145, 36. 1064, 9. 1722, 48.

γνοῶ τὸ νοῶ Αἰολικῶς, ὅθεν τὸ ἀγνοῶ. 1064, 6.

γνὺξ ἐπιῤῥήματος σχηματισμός. 550, 25.

γνὺξ ἐπίῤῥημα, οἱονεὶ γονὺξ καὶ συγκοπῇ γνύξ, καὶ δηλοῖ τὸ ἐπὶ γόνυ. 550, 25. 1214, 37.

γνὺξ ἐριπεῖν τοῦ δεῖνος, ἤγουν γουνάσασθαι τὸν δεῖνα, ἁπλῶς δὲ γνὺξ ἐριπεῖν τὸ ἐπὶ γόνυ πεσεῖν. 556, 19. 715, 50.

γνῶ γενικῇ ἐν τῷ, γνώτην ἀλλήλοιιν, παρ' Ὁμήρῳ. 1410, 3.

γνῶμα, ὃ καὶ γνώμων, ὅ ἐστι σημεῖον ἐκ τῶν ὀδόντων λαμβανόμενον, ὅθεν ἡ τῶν ἵππων ἡλικία διαγινώσκεται. 1404, 61.

γνώμη, ἀπὸ τοῦ νοῶ γίνεται νώμη καὶ προσθέσει τοῦ γ γνώμη. 1064, 9.

γνώμη ὅτι παραίνεσίς ἐστι σύντομος καθολική. 1691, 3.

γνωμηδὸν ὅτι ἀναλόγως εἴρηται τῷ πυργηδὸν καὶ σφαιρηδόν. 927, 61.

γνώμονες, ὀδόντες δι' ὧν ἡ ἡλικία τῶν ἵππων διαγινώσκεται. 1404, 61.

γνώμων, ὀδοὺς χαρακτηριστικὸς τῆς τῶν ἵππων καὶ μόσχων ἡλικίας. 1627, 17.

γνώριμος, ὅτι καθολικόν τι σημαίνει ἡ λέξις συλλαμβάνουσα τόν τε ἑταῖρον καὶ τὸν ἄλλως ὁπωσοῦν συνήθη. 1792, 18.

γνωστόν, ὅτι ἀναλογώτερόν ἐστι γνωτὸν λέγειν χωρὶς τοῦ σ. 687, 30.

γνωστὸς καὶ τὰ κατ' αὐτὸ ὅτι ἐξ ἐπενθέσεως ἔχουσι τὸ σ. 400, 26.

γνωτὸν ἐν ἴσῳ τῷ γνωστόν, καὶ ὅτι χωρὶς τοῦ σ ἀναλογώτερον λέγεται ἢ γνωστὸν μετὰ τοῦ σ. 687, 30. 744, 21.

γνωτὸς ἀντὶ τοῦ γνωστός, καὶ γνωτὸς ὁ κατὰ γένος οἰκεῖος ἢ ὁ ἀδελφός. 1450, 62. 64.

γνωτὸς καὶ ἀλλόγνωτος καὶ πολύγνωτος ὅτι ἀναλόγως χωρὶς τοῦ σ γράφονται. 400, 24.

γνωτὸς φωνὴ ὅτι κατ' ἔλλειψιν τοῦ σ λέγεται. 328, 6. 384, 4.

γνωτός, τὸ θηλυκὸν γνωτή, ὅτι ἐκ τοῦ γνωστὸς γέγονεν ἀποβολῇ τοῦ σ, ἢ ἐκ τοῦ γεννῶ γεννήσω γεννητὸς γνητὸς καὶ τροπῇ γνωτός. 1019, 11.

γοᾶσθαι ἐν ἴσῳ τῷ θρηνεῖν. 648, 20.

Γογγύλος, μαγειρικὸν ὄνομα παρὰ τὸ τὰς μάζας γογγύλας, ὅ ἐστι στρογγύλας, παρέχειν. 1887, 58.

γοήμεναι, ἀπαρέμφατον ἀπὸ τοῦ γοῶ γοαίνω ἢ ἀπὸ τοῦ γόημι. 999, 37.

γόης ὁ μετὰ γόου ἐπᾴδων. 648, 18. 1147, 7.

γοῖτος ὁ ῥύπος. 658, 50.

γόμος ὁ φόρτος εἴτουν τὸ ἄχθος. 1469, 47.

γόμος ὁ φόρτος, ὅτι χρήσιμος ἡ λέξις παρὰ τοῖς παλαιοῖς. 1034, 12.

γομφίος ὀδοὺς ὅτι παρὰ τὸ γνάμπτειν, ὅ ἐστι κάμπτειν, τὴν τροφὴν λέγεται. 150, 34.

γόνατα θεῶν, ὅτι θεῶν ἐν γούνασι κεῖσθαί τι λέγεται παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐν δυνάμει ἢ ἐν ἱκεσίᾳ, καὶ λέγεται περὶ ἀδήλων πραγμάτων ἐκβάσεως. 1416, 42.

γόνατος γόνατι πλάγιαι ὅτι ἐκ τῆς γόνας σεσιγημένης εὐθείας κεκίνηνται. 1606, 63.

Γόννος, πόλις Πεῤῥαιβίας, δυσὶ ν, καὶ Γοννεῖς, πόλις Θρᾴκης, ὁμοίως. 291, 42.

Γονόεσσα, ἀκρωτήριον Πελλήνης, Γονοῦσα δὲ πόλις Πεῤῥαιβίας. 291, 40.

γόνος ἀντὶ τοῦ γένος ἢ γενεὰ ἢ γέννησις ἐν τῷ, οὐκ ἔτ' ἀπολήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα, Ὀδυσσ. τ', 166. 1680, 56. 1859, 7.

γόνος βαρυτόνως ὁ γεννώμενος, γονὸς δὲ ὀξυτόνως ὁ γόνιμος. 1410, 10. 1412, 24.

Γονοῦσα, πόλις Πεῤῥαιβίας, Γονόεσσα δὲ ἀκρωτήριον Πελλήνης. 291, 41.

γόνυ κάμπτειν, παρ' Ὁμήρῳ ἀντὶ τοῦ καθεσθῆναι, παρὰ δὲ τοῖς ὕστερον ἀντὶ τοῦ ἱκετεύειν καὶ γονυπετεῖν. 1171, 43.

γόνυ κλίνειν καὶ γονυκλινεῖν συνθέτως τὸ γονυπετεῖν ἱκετευτικῶς ἢ ἁπλῶς ἐπὶ τιμῇ τινός. 669, 32.

γονύκροτοι οἱ βλαισοὶ καὶ οἱ δειλοί. 932, 2.

γονυπετεῖν, ἐπὶ ἱκεσίας καὶ προσκυνήσεως, ὅτι παρὰ τὸ πέτειν, ὅ ἐστι πίπτειν, λέγεται. 129, 20. 1034, 12. 1171, 44.

γόος ὁ μετὰ δακρύων θρῆνος καὶ γοᾶν ῥῆμα, καὶ ὅτι ὠνοματοπεποίηνται. 1370, 55. 1516, 63.

Γοργείη κεφαλὴ παρ' Ὁμήρῳ ἡ τῆς Γοργόνος κεφαλὴ ἢ εἰκών, καὶ ἀντὶ τοῦ ὅλη ἡ Γοργών, ἀπὸ μέρους τὸ ὅλον· καὶ ὅτι ἐκ τοῦ Γοργονείη συγκέκοπται ἡ λέξις, ἢ ἐκ τοῦ Γοργὼ Γοργόος Γοργοῦς ἐσχημάτισται. 828, 63. 1704, 23. 36.

Γοργόνειον, εἴδωλόν τι Γοργόνος ἀνακείμενόν ποτε Ἀθήνησιν τῇ Πολιάδι Ἀθηνᾷ. 1704, 37.

γοργότητος σχήματος παράδειγμα. 608, 1.

γοργύρα ἢ γοργύρη Ἰωνικῶς, ὑπόνομός τις βορβορώδης οὕτω καλούμενος. 1688, 53.

Γοργών, δαιμόνιόν τι καταπληκτικὸν καὶ ἐκ μόνης ὄψεως, καὶ ὅτι Γοργὼν Γοργόνος κλίνεται, καὶ Γοργὼ Γοργοῦς ὡς Λητὼ Λητοῦς. 601, 42. 716, 52. 828, 56.

γοργών, ζῶόν τι προβάτῳ ὅμοιον ἢ μόσχῳ, ἐν Λιβύῃ γεννώμενον, ὃ καλοῦσιν οἱ ἐκεῖ κατώβλεπτα ἢ κατώβλεπτον, ὃ τῇ ἀναπνοῇ πάντα τὰ προστυχόντα διαφθείρει, καὶ ἐμβλέψαν δέ τινι ἀπόλλυσιν τῇ τῶν ὀμμάτων φορᾷ. 1704, 32.

Γόρτυν Γόρτυνος, πόλις Κρητική, ἱστορία περὶ τῶν τειχῶν αὐτῆς, καὶ ὅτι καὶ Γορτίνη Γορ-

τύνης ἰσοσυλλάβως κλίνεται. 312, 41. 1468, 54.
γοῦνα καὶ γουνὸς καὶ γούνων, ἀντὶ τοῦ γόννα καὶ γόννος καὶ γονίων. 149, 20.
γοῦνα ὅτι ἐκ τοῦ γόνατα συγκέκοπται, ἢ ἐκ τῆς γουνὸς γενικῆς κέκλιται. 1265, 63.
γουνάζεσθαι τὸ διὰ γονάτων ψαύσεως ἱκετεύειν, καὶ τὸ ἱκετευτικῶς φθέγγεσθαι, καὶ τὸ ἁπλῶς παρακαλεῖν. 129, 17. 836, 13. 1036, 26. 1458, 41.
γουνάζεσθαι ὅτι διὰ τοῦ ἀμφὶ γούνασι βάλλειν χεῖρας καὶ ἱκάνειν γόνατα περιφράζεται παρ' Ὁμήρῳ. 1574, 9.
γουνάζεσθαι γονάτων, φράσις ὁμοία τῷ, οἶνον οἰνοχοεῖν, καὶ, πόλεμον πολεμεῖν. 1273, 24.
Γουνεὺς Ἄραψ, ἄνθρωπος δίκαιος ἐπικληθεὶς, ἕτερος παρὰ τὸν παρ' Ὁμήρῳ. 335, 5.
γουνὸς ἀντὶ τοῦ γόνατος, ὅτι ἐκ τοῦ γόννος κατὰ μετάθεσιν λέγεται. 1606, 63.
γουνὸς ὁ γόνιμος τόπος καὶ κάρπιμος, ἐκ τοῦ γονὸς ὀξυτόνου ἐπενθέσει τοῦ ῡ. 23, 28. 772, 28. 1410, 9.
γούνων λαβεῖν καὶ ἑλεῖν, φράσις· καὶ ὅτι ἡ γούνων γενικὴ ἐκ τῆς γονύων γέγονε. 1224, 10.
γράβδην ἐπίῤῥημα παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν. 852, 8. 1926, 49.
γράβιον, ὅτι τῶν εἰς φανοὺς πάλαι τεμνομένων ξύλων ἓν εἶναι δοκεῖ καὶ τὸ γράβιον, πρίνινον ὂν ἢ δρύϊνον, ὃ ἐθλασμένον ἢ κατεσχισμένον ἐχρησίμευεν εἰς δᾷδας· καὶ ὅτι καὶ πίσσα ὑπ' αὐτοῦ στάζειν λέγεται παρά τινι κωμικῷ. 1571, 14.
γρᾴδιον ὅτι ἐκ τοῦ γραΐδιον συνῄρηται. 1410, 4.
γραῖα κοινῶς, γραῦς δὲ Ἀττικῶς. 1428, 50.
Γραῖα, πόλις ἡ καὶ Τάναγρα καὶ Ποιμανδρία. 266, 17—28.
Γραῖαι ὁμωνύμως δαίμονες θαλάσσιαι, ἃς πολιὰς ἐκ γενετῆς ὁ μῦθος πλάττει. 1428, 50.
γραῖαι νῆες αἱ παλαιαί. 1446, 13.
γραΐδιον ὅτι παρὰ τὸ γραῒς ὑποκεκόρισται. 1410, 4.
Γραικοὶ οἱ Ἕλληνες, οὓς καὶ χωρὶς τοῦ γ Ῥαικοὺς ὀνομάζουσιν οἱ βάρβαροι, καὶ ἐτυμολογία τῆς λέξεως. *implicite.* 633, 50. 890, 14.
γραῒς καὶ γρηῢς ἡ γραῦς. 1410, 3.
γράμμα, ὅτι ἄχρηστος Ὁμήρῳ ἐστὶν ἡ λέξις. 633, 39.
γράμματα ὅτι παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν, λέγονται. 632, 45.
γράμματα τὰ στοιχεῖα, παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν, καὶ γράμματα τὰ συγγράμματα ὁμωνύμως, ὅθεν πολλὰ γράμματα εἰδέναι λέγεται ὁ πολλὰ συγγράμματα ἀναλεξάμενος. 1959, 59.
γράμματα, ὅτι οὕτω καλοῦνται τὰ τμήματα τῆς Ὁμήρου ποιήσεως· ζήτει ἐν τῷ, Ὁμήρου ποιήσεως μερισμός. 6, 4.
γράμματα Φοινίκια λέγονται διὰ τὸ τὸν Κάδμον ἐκ Φοινίκης αὐτὰ κομίσαι. 1757, 56.
γραμματεῖον, πινακίδιον κηρῷ ἀληλιμμένον, ἐφ' οὗ ἔγραφον διά τινος γραφείου ἐκ σκληρᾶς τινὸς ὕλης. 1710, 21.
γραμματικὸν ἔκπωμα τὸ γράμματα κύκλῳ ἔχον. 1960, 12.
γραμμὴ, παραγωγὴ, καὶ ἱερὰ γραμμή· καὶ παροιμία, κινεῖν τὴν ἀφ' ἱερᾶς, καὶ ἑτέρα, τὸν ἀπὸ γραμμῆς κινεῖν λίθον, ἑρμηνεία διεξοδική. 633, 57. 62.
γραμμιστὸς ὁ κατάγραπτος, ὅτι παρὰ τὸ γράφειν ἢ μᾶλλον παρὰ τὴν γραμμὴν λέγεται. 852, 11.
Γράνικος ποταμὸς, ὁ καὶ Γρήνικος παρ' Ὁμήρῳ, ὅτι διὰ τοῦ τῆς Ἀδραστείας πεδίου ῥέει, καὶ ὅτι προπαροξύνεται ἡ λέξις. 890, 12. 16.
γράπτης ὁ ῥυσσὸς, παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν. 633, 56.
γραπτὺς γραπτύος, καὶ ἐπὶ τῶν πληθυντικῶν γραπτύες καὶ ἐν συναιρέσει γραπτῦς, τὰ ξέσματα εἴτουν ἀμυχαὶ, παρὰ τὸ γράφω τὸ ξέω. 1926, 49. 1959, 57.
γράσος, ὅτι ἡ τῶν αἰγῶν ὀσμὴ οὕτω λέγεται. 1634, 22.
γράστις ὁ ἡμίξηρος χόρτος, ὅτι παρὰ τὸ γράω, ὅ ἐστιν ἐσθίω. 633, 47. 852, 9. 1220, 44. 46.
Γράσων κύριον παρὰ τὸν γράσον, ὃ δηλοῖ τὴν τῶν αἰγῶν ὀσμήν. 1634, 22.
γραῦς ὅτι παρὰ τὸ γράω γρῶ, ὅ ἐστιν ἐσθίω καὶ φθείρω, λέγεται· καὶ ὅτι γραῖα μὲν κοινῶς, γραῦς δὲ Ἀττικῶς λέγεται· καὶ ὅτι καὶ τὸ ἐν ταῖς χύτραις ἐπαφρίζον καὶ τὸ ἐπάνω τοῦ γάλακτος καὶ τοῦ μέλιτος γραῦς λέγεται ὁμωνύμως. 633, 47. 852, 9. 906, 53. 1220, 45. 1428, 52. 1450, 44.
γράφειν κυρίως τὸ λίθοις ἢ ξύλοις ἐγχαράσσειν γράμματα, καὶ ἁπλῶς τὸ ξέειν ἢ ξύειν, καὶ ὅτι ὠνοματοπεποίηται ἡ λέξις. 178, 35. 421, 15. 632, 45. 633, 24.
γράφεσθαι ἐν ἴσῳ τῷ γράφειν, οἷον ἐν τῷ, γράφου δὲ φρενῶν ἔσω. 806, 56.
γραφὴ λέξεων συνεξομοιουμένη ταῖς ποιότησι τῶν σημαινομένων πραγμάτων, οἷον λιμὸς διὰ μόνου τοῦ ῑ πρὸς ἔμφασιν τῆς τῶν λιμωττόντων ἰσχνότητος, καὶ ἄλλα τινὰ παραδείγματα. 194, 35.
γραφὴ, στίξις διὰ περονῶν ἤ τινῶν τοιούτων. 1960, 14.
γράφω ὅτι ἐκ τοῦ γρῶ, ὅ ἐστιν ἐσθίω καὶ φθείρω, παρῆκται. 633, 45.
γρηγορεῖν ὅτι παρὰ τὸ ἐγείρειν, καὶ ὅτι καὶ ἐγρηγορεῖν τετρασυλλάβως λέγεται. 1773, 15. 1880, 27.
γρηῒς καὶ γραῒς ἡ γραῦς. 1410, 3.
γρηῢς ἡ γραῦς, ὅτι καὶ γρηῢς διαλελυμένως λέγεται, καὶ ὅτι οὐ λέγεται τῆς γρεὼς Ἀττικῶς, ὡς τῆς νεὼς, ἐν τῇ γενικῇ. 1936, 1.
γρῖνος προπερισπωμένως κατὰ γλῶσσαν ὁ κοινῶς ῥινός. 1926, 55.
γρίντης ὁ γριπεὺς κατὰ γλῶσσαν. 1926, 56.
γριπεὺς ὁ ῥάπτων τὰ ἁλιευτικὰ δίκτυα. 1926, 56.
γρῖπος, ὁ καὶ γρῖφος, εἶδος δικτύου, ὅτι παρὰ τὸ γρῶ, ὅ ἐστι ξύω, λέγεται· ἑλκόμενος γὰρ ξύει τὴν ὑποκειμένην ἄμμον. 633, 45.
γρίσσων ὁ χοῖρος κατὰ γλῶσσαν. 1926, 56.
γριφᾶσθαι τὸ γράφειν παρὰ Λάκωσι. 1926, 56.
γρῖφος ταὐτὸ ὅπερ γρῖπος, ὅ ἐστιν εἶδος δικτύου· ζήτει ἐν τῷ γρῖπος. 633, 45.

γρῖφος, αἴνιγμα καὶ δύσκολον ζήτημα ἐν συμποσίοις ἐπὶ φιάλῃ μεστῇ γινόμενον, ὅπερ ὁ ἐπιλυσάμενος φιάλην ἐξέπινε. 1769, 5. 1926, 57.

γρίφων, ὅ ἐστιν αἰνιγματωδῶν ἐννοιῶν, παραδείγματά τινα. 1634, 12.

γρόμφις ἡ θήλεια ὗς καὶ παλαιὰ τῇ ἡλικίᾳ. 1752, 13.

γρόνθος ὁ κόνδυλος. 1322, 39.

γρόσφος ἢ κρόσφος ὁ τοῦ δόρατος σαυρωτὴρ ἢ εἶδος ἑλεπόλεως, γρόσχος δὲ μικρὸν ἀκόντιον. 795, 35. 1512, 18.

γρόσχος, μικρὸν ἀκόντιον, γρόσφος δὲ μηχανικόν τι. 1512, 18.

γρυλλισμός, μίμημα τῆς τῶν χοίρων φωνῆς. 1657, 8.

Γρύλλος, κύριον ὠνοματοπεποιημένον παρὰ Πλουτάρχῳ, παρὰ τὸ γρυλλίζειν, ὅ ἐστι μίμημα χοίρων φωνῆς. 1657, 9.

γρυσμὸς ὁ τοῦ τελείου συὸς γρυλλισμός. 773, 15.

γρῶ τὸ ἐσθίω καὶ τὸ φθείρω. 633, 44. 48. 852, 8.

γρώνη, μέρος τοῦ ἁρματείου δίφρου ὁμωνύμως τῇ γρώνῃ πέτρᾳ. 1307, 22.

γρώνη, πέτρα τετρυπημένη, παρὰ τὸ τρῶ, ὅ ἐστι τρυπῶ, οἱονεὶ τρώνη, ἣν Ὅμηρος τρητὸν λίθον λέγει Ὀδυσσ. ν', 77. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ γρῶ, ὅ ἐστιν ἐσθίω καὶ φθείρω. 633, 47. 852, 9. 1532, 9. 1733, 32.

γῦα καὶ γυῖα αἱ χεῖρες, πολλαχοῦ παρ' Ὁμήρῳ, ζήτει ἐν τῷ γυῖα. 250, 36.

γύαλα τὰ μέλη ἐν τῷ, πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ, τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα, Ἰλ. ο', 530. ἢ γύαλα τὰ τοῦ θώρακος κοιλώματα· καὶ γύαλα τὰ ἁπλῶς κοιλώματα. 251, 6. 526, 38. 1030, 28.

γύαλον θώρακος τὸ κύτος, καὶ γύαλα, ἄντρα κεκοιλωμένα. 944, 27.

Γυγαίη λίμνη κατὰ τὴν Σαρδιανὴν χώραν, Κολόη ὕστερον κληθεῖσα, ὅπου καὶ Γυγαία Ἀθηνᾶ ἐτιμᾶτο, ἱστορία. 365, 45.

γύη ἢ γύης, μέτρον τι γῆς καὶ μέρος τι τοῦ ἀρότρου ὁμωνύμως, ἀλλαχοῦ δὲ ὅτι γύης μέρος τι τοῦ ἀρότρου, γύη δὲ μέτρον τι γῆς. 776, 60. 1572, 19.

γυῖα τὰ καθ' ὅλον τὸ σῶμα μέλη, ἰδίως δὲ οἱ πόδες καὶ αἱ χεῖρες, ἐξαιρέτως δὲ αἱ χεῖρες. 529, 28. 920, 30. 1344, 19.

γυῖα ποδῶν καὶ γυῖα χειρῶν, ἐντελῶς λέγεται, γυῖα δὲ κατὰ μόνας ἐλλιπῶς. 944, 47.

γυιὸς γυιὰ γυιόν, ἐπίθετα ὀξυτόνως ἀντὶ τοῦ χωλὸς χωλὴ χωλόν. 720, 12.

γυιῶσαι ἵππον, ἤγουν χωλῶσαι. 641, 24. 720, 12.

γυμνάδδω ὅτι ἐκ τοῦ γυμνάζω γέγονε τροπῇ τοῦ ζ εἰς δ καὶ προσθέσει ἑτέρου δ Αἰολικῶς καὶ Δωρικῶς. 1570, 12.

γυμνάσιον, ὅτι παρὰ τὸ γυμνοὺς ἀγωνίζεσθαι τοὺς ἀθλητὰς οὕτω λέγεται. 1324, 16.

γυμνὸν τόξον λέγεται τὸ ἔξω τοῦ γωρυτοῦ ὄν. 1703, 24.

γυμνὸς ἀντὶ τοῦ ἄοπλος, καὶ γυμνῆτες στρατιῶται οἱ ἄοπλοι. 1222, 52.

γυμνοῦν τὸ ἀφοπλίσαι ἐν τῷ, μή μ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θείῃς, Ὀδυσσ. κ', 341. 1660, 40.

γύμνωσις λέγεται οἱονεὶ γύων μόνωσις ἐτυμολογικῶς. 911, 23.

γύναι, κλητικὴ ἐκ τῆς γύναιξ εὐθείας ἀποβολῇ τοῦ ξ. 345, 14. 433, 14.

γυναῖα δῶρα τὰ γυναικεῖα ἐν τῷ, γυναίων εἵνεκα δώρων, Ὀδυσσ. λ', 521. καὶ διάφοροι ἑρμηνεῖαι τοῦ ῥητοῦ ἐκείνου. 1697, 30.

γυναῖκα μαζὸν ἀντὶ τοῦ γυναικεῖον ἢ ἁπλῶς ἀνθρώπινον ἐν τῷ, γυναῖκά τε θήσατο μαζόν, Ἰλιάδ. ω', 58. ἑρμηνεῖαι διάφοροι διεξοδικῶς. 1339, 6. 1416, 22.

γυναικάνδρεσσι κατὰ πληθυντικὴν δοτικὴν ἀντὶ τοῦ ἀνδρογύνοις. 727, 50. 1132, 32. 1490, 22.

γυναικεῖον αἰδοῖον ὅτι ἄμβων καὶ χοῖρος καὶ ἐσχάρα καὶ δέλτα καὶ κέλης ἐλέγετο συνωνύμως. 1539, 33.

γυναῖκες ἀφορμαὶ διαφόρων πολέμων καὶ στάσεων καὶ οἴκων ἀνατροπῆς ἐξ ἐπαγωγῆς παραδειγμάτων. 1244, 43.

γυναῖκες ὅτι μνημονικώτεραί εἰσι τῶν ἀνδρῶν, καὶ ἄλλων τινῶν γυναικείων ἠθῶν ἔκθεσις. 1489, 38.

γυναῖκες ὅτι φιλοῦσι περιαυτολογεῖν καὶ συνεχῶς προφέρειν τὰς εὐεργεσίας τοῖς εὐηργετημένοις. 121, 39.

γυναῖκες φυλαδὸν φεύγοντας ἐκ πολέμου τοὺς ἑαυτῶν ἄνδρας ἐντρέπουσαι, ἱστορία. 626, 42.

γυναῖκες τέττιγες, ἀντὶ τοῦ, θήλειαι τέττιγες, παρὰ Ξενάρχῳ. 1423, 30.

γυναῖκες θήλειαι ἐπιθετικῶς, ὅτι παρέλκει ἡ ἐπίθεσις. 687, 56.

γυναικίας καὶ γυναικιζόμενος ἐκαλεῖτο πᾶς τις ἄτολμος ἐν πολέμῳ. 1261, 60.

γυναικὸς καὶ γυναικὶ καὶ γυναῖκα πλάγιαι ὅτι ἀπὸ τῆς γύναιξ ἀχρήστου εὐθείας δοκοῦσι κεκινῆσθαι. 1627, 40.

γυναικὸς καλῆς ἔπαινος ποιητικός. 1558, 13.

γυναικῶν εἶδος καὶ φρόνησις ὅτι ὑπὸ Ἥρας δίδοσθαι μυθεύεται, μέγεθος δὲ ὑπὸ Ἀρτέμιδος, ἔργων δὲ ἐπιστήμη ὑπὸ Ἀθηνᾶς. 1882, 42.

γυναικῶν κόσμος, ὅτι ταῖς Συρακουσίων γυναιξὶ νόμῳ ἀπείρητο τὸ χρυσῷ κοσμεῖσθαι καὶ ἄνθινα καὶ πορφυρᾶ φορεῖν. 1185, 6.

γυναικῶν τινῶν ποιητριῶν κατάλογος. 326, 42 — 327, 11.

γυναιμανὴς ὅτι οὐκ ἐκ τῆς γύναι κλητικῆς σύγκειται, ἀλλ' ἐκ τοῦ γυνομανὴς γέγονε τροπῇ τοῦ ο εἰς αι, ἢ ἐκ τοῦ γυναικομανὴς συγκέκοπται. 360, 32. 380, 7. 16.

γύναιξ εὐθεῖα, ἧς αἱ γυναικὸς γυναικὶ γυναῖκα πλάγιαι, ὅτι σεσίγηται διὰ τὸ μὴ εὑρίσκεσθαι κατάληξιν εἰς διπλοῦν μετὰ διφθόγγου. 321, 45.

γυνὴ ἡ φύσει θήλεια καὶ ἡ ὑπὸ ἀνδρὶ οὖσα. 1650, 57. 1918, 47.

γυνή τινος ἢ παράκοιτις ἢ ἄλοχος εἶναι λέγεται οὐ μόνον ἡ γαμετή, ἀλλὰ καὶ ἡ ἁπλῶς αὐτῷ συγγινομένη. 1700, 16.

γυνὴ ὅτι καὶ ἄκοιτις καὶ ἄλοχος καὶ ὁμόλεκτρος καὶ εὖνις ἀνδρὸς κατὰ συνθήκην καὶ σύνευνος καὶ δάμαρ συνωνύμως λέγεται. 445, 6. 653, 38.

γυνὴ ἐννέα παῖδας ἄρσενας τεκοῦσα καθ' ἕνα τοκετὸν, ἱστορία. 933, 28.

γυνὴ, λέξις ἑτεροκλίτως κινουμένη, καὶ ὅτι καὶ γυνὴν εὕρηται ἐπὶ τῆς αἰτιατικῆς. 113, 28. 33. 1114, 62.

γυνὴν, αἰτιατικὴ ἀπὸ τῆς γυνὴ εὐθείας ἀναλόγως κινουμένη. 113, 29.

γῦνις ὅτι προϋπόκειται τοῦ λάγνος, λάγνος γὰρ λέγεται οἱονεὶ λαγύνις. 1412, 30.

γῦνις ὁ λάγνος καὶ ὁ δειλὸς, καὶ γῦνις ὁμωνύμως ὁ θηλυδρίας καὶ μὴ εὖ διακείμενος πρὸς τὰ ἀφροδίσια. 1680, 44.

γῦπες, τὸ γῦ μακρὸν ἐν τῷ, ὅς κε φύγοι, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται, Ἰλιάδ. σ', 271. 1142, 39.

Γυραὶ πέτραι περὶ Μύκονον, διὰ τὸ στρογγύλαι εἶναι οὕτω δοκοῦσαι κεκλῆσθαι, καὶ ὅτι καὶ Γυραία λέγεται παρὰ τὸ Γυρὴ, ὡς ἀρχὴ ἀρχαία, σελήνη σεληναία. 1507, 6.

γυρῖνοι, βάτραχοι γυροὶ τὸ σχῆμα μήπω πόδας ἔχοντες, οὓς Ἴωνες γερίνους καλοῦσι. 1864, 6.

γυρὸς λέγεται ὁ φύσει, κυφὸς δὲ ὁ διὰ γῆρας ἢ πάθος τοιοῦτος γεγονώς. 1431, 36.

γυρὸς ὤμους λέγεται ὁ ὑπόκυρτος, καὶ γυρὸς ὁμωνύμως οὗ τὰ φυτὰ ἐμβάλλεται. 1864, 7.

γῦρος βαρυτόνως ὁ κύκλος καὶ εἶδός τι πλακοῦντος μαστοειδοῦς τῷ σχήματι εἰς γυναικῶν ἑστιάσεις γινομένου παρὰ Λάκωσι. 1864, 7.

γῦρος ὁ κύκλος προσηγορικῶς, γυρὸς δὲ ὁ κυφὸς ἢ κυρτὸς ἐπιθετικῶς, ὅθεν καὶ Γυραὶ πέτραι. 638, 59. 907, 5.

Γυρτὼν, πόλις Μαγνῆτις πρὸς ταῖς τοῦ Πηνειοῦ ἐκβολαῖς. 333, 21. 933, 25.

Γυρτώνη, πόλις Φωκίδος, Γυρτὼν δὲ πόλις Μαγνῆτις πρὸς ταῖς τοῦ Πηνειοῦ ἐκβολαῖς. 333, 21. 933, 10. 25.

Γυρτῶνος πόλεως θέσις, καὶ ὅτι ἐν αὐτῇ Ἰξίων καὶ Πειρίθους ἐβασίλευσαν. 337, 13.

γων̄ λήγοντα θηλυκὰ ἀπὸ ῥημάτων εἰς ζω̄ ληγόντων, οἷον τρύζω τρυγὼν, ὀλολύζω ὀλολυγών. 594, 25.

γων̄ λήγοντα ὀξυνόμενα τρέπει τὸ ω̄ εἰς ο̄ ἐν ταῖς πλαγίαις, ὅθεν δῆλον ὅτι τὰ τρέποντα τὸ ω̄ ὀξύνονται, τὰ δὲ μὴ ὀξυνόμενα ἢ φυλάσσει τὸ ω̄ ἢ διὰ τοῦ ντ̄ κλίνονται, πλὴν τοῦ καταπύγων καταπύγονος. 1228, 14.

γωνία ὅτι παρὰ τὸ γόνυ λέγεται ἐκτάσει τοῦ ο εἰς ω. 563, 20.

γωρυτὸς, θύλακος, τοξοθήκη, οἱονεὶ χωρυτὸς ἤγουν χωρῶν τὸ ῥυτὸν, ὅ ἐστιν ἑλκυστὸν τόξον. 39, 6. 1846, 19. 1898, 51. 58.

Ἀρχὴ τοῦ Δ στοιχείου.

δ̄ στοιχεῖον πλεονάζον πολλαχοῦ, οἷον ἐν τῷ πολυΐψιον πολυδίψιον. 105, 12.

δ̄ ἐπεντιθέμενον δασυνομέναις λέξεσιν αἴτιον τοῦ ψιλοῦσθαι αὐτὰς, οἷον ἕλω ἔλδω. 36, 42.

δ̄ ἐπιφερόμενον βραχεῖ φωνήεντι, ἐν τέλει λέξεων κειμένῳ, ὅτι δύναταί ποτε ἐκτείνειν αὐτό. 400, 1.

δ̄ ὅτι συγγενεύει τῷ θ καὶ εἰς αὐτὸ τρέπεται κατὰ τὰς παραγωγὰς, οἷον ἐν τῷ Προμηθεὺς ἐκ τοῦ μήδω. 68, 40. 117, 15.

δ̄ ἐκ τοῦ τ̄ τραπὲν, οἷον τῆδες ἀντὶ τοῦ τῆτες. 1618, 36.

δ̄ εἰς ζ̄ τρεπόμενον, οἷον ἀρίδηλος ἀρίζηλος. 153, 26.

δᾱ λήγοντες μέσοι παρακείμενοι ἀπὸ θεμάτων εἰς ζω̄, οἷον ὄζω ὄδωδα. 153, 32.

δᾱ λήγοντα ἐπιῤῥήματα ἀπὸ ληγόντων εἰς δον̄ μεταπεπλασμένα, οἷον ἀναφανδὸν ἀναφανδὰ, ἀποσταδὸν ἀποσταδά. 1062, 31. 1555, 63.

δᾶ ἡ γῆ Δωρικῶς. 436, 41.

δᾷδες ὅτι παρὰ τὸ δαίω τὸ καίω λέγονται. 87, 27.

δᾳδοῦχοι παρ' Ἀθηναίοις ὅτι ἐκ τῆς ἀρχαίας χρήσεως τῶν δᾴδων οὕτως ἐκλήθησαν, καὶ δᾳδουχεῖν ῥῆμα. 1157, 14.

δᾳδοῦχος, ὅτι οὐ πᾶς ὁ δᾷδα ἔχων δᾳδοῦχος λέγεται. 104, 24.

Δάειρα, δαίμων τις, καὶ δάειρα συγγενικὸν ὄνομα. 648, 33. 39.

δαείω ἀντὶ τοῦ δαῶ, ὅ ἐστι μάθω. 728, 17.

δαήμεναι πολέμοιο, ἤγουν γνῶναι περὶ πολέμου, σύνταξις· ζήτει τὸ δαῆναι. 1248, 30.

δαῆναι λέγεταί τις ἑτέρωθεν, εἰδέναι δὲ οἴκοθεν. 1506, 12.

δαῆναι ὅτι πρότερόν τι ἐστὶ τοῦ εἰδέναι. 1588, 11.

δαῆναι γενικῇ ἐν τῷ, πῶς γὰρ ἐμεῦ σὺ ξεῖνε δαήσεαι, Ὀδυσσ. τ', 325. ζήτει τὸ δαήμεναι. 1866, 33.

δαὴρ ὁ ἀνδράδελφος, ὅτι παρὰ τὸ δαίω λέγεται, καὶ ὅτι ποτὲ μὲν ἐκτείνει τὸ δᾶ, ποτὲ δὲ συστέλλει παρ' Ὁμήρῳ. 391, 40. 401, 13. 557, 2. 645, 53. 648, 47.

δαΐ, δοτικῆς πτώσεως, ὅτι ἐκ τοῦ δαΐδι ἀποκέκοπται. 932, 22.

δαίδαλα ὅτι ἐκ τοῦ δαιδάλεα συνεκόπη. 1169, 11.

δαιδαλέη κιβωτὸς ἡ πεποικιλμένη χρώμασιν ἢ γλύμμασι. 1056, 47.

δαιδάλεον τὸ ποικίλον ἢ τὸ τεχνικὸν, ἀπὸ Δαιδάλου τοῦ Κρητὸς, καὶ δαιδάλεον τὸ ἁπλῶς καλὸν τίθεται. 1400, 19. 1169, 11.

δαιδάλεον σάκος λέγεται παρ' Ὁμήρῳ, ὁποῖον ἂν Δαίδαλος ἐποίησε. 1189, 10.

δαιδάλεος δαιδαλέη δαιδάλεον, ἐπίθετα ὅτι ἀπὸ Δαιδάλου τοῦ Κρητὸς λέγονται, ἢ Δαιδάλης μητρὸς Μήτιδος, παρ' ᾗ μυθεύεται ἡ Ἀθηνᾶ τραφῆναι. 1056, 50.

Δαιδάλη, μήτηρ Μήτιδος, παρ' ᾗ μυθεύεται ἡ Ἀθηνᾶ τραφῆναι. 1056, 52.

δαίδαλον ἀντὶ τοῦ δαίδαλμα, ἤγουν ποίκιλμα, ὅτι ἐκ τοῦ δαιδάλεον λέγεται κατὰ συγκοπήν. 1863, 38.

δαίδαλον ὅτι ἐκ τοῦ δαιδάλεον συγκέκοπται, καὶ ὅτι ἐκ τοῦ δαίω τὸ μανθάνω πλεονασμῷ τοῦ δ̄ λέγεται τὸ δαίδαλος καὶ τὰ ἐξ αὐτοῦ. 976, 20.

Δαίδαλος ὁ Κρὴς ὅτι ὑπουργὸς ἐρώτων ἱστορεῖται γενέσθαι, καὶ ὅτι ὑπὸ τῶν Κωκάλου τοῦ Κρητὸς θυγατέρων ἀπώλετο, καὶ ὅτι παρὰ τὸ δαίω τὸ μανθάνω λέγεται κατὰ ἀναδιπλασιασμὸν ἢ πλεονασμὸν τοῦ δ̄ καὶ Δαίδαλος

ὄνομα ὄρους Λυκιακοῦ ὁμωνύμως. 253, 7. 635, 16. 1166, 23. 1817, 40.

δαίεσθαι ὄσσε λέγεται λέων παρ' Ὁμήρῳ ἀντὶ τοῦ πυρόεν βλέπειν. 1555, 40.

δαίεσθαι πυρὶ λέγονται παρ' Ὁμήρῳ οἱ τοῦ θυμουμένου ὀφθαλμοί. 58, 17.

δαίμονα διδόναι τινὶ, ἀντὶ τοῦ θανατοῖν ἢ ἀντὶ τοῦ ἐκφοβῆσαι. 705, 17.

δαιμόνια ὁμωνύμως καλούμενα τοῖς πάθεσιν, οἷς ἐφίστασθαι μυθεύονται, Φόβος, Ἔρις, Κυδοιμός. 603, 30.

δαιμόνιά τινα πτοούμενα ὕλας τινάς, οἷον ἡ Ἔμπουσα τὴν ἴασπιν. 1659, 27.

δαιμόνιε, προσφώνημα ἐν ἴσῳ τῷ μακάριε. 733, 13.

δαιμόνιε, προσφώνημα γυναικὸς πρὸς τὸν ἄνδρα, θυμὸν καὶ εὔνοιαν σημαῖνον, Ἰλιάδ. ζ', 407. 651, 11.

δαιμόνιος ἐπίθετον ὅτι μέση λέξις ἐστὶ, καὶ ὅτι καὶ ἀντὶ τοῦ μακάριος τίθεται. 200, 9. 201, 32.

δαιμόνιος ἀπολύτως καὶ μετὰ γενικῆς πληθυντικῆς καθ' ὑπερθετικὴν σύνταξιν ἐν τῷ, δαιμόνιε ξείνων, Ὀδυσσ. ξ', 443. 1767, 2.

δαίμων ἐπὶ τῆς ἐν ἑκάστῳ ἀνθρώπῳ ψυχῆς, καὶ δαίμων ἡ τύχη ἢ ἡ μοῖρα, ὅθεν καὶ ὀλβιοδαίμων εἶναι λέγεται ὁ τύχῃ ὀλβίᾳ χρώμενος. 686, 10. 775, 39. 1766, 12.

δαίμων, μέση λέξις, ὅτι διὰ προσθήκης ἀγαθοῦ ἢ κακοῦ διακρίνεται, ἐν συνθέσει δὲ διὰ τοῦ εὖ ἢ δυς μορίου. 200, 11. 651, 24.

δαίνυ προστακτικὸν ὅτι ἐκ τοῦ δαίνυε κέκραται. 736, 35.

δαίνυσθαι τὸ ἐν δαιτὶ δαπανᾶν ἐν τῷ, ἥμεθα δαινύμενοι κρέατ' ἄσπετα καὶ μέθυ ἡδὺ, παρ' Ὁμήρῳ. 1620, 54.

δαίνυτο, τρίτον πρόσωπον εὐκτικὸν, ὅτι ἐκ τοῦ δαινύοιτο συγκέκοπται. 1370, 60.

Δάϊρα διὰ τοῦ ϊ καὶ Δαῖρα κατὰ συναίρεσιν, ὄνομα κύριον, ζήτει ἐν τῷ Δαῖρα. 456, 13.

Δαῖρα, ἡ καὶ Δάειρα, δαίμων τις οὕτω καλουμένη. 648, 40.

δαῖς ἡ μάχη, ὅτι παρὰ τὸ δεδηέναι ἤγουν ἀνῆφθαι λέγεται. 645, 33.

δαῖς ἡ λαμπὰς, ὅτι πρὸς διαστολὴν τοῦ δαὶς, ὅ ἐστιν εὐωχία, διαλελυμένως λέγεται. 1571, 28.

δαὶς ἡ ἐν φίλου καὶ ἁπλῶς ἡ ἔξω τῶν ἰδίων γινομένη εὐωχία. 766, 54.

δαὶς ὅτι ἐπὶ μόνης τῆς τῶν ἀνθρώπων εὐωχίας λέγεται, ἀλλαχοῦ δὲ ὅτι κοινόν ἐστιν ὄνομα παντοίας εὐωχίας. 19, 46. 1413, 28.

δαῖτα τὴν δίαιταν Σέλευκος ὠνόμασε μεταθέσει τοῦ ι. 1179, 1.

δαιταλεῖς, θιασῶται, συμπόται, ὅτι παρὰ τὴν δαῖτα λέγονται. 1424, 23.

δαίτῃ ἀντὶ τοῦ δαὶς ἐν τῷ, τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες, Ὀδυσσ. γ', 44. 799, 51. 1456, 34.

Δαίτης καὶ Δαίτων κύρια ὅτι παρὰ τὴν δαῖτα λέγονται, καὶ ὅτι ἐν τοῖς Λακωνικοῖς φειδιτίοις ἵδρυντο Δαίτων καὶ Κεράων ὑπὸ τῶν ἐν αὐτοῖς διακονούντων. 1413, 22.

δαιτρεύειν τὸ διαμοιρᾶσθαι καὶ δαΐζειν, ἀφ' οὗ καὶ δαιτρὸς λέγεται, καὶ δαιτρεύειν τὸ ἁπλῶς μερίζειν. 878, 39. 1765, 53.

δαιτρὸν πίνειν, ἤγουν μεμερισμένως. 470, 11.

δαιτρὸς ὁ τὰ κρέα μερίζων τοῖς δαινυμένοις, ὅτι παρὰ τὸ δαΐζειν λέγεται. 407, 11. 878, 40. 1401, 62. 1765, 54.

δαιτυμόνες παρ' Ὁμήρῳ ποτὲ μὲν οἱ ἁπλῶς δαινύμενοι, ποτὲ δὲ οἱ τὴν δαῖτα παρασκευάζοντες, ποτὲ οἱ κλητοὶ ἐπὶ δαῖτα. 1512, 2. 1917, 8.

δαιτὺς ἡ δαὶς, ἀναλόγως τῷ βρωτὺς καὶ ἐδητύς. 1283, 17.

δαΐφρων ὁ δάϊος, ὅ ἐστι πολεμικὸς, καὶ φρόνιμος, τουτέστιν ὁ συνετὸς καὶ ἀνδρεῖος· ἢ δαΐφρων ὁ δάϊα, ὅ ἐστι πολεμικὰ, φρονῶν ἢ ὁ δεδαημένος τὸ φρονεῖν, ὅ ἐστιν ἀπὸ μαθήσεως φρόνιμος. 836, 3. 857, 3. 1563, 9. 1604, 28.

δαΐφρων ὁ δαιόμενος τὰς φρένας κατὰ τὸ βουλεύεσθαι. 1427, 42.

δαίω τὸ καίω καὶ τὸ μερίζω, ἐπεὶ καὶ τὰ καιόμενα μερίζονταί πως, ὅτι ἐκ τοῦ δῶ ἀῤῥήτου ῥήματος παρῆκται. 179, 45. 481, 14. 615, 10. 857, 54. 1209, 60.

δακέθυμος, ὁ καὶ θυμοδακὴς κατὰ συνθέσεως ἀναστροφήν. 1590, 43.

δάκετον θηρίον ἐπιθετικῶς, καὶ δάκετον προσηγορικῶς τὸ θηρίον. 427, 28.

δάκνω ὅτι ἐκ τοῦ δῶ ἀῤῥήτου ῥήματος παρῆκται. 28, 45. 857, 54.

δάκος θηρίον ἐπιθετικῶς, καὶ δάκος προσηγορικῶς τὸ θηρίον. 427, 28.

δάκρυ ὅτι ἐκ τοῦ δάκρυον κατὰ ἀποκοπὴν λέγεται, διὸ καὶ ἄκλιτόν ἐστι. 217, 5.

δάκρυα χωρὶς προϋπαρξάσης λύπης, ὅτι ὑετὸς ἐν αἰθρίᾳ συμβολικῶς λέγεται. 1884, 58.

δακρυόεις γόος ὅτι πρὸς διαστολὴν λέγεται τοῦ διὰ χαρὰν γινομένου. 1518, 33.

δακρυόεις πόλεμος ὁ δακρύων αἴτιος γινόμενος. 719, 51.

δακρυόεν γελάσαι ὅτι ἐκ πάθους γίνεται μικτοῦ ἐκ λύπης καὶ χαρᾶς. 657, 14.

δάκρυον θαλερὸν καὶ τέρεν καὶ ὑγρὸν καὶ χλωρὸν ἐπιθετικῶς, καὶ ὅτι παρὰ τὸ δάκνειν τὸ δάκρυον λέγεται. 216, 46—217, 9.

δάκρυον ὅτι παρὰ τὸ δάκνειν λέγεται, δακνομένης γὰρ οἷον τῆς ψυχῆς προΐεται. 37, 33. 217, 9.

δακρυπλώειν ἀντὶ τοῦ δάκρυσι πλήθειν, ἢ διὰ δακρύων πλέειν. 1857, 35.

δακρυχέειν ὅτι πλῆθος δηλοῖ δακρύων διὰ τοῦ χέειν. 688, 43.

δακτυλεὺς, ὅτι εἶδός τι κεστρέως οὕτω καλεῖται. 1177, 64.

Δάκτυλοι Ἰδαῖοι, ὅτι διὰ τὸ ἰσάριθμοι γεγονέναι τοῖς τῆς χειρὸς δακτύλοις οὕτως ἐκλήθησαν. 353, 20.

δάκτυλος, πούς μετρικὸς, καὶ περὶ ὁλοδακτύλων ἐπῶν χρείας. 1086, 12. 23.

δακτυλωτὸν ποτήριον τὸ κοιλότητας οἷον δακτύλων ἔχον ἔνδοθεν. 130, 6.

δαλὸς ἀνημμένος ὅτι μάχης ἦν σύμβολον. 1242, 43.

δαλὸς, ὅτι δαλός τις ὅρος ἦν τῆς τοῦ Μελεάγρου ζωῆς, ἀλληγορία διεξοδική. 774, 35.

δαμάζειν τὸ ταπεινοῦν καὶ ὑποτάσσειν. 1336, 8.

δαμάλαι καὶ δαμάλεις αἱ νέαι βόες. 1625, 42.

δάμαρ ἡ ἀνδρὶ συνεζευγμένη καὶ δεδαμασμένη γυνή. 1185, 18. 1336, 10.

δάμαρτος δάμαρτι καὶ δάμαρτα, πλάγιαι ὅτι ἐκ τῆς δάμαρς εὐθείας κεκινῆσθαι δοκοῦσιν. 1861, 33.

δαμάσαι ὅτι πῆ μὲν αὐτοπαθῶς, πῆ δὲ ἀλλοπαθῶς λαμβάνεται. 1264, 55.

Δάματερ ὅτι θαυμαστικῶς προφέρεται, καὶ ὅτι Δωρικὸν ὂν ὑπὸ τῶν Ἀττικῶν προσεδέχθη. 12, 6. 1385, 53. 1892, 43.

δάμεν ἀντὶ τοῦ ἐδαμάσθησαν. 889, 37.

δαμνᾷ, ἤγουν δαμάζεις, δεύτερον πρόσωπον ἀπὸ τοῦ δαμνῶμαι. 977, 63.

δαμνᾶν ὅτι ἐκ πλεονασμοῦ προςείληφε τὸ ῡ κατὰ τὴν παραγωγήν. 562, 43.

δάμνημι, τὸ παθητικὸν δάμναμαι δάμνασαι δάμναται, τὸ ἀπαρέμφατον δάμνασθαι. 977, 63.

δάμνιον, ὅτι οὕτω γράφουσί τινες ἐν τῷ, Περσεὺς δάμνιον εἶχεν, Ὀδυσσ. γ', 444. καὶ ζήτει τὸ ἀμνίον ἐν τῷ ᾱ στοιχείῳ. 1476, 40.

δαμνῶμαι ἐν ἴσῳ τῷ δαμάζω. 977, 62.

Δαμοίτης κύριον ὅτι ἐκ τοῦ δημότης γέγονε τροπῇ τοῦ η̄ εἰς ᾱ καὶ ἐπενθέσει τοῦ ῑ. 113, 6. 901, 13.

δανὰ ξύλα τὰ εἰς τὸ δαίεσθαι ἐπιτήδεια, τουτέστι ξηρά. 1241, 47. 1605, 5. 1783, 7.

Δαναΐδες αἱ τοῦ Δαναοῦ θυγατέρες, ὅτι φρεωρυχίαν ἐν Ἄργει ἐδίδαξαν, ἱστορία. 461, 5.

Δαναοὶ οἱ Ἀργεῖοι καὶ ἁπλῶς οἱ Ἕλληνες, ἀπὸ Δαναοῦ, ἱστορία. 37, 20. 27. 357, 30.

Δαναός, υἱὸς Βήλου τοῦ Λιβύης, πατὴρ πεντήκοντα θυγατέρων, ὅτι Λιβύης τῆς χώρας ἦρξεν, ὕστερον δὲ εἰς Ἄργος ἔφυγε πεντηκόντορον ναῦν κατασκευάσας, καὶ δείξας τὰ ἐν Ἄργει ὑδρεῖα ἐτιμήθη ὡς σοφός, ἱστορία. 37, 20. 1645, 56.

δαπανᾶν ὅτι παρὰ τὸ δάπτειν λέγεται, ὅ ἐστιν ἀπλήστως καὶ θηριωδῶς ἐσθίειν, καὶ δαπάνη ὁμοίως. 1413, 8. 1794, 14.

δαπάνη, ζήτει ἐν τῷ δαπανᾶν. 1794, 14.

δάπεδον τὸ ἔδαφος, παρὰ τὸ δᾶ, ὅ ἐστι γῆ, καὶ τὸ πέδον, καὶ δάπεδον τὸ ἐμβαδὸν τῆς οἰκίας ἐν τῷ, δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν, Ὀδυσσ. κ', 227. καὶ δάπεδον δόμου τὸ ἔδαφος πρὸς διαστολὴν τοῦ αἰθρίου. 436, 35 — 44. 1655, 60. 1692, 59. 1933, 41.

δάπητες, ὅτι οὕτως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπιβόλαια, ἃ οἱ νεώτεροι τάπητας διὰ τοῦ τ̄ κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὸ τέλος. 1369, 45.

δάπιδες οἱ τάπητες παρὰ τὸ ἐν δαπέδῳ στρώννυσθαι, ἀλλαχοῦ δὲ ὅτι δάπιδες στρώματά τινα, καὶ ὅτι καὶ τάπιδες λέγονται· καὶ ὅτι τῶν δαπίδων αἱ μὲν ψιλαί, αἱ δὲ μαλλωταί. 1347, 43. 1369, 44. 1645, 24.

δαπὸς λήγοντα ὀνόματα ὅτι ἐκ τοῦ ἔδαφος ἢ ἐκ τοῦ δάπεδον σύγκεινται, οἷον ἡμεδαπός, ἀλλοδαπός, καὶ ὅτι παραλόγως ὀξύνονται. 1246, 21. 25. 1457, 54.

δαπταὶ αἱ δακνηραὶ μυῖαι, παρὰ τὸ δάπτειν. 615, 10. 962, 58. 1466, 30. 1795, 15.

δάπτειν τὸ ἀπλήστως καὶ θηριωδῶς ἐσθίειν, ὅτι πρωτότυπόν ἐστι τοῦ δαρδάπτειν, καὶ ὅτι παρὰ τὸ δῶ παρῆκται, ὡς ἀπὸ τοῦ ῥῶ τὸ ῥάπτω. 615, 9. 857, 53. 1413, 9. 1974, 16.

Δαρδανεῖς, ὅτι πολλοὺς δούλους ἕκαστος τῶν Δαρδανέων ἐκέκτητο, οὓς ἐν εἰρήνῃ μὲν ἐγεώργουν αὐτοῖς, ἐν πολέμῳ δὲ ὑπὸ τοῖς δεσπόταις ἐτάσσοντο. 1753, 33.

Δαρδάνιαι πύλαι Τροίας, αἱ καὶ Σκαιαί, ὅτι πρὸς ἀνατολὰς ἦσαν. 608, 9. 1274, 1.

Δαρδάνιος ἐθνικὸν τῷ ῑ, Δαρδάνειος δὲ ποταμὸς τῇ ει διφθόγγῳ. 220, 9.

Δαρδανὶς ἄκρα καὶ Δάρδανος πόλις ἀπὸ Δαρδάνου, ὅτι εὐκαταφρόνητος ἦν κατὰ τοὺς Ῥωμαίων χρόνους, ἱστορία καὶ τοποθεσία. 352, 44.

Δαρδανίωνες, Δαρδανίδαι, οἱ τοῦ Δαρδάνου ἀπόγονοι. 688, 21.

Δάρδανοι ἔθνος οἱ καὶ Δαρδάνιοι, καὶ Δαρδανία ἡ χώρα αὐτῶν, καὶ ὅτι Δάρδανοι κυρίως οἱ ἐν τῇ ὑψηλοτέρᾳ Δαρδανίᾳ περί που τὰς ὑπωρείας τῆς Ἴδης ᾠκισμένοι, καὶ ὅτι Δάρδανος τὸ ἐθνικὸν ἐκ τοῦ Δαρδάνιος συνεκόπη. 353, 2. 688, 24. 1204, 48.

Δάρδανοι ἔθνος, ὅτι οἱ Ἰλιεῖς εἰς Τρῶας καὶ Δαρδάνους διῄρηντο. 188, 22.

Δάρδανος, ὅτι οὕτως ἐκλήθη παῖς Ἑλένης καὶ Πάριδος. 380, 30.

Δάρδανος Θετταλὸς ὅτι μνήμων ἐδόθη κατὰ χρησμόν τινα Πρωτεσιλάῳ εἰς Τροίαν ἀπιόντι. 1697, 60.

Δάρδανος, υἱὸς Διὸς ἐξ Ἠλέκτρας τῆς Ἀτλαντίδος. 1155, 52.

Δάρδανος ἐκφυγὼν τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμόν, ἱστορία. 1204, 52.

Δάρδανος πόλις, ἱστορία· ζήτει ἐν τῷ, Δαρδανὶς ἄκρα. 352, 43.

δαρδάπτειν τὸ ἀπλήστως καὶ θηριωδῶς ἐσθίειν, ὅτι παρὰ τὸ δάπτειν λέγεται διπλασιασμῷ καὶ προσλήψει τοῦ ρ̄, ζήτει ἐν τῷ δάπτειν. 80, 21. 615, 9. 857, 33. 1413, 10. 1654, 31.

Δαρεῖος, Περσῶν βασιλεύς· ὅτι ἐπεγέγραπτο αὐτοῦ τῷ μνήματι, ὅτι πολυπότης ὢν οὐκ ἐμεθύσκετο. 1834, 8.

Δάρης, κύριον ἱερέως, παρὰ τὸ δέρειν τὰ θυόμενα ζῷα. 515, 21.

Δάρης ὅτι μνήμων δοθεὶς Ἕκτορι κατὰ χρησμὸν καὶ αὐτομολήσας ὑπ' Ὀδυσσέως ἀνῃρέθη. 1697, 58.

δας λήγοντα ὑπερδισύλλαβα ἰσοσυλλάβως κλίνονται, πλὴν τῶν ἀπὸ βαρυτόνου ῥήματος· ταῦτα γὰρ διὰ τοῦ ντ περιττοσυλλάβως, οἷον Φείδας Φείδαντος, παρὰ τὸ φείδομαι. 445, 22.

δᾷς ἡ ἐκ δάδων λαμπάς, φανὸς δὲ ἡ ἐκ κληματίδων. 1427, 45.

δᾷς ἡ ἐκ δάδων λαμπάς, φανὸς δὲ ἡ ἐκ κληματίδων· καὶ ὅτι δᾷς δᾳδὸς μετὰ προσγραφῆς τοῦ ῑ,

ἐπεὶ ἐκ τοῦ δαῒς δαΐδος συνῄρηται, καὶ ὅτι μόνον τῶν διὰ τοῦ δ κλινομένων ὀξυτόνων διὰ διφθόγγου γράφεται. 1571, 29.

δασέα σύμφωνα κατὰ τὴν τρίτην συλλαβὴν τινῶν λέξεων ὀφειλουσῶν ἐκ τῆς ἐτυμολογίας δασύνεσθαι, αἴτια γίνονται τοῦ κατ' ἀρχὰς ψιλοῦσθαι τὰς λέξεις, οἷον ἔλεγχος παρὰ τὸ ἑλεῖν ἔγχος, καὶ ἔλαφος παρὰ τὸ ἑλεῖν ὄφεις. 467, 46.

δασέα σύμφωνα ὅτι δασέων ἡγοῦνται, διὸ καὶ δυοῖν ψιλῶν συναληλιμμένων ὅταν φθάσει τὸ ἓν εἰς δασὺ τραπῆναι, εὐθὺς καὶ τὸ λοιπὸν εἰς τὸ ἑαυτοῦ ἀντίστοιχον τρέπεται, οἷον ἑφθὰ, ὃ ἐκ τοῦ ἑπτὰ, ὃ παρὰ τὸ ἕπω. 1482, 32.

δασέα σύμφωνα καὶ δασεῖα προσῳδία ὅτι δύνανται ἐκτείνειν βραχεῖαν συλλαβὴν λόγῳ κοινότητος. 1465, 9.

δασέα σύμφωνα ὅτι οὐ διπλάζονται ἐν Ἑλληνικῇ λέξει, ἀλλ' εἴ που δέοι διπλάζειν, εἰς τὸ ἀντίστοιχον ψιλὸν μεταπίπτει θάτερον αὐτῶν, οἷον ἐν τῷ Βάκχος ἀντὶ τοῦ Βάχχος, καὶ κατθανεῖν ἀντὶ τοῦ καθθανεῖν. 900, 12. 16. 1048, 27. 1577, 47.

δασέα δύο ἐκ δύο ψιλῶν τραπέντα δι' ἐπαγωγὴν δασείας, οἷον ἐν τῷ, τίπτε οὕτως, τίφθ' οὕτως. 86, 10.

δασεῖα ἐπάνω λέξεως ἐν συνθέσει ὑποτασσομένης ἑτέρᾳ λέξει, ἧς ἡ λήγουσα συναλίφεται κατὰ τὴν σύνθεσιν, ὅτι οὐ τρέπει ἐνίοτε εἰς δασὺ τὸ ἐκ τῆς συναλιφῆς ἀπολειφθὲν ψιλὸν, οἷον ἐν τῷ ἀπηλιώτης, δέον ἀφηλιώτης. 83, 1.

δασεῖα προσῳδία δυναμένη τρέπειν δύο ψιλὰ εἰς δύο δασέα, οἷον ἐν τῷ, τίπτε οὕτως, τίφθ' οὕτως. 86, 10.

δασεῖα, ὅτι τοῖς τρισὶ δασέσι συμφώνοις δασεῖα ἐπετίθετο, ψιλὴ δὲ τοῖς ψιλοῖς· καὶ δάσυνσις φωνηέντων μετὰ τὴν ἀποβολὴν τῶν σὺν αὐτοῖς συλλαβιζομένων δασέων συμφώνων, καὶ ἁπλῶς διὰ γειτνίασιν δασέως τινός. 28, 9. 11.

δασεῖα προσῳδία ὅτι οὐ φιλεῖ τοῖς ληκτικοῖς φωνήεσιν ἐπιτίθεσθαι, διὸ καὶ παραλόγως δασύνεται παρὰ τοῖς Ἀττικοῖς ἡ λήγουσα τοῦ ταὧς. 1271, 13.

δασέων καὶ ψιλῶν ἀντιστοιχίας παραδείγματα πολλά. 82, 46. 1570, 19.

δασέων καὶ ψιλῶν ἐναλλαγὴ ἐν μιᾷ λέξει κατ' Ἰωνικὸν ἰδίωμα, οἷον χύτρα κύθρα. 746, 14.

δάσκιος ὕλη ἡ πολύσκιος ἢ ἡ δασύσκιος κατὰ συγκοπήν. 1015, 55.

δασπλῆτις Ἐριννὺς, ἡ ἄγαν πελάζουσα ἢ ἄγαν πλήττουσα, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ. 1780, 59.

δασὺ ὅτι ἐκ τοῦ δᾶ ἐπιτατικοῦ καὶ σύω τὸ ὁρμῶ λέγεται. 79, 3.

δασὺ πνεῦμα ὅτι ἔχει δύναμιν ἐκτατικὴν βραχέος φωνήεντος. 81, 4.

δασυνόμενα φωνήεντα μετὰ τὴν ἀποβολὴν τῶν πρὸ αὐτῶν δασέων συμφώνων κατὰ τὰς παραγωγὰς, οἷον τὸ ἁ ἐν τῷ ἅμα, ὃ ἐκ τοῦ θαμά. 43, 36.

δασυνόμεναι λέξεις δι' ἔμφασιν ἀθροιστικῆς σημασίας, οἷον ἅλς, ἅλις, Ἅιδης. 16, 30.

δασύπους ὁ κοινῶς λαγώς. 1821, 34.

—δαται λήγοντα τρίτα πρόσωπα πληθυντικὰ παρακειμένων παθητικῶν, ἀπὸ τῶν ἑνικῶν ἐσχηματισμένα ἀποβολῇ δύο στοιχείων καὶ πλεονασμῷ τῆς δα συλλαβῆς, καὶ ὅτι τῶν διὰ τοῦ δαται τοιούτων προσώπων τινὰ μὲν θεματικὸν ἔχουσι τὸ δ, τινὰ δ' ἐκ πλεονασμοῦ. 234, 14. 912, 24. 1301, 2. 1569, 61. 1570, 7.

δατέεσθαι ἀντὶ τοῦ δατεῖσθαι, ὅ ἐστι μερίζειν, καὶ δατέεσθαι γῆν τοῖς ποσὶ λέγονται παρ' Ὁμήρῳ ἡμίονοι συντόνως ὁδεύοντες, καὶ δατέεσθαι Ἄρην οἱ πολεμοῦντες ἄνθρωποι. 1142, 18.

δατεῖσθαι τὸ μερίζειν, καὶ ὅτι δατεῖσθαι γῆν τοῖς ποσὶ λέγονται ὑποζύγια συντεταμένως ὁδεύοντα, ἑρμηνεία διεξοδική. 742, 10. 1214, 8. 1291, 21. 54.

Δαύλεια ἢ Δαυλία, πόλις Φωκίδος, ἣ καὶ Δαυλὶς λέγεται, ἐτυμολογία καὶ γραφὴ παραληκτική· ζήτει ἐν τῷ Δαυλίς. 274, 25.

Δαυλὶς, πόλις Φωκίδος δασεῖα καὶ σύμφυτος, παρὰ τὸ δαῦλον, ὃ δηλοῖ τὸ δασὺ κατὰ γλῶσσαν· καὶ ἄλλα τινὰ περὶ τῆς πόλεως, καὶ ὅτι καὶ Δαύλεια διὰ διφθόγγου ἢ Δαυλία διὰ τοῦ ι λέγεται, καὶ ὅτι ὀξύνεται τὸ Δαυλὶς ὡς τὸ Αὐλίς. 274, 21. 28.

δαυλοὶ τὰ δάση κατὰ γλῶσσαν, καὶ δαῦλον προπερισπωμένως τὸ δασὺ ἐπιθετικῶς. 274, 24.

δαῦλον τὸ δασὺ προπερισπωμένως, καὶ δαυλοὶ προσηγορικῶς τὰ δάση. 274, 22.

δαυλὸς ὅτι ἐκ τοῦ δαλὸς γέγονεν Αἰολικῷ πλεονασμῷ τοῦ υ. 1654, 27.

δάφνη τὸ φυτὸν ὅτι παρὰ τὸ δᾶ ἐπιτατικὸν καὶ τὸ φωνεῖν λέγεται. 24, 46.

δαφοινεὸν ἐν ἴσῳ τῷ δαφοινὸν, ὅτι ὀξύνεται καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ε. 1160, 52.

δαφοινὸς ὁ μέλας, παρὰ τὸ δᾶ ἐπιτατικὸν καὶ τὸν φόνον, ὃ δηλοῖ τὸ αἷμα, ὃ καὶ μέλαν λέγεται. 228, 20.

δαῶμεν, ἤγουν γνῶμεν, ἀπὸ τοῦ ἐδάην, ὡς ἀπὸ τοῦ ἐτύφθην τυφθῶμεν. 225, 28.

δὲ σύνδεσμος ἀντὶ τοῦ γὰρ καὶ ἀντὶ τοῦ καὶ καὶ ἀντὶ τῆς εἰς προθέσεως. 1427, 62.

δὲ σύνδεσμος δὶς καὶ τρὶς ἐπαναφερόμενος κατὰ τὴν αὐτὴν περίοδον, ὅτε καὶ ἅπαξ ἀντὶ τοῦ δὴ παραλαμβάνεται. 81, 18. 23.

δὲ σύνδεσμος ἀπολύτως ἀντὶ τοῦ δὴ, οἷον ἐν τῷ, πατρὸς δ' ὅγε πολλὸν ἀμείνων, Ἰλιάδ. ζ', 479. 66, 1. 470, 13. 631, 11. 657, 11. 1179, 33. 1765, 23.

δὲ σύνδεσμος ἀντὶ τοῦ δὴ ἢ ἀντὶ τοῦ ἀλλὰ ἐν τῷ, σὸν δὲ πλεῖον δέπας αἰεί, Ἰλιάδ. δ', 262. 470, 13.

δὲ σύνδεσμος παρέλκων ἢ ἀντὶ τοῦ δὴ κείμενος ἐν τῷ, ὡς δ' ὅτ' ἀμείβοντες τούς τε κλυτὸς ἤραρε τέκτων, Ἰλιάδ. ψ', 712. 1326, 21.

—δε ἐπέκτασις ὅτι παρέλκει ἐν τῷ, ἐς τῆμόσδε, καὶ οὐκ ἀντὶ τῆς εἰς προθέσεως κεῖται. 1581, 44.

—δε μόριον κατ' ἐπέκτασιν παρατιθέμενον τισὶ πτώσεσιν ὀνομάτων, οἷον τοιόσδε, Ἀϊδόσδε, οἴκονδε. 44, 45.

δε σύνδεσμος ἀντὶ τῆς εἰς προθέσεως ἐν τῷ οἰκόνδε. 44, 37. 1427, 62.

δε λήγοντα τινὰ ἐπιῤῥήματα κίνησιν εἰς τόπον σημαίνοντα, ὑποτασσόμενα τῇ εἰς προθέσει ἐκ περισσοῦ, οἷον τὸ, εἰς ἅλαδε, παρ' Ὁμήρῳ. 1661, 53.

δε μόριον δὶς κείμενον ἐν τῷ, ὅνδε δόμονδε, ἐλέγχει μὴ ἐξ ἀνάγκης ἀντὶ τῆς εἰς προθέσεως λαμβάνεσθαι τὸ δέ, ἀλλ' ὡς ἐπέκτασιν ἢ παραπλήρωσιν. 1393, 11.

δέγμενος ἀντὶ τοῦ δεδεγμένος, ὅτι ἡ ἐν τοῖς παρακειμένοις ἀποβολὴ τῆς αὐξήσεως Αἰολέων ἐστίν. 1295, 32.

δεδάασθαι ἀπαρέμφατον ἀορίστου ἀπὸ τοῦ δεδάεσθαι ἐνεστῶτος, ὃ ἐκ τοῦ δαίεσθαι, ὅ ἐστι μανθάνειν, γέγονε κατ' ἀναδιπλασιασμὸν καὶ ἀπέλευσιν τοῦ ι. 1803, 39.

δέδαεν ὅτι ποτὲ μὲν ἀντὶ τοῦ ἐδίδαξε, τὰ πολλὰ δὲ ἀντὶ τοῦ ἐδιδάχθη, ὅ ἐστιν ἔμαθε, κεῖται. 1561, 40. 1603, 43. 1883, 46.

δεδαϊγμένος ὅτι καθ' αὑτὸ ἐλλιπῶς λέγεται, δεδαϊγμένος δὲ χαλκῷ ἐντελῶς. 1186, 54.

δεδέαται Ἰωνικῶς ἀντὶ τοῦ δέδενται. 1837, 15.

δεδεγμένος, προσέχων, παρατηρῶν, ἐν τῷ, ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω, Ἰλιάδ. θ', 296. 713, 59.

δεδείπναμεν πρόσωπον ῥηματικὸν ὅτι ἐκ τοῦ δείπνημι θέματος κεκίνηται. 1900, 9.

δεδέξεται ὅτι ἐκ τοῦ δέξεται γέγονε κατ' ἀναδιπλασιασμόν. 1654, 31.

δέδηε μάχη, ἤγουν ἐκκαίεται καὶ ἀνάπτεται. 645, 33. 1105, 6.

δεδήει ἀντὶ τοῦ ἀνήπτετο, ὅτι ἀπὸ τοῦ δαίω θέματος κεκίνηται. 179, 45. 891, 19.

δέδια ὅτι ἐκ τοῦ δίω, ὅ ἐστι φοβοῦμαι, κεκίνηται, τὸ ἀπαρέμφατον δεδιέναι. 761, 38. 1716, 44.

δεδιέναι περί τινος, κοινῶς, καὶ περί τινι, Ἀττικῶς. 1008, 49. 1104, 55.

δεδιηγημένος ὅτι κατὰ διπλῆν αὔξησιν λέγεται. 1325, 31.

δεδιοίκηται ὅτι καὶ δεδιῴκηται λέγεται κατὰ διπλῆν αὔξησιν. 1325, 29.

δεδίσκω, ζήτει ἐν τῷ δειδίσκω. 1778, 5.

δεδίσσεσθαι ἐνεργητικῶς παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐκφοβεῖν, παρὰ δὲ τοῖς ὕστερον ἀντὶ τοῦ φοβεῖσθαι παθητικῶς. 961, 12. 22.

δεδίσσω ὅτι ἐκ τοῦ δίω γίνεται κατὰ ἀναδιπλασιασμόν. 1136, 16.

δεδμημένος ἐν ἴσῳ τῷ δεδομημένος ἐν τῷ, θάλαμοι ξεστοῖο λίθοιο πλησίον ἀλλήλων δεδμημένοι, Ἰλιάδ. ζ', 249. 639, 42.

δέδοικα μέσος παρακείμενος ὅτι ἐκ τοῦ δέδοιδα λέγεται τροπῇ τοῦ δ εἰς κ πρὸς τὸ εὐφωνότερον, ἑρμηνεία διεξοδική. 148, 45. 709, 45. 1716, 49.

δέδοικα, πέποιθα, οἶδα, λέλοιπα, ὅτι Αἰολέων ἐστὶν ἡ διὰ τοῦ οι γραφὴ τῶν τοιούτων παρακειμένων, κοινῶς δὲ τῇ ει γράφοιντ' ἄν. 853, 6. 1618, 49.

δέδοικα περὶ σοῦ, οἷον ἐν τῷ, αἰνῶς γὰρ Δαναῶν πέρι δέδοικα, Ἰλιάδ. κ', 93. 792, 4.

δεδοκημένος λέγεταί τις ἵστασθαι, ὅτε θηρίον ἐπιὸν δέχεται, καὶ ἔστι κυνηγετικὴ ἡ λέξις. 1040, 13.

δέδορκα μέσος παρακείμενος ὅτι πῇ μὲν ἐνεργητικῶς ἀκούεται, πῇ δὲ παθητικῶς. 191, 42. 1259, 63.

δέδουπα ὅτι ἐκ τοῦ δεδούπηκα συγκέκοπται, καὶ δεδουπέναι ἀντὶ τοῦ ἀποθανεῖν ἐκ τοῦ παρακολουθοῦντος κτύπου τοῖς ἐν πολέμῳ πίπτουσι. 669, 22. 1323, 42.

δεδράμηκα παρακείμενος ἀπὸ τοῦ δραμῶ δευτέρου μέλλοντος ἀναχθέντος εἰς ἐνεστῶτα, τὸ ἀπαρέμφατον δεδραμηκέναι, ἡ μετοχὴ ὁ δεδραμηκώς. 682, 36. 1126, 5.

δεδυκεῖν τὸν ἥλιον λέγει Θεόκριτος τῷ ἤδη θνήσκοντι. 1266, 47. 1895, 16.

δέελον ἴσον τῷ δῆλον, ἐξ οὗ καὶ δειλύθη. 818, 47. 1613, 32.

δέεσθαι ἐν ἴσῳ τῷ δέειν, ὅ ἐστι δεσμεῖν. 1162, 35.

δεῖ καὶ χρὴ ῥήματα καὶ χρεία ὄνομα, αἰτιατικῇ ἀντὶ δοτικῆς ἐκ δευτέρου καὶ γενικῇ ἐκ τρίτου συντασσόμενα, οἷον, αὐτόν σε δεῖ προμηθέως (Aesch. Prom. 86.). 1497, 42.

δείδεκτο ἤγουν ἐδεξιοῦτο, καὶ δειδέχατο ἤγουν ἐδεξιοῦντο. 682, 59. 749, 29.

δειδέχαται, τρίτον πρόσωπον πληθυντικὸν τοῦ δέδεγμαι παρακειμένου, Ἰωνικῶς ἐσχηματισμένον. 1568, 31.

δειδέχατο, τρίτον πρόσωπον πληθυντικὸν ὑπερσυντελίκου, ἀπὸ τοῦ δέδεκτο ἑνικοῦ Ἰωνικῶς ἐσχηματισμένον, ἀντὶ τοῦ ἐδεξιοῦντο κατὰ πρόποσιν παρ' Ὁμήρῳ. 234, 43. 436, 22. 782, 55. 58.

δειδέχθαι ἀπαρέμφατον ἀπὸ τοῦ δέχω, ὃ δηλοῖ τὸ δεξιοῦμαι. 234, 43.

δειδήμων ὁ εὐλαβής. 379, 12.

δειδία ἡ νύξ, παρὰ τὸ δεδιέναι, διὰ τὸ φοβερὸν καὶ μὴ ἥμερον τοῦ καταστήματος. 40, 42. 427, 23. 579, 25. 979, 25.

δείδιθι προστακτικόν, ὅτι ἐκ τοῦ δέδιε γίνεται δέδιθι κατὰ μεταπλασμὸν καὶ ἐπενθέσει τοῦ ι δείδιθι. 611, 31.

δείδιμεν ὅτι ἐκ τοῦ δεδίαμεν γέγονε. 749, 39.

δειδίσκεσθαι ἀντὶ τοῦ ἐκφοβεῖν, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ι τῆς διφθόγγου. 782, 56.

δειδίσκω τὸ δεξιοῦμαι παρ' Ὁμήρῳ, ἀπὸ τοῦ δέκω Ἰωνικοῦ δίσκω καὶ δεδίσκω, καὶ ἐπενθέσει τοῦ ι δειδίσκω. 1778, 5.

δειδίσσεσθαι τὸ ἐκφοβεῖν ἐν τῷ, χερσὶ δὲ μήτι με πάγχυ κακὸν ὣς δειδισσέσθω, Ἰλιάδ. ο', 196. 1012, 55.

δείδιτε προστακτικὸν ὅτι ἐκ τοῦ δείδιθι κεκίνηται. 1211, 55.

δείδω τὸ φοβοῦμαι, ὅτι ἐκ τοῦ δείω τοῦ συστοιχοῦντος τῷ δέος ὀνόματι γέγονεν ἐπενθέσει τοῦ ι. 31, 37. 761, 41.

δειελίη τὸ δειλινὸν βρῶμα, παρὰ τὴν δείλην. 1832, 64.

δειελιῆσαι, ἕως δείλης διατρῖψαι, ἢ δειλινὴν τροφὴν προσενέγκασθαι ἐν τῷ, σὺ δ' ἔρχεο δειελιήσας, Ὀδυσσ. ρ', 599. διαίτησις διεξοδική. 1832, 54.

δείελον ἦμαρ ἡ δείλη περιφραστικῶς, ὡς μέσον ἦμαρ ἡ μεσημβρία. 1833, 12.

δείελος ὅτι παρὰ τὸ δείλη λέγεται, ὡς παρὰ τὸ ἑσπέρα ἕσπερος, καὶ δείελος ὀψὲ δύων, παρ' Ὁμήρῳ ἢ παρ' Ἀττικοῖς ὀψία δείλη. 1235, 3. 8.

δεικανᾶσθαι τὸ δεξιοῦσθαι, ὅτι παρὰ τὸ δέκω Ἰωνικὸν γίνεται δείκω, ὅθεν τὸ δεικανῶ. 746, 28.

δεικηλισταὶ παρὰ Λάκωσι μῖμοι τινὲς κωμικοί. 884, 23.

δείκηλον, ὅτι παρὰ τὸ δέκω Ἰωνικὸν γίνεται δείκω, ἐξ οὗ τὸ δείκηλον. 884, 23.

δεικνύειν ἀντὶ τοῦ ἐκφαίνειν καὶ εἰς φῶς ἄγειν. 1956, 38.

δείκνυμαι τὸ δεξιοῦμαι καὶ φιλοφρονοῦμαι καὶ τὸ ξενοδοχῶ παρ' Ὁμήρῳ, ὅτι ἀπὸ τοῦ δέκω Ἰωνικοῦ παρῆκται. 746, 25. 1482, 8.

δείκνυσθαι ἐν ἴσῳ τῷ ἐπιδείκνυσθαι ἐν τῷ, δεικνύμενος Δαναοῖσιν, Ἰλ. ψ', 701. 1325, 39.

δεικτικῶν εἴτουν δεικτικῶς προφερομένων ἀντωνυμιῶν ἔμφασις. 1072, 54.

δειλὰ ζῷα ὅτι φωνητικώτερά εἰσι τῶν ἀνδρείων. 371, 40.

δειλάκρα ἡ ἄκρως δειλαία, ὅτι πρὸς ὁμοιότητα τοῦ φαλάκρα εἴρηται. 1363, 3.

Δείλας κύριον, ὅτι Δείλαντος ἐστὶν εὕρημα τὸ κληροῦσθαι εἴτουν λαγχάνειν ἐπὶ φόνῳ, ἱστορία. 1246, 64.

δείλετο ὁ ἥλιος, ἀντὶ τοῦ, πρὸς δείλη ἦν, ἤγουν εἰς δύσιν ἀπέκλινεν, Ὀδ. η', 289. 1580, 17.

δείλη ὅτι παρὰ τὴν ἔνδειαν τῆς εἵλης λέγεται, καὶ ὅτι βαρύνεται ἡ λέξις· καὶ ὅτι πρωΐα μὲν δείλη λέγεται τὸ εὐθὺς μετὰ μεσημβρίαν μέρος τῆς ἡμέρας, ὀψία δὲ δείλη τὸ τελευταῖον μέρος τῆς δείλης τὸ περὶ ἡλίου δυσμάς. 881, 6. 1169, 35. 1580, 19.

δείλη πρωΐα λέγεται ἡ ὥρα, ἀφ' ἧς ἡ δείλη ἄρχεται, τὸ δὲ ἐπέκεινα τῆς τοιαύτης ὥρας δείλη ὀψία λέγεται. 142, 52.

δειλινὸν βρῶμα τὸ μεταξὺ τοῦ ἀρίστου καὶ τοῦ δείπνου. 1791, 47.

δειλοὶ ἄνθρωποι, ὅτι κατὰ κοινὸν ἐπίθετον πᾶσιν ἀνθρώποις ἐπιτίθεται ἐν τῷ, ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν, Ἰλ. ω', 525. 1362, 2.

δειλοὶ ἄνθρωποι ἐπιθετικῶς οἱ δείλαιοι καὶ ἀτυχεῖς, ἢ ἀπό τινος Δείλαντος, ἱστορία. 1246, 64.

δειλὸς ὁ δείλαιος καὶ φαῦλος ἐν τῷ, δειλαί τοι δειλῶν καὶ ἐγγύαι ἐγγυάασθαι, Ὀδυσσ. θ', 351. 1093, 62. 1599, 59.

δειλὸς ὁ δεδιὼς τὰς ἴλας, ἐτυμολογικῶς. 855, 48.

δειλὸς ὅτι ἐπὶ οἴκτῳ, οὐκ ἐπὶ ψόγῳ ἐῤῥέθη ἐν τῷ, νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο μνησάσθω, Ἰλιάδ. ρ', 670. 1122, 40.

δειλὸς ἐν τῷ, ἆ δειλὲ, παρ' Ὁμήρῳ ὅτι ποτὲ μὲν ἀπολύτως λέγεται, ποτὲ δὲ μετὰ γενικῆς πληθυντικῆς, οἷον ἐν τῷ, ἆ δειλὲ ξείνων, Ὀδυσσ. ξ', 361. ἀντὶ τοῦ δειλαιότατε ξένων. 1763, 41.

δεῖμος ὁ φόβος, ὅτι ἐκ τοῦ διφθογγογραφουμένου δείω δοκεῖ παρῆχθαι. 495, 12. 761, 42.

Δεῖμος καὶ Φόβος, ὀνόματα υἱῶν καὶ ὀπαδῶν τοῦ Ἄρεως, οὐ μέντοι ἵππων ὡς ᾠήθησάν τινες. 1008, 45.

δεινὴ ἀγορὰ λέγεται Ἰλιάδ. η', 346. οὐ κατὰ κοινὸν ἐπίθετον, ἀλλ' ἡ τότε τοιαύτη. 684, 41.

δεινιὰς, εἶδος ποτηρίου, ἀπὸ Δεινίου τοῦ κατασκευάσαντος, καὶ γραφὴ ἀρκτικὴ τῆς λέξεως. 1207, 10.

δεινὸς ὁ φοβερὸς καὶ ὁ ῥητορικὸς καὶ ὁ κατὰ φρόνησιν δεξιός. 504, 13. 1579, 35.

δεινότης ἐν ἴσῳ τῷ φρόνησις, ἀλλαχοῦ δὲ ὅτι μήτηρ ἐστὶ φρονήσεως. 649, 10. 1579, 36.

δεινῶς ἀντὶ τοῦ λίαν. 397, 32.

δειπνάναι ὅτι ἐκ τοῦ δείπνημι θέματος κεκίνηται. 1900, 9.

δειπνηστὸς ἢ δείπνηστος ὁ τοῦ δείπνου καιρός. 1814, 37.

δειπνητὸς ὀξυτόνως τὸ δεῖπνον, βαρυτόνως δὲ ὁ τοῦ δείπνου καιρός. 1814, 39.

δειπνίζειν τὸ ἁπλῶς ἑστιᾶν ἐν τῷ, καὶ κατέπεφνε δειπνίσσας, Ὀδ. δ', 535. 1508, 1.

δειπνολόχη γυνὴ ἡ ἐνεδρεύουσα τοῖς βρώμασι. 1508, 1.

δεῖπνον, ὅτι τρὶς τῆς ἡμέρας τροφὴν αἱρουμένων τῶν παλαιῶν, ἄριστον ἐλέγετο τὸ πάνυ πρωῒ γινόμενον, εἶτα δεῖπνον μεθ' ὃ ἔδει πονεῖν, τρίτον δὲ δόρπον, ὅπερ ἡμεῖς παρὰ τὸ δεῖν τότε ὕπνου δεῖπνον καλοῦμεν· καὶ ὅτι δεῖπνον μὲν οἱ πλείους τὸ πρωϊνὸν ἔμβρωμα καλοῦσι, μεθ' ὃ πόνου δεῖ, ἄριστον δὲ τὸ κοινῶς λεγόμενον γεῦμα. 833, 1. 1432, 3. 6.

δεῖπνον, ὅτι τέσσαρσι τροφαῖς καθ' ἑκάστην χρωμένων τῶν παλαιῶν, ἀκράτισμα μὲν καὶ διανηστισμὸν ἔλεγον τὸ πρωϊνὸν ἔμβρωμα, τὸ δὲ μετ' αὐτὸ ἄριστον καὶ δειλινὸν βρῶμα, εἶτα δεῖπνον· ἔνιοι δὲ δεῖπνον τὸ μεσημβρινὸν βρῶμα ὃ ἡμεῖς ἄριστον, δόρπον δὲ τὸ ἑσπερινόν. 833, 1. 1791, 40. 53.

δεῖπνον ὅτι καὶ τὸ ἄριστον καὶ τὸ δόρπον συλλαμβάνει ἐν τῷ, εἴ μοι δεῖπνον δοῖεν ὀνείατα μυρί' ἔχοντες, Ὀδυσσ. ο', 316. 1782, 61.

δεῖπνον ταὐτὸ ὅπερ ἄριστον συνωνύμως παρ' Ὁμήρῳ. 1833, 6.

δεῖπνον ὅτι οὐκ ἀεὶ κυρίως τὸ πρωϊνὸν ἔμβρωμα, ἀλλὰ καὶ τὸ πρὸ δείλης καὶ τὸ πρὸ τοῦ δόρπου, παρὰ τὸ δεῖν ἤγουν ἐλλείπειν τοῦ πονεῖν τότε τοὺς ἐργαζομένους. 833, 4. 1814, 55.

δεῖπνον ἱερεύειν σὺν, Ὀδυσσ. ω', 215. ἀντὶ τοῦ εἰς δεῖπνον σὺν θύειν. 1959, 33.

Δείρη, πόλις Αἰθιόπων, δειρὴ δὲ ὁ τράχηλος. 1967, 24.

δειρὴ ὄρους, μεταφορικῶς ἡ ἐξοχὴ, ὅθεν πολυδειρὰς Ὄλυμπος ἐπιθετικῶς. 141, 36. 309, 17.

δειρὴ ὀξυτόνως, δέρη δὲ βαρυτόνως διὰ τὴν ἀποβολὴν τοῦ ι. 94, 4.

δεῖσα ἡ ὑγρασία, παρὰ τὸ δεύω δεύσω τροπῇ τοῦ υ εἰς ι. 413, 13.

δείσεσθαι ἀντὶ τοῦ δείσειν, ἤγουν φοβηθήσεσθαι. 1016, 44.

δείσεται, ἤγουν φοβηθήσεται. 1200, 19.

δεκάμνους σταθμὸς ὁ δέκα μνᾶς ἕλκων. 1878, 57.

δεκάτους ἐνιαυτοὺς λέγει Ὅμηρος τοὺς δέκα ἐνιαυτοὺς ἢ τὰς πολλὰς δεκάδας. 720, 15.

Δεκέλεια, δῆμος τῆς Ἀττικῆς, ᾧ Πελοποννήσιοι ὁρμητηρίῳ κατὰ τῶν Ἀθηνῶν ἐχρήσαντο. 284, 19.

δέκτης ὁ ἐπαίτης, παρὰ τὸ δέχεσθαι. 1494, 54.
δέλεαρ ἐκ τοῦ δέλος, ὡς ἐκ τοῦ μῆχος τὸ μῆχαρ, ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ δέλω ῥῆμα. 235, 7. 1721, 1.
δέλετρον ὁ φανός, ὃν οἱ διανυκτερεύοντες νέοι ἔχουσι. 1571, 7.
δελήτιον, ὡς λεβήτιον, ὅτι παρὰ τὸ δέλω λέγεται, ὡς καὶ τὸ δέλεαρ. 1721, 1.
δέλτα τὸ γυναικεῖον αἰδοῖον ὁμωνύμως τῷ στοιχειακῷ γράμματι. 1539, 33.
δέλτος, ὅτι ἐκ τῶν κατὰ τὸ Αἰγύπτιον δελτωτὸν φυομένων βύβλων λέγεται τοὔνομα, ἢ διὰ τὴν πρὸς τὸ σχῆμα τοῦ Δ στοιχείου ὁμοιότητα. 421, 30. 633, 14. 1913, 41.
δελτωτὰ βιβλία τὰ κατὰ σχῆμα τοῦ Δ στοιχείου πτυσσόμενα πάλαι ποτέ. 421, 30. 633, 14. 1913, 41.
δέλφακες οἱ νέοι χοῖροι, κατὰ δέ τινας οἱ ἄῤῥενες καὶ ἤδη τέλειοι· κυρίως δὲ αἱ θήλειαι οὕτω λέγοιντο, ὡς δελφύας ἤγουν μήτρας ἔχουσαι. 1752, 11. 16.
Δελφικὴ χώρα ὅτι μεσαίτατον μέρος εἶναι τῆς οἰκουμένης ἐνομίζετο. 1389, 38.
δελφὶν, κῆτος θαλάσσιον, καὶ περὶ τινῶν ἰδιωμάτων αὐτῶν ἱστορία. 1221, 31.
Δελφίνιον, δικαστήριον Ἀθήνησιν, ὃ καὶ ἐπὶ Δελφινίῳ ἐλέγετο, καὶ ἐπὶ Δελφινίῳ δικάσασθαι. 1221, 30.
δελφὶς, ὄργανόν τι ναύμαχον, ὅθεν δελφινοφόρος ναῦς ἢ τοιοῦτον ἔχουσα δελφῖνα, ἑρμηνεία διεξοδική. 1221, 25.
δελφὺς ἡ μήτρα, ὅθεν καὶ οἱ ἀδελφοὶ λέγονται. 1752, 17.
δέμα ὁδοῦ ἰδιωτικῶς λέγεται, ὅπου ὕλη τεθεῖσα κωλύει τοὺς ὁδεύοντας. 1544, 40.
δέμας τὸ τῶν ζῴων σῶμα, οἱονεὶ δῶμα ὂν τῆς ψυχῆς, ἀλλαχοῦ δὲ ὅτι δέμας τὸ ἔμψυχον σῶμα παρὰ τὸ συνδεδέσθαι. 61, 36. 666, 24. 1476, 52.
δέμας ἐπὶ ἐμψύχου, σῶμα δὲ ἐπὶ ἀψύχου. 376, 5.
δέμας εὐφήμως τὸ αἰδοῖον. 1283, 33.
δέμας πυρὸς, ἀντὶ τοῦ, δίκην πυρὸς, τουτέστιν ὡς πῦρ δαιόμενον. 645, 35. 864, 43.
δέμας πυρὸς μάχεσθαι λέγονται οἱ εὐκινήτως καὶ κούφως καὶ ὀξέως καὶ ἰσχυρῶς καὶ θερμῶς μαχόμενοι, καὶ ὅτι τὸ δέμας ἐπὶ ἀψύχου τοῦ πυρὸς τέθειται. 1110, 1—6.
δέμειν, ὅθεν δόμος, ὅτι παρὰ τὸ δέμα, ὃ δηλοῖ τὸν δεσμὸν, δοκεῖ λέγεσθαι. 1047, 58.
δέμνια ἐκ μέρους ἡ ὅλη στρωμνή. 1369, 40.
δενδίλλειν τὸ περιβλέπειν, ὅτι παρὰ τὸ δινεῖν τοὺς ἴλλους, ἤγουν τοὺς ὀφθαλμοὺς, λέγεται Ἰωνικῶς. 745, 34.
δένδρα, ὅτι τοῖς καρποφόροις τὸ καλὸν ἐπιτίθησιν ὁ ποιητὴς, τοῖς δὲ εἰς ξυλίαν τὸ μακρόν. 1532, 40.
δένδρεα μακρὰ, οὐ τὰ τοιαῦτα ὄντα ἐν τῷ φυτεύεσθαι, ἀλλὰ τῷ χρόνῳ τοιαῦτα γινόμενα· καὶ ὅτι ἡ δένδρεα φωνὴ ἐκ τῆς δένδρος, ὡς τεῖχος, εὐθείας ἢ ἐκ τῆς δένδρεον κεκίνηται. 1433, 45. 1851, 35.
δένδρον ὅτι καὶ δένδρεον λέγεται πλεονασμῷ τοῦ ε, ὅθεν τὸ δενδρέῳ ἐφεζόμενοι, Ἰλιάδ. γ', 152. καὶ δένδρος κατὰ τὴν πρώτην τῶν συνῃρημένων, ὅθεν γενικὴ ἐν χρήσει τοῦ δένδρους, καὶ δοτικὴ τῷ δένδρει, καὶ εὐθεῖα τῶν πληθυντικῶν τὰ δένδρη καὶ δένδρεα, ὅπερ καὶ ἀπὸ τῆς δένδρεον εὐθείας ἐνδέχεται κεκινῆσθαι. 396, 16-26. 772, 31. 1433, 47.
δενδρῆεν ἄλσος τὸ πολύδενδρον. 1624, 7.
δένδρος καὶ δένδρεον ταὐτὸ ὅπερ δένδρον, καὶ περὶ χρήσεως τῶν πλαγίων τῆς δένδρος καὶ δένδρεον εὐθείας ζήτει ἐν τῷ δένδρον. 396, 23. 772, 31.
δενδρυάζειν τὸ ἐν δρυσὶν, ὅ ἐστιν ἁπλῶς δένδροις, κρύπτεσθαι· καὶ ὅτι δενδρυάζειν ἐλέγοντο οἱ ἀρχαῖοι ἄνθρωποι, οἱ καὶ βαλανηφαγοῦντες. 369, 27. 1726, 16.
δένδρων τινῶν οἰκεῖα ἐπίθετα παρ' Ὁμήρῳ, οἷον δρῦς ὑψίκομος, ἰτέα ὠλεσίκαρπος, αἴγειρος ἐλαιοτρεφής. 939, 6.
δεννάζειν, ὑβρίζειν· ζήτει ἐν τῷ δέννος. 668, 46.
δέννος ἡ ὕβρις κατὰ γλῶσσαν, ὅθεν δεννάζειν τὸ ὑβρίζειν. 668, 46.
Δεξαμένη, κύριον Νηρηΐδος θαλασσίας, διὰ τὸ οἷον δεξαμενὴν εἶναι τὴν θάλασσαν. 1131, 9.
δέξασθαι ὅτι παρὰ τὴν δεξιὰν λέγεται καὶ διαφέρει τοῦ λαβεῖν. 1399, 11.
δέξασθαι θύματα τὸν θεὸν ἔλεγον, ὅτε ἐκαλλιέρουν. 250, 3.
δεξιὰ χώρα ἡ ἐν τοῖς ἐμμέτροις ἔπεσι πρώτη χώρα, διὰ τὸ δεξιόθεν ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι τοῖς ποδωτοῖς ζῴοις τὴν κίνησιν. 1398, 55.
δεξιὰ κόσμου, ὅτι τὰ ἀνατολικὰ μέρη δεξιὰ ἐνομίζετο, ἀριστερὰ δὲ τὰ δυτικά. 902, 11. 1439, 26.
δεξιὰ τὰ ἀγαθὰ καὶ αἴσια, οἷον τύχη δεξιὰ, καὶ νόημα δεξιόν. 129, 13.
δεξιὰ, ὅτι τὰ δεξιὰ μέρη αἴσια ἐνομίζετο παρὰ τοῖς ἀρχαίοις, τὰ δὲ ἀριστερὰ ἀπαίσια. 805, 8.
δεξιὰ, ὅτι πιστούμενοι δεξιᾶς ἥπτοντο οἱ ἀρχαῖοι, καὶ ὅτι οὐ τοῦ θέναρος, ἀλλὰ τοῦ καρποῦ ἐλαμβάνοντο. 1371, 1.
δεξιὰ ὅτι παρὰ τὸ δέκω δέξω λέγεται. 234, 45. 1482, 9.
δεξιοὶ οἱ ἀγαθοὶ, ὅτι παρὰ τὸ δεξιοῦσθαι, ὅ ἐστι φιλοφρονεῖσθαι, οὕτω λέγονται. 1398, 42.
δεξιὸς ὄρνις ὁ ἀνατολικὸς καὶ αἴσιος, τοιαῦτα γὰρ τὰ δεξιά. 1439, 24.
δεξιοῦσθαι τὸ τῆς δεξιᾶς χειρὸς ἅπτεσθαι καὶ φιλοφρονεῖσθαι. 129, 12. 1397, 43.
δεξιοῦσθαι καὶ δεξίωσις ὅτι φιλίας σημεῖον καὶ ἑνώσεως, καὶ ὅτι παρὰ τὸ δέκω Ἰωνικὸν λέγεται. 234, 41.
δεξιτερὸς ὅτι ἐκ τοῦ δεξιὸς γέγονε πλεονασμῷ τῆς τερ συλλαβῆς. 850, 36.
δεξιῶν συμβολὴ ὅτι πίστεως ἐστὶ σύμβολον. 638, 30.
δέξο ἀντὶ τοῦ δέδεξο, καὶ ὅτι ποιητικώτερόν ἐστι τοῦ δέξαι. 1168, 54. 1169, 9.
δέοιμι ἀντὶ τοῦ δεσμήσαιμι ἐν τῷ, πῶς ἂν ἐγώ σε δέοιμι, εἴ κεν Ἄρης

οἴχοιτο, Ὀδυσσ. θ', 352. 1597, 40.

δέος ὅτι ἐκ τοῦ δείω τοῦ διφθογγογραφουμένου δοκεῖ παρῆχθαι. 761, 41.

δέους σημαντικὰ ῥήματα ὅτι τῇ περὶ προθέσει καὶ δοτικῇ ἐκ τρίτου συντάσσονται παρ' Ὁμήρῳ, οἷον, ἔδεισε περὶ ξανθῷ Μενελάῳ. 801, 5.

δέπας ὅτι παρὰ τὸ δίδοσθαι πᾶσι λέγεται, ἢ παρὰ τὸ δύο ὦπας ἢ ὀπὰς ἔχειν ὡς ἄμφωτον. 1624, 29.

δέπας, ποτήριον, οἰνήρυσις, κοτύλη, οἰνοχόη, ἐπὶ τοῦ αὐτοῦ συνωνύμως. 907, 17.

δέπαστρον ταὐτὸ ὅπερ δέπας, ὅ ἐστι ποτήριον, δεπάστρεον δὲ παραγώγως τὸ ἐκ ποτηρίου πόμα. 1914, 50.

δέρειν ἀντὶ τοῦ ξύειν, ὅθεν δόρυ καὶ δρύπτειν. 243, 5.

δέρη βαρύτονον ἐκ τοῦ δειρὴ ὀξυτόνου, διὰ τὴν ἀποβολὴν τοῦ ι. 94, 4.

Δερκυλλίδας Λακεδαιμόνιος ὅτι σκύθος ἐπεκαλεῖτο διὰ τὸ θηριῶδες καὶ Σκυθικὸν τοῦ ἤθους. 1775, 33.

δέρκω ὅτι παρὰ τὸ δρῶ, ὅ ἐστι βλέπω, λέγεται. 68, 22.

δέρμα ὅτι παρὰ τὸ δέρειν λέγεται. 1749, 26.

δέρματα ζῴων παρωνύμως λεγόμενα ἀπὸ τῶν προσηγορικῶν ὀνομάτων τῶν ζῴων ὧν εἰσὶ δέρματα, οἷον λεοντῆ ἡ τοῦ λέοντος, καὶ λυκέη ἡ τοῦ λύκου, καὶ αἰγείη ἡ τῆς αἰγός. 374, 37.

δέρτρον ὁ περὶ τὰ ἔγκατα καὶ τὴν κοιλίαν ἐπίπλους, ἢ ἡ ὑπὸ τὴν δορὰν σὰρξ ἡ τὴν κοιλίαν περικαλύπτουσα, ἢ ἡ ὑπὸ τὴν σάρκα πιμελὴ, ἢ ὁ ὑποκείμενος ὑμὴν τῷ ἥπατι· ἄλλοι δὲ τὸ ἐφήβαιον δέρτρον φασί. 1700, 9.

δεσμὰ ὅτι ἐκ τοῦ δεσμοὶ μεταπέπλασται, καὶ ὅτι δεσμὰ καὶ ἐπίδεσμα Ἀττικώτερον λέγειν ἢ δεσμοὺς καὶ ἐπιδέσμους. 108, 20. 1598, 17.

δέσματα οἱ βίαιοι δεσμοὶ παρ' Ὁμήρῳ, καὶ δέσματα τὰ δεσμοῦντα τὴν κεφαλὴν ἐπὶ κόσμῳ. 1280, 45.

δεσμοὶ ὅτι καὶ δεσμὰ καὶ δέσματα καὶ ἐπίδεσμα λέγονται, καὶ ὅτι Ἀττικώτερον τὸ δεσμὰ καὶ ἐπίδεσμα λέγειν ἢ δεσμοὺς καὶ ἐπιδέσμους. 1598, 16.

δεσμὸς ὅτι ῥήγνυσθαι ἢ λύεσθαι λέγεται. 1033, 29.

δεσπόσιοι καὶ δεσπόσυνοι λέγονται οἱ ὑπὸ δεσποτῶν τραφέντες δοῦλοι. 846, 13.

δεσποσιοναῦται ἐλέγοντο παρὰ Σπαρτιάταις, ὅσοι τῶν Εἱλώτων εἰς τοὺς στόλους κατετάσσοντο. 1024, 45.

δεσπόσυνοι καὶ δεσπόσιοι οἱ ὑπὸ δεσποτῶν τραφέντες δοῦλοι. 846, 13.

δεσπόσυνος ἐπίθετον, δεσποσύνη δὲ οὔ. 918, 49.

δεσπότης, ὅτι τῶν ἀργυρωνήτων λέγεταί τις εἶναι δεσπότης, τῆς δὲ γυναικὸς καὶ τῶν παίδων οὐ δεσπότης, ἀλλὰ κύριος. 1754, 61.

δεταὶ, δεσμοὶ δᾴδων, ἤγουν λαμπάδες ἐκ δᾴδων. 862, 27. 1122, 1.

δεύεσθαι θυμοῦ παρ' Ὁμήρῳ λέγεται ὁ τεθνηκώς. 1213, 59.

Δευκαλίδης ὅτι ἐκ τοῦ Δευκαλιωνίδης λέγεται κατὰ συγκοπήν. 933, 51.

δεῦρ' ἴθι ὅτι προκλητικῶς λέγεται. 165, 42.

δεῦρο ἀντὶ τοῦ ἐλθὲ προστακτικοῦ καὶ ἀντὶ τοῦ ἐνταῦθα ἐπιῤῥήματος. 398, 28.

δεύτατος καὶ δεύτερος ὅτι παρὰ τὸ δεύω, ὅ ἐστιν ἐλλείπω, λέγονται τύπῳ συγκριτικῷ καὶ ὑπερθετικῷ, καὶ δηλοῦσι τὸ ἐλλιπέστερος καὶ ἐλλιπέστατος. 1285, 4. 1417, 55.

δεύτατος ὁ μὴ δεύτερος, ἀλλὰ πάντων ὕστερος, ἐκ τοῦ δεύω, καὶ δεύτατον τὸ πανύστατον. 1170, 46. 1949, 39.

δεῦτε Δί' ἐννέπετε, παρ' Ἡσιόδῳ ἀντὶ τοῦ, ἐννέπετε τὸν Δία. 1809, 13.

δεύτερα πρόσωπα παθητικὰ τῶν εἰς μαι ληγόντων ῥημάτων ὅτι τὸ ἀρχαῖον διὰ τῆς ει διφθόγγου ἐγράφοντο, ὕστερον δὲ διὰ τοῦ η μετὰ προσγραφῆς τοῦ ι γράφονται, πλὴν τοῦ βούλομαι βούλει, οἴομαι οἴει, ὄψομαι ὄψει, ἔομαι ἔει καὶ κατὰ κρᾶσιν εἶ. 641, 6. 1723, 18.

δεύτεροι μέλλοντες εἰς ἐνεστῶτα ἀναδεδραμηκότες, οἷον ἔδραμον δραμῶ, ὅθεν τὸ δραμῶ δραμήσω θέμα. 682, 36.

δεύτερον λείπεσθαι ὅτι κατὰ ὑστεροχρονίαν λέγεται. 1298, 9.

δεύτερος καὶ δεύτατος ὅτι παρὰ τὸ δεύω τὸ ἐλλείπω λέγονται τύπῳ συγκριτικῷ καὶ ὑπερθετικῷ, καὶ δηλοῦσι τὸ ἐλλιπέστερος καὶ ἐλλιπέστατος. 1285, 4, 1417, 55.

δεύτερος πλοῦς ὁ δι' ἀνέμου ἔνδειαν δι' εἰρεσίας γινόμενος, καὶ ὅτι καὶ παροιμιακῶς λέγεται. 661, 43. 1453, 18.

δεύω τὸ βρέχω, παρὰ τὴν Ζεὺς εὐθεῖαν, ὡς παρὰ τὴν Διὸς γενικὴν τὸ διαίνω· δεύω δὲ τὸ ἐλλείπω παρὰ τὸ δέω γέγονεν ἐπενθέσει τοῦ υ. 1285, 3.

δέφω δέψω τὸ μαλάσσω καὶ κατεργάζομαι, περὶ βυρσῶν λεγόμενον, ὃ καὶ δεψῶ δεψήσω περισπωμένως λέγεται. 1710, 19. 1880, 33.

δέχεσθαι ἀντὶ τοῦ ὑπαντῆσαι καὶ ἀνθίστασθαι, καὶ δέχεσθαι ἀντὶ τοῦ ἀναμένειν καὶ προσδέχεσθαι, καὶ δέχεσθαι ἀντὶ τοῦ νοεῖν, οἷον ἀφήτορα δέχονταί τινες ἀντὶ τοῦ θησαυρόν, Ἰλιάδ. ι', 404. 542, 17. 759, 64. 789, 29. 1212, 10.

δέχεσθαι λόγοις τινὰ ἐν ἴσῳ τῷ εὐλογεῖν καὶ εὐφημεῖν ἐν τῷ, δειδέχεται μύθοισιν, ὅτε στείχησ' ἀνὰ ἄστυ, Ὀδ. η', 72. 1568, 33.

δέχεται κακὸν ἐκ κακοῦ, ὅτι παροιμιακῶς λέγεται ἐπὶ συνεχῶν καὶ ἀλλεπαλλήλων κακῶν. 1184, 43.

δέχεταί μοι κακὸν ἐκ κακοῦ, δοτικῇ παρ' Ὁμήρῳ, δέχεται δέ με, κοινῶς αἰτιατικῇ. 1185, 17.

δέχθαι ἀπαρέμφατον ὅτι ἐκ τοῦ δεδέχθαι κατὰ συγκοπὴν λέγεται. 73, 10.

δέχνυμι καὶ δέχνυμαι, ὅτι παρὰ τὸ δέχω δεχύω γίνεται δεχύνω καὶ καθ' ὑπέρβασιν δεχνύω καὶ δέχνυμι καὶ δέχνυμαι. 1383, 21. 1917, 45.

δέχω ῥῆμα ἐν συνθέσει ὑποτασσόμενον ὅτι τρέπει τὸ χ εἰς κ, οἷον ἐν τῷ ἱστοδόκη, καπνοδόκη, ξενοδόκος. 130, 41.

δεψῶ δεψήσω τὸ μαλάττω, ὅτι ἀπὸ τοῦ δέφω ὁ μέλλων δέψω καὶ δεψῶ Δωρικῶς ἢ Αἰολικῶς γίνεται

ῥῆμα διψῶ διψήσω, ἀλλαχοῦ δὲ ὅτι ὁ δίψω βαρύτονος μέλλων εἰς περισπώμενον ἐνεστῶτα ἀνήχθη. 1710, 19. 1880, 36.

δὴ κατάρχον ἐννοίας ἐν τῷ, δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, Ἰλιάδ. ε', 136. 530, 38.

δὴ ὅτι μεταβατικόν ἐστι καὶ συμπλεκτικὸν καὶ παραπληρωματικόν. 1428, 1.

δη μόριον χωρὶς τόνου προφερόμενον ἐν τῷ, ἢ δη λοίγια ἔργα, Ἰλιάδ. α', 518. καὶ ἐν τῷ, ἐπί δη τούτοις. 143, 27.

δὴ 'πειτα, ἀντὶ τοῦ, δὴ ἔπειτα. 1010, 40.

δὴ τότε, ἀντὶ τοῦ, τότε δή. 889, 37.

δήεις ἤγουν εὑρήσεις, καὶ δήετε ἤγουν εὑρήσετε. 760, 31. 930, 16.

δηθὰ ἀντὶ τοῦ ἐπὶ πολὺ καὶ συχνῶς, ἢ ἀντὶ τοῦ ἀεὶ ἐν τῷ, ᾧ δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους, Ἰλιάδ. φ', 131. 1227, 37.

δηθάκι ἀντὶ τοῦ δηθάκις ἀποβολῇ τοῦ σ. 122, 7.

δῆθεν ἐπίῤῥημα διστακτικόν. 1407, 15.

δηθύνειν τὸ βραδύνειν. 659, 53.

Δηιάνειρα ὅτι παρὰ τὸ δήιος, ὅ ἐστι καυστηρὰ, γεγονέναι τῷ ἀνδρὶ οὕτως ἐκλήθη. 1856, 59.

δήιον πῦρ ἐπιθετικῶς ὅτι πρὸς διαστολὴν ἑτεροίου πυρὸς λέγεται. 249, 26. 706, 9.

Δηιονεὺς κύριον ὅτι καὶ Δηιὼν ἐλέγετο. 1685, 14.

δήιος πόλεμος ἐπιθετικῶς ὅτι παρὰ τὸ δαίω, ὅ ἐστι καίω, λέγεται. 481, 13.

δηιοτὴς ἡ μάχη, ὅτι παρὰ τὸ δαίειν λέγεται, καὶ ὅτι τὸ δήιον ἐπίθετον εἰς κύριον ὄνομα γέγονε τῇ μάχῃ, καὶ ὅτι ὀξύνεται ἡ λέξις. 481, 13. 564, 40. 669, 44. 50.

δηιοῦν, δαΐειν, μερίζειν, κόπτειν· ἡ μετοχὴ δηιόων, δαίων, μερίζων, κόπτων. 836, 54.

Δηίπυρος κύριον, ὅτι ἐκ τοῦ δήιον πῦρ σύγκειται τοὔνομα. 943, 4.

δηὶς ἡ μάχη, παρὰ τὸ δαίω τὸ καίω, ἀλλαχοῦ δὲ ὅτι δηὶς ὁ καυστηρὸς εἴτουν πυρόεις πόλεμος. 481, 13. 1895, 41.

Δηίφοβος ὅτι παρὰ τὸ φοβεῖν τοὺς δηίους λέγεται, καὶ περὶ τοῦ Δηιφόβου θανάτου, καὶ τῆς μεταμορφώσεως τοῦ σώματος αὐτοῦ εἰς βοτάνην. 894, 24. 925, 59.

δηλεῖν καὶ δηλεῖσθαι συνήθως μὲν τὸ βλάπτειν, ἐν δὲ τῷ, μή τίς τοι καθ' ὁδὸν δηλήσεται, Ὀδυσσ. θ', 444. περὶ κιβωτοῦ πλήρους ἐσθήτων λεγόμενον, ἀντὶ τοῦ κλέπτειν εὐφήμως κεῖται. 389, 11. 1604, 22.

δήλημα ἡ βλάβη καὶ ὁ ὄλεθρος παρ' Ὁμήρῳ, παρὰ τὸ δηλῶ δηλήσω. 1722, 6.

δηλήμων ὁ βλαπτικὸς, παρὰ τὸ δηλῶ δηλήσω. 1527, 30.

δηλήσασθαι τὸ βλάψαι, ζήτει ἐν τῷ, δηλεῖν καὶ δηλεῖσθαι· καὶ δηλήσασθαι ὅρκια ἀντὶ τοῦ ἐπιορκῆσαι παρ' Ὁμήρῳ. 70, 20. 33. 36. 445, 33.

δηλητήριον ὅτι παρὰ τὸ δηλῶ δηλήσω, ὅ ἐστι βλάπτω, λέγεται. 389, 11.

Δηλιάδες, ἤγουν αἱ κατὰ Δῆλον τὴν νῆσον γυναῖκες, ὅτι θύουσι Βριζοῖ, δαίμονί τινι οὕτω καλουμένῃ· ζήτει ἐν τῷ Βριζώ. 1720, 55.

Δήλιος Ἀπόλλων ὁ δηλοποιῶν τὰ πάντα ἥλιος. 87, 14. 679, 50.

Δῆλος νῆσος, μία τῶν Κυκλάδων, καὶ περὶ τοῦ τῆς Λητοῦς ἐν αὐτῇ τοκετοῦ μῦθος, καὶ ἄλλα τινὰ περὶ τῆς νήσου· καὶ περὶ τῆς ἐν Δήλῳ γενετῆς τοῦ Ἀπόλλωνος αἴνιγμα, ἑρμηνεία διεξοδική. 1557, 51. 1558, 1.

δῆλος ὁ φανερὸς, ὅτι παρὰ τὸ δαίω τὸ καίω λέγεται. 512, 32. 513, 45.

δηλῶ δηλήσω τὸ βλάπτω, δηλῶ δὲ δηλώσω τὸ φανερῶ. 412, 29.

Δημάρατος κύριον ὁ κατὰ δήμου ἀρὰν γεννηθεὶς, καὶ Δημάρατος Σπαρτιάτης, παρὰ τὸ δημοσίᾳ τοὺς Σπαρτιάτας εὔξασθαι περὶ τῆς γενετῆς αὐτοῦ οὕτως ὀνομασθείς. 1093, 57. 1116, 63. 1567, 54.

Δημαρίτη, γυνή τις οὕτω κληθεῖσα, ἀφ' ἧς τὸ Δημαρίτειον νόμισμα ἐκλήθη. 1567, 62.

Δημέας, υἱὸς Δημάδου τοῦ ῥήτορος, σκωφθεὶς ὑπὸ Ὑπερίδου ἐπὶ τῷ ἐξ αὐλητρίδος γεγονέναι. 1151, 9.

δημηγορίας ἐσχηματισμένης παράδειγμα, καὶ ὅτι δημηγοροῦντες ὀρθοὶ ἵσταντο οἱ ἀρχαῖοι. 46, 25. 185, 26.

Δημήτηρ, οἱονεὶ γῆ μήτηρ, καὶ ὅτι καὶ ὁ ἄρτος Δημήτηρ λέγεται μετωνυμικῶς. 765, 23. 1450, 22.

Δημήτρειον, πόλις τις οὕτω καλουμένη, ἢ Δημήτρειον τὸ τῆς Δήμητρος τέμενος. 324, 21.

Δημήτρια, ἑορτὴ τελουμένη Δημητρίῳ τῷ Πολιορκητῇ, ἱστορία. 570, 8.

Δημητριάς, πόλις ἐπώνυμος Δημητρίου τοῦ Πολιορκητοῦ ἐξ ἑπτὰ πόλεων συνοικισθεῖσα. 327, 24. 332, 9.

Δημητρίουλοι, οἱ καὶ Δήμητρος ἴουλοι κατὰ παράθεσιν, ὕμνος τις εἰς Δήμητραν οὕτω καλούμενος. 1142, 42.

Δήμητρος μυστήρια τὰ μικρὰ ὅτι ἐν Ἄγραις, χωρίῳ τινὶ τῆς Ἀττικῆς, ἤγετο. 361, 37.

Δήμητρος παῖδες, ὅτι οἱ ἐκ γεωργίας πλουτοῦντες Δήμητρος παῖδες μυθεύονται. 18, 43.

Δήμητρος ἐπωνυμίαι, μεγαλόμαζος καὶ Σιτὼ, τὸ μὲν παρὰ τὴν μάζαν, τὸ δὲ παρὰ τὸν σῖτον. 265, 30.

δήμιος ὁ δημόσιος ἢ δημόσιόν τι πράττων παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον τὸν κολαστὴν σημαίνει. 1105, 22. 1458, 14. 1595, 17.

δήμιος ὁ δημόσιος κολαστὴς, οἱονεὶ ζήμιος παρὰ τὸ τὸ ζῆν μειοῦν, ὅτι καὶ ἄνδραγχος ἐκαλεῖτο παρὰ τὸ ἄγχειν. 153, 37. 1858, 55.

δημιουργοὶ γυναῖκες αἱ δημόσιαι εἴτουν αἱ πόρναι, ἀλλαχοῦ δὲ ὅτι δημιουργοὶ γυναῖκες αἱ τὰ πέμματα καὶ τοὺς πλακοῦντας ποιοῦσαι. 1082, 39. 1858, 51.

δημιουργοὶ οἱ χειροτέχναι, ἤγουν οἱ δημοσίᾳ ἐργαζόμενοι ἐπὶ μισθῷ· παρὰ Δωριεῦσι δὲ οἱ τοῦ δήμου προεστῶτες δημιουργοὶ ἐλέγοντο, Ἀττικοὶ δὲ καὶ τὰς πεττούσας τὰ πέμματα γυναῖκας δημιουργοὺς ἔλεγον, καὶ τὰς ἐν τοῖς γάμοις ὑπουργούσας ὁμοίως. 1824, 58. 1825, 7.

δημιουργὸς, ὅτι καὶ ὁ θεὸς δημιουργὸς τοῦ κόσμου λέγεται. 1858, 59.

δημιωστὶ καὶ ἱερωστὶ ἐπιῤῥήματα ἐκ τοῦ δημίως καὶ ἱερῶς, πρὸς ὁμοιότητα τοῦ νεωστὶ καὶ τῶν ὁμοίων. 1899, 57.

δημοβορεῖν, ζήτει ἐν τῷ δημοβόρος. 1143, 46.

δημοβόρος βασιλεὺς ὁ τὰ τοῦ δήμου βιβρώσκων, τουτέστιν ὁ τὰ κοινὰ δαπανῶν· ἐν δὲ τῷ, συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι, Ἰλιάδ. σ', 301. δημοβορεῖν λέγεται ὁ δῆμος τὰ τῶν δυνατῶν ἀντιστρόφως τῷ δημοβόρος βασιλεύς· ὅτι τὸ δημοβόρος ἐκ τοῦ δημιοβόρος λέγεται. 91, 11. 1105, 19. 1143, 46.

δημογέρων παρ' Ὁμήρῳ οὐχ' ὁ τυχὼν δημότης γέρων, ἀλλ' ὁ ἔνδοξος καὶ βασιλικὸς ἄνθρωπος καὶ ἐκ τοῦ δήμου γέρας ἔχων. 1105, 19.

Δημόδοκος Λάκων, ποιητὴς ὀλίγῳ πρὸ τῶν Τρωικῶν, ἱστορία. 1466, 56. 60.

δημόθεν, ἐκ τοῦ δήμου ἢ τοῦ δημοσίου ἐν τῷ, δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρας, Ὀδ. τ', 197. 1861, 44.

Δημοκήδης κύριον, ὅτι βαρύνεται ἡ λέξις. 1424, 53.

δημόκοινος, ὅτι κατὰ σκῶμμα οὕτως ἐλέγετο πᾶς πονηρός. 1833, 54.

Δημόκοπος, Συρακούσιος ἀρχιτέκτων ὁ ἐπικληθεὶς Μύριλλα, ἱστορία. 1457, 24.

δημοκρατία λέγεται, ὅταν ὁ δῆμος ὅλος κρατῇ τοῦ πολιτεύματος, ἰσηγορίαν ἔχων καὶ ἰσοπολιτείαν ἔννομον. 202, 14.

δῆμος τὸ πλῆθος τῶν ἀνθρώπων καὶ τὸ πολιτικὸν κατάστημα, ἐξ οὗ τὸ δημοκρατεῖσθαι λέγεται. 1395, 59.

δῆμος ὅτι παρὰ τὸ δεδέσθαι δοκεῖ λέγεσθαι. 108, 6. 1444, 12.

δῆμος ἐπιθετικῶς παρ' Ὁμήρῳ ἀντὶ τοῦ δημότης ἐν τῷ, δῆμον ἐόντα παρὲξ ἀγορευέμεν, Ἰλ. μ', 213. 201, 9. 847, 40.

δῆμος, μέρος τι τῆς Ἰθάκης οὕτω καλούμενον. 1610, 57.

δῆμος γυνὴ ἡ πάνδημος πόρνη. 1088, 38.

δημὸς, κνίσσα, ἐπίπλους, τουτέστι τὸ λίπος, ὅτι παρὰ τὸ δαίω λέγεται. 710, 51. 1227, 29. 1766, 29.

Δημοσθένης ὅτι παρὰ τὸ σθένος τοῦ Ἀθηναίων δήμου γεγονέναι φερωνύμως οὕτως ἐκλήθη. 1567, 58.

δημόσιος οἶκος, ἐν ᾧ κοινῶς ἐξενοδοχοῦντο οἱ ἐν πόλεσί τισι ἐπιδημοῦντες ξένοι. 1891, 24.

Δημοτέλης Χῖος ὅτι σφαιριστὴς ἐγένετο περιβόητος. 1601, 52.

δημότης ὁ τοῦ αὐτοῦ δήμου μετέχων, καὶ δημότης ὁ δημοτικός. 901, 9.

δημοτικοὶ στίχοι, οἱ καὶ πολιτικοὶ, ὅτι ἐκ πεντεκαίδεκα συλλαβῶν συνίστανται, καὶ ὅτι τροχαϊκῶς ποδίζονται. 11, 35.

δήμου ἀνὴρ ὁ ἰδιώτης παρ' Ὁμήρῳ. 201, 8.

δημοῦσθαι ἐν ἴσῳ τῷ παίζειν. 901, 11.

δὴν ἐπίῤῥημα, ἐπὶ πολύ· καὶ δὴν εἶναι, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐπιπολὺ ζῆν. 483, 3. 629, 11.

δηναιὸς ὁ πολυχρόνιος, παρὰ τὸ δήν. 127, 18.

δήνεα τὰ βουλεύματα, ἐτυμολογία. 483, 3.

δήνεα τὰ βουλεύματα, παρὰ τὸ δὴν, ὅ ἐστι δηρὸν, χρῆναι βουλεύεσθαι. 127, 18.

δηξίθυμος ὅτι ταὐτὸν τῷ δακέθυμος δύναται. 1506, 64.

Δηόκης ὅτι τῶν μὲν οἰκείων ἀμελεῖν ἱστορεῖται, διημερεύειν δὲ τὰς τῶν φυλετῶν δίκας λύοντα. 1729, 61.

δηοῦν ἐν ἴσῳ τῷ συγκόπτειν. 1038, 60.

δήπου διστακτικὸν ἐν τῷ, ᾧ τινι δήπου ἀδελφεὸν ἔκτανεν Ἕκτωρ, Ἰλ. ω', 736. παρὰ δὲ τοῖς ὕστερον βεβαιωτικῶς ἀκούεται, ὡς καὶ τὸ δήπουθεν. 1373, 53.

δήπου τοπικὸν ἐν τῷ, ἀνέρος οὗ δήπου λείκ' ὀστέα πύθεται ὄμβρῳ, Ὀδ. α', 161. παρὰ δὲ τοῖς ὕστερον βεβαιωτικόν ἐστιν, ὃ καὶ δήπουθεν λέγεται. 1407, 9.

δηριάασθαι τὸ ἐρίζειν. 911, 56.

δηριθῆναι, χωρὶς τοῦ ν̄ γραφόμενον, ὅτι ἐκ τοῦ δηρίω δηρίσω κεκίνηται. 1085, 14.

δῆρις ἡ μάχη καὶ ἡ ἔρις, παρὰ τὸ δαίω, ὅ ἐστι καίω. 70, 36. 911, 56.

δηρὸν ὅτι παρὰ τὸ δὴν χρονικὸν λέγεται· καὶ ὅτι, δηρὸν μετὰ χρόνον, ἐντελῶς λέγεται, δηρὸν δὲ κατὰ μόνας ἐλλιπῶς. 127, 17. 250, 37. 760, 20. 978, 63.

—δης λήγοντα πατρωνυμικὰ ἀπαθῆ ὅτι μιᾷ συλλαβῇ ὑπερβαίνει τὰς πρωτοτύπους γενικὰς, καὶ περὶ τῶν μιᾷ συλλαβῇ ἐλλειπόντων κατὰ πάθος, οἷον Δευκαλίδης ἐκ τοῦ Δευκαλίωνος. 13, 16.

—δης λήγοντα ὀξύτονα ὡς πατρωνυμικὰ προσηγορικὰ ζωικῶν ἐκγόνων, οἷον λαγιδῆς, περδικιδῆς, λυκιδῆς, ἀλεκτοριδῆς. 1821, 35.

δῆσεν ἀντὶ τοῦ ἔδησε καὶ ἐκώλυσεν ἢ ἐδέησεν ἐν τῷ, ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι, Ἰλ. σ', 100. 1133, 2. 5.

Δηὼ ἡ Δημήτηρ, ὅτι παρὰ τὸ συνεχῶς ἀκοῦσαι τὸ δήεις, ὅ ἐστιν εὕροις, ὅτ' ἐζήτει τὴν θυγατέρα, οὕτως ἐκλήθη. 760, 32. 1675, 18.

δήων δισυλλάβως ἀντὶ τοῦ δηίων κατὰ γενικὴν τῶν πληθυντικῶν. 282, 30.

—δι συλλαβὴ κατ' ἐπέκτασιν προστιθεμένη τῷ τέλει τινῶν τοῦ λόγου μερῶν, οἷον ἐν τῷ ὁδὶ, νυνδί. 45, 6.

διὰ πρόθεσις ἀναστρεφομένη ἐν τῷ, ὄντε δία, ἀντὶ τοῦ, δι' ὃν, παρ' Ἡσιόδῳ· ἀλλαχοῦ δὲ ὅτι ἡ διὰ πρόθεσις οὐκ ἀναστρέφεται. 52, 6. 951, 5.

διὰ πρόθεσις αἰτιατικῇ ἀντιπτωτικῶς ἐν τῷ, διά τ' ἔντεα καὶ μέλαν αἷμα, παρ' Ὁμήρῳ. 1331, 4.

διὰ πρόθεσις ὅτι φύσει καὶ καθ' αὑτὸ διχασμὸν καὶ διάκρισιν καὶ χωρισμὸν σημαίνει, καὶ παραδείγματα τῶν χρήσεων. 80, 8. 893, 54. 1385, 56.

διὰ πρόθεσις σκεδασμὸν δηλοῖ ἐν τῷ διέτρεσαν, καὶ ἁπλῶς διχασμὸν καὶ διαίρεσιν. 857, 48.

διὰ πρόθεσις ὑπακουομένη ἐνίοτε, οἷον ἐν τῷ, ἔρχονται πεδίοιο, παρ' Ὁμήρῳ. 349, 28.

διὰ πρόθεσις περιττὴ ἐν τῷ διειπεῖν καὶ ἐν τῷ διαείδεται. 931, 54.

διὰ πρόθεσις παρ' Ὁμήρῳ αἰτιατικῇ ἀντὶ τῆς κατὰ, οἷον, διὰ δῶμα ἰέναι· παρὰ δὲ τοῖς ὕστερον γενικῇ, οἷον, διὰ τῆς ἀγορᾶς ἰέναι. 1574, 55. 1776, 47.
δι' ἄκριας, παρ' Ὁμήρῳ ἀντὶ τοῦ, κατὰ τὰς ἄκρας τῶν ὀρῶν. 1657, 64.
διὰ δώματα, παρ' Ὁμήρῳ ἀντὶ τοῦ, διὰ δωμάτων, ἀντιπτωτικῶς ἢ ἀντὶ τοῦ, κατὰ δώματα. 1776, 45.
διὰ κυβερνήτην ὄλλυσθαι ναῦς λέγεται, ἤγουν δι' ἔλλειψιν κυβερνήτου. 792, 40.
διὰ μήλων, ὅτι ἐν τῷ, κεῖτ' ἔντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων, Ὀδ. ι', 298. ὑπακούεται τὸ πάντων, ἵν' ᾖ, διὰ πάντων τῶν μήλων. 1630, 40.
διὰ νύκτα, ἀντὶ τοῦ, κατὰ νύκτα· καὶ, διὰ στόμα, ἀντὶ τοῦ, κατὰ στόμα. 172, 36. 726, 43. 812, 20.
διὰ νυκτὸς, ὅτι ὑπακούεται τὸ πάσης, ἵν' ᾖ, διὰ πάσης τῆς νυκτός. 1630, 41.
διὰ στόματος ἄγεσθαι λόγον, Ἰλ. ξ', 91. ἀντὶ τοῦ κατὰ στόμα, ἢ ἀντὶ τοῦ διὰ στόματος ἀντιπτωτικῶς. 969, 19.
διὰ τρίχα κοσμηθέντες, παρ' Ὁμήρῳ ἀντὶ τοῦ, τρίχα διακοσμηθέντες, ὅ ἐστι τριχῇ διαταχθέντες. 314, 4. 1620, 27.
δι' ὤμου ἔσχε, ἀντὶ τοῦ διέσχισε καὶ διῆλθε τὸν ὦμον, παρ' Ὁμήρῳ. 944, 57.
Δία τὸν ἀέρα ἔλεγον οἱ Ἕλληνες, παρὰ τὸ δι' αὐτοῦ τὰ κατὰ γῆν διοικεῖσθαι· ἀλλαχοῦ δὲ ὅτι Δία τὸν θεὸν οἱ παλαιοὶ παρὰ τὸ δι' αὐτοῦ πάντα γίνεσθαι. 1200, 15. 1386, 58.
Δῖα, ὅτι οὕτως ἐκαλεῖτο ἡ Πειριθόου μήτηρ. 101, 3.
δῖα ἅλς ἡ μεγάλη, ἢ ὑγρὰ παρὰ τὸ διαίνειν, ἢ φοβερὰ παρὰ τὸ δέος, ὅθεν καὶ δῖα Χάρυβδις. 1010, 32.
Δῖα, νῆσος οὕτω καλουμένη πρὸ τῆς Κρήτης ἱερὰ Διονύσου, ἣ καὶ Νάξος ἐκλήθη. 1688, 41.
δῖα Χάρυβδις, ὅτι δαιμόνιόν τι ὑποβάλλει νοεῖν τὴν Χάρυβδιν τὸ δῖα ἐπίθετον, ἢ δῖα ἡ φοβερὰ παρὰ τὸ δίω τὸ φοβοῦμαι. 1716, 43.

δῖα χθὼν ἐπιθετικῶς λέγεται διὰ τὸ ἔντιμον, δῖα δὲ θάλασσα καὶ δῖα Χάρυβδις παρὰ τὸ δέος λέγονται. 1364, 1.
διάβαθρον, εἶδος γυναικείου ὑποδήματος. 1522, 9.
διαβαίνειν τὸ διαστάναι τὰ σκέλη. 375, 32. 893, 56. 914, 25.
διαβάλλειν τὸ συκοφαντεῖν καὶ τὸ ἀπατᾶν καὶ παραλογίζεσθαι. 1406, 14. 16.
διαβασιλίζεσθαι τὸ βασιλείας ἀντιποιεῖσθαι. 1425, 42.
διαβόητος ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος. 1856, 12.
διάβολος ἄνθρωπος ὁ συκοφαντικὸς καὶ παραλογιστικὸς εἴτουν ἀπατεών. 1406, 14.
διάβολος καὶ διαβολεὺς, ζήτει ἐν τῷ ὑποβάλλειν. 106, 15.
διάγειν τινὰ λέγεται ὁ πορθμεὺς, ἤγουν διαπεραιοῦν. 1888, 8.
διαγλάψασα, κοιλάνασα. 178, 36.
διαγραμμισμὸς, εἶδος κυβείας διὰ ψήφων ἑξήκοντα λευκῶν τε ἅμα καὶ μελαινῶν. 633, 64.
Διάδες Ἀθῆναι, πόλισμα ἐν Εὐβοίᾳ, Ἀθηναίων κτίσμα. 280, 41.
διάδηλος ἴσον τῷ φανερώτατος. 513, 44.
διαδῦναι ὅτι γενικῇ συντάσσεται. 926, 35.
διαείδεσθαι ἀντὶ τοῦ ὡς ἐν ἡμέρᾳ διαφαίνεσθαι. 931, 53.
διαειπεῖν ἴσον τῷ διειπεῖν, ὅ ἐστι διεξοδικῶς εἰπεῖν. 1492, 51.
διαείσατο, διελήλατο, κανονισμός. 454, 44.
διαείσομαι ἀντὶ τοῦ ἁπλῶς εἴσομαι ἐν τῷ, αὔριον ἣν ἀρετὴν διαείσεται, Ἰλ. θ', 535. 728, 15.
διάζευγμα ἐν ἴσῳ τῷ διάφραγμα. 864, 3.
διαζευκτικὸν ἤ, ζήτει ἐν τῷ παραδιαζευκτικός. 62, 28.
διαζύγιον ὁ χωρισμὸς τοῦ κατὰ γάμον ζυγοῦ. 893, 55.
διάη, τρίτον πρόσωπον παρατατικοῦ ἀπὸ τοῦ ὄημι θέματος, ὡς ἀπὸ τοῦ τίθημι τὸ ἐτίθην ἐτίθης ἐτίθη. 1547, 16.
διαίνειν τὸ ὑγραίνειν, παρὰ τὸν Δία, ἤγουν ἀέρα, ὅς ἐστιν ὑγρὸς φύσει, λέγεται· ἀλλαχοῦ δὲ ὅτι παρὰ τὴν Διὸς γενικὴν λέγεται. 881, 10. 1231, 27. 1285, 3.

διακείμενα αἱ συνθῆκαι παρ' Ἡροδότῳ, ὅθεν τὸ ἐπὶ διακειμένοις μάχεσθαι, ἀντὶ τοῦ ἐπὶ ὡρισμέναις συμφωνίαις πολεμεῖν. 233, 33.
διακονεῖν ὅτι παρὰ τὴν κόνιν εἴρηται. 1113, 64.
διακόνιον, εἶδος πλακοῦντος. 1114, 1.
διακοπὴ τῆς τοῦ λόγου συντάξεως πρὸς μίμημα τινὸς ἐνεργείας. 1001, 26.
διακοσμεῖν τὸ εὐκόσμως τάττειν. 257, 30.
διακοσμηθῆναι τὸ διόλου κόσμιον γενέσθαι. 1933, 26.
διακριδὸν ἐπίῤῥημα ἀντὶ τοῦ ἐκκρίτως ἢ κατ' ἐπίκρισιν. 894, 47. 1008, 20.
διακρίνειν ἀντὶ τοῦ χωρίζειν, ὅτι ἀντίκειται τῷ συγκρίνειν, ὅ ἐστι συγχέειν. 243, 25. 1490, 50.
διακρίνειν ὅτι μερισμὸν δηλοῖ σαφέστερον ἢ τὸ κρίνειν. 857, 52.
διακρινθεῖτε ὅτι ἐκ τοῦ διακρινθείητε συγκέκοπται. 1756, 17.
διακρινθῆναι ἴσον τῷ διακριθῆναι. 388, 20.
διάκτορος Ἑρμῆς ὅτι παρὰ τὸ διάγειν τὰς ἀγγελίας λέγεται, καὶ ὅτι ἀπὸ τῆς διάκτωρ διάκτορος γενικῆς ἀνέδραμεν εἰς εὐθεῖαν. 182, 8. 1393, 23.
διακυνοφθαλμίζεσθαι ἀντὶ τοῦ ὑφορᾶσθαι. 756, 60.
διάλαυρος ὁ ἐν τῷ πέραν λαύρας τινὸς, ὅ ἐστιν ἀμφόδου, κατοικῶν, καὶ οἷον ἀντίθυρος. 1921, 57.
διαλέγεσθαι ἐν ἴσῳ τῷ διαλογίζεσθαι. 852, 64.
διαλελυμένων διὰ τοῦ αο καὶ εω καὶ οιο γενικῶν χρόνος ληκτικὸς καὶ παραληκτικός. 13, 2.
διαληκᾶσθαι τὸ διαμωκᾶσθαι καὶ διαπαίζειν. 1208, 41.
διαλινήσασθαι λέγεται λαγὼς ἐκφυγὼν τὰ λίνα ἤγουν τὰ δίκτυα. 574, 30.
διάλυσις φωνηέντων, ὅτι ἡ ου δίφθογγος ἐκ τοῦ ο καὶ ε κιρναμένη εἰς αὐτὰ καὶ ἀναλύεται. 1300, 61.
διάλυσις διφθόγγων κατ' Αἰο-

λέας, οἷον ἐν τῷ Ἀργέϊος ἀντὶ τοῦ Ἀργεῖος. 28, 34.

διάλυσις συνθέτων λέξεων, ἣ καὶ μετατύπωσις λέγεται, ὅτι τοῖς Ἴωσιν ἐπιτηδεύεται, οἷον ἄκρη πόλις ἀντὶ τοῦ ἀκρόπολις, καὶ ζῷα γράφειν ἀντὶ τοῦ ζωγραφεῖν. 626, 49. 1608, 10.

διάμησε, διέκοψεν, ἐθέρισε. 423, 35.

διαμοιρᾶσθαι τὸ μερίδος νέμειν ἐν τῷ, διεμοιρᾶτο δαΐζων, Ὀδ. ξ', 434. 1766, 49.

διαμπερὲς ὅτι διὰ τοῦ ἔνθα καὶ ἔνθα ἑρμηνεύεται ἐν τῷ, σταυροὺς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα, Ὀδυσσ. ξ', 11. 1748, 54.

διαμπερὲς ἀμφοτέρωθεν, ὅτι ἐκ παραλλήλου παράκεινται ἐν τῷ, πέτρη ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν, Ὀδ. κ', 88. 1649, 55.

διαμπερὲς ἀντὶ τοῦ ἀεὶ καὶ ἀντὶ τοῦ, διὰ πάντων. 674, 32. 1006, 34.

διαμπερὲς χρονικῶς ἀντὶ τοῦ μέχρι πέρατος καὶ δι' ὅλου τοῦ βίου ἐν τῷ, διαμπερὲς ἤματα πάντα, παρ' Ὁμήρῳ· διαμπερὲς δὲ βληθῆναί τις τοπικῶς λέγεται. 809, 16. 1072, 60. 1492, 18.

διαμφοδῆσαι τὸ ἀστοχῆσαι τῆς ἀμφόδου. 789, 54.

διάνδιχα ὅτι ἐκ τῆς διὰ προθέσεως καὶ τοῦ δίχα σύγκειται, καὶ διάνδιχα βουλεύεσθαι, ἤγουν δυάζειν τὴν βουλὴν ἐν τῷ ἄλλως καὶ ἄλλως ἀναβουλεύεσθαι. 80, 3. 7. 1385, 58.

διανέμειν ὅτι ἐμφαντικώτερόν ἐστιν ἢ τὸ νέμειν. 857, 53.

διανεύειν, ὅτι δι' ὀφθαλμῶν μάλιστα λέγεταί τις διανεύειν. 1787, 52.

διανηστισμὸς τὸ πρωινὸν ἔμβρωμα, ὃ καὶ ἀκρατισμὸς ἐλέγετο. 1791, 41.

διαξιφίζεσθαι τὸ πολεμεῖν, ὅτι παρὰ τὸ ξίφος λέγεται. 1604, 50

διάπεζον φόρημα ὅτι παρὰ τὴν πέζαν τῶν ποδῶν λέγεται. 867, 31.

διαπεπλίχθαι τὸ περιπλέκειν τοὺς πόδας, ἀπὸ τοῦ πλίσσειν, ὅ ἐστι βηματίζειν καὶ μεταφέρειν σκέλος παρὰ σκέλος. 1564, 53.

διαπέτεια πόρων ὅτι παρὰ τὸ πετάσαι λέγεται. 1842, 48.

διαπηνικίζειν, διακεφαλαιοῦν καὶ ἀπατᾶν, παρὰ τὴν πηνίκην, ὃ δηλοῖ τὴν φενάκην. 1422, 2.

διαπληκτίζεσθαι τὸ μάχεσθαι καὶ ἐρίζειν ἕως πληγῆς. 1248, 58.

διαπλήσσειν τὸ εἰς μικρὰ τέμνειν, περὶ ξύλων λεγόμενον Ἰλ. ψ', 120. 1291, 51.

διαπρεπὴς ὁ ἄξιος περιέπεσθαι, ἐτυμολογία. 894, 50.

διαπρήσσειν τὸ διανύειν καὶ διεξοδεύειν, καὶ ὅτι κυρίως μὲν ἐπὶ θαλάσσης, καταχρηστικῶς δὲ καὶ ἐπὶ γῆς. 373, 44. 754, 12.

διαπρήσσουσα, ζήτει ἐν τῷ πρῆσεν. 139, 36.

διαπρύσιον ἀντὶ τοῦ διόλου καὶ ἀπὸ πέρατος εἰς πέρας, οἱονεὶ διαπεράσιον. 709, 46. 1125, 64.

διαρρίπτειν ὀϊστὸν, ἀντὶ τοῦ διατοξεῦσαι. 1879, 11.

διασαφητικὸς σύνδεσμος, μεταξὺ δύο λόγων τιθέμενος καὶ ἐκλεγόμενος τὸ ἕτερον, ὅτι καὶ τὸ μᾶλλον ἐνίοτε προσλαμβάνει εἰς ἐπίτασιν, οἷον μᾶλλον ἤ. 62, 24.

διασκευὴ ἡ κατὰ λεπτὸν ἀφήγησις. 420, 18.

διασκευὴ ἡ κατὰ λεπτὸν ἀφήγησις· ἀλλαχοῦ δὲ ὅτι διασκευὴ σχῆμα λόγου λεπτολογοῦν τὸν τρόπον, ὃν γίνεταί τι· καὶ διασκευῆς σχήματος παραδείγματα καὶ χρεία. 62, 24. 130, 18. 131, 10. 169, 31.

διάστασις ἡ ἁπλῶς διαχώρισις καὶ ἡ ἐπὶ ἔριδι. 21, 33.

διαστολῆς χρεία πρὸς ἔκκλισιν ἀμφιβολίας. 1170, 34.

διασφὰξ τὸ σχίσμα καὶ τὸ γυναικεῖον αἰδοῖον ὁμωνύμως. 134, 21. 897, 60.

διασχεῖν ἀντὶ τοῦ διαπειρᾶσαι καὶ διασχίσαι καὶ διελθεῖν. 842, 54. 57. 1215, 3.

διασχεῖν λέγεται πλῆθός τι ἀνθρώπων ἀντὶ τοῦ ὧδε κἀκεῖ διαστῆναι, ὅ ἐστι χωρισθῆναι. 1372, 17.

διασχὼν, διασχίσας, διελθών. 527, 3.

διατμαγῆναι τὸ διακοπῆναι καὶ ἀποτμηθῆναι, καὶ ἀντὶ τοῦ χωρισθῆναι τοπικῶς. 1747, 37.

διατμήγειν τὸ διακόπτειν καὶ διαιρεῖν. 146, 22.

διατμῆξαι κῦμα, ἀντὶ τοῦ πλεῦσαι καὶ διανήξασθαι. 1540, 37.

διατρίβειν τὸ παρατείνειν καὶ ὑπερβιβάζειν, καὶ ὅτι καὶ χρονοτριβεῖν καὶ τριψημερεῖν καὶ ἀναβάλλεσθαι καὶ ὑπερβάλλεσθαι συνωνύμως λέγεται. 443, 31. 1441, 60.

διατρίβειν ἐπὶ τοῦ ἀργεῖν. 1177, 6. 1894, 31.

διατρίβειν γάμον, τὸ χρονοτριβεῖν καὶ ἀναβάλλεσθαι αἰτιατικῇ καὶ διατρίβειν ὁδοῦ, γενικῇ. 1441, 56.

διατρύγιος ἄμπελος, ἧς ὁ καρπὸς ἐν διαφόροις καιροῖς πεπαίνεται· καὶ διατρύγιοι ὄρχατοι, ὧν μεταξὺ ἐνέσπαρταί τι τῶν δυναμένων τρυγᾶσθαι. 1964, 24.

διαττᾶν τὸ σήθειν καὶ διαττᾶσθαι τὸ σήθεσθαι. 749, 13.

διαττόντων ἀστέρων αἴτιον, ζήτει ἐν τῷ, ἀστέρες διάττοντες. 446, 30.

δίαυλος τὸ στάδιον, ὅτι παρὰ τὸν αὐλὸν, ὅ ἐστι διατεταμένον εἰς εὐθύτητα σχῆμα, οὕτω λέγεται, καὶ ὅτι καὶ πᾶσα ἁπλῶς ἀνάκαμψις δίαυλος λέγεται. 1107, 63. 1483, 53.

διαυλωνία, τοπικὴ στενότης, καθ' ἣν οἱ ὄρτυγες καὶ ἁπλῶς οἱ ἄγριοι ὄρνιθες ἀγρεύονται. 1107, 63. 1917, 32.

διαυλωνίζον χωρίον λέγεται τὸ δεχόμενον ἐξ ἑκατέρου πνεῦμα. 1107, 63. 1483, 47.

διαφαίνεσθαι ἀντὶ τοῦ διαφάνειαν σχεῖν. 1635, 40.

διαφέρεσθαι τὸ διαφόρως ἔχειν, ὅθεν διάφορός τινι ὁ πρός τινα ἐχθρῶς διακείμενος. 549, 41.

διαφέρειν κόρας ὀμμάτων, ἀντὶ τοῦ διακομίζειν. 549, 39.

διαφορὰ ἡ ἑτεροιότης καὶ ἡ μάχη. 1788, 10.

διαφορεῖν κλέος τινὸς, ἀντὶ τοῦ διαφέρειν καὶ διακομίζειν πανταχοῦ. 1866, 41.

διάφορος ὁ τῶν ἄλλων διαφέρων καὶ ὁ ἐχθρῶς πρός τινα διακείμενος καὶ ἁπλῶς ὁ ἐναντίος. 331, 17. 372, 30. 549, 42. 1788, 9.

διάφραγμα, νευρώδης ὑμὴν τὰ σπλάγχνα διεζωκώς. 864, 3.

διαφύσσειν τὴν σάρκα λέγεται βέλος, ἀντὶ τοῦ εἰς βάθος καθικέσθαι τῆς σαρκός. 1872, 28.

διαφωνεῖν, ἐναντιοῦσθαι κατὰ φωνὴν, τουτέστιν ἀντιλογεῖν. 857, 50.

διαχέειν ἐν ἴσῳ τῷ μελίζειν τὰ κρέα. 682, 63.

διαχέεσθαι λέγονται οἱ χαίροντες διὰ τὸ μὴ ἔχειν ἑαυτοὺς συνάγειν, ἀλλ' ἐκχεῖσθαι εἰς πλατυσμόν· ζήτει τὸ διάχυσις. 1766, 27.

διαχεύειν ζῶον ἐσφαγμένον, ἤγουν εἰς ἁδρὰ μέλη διατέμνειν. 1476, 59. 1766, 26.

διαχρήσασθαι ἀντὶ τοῦ διαχειρίσασθαι, ἐξ οὗ καὶ συνεκόπη. 706, 12. 16. 1960, 21.

διάχυσις λέγεται ἡ χαρὰ, ὡς τῆς ἡδονῆς ἀραιούσης καὶ διαχεούσης τὸν ἡδόμενον· ζήτει τὸ διαχέεσθαι. 1360, 23.

διδάσκαλος ὅτι παρὰ τὸ δαίω λέγεται, ὃ δηλοῖ τὸ μανθάνω· ζήτει τὸ διδάσκω. 180, 1.

διδασκόμενος πολέμου, παρ' Ὁμήρῳ ἐλλειπτικῶς τῆς προθέσεως, ἢ ἀναλυτικῶς ἀντὶ τοῦ, διδασκαλίαν ἔχων πολέμου. 1088, 29.

διδάσκω ὅτι ἐκ τοῦ δαίω, ὃ ἐστι μανθάνω, γέγονε διπλασιασμῷ καὶ ἐκβολῇ τοῦ ι καὶ πλεονασμῷ τοῦ κ· ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ δάσκω κατ' ἀναδιπλασιασμὸν, καὶ ὅτι καὶ διδασκῶ διδασκήσω εὕρηται παρ' Ἡσιόδῳ ἔργ. 64. 1373, 34. 1654, 32. 1715, 53. 1722, 51.

δίδη, ἤγουν ἐδέσμει, ἀπὸ τοῦ δίδημι, ὡς ἀπὸ τοῦ ἵστημι τὸ ἵστη. 834, 28.

δίδημι τὸ δεσμεύω, ἀπὸ τοῦ διδῶ δίδημι, ὡς ἀπὸ τοῦ ἱστῶ ἵστημι. 834, 30.

διδόαμεν ἀντὶ τοῦ δίδομεν πλεονασμῷ τοῦ α. 210, 9. 1609, 17.

διδοῖ τρίτον πρόσωπον ὅτι ἐκ τοῦ διδῶ κεκίνηται, ἐξ οὗ τὸ δίδωμι καὶ διδοῖς δεύτερον ἀντὶ τοῦ δίδως. 744, 18. 1404, 14.

διδόναι τὸ ἑκουσίως παρέχειν, ἀποδιδόναι δὲ τὸ χρεωστικῶς. 56, 34.

διδόναι ἄχεσι τινὰ, ἀντὶ τοῦ λυπεῖν περιφραστικῶς. 1860, 5.

διδόναι τινὰ ὀδύναις, ἀντὶ τοῦ ὀδυνᾶν. 562, 11.

διδόναι πυρὶ, ἀντὶ τοῦ καῦσαι περιφραστικῶς. 1954, 11.

διδόναι, ὅτι ἀντὶ μακρᾶς συλλαβῆς ἐνίοτε λογίζεται τὸ δο διὰ μέτρου ἀνάγκην, οἷον ἐν τῷ, ἢ ρ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδόναι ἀθανάτοις, Ἰλ. ω', 425. 1357, 16.

διδοῦναι ἀντὶ τοῦ διδόναι ἐπενθέσει τοῦ υ, ὡς καὶ τιθεῖναι ἀντὶ τοῦ τιθέναι. 1357, 23.

διδυμάονες ὅτι ἐκτείνει τὸ μα καὶ διὰ τοῦ ο μικροῦ γράφεται, καὶ ὅτι διδυμάονες μὲν κατά τινας οἱ κεχωρισμένοι τοῖς σώμασι, δίδυμοι δὲ οἱ συμφυεῖς, ὁποῖοι μυθεύονται οἱ Ἀκτορίωνες. 581, 16. 19. 622, 56.

Διδύμη, ὄνομα μιᾶς τῶν Αἰόλου νήσων. 1644, 34.

δίδυμοι οἱ διπλοῖ ἢ συμφυεῖς τοῖς σώμασιν, ὁποῖοι μυθεύονται οἱ Ἀκτορίωνες· καὶ δίδυμοι οἱ ἁπλῶς δύο, καὶ δίδυμοι οἱ ὄρχεις ὁμωνύμως· καὶ ὅτι παρὰ τὸ δύο γίνεται δύμος, ὅθεν δίδυμος ἐν συνθέσει μετὰ τοῦ δὶς ἀριθμητικοῦ ἐπιῤῥήματος· καὶ ὅτι διαφέρει τοῦ διδυμάονες, οὗ χρῆσις παρ' Ὁμήρῳ, ζήτει ἐν τῷ διδυμάονες. 163, 29. 581, 17. 622, 56. 1182, 14. 1863, 38.

διδῶ δίδημι τὸ δεσμεύω, ὡς ἱστῶ ἵστημι. 834, 29.

διδῶ διδώσω, οὗ χρῆσις παρ' Ὁμήρῳ, ὅτι ἀπ' αὐτοῦ τὸ δίδωμι λέγεται. 1962, 31.

δίδωθι προστακτικὸν ὅτι ἀπὸ τοῦ διδοὺς διδόντος γενόμενον συστέλλειν ὤφειλε τὴν παραλήγουσαν, ἐκτείνει δὲ διὰ μέτρου ἀνάγκην ἐν τῷ, ἀλλ' ἄνασσ' ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλὸν, Ὀδ. γ', 380. 1418, 5. 1473, 36.

δίδωμι ὅτι ἐκ τοῦ διδῶ διδώσω παρήχθη. 1748, 8.

διδώσομεν ἀντὶ τοῦ δώσομεν, Ὀδυσσ. ν', 358. ὅτι ἐκ τοῦ διδῶ διδώσω κεκίνηται, ὅθεν τὸ δίδωμι. 1744, 7.

διέγλυπται ἀντὶ τοῦ διαγέγλυπται, ἀναυξήτως. 759, 49.

δίεδρος ταὐτὸ ὅπερ δίφρος. 882, 12.

διειπεῖν τὸ εἰς πλάτος εἰπεῖν καὶ διασαφῆσαι. 815, 49. 857, 51.

διελάσαι τὸ διαμπερὲς βαλεῖν ἐν τῷ, ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, Ἰλ. υ', 269. 1208, 19.

διελάσαι γενικῇ ἐκ δευτέρου καὶ αἰτιατικῇ ἐκ τρίτου ἐν τῷ, τῆς δ' οὔτι διήλασεν, Ἰλιάδ. ν' 161. 926, 8.

διέμενος μετοχὴ ὅτι ἐκ τοῦ δίημι θέματος κεκίνηται. 1312, 8.

διενεγκεῖν τὸ διαφέρειν κατὰ ἀόριστον δεύτερον. 1603, 63.

δίενται ἀντὶ τοῦ διώκουσι, ὅτι ἀπὸ τοῦ δίημι κεκίνηται, ὃ δηλοῖ τὸ σπουδαίως τρέχω. 1312, 5.

διέπειν τὸ ἐνεργεῖν καὶ οἰκονομεῖν. 1705, 53.

διέπειν τὸ ἐνεργεῖν καὶ οἰκονομεῖν, καὶ διέπειν ἀντὶ τοῦ διώκειν ἢ πλήττειν ἐν τῷ, σκηπανίῳ δίεπ' ἀνέρας, Ἰλ. ω', 247. 1348, 12.

διεπέφραδε καὶ εἶπεν, ὅτι ἐκ παραλλήλου ταὐτὸ δύνανται ἐν τῷ, διεπέφραδε καί μοι ἔειπεν, Ἰλ. σ', 9. 1127, 44.

διερὸς, δίυγρος, παρὰ τὸ διαίνω, ὃ παρὰ τὴν Διὸς γενικὴν λέγεται· καὶ διερὸς βροτὸς ὁ ζῶν καὶ ὑγιὴς καὶ ἐῤῥωμένος καὶ ὑγρὸς κατὰ τὴν κίνησιν. 679, 20. 881, 10. 1231, 28. 1312, 7. 1559, 43. 1745, 52.

διερὸς ποὺς ὁ διαινόμενος, τουτέστι χλωρὸς καὶ νεάζων, καὶ διὰ τοῦτο ὀξὺς καὶ ταχὺς καὶ σπουδαίως κινούμενος· καὶ ὅτι διερὸν πόδα τὴν ναῦν ἐνόησάν τινες ἢ τὴν κώπην ἐν τῷ, ἔνθ' ἤτοι μὲν ἐγὼ διερῷ ποδὶ φευγέμεν ἡμέας ἠνώγεα, Ὀδ. ι', 43. ἢ διερῷ ποδὶ φεύγειν τὸ σπουδαίως διὰ θαλάσσης φεύγειν. 1058, 61. 1615, 14.

Δίες, Διῶν, Διοὶ, Δίας, πληθυντικὰ τῆς Ζεὺς Διὸς εὐθείας. 1384, 46.

δίεσθαι τὸ διῶξαι. 904, 25.

διέσταμεν ἀντὶ τοῦ ἰδίᾳ ἱστάμεθα ἐν τῷ, Φοῖβε τίη δὴ νῶι διέσταμεν, Ἰλ. φ', 436. 1245, 3.

διέσχε ἀντὶ τοῦ διέσχισε καὶ διῆλθε. 527, 2. 842, 54. 1108, 18.

διέτμαγεν ἐν φιλότητι, ἀντὶ τοῦ, φιλίως διεχωρίσθησαν· καὶ διέτμαγεν ἁπλῶς ἀντὶ τοῦ διεχωρίσθησαν. 682, 27. 1065, 9.

διέφθορας ἀντὶ τοῦ διεφθάρης ἐν

τῷ, μαινόμενε φρένας ἠλὲ διέφθορας, Ἰλιάδ. ο', 128. παρὰ δὲ τοῖς Ἀττικοῖς ἐνεργητικῶς ἀντὶ τοῦ διέφθειρα. 1009, 14. 1443, 64.

διεχὲς ὅτι ἀντίκειται τῷ συνεχεῖ. 494, 5. 673, 1.

διζήμενος μετοχὴ ἀπὸ τοῦ διζῶ δίζημι θέματος. 1774, 30. 1900, 5.

δίζηνται ἀντὶ τοῦ ψηλαφῶσι παρ' Ἡροδότῳ, ἀπὸ τοῦ διζῶ δίζημι. 1774, 31.

δίζυγες ἵπποι, δύο ἵπποι ὑφ' ἕνα ζυγὸν ἀγόμενοι, τοῦτο δ' ἐστὶν ἡ ξυνωρίς. 538, 13. 819, 8. 914, 20.

διηγηματικῆς ἀναστροφῆς παράδειγμα. 1367, 31.

διηγήσεων διαφοραὶ, ὁμιλητικὴ, ἀπαγγελτικὴ καὶ ὑποστατική. 122, 15.

διηγήσεων πλατυσμὸς κατὰ μέθοδον Ὁμηρικήν. 50, 45.

διήγησις κατὰ τάξιν ὅτι ἀλλότριόν ἐστι ποιήσεως. 263, 1.

διήγησις, ὅτι ἐν τοῖς ἐπιμηκεστέροις διηγήμασιν οὐ φυλάσσεται ἡ κατὰ φύσιν τάξις ἐνίοτε. 878, 60. 879, 4.

διηθεῖν τὸ διυλίζειν, ὅτι καὶ ἀπηθεῖν λέγεται. 1753, 5.

διηκόνησε, ὅτι παραλόγως ἔχει τὸ μετὰ τὴν ἄρχουσαν η. 1122, 36.

διηκόνουν παρατατικὸς, ὅτι ἐκ βραχείας ἐμηκύνθη Ἀττικῶς ἡ αὔξησις τοῦ διηκόνουν, καὶ ὅτι καὶ ἐκ τοῦ διαεκόνουν ἐνδέχεται αὐτὸ κεκρᾶσθαι. 1523, 47.

δίημι τὸ διώκω καὶ σπουδαίως τρέχω ὁμωνύμως τῷ δίημι, ὃ δηλοῖ τὸ διαίνω, ὅ ἐστι βρέχω, ὃ παρὰ τὴν Διὸς γενικὴν λέγεται. 1312, 6.

διηνεκεῖς ῥίζαι αἱ διὰ πολλοῦ τόπου ἐνηνεγμέναι καὶ τεταμέναι. 896, 7.

διηνεκέως ἀντὶ τοῦ κατ' εὐθὺ καὶ ἀσχιδῶς ἐν τῷ, διηνεκέως ἀγορεύσω, Ὀδ. μ', 56. 1711, 18.

διηνεκῆ νῶτα, ἐν τῷ, νώτοισι δ' Αἴαντα διηνεκέεσσι γέραιρεν, Ἰλ. η', 321. ὅτι ἢ ἀντὶ τοῦ ἀκεραίοις ἀκούεται ἐπιθετικῶς, ἢ ἐπιῤῥηματικῶς ἀντὶ τοῦ διόλου καὶ καθ' ὅλον τὸν τοῦ συμποσίου καιρόν. 682, 64.

Διηνέκης κύριον ὅτι βαρύνεται εἰς διαφορὰν τοῦ διηνεκὴς ἐπιθέτου. 698, 56.

διηνεκὴς ὁδὸς λέγεται, δι' ἧς ὀρθῆς οὔσης ἀσφαλῶς ἔστιν ἐνεχθῆναι τινά· ἀλλαχοῦ δὲ ὅτι διηνεκὴς ὁδὸς λέγεται παρὰ τὸ διόλον ἐνηνέχθαι καὶ μὴ παρεκκλίνειν· καὶ αὖλαξ διηνεκὴς ἡ δι' ὅλου ἐνηνεγμένη, τουτέστιν ἐπιμήκης. 1519, 42. 1738, 50. 1852, 1.

διηνεκῶς, ἤγουν κατ' ἀληθῆ ἀπόφανσιν τὴν δι' ὅλου τοῦ πράγματος ἤκουσαν ἐν τῷ, οὐ μέντοι κεῖνόν γε διηνεκέως ἀγορεύσω, ζώει ὅγ' ἢ τέθνηκεν, Ὀδ. δ', 836. 1519, 42.

διηττημένον ἄλευρον τὸ σεσησμένον. 749, 13.

διθυμία ἡ διχοστασία. 936, 36.

Διὶ δοτικὴ ὅτι προτάσσεται ἐν συνθέσει, οἷον ἐν τῷ διιπετὴς καὶ ἄλλοις· καὶ ὅτι τῆς Διὶ δοτικῆς ἐκτείνεταί ποτε τὸ ληκτικὸν ι διὰ μέτρον ἀνάγκην. 52, 9. 54, 22. 76, 5. 727, 1.

Διὶ ὅμοιοι λέγονται οἱ συνετοὶ καὶ οἱ βασιλικοὶ ἄνθρωποι. 865, 52.

διίκεο, διῆλθες. 1179, 11.

διικέσθαι λόγῳ, ἀντὶ τοῦ διεξελθεῖν, καὶ διικέσθαι τὸ ἁπλῶς διελθεῖν. 735, 38.

διιπετεῖς ποταμοὶ οἱ τῷ ἐκ Διὸς πίπτοντι ὑετῷ πληρούμενοι· καὶ ὅτι διιπετεῖς ποταμοὶ κυρίως λέγονται οἱ χείμαῤῥοι, καταχρηστικῶς δὲ καὶ οἱ ἀένναοι. 317, 21. 1053, 7. 1505, 58.

διίστασθαι τὸ ἰδίᾳ ἵστασθαι ἐν τῷ, Φοῖβε τίη δὴ νῶϊ διέσταμεν, Ἰλ. φ', 436. 1245, 3.

διίστασθαι ἁπλῶς τὸ διαχωρίζεσθαι, ἐπὶ δὲ τοῦ φιλονεικεῖν οὐκ ἄλλως ἢ μετὰ προσθήκης, ὡς ἐν τῷ, διαστήτην ἐρίσαντε, Ἰλ. α', 6. 1111, 47.

διίστασθαι λέγονται ἵπποι ζυγῖται ταραχθέντες. 21, 42.

δικάζειν ἀντὶ τοῦ οἰκονομεῖν καὶ ἐπικρίνειν ἐν τῷ, κρυπτάδια φρονέοντα δικαζέμεν, Ἰλιάδ. α', 542. 147, 17.

δίκαια τὰ ξένια κατὰ γλῶσσαν. 886, 54.

δικαιέστερος ἀντὶ τοῦ δικαιότερος. 1441, 13.

δικαιοσύνη ὅτι προσηγορικῶς λέγεται, οὐκ ἐπιθετικῶς ὡς τὸ δικαιόσυνος ἀρσενικόν. 918, 47.

δικαιόσυνος ὅτι ἐπίθετόν ἐστιν ὄνομα, δικαιοσύνη δὲ προσηγορικόν. 918, 47.

δικαιότατος ἀντὶ τοῦ φιλοξενώτατος ἐν τῷ, δικαιότατος Κενταύρων, Ἰλιάδ. λ', 832. ἐπεὶ καὶ δίκαια τὰ ξένια κατὰ γλῶσσαν. 886, 53.

δικασπόλος ὁ περὶ δίκας πολῶν ἐτυμολογικῶς. 92, 40.

δικασπόλος ὁ περὶ δίκας πολῶν, καὶ δικασπόλος ἐν ἴσῳ τῷ βασιλεὺς ἐν τῷ δαῖτας ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν, Ὀδ. λ', 186. 1678, 64.

δικατάληκτα, ὅτι τῶν εἰς ιν καὶ ις δικαταλήκτων ἀναλογωτέρα ἡ εἰς ν κατάληξις, ἑρμηνεία διεξοδική· καὶ ὅτι τὰ τοιαῦτα δικατάληκτα διὰ μόνου τοῦ ι γράφονται. 109, 5. 1453, 64.

δίκελλα ἡ διχόθεν κέλλουσα, μάκελλα δὲ ἡ μονόθεν κέλλουσα, ὅ ἐστι κινοῦσα. 1235, 56.

δίκη ἀντὶ τοῦ νόμος ἢ τρόπος ἢ ἦθος ἐν τῷ, ἣ γὰρ δμώων δίκη ἐστίν, Ὀδυσσ. ξ', 59. καὶ, μνηστήρων οὐχ' ἥδε δίκη τὸ πάροιθε τέτυκτο, σ', 275. 1750, 51. 1846, 45.

δίκη καὶ θέμις ἐπὶ τοῦ αὐτοῦ. 92, 41.

δίκη ἐν ἴσῳ τῷ πρόστιμον. 415, 43.

δίκη κατὰ δοτικὴν πτῶσιν ἀντὶ τοῦ δικανικῶς ἢ ἀντὶ τοῦ δικαίως ἐν τῷ, Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς, Ἰλιάδ. ψ', 542. 1315, 25.

δικλίδες θύραι αἱ δίθυροι καὶ διχόθεν κλειόμεναι, τὸ κλι ἰῶτα, ἀπὸ τοῦ κλεὶς ἢ κλείω ἀποβολῇ τοῦ ε. 914, 19. 1449, 5.

δίκορσον, δικέφαλον, δικόρυφον. 947, 28.

δικραὲς, δικέφαλον, παρὰ τὰ κρὰς κρατός. 947, 28.

δικτυακὰ ἐπιχειρήματα, δι' ὧν τὰ ἀντικείμενα κατασκευάζονται διαφόροις μέσοις. 1192, 46.

δίκτυον ὅτι παρὰ τὸ δίκω, ὃ δηλοῖ τὸ βάλλω καὶ ἀφίημι, λέγεται. 344, 4.

δίκω τὸ βάλλω καὶ ἀφίημι, ὅθεν καὶ δίσκος λέγεται. 344, 3. 1591, 25.

δίμυξος λύχνος, παρὰ τὴν μύξαν, ἢ καὶ μύκης λέγεται. 440, 29.

Δινδυμήνη, ὄρος τῆς Μυσίας, ἐξ οὗ Ἕρμος ὁ ποταμὸς ἄρχεται. 366, 25.

δινεῖν ἀντὶ τοῦ στρέφειν ἐν τῷ, ζεύγεα δινεύοντες, Ἰλιάδ. σ', 543. 1161, 24.

δινεῖσθαι ἀντὶ τοῦ στρέφεσθαι χορικῶς. 1166, 9.

δινεύειν τὸ κατὰ δῖνον στρέφεσθαι, ὅτι παρὰ τὸ δινέω λέγεται ἐπενθέσει τοῦ υ. 1157, 29. 1480, 13.

δινέω δινῶ, τὸ δίκην δίνου ἀφίημί τι φέρεσθαι, καὶ ὅτι καὶ δινόω δινῶ κατὰ τὴν τρίτην λέγεται. 426, 34. 1157, 28.

δινήεις ποταμὸς ὁ δινούμενος εἴτουν δίνας ἔχων. 369, 26. 1553, 30.

δινὸν σάκος, ἀντὶ τοῦ δινωτὸν, ὅτι παρὰ τὸν δῖνον λέγεται. 1207, 7.

δινὸς ποταμὸς, διὰ τοῦ ἰῶτα, ὁ δίνας ἤγουν συστροφὰς ἔχων. 1221, 41.

δῖνος ὁ τόρνος καὶ ὁ ποδονίπτηρ ὁμωνύμως κατὰ Κυρηναίους· καὶ δῖνος ἡ ἅλως παρὰ Τελεσίλλῃ· καὶ δῖνος ποτήριον, ὃ καὶ δεινιὰς λέγεται· καὶ δῖνος οὐρανοῦ, κατὰ συνθήκην. 428, 11. 939, 60. 1157, 25. 1207, 8.

δῖνος καὶ δινῶ ῥῆμα ὅτι μακρᾷ παραλήγονται· καὶ ὅτι καὶ ταὐτόν ποτε δηλοῖ ὁ δῖνος, ὅπερ κῶνος καὶ ῥόμβος. 1635, 61.

δῖνος, ὅτι καὶ σχῆμά τι χορικὸν οὕτω λέγεται. 1166, 10.

δινῶ δινήσω τὸ συστρέφω, δινῶ δὲ δινώσω τὸ τορνεύω· καὶ ὅτι μακρὸν ἔχουσι τὸ δῖ τό τε δινῶ καὶ ὁ δῖνος. 412, 31. 939, 60. 1635, 59.

δινωτὴ ἀσπὶς ἡ περιφερὴς, παρὰ τὸν δῖνον, ὃ δηλοῖ τὸν τόρνον. 939, 60.

δινωτὴ ἀσπὶς ἐπιθετικῶς, ὅτι παρὰ τὸ δινόω δινῶ τῆς τρίτης συζυγίας λέγεται, ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸν δῖνον, ὃ δηλοῖ τὸν τόρνον. 939, 60. 1635, 61.

δινωτὴ ἐλέφαντι καὶ ἀργύρῳ καθέδρα λέγεται Ὀδυσσ. τ', 56. ἀντὶ τοῦ τορευτὴ ἢ κύκλῳ κεκοσμημένη. 1855, 25.

δινωτὸν, τορευτόν. 412, 32.

δινωτὸν τὸ τορευτὸν, εἴτουν τορνωτὸν, παρὰ τὸν δῖνον ἢ τὸ δινῶ. 428, 11.

δινωτὸς κύβος, ὅτι κατὰ παράχρησιν λέγεται παρ' Ὀππιανῷ. 1715, 42.

διόβλητοι οἱ Δίοις βέλεσι, τουτέστι κεραυνοῖς καὶ βρονταῖς, βεβλημένοι. 1528, 37.

διόβολα βέλη τὰ ἐκ Διὸς, ὅ ἐστιν ἀέρος, καταφερόμενα, οἷα καὶ αἱ νιφάδες. 1188, 30.

διογενεῖς καὶ διοτρεφεῖς οἱ βασιλεῖς ὡς ἐκ Διὸς τὸ γένος ἕλκοντες ἢ ὡς ἐκ Διὸς ἔχοντες τὴν βασιλείαν. 199, 20.

διογενὴς, τὸ δῖ μακρὸν ὡς ἀπὸ τοῦ δῖος, διοτρεφὴς δὲ βραχὺ ὡς ἀπὸ τῆς Διὸς γενικῆς. 76, 2.

δίοιτο ἀντὶ τοῦ διώκοι, ἀπὸ τοῦ δίω, ὅ ἐστι διώκω. 1822, 41.

Διομεὺς Ζεὺς, ὅθεν τὰ Διόμεια, ἑορτή τις οὕτω καλουμένη. 444, 20.

Διομήδειος ἀνάγκη, παροιμία ἐπὶ τῶν βίαν πασχόντων, ἑρμηνεία διεξοδική. 822, 23.

Διομήδης ἀνὴρ, ὁ Ἀχιλλεὺς αἰνιγματικῶς διὰ τὸ παλλακήν τινα Διομήδην καλουμένην δίδοσθαι αὐτῷ παρ' Ὁμήρῳ. 596, 21.

Διομήδης ὁ Τυδέως πῶς ἐβασίλευσεν Ἀργείων Αἰτωλὸς ὢν τὰ πρὸς πατρὸς, ἱστορία διεξοδική. 288, 27.

διον λήγοντα ὀνόματα παράγωγα, ἐκ τοῦ πρωτοτύπου ἔχοντα τὸ δ', οἷον κλεὶς κλειδὸς κλειδίον, παῖς παιδὸς παιδίον. 1146, 62.

δῖον, κώδιον ἱερείου τυθέντος τῷ Διὶ, ζήτει ἐν τῷ Διοπομπεῖν. 1935, 8.

Δῖον πόλις, καὶ ὅτι πολλὰ χωρία οὕτως ὠνομάζοντο. 280, 35.

Διοννὺς ἡ γυναικεία καὶ θῆλυς ἐσθὴς ἢ ἄλλο τι τῶν γυναικείων, ὅτι παρὰ τὸν Διόνυσον οὕτω λέγονται. 629, 42.

Διονυσιάζειν τὸ περὶ οἶνον ἀσχολεῖσθαι. 989, 25.

Διονυσιὰς ἄμπελος, ἡ καὶ ἱερὰ προσηγορικῶς καλουμένη. 871, 22.

Διονύσιος, ποιητὴς καὶ ῥήτωρ χαλκοῦς ἐπονομασθεὶς, διότι συνεβούλευσεν Ἀθηναίοις χαλκῷ νομίσματι χρῆσθαι. 1243, 16.

Διονύσιος ὁ ἐπικληθεὶς μεταθέμενος παρῳδήσας τὸ Ὁμηρικὸν ἐκεῖνο, Ὀδυσσ. φ', 152: οὐ δύναμαι τανύσαι, λαβέτω δὲ καὶ ἄλλος, ἱστορία. 1680, 48.

Διονύσιος ὁ τύραννος χρυσῆν τράπεζαν ἀνακειμένην Ἀσκληπιῷ ἀνελόμενος, ἱστορία. 1525, 60.

Διονύσιος ὁ τύραννος ὅτι μητραγυρτῶν καὶ τύμπανον κρούων, οἰκτρῶς τὸν βίον κατέστρεψε. 1824, 10.

Διονυσίου τοῦ τυράννου γυνὴ καὶ τέκνα κρεωφαγηθέντα ὑπὸ τῶν ἑσπερίων Λοκρῶν, ἱστορία διεξοδική. 1344, 33.

Διόνυσος Μηροτραφὴς, ὅτι ἀπὸ Μηροῦ ὄρους τινὸς τῆς Ἰνδικῆς ἀνακειμένου αὐτῷ οὕτως ἐπεκλήθη· καὶ ἀπὸ τοῦ Διὸς μηροῦ γενέσθαι μεμύθευται. 310, 7.

Διόνυσος ὅτι ταύρῳ καὶ παρδάλει εἰκάζεται διὰ τὸ τῶν μεθυόντων θηριῶδες. 1910, 17.

Διόνυσος ὅτι καὶ ὑγιάτης ἐπεκαλεῖτο πρὸς αἴνιγμα τοῦ ὑγιαστικὸν εἶναι τὸν οἶνον συμμέτρως πινόμενον. 1624, 37.

Διόνυσος ὅτι καὶ Πρίαπος ἐπεκαλεῖτο. 242, 37.

Διόνυσος, ὅτι ἀπὸ Νύσσης ὄρους τινὸς Θρᾳκικοῦ οὕτως ὠνομάσθη. 629, 43.

Διόνυσος ὅτι ὑπὸ τῆς μητρὸς Ἥρας διεφορήθη τῆς ψυχῆς τὴν γνώμην κατὰ Πλάτωνα. 1156, 1.

Διονύσου τοῦ Βακχέως πρόσωπον ἐν Νάξῳ ὅτι ἀμπέλινον ἦν, τὸ δὲ τοῦ μειλιχίου σύκινον, ὅθεν καὶ τὰ σῦκα μείλιχα ἐκαλοῦντο. 1964, 16.

Διονύσου τροφοὶ ὅτι Βασσάραι, Μαχέται καὶ Μιμαλλόνες ἐπωνομάζοντο. 989, 26.

Διονύσου φυγὴ εἰς θάλασσαν διὰ φόβον Λυκούργου, καὶ διὰ τί Νύμφαι Διονύσου τιθῆναι μυθεύονται, ἀλληγορία. 871, 36. 40.

Διονύσου ὀρθοῦ βωμός· ζήτει ἐν

τῷ, Ἀμφικτύων βασιλεὺς Ἀθηναίων. 1816, 4.

Διονύσου πόλις ἐν Λιβύᾳ, μεθισταμένη ὧδε κἀκεῖσε διὰ τὸ μὴ ἐῤῥιζῶσθαι. 1644, 59.

Διονύσου φυτὸν ὁ κισσὸς εἶναι λέγεται διὰ τὸ κισσητὸν εἶναι τὸν οἶνον. 87, 24.

Διόπεμπτοι ὄνειροι οἱ ἐκ Διὸς πεμπόμενοι. 48, 29.

Διοπομπεῖν τὸ τῇ τοῦ ἀλεξικάκου Διὸς ἐπικλήσει ἀποπέμπειν τὰ φαῦλα, ὃ καὶ ἀποδιοπομπεῖν λέγεται, παρὰ τὸ δῖον, ὃ δηλοῖ κώδιον ἱερείου τυθέντος τῷ Διὶ, καὶ τὸ πομπὸν, ὅπερ ἦν κηρύκιον Ἑρμοῦ. 1935, 8. 12.

δίοπος οἰκονόμος παρ' Αἰσχύλῳ (Pers. 44.), παρὰ τὸ διέπειν, ὅ ἐστιν ἐνεργεῖν καὶ οἰκονομεῖν· καὶ δίοπος ὁ ἄρχων καὶ κυβερνήτης, παρὰ τὸ διοπτεύειν, ὃ δηλοῖ τὸ κατασκοπεῖν. 99, 1. 203, 12. 1705, 53.

διοπτεύειν τὸ κατασκοπεῖν. 817, 52.

διοπτὴρ, κατάσκοπος, ὁ καὶ ὀπτὴρ ἀσυνθέτως. 817, 53.

διόπτης Ζεὺς ἐπιθετικῶς, ὅτι παρὰ τὸ διοπτεύειν, ὅ ἐστι κατασκοπεῖν, λέγεται. 817, 53.

Διὸς γενικὴ ὅτι προτάσσεται ἐν συνθέσει, οἷον ἐν τῷ διοτρεφὴς καὶ ἄλλοις. 76, 4.

Διὸς, Διὶ, Δία, πλάγιαι ἀπὸ τῆς Δὶς σεσιγημένης εὐθείας κινούμεναι, καὶ ὅτι προϋπόκεινται ταῖς πλαγίαις ταύταις εὐθεῖαι διάφοροι, ἡ Ζεὺς καὶ Ζὰν καὶ Δὰν καὶ Δίς. 113, 45. 1387, 26.

Διὸς αὐγαὶ αἱ τοῦ ἡλίου ἐν τῷ, ἷκετ' αἰθέρα καὶ Διὸς αὐγὰς, παρ' Ὁμήρῳ Ἰλ. ν', 837. 962, 63.

Διὸς βάλανος τὸ Ποντικὸν κάρυον, τὸ καὶ Ἡρακλεωτικόν. 948, 49.

Διὸς βουλὴ παρ' Ὁμήρῳ ἡ τοῦ Διὸς γνώμη, ἤγουν ἡ τῆς πεπρωμένης ἀπόφασις· καὶ ὅτι Διὸς βουλὴν τελεῖσθαι τὸ πληροῦσθαι τὸ πεπρωμένον δηλοῖ. 20, 10. 1686, 16. 1737, 40.

Διὸς ἐγκέφαλος, βρῶμα ποιὸν οὕτω καλούμενον, ὅμοιον τῷ διὰ θρίων καὶ ἐγκεφάλων σκευαζομένῳ παρ' Ἀθηναίοις. 757, 52.

Διὸς ἐπωνυμιῶν κοινωνικῶν ἔκθεσις, οἷον φίλιος, ξένιος, ἑταιρεῖος. 458, 22.

Διὸς θεράποντες λέγονται οἱ βασιλεῖς, οἳ καὶ διογενεῖς καὶ διοτρεφεῖς 1681, 32.

Διος κατάνευσις παρ' Ὁμήρῳ, προσημασία τις τοῦ μέλλοντος δι' οὐρανίων τινῶν σημείων, ἀλλαχοῦ δὲ ὅτι Διὸς νεῦσις ἡ ἐκ διοσημείας δήλωσις τοῦ μέλλοντος. 144, 21. 711, 6.

Διὸς κοῦροι ἐν παραθέσει πάντες οἱ τοῦ Διὸς ἔκγονοι· Διόσκουροι δὲ ἐν συνθέσει ἀφωρισμένως οἱ ἐκ Λήδας γεγονότες τῷ Διΐ. 1323, 57.

Διὸς Ὀλυμπίου ἄγαλμα, ὅτι πρὸς παράδειγμα Ὁμηρικῶν τινῶν ἐπῶν ἐδημιούργησεν αὐτὸ ὁ Φειδίας, καὶ ὅτι ἐλεφάντινον ἦν καὶ μέγιστον. 145, 16.

Διὸς ὀφρῦς τὰ περὶ τὸν ἀέρα καταιγιδώδη παθήματα. 1102, 24.

Διὸς παῖδες, ὅτι οἱ εὐγενεῖς καὶ βασιλικοὶ ἄνθρωποι Διὸς παῖδες εἶναι λέγονται. 18, 30.

Διὸς πόλις, ἡ καὶ Διόσπολις, ὅτι βασίλειον ἦν ποτὲ Αἰγύπτου, καὶ ὅτι ἡ αὐτή ἐστι ταῖς Θήβαις. 758, 16.

Διὸς ὗς, ὅτι τῷ Διὶ εὐθὺς γεννηθέντι ὗς θηλὴν παρασχεῖν μυθεύεται, καὶ τῷ γρυσμῷ αὐτῆς τὸν τοῦ παιδίου κνυζηθμὸν ἀνεπαΐστον τῷ Κρόνῳ ποιῆσαι. 773, 12.

Διὸς χιτὼν, Ἰλιάδ. ε', 736. ὅτι ὡς ὅπλον εἶτουν πολεμικὸν ἔνδυμα εἶναι ὑπόκειται. 600, 3.

δῖος καὶ δῖα ὅτι παρὰ τὴν Διὸς γενικὴν λέγονται, καὶ ὅτι γενικῇ πληθυντικῇ ὑπερθετικῶς συντάσσονται· καὶ λόγος τῆς συντάξεως, καὶ διὰ τί οὐ κινεῖται εἰς σύγκρισιν ἢ ὑπέρθεσιν. 258, 41. 436, 14. 1384, 41.

δῖος λέγεται παρ' Ὁμήρῳ πᾶς ὁ Διόθεν ἔχων τι, κυρίως δὲ δῖοι οἱ τοῦ Διὸς υἱοὶ λέγονται. 1006, 32. 1036, 2.

δῖος ἐπίθετον ὅτι ἐκ τοῦ δίιος συνῄρηται, καὶ ὅτι διαφόροις προςώποις ἐπιτίθεται διὰ διαφόρους ἀρετάς. 21, 24.

διοσημία, σημεῖον ἐκ Διός. 235, 40.

διοσημία, σημεῖον ἐκ Διὸς, ὅτι ἐκ τοῦ παρ' Ὁμήρῳ, Διὸς τέρας, ἀφορμὴν ἔσχεν ἡ λέξις. 900, 30.

Διόσκουροι ὅτι καὶ Διόσκοροι δίχα τοῦ υ λέγονται, καὶ πῶς παρ' ἡμέραν ζῆν λέγονται οἱ Διόσκουροι κατὰ διαφόρους ἑρμηνείας, καὶ ἀλληγορία διεξοδικὴ τοῦ μύθου· καὶ ὅτι ἐξ ᾠοῦ γενέσθαι ἐμυθεύθησαν· καὶ ὅτι ἐξαιρέτως ὁ Κάστωρ καὶ ὁ Πολυδεύκης Διόσκουροι λέγονται· ζήτει ἐν τῷ, Διὸς κοῦροι ἐν παραθέσει· καὶ ὅτι καὶ οἱ Ξενοφῶντος τοῦ Σωκρατικοῦ παῖδες Διόσκουροι ἐπεκλήθησαν. 1323, 57. 1686, 26—31.

Διόσκουροι αἱ παρωτίδες ὁμωνύμως, καὶ Διόσκουροι ἀλληγορικῶς τὰ δύο ἡμισφαίρια καὶ οἱ τροπικοὶ κύκλοι. 410, 17.

διοτρεφεῖς καὶ διογενεῖς οἱ βασιλεῖς λέγονται, οὐχ' ὡς ἐκ Διὸς γεγονότες πάντες, ἀλλὰ διὰ τὸ Διόθεν ἔχειν τὴν βασιλείαν. 199, 20.

διοτρεφέων αἰζηῶν, ἀντὶ τοῦ, βασιλικῶν ἀνδρῶν. 316, 34.

διοτρεφὴς, χρόνος ἀρκτικός· ζήτει ἐν τῷ διόγενής. 76, 2.

διόχης ὁ δίφρος, παρὰ τὸ δύο ὀχεῖν, ὡς καὶ δίφρος παρὰ τὸ δύο φέρειν. 882, 11.

δίπαλτος φονεὺς ὅτι παρὰ τὸ παλτὸν, ὅ ἐστιν εἶδος ὅπλου, λέγεται. 674, 13.

διπλᾶ σύμφωνα ἀρκτικὰ λέξεων, ἐν λόγῳ ἐμμέτρῳ μὴ ἐκτείνοντα ἐνίοτε το πρὸ αὐτῶν βραχὺ φωνῆεν. 353, 31.

διπλᾶ σύμφωνα ὅτι οὐδέποτε ἐπάγονται ταῖς διφθόγγοις. 1041, 62.

δίπλαξ χλαῖνα ἡ διπλῆ, καὶ ὅτι οὐ μόνον καθ' ὑφασμάτων λέγεται τὸ δίπλαξ, ἀλλ' ἐνδέχεται καὶ καθ' ἑτέρων λέγεσθαι. 393, 2. 1154, 30. 1297, 62.

διπλασιασμὸς συμφώνων τῶν αὐτῶν ὅτι οὐδέποτε γίνεται ἐν καταλήξει λέξεως Ἑλληνικῆς. 76, 32.

διπλασιασμὸς συμφώνων, ὅτι τὰ δασέα οὐχ' εὑρίσκονται δεδιπλασιασμένα ἐν Ἑλληνικῇ λέξει. 900, 12. 16.

διπλασιασμὸς συμφώνων ὅτι βραχύτητα κατηγορεῖ τοῦ πρὸ αὐτῶν φωνήεντος, οἷον ἐν τῷ ἄμμες Αἰολικῶς. 110, 38.

διπλασιασμὸς συμφώνων, ὅτι τὰ σύμφωνα διπλάζονται Αἰολικῶς, ἤδη δὲ καὶ κατὰ τὰς λοιπὰς γλώσσας δίχα τῶν δασέων, ὧν θάτερον εἰς τὸ ἀντίστοιχον ψιλὸν μεταπίπτει, οἷον ἐν τῷ Βάκχος ἀντὶ τοῦ Βάχχος, καὶ κατθανεῖν ἀντὶ τοῦ καθθανεῖν. 1577, 46.

διπλασιασμὸς συμφώνων ὅτι τῶν Αἰολέων ἐστίν. 20, 4. 494, 3.

διπλάσιον λέγεταί τι κατὰ ἀριθμὸν, διπλοῦν δὲ κατὰ μέγεθος· ζήτει ἐν τῷ διπλοῦν. 1863, 35.

διπλόη ἡ διπλῆ χλαῖνα, ὅτι ἐξ ἐπιθέτου εἰς προσηγορικὸν μετελήφθη, ἀλλαχοῦ δὲ ὅτι ἐν τῷ διπλόη ὑπακούεται ἡ χλαῖνα. 427, 24. 934, 36. 979, 19.

διπλοῦν, ὅτι ἱμάτιον πτυσσόμενον διπλοῦν γίνεται, καὶ λέγεται τὸ διπλοῦν μὲν κατὰ μέγεθος, τὸ δὲ διπλάσιον κατὰ ἀριθμόν. 1863, 35.

διπλοῦν σύμφωνον ληκτικὸν ὀνομάτων ἀπαθῶν ὅτι οὐδέποτε μετὰ διφθόγγου συλλαβίζεται. 321, 44.

διπλοῦν πρὸ ἀμεταβόλου ὅτι οὐχ' εὕρηται ἐν συλλήψει συλλαβιζόμενον. 153, 32.

διπλῷ συμφώνῳ λήγοντα ὀνόματα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. 345, 16.

διπλῶν συμφώνων παράθεσις, οἷον τοῦ ξ ἐν τῷ, καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι, Ὀδυσσ. φ', 349. 1912, 15.

διποδία, Λακωνική τις ὄρχησις εὐγενής. 772, 6.

δίπτυχοι γοναὶ ἀντὶ τοῦ δίδυμοι, ἐκ τῶν κατὰ τὴν μήτραν πτυχῶν. 250, 24.

δίπτυχον ὅτι παρὰ τὸ πτύσσω λέγεται, καὶ ὅτι δίπτυχα ποιεῖν λέγεται τὸ τὰ κνίση διπλᾶ θέσθαι ἐν ἄνω τῶν μηρῶν καὶ ἐν κάτω, ἀλλαχοῦ δὲ ὅτι δίπτυχα ποιεῖν τὸ δίπλωμα ποιεῖν τῇ πρὸς ἀλλήλους ἐπιθέσει τῶν μηρίων. 134, 25. 135, 32. 1477, 1.

δίρκοι τὰ ἐξανθήματα τῶν πιτύων, ἃ καὶ φθεῖρες λέγονται. 368, 9.

δὶς ἐπίρρημα ὅτι διὰ τοῦ ἰῶτα γράφεται. 413, 11.

δὶς καὶ τρὶς ὅτι ἐν τῇ συνθέσει ἀποβάλλουσι τὸ σ, οἷον ἐν τῷ δίπους, τρίπους, πλὴν ἐπὶ τῶν ἀριθμητικῶν, δισχίλιοι γὰρ καὶ τρισχίλιοι μετὰ τοῦ σ λέγονται. 1706, 1.

δὶς παῖδες, οἱ γέροντες, ὅτι τινὲς ἐν συνθέσει δίσπαιδες προφέρουσι. 1706, 3.

δισθανὴς ὁ δὶς τεθνηκὼς ἐν τῷ, δισθανέες ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωποι, Ὀδυσσ. μ', 22. ὅπου δὶς θανέες ἐν παραθέσει ἀναγινώσκουσί τινες, καὶ ζήτει τὴν ἀφορμὴν ἐν τῷ δὶς καὶ τρίς. 1705, 64.

δισκέειν παρ' Ὁμήρῳ τὸ κοινῶς δισκεύειν. 1591, 26.

δισκεύειν, ὅτι προϋπόκειται αὐτοῦ τὸ δισκέειν, οὗ χρῆσις παρ' Ὁμήρῳ. 1591, 26.

δίσκος ὅτι ἐκ σιδήρου ἐγίνετο ἢ ἐκ ξύλου ἢ χαλκοῦ, ἐκ λίθου δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἱμάντι περὶ τὸ μέσον ἐνειρμένῳ στρεφόμενος καὶ ἀφιέμενος· καὶ ὅτι παρὰ τὸ δίκω, ὃ δηλοῖ τὸ βάλλω, λέγεται· καὶ ὅτι δίσκον τις εἶπε τὸν τοῦ ἡλίου κύκλον, ἀφ' οὗ καὶ ἀποδισκεύεσθαι ἀκτῖνες λέγονται. 344, 2. 1332, 11. 1591, 23—31.

δίφθογγοι ὅτι οὐκ ἄλλως βραχύνονται ἢ περιαιρέσει τοῦ ὑποτακτικοῦ φωνήεντος. 1770, 27.

δίφθογγος ὅτι οὐδέποτε πρὸ τῶν δύο σσ εὑρίσκεται, πλὴν ἐν τῷ λεύσσω καὶ κρείσσων καὶ τῷ κρείσσω ῥήματι. 64, 13.

Δίφιλος κύριον ὅτι ἐκ τοῦ Διὶ φίλος κέκραται. 21, 12. 76, 5.

δίφρα οἱ δίφροι κατὰ γένους μεταπλασμόν. 108, 21.

δίφρος ὁ τοῦ ἅρματος κορυφαῖος τόπος, ἐφ' οὗ ἵσταντο ὅ τε παραιβάτης καὶ ὁ ἡνίοχος, ἀπὸ μέρους δὲ καὶ τὸ ὅλον ἅρμα· καὶ ὅτι ἐκ πλεγμάτων τινῶν συνίστατο πρὸς τὸ ἐλαφρότερον, καὶ ὅτι παρὰ τὸ δύο φέρειν λέγεται τροπῇ τοῦ υ εἰς ι. 412, 42. 426, 1. 806, 17. 807, 11. 882, 12. 1115, 5. 1276, 23. 1304, 39. 1913, 33.

δίφρος, εἶδος θρόνου εὐτελοῦς ὁμωνύμως τῷ τοῦ ἅρματος δίφρῳ, καὶ ὅτι εὐτελέστερόν τι θρόνου καὶ κλισμοῦ δοκεῖ σημαίνειν ὁ δίφρος. 647, 5. 1482, 6. 1515, 47.

δίχα ἐπίρρημα ἀντὶ τοῦ χωρὶς, ὅτι ἐκ τοῦ δὶς γέγονεν ἢ ἐκ τῆς διὰ προθέσεως, ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ διχῇ συστολῇ τῆς ληγούσης καὶ ἀναβιβασμῷ τοῦ τόνου. 80, 1. 1385, 55.

δίχα ἀντὶ τοῦ χωρὶς, καὶ ὅτι διὰ τὸ δεδιχάσθαι ἀλλήλων λέγονται τὰ χωρὶς τεταγμένα. 1582, 11.

διχθὰ ἐπίρρημα ὅτι ἐκ τοῦ δίχα γέγονε πλεονασμῷ τοῦ θ. 1385, 28. 55.

δίχουν ποτήριον τὸ δύο χοᾶς χωροῦν. 746, 63. 1401, 2.

δίχρονα λέγονται διὰ τὸ δυσὶν ὑποκεῖσθαι χρόνοις. 1108, 50.

δίχρονα ὅτι ἐκτείνονταί ποτε καὶ διὰ βραχέων ἐπαλληλίαν, καὶ περί τινων διχρόνων ποτὲ μὲν ἐκτεινομένων, ποτὲ δὲ συστελλομένων ἐν τῇ αὐτῇ λέξει παρ' Ὁμήρῳ. 556, 41.

δίψα, οἱονεὶ ἴψα, παρὰ τὸ ἴπτω, ὅ ἐστι βλάπτω, πλεονασμῷ τοῦ δ. 133, 38.

διψᾶν μεταφορικῶς ἀντὶ τοῦ ἰσχυρῶς ἐπιθυμεῖν. 1701, 29.

δίω ἀντὶ τοῦ διώκομαι παθητικῶς ἐν τῷ, τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, ὃ περὶ ἑαυτοῦ λέγει ὁ Ἕκτωρ Ἰλιάδ. χ', 251. 1268, 20. 23.

δίω τὸ φοβοῦμαι, καὶ δίω τὸ διώκω, τὸ δι ἰῶτα. 672, 36. 676, 26. 761, 37.

διώβολον οἱ δύο ὀβολοί. 136, 4.

διώκειν τὸ ἐπιτρέχειν τῷ φεύγοντι, καὶ διώκειν ναῦν, ἤγουν ἐλαύνειν, λέγονται οἱ σπουδαίως ἐρέσσοντες, καὶ διώκειν ἵππον ὁμοίως ἀντὶ τοῦ σπουδαίως ἐλαύνειν· καὶ διώκειν ἀντὶ τοῦ κατὰ τάχος φέρειν ἐν τῷ, ἄλλοτε δ' αὖτ' Εὗρος Ζεφύρῳ εἴξασκε διώκειν, Ὀδυσσ. ε', 332. καὶ ὅτι ἐκ τοῦ δίω καὶ τοῦ ὦκα λέγεται. 722, 21. 25. 761, 38. 1038, 17. 1097, 51. 1268, 22. 1539, 5. 1710, 54.

διώκεσθαι λέγεται ναῦς ἀντὶ τοῦ σφοδρῶς καὶ σπουδαίως ἐλαύνεσθαι. 1737, 52.

διώκεσθαι ἀντὶ τοῦ διώκειν ἐν τῷ, ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο, Ὀδ. σ', 8. 1834, 43.

δίωμαι ἀντὶ τοῦ διώξω ἐν τῷ, μάχης ἐξαποδίωμαι, Ἰλ. ε', 763. 605, 40.

διωμοσία ὁ ἀμφοτέρων τῶν ἀντιδίκων ὅρκος, ὃ καὶ ἀντωμοσία ἐλέγετο· καὶ ζήτει ἐν τῷ ἀντωμοσία. 1660, 49.

Διώνη κύριον ὅτι παρὰ τὴν Διὸς γενικὴν λέγεται τύπῳ πατρωνυμικῷ. 558, 14.

διώνυμα τὰ δυσὶν ὀνόμασι καλούμενα· καὶ διωνύμων τινῶν παρ' Ὁμήρῳ κατάλογος· καὶ ὅτι τὸ μὲν τῶν ὀνομάτων τῆς τῶν ἀνθρώπων, τὸ δὲ τῆς τῶν θεῶν ἐστὶ διαλέκτου. 124, 24. 351, 13.

Διώνυσος, τὸ ō μέγα ἐνίοτε πρὸς μέτρου χρείαν. 629, 37.

Διώρης, υἱὸς Ἀμαρυγκέως τοῦ Ἀλέκτορος τοῦ Ἐπειοῦ, γενεαλογία· καὶ ὅτι παρὰ τὴν διὰ πρόθεσιν λέγεται, καὶ ὅτι ἐκτείνει τὴν ἄρχουσαν πρὸς μέτρον χρείαν. 303, 12. 25. 504, 32.

δμωαὶ καὶ ἀμφίπολοι αἱ θήλειαι δουλίδες, καὶ ὅτι καὶ δμωίδες λέγονται, καὶ ὅτι ἐν τῷ, δμωαὶ γυναῖκες, ἐκ περιουσίας πρόσκειται τὸ γυναῖκες. 644, 57. 60. 765, 16.

δμῶες οἱ ἄῤῥενες δοῦλοι, ἀμφίπολοι δὲ αἱ θήλειαι· καὶ ὅτι δμῶες καὶ δμωίδες παρὰ τὸ δεδμῆσθαι δίκην κτηνῶν ὑποζυγίων λέγονται. 1336, 9. 1624, 23.

δνοπαλίζειν τὸ ταῖς παλάμαις τι δονεῖν ἢ δινεῖν, καὶ δνοπαλίζειν τὸ κεντεῖν καὶ ταράσσειν καὶ τινάσσειν, ποτὲ δὲ τὸ κτείνειν καὶ πολεμεῖν. 437, 13. 500, 9. 1770, 57.

δνος ληγοντα ἐπίθετα ὀξύτονα ἐκ τῶν διὰ τοῦ δανος κατὰ συγκοπὴν γενόμενα, οἷον μακεδνὸς ἐκ τοῦ μακεδανός. 1571, 48.

δνος ληγόντων ὀξυτόνων ἀπὸ ῥημάτων εἰς ζω ληγόντων ἀναλογία, οἷον ἀλαπάζω ἀλαπαδνὸς, παίζω παιδνὸς, ὀλοφύζω ὀλοφυδνός. 318, 2. 475, 23. 594, 24.

δνοφερὸν ὕδωρ τὸ μέλαν ἢ τὸ μετὰ δονήσεως καὶ ἦχου φερόμενον, καὶ ὅτι ῥύτω καλεῖ Ὅμηρος τὰ κατὰ πετρῶν φερόμενα ὕδατα ὡς ἀχρεῖα, ἀλλαχοῦ δὲ ὅτι διαφορὰ μελανίας ὕδατος ἐστὶ τὸ δνοφερόν. 116, 15. 733, 38. 1041, 38. 1042, 1.

δνοφερὸς ὁ σκοτεινὸς καὶ νέφει δονουμένῳ ἐοικώς. 897, 12.

δνόφος, ὁ καὶ γνόφος, ὅτι παρὰ τὸ νέφος λέγεται· ζήτει ἐν τῷ γνόφος. 1722, 48.

δοάσασθαι, οἱονεὶ δοκάσασθαι ἀποβολῇ τοῦ κ̄, ἢ δοάσασθαι τὸ μετὰ δοιὴν, ὅ ἐστιν ἀμφιβολίαν καὶ ἐνδοιασμὸν, κρῖναί τι καὶ τυπῶσαι, οἱονεὶ δοιάσασθαι καὶ ἀποβολῇ τοῦ ῑ δοάσασθαι. 942, 1. 5.

δοάσατο, τρίτον πρόσωπον ῥηματικὸν ἀντὶ τοῦ ἔδοξεν, ὅτι ἐκ τοῦ δοκάσατο γέγονεν ἐκβολῇ τοῦ κ̄. 1165, 20.

δόατο, ἤγουν ἐδόκει ἐν τῷ, πρόσθεν μὲν γάρ δή μοι ἀεικέλιος δόατ' εἶναι, Ὀδυσσ. ζ', 242. 1561, 53.

δόγμα ὅτι κατὰ τροπὴν Ἀττικὴν τοῦ κ̄ εἰς γ̄ γέγονεν ἐκ τοῦ δοκῶ. 885, 10.

δοίδυκος δοίδυκι δοίδυκα, ὅτι μακρὸν ἔχουσι τὸ παραληκτικὸν δίχρονον. 1108, 49.

δοῖεν τρίτον πρόσωπον ὅτι ἐκ τοῦ δοῖμεν συστοίχου πρώτου γίνεται. 1448, 40.

δοῖεν τρίτον πρόσωπον εὐκτικὸν, οὗ τὸ πρῶτον δοίημεν, ἐξ οὗ συγκοπῇ καὶ ἀπελεύσει τοῦ μ̄ τὸ δοῖεν· ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ δοῖμεν δισυλλάβου. 27, 29. 176, 12. 666, 36.

δοίην, τρίτον πρόσωπον εὐκτικὸν, ὅτι ἐκ τοῦ δοῖμι μεταπέπλασται. 666, 36.

δόκανα, Διοσκούρων ἀφιδρύματα, ὅτι παρὰ τὴν δοκὸν λέγεται. 1125, 59.

δοκεύειν τὸ ἐπιτηρεῖν. 1303, 11.

δοκη καὶ δοκος ληγόντων ὀνομάτων παραγωγὴ παρὰ τὸ δέκω Ἰωνικὸν, καὶ ὅτι καὶ Ἀττικοῖς χρησιμεύουσιν αἱ τοιαῦται λέξεις. 1399, 36.

δοκος λήγοντα ὀνόματα, παρὰ τὸ δέχεσθαι συγκείμενα, ἐνέργειαν σημαίνοντα παροξύνονται, οἷον ἰοδόκος, ξεινοδόκος, ἐκ παραδείγματος. 1024, 61.

δοκὸς, ὁ τῆς στέγης, ὅτι παρὰ τὸ δέκεσθαι, ὅ ἐστι δέχεσθαι, τὰ ἐπικείμενα λέγεται. 1125, 58.

δόκος ἡ δόκησις καὶ ἡ ἀγχόνη, δοκὸς δὲ ὁ τῆς στέγης. 1967, 25.

δοκὸς ἡ δόκησις, ὅ ἐστιν ὑπόληψις, παρὰ Καλλιμάχῳ. 1627, 43. 1761, 34.

Δολίονες, ἔθνος τι περὶ Κύζικον. 766, 36.

Δόλιος καὶ Δόλοψ κύρια ὅτι οὐκ ἐπὶ ψόγῳ ἐτέθησαν. 480, 45.

δολίχαυλον δόρυ τὸ μακροσίδηρον, αὐλὸς γὰρ ἡ ὀπὴ τῆς αἰχμῆς, ἢ τὸ ξύλον ἐνίεται· ἀλλαχοῦ δὲ ὅτι δολίχαυλος αἰγανέα ἡ μακρόξυλος. 254, 37. 1107, 60. 1620, 36.

δολιχεγχὴς ἐπίθετον, καὶ δολιχεγχέας παροξυτόνως ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν. 1228, 29.

Δολίχη, νῆσός τις πρὸς τῇ Λυκίᾳ, ἣν καὶ Δολιχίστην ἔλεγον· ἀλλαχοῦ δὲ ὅτι Δολίχη βαρυτόνως ὄνομα πόλεως, δολιχὴ δὲ ὀξυτόνως ἐπίθετον. 306, 3. 906, 51. 1678, 40.

δολιχήρετμοι οἱ δολιχοῖς, ὅ ἐστι μακροῖς, χρώμενοι ἐρετμοῖς ἤγουν κώπαις, ἢ εἰς μακρὸν ἐξαρκοῦντες τῇ εἰρεσίᾳ· καὶ ὅτι ἐκ τοῦ ἀρκτικοῦ ε̄ τοῦ ἐρέσσειν καὶ τοῦ ἐρετμὸς ἔχει τὸ προπαραλῆγον η̄, καὶ ὅτι καὶ κατὰ νεῶν λέγεται ἡ λέξις. 1591, 36. 40.

Δολιχίστη, νῆσός τις πρὸς τῇ Λυκίᾳ, ἡ καὶ Δολίχη καλουμένη. 306, 3.

δολιχόδειροι κύκνοι οἱ μακροτράχηλοι πρὸς τὴν ἀναλογίαν τοῦ λοιποῦ σώματος. 254, 31.

δολιχὸν τὸ μακρὸν, παρὰ τὸ διόλου ἱκνεῖσθαι τροπῇ τοῦ κ εἰς χ. 254, 34.

δολιχόουρον, το καὶ ὑπέρμηκες, πάθος στιχηρὸν, οἷον· Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα, Ἰλ. γ', 237. 410, 29.

δολιχὸς ὁ μακρὸς ἐπίθετον, καὶ δρόμος τις ἐναγώνιος· δόλιχος δὲ προπαροξυτόνως, ὄσπριόν τι οὕτω καλούμενον. 254, 34. 1556, 1. 1678, 41.

δολιχόσκιον ἔγχος τὸ δολιχὴν σκιὰν ἀποτελοῦν, ἢ τὸ εἰς δολιχὸν κιὸν, ὅ ἐστι πορευόμενον, πλεονάσαντος τοῦ σ̄. 422, 26. 623, 38.

Δόλοπες, ἔθνος Θετταλικὸν ἐν

ἐσχατιᾷ τῆς Φθίας, καὶ ὅτι τοῖς ὑπὸ τῷ Ἀχιλλεῖ συγκαταλέγει τοὺς Δόλοπας Ὅμηρος. 321, 17. 766, 30.

δόλος ὅτι παρὰ τὸ δέλω λέγεται, ἀφ' οὗ καὶ τὸ δέλεαρ· καὶ ὅτι δόλος κακὸς λέγεται πρὸς διαστολὴν τοῦ εἰς ἀγαθὸν γινομένου. 480, 38. 1720, 64.

Δόλοψ κύριον ὁμωνύμως τῷ ἐθνικῷ. 845, 37.

Δόλων, ὄνομα κύριον, Ἰλ. κ', 314. 808, 10.

δόμεν, ἤγουν δοῦναι, ἀντὶ τοῦ δὸς προστακτικοῦ. 775, 13.

δομέω δομῶ, τὸ δο μικρόν. 672, 42. 820, 31.

δομηθῆναι, ἀνακτισθῆναι, ἀναζωωθῆναι. 43, 8.

δόμον ἐσθίειν λέγονταί τινες Ὀδ. φ', 69. ἀντὶ τοῦ, τὰ ἐν τῷ δόμῳ, ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον. 1901, 41.

δόμος παρὰ τὸ δέμω, ὃ παρὰ τὸ δέμα, ὃ δηλοῖ τὸν δεσμὸν, δοκεῖ λέγεσθαι. 1047, 58.

δον λήγοντα ἐπιῤῥήματα ὀξύτονα ὅτι καὶ διὰ τοῦ δα προφέρονται, οἷον ἀμφαδὸν ἀμφαδά, αὐτοσχεδὸν αὐτοσχεδά. 1062, 31.

δόνακες οἱ θαλάσσιοι σωλῆνες ὁμωνύμως τῷ φυτῷ διὰ τὴν κατὰ τὸ στενὸν καὶ ἐπίμηκες ὁμοιότητα. 1485, 50.

δονακεύς ποταμὸς κατὰ περιεκτικὴν ἔννοιαν λέγεται ὁ ἔχων δόνακας. 1165, 23.

δόναξ, λεπτὸς καλαμίσκος, παρὰ τὸ ῥᾷον δονεῖσθαι, ἐτυμολογία καὶ ἱστορία· καὶ ὅτι ὁ δόναξ διαφέρει καλάμου τῇ λεπτότητι μόνον. 818, 49. 1165, 24.

δόναξ ὁ τοῦ οἰστοῦ ἄτρακτος ἐνίοτε, ἐπεὶ καὶ ἐκ καλαμίσκων τινῶν στερεωτάτων ἐγίνοντο οἰστοί. 864, 12.

δόξα, ψυχικὴ ἔννοια εἴτουν δόκησις, καὶ δόξα τὸ κλέος. 809, 10.

δόξω ὅτι ἐκ τοῦ δοκήσω γέγονε συγκοπῇ καὶ τροπῇ τοῦ κσ εἰς ξ. 1695, 25.

δόρατα, ὅτι οἷς ἐκ χειρὸς χρώμεθα ὀρεκτὰ καὶ ἀγχέμαχα καλεῖ Ὅμηρος· καὶ ὅτι διττῶς ἔστι χρῆσθαι δόρατι, καὶ δοράτων εἰδικαί τινες προσηγορίαι. 282, 17.

δορὶς ἡ μαγειρικὴ τράπεζα κατὰ γλῶσσαν. 243, 6.

δορκὰς ὅτι παρὰ τὸ δέρκειν, ὅ ἐστι βλέπειν, λέγεται διὰ τὸ ὀξυδερκὲς εἶναι τὸ ζῶον. 1259, 60.

δοροῖς, ἤγουν κωρύκοις ἢ θυλάκοις ἐν τῷ, δοροῖς ἐν δερματίνοισιν, Ὀδ. β', 354. 1450, 12.

δόρπα οὐδετέρως κατὰ γένους μεταπλασμόν. 726, 26.

δορπηστὸν, τὸ καὶ ἄριστον· ζήτει ἐν τῷ δεῖπνον. 1791, 41.

δόρπος τὸ δεῖπνον, καὶ ὅτι καὶ δόρπον οὐδετέρως λέγεται κατὰ γένους μεταπλασμὸν, ζήτει ἐν τῷ δεῖπνον· καὶ ὅτι δόρπος λέγεται ὡς τότε πανομένου τοῦ δόρατος. 736, 16. 968, 46. 1180, 15. 1358, 3.

δόρπος τὸ ὀψὲ μετὰ δείλην ἔμβρωμα, οὐ μὴν τὸ νυκτερινὸν, ὡς ἐκ τινῶν Ὁμηρικῶν ῥητῶν συνάγεται, ἅπερ αὐτὸς παρεισάγει· καὶ ὅτι οὐδεὶς ἀμφιβάλλει μὲν οὐκ ἀπονενεμῆσθαι τῇ ἑσπέρᾳ τὸν δόρπον. 1432, 4. 7. 1503, 55. 1518, 5.

δόρυ καὶ ἔγχος ὅτι ὡς μέρος καὶ ὅλον λέγονται, καὶ ὅτι ἀπὸ τοῦ μέρους τὸ συναμφότερον δόρυ λέγεται. 423, 3. 644, 41. 672, 13.

δόρυ ἀντὶ τοῦ ξύλον ἢ ξυλῶδες φυτὸν ἐν τῷ, ἐπεὶ οὔπω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης, Ὀδυσσ. ζ', 167. 1558, 12.

δόρυ τὸ ἁπλῶς ξύλον, καὶ δόρυ τὸ δένδρον, τὸ μὲν διὰ τὸ ἤδη ἀποδαρῆναι, τὸ δὲ διὰ τὸ μέλλειν τοῦτο παθεῖν, καὶ δόρυ τὸ πολεμικὸν διὰ τὸ αὐτὸ τοῦτο· καὶ ὅτι δόρυ ποτὲ μὲν ὅλον δένδρον, ποτὲ δὲ τμῆμα δένδρου σημαίνει. 243, 2. 375, 12. 726, 14. 863, 1. 1125, 60. 1210, 38.

δόρυ, ξυστὸν, μελίη, ἐγχείη, ἔγχος, ὅτι συνωνύμως ἐπὶ τοῦ αὐτοῦ λέγονται παρ' Ὁμήρῳ. 1641, 1.

δόρυ ἄλκιμον, ἐπιθετικῶς τὸ ἀλκιμοποιὸν καὶ πολεμικὸν, πρὸς διαστολὴν τῶν ἁπλῶς δοράτων ἤγουν ξύλων. 829, 32.

δόρυ κοῖλον τὸν δούρειον ἵππον φησὶν Ὅμηρος, καλοῖτο δ' ἂν κοῖλον δόρυ καὶ πλοῖον καὶ σκάφη. 1606, 58.

δόρυ καὶ κηρύκειον, παροιμία ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων, ἑρμηνεία διεξοδικὴ ἐξ ἱστορίας. 408, 4.

δορυάλωτος ὁ αἰχμάλωτος. 680, 16.

δορύξενος ὁ ἐκ πολέμου φιλωθείς τινι, καὶ ξένος αὐτῷ γεγονώς. 405, 39. 43. 485, 22.

δορύσσειν ὅτι παρὰ τὸ δόρυ λέγεται, ὡς παρὰ τὸ αἰχμὴ αἰχμάζειν. 1292, 19.

δορυσσόος, τὸ σο μικρὸν ὡς ἀπὸ τοῦ σέω, ὅ ἐστιν ὁρμῶ. 62, 45.

δόσκον, ἀντὶ τοῦ ἐδίδουν, τρίτον πρόσωπον παρατατικοῦ. 754, 39. 992, 43.

δόσκον, τρίτον πρόσωπον παρατατικοῦ χρόνου. 754, 39.

δοτὴρ ὅτι καὶ δωτὴρ διὰ τοῦ ω μεγάλου γράφεται παρὰ τοῖς ποιηταῖς, δῶτορ δὲ ἀεὶ τῷ μεγάλῳ. 1599, 25. 1739, 45.

δοτικαὶ δισύλλαβοι εἰς ι λήγουσαι ὅτι ὀξύνονται, εἰ μὴ ἀπὸ κράσεως ἔπαθον τὴν δισυλλαβίαν, ὡς τὸ κέαρι κῆρι, ἔαρι ἦρι. 1146, 51.

δοτικαὶ εἰς ι λήγουσαι πεμπτόκλιτοι, ἀπὸ ληγουσῶν εἰς η δευτεροκλίτων μεταπεπλασμέναι, οἷον ἀλκὶ ἐκ τοῦ ἀλκῇ, καὶ ὑσμῖνι ἐκ τοῦ ὑσμίνῃ. 58, 34. 365, 12. 549, 12.

δοτικαὶ πληθυντικαὶ περιττοσύλλαβοι ἐπένθεσιν παθοῦσαι, οἷον κυσὶ κύνεσσι. 533, 20.

δοτικαὶ δύο οὐσιώδεις ἀσυνδέτως ἀλλήλων ἐχόμεναι, ὧν ἡ μὲν τὸ ὅλον, ἡ δὲ τὸ μέρος σημαίνει, οἷον ἐν τῷ, ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ, Ἰλ. α', 24. 93, 24.

δοτικαὶ ἐπέκτασιν παθοῦσαι ὅτι οὐδέποτε προτάσσονται ἐν τῇ συνθέσει, πλὴν ἐν τῷ κηρεσσιφόρητος. 727, 45.

δοτικὴ ἀντὶ γενικῆς, οἷον ἐν τῷ, θυμὸς δέ μοι ἔσσυται ἤδη ἠδ' ἄλλων ἑτάρων, Ὀδυσσ. κ', 484. καὶ ἀνάπαλιν γενικὴ ἀντὶ δοτικῆς· ζήτει ἐν τῷ, γενικὴ ἀντὶ δοτικῆς. 1628, 12. 1665, 17.

δοτικὴ μετοχικὴ ἀντὶ αἰτιατικῆς ἐν τῷ, μεταλλῆσαί τί ἑ θυμὸς

ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ, ἀντὶ τοῦ πεπαθυῖαν, ὅ ἐστι πεπονθυῖαν, Ὀδ. ρ', 554. 1831, 60.

δοτικὴ ἐφελκομένη αἰτιατικὴν μετοχικὴν ἀντιπτωτικῶς κατὰ σχῆμα λόγου, οἷον· οἵ ἡμῖν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε, ἀντὶ τοῦ μενόντοιν ἢ μένουσιν, Ὀδυσσ. ψ', 211. 1945, 55.

δοτικὴ ἐλλιπῶς τῆς συνπροθέσεως λεγομένη Ἀττικῶς, οἷον· ἀπὸ πασσάλου αἴνυτο τόξον αὐτῷ γωρυτῷ, Ὀδ. φ', 54. 695, 50. 1898, 50.

δοτικὴ τῶν πληθυντικῶν ὅτι πρὸ τοῦ τελικοῦ ῑ τὸ σ̄ φιλεῖ ἔχειν ἢ δυνάμει ἢ ἐνεργείᾳ. 818, 38.

δούλειον εἶδος ἢ μέγεθος, τὸ λι δίφθογγον, δούλιον δὲ ἦμαρ διὰ τοῦ ἰῶτα, ὃ καὶ δουλία ἡμέρα λέγεται. 1960, 55.

δουλεύειν μισθοῦ, ἀντὶ τοῦ δουλεύειν ἐπὶ μισθῷ. 834, 51.

δούλη ἐπὶ θεραπαίνης ὅτι σπανιόν ἐστι παρ' Ὁμήρῳ. 1479, 62.

δουλία ἡμέρα καὶ δούλιον ἦμαρ, ζήτει ἐν τῷ, δούλειον εἶδος. 1960, 57.

δουλικῶν προσηγοριῶν ἔκθεσις κατὰ διαφόρους γλώσσας. 1090, 50—60.

δούλιον ἦμαρ, περιφραστικῶς ἡ δουλεία· καὶ ὅτι τὸ δούλιον ἐκ τοῦ δοῦλον λέγεται κατὰ παραγωγὴν, ὡς ἐκ τοῦ οὖλον τὸ οὔλιον. 655, 32. 1781, 19. 1822, 46.

Δουλίχιον, νῆσος μία τῶν Ἐχινάδων, ἡ καὶ Δολιχία· ὅτι σιτοφόρος ἐστὶ, διὸ καὶ πολύπυρος λέγεται Ὀδυσσ. ξ', 335. καὶ ὅτι παρὰ τὸ δολιχὸν, ὅ ἐστι μακρὸν, λέγεται. 254, 36. 305, 22. 46 - 306, 4. 1414, 54. 1760, 63.

δοῦλοι τιμώμενοι παρά τισιν ἔθνεσι κατά τινας ἡμέρας τοῦ ἐνιαυτοῦ, οἷον παρὰ Κύδωσιν ἐν Κρήτῃ, καὶ τοὐναντίον ἀτιμαζόμενοι παρὰ Κῴοις· ζήτει ἐν τῷ, Κύδωνες τοὺς δούλους τιμῶντες, καὶ ἐν τῷ Κῷοι. 1885, 33.

δούλων προσηγορικαὶ ὀνομασίαι παρὰ διαφόροις ἔθνεσιν, οἷον κλαρῶται, ἀμφαμιῶται, μνῶται, ἑρκῖται, σίνδρωνες, ἄζοι, δεσποσιοναῦται. 1024, 25—48.

δοῦναι ἐν ἴσῳ τῷ ἀποδοῦναι ἐν τῷ, δεῦτ' ἄγετ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ δώομεν Ἀτρείδῃσιν, Ἰλ. η', 350. 685, 33.

δουπῆσαι τὸ πεσεῖν ἐκ τοῦ παρακολουθοῦντος τοῖς πίπτουσι δούπου, ὅ ἐστι κτύπου, καὶ δουπεῖν τὸ θανασίμως πεσεῖν. 1729, 64.

δοῦπος, κτύπος σώματος ζωικοῦ πεσόντος. 520, 2.

δοῦπος ἀκόντων ἡ μάχη ἐκ μερικοῦ παρακολουθήματος. 849, 32. 1063, 57.

δοῦρα ὅτι ἐκ τοῦ δόρατα συγκέκοπται, ἢ ἐκ τῆς δουρὸς γενικῆς κέκλιται, καὶ ὅτι δοῦρα νεῶν λέγονται παρ' Ὁμήρῳ πρὸς διαστολὴν ἑτεροίων δοράτων. 191, 23. 1265, 63.

δοῦρας δούρατος, τὸ δόρυ. 1606, 63.

δουράτεος, ὅτι ἐκ τῆς δούρατος γενικῆς γίνεται δουράτειος κτητικὸν καὶ ἀπελεύσει τοῦ ῑ δουράτεος. 1606, 56.

δούρειος, ξύλινος, ὅτι ἐκ τῆς δουρὸς γενικῆς γέγονεν ἡ λέξις. 1606, 28.

δούρειος ἵππος ὁ ξύλινος, καὶ ὅτι οὐ κατὰ ἡγεμόνας, ἀλλ' ἀριστίνδην ἐπελέγησαν οἱ ἐν τῷ δουρείῳ ἵππῳ ἐνεδρεύσαντες, καὶ κατάλογος τῶν ἐν αὐτῷ λοχησάντων. 1496, 29. 49. 1698, 1.

δούρεσσιν ἀντὶ τοῦ δούρασι, πρὸς ὁμοιότητα τοῦ στομάτεσσι καὶ κτεάτεσσι. 906, 18. 1608, 62.

δουρηνεκὲς ἀπεῖναι, ἤγουν εἰς ὅσον δόρυ φέρεται· καὶ βολὴν δόρατος, ἢ ὅσον μῆκος δόρατος. 811, 34.

δουρικλυτὸς ὁ περικλυτὸς ἐν τῷ δουρὶ, ὅ ἐστιν αἰχμητὴς, καὶ περιώνυμος ἐν πολέμῳ. 314, 2. 680, 15.

δουρίκτητος ὁ αἰχμάλωτος. 755, 9.

Δοῦρις, ἱστορικός τις, ὅτι παρὰ τὸ δόρυ λέγεται. 243, 39.

δουροδόκη ἡ τῶν δοράτων θήκη, ὅτι κιονοειδὴς ἦν ἐφ' Ὁμήρου, ἢ μᾶλλον κίονι ἐγγεγλυμμένη, ἐν ᾗ ὀρθὰ τὰ δόρατα ἵσταντο. 1399, 31.

δουρὸς ἀντὶ τοῦ δόρατος, ὅτι ἐκ τοῦ δόρυος γέγονε κατὰ μετάθεσιν. 1606, 63.

δόχμη ἢ δοχμὴ, ἡ καὶ παλαιστὴ, τουτέστι τὸ τετραδακτυλιαῖον διάστημα· καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως ἑρμηνεία διεξοδική. 1291, 43.

δοχμὴ ὅτι καὶ δόχμη βαρυτόνως, ἐτυμολογία. 896, 60.

δοχὴ ἐπὶ ἐπενθέσεως συλλαβικῆς, οἷον τὸ ἔοικα ἐκ τοῦ εἶκα γέγονε διαλύσει καὶ δοχῇ τοῦ ὀ. 1600, 24.

δόχμια, πλάγια, καὶ δόχμιος ὁ πλάγιος· ζήτει ἐν τῷ δοχμός. 1291, 37. 48.

δοχμὸς ἐν ἴσῳ τῷ δόχμιος, ὅτι παρὰ τὸ δέχω λέγεται· εὐχώρητον γὰρ τὸ πλάγιον σχῆμα κατὰ τὰς εἰσόδους. 896, 59.

δρᾶ ἀντὶ τοῦ πρᾶττε προστακτικῶς. 1606, 22.

δράγμα λέγεται, ὅσον ἄν τις δράξηται τῇ δρακὶ τῆς χειρός· καὶ ὅτι διὰ τοῦ γ̄ προφέρεται, δραχμὴ δὲ τῷ χ̄. 832, 15. 1162, 24.

δραγματεύειν τὸ δράγματα συνάγειν. 1162, 17.

δραθάνειν τὸ δρᾶν ἀποτίθεσθαι, ὃ τῷ κοιμᾶσθαι παρακολουθεῖ. 62, 32.

δραθεῖν τὸ κοιμηθῆναι, καὶ οἷον ἀποτιθέναι τὸ βλέπειν, ἐκ τοῦ δρῶ, ὅ ἐστι βλέπω, καὶ τοῦ θῶ τὸ ἀποτίθημι. 1887, 13.

δραίνω, ἀπὸ τοῦ δρῶ, ὃ δηλοῖ τὸ πράττω καὶ τὸ βλέπω καὶ ἀγρυπνῶ. 792, 27.

δράκων ὅτι παρὰ τὸ δέρκειν, ὅ ἐστι βλέπειν, λέγεται, ὡς τῇ ὄψει καταπλήττων ἢ ὡς ὀξὺ βλέπων, καὶ ὅτι τῇ Ἀθηνᾷ ἀφιέρωται ὁ δράκων. 87, 40. 228, 23. 377, 33. 1259, 58.

δράματα καὶ δραματουργία τῶν κατὰ τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν πράξεων. 6, 6.

δραματικῶν περιστάσεων ἐκβάσεις ὅτι πενταχῶς μάλιστα θεραπεύονται ὑφ' Ὁμήρου. 95, 12.

δραμέω δραμῶ, δεύτερος μέλλων ἀναδραμὼν εἰς ἐνεστῶτα. 682, 35.

δρᾶν τὸ ποιεῖν καὶ τὸ ὑπουργεῖν καὶ τὸ θύειν, καὶ δρᾶν ἀντὶ τοῦ ὑπηρετεῖν καὶ διακονεῖν· ὅθεν παραδρᾶν καὶ ὑποδρᾶν σύνθετα ῥήματα, καὶ δραστὴρ καὶ δράστειρα καὶ δρηστοσύνη ὀνόματα. 1661, 48. 1782, 63.

δρὰξ δρακὸς, τὸ πλατὺ τῆς χειρός. 854, 23.

δραπέτης ὁ τοῦ δρᾶν, ὅ ἐστιν ὁρᾶν, ἐκπετασθεὶς δοῦλος, τουτέστιν ὁ ἀποδράς· καὶ δραπέτης λόγος μεταφορικῶς ὁ ἐκφυγὼν τοῦ στόματος. 68, 33. 968, 64. 1874, 36.

δράπετον, εἶδός τι φιλήματος οὕτω καλούμενον ὁμωνύμως. 1880, 61.

δρατὰ σώματα τὰ γυμνὰ δέρματος, ὅ ἐστιν ἐκδεδαρμένα καὶ νεκριμαῖα· καὶ ὅτι τοῦ δρατὰ προϋπάρχει τὸ δαρτά. 1294, 13. 1302, 56.

δράττεσθαι ἀντὶ τοῦ ἀπρὶξ ἔχεσθαι. 939, 21.

δραχμαία ἀντὶ τοῦ δραχμὴ κατὰ παραγωγήν. 1758, 57.

δραχμὴ, οἱ ἓξ ὀβολοὶ, παρὰ τὸ ἐκ τοσούτων πάλαι πληροῦσθαι τὴν τῆς χειρὸς δράκα. 136, 10. 421, 29.

δρεια λήγοντα θηλυκὰ, ἐκ τοῦ ἴδρις ἴδρεως συγκείμενα, ὅτι τῇ ει διφθόγγῳ παραλήγονται, οἷον ἀϊδρεία, πολυϊδρεία. 1939, 1.

δρέπανον ὅτι παρὰ τὸ δρέπω λέγεται. 152, 28.

δρέπειν καὶ δρέπεσθαι ὅτι ἐκ τοῦ δρῦς καὶ τοῦ ἕπειν σύγκεινται, τουτέστι περὶ δρῦς ἐνεργεῖν καὶ τρυγᾶν τὰ δρύκαρπα· καὶ ὅτι δρέπειν μὲν οἱ παλαιοὶ ἔλεγον κατὰ φωνὴν ἐνεργητικὴν, δρέπεσθαι δὲ οἱ ὕστερον. 1429, 25. 1726, 21.

δρήστειρα, ζήτει ἐν τῷ δρηστήρ. 1660, 47. 1782, 64.

δρηστὴρ, θεράπων, ὑπουργὸς, τὸ θηλυκὸν δρήστειρα, καὶ ἐν συνθέσει ὑποδρηστὴρ καὶ ὑποδρήστειρα· καὶ ὅτι παρὰ τὸ δρᾶν, ὅ ἐστιν ὑπουργεῖν, λέγονται. 1661, 47. 1801, 12.

δρηστῆρες ἀντὶ τοῦ δραστῆρες, ἤγουν θεράποντες. 1782, 64.

δρηστοσύνη, ὡς παλαισμοσύνη, ἡ ταπεινὴ διακονία ἐν τῷ, δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειεν βροτὸς ἄλλος, Ὀδ. ο', 321. 1782, 64.

δριμεῖα μάχη ὅτι μεταφορικῶς ἀπὸ τῶν δριμέων βρωμάτων λέγεται. 1038, 39.

δριμεῖαι λέξεις καὶ ἔννοιαι λέγονται, ἐν αἷς γλυκύτης ἐπιτείνεται. 844, 16.

δριμὺ τὸ συνετὸν παρ' Εὐριπίδῃ, καὶ ὅτι καὶ ἐπί τινος γλυκύτητος καθ' ἡδονῆς λόγου τίθεται τὸ δριμύ. 1038, 40. 1455, 29.

δρίος ὕλης τὸ δάσος, Ὀδ. ξ', 353. 1763, 28.

δροίτη, πύελος ἢ λάρναξ νεκρικὴ παρ' Αἰσχύλῳ (Agam. 1541.), οἱονεὶ δρυοίτη, παρὰ τὴν δρῦν καὶ τὸν οἶτον· δρύτη δὲ διὰ τοῦ υ ψιλοῦ ἡ δρυΐνη καὶ ἁπλῶς ξυλίνη πύελος. 1726, 12.

δρομιχαίτης ἵππος ὅτι παρὰ τὸ δρόμος λέγεται τροπῇ τοῦ ο εἰς ι, καὶ ζήτει ἐν τῷ χαίτη. 145, 2. 773, 22.

δρόμου ἀγωνιστικοῦ εἴδη, δίαυλος, δολιχὸς, τέθριππον, κέλης, ἀπήνη. 1320, 19.

δρύες, ὅτι αἱ μὲν πλατύφυλλοι καὶ ἄκαρποι ἐρίφλοιοι ἐκαλοῦντο παρὰ Περγαμηνοῖς, αἱ δὲ λεπτόφλοιοι καὶ καρποφόροι ἡμερίδες, ἐξ ὧν καὶ ὁ ἰξὸς γίνεται· αἱ γὰρ ἄκαρποι κηκιδοφόροι εἰσί· καὶ ὅτι καὶ ἐν τῷ βάθει τῆς θαλάσσης φύονταί που δρύες, ὧν τὸν καρπὸν σιτοῦνται οἱ θύννοι. 994, 45. 1524, 35.

δρύκαρπα οἱ παντὸς ξύλου καρποὶ, ὡς ἐκ μέρους τῆς δρυός. 773, 49. 1652, 16. 1726, 16.

δρυμὰ οὐδετέρως οἱ σύνδενδροι τόποι, ὅτι παρὰ τὸ δρῦς λέγεται ἡ λέξις. 1652, 16.

δριμὸς δρυμοῦ, καὶ δρυμὼν δρυμῶνος, ὅτι ἐξ ἑνὸς εἴδους τοῦ τῶν δρυῶν ὁ πᾶν εἶδος δένδρου περιέχων τόπος λέγεται, καὶ ὅτι καὶ τὸ δρυμὸν οὐδετέρως λέγεται. 633, 36. 664, 37. 832, 56.

δρυμὸς ὁ δρυωτὸς τόπος, Δρύμος δὲ πόλις, προσῳδία. 638, 57.

δρυμὼν ὅτι καὶ δρυμὸς ὡς εἰκὸς λέγεται, ἐξ οὗ δοκεῖ κεκινῆσθαι τὸ δρυμὸν οὐδέτερον. 1652, 18.

δρυοκολάπτης τὸ τοὺς δρῦς καὶ ἁπλῶς πᾶν δένδρον τῷ ῥάμφει κολάπτον ὄρνεον, καὶ ὅτι καὶ δρυκολάπτης λέγεται τετρασυλλάβως παρὰ τῷ κωμικῷ. 832, 57. 1652, 17. 1726, 14.

δρυοπαγὴς στόλος ὁ δρύϊνος πάσσαλος, ζήτει ἐν τῷ στόλος. 1726, 15.

δρύοχοι, πάσσαλοί τινες, ἐφ' ὧν ἡ τρόπις τῶν ναυπηγουμένων πλοίων ἵσταται, ἐτυμολογία· ἢ δρύοχοι οἱ πελέκεις, ὧν τὸ ἔχμα δρύϊνον· καὶ ὅτι διαφέρει δρύοχον ἢ ξύλοχον εἰπεῖν. 1878, 62. 1879, 4—9.

δρυπέπεις ἢ δρυπεπεῖς ἐλαῖαι αἱ ἐν τῷ δένδρῳ πεπαινόμεναι, καὶ ἁπλῶς πᾶς καρπὸς ἐπὶ τοῦ δένδρου πεπανθεὶς δρυπέπης λέγεται· καὶ ὅτι καὶ ἰσχάδες τινὲς δρυπέπεις ἐλέγοντο βαρυτόνως, ὅθεν καὶ δρυπέπεσι προπαροξυτόνως κατὰ τὴν δοτικὴν τῶν πληθυντικῶν. 211, 18. 664, 39. 1726, 6. 1726, 34.

δρυπολεῖν τὸ ξύλοις ἁπλῶς πολιορκεῖν, ἢ τὸ κακοηθίζεσθαι ἐκ παροιμιακοῦ ῥητοῦ τοῦ, ἄλλην δρῦν βαλάνιζε. 1726, 10.

δρύπτειν τὸ ξέειν καὶ ἐκλέπειν καὶ δέρειν, ὅτι κυρίως περὶ δρυῶν, ὅ ἐστι ξύλων, λέγεται, παρὰ τὸ δόρυ οἱονεὶ δορύπτω καὶ δρύπτω, καὶ ὅτι βαθύτερόν τι τὸ δρύπτειν ἢ τὸ ἀμύσσειν. 243, 5. 325, 10. 852, 39. 1062, 45. 1295, 29. 1307, 40. 1439, 18.

δρῦς ἐπὶ παντὸς ἁπλῶς ξύλου. 633, 36.

δρῦς, ὅτι πᾶν δένδρον οὕτω λέγεται ἀπὸ ἑνὸς εἴδους, καὶ περὶ τῆς ἐκ δρυῶν μυθικῆς γεννήσεως τῶν πάλαι ἀνθρώπων· καὶ ὅτι παροιμιακῶς λέγεται τὸ, ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης, ζήτει ἐν τῷ, ἀπὸ δρυός. 1859, 17.

δρῦς, παροιμία· ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης, ζήτει τὸ, ἀπὸ δρυός· καὶ ἑτέρα, ἅλις δρυὸς, ζήτει τὸ, ἅλις δρυός· καὶ ἑτέρα, ἄλλην δρῦν βαλάνιζε, ζήτει τὸ, ἄλλην δρῦν βαλάνιζε. 1859, 49.

δρύτη ἡ ξυλίνη πύελος, παρὰ τὸ δρῦς, ὃ ἐκ μέρους πᾶν ξύλον σημαίνει· λέγεται δὲ καὶ δροίτη παρ' Αἰσχύλῳ, οἱονεὶ δρυοίτη παρὰ τὸν οἶτον, καὶ ζήτει ἐν τῷ δροίτη. 1726, 11.

δρυτόμος ὁ ἁπλῶς ξυλοτόμος ἐξ ἑνὸς εἴδους τοῦ τῶν δρυῶν. 832, 55.

δρύφακτα ὅτι παρὰ τὸ δρυσὶν,

ὅ ἐστι ξύλοις, πεφράχθαι οὕτω λέγονται. 664, 40.

δρύφοι, τρίτον πρόσωπον εὐκτικὸν, ὅτι ἀπὸ τοῦ δέδρυφα παρακειμένου κεκίνηται, ἢ ἐκ τοῦ δρύφω θέματος. 1295, 31.

δρῶ τὸ πράττω, καὶ δρῶ τὸ βλέπω, οἱονεὶ διορῶ κατὰ συγκοπήν. 68, 30. 792, 30. 1874, 35. 37.

δῦ δέ μιν Ἄρης, παρ' Ὁμήρῳ ἤγουν ἔνθεος γέγονε πλησθεὶς Ἄρεος. 1103, 9.

δυεῖν ἀντὶ τοῦ δυοῖν, ὅτι τῆς ἀρχαίας ἐστὶν Ἀτθίδος. 802, 28. 35. 1907, 51.

δύεσθαι καὶ καταδύεσθαι τὸ εἰς βάθος ὑγρὸν κατιέναι, ἢ καὶ δύεσθαι ὁ ἥλιος ὡς εἰς τὸν Ὠκεανὸν λέγεται, ὅθεν δυτικὰ ζῷα τὰ καθ' ὕδατος δυόμενα· ἀναδύεσθαι δὲ τὸ ἐκ βάθους ἀνιέναι, καὶ ἀναδύεσθαι ὁμωνύμως τὸ ὀκνεῖν καὶ ἀργεῖν, ὃ καὶ ἀναβάλλεσθαι λέγεται. 117, 20 — 27.

δύεσθαι πόλιν καὶ καταδῦναι πόλιν, τὸ εἰσελθεῖν εἰς πόλιν τινὰ παρ' Ὁμήρῳ. 1566, 15.

δύεσσιν ἀντὶ τοῦ δυσὶν Αἰολικῶς. 802, 28.

δύη ἡ ἄτη, ὅ ἐστι βλάβη, καὶ δύης πῆμα περιφραστικῶς αὐτὴ ἡ δύη. 1761, 1.

δύη ἡ κακοπάθεια, παρὰ τὸ δυάζεσθαι, ὅ ἐστι διαλύεσθαι τὴν καθ' ὑγείαν ἑνότητα διὰ τῆς κακοπαθείας· κοινότερον δὲ παρὰ τὸ δύω ῥῆμα, ἡ εἰς βάθος δύνουσα. 1835, 57.

δυϊκὰ ὅτι ἀντὶ πληθυντικῶν τίθενταί ποτε, διὸ καὶ τῷ δύω ἀριθμητικῷ προσδιορίζονταί ποτε πρὸς ἀκρίβειαν, ἵν' ὡς εἰλικρινῶς δυϊκὰ ἀκουσθῶσι, οἷον ἐν τῷ, ξείνω δή τινε τώδε, διοτρεφὲς ὦ Μενέλαε, ἄνδρε δύω, Ὀδυσσ. δ', 26. 47, 28. 582, 3. 1480, 48.

δυϊκὰ πρόσωπα ῥημάτων ἀντὶ πληθυντικῶν, ὅτι τῆς παλαιᾶς Ἀτθίδος ἐστὶν ἡ χρῆσις, οἷον ἐψιάσθων ἀντὶ τοῦ ἐψιάσθωσαν. 1831, 2.

δυϊκὰ εἰς ω- λήγοντα ἐπὶ τοῦ ω ἔχοντα τὸν τόνον ὀξύνονται. 153, 43. *implicite.*

δυϊκὸν πτωτικὸν ὑποκείμενον πληθυντικῇ μετοχῇ, οἷον· ἄνδρε ὁρόω κρατερὼ ἵν' ἀπέλεθρον ἔχοντας, Ἰλ. ε', 244. καὶ ἀνάπαλιν πληθυντικὸν πτωτικὸν δυϊκῇ μετοχῇ ὑποκείμενον, οἷον μή νύ τοι οὐ χραίσμωσι θεοὶ ἄσσον ἰόντε, Ἰλ. α', 566. 150, 24. 557, 29.

δυϊκὸν πτωτικὸν ὑποκείμενον πληθυντικῷ ῥήματι ἐν τῷ, ἔκαμον δέ μοι ὄσσε, Ὀδ. μ', 232. 114, 35.

δυϊκοῦ καὶ πληθυντικοῦ ἀριθμοῦ ἀδιαφορία ἐκ παραδειγμάτων Ὁμηρικῶν συναγομένη. 1308, 20.

Δύμας καὶ Πάμφυλος ἡγούμενοι Δωριέων κατήγαγον τοὺς Ἡρακλείδας εἰς Πελοπόννησον. 1644, 20.

Δύμη, πόλις ἐν Πελοποννήσῳ ἡ καὶ Στράτος, διὰ τὸ δυσμικωτέρα εἶναι οὕτω κληθεῖσα. 292, 4.

δῦναι γαῖαν, ἀντὶ τοῦ ἀποθανεῖν περιφραστικῶς. 622, 24. 651, 56. 652, 1.

δῦναι καὶ καταδῦναι κυριώτατα λέγεται ὁ ἥλιος· καὶ ὅτι δῦναι ὁ ἥλιος ἐλλιπῶς λέγεται, δῦναι δὲ ὑπὸ γῆν, ἐντελῶς. 831, 17. 1732, 10.

δῦναι τεύχεα καὶ δῦναι ἐν τεύχεσι, τὸ ἐνδύσασθαι ὅπλα, τουτέστιν ὁπλίσασθαι. 421, 2. 645, 41. 1101, 46. 1292, 20.

δύναμαι ὅτι παρὰ τὸ δύνω γίνεται, ὅθεν δύνημι, οὗ παθητικὸν τὸ δύναμαι. 1538, 58.

Δυναμένη, κύριον Νηρηΐδος, ἐτυμολογία διεξοδικὴ τοῦ ὀνόματος. 1131, 7.

δύναμις ταὐτὸ ὅπερ ἰσχὺς καὶ ῥώμη. 1335, 8.

δυνάσθη ὅτι ἐκ τοῦ δυνάζω κεκίνηται, ὃ ἐκ τοῦ δύνω παρῆκται, ἐξ οὗ καὶ τὸ δύναμαι. 1538, 57.

δυνάστης, δυναστεύειν καὶ δυναστεία ὅτι παρὰ τὸ δυνάζω λέγονται, ὃ ἐκ τοῦ δύνω γέγονεν, ὅθεν τὸ δύνημι καὶ τὸ δύναμαι. 1538, 59.

δύνατος ὅτι προπαροξυτόνως προφέρεται Αἰολικῶς. 75, 36.

δύνειν τεύχεα καὶ δύνειν πόλιν καὶ δύνειν πόλεμον κατὰ συνθήκην. 465, 11.

δύνειν ἐς τεύχεα, Ὀδ. ω', 498. ἀντὶ τοῦ ἐν τεύχεσι. 1968, 36.

δύνω ῥῆμα ὅτι ἐκτείνει τὴν παραλήγουσαν. 843, 42.

δύο ἀριθμητικὸν ὅτι συστέλλει τὴν λήγουσαν· καὶ ὅτι Ἀττικῶς οὐ μόνον διὰ τοῦ ο, ἀλλὰ καὶ διὰ τοῦ ω γράφεται· καὶ ὅτι παρ' Ὁμήρῳ οὐ πρὸς ἀναλογίαν δυϊκῆς καταλήξεως διὰ τοῦ ω μεγάλου γράφεται, ἀλλὰ κατὰ μετρικὴν ἔκτασιν· διόπερ οὐ μόνον, Ἀτρείδα δύω, φησὶ καὶ, δύω χρυσοῖο τάλαντα, ἀλλὰ καὶ, δύω ποταμῶν ἐριδούπων, καὶ, δύω κανόνεσσ' ἀραρυῖαν. καὶ ὅτι καὶ τῷ βραχυκαταλήκτῳ δύο χρῆται Ὅμηρος ἀδιαφόρως ἐπί τε εὐθείας, οἷον· δύο δ' αἰὲν ἔχον, καὶ ἐπὶ γενικῆς, οἷον· τῶν δύο μοιράων, καὶ ἐπὶ αἰτιατικῆς, οἷον· τὰς δύο χαλκείας, καὶ ἐπὶ κλητικῆς, οἷον ἐν τῷ, δεῦτε δύω μοι ἕπεσθον. καὶ ὅτι καὶ οἱ Ἀττικοὶ τῶν δύο λέγουσι καὶ τοῖς δύο, καὶ ὅτι τὸ δυσὶ βάρβαρον νομίζεται. 26, 18. 802, 26 — 40. 1137, 52.

δύο, ὅτι τὰ δύο οὐ κατάρχει πλήθους, ἀλλὰ τὰ τρία. 982, 59.

δυοῖν κατὰ γενικὴν καὶ δοτικὴν πρὸς ὁμοιότητα τῆς τῶν πτωτικῶν κλίσεως· καὶ ὅτι χρῆσις τοῦ δυοῖν ἐπὶ δοτικῆς ἐν τῷ, δυοῖν γυναικοῖν εἷς ἀνὴρ οὐ στέργεται. καὶ ὅτι Ἴωνες δυῶν μὲν ἐπὶ γενικῆς φασὶ, δυσὶ δὲ ἐπὶ δοτικῆς, Αἰολεῖς δὲ δύεσσιν ἐπὶ δοτικῆς ἀπὸ τοῦ δυσὶ κατ' ἐπέκτασιν. καὶ ὅτι Ὅμηρος ἀδιαφόρως ἐπί τε εὐθείας καὶ πλαγίων χρῆται οὐ μόνον τῷ δύο, ἀλλὰ καὶ τῷ διὰ τοῦ ω γραφομένῳ δύω, ζήτει τὸ δύο· καὶ ὅτι καὶ δυεῖν γράφεται διὰ τοῦ ει, σπανίως μέντοι. καὶ ὅτι καὶ οἱ Ἀττικοὶ τῶν δύο λέγουσι καὶ τοῖς δύο, καὶ ὅτι τὸ δυσὶ βάρβαρον νομίζεται. 26, 21. 802, 26 — 40.

δυοῖν καὶ ἀμφοῖν ὅτι κατὰ τὴν ἀναλογίαν ὤφειλον παροξύνεσθαι ὡς ἀπὸ παροξυτόνων εὐθειῶν τῶν δύω καὶ ἄμφω, περισπῶνται δ' ὅμως. 1539, 44.

δυόωσι, κακοποιοῦσι, ἀπὸ τοῦ δυάω δυῶ, ὃ παρὰ τὴν δύην, ὃ δηλοῖ τὴν κακοπάθειαν, λέγεται. 1890, 7.

δυόωσιν, ἤγουν εἰς δύην, ὅ ἐστι κακοπάθειαν, ἄγουσι. 1889, 12.

δύρεσθαι ἐν ἴσῳ τῷ ὀδύρεσθαι. 218, 19.

δυς καὶ ευ μόρια διακρίνοντα μέσας τινὰς λέξεις. 651, 21.

δυσαὴς Ζέφυρος ὁ δύσπνους, ἢ ὁ ἐκ δύσεως πνέων, ἢ ὁ διπλοῦς κατὰ τὸ πνεῖν παρὰ τὸ δὶς, καὶ ὅτι οὐχ' ὡς ἀεὶ τοιοῦτος οὕτω λέγεται, ἀλλ' ἢ ὅτε καταιγίζει· ἀλλαχοῦ δὲ ὅτι δυσαὴς Ζέφυρος παρ' Ὁμήρῳ ὁ ὑπὸ τῶν μεθ' Ὅμηρον ἀργέστης καλούμενος. 846, 2. 1238, 63. 1292, 28. 1538, 23.

δυσαήων ἀντὶ τοῦ δυσαέων ἐκτάσει τοῦ ε̄ εἰς η̄. 1735, 31.

δυσάμμορος ἀντὶ τοῦ δύσμορος, ὅ ἐστι δυσθάνατος, ὅτι ἐκ ταὐτοδυνάμων μορίων τοῦ δυς καὶ τοῦ α̃ σύγκειται, καὶ ὅτι Αἰολικῶς διπλασιάζει τὸ μ̄, καὶ ὅτι τῇ ἐκ παραλλήλου θέσει τῶν ῥηθέντων μορίων ἐπίτασιν δυστυχίας ἐμφαίνει. 1186, 44. 1277, 42.

δυσαριστοτόκεια ἡ ἐπὶ κακῷ τετοκυῖα τὸν ἄριστον. 1130, 20.

δυσεξήνυτος, ὅτι ἐκ τοῦ ἀνύω καὶ τοῦ δυς σύγκειται ἡ λέξις. 384, 5.

δύσεο προστακτικὸν ὅτι ἐκ τοῦ δύσω μέλλοντος ἀνηγμένου εἰς ἐνεστῶτα κεκίνηται, καὶ ὅτι ἐνὶ σ̄ γράφεται. 1050, 6. 1169, 53.

δύσζηλος παρ' Ὁμήρῳ ὁ καὶ ζηλήμων. 1581, 7.

δυσηλεγὴς πόλεμος ὅτι παρὰ τὸ ἀλέγειν, ὅ ἐστι φροντίζειν, λέγεται, ἢ παρὰ τὸ λέγειν, ὅ ἐστι κοιμᾶσθαι, στερητικῶς, ἑρμηνεία διεξοδική. 1201, 20.

δυσηλεγὴς θάνατος ὁ οἱονεὶ δυσλεγής, ὅ ἐστι δυσκοίμητος, κατὰ πλεονασμὸν τοῦ η̄. 321, 39. 1928, 56.

δυσηχὴς πόλεμος ὁ δύσηχος, καὶ οὗ ὁ ἦχος ἀηδής. 321, 39.

δυσθαλπὴς χειμὼν ὁ ψυχρὸς, ἐν ᾧ δυσχερές ἐστι θάλπεσθαι. 1117, 50.

δυσθανὴς ὁ βιαιοθάνατος. 1706, 5.

δυσὶ κατὰ πληθυντικὴν δοτικὴν ὅτι βάρβαρόν ἐστι, ζήτει ἐν τῷ δύο καὶ δυοῖν. 802, 37.

δύσις βίου ὁ θάνατος περιφραστικῶς. 622, 25.

δυσκέλαδος φόβος λέγεται διὰ τὸ τῶν φευγόντων θορυβητικόν. 1063, 49.

δυσκηδὴς νὺξ ἡ δύσφροντις καὶ δυσφύλακτος καὶ μὴ ἀναπαύσιμος. 1546, 40.

δυσκλέα, αἰτιατικῆς πτώσεως, ὅτι ἐκ τοῦ δυσκλεέα τετρασυλλάβου συγκέκοπται, ἀλλ' οὐ συνῄρηται. 187, 12.

δύσκολος ὁ δυσάρεστος καὶ σικχὸς, ὅτι παρὰ τὸ κόλον, ὃ δηλοῖ τὴν τροφὴν, λέγεται. 1817, 63.

δυσμεναίνω ὅτι παρὰ τὸ δυσμενέω παρῆκται. 1434, 41.

δυσμενέω δυσμενῶ ῥῆμα, οὗ χρῆσις ἐν τῷ, κακὰ ῥέζετε δυσμενέοντες, Ὀδ. β', 73. 1434, 42.

δυσμετάληπτος λέξις λέγεται ἡ δυσερμήνευτος. 843, 21.

δύσμητερ ἀντὶ τοῦ, ἀπηνὲς μῆτερ, Ὀδ. ψ', 97. 1940, 43.

δύσμορος οὐ μόνον ὁ κακῶς θανὼν, ἀλλὰ καὶ ὁ κακοτυχής, ἐπεὶ καὶ μόρος ἴσον ἐστὶ τῇ τύχῃ. 1186, 47.

δυσοικονόμητος ἐν ἴσῳ τῷ ἄπεπτος. 866, 21.

δύσομαι ὅτι ἐκ μέλλοντος ἀνήχθη εἰς ἐνεστῶτα, καὶ ὅτι ἐνὶ σ̄ γράφεται. 1169, 57.

δυσπαλὲς ὅτι παρὰ τὸ πάλλειν λέγεται. 674, 14.

Δύσπαρις ὅτι οὐ διὰ φαυλότητα τοῦ ὀνόματος οὕτω λέγεται παρ' Ὁμήρῳ, ἀλλ' ὅτι αὐτὸς ὁ Πάρις κακῶν αἴτιος ἐγένετο. 1863, 26.

δυσπέμφελος πόντος ὁ δυσχείμερος καὶ δι' οὗ δυσχερῶς ναῦς πέμπεται, καὶ δυσπέμφελος ἄνθρωπος ὁ δύσκολος καὶ δυσμετάπεμπτος· καὶ ὅτι ὀφεῖλον διὰ τοῦ π̄ γράφεσθαι, ὅμως πρὸς διαστολὴν τοῦ πέμπελος ἔτρεψε τὸ π̄ εἰς φ̄. 1065, 2. 1084, 38.

δύσσοα θρέμματα, τὸ σο̄ μικρὸν ὡς ἀπὸ τοῦ σέω, ὅ ἐστιν ὁρμῶ, ἐξ οὗ τὸ σεύω. 62, 45.

δύστηνος ὅτι παρὰ τὸ στένειν λέγεται. 1114, 47.

δυσφορεῖν τὸ δυσανασχετεῖν. 804, 46.

δυσώνυμον τὸ κακώνυμον καὶ μηδ' ἄξιον ὀνομάζεσθαι, ἢ τὸ δυσοιώνιστον καὶ τῇ προφορᾷ δύσφημον. 640, 31.

δυσώνυμος ἠώς, Ὀδ. τ', 571. ἡ δύσφημος ἡμέρα, ἡ καὶ ἀποφρὰς, ὅ ἐστι δυσφραδὴς, οὐ διὰ τὸ τοῦ ὀνόματος κακόφωνον, ἀλλὰ τὸ τοῦ πράγματος δυσοιώνιστον· καὶ δυσώνυμος μοῖρα. καὶ ὅτι τὸ δυσώνυμος διὰ τοῦ οὐκ ὀνομαστὸς ἑρμηνεύεται παρ' Ὁμήρῳ. 640, 31. 895, 40. 1878, 48.

δυσωρεῖν τὸ δυσχερῶς καὶ μετὰ κακοπαθείας φυλάσσειν, ὅτι ἐκ τοῦ ὠρεῖν, ὅ ἐστι φυλάττειν, καὶ τοῦ δυς σύγκειται. 797, 27. 1715, 19.

δῦτε, προστακτικὸν δευτέρου προςώπου πληθυντικοῦ, ὅτι ἐκ τοῦ δῦθι κεκίνηται, ὡς ἐκ τοῦ κλῦθι ἐν τὸ κλῦτε. 1135, 45.

δυτικὰ ζῷα τὰ καταδυόμενα, ζήτει ἐν τῷ δύεσθαι. 117, 22.

δυτικὰ μέρη τοῦ κόσμου ὅτι ὀπίσω εἶναι λέγονται, τὰ δὲ ἀνατολικὰ προσώπου λόγον ἔχουσι διὰ τὸν ἐκεῖθεν ἀνιόντα ὀφθαλμὸν τῆς ἡμέρας ἥλιον· ἀλλαχοῦ δὲ ὅτι τὰ δυτικὰ μέρη τοῦ κόσμου ἀριστερὰ εἶναι νομίζονται. 394, 37. 1740, 23.

δύω ἀριθμητικὸν ἐκ περιουσίας πρόσκειται τοῖς δυϊκῶς ἐσχηματισμένοις πτωτικοῖς, οἷον Ἀτρείδα δύω· ἐν δὲ τῷ, δοιοὺς Αἴαντας, δεόντως πρόσκειται τὸ δοιοὺς πρὸς περιορισμὸν τοῦ πλήθους. 924, 18.

δύω ἀριθμητικὸν προσκείμενον δυϊκοῖς πρὸς ἀκρίβειαν, ὅπως καθαρῶς δυϊκά τινα ὡς δυϊκὰ ἀκουσθῶσι, διὰ τὸ καὶ ἀντὶ πληθυντικῶν ποτὲ τίθεσθαι τὰ δυϊκά. 582, 3. 1480, 48.

δύω, ὅτι τῷ διὰ τοῦ ω̄ μεγάλου γραφομένῳ δύω οὐ κατὰ εὐθεῖαν καὶ αἰτιατικὴν μόνον τῶν δυϊκῶν Ὅμηρος χρῆται, ἀλλὰ καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς· καὶ ὅτι καὶ ἐπὶ κλητικῆς κέχρηται ἐν τῷ, δεῦτε δύω μοι ἕπεσθον, Ἰλ. χ', 450. ζήτει ἐν τῷ δύο. 802, 29. 38.

δύω ῥῆμα ὑποτακτικὸν ἀντὶ τοῦ εἰσέλθω. 1137, 51.

δυῶν ἐπὶ γενικῆς τῶν πληθυντικῶν κατ' Ἴωνας καὶ δυσὶν ἐπὶ δοτικῆς, ζήτει ἐν τῷ δύο. 802, 27.

δω λήγοντα ῥήματά τινα βαρύτονα μὴ σχηματίζοντα μέλλοντας πρὸς

ἀποφυγὴν συνεμπτώσεως πρὸς ἑτέρας φωνάς. 781, 25.

δω λήγοντα ῥήματα κατὰ γλῶσσαν ἀπὸ τῶν κοινῶς διὰ τοῦ ζω τροπῇ τοῦ ζ εἰς δ γενόμενα. 1570, 11.

δῶ ἐκ τοῦ δῶμα ἀπεκόπη. 187, 29.

δώδεκα, ὅτι ἐπεὶ τὸ δύω ἀριθμητικὸν ἐκτείνει ποτὲ τὴν λήγουσαν, ἐξ ἀνάγκης καὶ τὸ δώδεκα ἔχει τὸ δω μέγα. 26, 24. 1140, 19.

δωδεκαΐς, θυσία ἡ ἐκ δώδεκα ζῴων, ὅτι καὶ δωδεκηὶς διὰ τοῦ η λέγεται. 1676, 40.

δωδεκῆδες, θυσίαι ἐκ δώδεκα ἱερείων, ὅτι ἐκ τοῦ δωδεκηίδες συνῄρηται ἡ λέξις. 1386, 48.

δωδεκίδες, θυσίαι ἐκ δώδεκα ἱερείων, ὅτι καὶ σὺν τῷ η γράφεται δωδεκῆδες ἐκ τοῦ δωδεκηίδες κατὰ συναίρεσιν. 1386, 48.

Δωδωναῖον χαλκεῖον, ὅτι πολλῶν ποτὲ ἐν τῷ Δωδωναίῳ ἱερῷ παραλλήλων κειμένων λεβήτων, εἴ τις ἑνὸς ἅψηται, πάντες ἀπηχεῖν ἱστοροῦνται· καὶ ὅτι καὶ ἐπὶ τῶν πολυλογούντων παροιμιακῶς λέγεται τὸ, Δωδωναῖον χαλκεῖον. 335, 46. 1760, 55.

Δωδωναῖος Ζεὺς ὁ περὶ τὴν Δωδώνην ἐξέχουσαν ἔχων τιμήν. 1057, 39.

Δωδώνη, πόλις Θεσπρωτική ποτε, ὕστερον δὲ ὑπὸ Μολοττοῖς γενομένη· ὅτι τὸ ἀρχαῖον ἄνδρες ἦσαν προφητεύοντες ἐν τῷ κατὰ Δωδώνην μαντείῳ, ὕστερον δὲ τρεῖς γραῖαι προφητεύειν κατεστάθησαν, αἳ καὶ πέλειαι ἐκλήθησαν κατὰ γλῶσσαν Μολοσσῶν, καὶ περὶ τῶν ἐξ Αἰγύπτου ἀναπτάντων μελαινῶν πελειάδων διήγησις διεξοδική, καὶ ἄλλα τινὰ περὶ τοῦ Δωδωναίου χρηστηρίου. 1760, 37—58.

Δωδώνη ὅτι ἡ μέν τις ἐστὶ Θεσσαλίας, ἡ δὲ Μολοσσίας, ἐν ᾗ τὸ τοῦ Διὸς ἱερόν· καὶ ὅτι καὶ Δωδὼν δισυλλάβως λέγεται, καὶ Δωδώνη ἡ γῆ ἀλληγορικῶς παρὰ τὸ δῶ δώσω. 335, 40. 1057, 43-48.

δῴη, τρίτον πρόσωπον εὐκτικοῦ, ὅτι ἐκ τοῦ δοίην γέγονε κατ' ἔκτασιν, τοῦτο δὲ ἐκ τοῦ δοῖμι μεταπέπλασται. 666, 35.

δῶμα ὅτι ἐκ τοῦ δόημα γέγονε κράσει τοῦ ο καὶ η εἰς ω μέγα. 245, 36. 1424, 32.

δων λήγοντα ῥηματικὰ διὰ τοῦ ο μικροῦ κλινόμενα, οἷον ἀλγηδὼν ἀλγηδόνος, ἀηδὼν ἀηδόνος. 1741, 28.

δῶρα ὁ διδόμενος μισθὸς τοῖς στρατιώταις ἐν τῷ, τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῇ λαούς, Ἰλ. ρ', 225. 1104, 10.

δωρητὸς ὁ δώροις ὑπαγόμενος παρ' Ὁμήρῳ. 769, 56.

Δωριάζειν τὸ γυμνοῦν καὶ παραφαίνειν μέρος τι τοῦ σώματος. 975, 37. 39.

Δωριεῖς ἔθνος ἀπὸ Δώρου τοῦ Ξούθου, ὅτι οἱ μὲν αὐτῶν Πελοπόννησον ᾤκησαν καὶ τοὺς Ἡρακλείδας κατήγαγον, ἡγουμένου αὐτῶν Δύμαντος καὶ Παμφύλου τῶν Αἰγιμίου παίδων, οἱ δὲ ἐν Συρακούσαις ᾠκίσθησαν· καὶ ὅτι ἐπλατύνθη μέχρι Βοιωτίας τὸ Δωρικὸν ἔθνος. 1644, 17. 12.

Δωριεῖς ὅτι οὐ διπλάζουσι τὰ ἀμετάβολα. 494, 1.

Δωρικὴ διάλεκτος ὅτι ἐπικοινωνεῖ τῇ Αἰολικῇ. 8, 41.

Δώριον, πόλις Πελοποννησιακή, καθ' ἣν Θάμυρις ὁ Θρᾷξ ἐρίσας ταῖς Μούσαις ἐτυφλώθη, ἱστορία διεξοδική. 297, 36. 298, 22.

Δωρὶς, Νηρηίς τις οὕτω καλουμένη διὰ τὰς ἐκ θαλάσσης ἀγαθὰς δόσεις. 1130, 51.

δῶρον ὅτι παρὰ τὸ δίδωμι λέγεται. 982, 56.

δῶρον, ὄνομα μέτρου, ὅ ἐστι τὸ τρίτον τῆς σπιθαμῆς. 450, 38.

Δῶρος κύριον, ἱστορία καὶ παρῳδία ἐπὶ τῷ ὀνόματι. 1214, 51.

Δῶρος, υἱὸς Ξούθου, ἀρχηγὸς τοῦ Δωρικοῦ ἔθνους. 1644, 18.

δωροφορεῖν τὸ δῶρα φέρεσθαι. 448, 36.

δωροφόροι, ὅτι οὕτως ἐκαλοῦντο οἱ Μαριανδυνοὶ, δοῦλοι ποτὲ γενόμενοι τῶν Ἡρακλεωτῶν, ἱστορία. 1090, 53.

δὼς ἡ δωρεά, ὅτι ὀξύνεται καὶ ἄκλιτόν ἐστιν. 1430, 16.

δῶσι ἀντὶ τοῦ δῷ ἑνικῶς ἐν τῷ, αἴ κέ ποθι Ζεὺς δῶσι, ὅτι ἐκ τοῦ δῶ γέγονε πλεονασμῷ τῆς σι συλλαβῆς. 65, 33. 1424, 34.

δωτὴρ διὰ τοῦ ω μεγάλου ποιητικῶς, κοινῶς δὲ δοτὴρ διὰ τοῦ ο μικροῦ, δῶτορ δὲ ἀεὶ τῷ μεγάλῳ. 743, 44. 1599, 25.

δωτίνη ἐν ἴσῳ τῷ δῶρον, τὸ δο μέγα. 743, 44. 1629, 4.

Δωτὼ, ὅτι Νηρηίς τις οὕτω καλεῖται διὰ τὰς ἐκ θαλάσσης ἀγαθὰς δόσεις, καὶ ὅτι ἐκ τοῦ δῶ δώσω ἔχει τὴν δο συλλαβὴν διὰ τοῦ ω μεγάλου. 1130, 50. 1131, 16.

δώτωρ, τὸ δο μέγα, δοτὴρ δὲ τῷ μικρῷ παρά γε τοῖς ὕστερον, παρ' Ὁμήρῳ δὲ καὶ αὐτὸ διὰ τοῦ ω μεγάλου ἔχει τὴν δο συλλαβήν. 1739, 44.

Ἀρχὴ τοῦ Ε στοιχείου.

ε τὸ στοιχεῖον ὅτι εἶ ἐλέγετο παρὰ τοῖς παλαιοῖς. 511, 5.

ε ἐκ τοῦ ο τραπὲν Δωρικῶς, οἷον Ἀπέλλων ἀντὶ τοῦ Ἀπόλλων. 183, 10.

ε πρὸ τοῦ λ ψιλοῦται, καθαριευούσης τῆς τρίτης συλλαβῆς τῶν λέξεων, ὧν ἐστὶν ἀρκτικὸν, οἷον ἐλεόθρεπτον. 345, 2.

ε πρὸ τοῦ ρ, μεθ' ὃ τὸ μ ἐπάγεται, ὅτι δασύνεται, οἷον ἕρμα. 140, 11.

ε ἀρκτικὸν λέξεων ἀποβάλλεται ἐνίοτε, οἷον ἐν τῷ Ἐξάδιος Ξάδιος. 82, 31.

ε ἀρκτικὸν θεμάτων ῥηματικῶν, ὅτι τὰ ἀπὸ δασυνομένου ε ἀρχόμενα ῥήματα προσλήψει τοῦ ι αὐξάνονται, οἷον ἕλκω εἷλκον, ἕρπω εἷρπον. 1641, 45.

ε κατ' ἀρχὰς ῥηματικῶν φωνῶν πλεονάζον ὅτι οὐ κατ' ἰδίωμα Ἀττικὸν ἀεὶ πλεονάζει, οἷον ἐν τῷ ὧν ἑών, ἔργων ἐέργων, ἔλπων ἐέλπων, εἶπε ἔειπε. 1410, 60.

ε προστιθέμενον Ἀττικῶς κατ' ἀρχὰς παρῳχημένων τινῶν ηὐξημένων χρονικῶς, οἷον ἥνδανον ἑήνδανον, ὥρων ἑώρων. 22, 6. 438, 6.

ε πλεονάζον ἐν ἀρχαῖς ῥηματικῶν προσώπων, οἷον ἧκεν ἕηκεν, ὅθεν τὸ ξυνέηκε. 1473, 4.

ἓ αἰτιατικὴ ἀντωνυμικὴ πρωτότυπος ἀντὶ τῆς ἑαυτὸν συνθέτου

ἐν τῷ, εἰς ἓ καλεσσάμενος, Ὀδ. χ΄, 436. ἀλλαχοῦ δὲ ὅτι τὸ ἓ ἀντὶ τοῦ ἑαυτὸν λαμβάνειν οὔτε Ὁμηρικόν ἐστιν οὔτε ὅλως ὀρθόν. 659, 12. 1933, 43.

ἓ αἰτιατικὴ ἀντωνυμικὴ τοῦ τρίτου προσώπου τῶν πρωτοτύπων ὅτι ἐγκλίνεται καὶ τοῖς τρισὶ γένεσι χρησιμεύει. 93, 11.

ἓ αὐτὴν ἐν παραθέσει ἀντὶ τοῦ ἑαυτὴν συνθέτου. 1117, 39.

εα λήγοντα ἐπίθετα θηλυκὰ προϋπάρχοντα τῶν διὰ τοῦ εια, οἷον ὠκέα, γλυκέα, ὅτι ἀναλογώτερά εἰσι τῶν διὰ τοῦ εια. 348, 25. 1085, 59.

εα λήγοντα θηλυκὰ, οἷον συκέα, ὅτι τῶν διὰ τοῦ εα θηλυκῶν τὸ μηλέα καὶ μορέα οὐ συναιροῦνται. 1963, 52.

εα λήγουσαι αἰτιατικαὶ ὅτι ἐκ τῶν εἰς ην διαλέλυνται, οἷον Ἀστυάγην Ἀστυάγεα, Καμβύσην Καμβύσεα. 234, 17. 1946, 28.

εα λήγοντα θετικὰ πληθυντικὰ ἀντὶ ἑνικῶν, οἷον συνεκποτέα ἀντὶ τοῦ συνεκποτέον. 759, 38.

εα λήγοντες ὑπερσυντέλικοι ὅτι ἐκ τῶν εἰς ην διαλέλυνται Ἰωνικῶς, καὶ ὅτι τὸ τοιοῦτον εα εἰς η κιρνᾶται· ἀλλαχοῦ δὲ ὅτι οὐκ ἐκ τῶν εἰς ειν ληγόντων κοινῶν διαλέλυνται, ἀλλ᾽ ἀπὸ τῶν εἰς η Ἀττικῶν· ζήτει ἐν τῷ, η λήγοντες ὑπερσυντέλικοι Ἀττικῶς. 50, 27. 718, 15. 1946, 21.

ἔα ἀντὶ τοῦ ἦν Ἰωνικῶς κατὰ πρῶτον πρόσωπον, ὅτι ἐκ τοῦ ἦα πρώτου ἀορίστου Ἰωνικῶς συνεστάλη, καὶ ὅτι ἔον ὤφειλε λέγεσθαι ὡς ἀπὸ τῆς ἐὼν μετοχῆς, ἢ καὶ συνάρχεται Ἰωνικῶς· καὶ ὅτι τινὲς τὸ ἔα ἐκ τοῦ ἦν γενέθαι λέγουσι κατὰ τμῆσιν, ὅ ἐστι διάλυσιν. 477, 4. 618, 12. 883, 19. 1759, 3. 9. 20. 30.

ἔα ἀντὶ τοῦ ἔᾳ, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ ἐάᾳ ἀπεκόπη, καὶ ὅτι βραχυκαταληκτεῖ, καὶ ὅτι παροξύνεται. 546, 8—16.

ἐάγη ὅτι ἐκ τοῦ ἤγη διαλέλυται, ὡς ἐκ τοῦ ἥλω τὸ ἑάλω. 1121, 52.

ἕαδε ὅτι ἐκ τοῦ ἧδε διελύθη, ὃ ἐκ τοῦ ἥδω κεκίνηται. 990, 36.

ἑαδὼς ἑαδότος, μετοχὴ τοῦ ἧδα μέσου παρακειμένου ἀχρήστου, ὃς ἐκ τοῦ ἥδω θέματος κεκίνηται· καὶ ὅτι καὶ ἐκ τοῦ ἀδηκὼς, ὃ ἐκ τοῦ ἀδῶ ἀδήσω, ὅ ἐστιν ἀρέσκω, κεκίνηται, ἐνδέχεται γενέσθαι. 745, 27. 1722, 1.

εαι λήγοντα δεύτερα πρόσωπα ῥηματικὰ ὅτι ἐκ τῶν συστοίχων τρίτων γίνονται ἐκβολῇ τοῦ τ καὶ τοῦ ι, οἷον πωλεῖται πωλέαι, καὶ ὅτι παροξύνονται, οἷον· τίπτε κασιγνήτη δεῦρ᾽ ἤλυθες οὔτι πάρος γε πωλέαι, Ὀδ. δ΄, 810. 1441, 35. 1518, 57.

ἑάλη, συνειλήθη, συνεστράφη ἢ ἐκρύφθη, ὅτι ἀπὸ τοῦ εἷλον δευτέρου ἀορίστου γίνεται παθητικὸς ἅλην καὶ πλεονασμῷ τοῦ ε ἑάλην, ἢ ἐκ τοῦ ἥλην κοινοῦ κατὰ διάλυσιν. 939, 43. 48. 1130, 33.

ἐὰν σύνδεσμος ὅτι ἐκ τοῦ εἰ καὶ τοῦ ἂν γέγονεν ἀπελεύσει τοῦ ι. 852, 26.

ἐάν που ἀντὶ τοῦ ὅπως παρὰ Σοφοκλεῖ (Trach. 584.) ἐκ τοῦ εἴ που μεταληφθέν. 799, 4.

ἑανὸν ὕφασμα παρὰ τὸ ἕω, τὸ ἄξιον φορεῖσθαι, ἑανὸς δὲ κασσίτερος ὁ εὔρυτος καὶ ῥαδίως χυτὸς, οἱονεὶ ῥεανός. 1146, 45. 47.

ἑανὸς, ἔνδυμα γυναικεῖον. 1042, 9.

ἑανὸς πέπλος ἐπιθετικῶς ὅτι παρὰ τὸ ἕω, ὅ ἐστιν ἐνδύομαι, λέγεται, ἵν᾽ ᾖ ἑανὸς πέπλος ὁ καλὸς ἐνδύσασθαι, ἑανὸς δὲ κασσίτερος ὁ εὐδιάχυτος· καὶ ὅτι καὶ κατὰ μόνας ὁ ἑανὸς τὸν πέπλον δηλοῖ, οὗ ἐστὶν ἐπίθετον, καὶ ὅτι βραχυπαραληκτεῖ ἡ λέξις. 128, 44. 427, 18. 33. 975, 59. 976, 8. 11. 979, 21. 1347, 32. 34.

ἑανὸς ἀμβρόσιος, ἤγουν πέπλος ἀμβρόσιος· καὶ ὅτι ἑανοὶ ἐλέγοντο οἱ πέπλοι, οὓς μόναι αἱ γυναῖκες ἐπερονῶντο. 1249, 31.

ἑανῷ λιτὶ, εὐτελεῖ περιβολαίῳ. 722, 33.

ἔαρ τὸ αἷμα παρ᾽ Ὀππιανῷ, καὶ εἶαρ ἐπὶ τοῦ αὐτοῦ παρά τινι ἑτέρῳ ποιητῇ. 1851, 43.

ἔασιν ἀντὶ τοῦ εἰσὶ, καθ᾽ ὁμοιότητα τοῦ τιθέασι τιθεῖσι. 681, 64.

ἐάσω μέλλων ὅτι μακρὸν ἔχει τὸ ᾱ. 1119, 50.

εαται λήγοντα τρίτα πρόσωπα πληθυντικὰ παθητικῶν παρακειμένων, ἐκ τῶν διὰ τοῦ ηνται κοινῶν διαλελυμέναι Ἰωνικῶς, ὅτι καὶ μετὰ τοῦ ν κατά τινα γλῶσσαν λέγονται, οἷον πεποιέανται· καὶ ὅτι καὶ τὰ σύστοιχα ἑνικὰ διὰ τοῦ εαται ὁμοίως φασί τινες λέγεσθαι, οἷον πεποιέαται ἀντὶ τοῦ πεποίηται. 1885, 52.

εαται καὶ εατο λήγοντα ῥηματικὰ τρίτα πρόσωπα πληθυντικὰ, ἐκ τῶν διὰ τοῦ ηνται καὶ ηντο κοινῶν γενόμενα, οἷον εἰρέαται ἀντὶ τοῦ εἴρηνται, καὶ ἐκτέατο ἀντὶ τοῦ ἐκέκτηντο. 234, 15.

ἑαυτὸν ὅτι ἓ αὐτὸν ἐν παραθέσει ἐλέγετο πάλαι. 103, 24. 1202, 9.

ἑαυτοῦ ἑαυτῷ ἑαυτὸν, ὅτι ἐκ δύο ἕκαστον ὁμοιοπτώτων σύγκειται, τοῦ ἕο αὐτοῦ καὶ ἑοῖ αὐτῷ καὶ ἓ αὐτόν. 1480, 27.

ἑαυτοὺς, ὅτι διαφέρει τὸ, ἑαυτοὺς ἀπέκτειναν, εἰπεῖν τοῦ, ἀλλήλους ἀπέκτειναν. 1547, 24.

ἑαυτῶν ἑαυτοῖς ἑαυτοὺς, ἀντωνυμικαὶ πτώσεις ὅτι ἐκ τῆς ἓ ἑνικῆς αἰτιατικῆς καὶ τῶν τῆς αὐτὸς πληθυντικῶν πλαγίων συγκείμεναι οὐδὲν ἧττον ἡμάρτηνται τῶν ἐμαυτῶν ἐμαυτοῖς ἐμαυτοὺς, καὶ ὅτι κάλλιον ἀντ᾽ ἐκείνων χρῆσθαι τῷ, αὑτῶν αὑτοῖς αὑτοὺς μετὰ δασείας, καὶ ἐκ τούτων πλεονασμῷ τοῦ ε τὰς προειρημένας γενέσθαι νομίζειν. 1480, 26—39.

ἑάφθη, ἀντὶ τοῦ ἠκολούθησεν, ὅτι ἀπὸ τοῦ ἕπω κεκίνηται, ὡς ἀπὸ τοῦ εἰλῶ τὸ ἑάλη. 945, 36.

ἐάων, ἤγουν ἀγαθῶν ἐν τῷ, θεοὶ δωτῆρες ἐάων, παρ᾽ Ὁμήρῳ· ὅτι δοκεῖ οὐδετέρου γένους εἶναι ἡ ἐάων φωνὴ, ἐκ τοῦ ἐῶν πλεονασμῷ τοῦ α γενομένη. 1363, 52.

ἑβδόμη ἡμέρα, ὅτι ἡ ἑβδόμη τοῦ σεληνιακοῦ μηνὸς ἡμέρα Ἀπόλλωνος ἦν ἱερὰ ὡς ἐκείνου γενέθλιος. 1908, 54.

ἔβενος ὅτι πολὺς ἐν τῇ Ἰνδικῇ χώρᾳ γίνεται. 362, 4.

ἐβήσετο, τρίτον πρόσωπον παρατατικοῦ τοῦ βήσομαι ῥήματος, ὃ

ἐκ μέλλοντος ἀνέδραμεν εἰς ἐνεστῶτα. 1050, 7.

ἔβλαμμαι ἀντὶ τοῦ βέβλαμμαι Ἀττικῶς. 759, 46.

ἐβούλευκα ἀντὶ τοῦ βεβούλευκα λέγουσιν Ἀττικοὶ πρὸς εὐφωνίαν. 759, 42. 1570, 25.

ἔβραχε τρίτου προσώπου ῥηματικοῦ κανονισμός. 491, 14.

ἔβραχεν ἵππος καὶ ὅπλα καὶ ἄξων καὶ ὕδωρ, ὅτι μετὰ πάντων τῶν προειρημένων κατὰ συνθήκην λέγεται, καὶ ὅτι ἐκ τοῦ βρέχω ἑτεροσήμου θέματος κεκίνηται, τρέψαντος τὸ ε̄ εἰς ᾱ κανονικῶς ἐν τῷ δευτέρῳ ἀορίστῳ. *implicite.* 491, 14. 1071, 23.

ἐγγαμίζειν τὸ εἰς γάμον ἐκδιδόναι. 758, 54.

ἐγγεγάασιν, ἐγγεγέννηνται. 1100, 6.

ἐγγείνωνται, ἐγγεννήσωσιν ἐν τῷ, εὐλὰς ἐγγείνωνται, Ἰλιάδ. τ', 26. 1169, 25.

ἔγγιον Δωρικῶς ἀντὶ τοῦ ἐγγὺς κατὰ παραγωγήν. 1643, 33.

ἐγγλωττογάστορες οἱ ἀπὸ τῆς γλώττης διατρεφόμενοι, ὡς ἐγχειρογάστορες οἱ ἀπὸ τῶν χειρῶν. 1471, 4. 1825, 14.

ἔγγονος κατὰ μὲν τὴν ἐτυμολογίαν ὁ υἱός, ὡς ἐγγὺς ὢν γόνου, οἱονεὶ ἐγγύγονος, οὐ μὴν ἀμέσως ἔκ τινος γεννηθείς· κατὰ δὲ τὴν χρῆσιν ὁ ἐξ υἱοῦ γεγονώς, ὅ ἐστιν υἱωνός. 1682, 16. ἔκγονος δὲ διὰ τοῦ κ̄ ὁ ἀπόγονος, ζήτει ἐν τῷ ἔκγονος. 611, 12. 1460, 18. 1682, 16. 1871, 35.

ἐγγυαλίζειν τὸ παρέχειν καὶ ἐν χερσὶ διδόναι, ὅτι παρὰ τὰ γυῖα, ὃ δηλοῖ τὰς χεῖρας ἰδίως ἀκουόμενον, γίνεται γυΐζω καὶ πλεονασμῷ γυαλίζω, καὶ μετὰ τῆς ἐν ἐγγυαλίζω. 250, 36. 920, 31. 1344, 21. 1600, 4. 1794, 11.

ἐγγυᾶν λέγεται ὁ διδούς, ἐγγυᾶσθαι δὲ ὁ λαμβάνων, ζήτει ἐν τῷ ἐγγύη. 1600, 4. 6.

ἐγγύη ὅτι παρὰ τὸ ἐν γύοις ἤγουν χερσί τινος κεῖσθαι τὸ κατεγγυηθὲν οὕτω λέγεται, καὶ ὅτι ἐγγυᾶν μὲν λέγεται ὁ διδούς, ἐγγυᾶσθαι δὲ ὁ λαμβάνων, καὶ ὅτι καὶ ἐπὶ γάμου ἀπογραφῆς λέγεται ἡ ἐγγύη, ἑρμηνεία διεξοδική. 920, 31. 1344, 22. 1600, 4.

ἐγγύς, ἀγχοῦ, σχεδόν, ἐπὶ τοῦ αὐτοῦ συνωνύμως· καὶ ὅτι τὸ ἐγγὺς οὐ μόνον τοπικόν ἐστιν, ἀλλὰ καὶ χρονικόν· καὶ ὅτι ἐκ τῆς ἐν προθέσεως καὶ τοῦ γυῖα, ὃ δηλοῖ τὰς χεῖρας, σύγκειται, ἵν' ᾖ τὸ ἐν ὑπογυίῳ καὶ πρόχειρον. 587, 13. 971, 10. 998, 33.

ἐγείρω τὸ ἐρεθίζω καὶ παροξύνω, καὶ ἐγείρειν μάχην τὸ οἷον εὕδουσαν ἐξαναστῆσαι ἐν τῷ, ἐξ οὗ δὴ παρὰ νηυσὶ μάχην ἤγειρας, Ἰλ. ν', 778. ὃ καὶ ἐκ τοῦ ἀγείρω ἐνδέχεται κανονίζειν. 539, 41. 959, 49.

ἔγεντο καὶ γέντο, τρίτον πρόσωπον ῥηματικόν, ὅτι ἐκ τοῦ εἵλετο ἕλτο λέγεται κατὰ συγκοπὴν καὶ τροπῇ Δωρικῇ τοῦ λ̄ εἰς ν̄, καὶ πλεονασμῷ γέντο καὶ ἔγεντο. 918, 26.

ἐγήρα, ὅτι ἐκ τοῦ γήρημι ἀχρήστου γίνεται ἐγήρην ἐγήρης ἐγήρη, καὶ τροπῇ ἐγήρα. 1102, 2.

ἐγκανάσσειν λέγεται τὸ ἐγχέειν οἶνον. 1402, 29.

ἔγκαρος ὁ ἐγκέφαλος παρὰ Λυκόφρονι, κατὰ δέ τινας ὁ φθεὶρ παρὰ τὸ ἐν τῇ κάρῃ, ὅ ἐστι κεφαλῇ, εἶναι. 701, 8. 757, 26. 35. 1639, 12.

ἐγκάρσιος ὁ πλάγιος, ἐπικάρσιος δὲ ὁ ἐπὶ κεφαλήν. 1615, 61.

ἔγκασιν ὅτι ἐκ τοῦ ἐγκάτοις μεταπέπλασται. 677, 12. 855, 15.

ἔγκαφος ὁ ψωμός, ὅ ἐστιν ἄρτου κόμμα, παρὰ τὸ κάπτω, ὅ ἐστι χανδὸν ἐσθίω. 1481, 33. 1817, 48.

ἐγκεῖσθαί τις τινὶ πράξει λέγεται, ἀντὶ τοῦ ἐνίστασθαι καὶ ἐπιμένειν, καὶ ἐγκεῖσθαι τινὶ ἀντὶ τοῦ ἐνοχλεῖν, καὶ ἐγκεῖσθαι ἁπλῶς τὸ ἐντὸς κεῖσθαι. 626, 33. 1284, 6.

ἐγκεκλῖσθαι τινὶ λέγονταί τινα πράγματα, ἀντὶ τοῦ ἀνακεῖσθαι καὶ ὡσεί τινι κίονι ἐπικεῖσθαι. 626, 31.

Ἐγκέλαδος, ὄνομα ἑνὸς τῶν Ποσειδῶνος ἵππων, παρὰ τὸν κατὰ θάλασσαν γινόμενον κέλαδον, ἤγουν θόρυβον. 918, 14.

ἐγκεντρίδες τὰ περὶ τὰς πτέρνας κέντρα. 811, 40.

ἐγκεντρίζειν τὸ ἐγκεντεῖν καὶ ἐμβάλλειν φυτῷ τινὶ κλαδίσκον ἑτέρου φυτοῦ. 1308, 62.

ἐγκέφαλον ἐσθίειν ὅτι μυσαρὸν ἦν παρὰ τοῖς ἀρχαίοις. 757, 39.

ἐγκέφαλος Διός, βρῶμα ποιόν· ζήτει ἐν τῷ, Διὸς ἐγκέφαλος. 757 52.

ἐγκέφαλος φοίνικος, τὸ ἀκρότατον καὶ κορυφαῖον μέρος τοῦ δένδρου, ὅτι γλυκύτατόν ἐστι βρῶμα, κεφαλαλγὲς δέ· καὶ ὅτι ἐξαιρεθέντος τοῦ εἰρημένου ἐγκεφάλου αὐαίνεται ὁ φοῖνιξ, ἱστορία φυσική. 309, 4. 701, 9. 757, 55.

ἐγκεφάλου θέσις, μέρος τι τοῦ τραχήλου οὕτω λεγόμενον. 998, 17.

ἐγκεφάλου θρία, βρῶμα ποιὸν παρ' Ἀθηναίοις οὕτω καλούμενον, καὶ περὶ τῆς σκευασίας αὐτοῦ. 757, 54.

ἐγκίκρα ὡς εἴω, ἤγουν κίρνα ὅπως πορευθῶ, ἐγκικρᾶν γὰρ τὸ κιρνᾶν. 234, 39. 933, 41.

ἐγκλίνεσθαι λέγεται λέξις τὸν ἴδιον τόνον τῇ πρὸ αὐτῆς ἀναπέμπουσα. 32, 45.

ἐγκλίνεσθαι λέγονται καί τινα περισπώμενα ἐπὶ τὴν οἰκείαν παραλήγουσαν ἀναπέμποντα τὸν τόνον, οἷον ἡμῖν ἧμιν. 1407, 40.

ἐγκλινόμενα, ὅτι μονόχρονος μὲν λέξις καὶ δίχρονος καὶ τρίχρονος ἐγκλίνεται, τετράχρονος δὲ οὔ. 1407, 42.

ἐγκλινόμεναι λέξεις ὅτι, ἐάν ποτε τόνον λάβωσιν, ὀξύνονται, οἷον φημὶ σοί, σοί φημι. 147, 20.

ἐγκλινόμεναι λέξεις, ὅτι οὐδεμία λέξις ἐγκλίνεταί ποτε μὴ πρότερον ὀξυτονουμένη, ἑρμηνεία διεξοδική. 1457, 46.

ἐγκονεῖν ἀντὶ τοῦ πονεῖν καὶ ἐνεργεῖν, ὅτι ἐκ τοῦ πονεῖν γέγονε τροπῇ Ἰωνικῇ τοῦ π̄ εἰς κ̄. 1369, 51.

ἐγκοτῆσαι ἐν ἴσῳ τῷ ὀργίζεσθαι. 536, 32.

ἐγκοτύλη, παιδιᾶς εἶδος, ἑρμηνεία διεξοδικὴ τῆς παιδιᾶς καὶ ἐτυμολογία τῆς λέξεως· ζήτει τό, ἐν κοτύλῃ. 550, 3. 1282, 54.

ἐγκρίς, πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ, εἶτα μελιτούμενον. 975, 52. 1139, 4.

ἔγκρυμμα ταὐτὸ ὅπερ λόχος εἴτουν ἐνέδρα. 932, 17.

ἐγκρυφίας ἄρτος ὅτι παρὰ τὸ ἐγκρύπτεσθαι λέγεται. 1548, 2.

ἐγκύκληθρον, τὸ καὶ ἐγκύκλημα, μηχάνημά τι ὑπότροχον, ὑφ' οὗ ἐδείκνυτο τὰ ἐν τῇ σκηνῇ. 976, 15.

ἐγκύκλημα, ζήτει ἐν τῷ ἐγκύκληθρον. 976, 15.

ἔγκυκλον ἢ ἔκκυκλον, εἶδος γυναικείου φορήματος, ὃ ὑπὸ τῷ ἐνδύματι ἐφόρουν. 976, 12.

ἐγκυμονεῖν καὶ ἐγκύμων ὅτι παρὰ τὸ κύειν λέγονται. 656, 57.

ἐγκώμια εἰς ψόγον περιτρεπόμενα τεχνικῶς, οἷον τὸ, αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε μάχαι τε, Ἰλ. α', 177. 75, 38.

ἐγκωμιαστικὸν εἶδος ὅτι τέλος ἔχει τὸ καλόν. 1892, 60.

ἐγκώμιόν τι κατὰ Κόνωνος παρ' Ἰσοκράτει ἐκ τοῦ παρ' Ὁμήρῳ κατὰ Ἀγαμέμνονος ψόγου πορισθὲν τοῦ ἐν τῷ, οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο, Ἰλ. α', 225. 90, 9.

ἐγκώμιος λόγος καὶ ἐγκώμιον οὐδετέρως ἐπιθετικῶς. 1919, 19.

ἐγρήγορα, μέσος παρακείμενος ἀπὸ τοῦ ἐγείρω ἐγερῶ ἤγερκα ἤγορα καὶ Ἀττικῶς ἐγήγορα καὶ ἐγρήγορα, ὅθεν γρηγορῶ ῥῆμα, ὃ καὶ μετὰ τοῦ ε ἐγρηγορῶ ποιητικῶς λέγεται, ὅθεν ἐγρήγορσις καὶ ἐγρηγόρησις. 1773, 15. 1880, 23.

ἐγρήγορθαι ἀπαρέμφατον ὅτι ὡς ἀπὸ τοῦ ἐγρήγορκα ἐγρήγορμαι ἐγρηγόρθαι παροξυτόνως ὤφειλε λέγεσθαι, προπαροξύνεται δὲ Αἰολικῶς, καὶ ὅτι ἀπὸ τοῦ ἐγρηγορῆσθαι συγκέκοπται κατά τινας, ἑρμηνεία διεξοδική. 790, 2.

ἐγρήγορθε προστακτικὸν ὅτι ἐκ τοῦ ἐγρηγόρατε γέγονε συγκοπῇ καὶ τροπῇ. 685, 40. 1144, 28.

ἐγρηγόρσιον τὸ ποιοῦν ἐγρηγορέναι καὶ ὡς εἰπεῖν νηφάλιον. 1493, 53.

ἐγρήγορσις ὅτι ἐφύλαξε τὴν τοῦ ἐγρήγορα παρακειμένου αὔξησιν, καὶ ὅτι καὶ ἐγρηγόρησις λέγεται πεντασυλλάβως, ζήτει ἐν τῷ ἐγρήγορα. 1430, 19. 1880, 25.

ἐγρηγορόων μετοχὴ, ὅτι ἐκ τοῦ ἐγρήγορα μέσου παρακειμένου γίνεται ῥῆμα ἐγρηγορῶ μετὰ τοῦ κατάρχοντος ε, ὅθεν ἡ ἐγρηγορῶν μετοχή· ζήτει ἐν τῷ ἐγρήγορα. 1880, 20.

ἐγρήσσω, ὅτι παρὰ τὸ ἐγείρω ἔγρω γίνεται κατὰ συγκοπὴν, ὅθεν τὸ ἐγρήσσω. 862, 24. 1882, 18.

ἔγρω ὅτι ἐκ τοῦ ἐγείρω συγκέκοπται. 862, 25.

ἐγχεικέραυνος Ζεὺς ὁ τῷ κεραυνῷ ὡς ἔγχει χρώμενος. 839, 10. 1240, 54.

ἐγχείμαργος, τὸ χει δίφθογγον ὡς ἐκ τῆς ἔγχει δοτικῆς. 460, 25.

ἐγχειρίδιον, μαχαίριον ὃ τοῖς κολεοῖς τῶν ξιφῶν ἐν ἰδίᾳ θήκῃ παράκειται, ὃ καὶ παραξιφὶς λέγεται, ὅ ἐστι μάχαιρα παρηρτημένη τῷ ξίφει. 413, 29. 1182, 62. 1630, 4.

ἐγχειρίδιον, ξιφίδιον εἴτουν μαχαίριον καὶ βιβλίον ὁμωνύμως, καὶ τὸ τῆς κώπης κράτημα. 1959, 64.

ἐγχειρογάστορες, ὅτι οὕτως ἐπεκλήθησαν οἱ τὴν Τίρυνθα τειχίσαντες Κύκλωπες ὡς ἐργατικοὶ καὶ ἀπὸ τῶν χειρῶν τρεφόμενοι, μῦθος καὶ ἱστορία. 286, 21.

ἐγχέλεια τὰ τῶν ἐγχέλεων τεμάχη. 1231, 36.

ἐγχέλιον ἡ μικρὰ ἔγχελυς ὑποκοριστικῶς, τὸ λι ἰῶτα. 1240, 22.

ἔγχελυς ὅτι προπαροξύνεται, καὶ ὅτι παρὰ τὸ ἐν τῇ ἰλύει χέεσθαι λέγεται, καὶ ὅτι διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ ὅτι παρ' Ὁμήρῳ μὲν τῷ υ κλίνεται, παρὰ δὲ τοῖς ὕστερον τῷ ε, καὶ ὅτι καὶ ἔγχελις διὰ τοῦ ι γράφεται, καὶ ὅτι Βοιωτοὶ θύουσι τοῖς θεοῖς τὰς μεγίστας ἐγχέλεις, καὶ ἔπαινος τοῦ ἰχθύος ἐκ διαφόρων παλαιῶν. 1240, 15 — 33.

ἔγχελυς προπαροξυτόνως καὶ ἐγχέλυς παροξυτόνως ὅτι παρ' Ὁμήρῳ μὲν τῷ υ κλίνεται, παρὰ δὲ τοῖς Ἀττικοῖς διὰ τοῦ εως, καὶ χρήσεις τῶν διὰ τοῦ ε κινήσεων. 1231, 33.

ἐγχεσίμωροι οἱ περὶ ἔγχεα μεμορημένοι, ἐκτάσει τῆς μο συλλαβῆς, ἢ οἱ ἐγχέων ὤραν, ὅ ἐστι φροντίδα, ἔχοντες πλεονασμῷ τοῦ μ. 322, 38. 467, 37. 1463, 31.

ἔγχος τὸ δόρυ, καὶ ἔγχος τὸ ξίφος παρὰ Σοφοκλεῖ (Aj. 658. 907.). 422, 35. 604, 1. 644, 46. 48.

ἔγχος ὅτι παρὰ τὸ ἔχειν λέγεται,* καὶ ὅτι ἔγχος μὲν τὸ ὅλον, αἰχμὴ δὲ καὶ δόρυ τὰ μέρη. 644, 36. 41. 1393, 37.

ἐγχριμφθεὶς ἀντὶ τοῦ προσκόψας, καὶ ἐν χρῷ κρουσθεὶς, καὶ προσπελασθεὶς κατὰ χροῦν. 309, 43. 680, 12.

ἐγχρίω τὸ παίω, ὅτι παρὰ τὸ χροῦς λέγεται, καὶ ὅτι ἐγχρῖσαι λέγεται σκορπίος ἢ σφὴξ, ὅ ἐστι παῖσαι τῷ κέντρῳ. 1450, 34.

ἐγὼ ἀντωνυμία ὅτι ἐκ περιουσίας προστίθεται τοῖς πρώτοις προσώποις τῶν ῥημάτων, ὅπου μὴ πρὸς ἔμφασιν ἐξοχῆς ἢ διαστολῆς παραλαμβάνεται· καὶ παραδείγματα, ἐφ' ὧν τὸ ἐγὼ πρὸς διαστολήν τινα πρόσκειται τοῖς ῥηματικοῖς πρώτοις προσώποις. 921, 61. 1495, 2.

ἐγὼ καὶ ἐγὼν μετὰ τοῦ ν, ὅτι ἡ ἐγὼ ἐφέλκεται τὸ ν παρὰ ποιηταῖς, ὅταν φωνῆεν ἐπιφέρηται, ὅταν δὲ σύμφωνον, οὔ· καὶ ὅτι Δωρικῶς μετὰ τοῦ ν λέγεται. 52, 18. 695, 26.

ἐγώνγα ἀντὶ τοῦ ἔγωγε κατὰ γλῶσσαν. 695, 26.

ἐγώνη ἀντὶ τοῦ ἐγὼ κατ' ἐπέκτασιν πλεονασμῷ τῆς νη συλλαβῆς. 641, 51. 1359, 33.

ἑδανὸν ἔλαιον τὸ εὐῶδες καὶ ἡδὺ μύρον, ὅτι παρὰ τὸ ἥδω λέγεται συστολῇ τοῦ η, καὶ ὅτι δασύνεται καὶ ὀξύνεται ἡ λέξις. 974, 51. 1417, 16.

ἔδαφος ὅτι παρὰ τὸ ἕδος λέγεται, καὶ ὅτι καὶ ἐδάφιον ὑποκοριστικῶς λέγεται. 1532, 63.

ἔδεαι ἀντὶ τοῦ ἐσθίῃ παθητικῶς ἐν τῷ, σὴν ἔδεαι κραδίην, Ἰλ. ω', 129. ἐσθίεσθαι γὰρ τὴν καρδίαν λέγεται ὁ λυπούμενος. 1342, 19.

ἐδέατρος ὁ βασιλικὸς προγεύστης καὶ ὁ ἐπιστάτης τῆς ὅλης διακονίας καὶ παρασκευῆς τῆς τραπέζης, ἑρμηνεία διεξοδική. 1403, 40. καὶ ὅτι παρὰ τὸ ἔδειν λέγεται. 773, 40. καὶ ὅτι διαφέρει τοῦ ἐλέατρος, ζήτει ἐν τῷ ἐλέατρος. 1766, 43. 1874, 32.

ἐδείδισαν, ἤγουν ἐδειλίασαν, ἀπὸ

τοῦ δεδίω ἐπενθέσει τοῦ ῑ. 579, 23. 672, 35. 37.

ἐδεσθῆναι ὅτι ἀπὸ τοῦ ἐδῶ ἐδέσω κεκίνηται. 1403, 31.

ἔδεσμα ὅτι παρὰ τὸ ἐδῶ ἐδέσω παρῆκται, ὃ καὶ ἔδω βαρυτόνως συνηθέστερον λέγεται. 1403, 34.

ἐδεστὸν ὅτι παρὰ τὸν ἐδέσω μέλλοντα λέγεται, ὡς καὶ τὸ ἔδεσμα. 137, 2.

ἐδήδοκα ἐνεργητικῶς καὶ ἐδήδομαι παθητικῶς, ἀπὸ τοῦ ἐδῶ ἐδώσω ἤδοκα καὶ Ἀττικῶς ἐδήδοκα· ἢ ἀπὸ τοῦ ἔδω βαρυτόνου ὁ παρακείμενος ἦκα καὶ Ἀττικῶς ἔδηκα καὶ πλεονασμῷ τῆς δō συλλαβῆς ἐδήδοκα· ἢ ἀπὸ τοῦ ἐδῶ ἐδήσω ἤδηκα, πλεονασμῷ τοῦ δō καὶ συστολῇ τῆς ἀρχούσης. 1403, 43. 1918, 60.

ἐδηδοκὼς ἐκ τοῦ ἐδῶ ἐδήσω ἐδηκὼς ἐπενθέσει τοῦ δō, ἢ ἀπὸ τοῦ ἐδηδὼς μέσου παρακειμένου τοῦ ἔδω βαρυτόνου. 137, 3.

ἐδηδὼς, μέσος παρακείμενος ἀπὸ τοῦ ἔδω βαρυτόνου. 137, 4.

ἐδητὺς ὅτι παρὰ τὸ ἐδῶ ἐδήσω ἄχρηστον παρῆκται. 137, 2. 781, 25. 1403, 28. 33.

ἔδμεναι, ὅτι παρὰ τὸ ἔδειν γίνεται ἔδεν Δωρικῶς, ὅθεν ἐδέμεναι καὶ συγκοπῇ ἔδμεναι. 1224, 15.

ἕδνα παρ' Ὁμήρῳ οὐ μόνον τὰ ὑπὸ τῆς γυναικὸς διδόμενα τῷ ἀνδρὶ, ἀλλὰ καὶ ἀνάπαλιν τὰ ἐκ τοῦ ἀνδρὸς διδόμενα τῇ γυναικί. 1053, 33. ἀλλαχοῦ δὲ ὅτι ἕδνον ἡ περὶ τοῦ ἀνδρὸς διδομένη δωρεὰ τῇ γυναικὶ, καὶ ἡ τῆς γυναικὸς προΐξ. 937, 52. ἀλλαχοῦ δὲ ὅτι ἕδνα κυρίως τὰ ἐκ τοῦ ἀνδρὸς διδόμενα τῇ γυναικί. 742, 54—743, 3.

ἕδνα κατὰ τοὺς ἀκριβεστέρους τῶν παλαιῶν τὰ ὑπὸ τῶν νυμφίων ἀλλήλοις διδόμενα· καὶ ὅτι δασύνεται ἡ λέξις ὡς ἀπὸ τοῦ ἑδράζω, οἱονεὶ ἕδρανα τὰ τὸν γάμον στηρίζοντα, ἢ ἀπὸ τοῦ ἥδω τὰ ἡδύνοντα τοὺς λαμβάνοντας, οἱονεὶ ἥδανον καὶ συγκοπῇ καὶ συστολῇ ἕδνον, ἢ καὶ δασύνεται ἡ λέξις. 152, 29. 974, 29. 1417, 11—18.

ἕδος τὸ ἔδαφος καὶ ἡ καθέδρα καὶ τὸ ἵδρυμα εἴτουν ἄγαλμα, καὶ ὅτι παρὰ τὸ ἕζω λέγεται. 146, 2. 155, 20. 872, 61.

ἔδουπον ὅτι ἀπὸ τοῦ ἐδούπησα γέγονεν, ὡς ἀπὸ τοῦ ἐκτύπησα καὶ ἐστύγησα τὸ ἔκτυπον καὶ ἔστυγον. 604, 43. 669, 23. 1695, 31.

ἕδρα ἡ προεδρία ἐν τῷ, τετιμήμεσθα μάλιστα ἕδρῃ τε κρέασί τε, Ἰλ. μ', 311. 907, 16.

ἕδρανον ἡ καθέδρα προπαροξυτόνως, ἑδρανῶς ἐπίῤῥημα περισπωμένως. 769, 24.

ἑδρανῶς, ἤγουν στερεῶς, ὅτι παραλόγως περισπᾶται. 769, 23. 28.

ἔδυν ποιητικῶς ἀντὶ τοῦ ἔδυσαν. 1135, 61.

ἐδυνάσθη ὅτι ἀπὸ τοῦ δυνάζω κεκίνηται. 1311, 11.

ἔδω βαρύτονον ὅτι οὐ κινεῖται εἰς μέλλοντα. 1403, 32.

ἐδῶ περισπώμενον ἐν ἴσῳ τῷ ἔδω βαρυτόνῳ, καὶ ὅτι ἐκ μὲν τοῦ περισπωμένου ἡ ἐδητὺς καὶ τὸ ἔδεσμα, ἀπὸ δὲ τοῦ βαρυτόνου ἡ ἐδωδή. 1403, 28—34.

ἐδωδὴ, ὅτι καὶ ἡ τῶν ἀλόγων τροφὴ οὕτω λέγεται ἐν τῷ, παρὰ δὲ σφίσι βάλλετ' ἐδωδὴν, Ἰλ. θ', 504. 726, 30.

ἑδώλιον, ναυτικὴ καθέδρα, παρὰ τὸ ἕζω· καὶ ὅτι καὶ κληὶς καὶ ζυγὸς εἰρεσίας λέγεται ποιητικῶς. 153, 35. 174, 14.

εε λήγοντα ῥηματικὰ πρόσωπα διαλελυμένα ὅτι τῆς πρώτης εἰσὶ συζυγίας· ζήτει ἐν τῷ, ει λήγοντα τρίτα πρόσωπα. 872, 20. 1892, 39.

ἑὲ ἀντὶ τοῦ ἑαυτὸν ἐν τῷ, σκύζεσθαί σοί φησι θεοὺς, ἑὲ δ' ἔξοχα πάντων, Ἰλ. ω', 134. 1342, 34.

ἑὲ αὐτὸν ἀντὶ τοῦ ἑαυτὸν πλεονασμῷ θατέρου τῶν δύο ε̄. 1202, 7.

ἔεδνον ὅτι δασύνεται ὁμοίως τῷ ἕδνον, ἀναδραμούσης τῆς δασείας εἰς τὴν ἀρχὴν, ὡς ἐπὶ τοῦ ὥρων ἑώρων. 1417, 16.

ἐεδνωταὶ οἱ πενθεροὶ, οἱ ἕδνα διδόντες τοῖς γαμβροῖς. 937, 54.

ἐεικοσάβοιον, σταθμός τις μεταλλικῆς ὕλης εἴκοσι βοῶν ἄξιος· καὶ ὅτι ἐεικοσίβοιος ὤφειλε λέγεσθαι καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ε̄. 1428, 25.

ἐεικόσορος ναῦς ἀντὶ τοῦ εἰκόσορος, ὅ ἐστιν εἴκοσιν ἐρέσσοντας ἔχουσα, ὅτι ἐκ τροπῆς τοῦ ε̄ ἔχει τὸ ἐν τῇ σō συλλαβῇ ō. 1631, 26.

ἐείλεον ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ἀρκτικὸν ε̄. 1152, 60.

ἔειπε ἀντὶ τοῦ εἰπὲ προστακτικῶς ἐν τῷ, ἀλλὰ σύ πέρ μοι ἔειπε. 1410, 61.

ἔεις ὅτι ἐκ τοῦ εἷς λέγεται πλεονασμῷ τοῦ ε̄. 1055, 12. 1202, 8.

ἐεισάμενος καὶ ἐεισαμένη, ἤγουν ὁμοιώσας καὶ ὁμοιώσασα, ἀπὸ τοῦ εἴδω εἴσω πλεονασμῷ τοῦ κατάρχοντος ε̄. 349, 10.

ἐείσαο, ἤγουν ἔδοξας, ἐκ τοῦ εἴδω εἴσω, ὅτι Ἀττικῶς ἔχει τὸ ἀρκτικὸν ε̄. 781, 4.

ἐέλδεσθαί τινι λέγεται πόλεμος ἀντὶ τοῦ ἐπιθυμητὸς εἶναι. 1072, 44.

ἐέλδομαι ὅτι ἐνέργειαν ὡς ἐπὶ τὸ πλεῖστον δηλοῖ, ἐνίοτε δὲ καὶ πάθος ὡς ἐν τῷ, νῦν τοι ἐελδέσθω πόλεμος, Ἰλ. π', 494. ἀντὶ τοῦ ἀγαπάσθω. 1426, 48.

ἐέλδω ῥῆμα, ἴσον τῷ ἔλδω, καὶ ἐέλδωρ ὄνομα ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὸ ἕτερον τῶν δύο ε̄. 36, 40. 573, 10.

ἐέλδωρ τὸ ἐπιθύμημα, ἀπο τοῦ ἔλδω ῥήματος πλεονασμῷ τοῦ ε. 36, 38.

ἐελμένος, εἰλόμενος, ὅ ἐστιν ἐκκλειόμενος ἐν τῷ, ἧστο Διὸς βουλῇσιν ἐελμένος, Ἰλιάδ. ν', 524. 944, 64.

ἐέλσαι, ἤγουν εἰλῆσαι καὶ συγκλεῖσαι. 1237, 35.

ἐέργειν τὸ ἁπλῶς εἴργειν καὶ τὸ συγκλείειν καὶ περιέχειν. 358, 24. 1159, 38. καὶ ἐέργειν ἀντὶ τοῦ ἀφορίζειν ἐν τῷ, ἐπ' ἀριστερὰ λαὸν ἐέργων, Ἰλ. μ', 201. 19. 899, 58. καὶ ἀντὶ τοῦ διείργειν ἐν τῷ, ὅς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν, Ἰλ. ξ', 349. 1991, 17. καὶ ἐέργειν τὸ πράττειν, ὅθεν τὸ ἔοργα. 1765, 27.

ἐεργμένος, κατησφαλισμένος ἐν τῷ, τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν, Ἰλ. ε', 89. 526, 5.

ἐέργνυ ἀντὶ τοῦ καθείργνυεν ἐν τῷ,

καὶ ἐν συφεοῖσιν ἔέργνυ, Ὀδ. κ', 238. καὶ ἐέργνυσθαι ἀντὶ τοῦ εἴργνυσθαι. 1656, 25. 1657, 6.

ἔερκτο, συνεπέπλεκτο ἢ συνεκέκλειστο ἐν τῷ, χρύσειον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερκτο, Ὀδυσσ. ο', 460. 1788, 40.

ἔερσαι, εὐθεῖα τῶν πληθυντικῶν, ὅτι προπαροξύνεται ὡς ἀπὸ τῆς ἔερσα εὐθείας, καὶ ὅτι ἀπὸ τοῦ ἄρδω παρηγμένον παραλόγως δασύνεται. 991, 23.

ἐέρση, δρόσος, ὅτι ἐκ τοῦ ἔρση γέγονε πλεονασμῷ τοῦ ε. 830, 19. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ἔερσα, ὡς ἐκ τοῦ ἄελλα τὸ ἀέλλη. 991, 26. καὶ ὅτι δασύνεται παρὰ τοῖς Ἀττικοῖς ἡ λέξις, καὶ ὅτι καὶ ἕρση δισυλλάβως λέγεται. 1546, 46.

ἐέρχατο, ἤγουν καθειργμένοι ἦσαν, τρίτον πρόσωπον πληθυντικοῦ ὑπερσυντελίκου. 1659, 8.

ἐζευγμέναι πύλαι αἱ κεκλεισμέναι καὶ ἠσφαλισμέναι οἷα ζυγῷ τῷ μοχλῷ. 1142, 48.

ἐζεῦχθαι λέγονται αἱ ναῦς διὰ τὰ ἀπὸ τοίχου εἰς τοῖχον διήκοντα ξύλα, ἃ καὶ ζυγὰ παρὰ τοῦτο λέγονται. 1731, 63.

ἕζομαι ὅτι παθητικῶς ἀεὶ ἐκφωνεῖται παρ' Ὁμήρῳ, ἵζειν δὲ ἐνεργητικῶς. 348, 39.

εη λήγοντα θηλυκὰ παρώνυμα, δορὰς ζώων σημαίνοντα, ὅτι ἐκ τῶν διὰ τοῦ ειη γίνονται ἀποβολῇ τοῦ ι, οἷον παρδαλέη καὶ λυκέη ἐκ τῶν παρδαλείη καὶ λυκείη. 374, 39.

εη λήγοντα θηλυκὰ κτητικὰ, ἐκ τῶν διὰ τοῦ εια γενόμενα Ἰωνικῶς καὶ Ἀττικῶς, οἷον μαρμάρειος, τὸ θηλυκὸν μαρμάρεια καὶ μαρμαρέη. 393, 7.

εη καὶ ειη λήγοντα κτητικὰ, ἐπιτιθέμενα προσηγορικοῖς ὡς οἷα τινὰ μετουσιαστικὰ, οἷον βοέη ἡ ταυρείη ἀσπίς· καὶ ὅτι ἐκ τῆς ἐπιπολαζούσης καὶ προφαινομένης ὕλης τὰ τοιαῦτα οὕτω λέγονται. 1063, 63.

ἔηκα παρακείμενος ὅτι ἐκ τοῦ ἧκα γέγονε πλεονασμῷ τοῦ ε Ἀττικῶς. 1769, 59.

ἑῆος ἀντὶ τοῦ ἀγαθοῦ, ὅτι ἀπὸ τοῦ ἠΰς ἠέος κατὰ μετάθεσιν γέγονεν, ἢ ἀπὸ τοῦ ἥδω, ἢ τοῦ ἑῶ τὸ ἀπολαύω, ἑρμηνεία διεξοδική. 121, 15. 1770, 54. ἢ ἑῆος ἀντὶ τοῦ ἰδίου, διὸ καὶ δασύνεται. 1131, 44.

ἕης ἀντὶ τοῦ ἧς, γενικὴ ἄρθρου θηλυκοῦ ὑποτακτικοῦ ἐν τῷ, ἕης τοπρίν γ' ἐράασθε, Ἰλ. π', 208. ὅτι ἐκ τοῦ ἧς γέγονε πλεονασμῷ τοῦ ε, ὡς ἐκ τοῦ ὡς τὸ ἕως. 1055, 11. 1201, 8.

ἔθει ἀντὶ τοῦ ἔθεεν ἐν τῷ, ἡ δ' ἔθει οὐ μάλα πολλόν, Ὀδ. μ', 407. 1728, 44.

ἔθειν τὸ κατ' ἔθος τι ποιεῖν, ἢ τὰ συνήθη πράττειν. 773, 25. 1059, 6. 1240, 13.

ἔθειρα ἡ θρὶξ, παρὰ τὸ ἐθείρειν, ὃ δηλοῖ τὸ ἐξ ἔθους τι ποιεῖν, περὶ ἣν σύνηθές ἐστι πονεῖσθαι τοὺς φιλοκάλους. 1240, 14. καὶ ὅτι καὶ ἐθειρὰς λέγεται, ὡς παρὰ τὸ Μαῖα Μαιάς. 696, 56. 64. 773, 28. 1799, 24.

ἐθειράζειν τὸ ἐπιμελεῖσθαι τῶν τριχῶν, αἳ ἔθειραι καὶ ἐθειράδες λέγονται. 773, 28.

ἐθείρειν τὸ συνήθως ἐργάζεσθαι καὶ τὸ ἐξ ἔθους τι ποιεῖν. 1240, 8. 13.

ἐθέλειν ὅτι τρισυλλάβως ἀεὶ λέγεται παρ' Ὁμήρῳ. 104, 45. καὶ ὅτι τὸ ἐθέλειν ἐπὶ ἀψύχων ἀντὶ τοῦ δύνασθαι τίθεται παρ' Ὁμήρῳ, καὶ οὐκ ἐθέλειν ἀντὶ τοῦ μὴ δύνασθαι, οἷον ἐν τῷ, οὐδ' ἔθελε προρέειν, Ἰλιάδ. φ', 366. 1241, 48. καὶ ὅτι μέση λέξις ἐστὶ τὸ ἐθέλειν, ἤγουν μήτε μόνως ψεκτὴ μήτε μόνως ἐπαινετή. 884, 19.

ἐθελονταὶ παρὰ Θηβαίοις ἐλέγοντο μῖμοι τινὲς κωμικοί. 884, 22. 26.

ἐθελοντὴν, αἰτιατικὴ κατὰ θηλυκὸν γένος παρ' Ἡροδότῳ 1, 5. ἐν τῷ, ἐθελοντὴν τὴν Ἰὼ τοῖς Φοίνιξι συνεκπλεῦσαι. 1428, 22.

ἐθελοντὴρ ἀντὶ τοῦ ἐθελοντὴς, ὃ καὶ ἑκούσιος καὶ ἐθελούσιος καὶ ἑκοντὴς λέγεται. 1446, 11.

ἐθελοντὴς ὁ αὐθαιρέτως τι ποιῶν, καὶ ἐθελονταὶ διδάσκαλοι δραμάτων οἱ ἐκ τῶν ἰδίων χορηγοῦντες. 800, 30.

ἐθέλω τρισύλλαβον ὅτι οὐ μόνον παρὰ τῷ ποιητῇ, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ὡς ἐπιπολὺ ἐστὶν ἐν χρήσει. 800, 28.

ἐθέμωσεν, ἤγουν δυνατὸν ἐποίησε, ζήτει τὸ θεμῶσαι. 993, 12.

ἔθεν, γενικὴ ἀντωνυμικὴ, ὅτι ἐγκλίνεται ἐν τῷ, οὗ ἔθεν ἐστὶ χερείων, Ἰλ. α', 114. 61, 29.

ἔθλασμαι καὶ ἐθλασμένος ἀντὶ τοῦ τέθλασμαι καὶ τεθλασμένος. 1163, 27.

ἔθνεα χοίρων, τὸ πλῆθος τῶν χοίρων, Ὀδ. ξ', 73. καὶ ἔθνεα μελισσῶν αἱ μέλισσαι, καὶ ἔθνεα πόντου οἱ ἰχθύες. 1751, 22.

ἔθνη πολλαχοῦ τῆς γῆς πλανηθέντα καὶ διασπαρέντα, οἷον Λέλεγες, Καύκωνες καὶ Πελασγοὶ, ἱστορία. 1225, 42.

ἔθνη οὐ παρωνύμως ἀπὸ τῆς ἑαυτῶν χώρας, ἀλλ' ἑτερωνύμως καλούμενα παρ' Ὁμήρῳ, οἷον Τρῶες οἱ τὸ Ἴλιον οἰκοῦντες, καὶ Ἄβαντες οἱ τὴν Εὔβοιαν. 190, 32. 281, 18.

ἐθνικὰ ὀνόματα εἰς κύρια μεταληφθέντα, οἷον Ἀχαιὸς, Ἐπειὸς, Αἰγύπτιος, Ἴμβριος. 325, 42. 1431, 16.

ἐθνικὰ ὀνόματα ὅτι τετραχῶς λέγονται· ἢ γὰρ ἀπὸ ἔθνους ἢ ἀπὸ χώρας ἢ ἀπὸ πόλεως ἢ ἀπὸ βασιλέως, οἷον Ἕλλην καὶ Δαναὸς ἀπὸ Ἕλληνος καὶ Δαναοῦ τῶν βασιλέων. 1764, 52.

ἐθνικὰ θηλυκά τινα μὴ ἀπὸ τῶν ἰδίων ἀρσενικῶν παρωνύμως, ἀλλὰ κατὰ κτητικὸν τύπον λεγόμενα, οἷον Ἀττικὴ γυνὴ, οὐκ Ἀθηναία. implicite. 84, 11.

ἐθνικαὶ βλασφημίαι, παρωνύμως ἀπὸ τινῶν ἐθνῶν λεγόμεναι, οἷον Κρητίζειν καὶ Αἰγυπτιάζειν. 741, 20.

ἐθνικαὶ εἴτουν βαρβαρικαὶ λέξεις ἐπιχωριάσασαι τοῖς Ἕλλησιν, οἷον ἀχάνη, ἅβρα, ἀβυρτάκη, ἄγγαρος. 1854, 14.

ἐθνικῶν ἑτερωνυμία παρ' Ὁμήρῳ, οἷον ἀπὸ τοῦ Ἴλιον Τρῶες, καὶ ἀπὸ τοῦ Εὔβοια Ἄβαντες. 190, 32. 281, 18.

ἔθνος ἐπὶ ἀνθρώπων κυρίως, ἐπὶ δὲ μελισσῶν καὶ χηνῶν καὶ γεράνων καὶ κύκνων καὶ μυιῶν κα-

ταχρηστικῶς, καὶ ὅτι παρὰ τὸ ἔθος λέγεται. 178, 10. 12. 255, 19.

ἔθος καὶ ἐθίζεσθαι ὅτι ἐπὶ λογικῶν λέγεται κυρίως. 178, 11. 538, 31. καὶ ὅτι ἐπὶ ἀλόγων οὐκ εἴωθε λέγεσθαι. 255, 20.

ἔθω ἀντὶ τοῦ ἐσθίω, ὅτι ἐκ τοῦ ἔδω γέγονε τροπῇ Δωρικῇ τοῦ δ εἰς θ, ἢ ἐκ τοῦ ἔω τὸ πληρῶ πλεονασμῷ τοῦ θ. 452, 19. 773, 32. 44. 1562, 1.

ἐθῶν τινῶν Ἑλληνικῶν εἰς Λατίνους καὶ ἄλλα ἔθνη μετενεχθέντων κατάλογος. 1398, 55.

ει τὸ ε στοιχεῖον παρὰ τοῖς ἀρχαίοις. 511, 5.

ει συλλαβὴ ἀρκτικὴ λέξεων ποιητικῶν ἐκ προσλήψεως ἔχουσα τὸ ι, οἷον ἐρωτῶ εἰρωτῶ, ἕνεκα εἵνεκα, ἔνατος εἴνατος. 388, 35.

ει συλλαβὴ ἀρκτικὴ ῥημάτων ἀπὸ ἀρχομένων ὑπὸ τοῦ ε γενομένων προσλήψει τοῦ ι πρὸς μέτρου χρείαν, οἷον ἐῶ εἰῶ, ἐρύω εἰρύω, ἐρωτῶ εἰρωτῶ. 862, 22.

ει δίφθογγος ἐν ἀρχῇ ῥηματικῶν χρόνων ἐξ αὐξήσεως κειμένη, ὅτι ἀπὸ δασυνομένου ε ἄρχεσθαι τὸ θέμα κατηγορεῖ, οἷον ἕλκω εἷλκον, ἕρπω εἷρπον. 1641, 45.

ει δίφθογγος ὅτι εἰς η τρέπεται Δωρικῶς, οἷον πλείων πλήων, πλὴν ἐφ' ὧν ἐκ πλεονασμοῦ τοῦ ι γέγονεν ἡ δίφθογγος, οἷον ἐν τῷ ξένος ξεῖνος. 101, 6.

ει δίφθογγος ἀρκτικὴ ῥημάτων, διὰ τῆς η καταχρηστικῆς αὐξανομένη Ἀττικῶς, οἷον εἰκάζω ἤκαζον, εἴδω ᾔδειν, εἴω ᾖειν. 50, 18—25.

ει δίφθογγος ὅτι τρέπει τὸ ι εἰς ν κατὰ γλῶσσαν Ἀργείων καὶ Κρητῶν, οἷον σπείδω σπένδω, αἰεὶ αἰέν. 722, 60.

ει δίφθογγος πλεονάζουσα ἐν μέσῳ τινῶν λέξεων κατὰ τὰς παραγωγάς, οἷον ἀδελφὸς ἀδελφειός. 43, 34. 39.

ει δίφθογγος ἀντὶ τῆς οι κατὰ τὴν ἀρχαίαν Ἀτθίδα, οἷον δυεῖν ἀντὶ τοῦ δυοῖν, οἴκει ἀντὶ τοῦ οἴκοι, καὶ πεῖος ἀντὶ τοῦ ποῖος. 1907, 51.

ει δίφθογγος ὅτι ἐκθλίβεταί ποτε, οἷον ἐν τῷ, χώρ' εἰς ἀγῶνα, ἀντὶ τοῦ, χώρει εἰς ἀγῶνα. 1239, 28.

ει λήγουσαι δοτικαὶ Ἰωνικαὶ ἀπὸ εὐθειῶν εἰς ις διὰ καθαροῦ τοῦ ος κλινομένων, οἷον πόσις πόσιος, ἡ δοτικὴ τῷ πόσεϊ καὶ πόσει. 407, 38.

ει λήγοντα δεύτερα πρόσωπα παθητικῶν ὁριστικῶν χρόνων, οἷον βούλει, ὄψει· ζήτει ἐν τῷ, δεύτερα πρόσωπα. 641, 8.

ει λήγοντα τρίτα πρόσωπα παρατατικῶν τῆς πρώτης τῶν περισπωμένων ὅτι Ἰωνικῶς μὲν διὰ τοῦ εε προφέρονται, οἷον ἐποίεε, Δωρικῶς δὲ εἰς ην, οἷον ἐποίην. 1892, 39.

εἶ, δεύτερον πρόσωπον ῥήματος ὑπαρκτικοῦ, ὅτι ἐκ τοῦ ἔομαι τὸ δεύτερον ἔει γίνεται, καὶ κατὰ κρᾶσιν εἶ. 1723, 22.

εἰ σύνδεσμος προηγούμενος κώλου κατ' ἔλλειψιν ἀποδόσεως, ἢ ἀντὶ τοῦ ἄγε παρακελευστικοῦ λαμβανόμενος, ἢ ἐλλιπῶς προαιρετικοῦ ῥήματος, οἷον τὸ βουλοίμην ἢ τὸ ἤθελον ἂν ἐν τῷ, ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο ὄφρα τί οἱ εἴπω, Ἰλιάδ. ω', 74. 792, 45. 1339, 62.

εἰ σύνδεσμος ἐλλιπὴς ῥήματος προστακτικοῦ ἐν καταρχῇ ἀξιώσεως εἴτουν αἰτήσεως, οἷον ἐν τῷ, εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλησθα, Ἰλ. ο', 571. 1031, 32.

εἰ σύνδεσμος ἐν ἴσῳ τῷ εἴπως, τοῦτο δὲ ἀντὶ τοῦ ὅπως κατὰ συνδέσμων μετάληψιν, οἷον ἐν τῷ, εἴ τινά οἱ σὴν μῆτιν ἀμύμονα τεκτήναιτο, Ἰλ. κ', 19. καὶ ἐν τῷ, λίσσοιτ' εἰ δείξειε πόλιν καὶ εἵματα δοίη, Ὀδ. ζ', 144. 786, 59. 892, 51. 1286, 51. 1556, 2.

εἰ ἀντὶ τοῦ ἐπειδὴ ἐν τῷ, εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν, Ἰλ. ο', 460. 1025, 15.

εἰ σύνδεσμος ἀντὶ τοῦ ὅπως ἢ ἀντὶ τοῦ ἄγε ἢ ἀντὶ τοῦ εἴθε ἐν τῷ, ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες, Ἰλ. π', 559. 1075, 11.

εἰ ἀντὶ τοῦ ὅπως ἐν τῷ, εἰπεῖν Ἀτρείδῃ Ἀγαμέμνονι, εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι, Ὀδ. ξ', 497. 1768, 27.

εἰ δ' ἄγε, ἐν ἀρχῇ λόγου ἀντὶ τοῦ, εἶα ἄγε, παρακελευστικῶς, ἢ ἀντὶ τοῦ, εἰ δὲ βούλει ἄγε, κατ' ἔλλειψιν τοῦ βούλει, παρακελευστικῶς καὶ τοῦτο. 107, 18. 744, 37. 1080, 63. 1175, 19. 1316, 38. 1416, 39. 1519, 30. 1931, 54.

εἰ δέ, ὑποθετικὸν ἐλλιπὲς ῥήματος προαιρετικοῦ, ἵν' ᾖ τὸ πλῆρες, εἰ δὲ θέλεις. 734, 34.

εἴ μοι ἀντὶ τοῦ εἴθε μοι παρ' Εὐριπίδῃ ἐν τῷ, εἴ μοι τὸ Νεστόρειον εὔγλωττον μέλος, Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός. 1301, 37.

εια λήγοντα θηλυκὰ προπαροξύτονα, ἀπὸ κυρίων παρωνύμως λεγόμενα, πραγματείας εἴτουν συγγράμματα δηλοῦντα, οἷον Ὀδύσσεια ἡ τῶν κατὰ τὸν Ὀδυσσέα πραγματεία. 785, 20. 1380, 41.

εια λήγοντα προπαροξύτονα θηλυκά, ἀπὸ ληγόντων εἰς η ὁμογενῶν παρηγμένα, οἷον Ζέλη Ζέλεια, Κολώνη Κολώνεια, Πηνελόπη Πηνελόπεια. 449, 25. 1412, 54.

εια ληγόντων θηλυκῶν προπαροξυτόνων τῷ ι προπαραληγόντων σχηματισμός, οἷον ὑγεία ὑγίεια. 351, 36.

εια λήγοντα θηλυκά, ἀπὸ ἀρσενικῶν εἰς υς διὰ τοῦ ε κλινομένων παρεσχηματισμένα, ὅτι κατὰ πρόσληψιν τοῦ ι ἐκ τῶν διὰ τοῦ εα γίνονται, οἷον βαθέα βαθεῖα, ὠκέα ὠκεῖα, καὶ ὅτι ἀναλογωτέρα ἡ διὰ τοῦ εα κατάληξις. 348, 27. 1085, 59.

εια λήγοντα θηλυκὰ παρασύνθετα, ἀπὸ ὀξυτόνων εἰς υς ληγόντων γενόμενα, προπαροξύνονται, οἷον βαρὺς χαλκοβαρής, ὅθεν χαλκοβάρεια. 833, 37. 1017, 38.

εια λήγοντα θηλυκὰ προπαροξύτονα, ὅτι οἱ ἀρχαῖοι Ἀττικοὶ παρώξυνον τὰ τοιαῦτα καὶ τὴν λήγουσαν αὐτῶν μακρὰν ἐνόμιζον, εὐκλεία καὶ ἀναιδεία λέγοντες. 1579, 28.

εια λήγοντα θηλυκά, ἀπὸ ληγόντων εἰς ις ἀρσενικῶν ἢ εἰς ος οὐδετέρων διὰ τοῦ εος κλινομένων παρηγμένα, διὰ τοῦ ει γραφόμενα, οἷον ἴδρις ἀϊδρεία, ἔλεγχος ἐλεγχεία. 1449, 26.

εια λήγοντα οὐδέτερα πληθυντικὰ ἐπὶ ἑορτῶν κείμενα, ἀπὸ ὀνομάτων διὰ τοῦ εος κλινομένων παρη-

γμένα, οἷον Ἡρακλέος Ἡράκλεια, Διομεὺς Διομέως Διόμεια. 444, 20.

εια ληγόντων εὐκτικῶν ἀορίστου σχηματισμὸς καὶ σημασία ἰδία, ἑρμηνεία διεξοδική. 36, 46.

εἶα ἐπιῤῥήματος παρακελευσματικοῦ σχηματισμὸς καὶ ἐτυμολογία καὶ τόνος καὶ χρόνος. 107, 20—30. 1416, 41.

εἰαμενή, ὑγρὸς καὶ βοτανώδης τόπος. 501, 6. ἀλλαχοῦ δὲ κεῖται ἑρμηνεία διεξοδικὴ καὶ διάφοροι ἐτυμολογίαι τῆς λέξεως. 1035, 16. 1146, 47.

εἰανὸς ὅτι ἐκ τοῦ ἑανός γέγονεν ἐπενθέσει τοῦ ῑ, ἑανὸς δέ ἐστιν ἔνδυμα γυναικεῖον. 1042, 7.

εἶαρ καὶ ἔαρ τὸ αἷμα κατὰ γλῶσσαν. 1851, 43.

ειας λήγοντα ἐκ τῶν διὰ τοῦ εας γινόμενα ἐπενθέσει τοῦ ῑ, οἷον Ἑρμέας Ἑρμείας, ἐκ παραδείγματος. 562, 42.

εἵαται ἀντὶ τοῦ κάθηνται, ἢ ἀντὶ τοῦ εἰσὶν ἐν τῷ, εἵατ᾽ ἐνὶ μεγάροις ποτιδέγμεναι, Ἰλ. β', 137. 192, 3. ἀλλαχοῦ δὲ ὅτι εἵαται μετὰ ψιλοῦ πνεύματος ἀντὶ τοῦ εἰσὶν, Ἰλ. ib. ἀπὸ τοῦ ὦ περισπωμένου τὸ παθητικὸν εἶμαι, ὁ παρακείμενος ἧμαι ἧσαι ἧται, τὸ τρίτον τῶν πληθυντικῶν ἧνται, καὶ διαλύσει καὶ ἐπενθέσει τοῦ ῑ εἵαται, ὁμοίως καὶ ἧνται δασυτόνως ἀντὶ τοῦ κάθηνται, καὶ διαλύσει ἕαται καὶ εἵαται ὁμοίως. 1885, 40—57.

εἵατο, ἐκάθηντο ἢ ἔκειντο ἢ ἦσαν, ὡς ἀπὸ τοῦ εἰμὶ μετὰ ψιλοῦ πνεύματος· ὁμοίως εἵαται ἀντὶ τοῦ ἦσαν ἐν τῷ, εἵατ᾽ ἐνὶ μεγάροις ποτιδέγμεναι, Ἰλ. β', 137. ζήτει ἐν τῷ εἵαται. 1885, 40.

εἴβειν ὅτι ἐκ τοῦ λείβειν γέγονε περιαιρέσει τοῦ κατάρχοντος λ. 1471, 28. 1525, 8.

εἴβιμος ὁ στάζων, παρὰ τὸ εἴβειν, ὅ ἐστι λείβειν. 1471, 30.

Εἴβιμος κύριον ὅτι παρὰ τὸ εἴβειν λέγεται· ἀλλαχοῦ δὲ ὅτι εἴβιμος ὁ στάζων, παρὰ τὸ εἴβειν. 1336, 28. 1471, 30.

εἰδάλιμος, τὸ θηλυκὸν εἰδαλίμη, ἤγουν εὐειδὴς ἢ ἐπιστήμων, παρὰ τὸ εἰδέναι· ἰδάλιμον δὲ καῦμα, διὰ τοῦ ἰῶτα, παρὰ τὸ ἰδίειν. 1961, 24.

εἶδαρ ὅτι παρὰ τὸ ἔδω λέγεται. 919, 16.

εἴδατα τὰ ὄψα ἐν τῷ, εἴδατα πόλλ᾽ ἐπιθεῖσα, παρ᾽ Ὁμήρῳ πρὸς διαστολὴν τῶν ἄρτων. 1402, 3.

εἰδείη ὅτι συνεκδρομὴν ἔπαθε πρὸς τὸ τυφθείη καὶ τὰ τοιαῦτα, ἄλλως γὰρ ὡς ἐκ τῆς εἰδὼς μετοχῆς οὐχ᾽ οὕτως ὤφειλεν ἔχειν. 1046, 42.

εἰδείην εἰδείης, εὐκτικὸν ὅτι ἐκ τοῦ εἴδοιμι εἴδοις μεταπέπλασται. 1530, 25. ἀλλαχοῦ δὲ ὅτι ἀπὸ τῆς εἰδεὶς εἴδεντος Αἰολικῆς μετοχῆς τοῦ εἰδῶ θέματος ἐσχημάτισται. 666, 38. 1787, 44.

εἰδέναι γενικῇ πολλαχοῦ παρ᾽ Ὁμήρῳ. 811, 56. 900, 44.

εἰδέναι, ὅτι τὸ, εὖ εἰδὼς, ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ συντάσσεται παρ᾽ Ὁμήρῳ. 1624, 60.

εἴδεται ἀντὶ τοῦ φαίνεται καὶ εἰδοποιεῖται. 729, 56.

εἴδετε ἀντὶ τοῦ γινώσκετε ἢ βλέπετε ἐν τῷ, εἴδετ᾽ ἀκούουσαι ὅσ᾽ ἐμῷ ἐνὶ ἄλγεα θυμῷ, Ἰλιάδ. σ', 53. 1130, 20.

εἰδέω εἰδῶ εἰδήσω, ὁ παρακείμενος εἴδηκα, τὸ ἀπαρέμφατον εἰδηκέναι καὶ συγκοπῇ εἰδέναι, ἡ μετοχὴ εἰδηκὼς καὶ συγκοπῇ εἰδώς. 981, 22. 1801, 23.

εἰδήμων ὅτι ἐκ τοῦ παθητικοῦ παρακειμένου τοῦ εἰδέω εἰδῶ ῥήματος παρῆκται. 981, 29.

ειδης λήγοντα κύρια τῇ ει διφθόγγῳ παραλήγοντα, ἀπὸ ληγόντων εἰς ευς παρηγμένα, οἷον ἀριστεὺς Ἀριστείδης, βασιλεὺς Βασιλείδης. 1499, 1.

εἰδικὸν ὄνομα ἐπαγόμενον τῷ γενικῷ κατὰ σχῆμα περιβολῆς, οἷον ἐν τῷ, σῦς κάπριος, καὶ, βοῦς ταῦρος. 1734, 18.

Εἰδοθέα, θυγάτηρ Πρωτέως τοῦ εἰς τὴν πρωτόγονον ὕλην ἀλληγορουμένου, ὅτι παρὰ τὸ εἰς εἶδος θέειν, ὅ ἐστι κινεῖσθαι, τὰ γινόμενα οὕτω λέγεται, ἀλληγορία διεξοδική. 1503, 11.

Εἰδοθέεια Ἰωνικῶς ἢ κοινῶς Εἰδοθέα, ζήτει τὸ Εἰδοθέα. 1501, 52.

εἰδομαλίδης ὁ τὰ μῆλα τοῦ προσώπου καλλωπιζόμενος. 1412, 31. 1571, 43.

εἶδον ὅτι τὰ μὲν πλείω διὰ τοῦ ῑ γράφεται παρ᾽ Ὁμήρῳ λόγῳ ἀορίστου δευτέρου, ὅθεν τὸ ἰδεῖν ἀπαρέμφατον καὶ ἡ ἰδὼν μετοχὴ, ἐνίοτε δὲ καὶ διὰ διφθόγγου γράφεται παρατατικοῦ λόγῳ, σημασίαν δ᾽ ὅμως ἀορίστου ἔχει. 181, 30. 472, 22.

εἶδος ἡ εὐείδεια παρ᾽ Ὁμήρῳ, ζήτει ἐν τῷ φυή. 172, 45.

εἶδος τὴν εἴδησιν ἐνόησάν τινες, ἐν οἷς Ὅμηρος τὴν Κασσάνδραν εἶδος ἀρίστην λέγει. 937, 48.

εἰδυῖα μετοχικῶς ἀντὶ τοῦ γινώσκουσα, τὸ ῑ δίφθογγον, ἰδυῖα δὲ ὀνοματικῶς ἀντὶ τοῦ ἐπιστημονική, τὸ ῑ ἰῶτα. 1193, 26.

εἰδυίῃσιν ἀντὶ τοῦ εἰδυίαις, ὅ ἐστιν ἐπιστήμοσιν, ὅτι ὡς μὲν μετοχὴ διὰ διφθόγγου γράφεται, ὡς δὲ μετοχικὸν ὄνομα καὶ διὰ τοῦ ῑ. 1570, 38.

εἴδυοι οἱ μάρτυρες ἐν τοῖς Δράκοντος καὶ Σόλωνος νόμοις, καὶ ἴδυοι διὰ τοῦ ῑ ὁμοίως μάρτυρες ἢ συνίστορες. 1158, 20.

εἴδω τὸ βλέπω καὶ τὸ γινώσκω, ὃ καὶ εἰδῶ εἰδήσω περισπωμένως λέγεται, ὅθεν εἰδήμων καὶ εἴδησις. 16, 24. 1013, 12.

εἴδωλα νεκρῶν ἐντετυπωμένα τῷ ἀέρι· ζήτει ἐν τῷ, νεκρῶν εἴδωλα. 1672, 18.

εἰδωλεῖον ὁ τῶν εἰδώλων ναός. 1562, 50.

εἴδωλον Αἰνείου μυθευόμενον, Ἰλ. ε', 449. διαφόρως ἀλληγορούμενον διεξοδικῶς. 569, 44.

εἴδωλον, ὅτι λεπτότερόν τι ψυχῆς ἢ σκιᾶς δοξάζει Ὅμηρος τὸ εἴδωλον ἐν τῷ, ἤ τί μοι εἴδωλον τόδε Περσεφόνεια ὤτρυνεν, Ὀδ. λ', 213. ἀλλαχοῦ δὲ εἰς ταὐτὸν ἄγει εἴδωλον καὶ σκιὰν καὶ ὄνειρον. 1679, 60.

εἴδωμεν, ὑποτακτικὸν παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ εἰδῶμεν· καὶ ὅτι ἐνεστῶτος ἐστὶν ἡ φωνὴ καὶ ἄχρηστος πεζῷ λόγῳ. 118, 26. 1455, 15.

εἰδώς, γενικῇ συντεταγμένον παρ᾽ Ὁμήρῳ, ὅτι οὐχ᾽ ὡς μετοχὴ λαμβάνεται, ἀλλ᾽ ἀντὶ ὀνόματος τοῦ τεχνίτης καὶ εἰδήμων καὶ ἐπιστη-

μων, ἢ ἀντὶ τοῦ τέχνην ἔχων καὶ εἴδησιν. 1410, 63.

εἰδὼς μετοχὴ γενικῇ ἐλλειπτικῶς τοῦ εὖ ἐπιῤῥήματος ἐν τῷ, μὴ πρὶν εἰδυῖα τόκοιο, Ἰλιάδ. ρ', 5. 1091, 61.

εἰδὼς πολέμου, ὅτι καὶ καθ' αὑτὸ γενικῇ συντάσσεται τὸ εἰδὼς παρ' Ὁμήρῳ, ὁμοίως τῷ, εὖ εἰδώς. 463, 43. 762, 7.

εἰδὼς ἡ ἡμέρα, ὅτι ἐκ τοῦ παρ' Ὁμήρῳ, εἴδεται ἦμαρ, ἀφορμὴν ἔσχεν ἡ λέξις. 921, 53.

εἰδὼς μετοχὴ ὅτι οὐ μόνον γενικῇ, ἀλλὰ καὶ αἰτιατικῇ ἐνίοτε συντάσσεται παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, εἰδότες ἄμφω κέρδεα, Ὀδ. ν', 296. 1323, 14.

εἰδὼς μετοχὴ ὅτι ἐκ τοῦ εἰδηκὼς συγκέκοπται, ὃ ἐκ τοῦ εἰδέω εἰδῶ θέματος κεκίνηται. 981, 28. 1624, 20.

ειει λήγοντα τρίτα πρόσωπα ῥηματικὰ καὶ ειειν ἀπαρέμφατα ἐκ τῶν διὰ τοῦ ει καὶ ειν παρηγμένα, οἷον θέει θείει, πλέειν πλείειν, ἐκ παραδείγματος. 658, 53.

εἶειν ἀντὶ τοῦ ἦλθε, τρίτον πρόσωπον ὑπερσυντελίκου, ὅτι ἐκ τοῦ εἴεεν ἐσχημάτισται Ἰωνικῶς, ὡς ἐκ τοῦ ἤσκεεν τὸ ἤσκειν. 882, 2.

εἶεν, τρίτον πρόσωπον ῥηματικὸν, ζήτει ἐν τῷ εἶτε. 1906, 43.

ειη λήγοντα θηλυκὰ ἀπὸ οὐδετέρων εἰς ος ληγόντων συνῃρημένως κλινομένων παρηγμένα, οἷον ἔγχος ἐγχείη. 422, 4.

εἴη ἀντὶ τοῦ ὑπάρχοι καὶ ἀντὶ τοῦ πορεύοι, ὅτι ἀπὸ τοῦ εἴω. 1770, 47.

εἴη ἀντὶ τοῦ ἔσται ἐν τῷ, εἴη κεν καὶ τοῦτο, εἴ μοι ἐθέλοιτέ γε ναῦται ὅρκῳ πιστωθῆναι, Ὀδ. ο', 435. 1787, 38.

εἴην εἴης εἴη, εὐκτικὸν ὅτι οὐκ ἀπὸ τῆς ὢν μετοχῆς, ἀλλ' ἀπὸ τῆς εἰς ἔντος ἔοικε κεκινῆσθαι, ἢ ἀπὸ τῆς ὢν τοῦ ὦ περισπωμένου ῥήματος, ἵνα ὡς ἀπὸ τοῦ φρονῶν φρονοίην, οὕτω καὶ ἐκ τοῦ ὢν γένηται οἴην καὶ τροπῇ Αἰολικῇ τῆς οι εἰς ει εἴην. 1756, 8 — 13. ἀλλαχοῦ δὲ ὅτι οὐκ ἀπὸ τοῦ ὦ περισπωμένου, ἀλλ' ἀπὸ τῆς εἰς ἔντος μετοχῆς τοῦ εἰμὶ θέματος. 1787, 40.

εἶθαρ ἐπίῤῥημα ὅτι ἐκ τοῦ εὐθὺς γέγονε τροπῇ τοῦ ῡ εἰς ῑ. 552, 45.

εἴθε τόδε γενέσθαι, φράσις ἐλλειπτική. 1581, 17.

εἰκὰς εἰκάδος, ἐτυμολογία καὶ σχηματισμὸς, ζήτει ἐν τῷ εἴκοσι. 1428, 27.

εἰκαστικὴ ἀλληγορία, ὑπονοίας εἶδος, διὰ τὸ ταὐτὸν εἶναι τὸ εἴσκειν καὶ τὸ ὑπονοεῖν. 1238, 46.

εἶκε διὰ διφθόγγου ἀντὶ τοῦ ἐῴκει ἢ ἔπρεπεν, ἧκε δὲ διὰ τοῦ η ἀντὶ τοῦ καθῆκε. 1160, 18.

εἰκὸς τὸ πρέπον, ὅτι παρὰ τὸ εἴκω λέγεται. 759, 1. 4. καὶ εἰκὸς οὐδέτερον μετοχικὸν ἀντὶ τοῦ ἐοικὸς, ἀπὸ τοῦ εἴκω, ὃ δηλοῖ τὸ ὁμοιῶ. 714, 56.

εἴκοσι ὅτι παρὰ τὸ εἰκὰς εἰκάδος λέγεται, ἡ δὲ εἰκὰς παρὰ τὸ ῑ, ὃ σημαίνει τὰ δέκα, καὶ τὸ ἑκὰς λέγεται, οἱονεὶ ἰεκὰς, τουτέστι δευτέρα δεκὰς, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν εἰκὰς, ὅθεν τὸ εἴκοσι. 1428, 27.

εἴκοσι ὅτι καὶ εἴκοσιν μετὰ τοῦ ν̄ λέγεται, καὶ ὅτι ἐν τῇ συνθέσει ποτὲ μὲν φυλάσσει τὸ καταλῆγον ῑ, οἷον εἰκοσίπηχυ, ποτὲ δὲ εἰς ᾱ τρέπει, οἷον εἰκοσαστάδιον, καὶ ὅτι τῶν νεοτέρων ἐστὶν ἡ διὰ τοῦ ᾱ προφορὰ τῶν τοιούτων. 1273, 35. 1417, 30.

εἰκοσινήριτον, εἰκοσαπλοῦν, ἐτυμολογία διεξοδικωτάτη καὶ σχηματισμὸς τῆς λέξεως. 1273, 29.

εἰκόσορος ναῦς ἡ εἴκοσιν ἐρέσσοντας ἔχουσα, παρὰ τὸ ἐρέσσειν τροπῇ τοῦ ε̄ εἰς ο̄. 1417, 28. 1631, 26.

εἴκτην, τρίτον τῶν δυϊκῶν χρόνον ὑπερσυντελίκου ἀπὸ τοῦ εἶκα παρακειμένου, ὃς ἐν διαλύσει ἔϊκα λέγεται. 1480, 50.

ἔϊκτο, ὡμοίωτο καὶ ἐῴκει. 1288, 7.

ἔϊκτον ὅτι τρίτον ἐστὶ τῶν δυϊκῶν παρακειμένου χρόνου, οὗ πρῶτον τὸ εἶκα καὶ διαλύσει ἔϊκα. 1480, 50.

εἰκυῖα, ἀντὶ τοῦ ἐοικυῖα, καὶ εἰκὸς ὅτι ἐκ τοῦ εἴκω, ὃ δηλοῖ τὸ ὁμοιῶ, κεκίνηνται. 759, 1. 4. 1714, 16. καὶ ὅτι οὐκ ὤφειλον ἔχειν τὸ σύμφωνον τοῦ ἐνεστῶτος, ἔσχον δ' ὅμως πρὸς τὸ εὐφωνότερον. 714, 54.

εἰκὼ εἰκοῦς, ταὐτὸ ὅπερ εἰκὼν εἰκόνος. 829, 1.

εἴκω τὸ ὁμοιῶ, ὁ παρακείμενος εἶκα, ὅθεν τὸ εἰκυῖα παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐοικυῖα, καὶ εἰκὸς ἀντὶ τοῦ ἐοικός· ζήτει τὸ εἰκυῖα καὶ τὸ εἰκός. 714, 54.

εἰκὼν ἡ παραβολὴ, ὅτι παρὰ τὸ εἴκω λέγεται, ὃ δηλοῖ τὸ ὁμοιῶ. 41, 1. 525, 41. 582, 25.

εἰλαπιναστὴς, σύνδειπνος ἢ παράσιτος, καὶ εἰλαπιναστὴς Ζεὺς ἐπωνυμικῶς παρὰ Κυπρίοις, καὶ ὅτι παρὰ τὸ εἰλαπίνη λέγεται. 118, 58. 119, 12. 1413, 23.

εἰλαπίνη, θυσία καὶ παρασκευὴ λαμπροτέρα. 1119, 11. ἀλλαχοῦ δὲ ὅτι εἰλαπίνη εὐωχία πολυτελὴς, παρὰ τὸ κατὰ εἴλας πίνειν λεγομένη, ἢ παρὰ τὸ λάπτειν διὰ τὸ λαπτικὸν, ὅ ἐστι δαπανηρὸν, τῶν τοιούτων παρασκευῶν. 1413, 1. 1831, 15.

εἶλαρ, φυλακὴ, ἀσφάλεια, φραγμὸς, παρὰ τὸ εἰλεῖν, ὅ ἐστι συγκλείειν· καὶ κύματος εἶλαρ, κατὰ συνθήκην παρ' Ὁμήρῳ τὸ ἄνω περὶ τοὺς τοίχους τῆς νεὼς πλέγμα. 684, 22. 966, 53.

εἰλάτινον τὸ ἐξ ἐλάτης γεγονὸς μετουσιαστικῶς, καὶ ὅτι ἐξ ἐπενθέσεως ἔχει τὸ ῑ. 986, 15. 1359, 8.

Εἰλείθυια ἡ εἰς φῶς ἔλευσις καὶ προαγωγὴ τοῦ κυοφορουμένου, ὅτι παρὰ τὸ ἐλεύθειν λέγεται ἐπενθέσει τοῦ ῑ κατ' ἀρχὰς καὶ τροπῇ τοῦ ῡ τῆς ευ διφθόγγου εἰς ῑ, καὶ περὶ τῆς παραληκτικῆς γραφῆς, ἑρμηνεία διεξοδική· καὶ ὅτι Ἥρας θυγατέρες αἱ Εἰλείθυιαι μυθεύονται. 843, 62 — 844, 15.

Εἰλείθυιον, Εἰλειθυίας ἱερόν. 1053, 61.

εἰλεῖν, συστρέφειν, στρεβλοῦν, πιέζειν ἐλαίας ἢ σταφυλὰς, καὶ εἰλεῖν τὸ συνάγειν εἰς ταὐτὸ σταφυλάς. 947, 5. καὶ ὅτι καὶ εἴλειν βαρυτόνως λέγεται ἀντὶ τοῦ εἰλεῖν. 1561, 35. καὶ εἰλεῖν ὁμωνύμως τὸ ἐν ἡλίῳ ξηραίνειν παρὰ τὴν ἕλην. 1573, 45.

εἰλεῖσθαι ἐν ἴσῳ τῷ συγκλείεσθαι. 1144, 1. 1152, 61.

εἰλεὸς ὅτι ἐκ τοῦ ἐλεὸς, ὃ δηλοῖ

τὴν μαγειρικὴν τράπεζαν, γέγονεν ἐπενθέσει τοῦ ι. 749, 4. 1766, 44.

εἵλη ταὐτὸ ὅπερ ἕλη. 700, 18. 1573, 44.

εἱληθερεῖν καὶ εἱληθερεῖσθαι τὸ ἡλιάζεσθαι. 700, 18. 1573, 45.

εἱληθερὲς ὕδωρ τὸ ὑπὸ ἡλίου τεθερμασμένον, ὅτι παρὰ τὴν ἕλην λέγεται. 700, 18. 1573, 46.

εἰλήλουθα, ὁ μέσος παρακείμενος ἤλευθα καὶ Ἀττικῶς εἰλήλυθα καὶ Βοιωτικῶς ἐλήλουθα καὶ Ἰωνικῇ προσθέσει τοῦ ι ἐν τῇ ἀρχούσῃ εἰλήλουθα, τὸ πρῶτον τῶν πληθυντικῶν εἰληλούθαμεν καὶ συγκοπῇ εἰλήλουθμεν. 734, 54.

εἰλήλουθμεν ὅτι ἐκ τοῦ εἰληλούθαμεν συνεκόπη, ὡς ἐκ τοῦ ἐπεπίθομεν τὸ ἐπέπιθμεν, ἑρμηνεία διεξοδική, ζήτει ἐν τῷ εἰλήλουθα. 734, 56.

εἱλημένος ἀντὶ τοῦ λελημένος κατὰ ἀποβολὴν τοῦ ἀρκτικοῦ λ πρὸς τὸ εὐφωνότερον. 1570, 25.

εἰλίποδες βόες οἱ τοὺς πόδας κατὰ τὴν πορείαν ἑλίσσοντες, καὶ ὅτι καὶ εἰλίποδες γυναῖκες διὰ τὴν ἔνδεσιν τῶν μηρῶν λέγονται. 1394, 39. καὶ ὅτι Αἰολικῶς ψιλοῦται ἡ λέξις. 1072, 12.

εἰλίχατο, ἤγουν εἰλιγμένοι ἦσαν, τρίτον πρόσωπον πληθυντικὸν παθητικοῦ ὑπερσυντελίκου, καὶ ὅτι ἐκ τοῦ εἵλικτο τρίτου ἑνικοῦ ἐσχημάτισται. 1625, 52. 1659, 9.

εἵλκεον, τρίτον πρόσωπον παρατατικοῦ, ὅτι ἀπὸ τοῦ ἑλκέω ἑλκῶ θέματος κεκίνηται. 1111, 49.

εἵλκησε, τρίτον πρόσωπον ἀορίστου, ὅτι ἀπὸ τοῦ ἑλκέω ἑλκῶ θέματος κεκίνηται. 1111, 50.

εἰλόμενος ἀντὶ τοῦ εἰλούμενος, διφορεῖται γὰρ καὶ τὸ στερόμενος ἀντὶ τοῦ στερούμενος καὶ ἐπιμελόμενος ἀντὶ τοῦ ἐπιμελούμενος. 538, 45.

εἰλόπεδον, πέδον ἕλῃ βαλλόμενον, ὅ ἐστι τῇ τοῦ ἡλίου θερμασίᾳ, καὶ πλεονασμῷ τοῦ θ θειλόπεδον, ὅθεν καὶ θειλοπεδεύω ῥῆμα, ζήτει τὸ θειλόπεδον. 43, 37.

εἴλυμα, κάλυμμα, ὅτι ἐκ τοῦ εἰλύω ἢ εἴλυμι, ὅ ἐστι καλύπτω, παρήχθη, καὶ εἴλυμα σπείρου παρ' Ὁμήρῳ, ἤγουν κάλυμμα ῥάκους. 1540, 20. 1558, 24.

εἰλυμένος, κεκαλυμμένος, ἀπὸ τοῦ εἰλύω, ὅ ἐστι καλύπτω. 1160, 23.

εἰλυὸς ὁ φωλεός, ὅτι παρὰ τὸ εἰλύω, ὅ ἐστι καλύπτω, λέγεται. 1238, 3. 1540, 19. 1895, 39. καὶ ὅτι καὶ αἱ τῶν ὄφεων καταδύσεις εἰλυοὶ λέγονται. 1259, 33.

εἰσύσπωμα ἡ κατ' ὄφιν καὶ σκώληκα κίνησις, παρὰ τὸ εἰλεῖσθαι καὶ σπᾶσθαι, ὅ ἐστι κινεῖσθαι, καὶ ῥῆμα ἰλυσπᾶσθαι· καὶ ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῆς ἀρχούσης. 1413, 33.

εἰλύσω ἀντὶ τοῦ κατακρύψω ἐν τῷ, κὰδ δέ μιν αὐτὸν εἰλύσω ψαμάθοισιν, Ἰλ. φ', 319. 1237, 56.

εἰλῦται, ὅ ἐστι κεκάλυπται, ὅτι ἐκ τοῦ εἰλύαται κέκραται, διὸ καὶ περισπᾶται. 905, 24.

εἴλυτο, τρίτον πρόσωπον ῥηματικόν, ὅτι ἀπὸ τοῦ εἴλυμι θέματος κεκίνηται ἢ ἐκ τοῦ εἰλύετο συνεκόπη. 1079, 44. 1540, 19.

εἰλυφάζειν τὸ πανταχοῦ εἰλεῖν, ὅτι παρὰ τὸ εἰλῶ εἰλύω γίνεται εἰλυφῶ, ὅθεν τὸ εἰλυφάζω κατὰ τρεῖς παραγωγάς. 1218, 10.

εἰλυφᾶν, ζήτει ἐν τῷ εἰλυφάζειν. 837, 62. 838, 1.

εἰλύω ὅτι ἐκ τοῦ εἰλέω εἰλῶ παρῆκται, ὅθεν εἰλύαται ἀντὶ τοῦ κεκαλυμμένοι εἰσί. 536, 23. 1895, 39. καὶ ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῆς ἀρχούσης. 1238, 4.

Εἵλωτες, ὅτι πάντες οἱ δοῦλοι Εἵλωτες ἐλέγοντο ἀπὸ τῶν τοῦ Μεσσηνιακοῦ Ἕλους Εἱλώτων, οἳ ἐδούλευσάν ποτε Λακεδαιμονίοις. 295, 23. 1834, 28. καὶ ὅτι καὶ οἱ ἐπὶ Ταινάρῳ Σάτυροι Εἵλωτες ἐλέγοντο ὁμωνύμως. 297, 34. καὶ ὅτι πρὸς ταῖς ἄλλαις κακώσεσι καὶ πληγὰς τεταγμένας κατ' ἐνιαυτὸν ἐλάμβανον οἱ Εἵλωτες πρὸς τῶν Λακεδαιμονίων. 1754, 58.

εἷμα παρὰ τὸ ἕω προσλήψει τοῦ ι, δηλοῖ δὲ ἔνδυμα εἴτουν ἱμάτιον. 427, 19. 1081, 5. 1430, 18. καὶ ὅτι δασύνεται ἡ λέξις ὡς παρὰ τὸ ἕω γενομένη. 1552, 16.

εἱμαρμένη ὅτι παρὰ τὸ μείρω, ὅ ἐστι μερίζω, λέγεται. 1200, 14. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸν εἱρμὸν λέγεται, οἱονεὶ εἱρμαμένη τις οὖσα διὰ τὸν κατ' αὐτὴν εἱρμόν. 1847, 42.

εἱμαρμένη, ὅτι θυσίαις καὶ εὐχαῖς ἀναστρέφεται τὸ εἱμαρμένον. 626, 20. καὶ ὅτι οὐχ' ἁπλῶς εἵμαρται ὃ εἵμαρται, ἐκ διαφόρων ῥητῶν Ὁμηρικῶν συναγόμενον. 760, 10.

εἶμ' ἐκ Παιονίης, ἀντὶ τοῦ εἶμι ἢ ἀντὶ τοῦ εἰμὶ ἐκ Παιονίας. 1228, 24.

ειμεν καὶ ειτε προπερισπωμένως λήγοντα πρῶτα καὶ δεύτερα πρόσωπα εὐκτικά, ἐκ τῶν διὰ τοῦ ειημεν καὶ ειητε ληγόντων συγκοπέντα, οἷον διακριθεῖμεν καὶ διακριθεῖτε ἀντὶ τοῦ διακριθείημεν καὶ διακριθείητε. 176, 12. 388, 27. 1907, 46.

εἰμὲν ἀντὶ τοῦ ἐσμέν, ὅτι ἐκ τοῦ ἐμὲν γέγονε προσθέσει τοῦ ι. 1457, 44. 49. καὶ ὅτι ἀναλογώτερόν ἐστιν ἢ τὸ ἐσμέν. 616, 21. 780, 33. 36. καὶ ὅτι καὶ εἰτὲ κατὰ δεύτερον πρόσωπον λέγεται ἀντὶ τοῦ ἐστέ. 1907, 43.

εἱμένον χαλκῷ δόρυ, ἤγουν ἐνδεδυμένον ἢ κεκαλυμμένον χαλκῷ ἐν τῷ, κατὰ στόμα εἱμένα χαλκῷ, Ἰλ. ο', 389. 1021, 36.

εἱμένος ἀλκήν, καὶ φρεσὶν εἱμένος ἀλκήν, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἔχων ἔννουν ῥωμαλεότητα. 1212, 13.

εἶμι τὸ πορεύομαι βαρυτόνως, παρὰ τὸ ἴω προσλήψει τοῦ ι, καὶ περὶ τῆς διὰ διφθόγγου γραφῆς τοῦ εἶμι καὶ τοῦ εἰμὶ ἑρμηνεία διεξοδική. 1442, 43.

εἶμι τὸ πορεύομαι, ὅτι ψιλοῦται διὰ τὴν ἐπένθεσιν τοῦ ι, καίτοι παρὰ δασυνομένου ἕω γενόμενον. 1407, 53.

εἶμι τὸ πορεύομαι, ὅτι καὶ ἶμι διὰ τοῦ ι γράφεται ὡς ἀπὸ τοῦ ἴω, καὶ ὅτι καὶ τὸ πρωτότυπον εἴω διφορεῖται καὶ αὐτὸ κατὰ τὴν γραφὴν τῆς παραληγούσης. 782, 7. 1126, 50. 1254, 10. 1664, 14. 17.

εἰμὶ ὑπαρκτικὸν παρὰ τὸ ἕω ἐμὶ καὶ εἰμί, τὸ δεύτερον εἶς ἐκ τοῦ ἐς ἐπενθέσει τοῦ ι καὶ ποιητικῶς ἐσσὶ δυσὶ σσ, καὶ περὶ τῆς σκευωρίας τοῦ ἐσσὶ ἑρμηνεία διεξοδική, καὶ

ὅτι οὐδέποτε ἐφέλκεται τὸ ν̄. 76, 25. ἀλλαχοῦ δὲ ὅτι τὸ εἰμὶ οὕτω σκευωρεῖται, ἀπὸ τοῦ ῶ περισπωμένου ῥήματος γίνεται ἦμι παράγωγον διὰ τοῦ η, καὶ τροπῇ Βοιωτικῇ καὶ καταβιβασμῷ τοῦ τόνου εἶμί. 1613, 16.

εἰμὶ ὑπαρκτικὸν ἐκθλῖβον τὸ ληκτικὸν ῑ καὶ ἀναβιβάζον τὸν τόνον ἐν τῷ, εἶμ' ἐκ Παιονίης ἐριβώλακος. 1228, 24.

εἰμὶ, ὅτι ἐπὶ τῶν εἰς μῑ ὑπὸ φωνήεντος ἀρχομένων δεῖ τὸν παρακείμενον μιᾷ ἐνδεῖν συλλαβῇ τοῦ ἰδίου ἐνεστῶτος· διὰ τοῦτο ἐξέλιπεν ὁ τοῦ εἰμὶ παρακείμενος, ἵνα μὴ μονοσύλλαβος παρακείμενος εὑρεθῇ. 1769, 58.

εἰμὶ ὅτι τῶν εἰς μῑ ληγόντων βαρυνομένων αὐτὸ ὀξύνεται, καὶ ὅτι μόνα διφθόγγῳ παραλήγονται Βοιωτικῶς τὸ εἰμὶ καὶ τὸ εἶμι, ὅ ἐστι πορεύομαι, ἑρμηνεία διεξοδική. 1442, 44 — 50.

ειν λήγοντα τρίτα πρόσωπα παρατατικῶν τῆς πρώτης τῶν περισπωμένων, οἷον ἤσκειν ἀντὶ τοῦ ἤσκεε, ἐκ παραδείγματος. 427, 46.

ειν λήγοντες παρατατικοὶ τῆς πρώτης συζυγίας τῶν εἰς μῑ, ἀπὸ τῶν εἰς ην κατ' ἐναλλαγὴν τῆς ληγούσης γενόμενοι, οἷον ἐτίθειν ἀντὶ τοῦ ἐτίθην. 1500, 54.

ειν λήγοντα τρίτα πρόσωπα ὑπερσυντελίκων, οἷον εἴειν ὁ δεῖνος ἀντὶ τοῦ εἴει, ὅ ἐστιν ἐληλύθει. 881, 64.

ειν λήγοντα ἀπαρέμφατα περισπώμενα ὅτι εἰς εν ὀξύτονον μεταποιοῦνται Δωρικῶς, ἐκ τούτου δὲ εἰς εμεν καὶ εμεναι. 54, 33. 69, 40.

εἰν ἡ ἐν πρόθεσις, ζήτει ἐν τῷ, ἐν πρόθεσις. 30, 22.

ειναι καὶ ουναι λήγοντα ἀπαρέμφατα εἰς εμεν καὶ ομεν μετασχηματιζόμενα, οἷον θεῖναι θέμεν, δοῦναι δόμεν· ἐξ ὧν ἑτέρα κίνησις διὰ τοῦ εμεναι καὶ ομεναι, οἷον θέμεναι, δόμεναι. 70, 1.

εἶναι ἐν ἴσῳ τῷ γενέσθαι, ὅτι Ὅμηρος εἰς ταὐτὸν ἄγει τὸ εἶναι τῷ γενέσθαι, ἀδιαφόρως χρώμενος τῷ, εὔχεται εἶναι, καὶ, εὔχεται ἐκγεγάμεν, καὶ τῷ, θεοὶ αἰειγενέται, καὶ, αἰὲν ἐόντες. 543, 46. καὶ εἶναι ἀντὶ τοῦ περιεῖναι, ὅ ἐστι ζῆν, ἐν τῷ, πατρὸς καὶ μητρὸς ἐόντων. 1563, 64.

εἶναι τῶν φόβων, ἀντὶ τοῦ φοβηθῆναι, φράσις ὁμοία τῇ παρ' Ὁμήρῳ, εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα Πηλείδῃ, Ἰλ. ρ', 640. 1121, 29.

εἶναι φωνὴ παρέλκουσα ἐν τῷ, σήμερον εἶναι, ὡς καὶ ἐν τῷ, ἑκὼν εἶναι. 205, 32. 828, 2.

εἶναι ἀντὶ τοῦ ἰέναι, ὅτι κατὰ μετάθεσιν καὶ συναίρεσιν τοῦ ε̄ καὶ ῑ εἰς τὴν ει δίφθογγον γέγονε. 1238, 48.

εἶναι δασυτόνως τὸ πέμψαι, παρὰ τὸ ἵημι. 836, 32. καὶ εἶναι τὸ πληροῦν ὁμοίως παρὰ τὸ ἕω ἕημι. 136, 31. 1190, 21. καὶ εἶναι τὸ ἀφεῖναι ὁμοίως. 951, 56. 1266, 48.

εἶναι ἔρον, ἤγουν πληρῶσαι ἐπιθυμίαν ἐν τῷ, ἐξ ἔρον ἕντο, καὶ ἐξ ἔρον εἶναι παρ' Ὁμήρῳ. 136, 31. 481, 37.

εἰνάνυχες ὅτι ἐκ τοῦ ἐννεάνυχες γέγονε κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ πρώτου ν̄ εἰς ῑ, καὶ ὅτι ἀναλόγως ἔχει τὸ χ ὡς ἀπὸ τοῦ νὺξ νυχός. 223, 27. 722, 62. 764, 36.

εἰνάτειρ, σύννυμφος, οἱονεὶ εὐνάτειρ παρὰ τὸ εὐνάζειν, καὶ ὅτι εἰνάτειρες λέγονται αἱ ἐπὶ ἀδελφοῖς σύννυμφοι, ὁποῖαι πρὸς ἀλλήλας ἡ Ἑλένη καὶ ἡ Ἀνδρομάχη. 648, 43.

εἴνατος ὅτι ἐκ τοῦ ἔνατος γέγονε προσλήψει τοῦ ῑ. 223, 15. 24. 712, 14.

εἰνόδιοι σφῆκες λέγονται, ὧν οἱ φωλεοὶ ἐπὶ ὁδῷ τινὶ πεποίηνται. 1058, 62. 64.

εἰνοσίφυλλον ὄρος ἐπιθετικῶς τὸ ὑπ' ἀνέμων καταπνεόμενον καὶ διὰ τοῦτο κινησίφυλλον, παρὰ τὸ ἐνόθω ἐνόσω, ἢ εἰνοσίφυλλον τὸ κατάδενδρον. 307, 13. 1613, 40.

εἰνύω τὸ καλύπτω ἐν τῷ, θριξὶ δὲ πάντα νέκυν καταείνυον, παρὰ τὸ ἕω τὸ ἐνδύω ἕνω ἐνύω καὶ πλεονασμῷ τοῦ ῑ εἰνύω. 1292, 24. 1925, 26.

εἴξασκεν, ἤγουν παρεχώρει. 1537, 33.

ειο λήγοντα δεύτερα πρόσωπα εὐκτικῶν, ἐκ τῶν διὰ τοῦ ειοιο συγκοπέντα, οἷον βλεῖο ἐκ τοῦ βλείοιο, οὗ χρῆσις ἐν τῷ, εἴπερ γάρ κεν βλεῖο πονεύμενος. 1907, 47.

εἶο, ἐμεῖο καὶ σεῖο, ἀντωνυμικὰ πρόσωπα, ὅτι ἀναλογωτέρως λέγονται ἢ τὰ ἐμέο, σέο, ἕο. 13, 9.

ειον λήγοντα περιεκτικά, ὅτι κοινός ἐστι τύπος τῶν περιεκτικῶν ὁ διὰ τοῦ ειον, οἷον Μουσεῖον, ᾠδεῖον, βαλανεῖον, χαμαιτυπεῖον. 1380, 54. 1698, 36.

ειον λήγοντα οὐδέτερα ἀπὸ ληγόντων εἰς α ὁμογενῶν παρηγμένα, οἷον μνῆμα μνημεῖον. 634, 29.

ειος λήγοντα ὀξύτονα, ἐκ πλεονασμοῦ ἔχοντα τὴν παραληκτικὴν δίφθογγον, οἷον ἀδελφὸς ἀδελφειός. 43, 34. 580, 42.

ειος ληγόντων τινῶν γραφὴ παραληκτικὴ καὶ προσῳδία, οἷον ἑρκεῖος, ἑταιρεῖος. 1930, 28.

ειος καὶ ειον λήγοντα ὀνόματα ἀπὸ τοῦ ᾱ ἀρχόμενα, μεθ' ὃ δύο σύμφωνα ἐπιφέρεται μετὰ διφθόγγου, ὅτι προπερισπῶνται, οἷον ἀχρεῖος, Ἀργεῖος. 217, 40.

ειος καὶ ειον λήγοντα ὀνόματα, ἀπὸ ληγόντων εἰς ος οὐδετέρων συνηρημένως κλινομένων παρηγμένα, οἷον κῆτος κήτειος, κῆδος κήδειος, γῆρος γήρειον· τὰ δ' ἐκ τῶν εἰς ος ἀρσενικῶν διὰ τοῦ ἰῶτα γράφονται, οἷον νόμος νόμιος, δόλος δόλιος, σκότος σκότιος. 1343, 24. 1697, 20.

εἶπ' ἄγε, ἀντὶ τοῦ, ἄγε εἰπέ. 783, 2.

εἴπας καὶ εἰπὼν μετοχαί, ἡ μὲν τοῦ εἶπα πρώτου ἀορίστου, ἡ δὲ τοῦ εἰπὼν δευτέρου. 670, 9. 1435, 63.

εἰπὲ καὶ εἰπὸν προστακτικά, τὸ μὲν τοῦ εἶπον δευτέρου ἀορίστου, τὸ δὲ τοῦ εἶπα πρώτου, ὅτι ἄμφω ὀξύνονται. 1456, 62.

εἰπεῖν ἐν ἴσῳ τῷ ᾄδειν ἐν τῷ, εἰπὲ θεὰ Κρονίδαο διάκτορον αἴθοπος εὐνῆς. 9, 30. καὶ ὅτι τὸ, εἰπεῖν ἔπος, Ἀττικῶς λέγεται. 60, 10.

εἰπεῖν τὸν δεῖνα, χωρὶς προθέ-

σεως παρ' Ὁμήρῳ ἀντὶ τοῦ προςειπεῖν, προσφωνῆσαι, οἷον ἐν τῷ, θρασὺν Ἕκτορα εἶπε παραστάς, Ἰλ. μ', 60. 892, 54. 1121, 54.

εἶπον καὶ εἶπα, ὅτι ἀμφότερα χρήσιμα παρ' Ἀττικοῖς, μᾶλλον δὲ τὸ πρότερον, καὶ τὰ προστακτικὰ ὁμοίως εἰπὲ καὶ εἰπὸν ὀξυτόνως. 1435, 61.

εἴπως ἀντὶ τοῦ ὅπως κατὰ συνδέσμων μετάληψιν. 1016, 46. 1556, 2.

ειρα ληγόντων θηλυκῶν ἀναλογία, οἷον Κάειρα, σώτειρα, ὀλέτειρα. 367, 20.

εἶρα ἢ ἴρα, ἐκκλησία ἢ ἀγορὰ, ὅτι ἀμφιβάλλεται κατὰ τὴν γραφὴν τῆς ἀρχούσης, καὶ ὅτι βαρύνεται ἡ λέξις, καὶ ὅτι παρὰ τὸ εἴρειν, ὅ ἐστι λέγειν, ἢ παρὰ τὸ ἱρὸν, ὅ ἐστιν ἱερὸν, λέγεται, ἑρμηνεία διεξοδική. 1160, 35.

εἴργω ὅτι ἐκ τοῦ ἔέργω συνῄρηται, καὶ ὅτι ἐπὶ μὲν τοῦ κωλύω ἐψιλοῦτο παρ' Ἀττικοῖς, ἐπὶ δὲ τοῦ ἐγκλείω ἐδασύνετο. 233, 39. 1387, 3. 1765, 27.

εἰρέαται ἀντὶ τοῦ εἴρηνται κατὰ διάλυσιν Ἰωνικήν. 234, 16.

εἴρειν ἀντὶ τοῦ συνείρειν καὶ ὁρμαθὸν ποιεῖν. 1651, 12.

εἴρερος, δουλεία, αἰχμαλωσία, ὅτι παρὰ τὸ ἐρᾶν τοῦ εἴρειν λέγεται. 1608, 63.

εἰρεσιώνη, θαλλὸς ἐλαίας ἐρίῳ ἐστεμμένος προσκρεμαμένους ἔχων διαφόρους ἐκ γῆς καρποὺς, ὃν ἔφερε παῖς τις καὶ ἐτίθη πρὸ τῶν θυρῶν τοῦ Ἀπόλλωνος ἱεροῦ ἐν τοῖς Πυανεψίοις, καὶ ὅτι Θησεὺς κατῆρξε τοῦ ἔθους, ἱστορία. 1283, 6.

ειρη λήγοντα θηλυκὰ ὀξύτονα ὅτι, ἐάν ποτε ἀποβάλωσι τὸ ῑ τῆς παραληκτικῆς διφθόγγου, βαρύνονται, οἷον δειρὴ δέρη. 139, 40.

εἴρηαι, ἤγουν ἐρωτήσῃς. 1409, 45.

εἴρημαι ὅτι ἐκ τοῦ ἔῤῥημαι γέγονεν, ὃ ἐκ τοῦ ῥῶ ῥήσω ἔῤῥηκα κεκίνηται. 1540, 12.

εἰρημένος ὅτι ἐκ τοῦ ῥῶ ῥήσω κεκίνηται, καὶ ὅτι κατ' ἀποβολὴν τοῦ ἀρκτικοῦ ῥ τοῦ θέματος ἐσχημάτισται. 1570, 26.

εἰρήνη ὅτι παρὰ τὸ εἰς ἓν εἴρειν λέγεται. 347, 39. 1910, 16.

εἴρηται ἀντὶ τοῦ ἐρωτήσῃ ἐν τῷ, αἴ κέν τίς σε ὀφθαλμοῦ εἴρηται ἀλαωτύν, Ὀδ. ί, 503. 1641, 27.

εἴριον ὅτι παρ' Ὁμήρῳ μὲν προπαροξύνεται ὡς ἴχνιον, παρὰ δὲ τοῖς ὕστερον παροξύνεται ὡς ἀπὸ τοῦ εἶρος, ὡς ἀπὸ τοῦ τεῖχος τειχίον· τὸ δὲ ἔριον ἀεὶ προπαροξύνεται. 428, 4. 912, 52. 1489, 12.

εἱρκτὴ, ὅτι δασύνεται ἡ λέξις. 1387, 4.

εἱρμὸς ὅτι παρὰ τὸ εἴρω λέγεται. 1847, 42.

εἰροκόμος γυνὴ, οὐχ ἡ εἴρουσα, ὅ ἐστι πλέκουσα, κόμας, ὅ ἐστι τρίχας, ἀλλ' ἡ κομοῦσα, ὅ ἐστιν ἀσκοῦσα καὶ ἐργαζομένη, ἔρια. 427, 45.

εἰρόμενος ἀντὶ τοῦ ἐρωτῶν. 670, 51.

εἰροπόκοι ὄϊες αἱ εἰς εἶρος, ὅ ἐστιν ἔριον, πεκόμεναι. 531, 4.

εἰρύατο, ἤγουν εἱλκυσμέναι ἦσαν, περὶ νεῶν ὁ λόγος, Ἰλ. ξ', 30. 965, 21.

εἰρύεσθαι τὸ φυλάττειν, καὶ εἰρύσασθαι τὸ φυλάξαι, ὅτι ἀπὸ τοῦ ἐρύω γίνεται πλεονασμῷ τοῦ ῑ. 89, 21. 1252, 15.

εἰρύσασθαι, φυλάξαι καὶ κρύψαι κατὰ νοῦν ἐν τῷ, μηδὲ φρεσὶν εἰρύσσαιτο, Ὀδ. π', 459. 1808, 42.

εἴρυσθαι, φυλάξαι ἢ γνῶναι ἢ ἑλκύσαι ἐν τῷ, θεοῦ δήνεα εἴρυσθαι, Ὀδ. ψ', 82. 1939, 6.

εἰρύω, ὅτι ἐκ τοῦ ῥύω γίνεται ἐρύω καὶ ἐπενθέσει τοῦ ῑ εἰρύω. 1009, 37.

ειρω λήγοντα ῥήματα εἰς ερρω μετασχηματιζόμενα Αἰολικῶς, οἷον φθείρω φθέῤῥω, κείρω κέῤῥω. 756, 32. 1648, 2.

εἴρω τὸ λέγω καὶ τὸ ἐρωτῶ ὁμωνύμως. 780, 10. καὶ εἴρω τὸ εἰς μάχην συμπλέκω. 31, 35.

εἴρωμαι, ἤγουν ἐρωτήσω, οἷον ἐν τῷ, ὅττι κέ σ' εἴρωμαι, Ὀδ. θ', 549. 1609, 49.

εἰρώτων ὅτι ἀπὸ διφθόγγου ἄρχεται, καὶ ὅτι ἀπὸ τοῦ εἰρωτῶ κεκίνηται. 1495, 6.

εἰς πρόθεσις ὅτι κοινῶς μὲν αἰτιατικῇ συντάσσεται, Ἀττικῶς δὲ γενικῇ ἐλλιπῶς αἰτιατικῆς ἐκ τρίτου. 51, 42. 718, 19. 1666, 33.

εἰς Ἄϊδος, παρ' Ὁμήρῳ Ἀττικῶς ἀντὶ τοῦ, εἰς Ἅιδου, ἐλλιπῶς τοῦ δόμου ἢ τόπον. 718, 19. 1666, 33. 50.

εἰς ἅλαδε, ὅτι περισσεύει ἤτοι ἡ εἰς πρόθεσις ἢ ἡ δὲ ἐπέκτασις. 1661, 53.

εἰς τὰ ἡμέτερα, φράσις ἐλλιπὴς τοῦ δώματα ἢ οἰκία. 1289, 44.

εἰς κόρακας, παροιμιακόν· ζήτει ἐν τῷ, ἐς κόρακας. 1746, 62.

εἰς μελίττας κωμάζειν, παροιμία ἐπὶ τῶν παραδόξως κακοῖς τισὶν ἐμπιπτόντων. 897, 57.

εἰς μέσον, ἀντὶ τοῦ ἐξ ἴσου καὶ δικαίως ἐν τῷ, εἰς μέσον ἀμφοτέροις δικάσατε, Ἰλ. ψ', 574. 1316, 25. 54.

εἰς μίαν βουλεύειν, φράσις ἐλλιπὴς τῆς βουλὴν αἰτιατικῆς, Ἰλ. β', 379. 241, 28.

εἰς ὄνου πόκους, παροιμία ἐπὶ τῶν ἀκερδῶν καὶ μὴ λυσιτελούντων. 531, 8.

εἰς τόδε, ἀντὶ τοῦ, ἕως τότε· καὶ, ἐς τόδε ὥρας, καὶ, ἐς τόδε καιροῦ, ὁμοίως. 161, 45.

εἰς ὥρας καὶ μὴ εἰς ὥρας ἵκοιτο ὁ δεῖνα, ἐπὶ ἀρᾶς παρὰ τοῖς Ἀττικοῖς. 1619, 62.

εἷς ἀριθμητικὸν ὅτι πρὸς τὸ πολλοὶ ἀντιδιαστέλλεται. 593, 26.

εἷς καὶ δύο, ὅτι οὐ τρεῖς ἀλλὰ δύο μόνους σημαίνει ἐν τῷ, τοίσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο, Ἰλ. β', 346. 235, 31.

εἰς ἀντὶ τοῦ ὑπάρχεις, ἐκ τοῦ εἰμὶ τροπῇ τῆς μῑ συλλαβῆς εἰς σ· καὶ εἶς ἀντὶ τοῦ πορεύῃ, ἀπὸ τοῦ εἶμι βαρυτόνου. 76, 30. 1074, 4. 1181, 17.

εἰσαγαγεῖν ἀντὶ τοῦ εἰς ἓν ἀγαγεῖν ἐν τῷ, ποταμῶν μένος εἰσαγαγόντες, Ἰλ. μ', 18. 889, 44.

εἰσάγειν ἐν ἴσῳ τῷ εἰσιέναι ἢ ὑπάγειν ἐν τῷ, Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην, Ἰλ. ζ', 252. 640, 27.

εἶσαι νῆες αἱ ἴσαι, ἢ αἱ πορευτικαὶ παρὰ τὸ ἰέναι. 108, 11.

εἷσαι λόχον ἀντὶ τοῦ καθίσαι, ἀπὸ τῆς θέσεως τῶν λοχώντων. 487, 42.

εἴσαιτο, δόξειεν, ἐν τῷ, ἀλλ' ὅτι οἱ εἴσαιτο γελοῖον Ἀργείοισιν ἔμμεναι, Ἰλ. β', 215. 205, 19.
εἴσασθαι, ὁμοιωθῆναι. 348, 7.
εἴσατο ἐν συνθέσει τῆς κατὰ ἀντὶ τοῦ κατηνέχθη ἐν τῷ, ὅθι κατεἰσατο γαίης, περὶ ἔγχους λεγόμενον Ἰλ. λ', 358. 849, 37.
εἴσατο ἀντὶ τοῦ προσεποιήσατο ἢ ἐφάνη ἐν τῷ, εἴσατ' ἴμεν εἰς Λῆμνον, Ὀδ. θ', 283. 1596, 59.
εἴσατο ἀντὶ τοῦ ἐφάνη ἢ ἔδοξε καὶ ἐνόμισεν ἐν τῷ, εἴσατο δ' ὡς ὅτ' ἐρινὸν ἐν ἠεροειδέϊ πόντῳ, Ὀδ. ε', 281. 1536, 7.
εἴσατο ἀντὶ τοῦ ἐπορεύθη, ἀπὸ τοῦ εἴω θέματος ἐν τῷ, διαπρὸ δὲ εἴσατο, Ἰλ. δ', 138. 454, 44. 1770, 48. 1969, 44.
εἴσατο ἀντὶ τοῦ ἵδρυσεν, καὶ ἀντὶ τοῦ ἔκτισεν, καὶ ἀντὶ τοῦ ἐκάθισεν. 355, 25. 1025, 58.
εἰσβάλλειν τὸ ἄρχεσθαί τινος ἔργου ἢ πάθους, ὁμωνύμως τῷ κατὰ τόπον εἰσβάλλειν. 1405, 45.
εἰσβολὴ, ἀρχὴ καὶ κίνησις εἰς ἔργον τι ἢ πάθος, ὁμωνύμως τῇ κατὰ τόπον εἰσβολῇ. 1405, 45.
εἰσβολὴ ποταμοῦ, ὅτι ἐκ τοῦ εἰς ἅλα βάλλειν περὶ ποταμοῦ λεγόμενον Ἰλ. λ', 495. δοκεῖ εἰσβολὴν ποταμοῦ ἐνδέχεσθαι λέγειν τὴν συνήθως λεγομένην ἐκβολήν. 858, 61.
εἴσδυσις λιμένος, ὅτι ταὐτὸν ἐστιν εἴσδυσιν λιμένος εἰπεῖν καὶ καταγωγήν. 1519, 63.
εἴσεαι ἀντὶ τοῦ γνώσῃ καὶ νοήσεις. 1968, 52.
εἰσεμάσατο θυμὸν, ἀντὶ τοῦ, ἥψατο τοῦ θυμοῦ. 1183, 31.
εἶσεν, ἤγουν ἵδρυσεν, ἀπὸ τοῦ ἕω, ὅθεν καὶ τὸ ἕδος. 1549, 25. καὶ εἶσεν ἀντὶ τοῦ ἐκάθισεν μεταβατικῶς. 746, 18. 1305, 22.
εἴσεται ἀντὶ τοῦ πορεύσεται ἐν τῷ, ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται, Ὀδ. ο', 213. ἀπὸ τοῦ εἴω θέματος. 1779, 9. 21.
ἐΐση δαὶς ὅτι παρὰ τὸ ἱέναι λέγεται κατά τινας, ἡ ἱέναι εἴτουν πορεύεσθαι ἡμᾶς ποιοῦσα. 1224, 38. ἢ ἐΐση δαὶς ἡ ἴση διὰ τὴν ἐπιτηδευομένην ἐν τοῖς συμποσίοις ἰσομοιρίαν, ἢ ἡ διὰ παντὸς ἰοῦσα τοῦ σώματος. 137, 5. 161, 19. ἀλλαχοῦ δὲ ὅτι ἐΐση δαὶς ἡ κατὰ ἰσομοιρίαν γινομένη ἢ ἡ ἀγαθή· καὶ ἑρμηνεία διεξοδικὴ τοῦ ἐΐση ἀντὶ τοῦ ἰσόμοιρος, καὶ ἀφορμὴ καταρκτικὴ τῆς ἐν ταῖς εὐωχίαις γινομένης διανομῆς τῶν μερίδων. 1401, 55.
ἐΐση ναῦς ἡ ἴση καὶ ἰσόπλευρος, ἢ ἡ πορευτικὴ ἀπὸ τοῦ εἴω τὸ πορεύομαι. 1454, 36.
εἶσθα διὰ διφθόγγου ἀντὶ τοῦ πορεύῃ καὶ ἐξέρχῃ, ὅτι δεύτερόν ἐστι πρόσωπον τοῦ εἶμι, ὅ ἐστι πορεύομαι, ἀπὸ τοῦ εἷς κατ' ἐπέκτασιν γενόμενον. 817, 50. 1856, 7.
εἶσι ἀντὶ τοῦ ἐπανελεύσεται κατὰ χρόνου ἐναλλαγήν. 1142, 61. εἶσι τέταρτον ἔτος ἐξ οὗ τόδε τι γέγονεν, ἀντὶ τοῦ δίεισι καὶ συμπληροῦται. 1436, 7.
εἰσὶ, τρίτον πρόσωπον πληθυντικὸν τοῦ εἰμὶ ὑπαρκτικοῦ, ὅτι ἐκθλίβει ποτὲ τὸ ληκτικὸν ῑ, οἷον ἐν τῷ, ὅσοι θεοὶ εἰσ' ἐν Ὀλύμπῳ. 150, 23.
εἰσίθμη, δίοδος, παρὰ τὸ εἰσιέναι πλεονασμῷ τοῦ θ. 1562, 29.
ἐΐσκω, ὁμοιῶ, δοκῶ, ἐν τῷ, ἄντα σέθεν γὰρ Ξάνθον δινήεντα μάχῃ ἠΐσκομεν εἶναι, Ἰλ. φ', 332. 1238, 46. καὶ ὅτι ἐκ τοῦ εἴσκω κατὰ διάλυσιν λέγεται, ὃ ἐκ τοῦ εἴδω εἴσω γέγονε πλεονασμῷ τοῦ κ. 885, 1.
εἰσοιχνεῦσαν, οὐδέτερον μετοχικὸν ἢ θηλυκὸν αἰτιατικῆς πτώσεως ἀντὶ τοῦ εἰσοιχνέουσαν. 1557, 30.
εἰσόκεν ἀντὶ τοῦ ἕως οὗ ἢ ἕως ἂν ἐπίῤῥημα χρονικὸν, ὅτι ἐκ προθέσεως καὶ ἄρθρου καὶ συνδέσμου σύγκειται, καὶ ὅτι ἐλλιπῶς λέγεται. 571, 27. 686, 13. 778, 1. 1918, 30.
εἴσομαι ἀντὶ τοῦ γνώσομαι ἢ ἐπιπορεύσομαι ἐν τῷ, νῦν δ' αὖτε σκοπὸν ἄλλον εἴσομαι, Ὀδ. χ', 7. 1916, 30.
εἴσομαι ἀντὶ τοῦ πορεύσομαι ἐν τῷ, εἴσομαι ἐξ ἀλόθεν χαλεπὴν ὄρσουσα θύελλαν. 1238, 32.
εἴσομαι καὶ ἐπιείσομαι ἀντὶ τοῦ ἐπελεύσομαι, ἐπιπορεύσομαι, ἀπὸ τοῦ εἴω θέματος. 849, 36.
εἰσορᾶν τινὰ ἀντὶ τοῦ ἐπιστρέφεσθαί τινος ἐν τῷ, ξεῖν' ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν, Ὀδ. υ', 166. 1888, 13.
εἰσπνῖλαι ἢ διὰ τοῦ η εἰσπνῆλαι οἱ ἐρασταὶ παρὰ Λάκωσι, ἀλλαχοῦ δὲ ὅτι εἴσπνιλος ὁ ἐρώμενος διὰ τὸ εἰσπνεῖσθαί τι τῆς ὥρας καὶ τῆς μορφῆς τῶν ἐρωμένων τοῖς ἐρασταῖς. 732, 25. 1547, 19.
εἰσποιεῖσθαι υἱὸν, ταὐτὸ ὅπερ ποιεῖσθαι καὶ τίθεσθαι. 767, 25.
εἰστήκει, τρίτον πρόσωπον ὑπερσυντελίκου, ὅτι ἐκ τοῦ ἑστήκει γέγονε πλεονασμῷ τοῦ ι. 1175, 37. καὶ ὅτι καὶ εἰστήκειν μετὰ τοῦ ν λέγεται. 1849, 47.

εισος λήγοντα διφθογγοπαράληκτα δισύλλαβα ὑπερθετικὰ, ἐκ δισυλλάβων ὁμοιοπαραλήκτων συγκριτικῶν γενόμενα, οἷον πλείων πλεῖστος. 1530, 42.
εἰστρυπᾶν τὸ μετὰ βίας εἰσέρχεσθαι, ἐκτρυπᾶν δὲ τὸ μετὰ βίας ἐξέρχεσθαι. 1532, 5.
εἰσφέρειν ἐπὶ τοῦ κοινῶς λεγομένου εἰσοδιάζειν. 1788, 1.
εἰσφορεῖν τὸ εἰσκομίζειν, ᾧ ἀντίκειται τὸ ἐκφορεῖν. 1854, 38.
εἴσω ἐπίῤῥημα ὅτι ἐκ τῆς εἰς προθέσεως διφορουμένης κατὰ τὴν σύνταξιν, καὶ ποτὲ μὲν αἰτιατικῇ συντασσομένης κοινῶς, ποτὲ δὲ γενικῇ Ἀττικῶς, γενόμενον διφορεῖται καὶ αὐτὸ κατὰ τὴν σύνταξιν, οἷον γενικῇ μὲν ἐν τῷ, κατελθόντ' Ἄϊδος εἴσω, αἰτιατικῇ δὲ οἷον ἐν τῷ, Ἴλιον εἴσω, πολλαχοῦ παρ' Ὁμήρῳ. 51, 38. 166, 29. 642, 19.
εἰσωπὸν γενέσθαι τόπου τινὸς, ἤγουν ἐν ὄψει ἔχειν, καὶ εἰς ὦπα, ὅ ἐστιν ἐνώπιον, γενέσθαι τόπου τινός. 1036, 2. 14.
εἶτα, λέξις πλεονάζουσα ἐν τῷ, εἴ σοι μηδὲν μετὸν, εἶτ' ἀπεχθάνῃ, καὶ ἐν ἄλλοις. 205, 35.

ειται λήγοντα τρίτα πρόσωπα μέσων μελλόντων ὅτι προπερισπῶνται καὶ ἐξ ἐπενθέσεως Δωρικῆς ἔχουσι τὸ ῑ, οἷον πλεύσεται πλευσεῖται. 655, 13.

ειτε προπερισπώμενον λήγοντα δεύτερα πρόσωπα εὐκτικὰ, ἐκ τῶν διὰ τοῦ ειητε συγκοπέντα, οἷον διακρινθεῖτε ἀντὶ τοῦ διακριν-

κῶς λέγονται τὰ ἀμελούμενα. 1585, 11.

ἐκ πάτου, ἀντὶ τοῦ ἐκ ποδῶν. 1619, 24.

ἐκ πεδίου, ἔξω που τῆς πεδιάδος, Ἰλ. η', 337. 684, 14.

ἐκ πέτρας εἰργασμένος ἄνθρωπος, ζήτει ἐν τῷ σιδηρόφρων. 1940, 58.

ἐκ ῥίζης τέμνειν δένδρον, ὅτι διαφέρει τοῦ ἐκ πυθμένος ταμεῖν. 1944, 50.

ἐκ τρίποδος λέγειν, ἀντὶ τοῦ ἀληθεύειν μαντικῶς, ὡς οἱ τοῦ Ἀπόλλωνος ὑποφῆται. 740, 14.

ἐκ χειρὸς μάχη, ἡ καὶ συστάδην λεγομένη καὶ σταδία. 282, 22.

ἐκ χειρῶν ἑλέσθαι, ὅτι βίας ἐστὶν ἐνδεικτικὸν παρ' Ὁμήρῳ. 1045, 57.

Ἑκάβη ὅτι Κίσσεως ἦν θυγάτηρ, οἱ δὲ ὅτι Δύμαντος. 1082, 62.

Ἑκάεργος Ἀπόλλων ὁ ἑκὰς εἴργων ἐν τῷ τοξεύειν, ἢ ἕκαθεν ἐργαζόμενος, ἢ ἀπὸ Ἑκαέργης τίτθης αὐτοῦ. 52, 15. 138, 21.

Ἑκαμήδη, παλλακὴ Νέστορος παρ' Ὁμήρῳ, παρὰ τὸ ἑκὰς μήδεσθαι, ὅ ἐστι βουλεύεσθαι, τὸν Νέστορα. 866, 33.

ἐκάπυσεν, ἀπέπνευσεν. 499, 41.

ἑκαστέρω καὶ ἑκαστάτω ἀντὶ τοῦ ποῤῥωτέρω καὶ ποῤῥωτάτω, ἀπὸ τοῦ ἑκὰς, ὅ ἐστι πόῤῥω. 370, 38. 371, 1. 792, 49. 57. 1582, 4.

ἕκαστον ἀντὶ τοῦ ποῤῥώτατον, ἀπὸ τοῦ ἑκὰς καθ' ὑπερθετικὸν τύπον. 792, 49.

ἕκαστος, ὄνομα ὑπερθετικοῦ τύπου, ὅτι πυθμενικῶς μὲν ἀπὸ τῆς τριάδος ἄρχεται καὶ λέγεται ἐπὶ τῶν ἐφεξῆς εἰς ἄπειρον ἀριθμόν. 370, 31 — 46. 792, 50 — 55.

ἕκαστος ὅτι ἐπιμεριστικόν ἐστι πλήθους καὶ διαιρετικὸν τοῦ καθόλου εἰς τὰ κατὰ μέρος, οἷον ἐν τῷ, ἀνδράσιν ἀλφηστῇσιν ὅπως ἐθέλῃσιν ἑκάστῳ, Ὀδ. α', 349. καὶ, Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ, Ἰλ. λ', 11. ξ', 151. 973, 11. 1422, 38.

ἕκαστος, ὄνομα ἐπιμεριζόμενον εὐθείᾳ συντασσόμενον ἐν τῷ, οἱ ἄλλοι ἕκαστος, Ἰλ. π', 697. ἀντὶ τοῦ τῶν ἄλλων ἕκαστος. 1081, 63. ἀλλαχοῦ δὲ ὅτι ἡμῶν ἕκαστος λέγεται κοινῶς, ἡμεῖς δὲ ἕκαστος Ἀττικῶς. 1516, 17.

ἕκαστος ἐπιμεριστικὸν, πληθυντικῇ μετοχῇ ὑποκείμενον ἐν τῷ, πάτασσε δὲ θυμὸς ἑκάστου νίκης ἱεμένων, Ἰλ. ψ', 370. 1306, 28.

ἕκαστος ἐπιμεριζόμενον, ἑνικῶς ἐσχηματισμένον τίνι λόγῳ πληθυντικοῖς ῥήμασιν ὑπόκειται. 781, 43. 799, 33. 971, 17.

ἕκαστος ποιεῖ, καὶ ἕκαστος ποιοῦσι, καὶ ἕκαστοι ποιοῦσι, ὅτι ὀρθῶς πάντα λέγονται καὶ διὰ τί, ἑρμηνεία διεξοδική. 1105, 37.

ἑκάτερος ὅτι περὶ δύο τινῶν ἐπιμεριστικῶς κατὰ τύπον συγκριτικὸν λέγεται, καὶ ὅτι παρὰ τὸ ἑκὰς εἶναι, ὅ ἐστιν ἀποκεχωρηκέναι, τῆς μονάδος τὴν δυάδα λέγεται τὸ ἑκάτερος. 370, 40. 792, 53.

Ἑκάτη ἡ αὐτὴ τῇ Ἀρτέμιδι, καὶ ὅτι παρὰ τὸ ἕκατος, ὅ πέρ ἐστιν ἐπίθετον Ἀπόλλωνος, παρεσχημάτισται. 1197, 27.

Ἑκάτη ὅτι πολλὰς ἐπωνυμίας εἶχε. 1197, 28. καὶ ὅτι τῶν ἐν τοῖς ἀμφόδοις συμβαινόντων νυκτερινῶν φόβων αἰτία ἐνομίζετο. 1887, 54.

Ἑκάτη, ὅτι τῇ Ἑκάτῃ μαινὶς ἐθύετο διὰ τὸ δοκεῖν τὴν Ἑκάτην μανιῶν αἰτίαν εἶναι. 1197, 13.

Ἑκάτη, δαιμόνιόν τι μυθικὸν, ὅτι κυνοκέφαλος πλάττεται, καὶ ὅτι ἐκ γυναικὸς εἰδεχθοῦς σφόδρα καὶ φοβερᾶς τοῖς βλέπουσιν εἰς τοιοῦτον τέρας ὑπ' Ἀρτέμιδος μετεμορφώθη, μῦθος διεξοδικός. 1684, 26. 1714, 41.

Ἑκάτης ἀγάλματα, ἤγουν ἀγαλλιάματα, αἱ κύνες διὰ τὸ θύεσθαι αὐτῇ, διόπερ καὶ κυνοπρόσωπος πλάττεται ἡ Ἑκάτη. 1467, 35.

ἑκατηβελέτης ὁ ἕκαθεν βάλλων ἢ ὁ ἑκατὸν, ἤγουν πολλοῖς, βέλεσι χρώμενος. 52, 14.

ἑκατογκέφαλος Τυφῶν, ἀλληγορία ἠθικὴ καὶ φυσικὴ διεξοδικῶς ἑρμηνευομένη. 123, 41.

ἑκατόγχειρ Βριάρεως, ἀλληγορία ἠθικὴ καὶ φυσικὴ διεξοδικῶς ἑρμηνευομένη. 123, 42. καὶ ὅτι ἑκατόγχειρ ὁ πολλὰ πράττων ταῖς χερσὶν ἀλληγορικῶς λέγεται. 182, 39.

ἑκατόμβαια, ἑορτὴ ἀγομένη πάλαι κατὰ τὴν Λακωνικὴν διὰ τὸ ἑκατόμπολιν αὐτὴν πάλαι ποτὲ γεγονέναι. 293, 36. καὶ ὅτι παρὰ τὸ ἑκατόμβη λέγεται τροπῇ Δωρικῇ τοῦ λήγοντος ᾱ εἰς η̄ καὶ προσλήψει τοῦ ῑ. 444, 19.

ἑκατόμβη Κόνωνος ἐξ ἑκατὸν βοῶν κατὰ τὸ ἔτυμον τῆς φωνῆς, ἱστορία. 1454, 18.

ἑκατόμβη ἡ ἐξ ἑκατὸν βοῶν θυσία ἢ ἡ ἐξ ἑκατὸν βάσεων, ὅ ἐστι ποδῶν εἰκοσιπέντε ζῴων. 49, 2. 11.

ἑκατόμβοιος ὁ ἑκατὸν, ἤγουν πολλῶν, βοῶν ἄξιος. 252, 17. καὶ ἑκατόμβοιον, εἰδός τι σταθμοῦ. 1224, 40.

ἑκατόμποδος πυρὰ ἡ ἑκατὸν ποδῶν ἔχουσα ἑκάστην πλευράν. 1294, 4.

ἑκατὸν, ἀριθμὸς ὡρισμένος ἀντὶ ἀορίστου, οἷον ἐν τῷ, ἑκατὸν ἔτεα παῖδα παρὰ μητρὶ ἀτιτάλλεσθαι, καὶ ἐν τῷ ἑκατόγχειρ ἀντὶ τοῦ πολύχειρ. 49, 14. 1541, 10.

ἑκατὸν, ὅτι ἑκατὸν πάντα παρετίθετο ἐπὶ τὴν τράπεζαν Παφλαγών τις βασιλεὺς, ἱστορία. 1386, 51.

ἑκατόνζυγοι νῆες ἀντὶ τοῦ πολύζυγοι ἢ πολύκωποι, ἃς μακρὰς οἱ μεθ' Ὅμηρον καλοῦσι. 49, 17. 223, 11. 1206, 27.

Ἑκατόννησοι αἱ Ἑκάτου, ὅ ἐστιν Ἀπόλλωνος, νῆσοι. 49, 18.

ἐκβάλλειν ἔπος τὸ ἐκρίπτειν, ὃ καὶ ἐκφεύγειν ἂν λέγοιτο τοὺς ὀδόντας καθ' Ὅμηρον. 1145, 50. 1507, 16.

ἐκβάλλειν ποταμὸς λέγεται εἰς θάλασσαν, ἤγουν ἐξάγειν ὃν καταφέρει συρφετόν. 1405, 46.

ἐκβάλλειν τὸ ἁπλῶς ἔξω τῆς οἰκείας στάσεως τιθέναι τι. 1532, 53.

ἐκβῆσαι τινὰ τῆς νεὼς, ἤγουν ἐξαγαγεῖν ἐν τῷ, οἱ δ' ἐκβήσαντες ἔβησαν, Ὀδ. ω', 301. 1961, 54.

ἔκβλητον ἔπος, τὸ καὶ ἀπόβλητον, καὶ ἔκβλητον τὸ τῆς θαλάσσης ἔκβρασμα, καὶ ἔκβλητον βρέφος τὸ ἔκθετον. 384, 23. 502, 39.

ἐκβολαὶ ποταμῶν τὰ στόματα, ἃ καὶ στόμια. 1106, 4. 1545, 16.

ἐκβολὰς ποταμῶν καὶ ἐκβάλλειν

οἱ μεθ' Ὅμηρον, Ὅμηρος δὲ εἰσβάλλειν λέγει. 880, 57.
ἐκβολὴ ἔπους μεταφορικῶς ἡ κατάληξις. 900, 24.
ἐκβολὴ σίτου ἡ πρώτη ἐκ τῶν καλύκων ἔκφυσις τῶν ἀσταχύων. 1405, 11.
ἔκβολος, ἀκρωτήριον ὄρους εἰς ὀξὺ λῆγον. 1405, 46.
ἐκγεγάμεν τινὸς, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἔκ τινος γεγονέναι. 1203, 63.
ἐκγελᾶν τὸ ἔξω καὶ κατὰ μόνα τὰ χείλη καὶ ἐξ ἐπιπολῆς γελᾶν ἢ τὸ προφανῶς γελᾶν. 656, 33. 1330, 4. 1536, 64.
ἐκγελάσαι τὸ λίαν καὶ ἐπιτεταμένως καὶ χανδὸν γελάσαι, ἢ τὸ ἐκφανῶς γελάσαι, ἢ τὸ ἐξ ἐπιπολῆς βαρυνομένης τῆς ψυχῆς. 1805, 8. 1836, 54.
ἔκγονος κατὰ μὲν τὴν ἐτυμολογίαν ὁ υἱωνὸς, ὡς ἐκ τοῦ γόνου, ὅ ἐστιν υἱοῦ τινὸς, γεγονώς, κατὰ δὲ τὴν χρῆσιν ὁ υἱὸς παρὰ τοῖς ποιηταῖς. 1460, 19. ἀλλαχοῦ δὲ ὅτι ἔκγονος ἀεὶ διὰ τοῦ κ̄ λέγεται παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ υἱὸς, καὶ προσεχῶς ἔκ τινος γεννηθείς. 611, 9. 1682, 16. ἐν δὲ τῷ, γενεῆς δὲ Μελάμποδος ἔκγονος ἦεν, περὶ Θεοκλυμένου τοῦ Πολυφείδους τοῦ μάντεως τοῦ Μελάμποδος ῥηθὲν Ὀδ. ο', 225. ἀντὶ τοῦ ἀπόγονος τίθεται τὸ ἔκγονος. 1780, 52 57.
ἐκδέρκεσθαι, ὅτι ἡ ἐκ ἐκπομπὴν ὑπαγορεύει. 1311, 63.
ἐκδιδόναι ἐπὶ τοῦ ἀποδιδόναι ἐν τῷ, ὑμεῖς δ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ ἔκδοτε, Ἰλ. γ', 458. 434, 46.
ἔκδικον, πάλαι ποτὲ τὸ ἔξω τοῦ δικαίου, ὅ ἐστιν ἄθεσμον καὶ ἄδικον, ὕστερον δὲ τὸ ἄγαν δίκαιον. 29, 34. 1032, 30. 1514, 21.
ἐκδρομάδες ἐλέγοντο οἱ ὑπὲρ τὴν ἀκμὴν πασχητιῶντες, ὡς παραδεδραμηκότες τὴν ὥραν. 1915, 20.
ἐκδῦμεν, ἀπαρέμφατον ἀντὶ τοῦ ἐκδῦναι, ἢ εὐκτικὸν ἐκ τοῦ ἐκδύοιμεν κατὰ συγκοπὴν ἐν τῷ, νῶϊ δ' ἐκδῦμεν ὄλεθρον, Ἰλ. π', 99. 1047, 52.
ἐκεῖνα κατὰ μόνας λεγόμενον ἀντὶ τοῦ, ἐκεῖνα τὰ πράγματα, ἐν τῷ, ἐγὼ μὲν ἄπειμι σύας καὶ κεῖνα φυλάξων, σὸν καὶ ἐμὸν βίοτον, Ὀδυσσ. ρ', 593. 1832, 43.
ἐκείνῃ ἀντὶ τοῦ ἐκεῖσε ἐν τῷ, οὐδέ τι κείνῃ ἄνδρες ἐσέρχονται, Ὀδ. ν', 111. 1735, 61.
ἐκεῖνος, φωνὴ ὑπεροχῆς ἐμφατικὴ ἐν τῷ, καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς, Ἰλ. ε', 604. 586, 27.
ἐκεχειρία, ἐποχὴ χειρῶν, οἱονεὶ ἐχεχειρία κατ' ἀντιστοιχίαν. 42, 42. 83, 1.
ἐκέχρυντο, τρίτον πρόσωπον πληθυντικὸν τοῦ ἐκεχρίσμην ὑπερσυντελίκου, ὅτι ἐκεχρίδατο ὤφειλε λέγεσθαι. 1570, 2.
ἐκζεστὸν ὅτι ἐκ τοῦ ζέειν λέγεται, καὶ ὅτι κατὰ λαχάνων λέγεται ἐπιθετικῶς. 1241, 18.
ἔκηα, ἀόριστος ἀπὸ τοῦ κάω Ἀττικοῦ θέματος. 36, 8.
ἑκηβόλος ὁ Ἀπόλλων ἐπιθετικῶς, ὡς παρὰ τὸ ἑκὰς βάλλειν τροπῇ τοῦ ᾱ εἰς η̄ πρὸς συντέλειαν μετρικὴν, καὶ ἑκηβολία ὁμοίως. 28, 15. 520, 44.
ἕκηλος ὁ ἥσυχος, λέξις διαφόρως ἐτυμολογουμένη, ὅτι κατὰ πάσας τὰς ἐτυμολογίας δασύνεται, ἑρμηνεία διεξοδική. 149, 11. 625, 33.
ἔκθαμβος ἴσον τῷ ἔκπληκτος, καὶ ζήτει τὸ ἔκπληκτος. 1886, 42.
ἐκθανεῖν τὸ ἔξω καὶ ἐπιπολαίως θανεῖν καὶ οὐ κυρίως θανεῖν, ὃ διὰ βάθους χωρεῖ. 1839, 44.
ἔκθλιψις, ὅτι τὰ ἐναπομείναντα σύμφωνα μετὰ τὴν τῶν φωνηέντων ἔκθλιψιν κατὰ τὰς συναλιφὰς τῷ ἐπαγομένῳ φωνήεντι ἕπεται. 984, 15.
ἔκθλιψις φωνήεντος, ὅτι ἐξ ἐμφάσεως ἐκθλίψεως φωνήεντος γίνεται σόφισμα, οἷον ἐν τῷ, Οὖτιν ἐγὼ πύματον ἔδομαι, Ὀδ. ι', 369. ὃ ἔμφασιν ἔχει τοῦ, οὔ τινα ἐγὼ ἔδομαι. 1634, 1. 47.
ἔκθλιψις φωνηέντων, ὅτι παρὰ μὲν τοῖς ἀρχαίοις πάντα τὰ φωνήεντα ἐξεθλίβοντο, ὃ καὶ ἡ αι δίφθογγος ἔπαθεν ἐν τῷ, βούλομ' ἐγώ, Ἰλ. α', 117. παρὰ δὲ τοῖς ὕστερον μόνα τὰ μονόφθογγα καὶ τὰ βραχέα ἐκθλίβονται. 62, 39.
ἐκθύεσθαι τὸν φθόνον, ἤγουν ὡς διά τινος θυσίας ἐξιλεοῦν. 1223, 51.
ἐκθύμως, ἤγουν ἐνδιαθέτως καὶ ἐκ θυμοῦ. 761, 52.
ἐκθυρίζειν κοινῶς λέγεται τὸ ἔξω θυρῶν μένειν. 1020, 12.
ἐκίχεις, ἤγουν κατέλαβες, ἀπὸ τοῦ κιχῶ ἢ ἀπὸ τοῦ κίχημι. 1961, 33. 38.
ἐκίχημεν, παρατατικοῦ χρόνου ἀπὸ τοῦ κίχημι θέματος. 1805, 50.
ἐκκαλεῖν τὸ ἔξω καλέσαι, ὅτι καὶ ἐκκαλεῖσθαι παθητικῶς εὕρηται λεγόμενον παρὰ Λιβανίῳ καὶ παρ' Ὁμήρῳ Ὀδ. ω', 1. 1366, 14. 1951, 3. 10.
ἐκκεκωφῆσθαί τις λέγεται πρὸς κάλλος γυναικὸς, καὶ δοκεῖ σημαίνειν παραπλήσιόν τι τῷ ἐκπεπλῆχθαι. 1374, 63.
ἐκκεχιλῶσθαι, ἐξημελῆσθαι καὶ κεχερσῶσθαι, παρὰ τὸν χιλὸν, ὃ δηλοῖ τὴν χλόην εἴτουν πόαν, ἥ τις ἐν χέρσῳ φύεται. 773, 1.
ἐκκορεῖν ἐπὶ τοῦ ἐκκενοῦν καὶ καθαίρειν. 951, 42.
ἐκκορηθῆναι, ὡς κάθαρμα ἐκβληθῆναι, παρὰ τὸ κορεῖν, ὅ ἐστι σαροῦν. 1887, 33.
ἔκκριτος ὁ ἐπίλεκτος. 108, 14.
ἐκκρούειν τινὰ ἔργον, ὅτι πρὸς ὁμοιότητα τοῦ ἐκπλήσσειν λέγεται, καὶ ζήτει τὸ ἐκπλήσσειν. 1844, 54.
ἔκκυκλον ἢ ἔγκυκλον, εἶδος γυναικείου φορήματος ὑπὸ τῷ ἐνδύματι φορούμενον. 976, 12.
ἐκκύλιστοι στέφανοι, οἱ καὶ κυλιστοὶ διὰ τὸ ἐνδέχεσθαι αὐτοὺς κυλίεσθαι οὕτω λεγόμενοι. 1538, 43.
ἔκλαγξα, ἀόριστος ἀπὸ τοῦ κλάγγω ἢ κλάζω, καὶ ὅτι κλάγξαι ὀϊστοὶ λέγονται Ἰλ. α', 46. ὅ ἐστι ποιὸν ἦχον ἀποτελέσαι. 39, 36. 40. ἀλλαχοῦ δὲ ὅτι τὸ ἔκλαγξα οὐκ ἀπὸ τοῦ κλάγγω ἐνεστῶτος ὡς δοκεῖ κεκίνηται. 1119, 58.
ἐκλανθάνεσθαι λεγόμεθα ὧν ἐδιδάχθημεν ἀφαιρεῖσθαι, ἤγουν ἀποστερεῖσθαι τῶν φύσει προσόντων ἡμῖν, συναγόμενον ἐκ τοῦ, αὐτὰρ ἀοιδὴν θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν, περὶ Θαμύριδος λεγόμενον Ἰλ. β', 600. 299, 34.
ἐκλέλαθον αἰτιατικῇ ἐκ τρίτου

παρ' Ὁμήρῳ, ἐκλελάθοντο δὲ παθητικῶς γενικῇ, οἷον ἐν τῷ, ἐκλελάθοντο γάμοιο. 299, 31.

ἔκλεο, ἤγουν ἐφημίζου, ἀπὸ τοῦ κλέω θέματος. 1345, 45.

ἔκλησις ἡ μεγάλη λήθη, ὡς καὶ ἐκσίγησις ἡ ἄκρα σιγή. 1968, 24.

ἐκλινίσαι λέγεται θηρίον, ἤγουν διαφυγεῖν τὰ λίνα, ὅ ἐστι τὰ δίκτυα. 574, 30. 1452, 62.

ἐκλιστρᾶν, ῥῆμα τῆς ἰδιωτικῆς διαλέκτου, ἀπὸ τοῦ λίζω ὀνοματοπεποιημένου ῥήματος παρηγμένον. 1119, 57.

ἐκμαγεῖον, ἐκτύπωμα, σφραγὶς, εἰκὼν, ὅτι παρὰ τὸ ἐκμάσσειν λέγεται. 462, 34. 1857, 15.

ἔκμαγμα ἴσον τῷ ἐκμαγεῖον, παρὰ τὸ ἐκμάσσω. 462, 39. 1857, 16.

ἐκμαίνειν ὅτι ἀλλοπαθῶς λέγεται. 536, 14.

ἐκμάσσειν καὶ ἐκμάσσεσθαι τὸ ἀποσπογγίζειν καὶ τὸ ἐκτυποῦν, ὅ ἐστι τύπον αἴρειν. 1857, 13.

ἔκμηνος χρόνος ὁ ἑξάμηνος διὰ τὴν τοῦ κ πρὸς τὸ ξ συγγένειαν. 451, 1.

ἐκμοχλεύειν καὶ ἀναμοχλεύειν, ζήτει ἐν τῷ μοχλός. 1944, 24.

ἐκμυζᾶν αἷμα ἐκ τραύματος, τὸ ἐκπιέζειν ἢ τὸ τῷ στόματι οἱονεὶ θηλάζειν. 464, 26.

ἐκμυστίζειν τὸ ὑφ' ἓν πνεῦμα πίνειν, ὅτι ἐκ τοῦ μύειν σύγκειται. 1282, 39.

ἐκνενευρίσθαι ἀντὶ τοῦ ἀσθενῶς ἢ ἀμελῶς ἔχειν. 457, 35.

ἐκνεφίαι ἄνεμοι ὅτι βίαιοί εἰσι καὶ μεγάλην κινοῦντες θύελλαν. 1728, 52.

ἐκνομίως ἀντὶ τοῦ λίαν καὶ ἔξω πάσης νομίσεως καὶ ὡς οὐκ ἄν τις νομίσειε. 532, 8. 755, 19.

ἐκολώα ἀντὶ τοῦ ἐθορύβει, ἀπὸ τοῦ κολωάω κολωῶ, ὅτι παρὰ τὸν κολοιὸν θορυβητικὸν καὶ κραυγαστικὸν ὄρνεον λέγεται. 205, 5.

ἑκούσια ὅτι ἐφ' ἡμῖν εἰσὶ τὰ καλὰ καθ' Ὅμηρον. 88, 6.

ἔκπαγλος ὁ ἐκπληκτικὸς καὶ φρικτὸς καὶ φοβερὸς, οἱονεὶ ἔκπλαγος παρὰ τὸ ἐκπλήττω κατὰ μετάθεσιν, ὅθεν καὶ τὸ ἐκπαγλότατος. 374, 13. 1136, 51.

ἐκπαγλότατος λέγεται ὁ ἐφ' ᾧ ἐκπλαγείη τις. 102, 38. ἀλλαχοῦ δὲ ὅτι ἐκπαγλότατος ὁ κατὰ χόλον ἤ τι ἕτερον σφοδρὸν πάθος ἐκπληγεὶς τὰς φρένας. 939, 36. 1067, 31. καὶ ὅτι ἐκ τοῦ ἔπλαγον δευτέρου ἀορίστου τοῦ πλήσσω ῥήματος κατὰ μετάθεσιν λέγεται. 68, 18. 22.

ἐκπάγλως, ἤγουν ὡς ἂν ἐκπλαγείη τις. 102, 37.

ἐκπέταλα ποτήρια τὰ πλατέα, παρὰ τὸ ἐκπεπετάσθαι οὕτω λεγόμενα, ἃ καὶ πατέλλια ἰδιωτικῶς λέγονται. 229, 3. 855, 43.

ἐκπηνιεῖται ἀντὶ τοῦ ἐκμηρύσεται, ὅτι παρὰ τὸ πηνίον, ὃ δηλοῖ τὸν μίτον, λέγεται. 1421, 64.

ἐκπηνίζειν τὸ ἐκμηρύεσθαι, παρὰ τὸ πηνίον, ὃ δηλοῖ τὸν μίτον. 1328, 48. 1421, 64.

ἐκπιεῖν τὸ τὸν ἐν ἀγγείῳ τινὶ περιεχόμενον ὅλον οἶνον πιεῖν. 1631, 59.

ἐκπίπτειν λέγονται δάκρυα, ἀντὶ τοῦ δαψιλῶς ἐκχεῖσθαι, Ἰλ. β', 266. 261, 44.

ἐκπίπτειν, ὅτι ἐκπίπτειν τι τῆς χειρὸς συμβαίνει οὐ μόνον διὰ φόβον, ἀλλὰ καὶ διὰ σπουδήν. 1749, 47.

ἐκπλαγῆναι καὶ καταπλαγῆναι λέγεταί τις τὴν ψυχὴν, πληγῆναι δὲ τὸ σῶμα. 374, 11.

ἐκπλήγη ἀντὶ τοῦ ἐξεπλάγη. 939, 35.

ἐκπληγῆναι φρένας ἀντὶ τοῦ ταραχθῆναι, καὶ ὅτι οὐ ταὐτὸν ἐκπληγῆναι εἰπεῖν καὶ ἐκπλαγῆναι, ζήτει τὸ ἐκπλαγῆναι. 1067, 30.

ἔκπληκτος ὁ ἔξωθεν πεπληγμένος κατὰ τοὺς ἐμβροντήτους καὶ μὴ κατὰ φύσιν φρονῶν, ζήτει ἐν τῷ ἔμπληκτος καὶ ἐν τῷ ἐκπλήσσειν. 1844, 53. 1886, 42.

ἐκπλήσσειν τινὰ τὸ διὰ πληγῆς καὶ κρότου συγχεῖν τινὰ, καὶ ἔκπληκτος ὁ οὕτω κατακροτηθείς. 1844, 52.

ἐκπρέπειν καὶ ἐκπρεπής. 258, 46.

ἐκπρεπὴς ἴσον τῷ ἀριπρεπὴς, ἐπεὶ καὶ ἡ ἐκ ἐπίτασιν ὑπαγορεύει, ὡς καὶ τὸ ἀρι ἐπίῤῥημα. 1310, 11.

ἐκπρεπὴς χρήσιμον, ἐκπρέπειν δὲ οὐχ ἴσως, μεταπρέπειν δὲ καὶ μάλα. 1591, 5.

ἐκπυρηνίζεσθαι τῶν νεφῶν ἀστραπαὶ λέγονται τροπικῶς. 1858, 61.

ἔκπωμα δοκιμώτερον λέγειν ἢ ποτήριον. 1161, 53.

ἐκρέμω, δεύτερον πρόσωπον ῥηματικὸν ἐκ τοῦ ἐκρέμασο ἐκρέμαο ἐκρέμω. 1003, 21.

ἐκσίγησις, ζήτει ἐν τῷ ἔκλησις. 1968, 25.

ἐκστέψαι, ἐκκενῶσαι ἢ ἀποθέσθαι ἐκ μεταφορᾶς τῶν στέμματα ἀποτιθεμένων. 1402, 61.

ἔκτα ἀντὶ τοῦ ἔκτανεν, ὅτι βραχυκαταληκτεῖ ὡς ἀποκοπὲν ἐκ τοῦ ἔκτανε. 637, 17. 1418, 58.

ἐκταδίη χλαῖνα ἐπιθετικῶς ἡ ποδήρης. 794, 15.

ἐκτάσεις φωνηέντων ἐν λέξεσι πρὸς βραχέων ἐπαλληλίας θεραπείαν, οἷον ἐν τῷ ἐτώσιον, ὃ παρὰ τὸ ἐτὸς λέγεται. 611, 37.

ἐκτέατο ἀντὶ τοῦ ἐκέκτηντο Ἰωνικῶς. 234, 17.

ἐκτείνειν τινὰ ἀντὶ τοῦ ἐκτάδην ῥίπτειν. 672, 60.

ἐκτεὺς τὸ ἕκτον τοῦ μεδίμνου. 1854, 13.

ἐκτῆσθαι ἀντὶ τοῦ κεκτῆσθαι παρ' Ὁμήρῳ ἀποβολῇ τοῦ κ πρὸς τὸ εὐφωνότερον. 759, 41. 1570, 24.

ἐκτιλωμένος ὁ συνήθης τινὶ γενόμενος. 403, 37.

ἐκτιμᾶσθαι ὅτι τιμῆς ἐπίτασιν ὑπαγορεύει διὰ τῆς ἐκ προθέσεως. 1514, 23.

ἔκτιμον τὸ ἔξω τιμῆς, ὅτι ἀντίκειται τῷ ἔντιμον. 1514, 22.

ἔκτοθεν ὅτι ἐκ τοῦ ἔκτοσθεν γέγονεν ἀπελεύσει τοῦ σ. 1400, 29.

ἔκτομα ζῶα, ὅτι τῶν ἀγρίων ζώων ἔνια εὐνουχίζουσιν ἑαυτὰ διὰ πάθος ἐγγινόμενον αὐτοῖς κατὰ τοὺς ὄρχεις. 772, 50.

Ἑκτόρειος κόμη, ὅτι ἡ περικεχυμένη κόμη οὕτω λέγεται. 1276, 29.

ἕκτορες πλημμυρίδος αἱ ἄγκυραι αἰνιγματικῶς λέγονται, ἤγουν ἐφεκτικαὶ κυμάτων. 1479, 33.

ἐκτορμεῖν ὅτι παρὰ τὴν τόρμην ἢ τόρμαν λέγεται καὶ δηλοῖ τὸ δρόμου ἐκβαίνειν· καὶ ζήτει τὸ, τόρμα τοῦ καθήκοντος. 598, 26.

Ἕκτορος νεκρὸς ὅτι χρυσῷ ἀντι-

σταθμηθεὶς ἀπεδόθη τῷ πατρὶ ὑπ' Ἀχιλλέως. 1273, 43.

ἕκτος τακτικὸν ὅτι ἐκ τοῦ ἓξ ἀριθμητικοῦ γέγονε τροπῇ τοῦ ξ εἰς κ. 451, 2.

ἐκτὸς ὁδοῦ, ἔξω τῆς ὁδοῦ. 1736, 16. καί, ἐκτὸς ὁδοῦ, ἀντὶ τοῦ εἰς ἀπόπατον χωρεῖν παρ' Ἡσιόδῳ. 637, 1.

ἔκτοσε ὅτι ἀπὸ τοῦ ἐκτὸς παρήχθη, ὡς ἀπὸ τοῦ παντὸς τὸ πάντοσε. 1763, 7.

ἔκτριμμα, ὅτι τὸ χειρόμακτρον οὕτω καλοῦσί τινές. 1887, 50.

ἐκτροπὴ ὁδοῦ, ταὐτὸ ὅπερ κάμψις. 1738, 49.

ἐκτρυπᾶν τὸ μετὰ βίας ἐξελθεῖν, εἰστρυπᾶν δὲ τὸ μετὰ βίας εἰσελθεῖν. 1532, 4.

ἔκτρωμα τὸ ἀτύπωτον ἐξαμβλωθὲν ἔμβρυον. 1175, 42.

ἐκτρῶσαι λέγεται γυνὴ ἀντὶ τοῦ μήπω τετυπωμένον ἔμβρυον τεκεῖν. 1175, 42.

ἔκτυπα μέσος παρακείμενος ὅτι ἐκ τοῦ ἐκτύπηκα δοκεῖ συγκεκόφθαι, διὰ τὸ τοὺς τῶν περισπωμένων ῥημάτων μέσους παρακειμένους μιᾷ ἐνδεῖν συλλαβῇ τῶν συστοίχων ἐνεργητικῶν. 669, 22.

ἔκτυπον, δεύτερος ἀόριστος τοῦ κτυπῶ ῥήματος. 604, 43. 669, 22. καὶ ὅτι ἀπὸ τοῦ ἐκτύπησα γίνεται, ὡς ἀπὸ τοῦ ἐδούπησα τὸ ἔδουπον καὶ ἐστύγησα τὸ ἔστυγον. 1695, 31.

Ἕκτωρ κύριον καὶ ἕκτωρ ὁ συνοχεὺς ἢ κρατητὴς ἐπιθετικῶς, καὶ ἄγκυραι ἕκτορες πλημμυρίδων, ἤγουν ἐφεκτικαὶ τῆς τῶν κυμάτων ῥύμης. 1283, 55.

Ἕκτωρ ὁ Πριάμου ὅτι ἀξιοθέατος τὸ εἶδος ἱστορεῖται γενέσθαι, καὶ οὐ στραβὸς καὶ εἰδεχθὴς ὡς ἐνόμισάν τινες. 1099, 57. καὶ ὅτι νέος τις ἐμφερὴς εἶναι τῷ Ἕκτορι νομισθεὶς ἐν τοῖς κατ' Ἄρατον τὸν Σικυώνιον χρόνοις, κατεπατήθη ὑπὸ τοῦ πλήθους τῶν ἐπὶ τὴν θέαν αὐτοῦ προσδραμόντων. 1273, 19.

ἐκύδανον παρατατικὸς ὅτι ἀπὸ τοῦ κυδάνω θέματος κεκίνηται. 1195, 5.

ἑκυρὸς ὁ πενθερός, παρὰ τὸ εἰς ἓ ἔχειν τὴν κόρην ἢ τὸ κῦρος, ἢ καὶ δασύνεται κατὰ τοὺς πλείστους, κατὰ δέ τινας ψιλοῦται. 648, 49. καὶ ὅτι συστέλλει τὴν παραλήγουσαν παρ' Ὁμήρῳ. 400, 4.

ἐκφαίνεσθαι ἐν ἴσῳ τῷ μάλιστα φαίνεσθαι, ὅτι ἡ ἐξ ἐπίτασιν ὑπαγορεύει. 931, 56.

ἐκφάσθαι τὸ λόγῳ προφορικῷ ἐξειπεῖν. 1657, 28.

ἐκφατνίζεσθαι λέγονται ὀδόντες, ἤγουν ἐξάγεσθαι ἐκριζούμενοι. 1784, 46.

ἐκφέρειν ἵπποι λέγονται, ἤγουν προφερῶς θέειν, καὶ ἐκφέρειν τις ἆθλον λέγεται ἀντὶ τοῦ κομίσασθαι. 1327, 27.

ἐκφέρειν νεκρὸν τὸ εἰς ταφὴν ἐξάγειν, καὶ ἐκφέρειν ἀπολύτως τὸ προτρέχειν καὶ ὑπερφέρειν τῶν ἄλλων, περὶ ἵππων λεγόμενον Ἰλ. ψ', 376. 1306, 34. 37.

ἐκφέρειν τὸ ἁπλῶς ἐκκομίζειν, καὶ ἐκφέρειν τὸν νεκρὸν καὶ ἁπλῶς ἄψυχόν τι ἐκκομίζειν. 112, 43. 1478, 7. καὶ ἐκφέρειν τὸ φοράδην ἀπάγειν τινὰ ζῶντα ἐν τῷ, Σαρπηδόνα ἐξέφερον πολέμοιο, Ἰλ. ε', 664. 592, 23. καὶ ὅτι ἐκφέρεσθαι μὲν ὁ νεκρὸς λέγεται, ἐκφορεῖσθαι δὲ ὁ τῆς νεὼς γόμος. 1376, 10. 1565, 43.

ἐκφέρεσθαι λέγεται λόγος, ἐκφορεῖσθαι δὲ ναῦς, ἤγουν ἐκφορτίζεσθαι· ζήτει ἐν τῷ ἐκφέρειν. 1565, 43.

ἐκφεύγειν δάκρυα λέγονται τῷ κλαίοντι ἀντὶ τοῦ ταχέως ἐκτρέχειν. 216, 46.

ἐκφορὰ ἡ ταφή, παρὰ τὸ ἐκφορεῖν, ὅ ἐστιν ἐκφέρειν. 573, 15. 821, 46. 1965, 42. καὶ ὅτι ἡ ἐκφορὰ καὶ ἐκφόρησις λέγεται. 372, 35.

ἐκφορεῖν γόμον νεώς, ὅτι παρὰ τοῦ ἐκφέρειν παρῆκται, ὃ περὶ νεκρῶν λέγεται. 1376, 10. καὶ ὅτι ἀντίκειται τῷ ἐσφορεῖν. 1553, 37.

ἐκφορεῖσθαι ἀντὶ τοῦ ἐκφέρεσθαι. 1188, 39. καὶ ὅτι ἐκφορεῖσθαι μὲν λέγεται ναῦς, ἐκφέρεσθαι δὲ λόγος ἢ νεκρός. 1565, 43.

ἐκφόρησις ταὐτὸ ὅπερ ἐκφορά. 372, 35.

ἔκφορος λόγος ὅτι παρὰ τὸ ἐκφέρεσθαι λέγεται. 1565, 44.

ἐκφυγεῖν χειρὸς λέγεται βέλος τὸ μὴ θελητῶς ἀφεθέν. 995, 42.

ἐκφυγεῖν λέγεται δόρυ μάτην βληθὲν καὶ μὴ ἐπιτυχόν, καὶ λόγος ἐκφυγὼν ματαιολογίαν δηλοῖ. 1270, 19.

ἐκχύνεσθαί ποθεν, ἀντὶ τοῦ σπουδαίως ἐκβαίνειν παρ' Ὁμήρῳ. 1608, 31.

ἑκὼν ἀέκοντι θυμῷ, Ἰλιάδ. δ', 43. ὅτι παροιμιακῶς λέγεται, καὶ ἑρμηνεία διεξοδικὴ τοῦ ῥητοῦ. 443, 35.

ἑκὼν εἶναι οὐ ποιήσω τόδε τι, ὅτι ἀργῶς πρόσκειται τὸ εἶναι. 105, 32.

ελ ἀρχόμεναι φωναὶ εἰ καθαρὸν ἔχουσι τὴν τρίτην συλλαβήν, ψιλοῦνται, οἷον ἐλεόθρεπτον. 345, 2.

ἐλάα Ἀττικῶς ὁ τῆς ἐλαίας καρπός. 949, 50. 1572, 34. καὶ ἐλάαν ἀπαρέμφατον ἀντὶ τοῦ ἐλᾶν ἐν τῷ, μάστιξε δ' ἐλάαν, παρ' Ὁμήρῳ· καὶ παρῳδία εἴτουν κατάχρησις τοῦ Ὁμηρικοῦ ῥητοῦ ἐκείνου. 860, 21.

ἐλάαν ἀντὶ τοῦ ἐλᾶν, ὅ ἐστι πλήττειν, καὶ ἄδην ἐλάαν κακότητος, Ὀδ. ε', 290. ἀντὶ τοῦ κατακόρως κακῶσαι. 1536, 58.

ἐλάας τοὺς καρποὺς τῆς ἐλαίας οἱ Ἀττικοί, καὶ ἐλᾶς δισυλλάβως. 1944, 8.

ἐλάδιον ὅτι ἐκ τοῦ ἔλαιον ὑποκεκόρισται. 1552, 32.

ἐλαία λέγεται τό τε φυτὸν καὶ ὁ καρπός. 653, 53.

Ἐλαία, πόλις Αἰολικὴ Περγαμηνῶν ἐπίνειον, διέχουσα Περγάμου σταδίους εἴκοσι καὶ ἑκατόν. 1697, 15. καὶ ὅτι τὸ λε δίφθογγον ἔχει, ὅθεν καὶ Ἐλαϊτικὸς κόλπος λέγεται μέρος ὂν τοῦ Ἀδραμυττινοῦ· Ἐλέα δὲ πόλις Ἰταλίας, τὸ λε ψιλόν. 1944, 9.

ἐλαία, ὕλη γαμικῆς κλίνης Ὀδ. ψ', 190. ὅτι οἰώνισμα ἦν θαλεροῦ βίου καὶ λιπαροῦ γήρως. 1944, 3.

ἐλαία ἡ ἥμερος, ἔλαιος δὲ ἡ ἀγρία καὶ ἄῤῥην, ἀγριέλαιος δὲ οὔ· καὶ ὅτι ἐλαίας καὶ ἐλάας οἱ Ἀττικοὶ τοὺς καρποὺς τῆς ἐλαίας ἔλεγον, καὶ ἐλᾶς δισυλλάβως, ὅθεν ἐλαολογεῖν τὸ συλλέγειν ἐλαίας. 1944, 7. 14.

ἐλαία τὸ φυτὸν ὅτι ἐν τῇ ἀκροπό-

λει τῶν Ἀθηνῶν ἐφάνη πρῶτον, ἱστορία. 1095, 25.

ἐλαΐνεος ἀντὶ τοῦ ἐλάϊνος πλεονασμῷ τοῦ παραλήγοντος ε̄, ἢ ἐκ τοῦ ἐλαΐνειος ἀπελεύσει τοῦ ῑ. 1631, 23.

ἐλάϊνος ὅτι οὐκ ἀπὸ τοῦ ἐλάα, ἀλλ' ἀπὸ τοῦ ἐλαία παρῆκται ἀποθέσει τοῦ ῑ. 949, 45.

ἐλαιοκονία ὅτι παρὰ τὴν κονίαν, ὃ δηλοῖ τὴν τίτανον, λέγεται. 382, 37.

ἐλαιολογεῖν τὸ συλλέγειν ἐλαίας, ὅτι καὶ ἐλαολογεῖν παρὰ τοῖς Ἀττικοῖς λέγεται. 1944, 8.

ἔλαιον, ὅτι ἔλαια Ὅμηρος καλεῖ τὰ μῦρα. 1300, 40. καὶ ὅτι ἔλαιον οἱ Ἀττικοὶ ἔλεγον καὶ τὸν τόπον οὗ ἐπωλεῖτο τὸ ἔλαιον. 1583, 28.

ἔλαιος ἡ ἄῤῥην ἀγρία ἐλαία, ἀγριέλαιος δὲ συνθέτως οὐ λέγεται κατά τινας παρὰ τοῖς Ἀττικοῖς, ζήτει ἐν τῷ ἐλαία. 1944, 7. 14.

ἐλαίου πηγαί τινες γῆθεν ἀναβλύζουσαι, ἱστορία. 336, 32—40.

Ἐλαϊτικὸς κόλπος, ζήτει ἐν τῷ, Ἐλαία πόλις. 1944, 12.

ἐλαίῳ στίλβοντες χιτῶνες, οἱ στιλπνοὶ ὡς δοκεῖν ἐλαίῳ περικεχύσθαι. 1166, 59.

ἐλαίῳ χρίεσθαι ἐπετήδευον οἱ παλαιοὶ μετὰ τὸ λούσασθαι πρὸς σύμφραξιν τῶν σωματικῶν πόρων. 1477, 14.

ἔλακον δεύτερος ἀόριστος ὅτι ἀπὸ τοῦ ληκῶ περισπωμένου θέματος κεκίνηται. 604, 43.

ἐλᾶν ἀντὶ τοῦ ἀπάγειν καὶ ἐξελαύνειν. 543, 20. καὶ ἐλᾶν ἀντὶ τοῦ ἡνιοχεῖν καὶ ἀντὶ τοῦ ληίσασθαι. 877, 32. καὶ ἐλᾶν ἀντὶ τοῦ εἰς ὕψος ἀνατείνειν. 795, 43. καὶ ἐλᾶν σίδηρον τὸ ἐργάζεσθαι, καὶ ἐλᾶν τεῖχος τὸ ἐκτείνειν, καὶ ἐλᾶν τάφρον τὸ ἐνορύττειν, καὶ ἐλᾶν τὸ συντόνως διώκειν, ὅθεν τὸ ἱππηλατεῖν καὶ κωπηλατεῖν. 1163, 38. 1475, 1. 1549, 34. 1748, 52. καὶ ἐλᾶν ἀντὶ τοῦ πλήττειν πολλαχοῦ παρ' Ὁμήρῳ. 1244, 37. 1872, 49.

ἑλάναι, λαμπάδες ἐκ καλάμων δέσμης γινόμεναι, καὶ ὅτι παρὰ τὴν ἕλην λέγονται. 667, 22. 1571, 7.

ἐλάσαι τὸ πλῆξαι, καὶ ἐλάσαι σίδηρον τὸ ἐργάσασθαι, καὶ ἐλάσαι τεῖχος τὸ ἐκτεῖναι, καὶ ἐλάσαι τάφρον τὸ ἀνορύξαι, καὶ ἐλάσαι τὸ συντόνως διῶξαι, ὅθεν τὸ ἱππηλατεῖν καὶ κωπηλατεῖν, ζήτει τὸ ἐλᾶν. 1475, 1—9. 1819, 64.

ἐλάσαι τὸ καθῆραι, ὅθεν ἐλατήριον φάρμακον τὸ τὴν κοιλίαν καθαῖρον. 1163, 39.

ἐλάσαι ἀντὶ τοῦ πολεμικῶς ἀπελάσαι καὶ ληίσασθαι, οἷον ἐν τῷ, βοῦς ἤλασαν, Ἰλ. α', 154. 70, 39.

ἐλάσαι, ὅτι ἄλλως ὁ Ἥφαιστος ἐλάσαι λέγεται πέντε πτύχας ἐπὶ τῇ τοῦ Ἀχιλλέως ἀσπίδι, ἄλλως δὲ ὁ Αἰνείας ἐλάσαι δύο πτύχας αὐτοῦ μαχόμενος τῷ Ἀχιλλεῖ. 1207, 35.

ἐλάσαι ξίφει ἀντὶ τοῦ κεντῆσαι. 1920, 45. καὶ ἐλάσαι χειρὶ ἀντὶ τοῦ τύψαι ἢ πλῆξαι. 1244, 37.

ἐλάσασκεν, ἤγουν ἔπληττεν. 199, 24.

Ἐλασσών, πόλις ἡ παρ' Ὁμήρῳ Ὀλοοσσών, καὶ ζήτει τὸ Ὀλοοσσών. 333, 39.

ἐλάσσων καὶ ἔλασσον ὅτι παρὰ τὸ ἐλαχὺς λέγονται, οὗ χρῆσις παρὰ Καλλιμάχῳ. 630, 20. 1584, 15.

ἐλαστρέω ἐλαστρῶ, τὸ ἐλαύνω, ὅτι ἐκ τοῦ ἐλατὸς ὀνόματος γέγονε πλεονασμῷ τοῦ σ̄ καὶ τοῦ ρ̄, καὶ ὅτι περὶ ζευγῶν καὶ περὶ νεῶν λέγεται. 1161, 26.

ἐλάται εὔξεσται ἐπιθετικῶς αἱ κῶπαι, ἀπὸ ἐλάτης τοῦ δένδρου. 661, 42.

Ἐλάτεια, πόλις τῆς Βοιωτίας, ὅτι ἀπὸ τοῦ ἐλᾶν λέγεται, ὡς καὶ ἡ ἐλάτη τὸ φυτόν. 267, 41.

ἐλάτη δένδρον καὶ Ἐλάτη κύριον, ὅτι τὴν ἐλάτην τὸ δένδρον οὐρανομήκη λέγει Ὅμηρος ὑπερβολικῶς, καὶ ὅτι Ἐλάτη ἀδελφὴ τῶν Ἀλωειδῶν πενθοῦσα ἐπὶ τῷ τῶν ἀδελφῶν θανάτῳ εἰς δένδρον μετεβλήθη. 582, 22. 1532, 42.

ἐλάτη φυτὸν ὅτι παρὰ τὸ ἐλᾶν, ὅ ἐστιν εἰς ὕψος ἀνατετάσθαι, λέγεται. 795, 43.

ἐλατὴρ ὁ ἡνίοχος καὶ εἶδος πέμματος ὁμωνύμως. 877, 32. 34. ἀλλαχοῦ δὲ ὅτι ἐλατὴρ πόπανον πλατύ. 1163, 41.

ἐλατήριον, πᾶν καθαρτικὸν τῆς κοιλίας φάρμακον, ἰδίως δὲ τὸ διὰ ῥίζης ἀγρίου συκίου. 1163, 39.

ἐλατρεῖν καὶ ἐλαστρεῖν ὅτι παρὰ τὸ ἐλᾶν λέγονται. 1588, 11.

Ἐλατρεύς, ὄνομα κύριον ναύτου παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ ἐλᾶν λέγεται. 1588, 10.

ἐλαύνειν ἀντὶ τοῦ ἐπιτείνειν ἐν τῷ, ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον, Ἰλ. α', 575. καὶ σχηματισμὸς διεξοδικὸς τῆς ἐλαύνω φωνῆς. 154, 12.

ἐλαύνειν ὅτι πολλά τινα σημαίνει, καὶ ἔκθεσις τῶν σημασιῶν αὐτοῦ, ζήτει τὸ ἐλᾶν. 1475, 1—9.

ἐλαύνειν ἵππον καὶ ναῦν, καὶ ἐλαύνειν σίδηρον καὶ τάφρον καὶ τεῖχος πόλεως, ζήτει τὸ ἐλᾶν. 340, 18. 1462, 11. ἐλαύνειν σκήπτρῳ τὸ πλήττειν. 201, 17. καὶ ζήτει τὸ ἐλᾶν.

ἐλαύνεσθαι λέγεται ναῦς καὶ σπέρχεσθαι καὶ ἐπείγεσθαι καὶ διώκεσθαι πολυωνυμικῶς παρ' Ὁμήρῳ. 1737, 52.

ἐλαυνόμενος ἀντὶ τοῦ ἐλαύνων ἐν τῷ, ῥύσι' ἐλαυνόμενος, Ἰλ. λ', 674. 877, 37.

ἐλαύνω, ὅτι ἐκ τοῦ ἐλάω γίνεται ἐλαύω καὶ πλεονασμῷ τοῦ ν̄ ἐλαύνω, ἑρμηνεία διεξοδική. 531, 15. 671, 1. 831, 62.

ἐλαφηβολία, ἐκ τοῦ ἐλαφοβολία γέγονεν ἡ λέξις τροπῇ τοῦ προπαραλήγοντος ο̄ εἰς η̄, καὶ ἐλαφηβόλος ὁμοίως. 28, 17. 521, 3.

ἐλαφηβόλια, ἑορτὴ Ἀθήνησιν οὕτω καλουμένη. 1652, 58.

ἐλαφηβόλος ἐκ μέρους ὁ ἁπλῶς πάντα τὰ ἄγρια βάλλων ἐν τῷ, ὥς περ λῖς ἠϋγένειος, ᾧ ῥά θ' ὑποσκίμνους ἐλαφηβόλος ἁρπάσει ἀνήρ, Ἰλ. σ', 319. 1145, 23.

ἔλαφος ὅτι, καίπερ παρὰ τὸ ἐλεῖν ὄφεις λεγόμενον, ὅμως ψιλοῦται διὰ τὸ ἐγκείμενον φ̄, καὶ ὅτι καὶ παρὰ τὸ ἐλᾶν ὄφεις ἐνδέχεται λέγεσθαι. 468, 1.

ἔλαφος, ὅτι κατ' εἶδος μὲν αἱ ἔλαφοι θηλυκῶς λέγονται κατ' ἔθος Ἰωνικόν, κατὰ δὲ μέρος ἀρσενικῶς προφέρεται ὁ ἔλαφος· καὶ ὅτι καὶ εἶδός τι πλακοῦντος διὰ σταιτὸς καὶ μέλιτος καὶ σησάμου ἔλαφος ἐλέγετο διὰ τὸ ἐν ἐλαφηβολίοις,

ἑορτῇ τινὶ οὕτω καλουμένῃ, ἀναπλάσσεσθαι. 1652, 56.

ἐλαφρὰ σώματα ὅτι ἐπ' ὀλίγον φέρονται βαλλόμενα διὰ τὸ μὴ δύνασθαι τέμνειν τὸν ἀέρα. 1332, 55.

ἐλαφροὶ πόδες οἱ κοῦφα θέοντες καὶ οἷον ἐλαφηροί. 1320, 46.

ἐλαφρὸν τὸ ταχὺ καὶ κοῦφον, οἱονεὶ ἐλαφηρὸν, παρὰ τὸ ἔλαφος. 529, 29. 1084, 30. 1262, 58. 1407, 39.

ἐλαφρῶς πλέειν λέγεται ναῦς ἐκ μεταφορᾶς τῶν τρεχόντων, ἐφ' ὧν κυριολεκτεῖται τὸ ἐλαφρόν. 1532, 46.

ἐλάχεια, θηλυκὸν τοῦ ἐλαχὺς, ὡς τοῦ λιγὺς τὸ λίγεια. 1619, 33.

ἐλαχὸς ἢ ἐλαχὺς ὁ μικρὸς, ὅθεν τὸ ἐλάχιστος, ὅτι παρὰ Καλλιμάχῳ κεῖται. 1584, 15.

ἔλδω καὶ ἔλδομαι τὸ ἐπιθυμῶ, παρὰ τὸ ἕλω τὸ αἱροῦμαι κατ' ἐπένθεσιν τοῦ δ, δι' ἣν καὶ ψιλοῦται. 36, 38. 42.

Ἐλέα, πόλις Ἰταλίας, ζήτει ἐν τῷ Ἐλαία. 1944, 10.

ἐλεαίρειν ἐλεεῖν. 627, 28.

ἐλέατρος ὁ δειπνοκλήτωρ, ἐτυμολογία, καὶ ὅτι διαφέρει τοῦ ἐδέατρος. 773, 40.

ἐλέατρος ὁ μάγειρος, παρὰ τὸ ἐλεὸν, ὃ δηλοῖ τὴν μαγειρικὴν τράπεζαν, ἐδέατρος δὲ ὁ προγεύστης. 1766, 43. καὶ ζήτει τὸ ἐδέατρος. 1874, 32.

ἐλεγεῖα, ἔπη θρηνητικά. 1673, 50.

ἔλεγοι, θρῆνοι, ὅτι μετ' αὐλοῦ ᾔδοντο, ἐπεὶ καὶ πένθιμος ἦν ὁ αὐλὸς τὸ κατ' ἀρχάς. 1372, 28.

ἐλεγχείη ὅτι παρὰ τὸ ἔλεγχος λέγεται, ὡς παρὰ τὸ ἔγχος ἡ ἐγχείη, καὶ ὅτι τὸ χῖ διὰ διφθόγγου γράφεται. 467, 39. 1449, 26.

ἐλεγχείην ἀνατιθέναι καὶ ἐλεγχείην καταχεύειν ἀντὶ τοῦ ἐλέγχειν περιφραστικῶς παρ' Ὁμήρῳ· τὸ δ' ἐλέγχειν ἐπὶ ὕβρεως κεῖται. 769, 43.

ἐλέγχειν ῥῆμα καὶ ἐλεγχείη ὄνομα ὅτι ἐπὶ ὕβρεως κεῖνται παρ' Ὁμήρῳ, καὶ ἐλέγχειν ἐν ἴσῳ τῷ καταισχύνειν ἐν τῷ, τῶν μὴ σύγε μῦθον ἐλέγξῃς, Ἰλ. ι', 522. 769, 42. 847, 10.

ἐλεγχὴς ἐλεγχέος, ὁ ἐλέγχου ἄξιος, τουτέστιν ἐπονείδιστος. 467, 37.

ἐλέγχιστος, ἐφάμαρτος· τῶν γὰρ ἁμαρτανόντων ἐστὶ τὸ ἐλέγχεσθαι. 1648, 11.

ἔλεγχος ἡ αἰσχύνη ἐν τῷ, δὴ γὰρ ἔλεγχος ἔσσεται, Ἰλ. λ', 314. 847, 9. καὶ ὅτι καὶ δειλίαν παραλαλεῖ, ὡς ἀπὸ τοῦ ἐλᾶν ἔγχος λεγόμενον. 467, 40. 45. καὶ ὅτι τριχῶς λέγεται, τὸ ἔλεγχος οὐδετέρως καὶ ἐλεγχεία θηλυκῶς καὶ ἀρσενικῶς ὁ ἔλεγχος κοινότερον. 1911, 50.

ἐλεεινὸν, ἀντὶ τοῦ ἐλεεινῶς, δακρύειν λέγονται καὶ οἱ κατὰ χαρὰν δακρύοντες δι' ἀνάμνησιν τῶν προϋπαρξάντων κακῶν. 1800, 1.

ἐλεεινὸς ὅ τε ἤδη ἠλεημένος καὶ ὁ μήπω μὲν, δεόμενος δὲ ἐλέου. 1290, 59.

ἐλεινὸν τρισυλλάβως ἀντὶ τοῦ ἐλεεινόν. 1276, 63.

ἔλειπον παρατατικοῦ χρόνου, ἔλιπον δὲ δευτέρου ἀορίστου. 181, 28.

ἐλεητὺς ὁ ἔλεος κατὰ γλῶσσαν ποιητικήν. 1752, 49. καὶ ἐλεητὺς ἀντὶ τοῦ φειδὼ ἐν τῷ, οὐδ' ἐλεητὺς ἀλλοτρίων χαρίσασθαι, Ὀδ. ρ', 451. 1827, 35.

ἑλεῖν ἀντὶ τοῦ ἅψασθαι γενικῇ, οἷον ἐν τῷ, ἑλεῖν χειρὸς ἢ πέπλου καὶ ἑλεῖν μέσου δουρὸς, παρ' Ὁμήρῳ. 386, 31. 517, 37. 1221, 10.

ἑλεῖν ἀντὶ τοῦ κατασχεῖν ἐν τῷ, δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, Ἰλ. ε', 136. 530, 35. καὶ ἑλεῖν ἀντὶ τοῦ καταλαβεῖν ἐν τῷ τρέχειν. 1304, 49.

ἑλεῖν ἀντὶ τοῦ ἐξελεῖν καὶ προκρῖναι. 1528, 2.

ἑλεῖν ἀντὶ τοῦ ἀνελεῖν πολλαχοῦ παρ' Ὁμήρῳ. 666, 16. καὶ ὅτι δασύνεται ἡ λέξις. 36, 42.

ἕλειοι μυῖαι, εἶδός τι μυιῶν οὕτω καλούμενον παρὰ τὸ ἕλος. 295, 33.

ἑλέσθαι ἀντὶ τοῦ κατ' ἐξαίρεσιν λαβεῖν, ὅ ἐστιν ἐπιλέξασθαι, παρ' Ὁμήρῳ. 776, 59. 1171, 6. 1719, 63.

ἐλελίζειν τὸν οὐρανὸν λέγεται ὁ Ζεὺς καὶ ἡ Ἥρα παρ' Ὁμήρῳ ἀντὶ τοῦ λείως κινεῖν, ὅτι μιμητικῶς πεποίηται ἡ λέξις, καὶ ὅτι εὖ ἔχει συνθέσεως, καὶ ὅτι καὶ ἐπὶ δράκοντος ἑλισσομένου λέγεται τὸ ἐλελίζειν Ἰλ. β', 316. 145, 28. 229, 35. 708, 11.

Ἑλένη κύριον ὅτι παρὰ τὸ ἑλεῖν λέγεται. 776, 1. καὶ ὅτι φωνόμιμος ἦν Ἑλένη ἡ ἡρωὶς, διὸ καὶ ἠχὼ ἐπεκλήθη. 1496, 25. καὶ ὅτι ἐκ τοῦ κατὰ τὴν σελήνην κόσμου πεσεῖν μυθεύεται, διὸ καὶ σεληναία ἄνθρωπος ἐπεκλήθη. 1488, 21. καὶ ὅτι ὁ Πάρις εἰκασθεὶς Μενελάῳ ἠπάτησε τὴν Ἑλένην, ἱστορία. 1946, 9.

Ἑλένη, νῆσός τις πρὸς τῇ Εὐβοίᾳ. 278, 34. ἀλλαχοῦ δὲ ὅτι πρὸς τῇ Ἀττικῇ. 433, 21.

Ἑλένης κρατὴρ, παροιμιακῶς ὁ περιττὸς τὴν κατασκευὴν ἀπὸ Ἑλένης τῆς ἡρωίδος. 1776, 4. καὶ Ἑλένης ὅρμος ὑπὸ Μενελάου ἀνατεθεὶς τῷ Πυθίῳ Ἀπόλλωνι. 1697, 46.

ἑλένιον βοτάνη ὅτι ἀπὸ Ἑλένης τῆς ἡρωίδος ἔσχε τοὔνομα, ἱστορία. 1493, 61.

Ἕλενος ὁ Πριάμου ὅτι ἀπὸ Ἑλένου Θρᾳκός τινος μάντεως ἔλαβε τήν τε μαντικὴν τέχνην καὶ τοὔνομα τοῦτο, Σκαμάνδριος τὸ πρότερον καλούμενος. 626, 24. ἀλλαχοῦ δὲ ὅτι Ἕλενος καὶ Κασσάνδρα βρέφη ὄντα ἐν ἄλσει Ἀπόλλωνος ὑπὸ γλώσσης ὄφεως τοὺς ἀκουστικοὺς πόρους ἐκαθάρθησαν, ὥστε καὶ θεῶν φωνῆς ἐπαΐειν. 663, 40.

ἔλεξα ἀντὶ τοῦ ἐκοίμισα καὶ εὔνασα. 983, 22.

ἐλεοδύται, μάγειροι τραπεζοποιοὶ, ὅτι παρὰ τὸν ἐλεὸν, ὃ δηλοῖ τὴν μαγειρικὴν τράπεζαν, λέγονται. 773, 43.

ἑλεόθρεπτον ὅτι, καίτοι παρὰ τὸ ἕλος δασυνομένης λέξεως λεγόμενον, ὅμως διά τινα κανόνα ψιλοῦται. 345, 1.

ἐλεὸς ἀρσενικῶς ἢ ἐλεὸν οὐδετέρως ἡ μαγειρικὴ τράπεζα. 748, 4. 749, 6. 1766, 42.

ἔλεος ὅτι πῇ μὲν ἀρσενικῶς, πῇ δὲ οὐδετέρως λέγεται. 432, 17. 1632, 17.

ἐλευθέρια οὐδετέρως, ἀγὼν ἐπινίκιος τελούμενος περὶ Πλαταιὰς τῆς Βοιωτίας εἰς μνήμην τῆς κα-

τὰ Μαρδονίου νίκης τῶν Ἑλλήνων, ἱστορία. 269, 16.

ἐλεύθερον ἦμαρ περιφραστικῶς ἡ ἐλευθερία παρ' Ὁμήρῳ. 655, 32. 1822, 47.

ἐλεφαίρειν, οἱονεὶ ἐλπαίρειν, ἤγουν δι' ἐλπίδων παραλογίζεσθαι, καὶ ἁπλῶς τὸ βλάπτειν. 82, 42. 480, 46. 500, 4. 1307, 24. 1877, 27.

ἐλεφαντὰ ὀξυτόνως ἀντὶ τοῦ ἐλεφάντινα, ὅτι οὕτω γράφουσί τινες ἐν τῷ, ὡς δ' ὅτε τίς τ' ἐλεφαντὰ γυνὴ φοίνικι μιήνῃ, Ἰλ. δ', 141. 455, 45.

ἐλεφαντίνη ὀνείρων πύλη, ζήτει ἐν τῷ, ὀνείρων πύλαι. 1877, 25.

ἐλέφας τὸ ζῷον καὶ τὸ ἐλεφάντινον ὀστοῦν, ἀπὸ τοῦ ὅλου τὸ μέρος. 455, 42. 583, 41. 1210, 37. καὶ ἐλέφας ὁμωνύμως εἶδος ποτηρίου. 1286, 29.

Ἐλεφήνωρ, υἱὸς Χαλκώδοντος τοῦ Ἄβαντος τοῦ Ἄλκωνος τοῦ Πανδώρου τοῦ Ἐρεχθέως τοῦ Πανδίονος. 281, 40. καὶ ὅτι ἐκ τοῦ ἐλεφαίρειν σύγκειται ἡ λέξις. 480, 46. 500, 5.

Ἐλεὼν, πόλις Βοιωτικὴ ἢ κώμη Ταναγρικὴ, παρὰ τὸ ἐν ἕλεσιν ᾠκίσθαι πάλαι οὕτω κληθεῖσα, ἢ ἀπὸ Ἐλεῶνος υἱοῦ Ἐτεωνοῦ. 267, 11 — 15.

ἕλη κυρίως ἡ ἐξ ἡλίου θέρμη. 700, 17. ἀλλαχοῦ δὲ ὅτι ἕλη ἡ τοῦ ἡλίου αὐγὴ, καὶ ὅτι καὶ εἵλη λέγεται. 1573, 44. καὶ ὅτι δι' ἑνὸς λ γράφεται, Ἕλλη δὲ τὸ κύριον δυσί. 667, 22.

ἑλήγηρις Δημήτηρ λέγεται διὰ τὸ ὑπὸ τῆς ἕλης τοῦ ἡλίου γηρᾶν τοὺς στάχυας. 1197, 52.

ἐληλάσθαι λέγονται δόρατα, ἤγουν πεπηγέναι ἢ εἰς ὀρθὸν ἀνατετάσθαι. 795, 42.

ἐλήλατο ἀντὶ τοῦ ἐπεπήγει ἐν τῷ, ὀρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο, Ἰλ. κ', 153. ἀπὸ τοῦ ἐλάω ἐλῶ. 562, 13. 795, 42. καὶ ἐλήλατο ἀντὶ τοῦ διῆλθεν, οἷον ἐν τῷ, διὰ μὲν ζωστῆρος ἐλήλατο, Ἰλ. δ', 135. 454, 30.

ἐληλέδαται ἀντὶ τοῦ ἐλήλανται, ἀπὸ τοῦ ἐλῶ ἐλάσω. 1764, 50. καὶ ὅτι ἐκ τοῦ ἐλήλαται τρίτου ἐνικοῦ γίνεται πλεονασμῷ τοῦ ε καὶ τοῦ δ. 1569, 62.

Ἑλίκαι, πόλις τις Τρωικὴ οὕτω καλουμένη. 392, 7.

ἕλικες βόες οἱ μέλανες, παρὰ τὸ ἑλικὸν, ὃ δηλοῖ τὸ μέλαν, ἢ παρὰ τὸ ἑλίσσειν τοὺς πόδας ἐν τῷ πορεύεσθαι. 905, 44. 1394, 41. 1717, 41.

ἕλικες, ἐνώτια ἢ ψέλλια, ἃς καὶ γναμπτὰς λέγει Ὅμηρος, παρὰ τὸ εἰς κύκλον ἑλίσσεσθαι. 1150, 20. 1394, 41.

Ἑλίκη, πόλις Ἰωνικὴ ἐν Πελοποννήσῳ, καθ' ἣν τὰ Πανιώνια ἐτέλουν οἱ ἐγχώριοι περὶ τῷ τοῦ Ποσειδῶνος αὐτόθι τιμωμένου Ἑλικωνίου δὲ ἐπικαλουμένου ἱερῷ, καὶ ὅτι ὕστερον κατεβυθίσθη ὑπὸ σεισμῶν ἡ Ἑλίκη. 292, 25.

ἑλίκη, ὅτι οὕτω λέγεται ἡ μεγάλη ἄρκτος τὸ ἀστροθέτημα. 1155, 31. 1535, 12.

ἑλικὸν τὸ μέλαν κατὰ γλῶσσαν. 57, 2. 905, 45.

Ἑλικῶν Κύπριος, ποικίλων ὑφασμάτων τεχνίτης ἔνδοξος. 1400, 12.

Ἑλικώνιος Ποσειδῶν ὁ ἐν Ἑλίκῃ πόλει τιμώμενος, καὶ ὅτι παρὰ τὴν Ἑλικῶν πληθυντικὴν γενικὴν λέγεται, ἱστορία. 1214, 25.

ἑλίκωπες οἱ τὰς κώπας ἑλίσσοντες, τουτέστι ναυτικοὶ, ἢ οἱ πρὸς ἑλίκην τὸ ἄστρον ναυτιλλόμενοι, ἢ οἱ τοὺς ὦπας ἑλίσσοντες, τουτέστι χαρωποί· ἑλικῶπις δὲ κόρη ἡ ἐφελκομένη τοὺς ὦπας τῶν ἀνθρώπων, ἢ ἡ εὐόφθαλμος καὶ ἑλικοὺς, ὅ ἐστι μέλανας, τοὺς ὦπας ἔχουσα. 56, 41. 120, 39. 206, 22.

ἑλικῶπις κόρη ἐπιθετικῶς, ζήτει ἐν τῷ ἑλίκωπες. 56, 44.

ἑλικώτατον ὕδωρ τὸ μελάντατον, καὶ ὅτι τὸ ὕδωρ κατὰ κοινὸν ἐπίθετον μέλαν λέγεται παρ' Ὁμήρῳ. 354, 20.

ἑλίκωψ ἑλίκωπος, ζήτει ἐν τῷ ἑλίκωπες. 56, 44.

ἕλιξ, φωνὴ τῶν ἀφ' ἑνὸς πολλὰ σημαινουσῶν ὁμωνύμως, ὅτι παρὰ τὸ ἑλίσσω λέγεται, καὶ ἔκθεσις τῶν σημαινομένων. 905, 46.

ἑλιξόκερως βοῦς ὁ στρεβλόκερως. 1394, 39.

ἔλιπον ἀορίστου δευτέρου, ἔλειπον δὲ παρατατικοῦ. 181, 28.

ἑλισσέμεν περὶ τέρμα, ἤγουν κάμπτειν περὶ τὸ τέλος τῆς νύσσης, Ἰλ. ψ', 309. 1302, 39.

ἑλίσσετο ἀντὶ τοῦ ἐστρέφετο ὅτι δασύνεται, ἀντὶ δὲ τοῦ παρεκάλει ψιλοῦται. 892, 23.

ἕλκειν τὸ ἅρμα λέγεται ὁ ἵππος, οὐ μὴν φέρειν ἢ ἄγειν. 1314, 4.

ἕλκειν ἐπὶ τοῦ βιάζεσθαι καὶ πειρᾶν ἐν τῷ, Λητὼ γὰρ ἥλκησε Διὸς κυδρὴν παράκοιτιν, Ὀδ. λ', 580. 1700, 14.

ἕλκειν νύκτα παρ' Ὁμήρῳ λέγεται ὁ ἥλιος δυόμενος. 724, 56.

ἕλκειν σταθμὸν λέγεται ὁ ταλαντεύων, καθέλκειν δὲ λέγεται τὸ σταθμώμενον. 81, 16. 699, 43.

ἕλκεσθαι ἀντὶ τοῦ ἕλκειν ἐν τῷ, αὐτίκα τόξον εἵλκετ' ἐπ' Εὐρυπύλῳ, Ἰλ. λ', 583. 864, 22.

ἑλκεσίπεπλος, μακρόπεπλος, ὅτι βαρβαρικαῖς γυναιξὶν ἐπιτίθεται, αἷς οἱ χιτῶνες συρτοί. 682, 1. 1260, 56. καὶ ὅτι παρὰ τὸν ἑλκέσω μέλλοντα λέγεται. 654, 40. 655, 40.

ἑλκεχίτωνες οἱ Ἴωνες λέγονται Ἰλ. ν', 685. παρὰ τὸ ἐφέλκεσθαι τοὺς πέπλους, ἱστορία, καὶ ἐτυμολογίαι διάφοροι τῆς λέξεως διεξοδικῶς. 954, 51.

ἑλκέω ἑλκῶ ἑλκήσω, ὁ παρατατικὸς εἵλκεον παρ' Ὁμήρῳ, καὶ ἀπαρέμφατον ἑλκῆσαι. 1117, 1.

ἑλκηθμὸς ἡ βία παρ' Ὁμήρῳ, ὅτι ἐκ τοῦ ἑλκῶ ἑλκήσω περισπωμένου γέγονε. 655, 38. 1257, 10.

ἑλκῆσαι νεκρὸν λέγονται κύνες παρ' Ὁμήρῳ, ἤγουν σπαράξαι καὶ κατακόψαι. 1272, 21.

ἑλκῆσαι τὸ βιάσασθαι καὶ πειρᾶσαι ἐν τῷ, Λητὼ γὰρ ἥλκησε Διὸς κυδρὴν παράκοιτιν, Ὀδυσσ. λ', 580. ἑλκύσαι δὲ τὸ ἁπλῶς ἐπισύρεσθαι, ἑλκῶσαι δὲ τὸ τραυματίσαι. 1700, 14.

ἕλκος, λύσις τῆς συνεχείας, ὅτι ἐκ τοῦ παρειλκύσθαι λέγεται, καὶ ὅτι ἀντὶ τοῦ τραῦμα παρ' Ὁμήρῳ τίθεται. 462, 42. 843, 32. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ μεθέλκειν ἀπ' ἀλλήλων τὰ μόρια. 1849, 17. καὶ ἕλκος ἡ ποιμενικὴ σύριγξ ὁμωνύμως παρὰ Θεοκρίτῳ. 968, 51.

ἑλκυστάζω, παρὰ τὸ ἕλκω ἑλκύω ἑλκυστῶ ἑλκυστάζω. 1295, 32.
ἑλκυστίνδα, παιδιᾶς εἶδος, καὶ ἱστορία περὶ αὐτοῦ διεξοδικῶς. 111, 24.
ἕλκω βαρυτόνως ὅτι καὶ ἑλκῶ περισπωμένως λέγεται καὶ δηλοῖ τὸ βιάζομαι. 1111, 50. 1257, 9.
ἑλκῶ, ὁ μέλλων ἑλκήσω καὶ ἑλκύσω, ταὐτὸ ὅπερ ἕλκω, ἑλκῶ δὲ ἑλκώσω τὸ τραυματίζω. 654, 41. 655, 39.
Ἑλλὰς διάλεκτος ἀντὶ τοῦ Ἑλληνικὴ κατὰ σχῆμα λόγου, καὶ ἑρμηνεία διεξοδικὴ τοῦ σχήματος. 1339, 8.
Ἑλλάς, πόλις τῆς Φθιώτιδος χώρας, ὕστερον δὲ πᾶσα ἡ πρὸς τῇ Πελοποννήσῳ χώρα οὕτως ἐκλήθη. 1077, 21.
Ἑλλὰς, πόλις Θετταλικὴ περιώνυμος, καὶ ὅτι οὕτως ἀκούεται καὶ ἐν τῷ, καθ' Ἑλλάδα καὶ μέσον Ἄργος, παρ' Ὁμήρῳ· καὶ ὅτι καὶ Ἑλλὰς πόλις τῆς κοίλης Συρίας ὁμώνυμος τῇ Θετταλικῇ. 30, 20. 30—42. 1695, 38.
ἑλλεδανοὶ οἱ δεσμοί, οἷς δεσμοῦνται τὰ δράγματα. 1162, 32.
ἐλλείψεως σχήματος οὕτω καλουμένου παραδείγματα πολλά. 66, 24. 107, 16. 155, 11.
ἔλλειψις ὅτι εἶδος ἐστὶ σιωπήσεως. 112, 11.
ἔλλειψις αἰτιολογικοῦ συνδέσμου ἢ προθέσεως ἐν τῷ, χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικός, Ἰλ. α', 429. 129, 31.
ἔλλειψις μετοχῆς ἐν τῷ, τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ, δαιμόνι' ἀτρέμας ἧσο, Ἰλ. β', 199. ὑπακουομένου τοῦ εἰπών. 200, 35.
ἔλλερα τὰ κακὰ κατὰ γλῶσσαν. 635, 5.
ἔλλετε ἐν ἴσῳ τῷ ἔῤῥετε κατὰ γλῶσσαν. 756, 36.
Ἕλλη κύριον, μῦθος καὶ ἱστορία διεξοδικῶς. 667, 4. 14. καὶ ὅτι δυσὶ λ γράφεται τοὔνομα, ἕλη δὲ ἡ θερμασία ἑνί. 667, 21.
Ἕλλην ὅτι γόνῳ μὲν Διὸς γέγονε, λόγῳ δὲ Δευκαλίωνος. 1644, 7.
Ἕλλην ἐθνικὸν ὅτι δυσὶ λλ γράφεται πρὸς ἀποφυγὴν συνεμπτώσεως. 667, 22. καὶ ὅτι διὰ τοῦ η κλίνεται, καὶ ὅτι καὶ θηλυκῶς λέγεται ἐν τῷ, Ἕλλην ἀληθῶς οὖσα. 1077, 27.
Ἕλλην στρατὸς ἀντὶ τοῦ Ἑλληνικὸς κατὰ σχῆμα λόγου, καὶ ἑρμηνεία διεξοδικὴ τοῦ σχήματος. 1339, 7.
Ἕλληνες, ὅτι μόνους τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ οὕτω καλεῖ Ὅμηρος. 321, 6.
Ἑλλήνων τῶν ἐπὶ Τροίαν στρατευσάντων ἀριθμὸς ἐξ ἱστορίας, καθ' Ὅμηρον δὲ ὅτι ὑπερδεκαπλασίους τῶν ἰθαγενῶν Τρώων. 190, 41.
Ἑλλήσποντος ὅτι πορθμός ἐστι διείργων τὴν Θρᾴκην καὶ τὴν Τρῳάδα, καὶ ὅτι ῥοώδης ἐστὶν ἅτε δὴ στενὸς ὤν, διὸ καὶ ἀγάῤῥοος παρ' Ὁμήρῳ ἐπιθετικῶς λέγεται. 359, 3.
ἐλλόβια, τὰ καὶ ἐνώτια, κόσμος ποιὸς ἐνώτιος παρὰ τὸ τῶν κατὰ τὰ ὦτα λοβῶν, ἅ εἰσὶ μέρη τινὰ τῶν ὠτίων, καθ' ἃ ἐνείρονται τὰ τοιαῦτα, ἀπηρτῆσθαι οὕτω λεγόμενος. 976, 33. 1137, 5.
Ἑλλοί, οἱ καὶ Σελλοὶ μετὰ τοῦ σ, ὄνομα ἔθνους τινός. 1057, 61.
Ἐλλοπία, ἡ καὶ Κήρινθος, πόλις Εὐβοίας. 280, 32. ἀλλαχοῦ δὲ ὅτι Ἐλλοπία ἡ ὕστερον Δωδώνη. 1057, 40. 61.
ἑλλὸς ὁ νεβρός, ὅ ἐστι τὸ νεογνὸν τῆς ἐλάφου. 1863, 39.
ἔλλοψ ἰχθὺς λέγεται ἐπιθετικῶς παρὰ τὸ ἴλλεσθαι, ὅ ἐστιν ἐκκλείεσθαι καὶ στερεῖσθαι ὀπός, ὅ ἐστι φωνῆς· λέγεται δὲ καθόλου κατὰ πάντων τῶν ἰχθύων τὸ ἐπίθετον, καὶ ὅτι καὶ ἰδίᾳ ἰχθύς ποιὸς ἔλλοψ καλεῖται. 1720, 34.
ἐλόευν ἀντὶ τοῦ ἔλουον, ὡς ἀπὸ τοῦ λοέω θέματος. 1500, 62.
ἕλος προσηγορικῶς ὁ ὑγρὸς καὶ πολυβότανος τόπος, ὁποῖον καὶ τὸ ἐν Πελοποννήσῳ Ἕλος, ὅθεν οἱ Εἵλωτες λέγονται. 1205, 47. 1624, 10. καὶ ὅτι δασύνεται ἡ λέξις. 345, 1.
Ἕλος, πόλις ἢ χώρα τῆς Λακωνικῆς, ἀφ' ἧς οἱ Εἵλωτες ἐκλήθησαν· καὶ ὅτι καὶ περὶ τὸν Ἀλφειὸν χώρα τις ἢ πόλις Ἕλος εὕρηται λεγομένη παρ' Ὁμήρῳ ἐν τῷ τῶν ὑπὸ τὸν Νέστορα καταλόγῳ· καὶ ὅτι καὶ Αἰγύπτου πόλις τις Ἕλος ἐκλήθη· καὶ ὅτι παρὰ τὸ ἐν ἑλώδεσι τόποις κεῖσθαι τὰς τοιαύτας πόλεις ἢ χώρας οὕτως ἐκλήθησαν. 295, 18. 297, 31.
ἐλόωσιν ἐνεστῶτος ἀντὶ τοῦ ἐλάσουσι μέλλοντος ἐν τῷ, οἱ δ' ἐλόωσι γαλήνην, Ὀδ. η', 319. 1581, 41.
ἔλπεσθαι ἀντὶ τοῦ στοχάζεσθαι ἐν τῷ, ἐπὰν ἡμᾶς ἔλπῃ ποτὶ δώματ' ἀφῖχθαι, Ὀδυσσ. ζ, 297. 1564, 14.
ἐλπίζω ἐν ἴσῳ τῷ νομίζω. 676, 11.
Ἔλπις κύριον βαρυτόνως πρὸς διαστολὴν τοῦ ἐλπὶς προσηγορικοῦ. 1967, 26.
ἐλπὶς, ὅτι κυρίως ἀγαθῶν τινῶν ἐλπὶς λέγεται. 1142, 13. καὶ ὅτι καὶ ἐπὶ προσδοκίας κακοῦ τινὸς λέγεται. 919, 47. 1060, 9.
ἐλπὶς, ὅτι παρὰ τὸ ἐλπὶς γίνονται σύνθετα εὔελπις καὶ δύσελπις, παρὰ δὲ τὸ ἔλπω ῥῆμα ἀελπὴς καὶ ἄελπος. 1540, 35.
ἔλπομαι ἀντὶ τοῦ οἶμαι καὶ νομίζω, ὅτι ἀκριβείας χάριν παρεντίθεται ἐν τῷ, ἀλλὰ καὶ αὐτὸς ὅγ' ἔλπομ' ἐνὶ πρώτοισιν ὁμιλεῖ, Ἰλ. σ', 194. 1137, 54.
ἔλπομαι τὸ ἐλπίζω, ὅτι καὶ ἐέλπομαι λέγεται τετρασυλλάβως. 1116, 1.
ἔλπω ἕτερον τὸ εἰς ἐλπίδας ἄγω καὶ ποιῶ εὔελπιν, ἔλπομαι δὲ αὐτὸς ἀντὶ τοῦ ἐλπίζω. 1436, 36.
ἔλσαι τὸ ἐλάσαι ἢ συγκλεῖσαι πολλαχοῦ παρ' Ὁμήρῳ. 1234, 60. καὶ ἔλσαι ἀντὶ τοῦ ἐλάσαι καὶ κροῦσαι εἴτουν πλῆξαι ἐν τῷ, νῆα θοὴν Ζεὺς ἔλσας ἐκέασε, Ὀδ. ε', 132. 1528, 40.
ἔλσαν ἀντὶ τοῦ εἴλησαν ἢ συνέκλεισαν. 852, 58.
ἔλυμος, εἶδος σπέρματος, ὅτι διὰ τὸ χαίρειν ἕλεσιν οὕτω λέγεται. 1408, 12.
ἐλυσθεὶς, ἤγουν κρυβεὶς ἢ εἰληθείς. 1637, 63.
ἐλύσθη, ἤγουν συνεστράφη, ἀπὸ τοῦ εἰλῶ εἰλύω ἀπελεύσει τοῦ ι, καὶ ἐλυσθῆναι τὸ συστραφῆναι. 1307, 38. 1362, 1.
ἕλω τὸ φονεύω πολλαχοῦ παρ' Ὁμήρῳ. 19, 42.

ἕλωρ ὅτι παρὰ τὸ ἕλω τὸ φονεύω ἢ παρὰ τὸ ἕλκω λέγεται. 19, 42. καὶ ὅτι οὐδετέρου γένους ἐστὶ καὶ διὰ τοῦ ρ̄ κλίνεται, καὶ ὅτι καὶ ἕλωρα εὕρηται πληθυντικῶς παρ' Ὁμήρῳ. 1623, 10.

ἕλωρ ἐπὶ βιαίας ἀφαιρέσεως καὶ διανομῆς ἐν τῷ, μήπως μοι ἕλωρ ἄλλοισι γένηται, Ὀδυσσ. ν', 208. περὶ δὲ χρημάτων τινῶν ὁ λόγος. 1739, 12.

ἑλώριον, τὸ ε̄ μακρὸν ἐν τῷ, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν, Ἰλ. α', 4. καὶ ὅτι παρὰ τὸ ἕλωρ παρήχθη, ὃ παρὰ τὸ ἕλκω ἢ τὸ ἕλω, ὅ ἐστι φονεύω, λέγεται. 19, 36. 42.

ἕλωρον, ἑλώριον· καὶ τί τὸ ἕλωρά τινος ἀποτίνειν παρ' Ὁμήρῳ. 1132, 24. 35.

ελως λήγοντα ἐπιῤῥήματα ὅτι ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, οἷον εὐτελῶς, ζαφελῶς, ἐπιμελῶς. 769, 27.

ἐμαυτὸν αἰτιατικὴ ὅτι ἔμ' αὐτὸν διαλελυμένως ἐλέγετο πάλαι. 103, 25. 522, 22. 1202, 9.

ἔμβα ἀντὶ τοῦ ἔμβηθι, ὡς καὶ κατύβα ἀντὶ τοῦ κατάβηθι. 1308, 15.

ἐμβαδὸν ἐπιῤῥηματικῶς παρ' Ὁμήρῳ ἀντὶ τοῦ πεζῇ καὶ βάδην, παρὰ δὲ τοῖς ὕστερον τὸ τῶν ἐπιπέδων σχημάτων χώρημα ἐμβαδὸν λέγεται. 1029, 59.

ἐμβαίνειν δίφρῳ λέγεταί τις παρ' Ὁμήρῳ, ἐπιβαίνειν δὲ ἵππων καὶ ἀναβαίνειν ἐφ' ἵππους. 538, 39.

ἐμβαίνειν τινὶ τὸ στερεῶς ἐπερείδειν κειμένῳ τινὶ τὸν πόδα, καὶ ὅτι ὅμοιόν τι τῷ ἐνάλλεσθαι σημαίνει. 1652, 63.

ἐμβάλλειν γυναῖκα εὐνῇ τινὸς, παρ' Ὁμήρῳ ἀντὶ τοῦ συγκατευνάσαι. 1132, 12.

ἐμβάλλειν κυρίως τὸ εἰς μάχην συμπλέκεσθαι, ὅθεν ἐμβολὴ καὶ παρεμβολὴ καὶ παρεμβάλλειν. 1405, 38.

ἐμβάλλεο θυμῷ, ἤγουν εἰς νοῦν ἔμβαλλε. 817, 46.

Ἔμβαρος, ἄνθρωπός τις ψευδοθυσίαν προσαγαγὼν Ἀρτέμιδι, ἱστορία· ἀφ' οὗ καὶ παροιμία, Ἔμβαρος εἶ, ἑρμηνεία διεξοδική. 331, 25.

ἐμβατήριος ῥυθμὸς παρὰ Λακεδαιμονίοις, ἱστορία. 1029, 55.

ἐμβέβασαν ἀντὶ τοῦ ἐμβεβήκεισαν, Ἰλ. β', 720. 328, 21.

ἔμβηθι καὶ ἔμβητον, προσώπων προστακτικῶν χρῆσις. 1308, 11. 14.

ἔμβολα οὐδετέρως καὶ ἔμβολοι ἀρσενικῶς τὰ ἐμπρόσθια μέρη τῶν νεῶν. 1959, 37.

ἐμβολὰς καὶ ἐπεμβολὰς ὁ ἐξ ἐγκεντρίσεως γενόμενος καρπός. 1405, 41.

ἔμβολος, νεὼς μέρος· καὶ ἔμβολον μεταφορικῶς τὸ ἀνδρεῖον αἰδοῖον, καὶ ἔμβολος ὁ ὑπόνομος ὁμωνύμως. 1189, 47. καὶ ἔμβολος ἐξοχὴ ὄρους εἰς ὀξὺ λήγουσα. 1405, 20. 48.

ἐμβριθὴς ὅτι παρὰ τὸ βρῖθος δοκεῖ παρῆχθαι· εἰ γὰρ ἐκ τοῦ βριθὺς, ἔμβριθυς ἂν ἦν, ὡς ἐκ τοῦ ὀξὺς ὁ κάτοξυς. 1395, 56.

ἐμβρόντητος ὁ ὑπὸ βροντῆς κρότου συγχυθεὶς τὸν νοῦν. 1844, 54.

ἔμβρυον τὸ κατὰ γαστρὸς φερόμενον κύημα, παρὰ τὸ ἐν τῇ γαστρὶ βρύειν, ὅ ἐστι ζῆν καὶ θάλλειν· ἐν δὲ τῷ, καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστη, Ὀδυσσ. ί, 245. τὸ νεογνὸν γέννημα, ὅ ἐστι βρέφος, δηλοῖ. 1095, 15. 1299, 43. 1627, 27.

Ἔμεια πόλις, ὅτι καὶ Πελοποννήσου πόλις τις Ἔμεια λέγεται, περὶ ἣν Θυέστης ἤμεσε φαγὼν ἐξ ἐπιβουλῆς Ἀτρέως τὰ οἰκεῖα τέκνα. 184, 12. 996, 38. 1002, 30.

ἐμεῖο σεῖο εἷο, γενικαὶ ἀντωνυμικαὶ, ὅτι ἀναλογώτεραί εἰσι τῶν ἐμέο σέο ἕο, ἐξ ὧν πλεονασμῷ τοῦ ῑ γεγόνασι. 13, 9.

ἔμελλον εἶναι, ἀντὶ τοῦ ἔοικα, Ὀδ. σ', 138. 1841, 31.

ἐμεμύκει ἀντὶ τοῦ ἔμυσεν, ἀπὸ τοῦ μύω, καὶ ἀντὶ τοῦ ἐμυκήσατο ὁμωνύμως. 1728, 31.

εμεν λήγοντα ἀπαρέμφατα, ἐκ τῶν εἰς ειν διὰ τοῦ εν Δωρικῶς λεγομένων ἐπενθέσει τῆς με συλλαβῆς ἐσχηματισμένα, οἷον τύπτειν καὶ Δωρικῶς τύπτεν, ὅθεν τυπτέμεν· ὁμοίως ἐλθεῖν καὶ Δωρικῶς ἐλθὲν καὶ ἐλθέμεν, καὶ προσθέσει τοῦ αι κατὰ τὸ τέλος τυπτέμεναι καὶ ἐλθέμεναι. 54, 35. 69, 40. 1872, 48.

εμεν καὶ εμεναι λήγοντα ἀπαρέμφατα ἐκ τῶν διὰ τοῦ εναι μετασχηματιζόμενα, οἷον θεῖναι θέμεν, καὶ κατὰ δευτέραν κίνησιν θέμεναι. 70, 1.

ἐμὲν ἀντὶ τοῦ ἐσμὲν παρὰ Καλλιμάχῳ. 1457, 49.

εμεναι λήγοντα ἀπαρέμφατα ὅτι ἀπὸ βαρυτόνων θεμάτων κινοῦνται, οἷον εὕρω εὑρέμεναι, τὰ δὲ διὰ τοῦ ημεναι ἀπὸ περισπωμένων, οἷον φιλῶ φιλήμεναι. 1407, 62.

ἔμεναι, ἤγουν πέμπειν ἐν τῷ, οὐδ' εἴα ἔμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα, Ἰλ. χ', 206. ὅτι ἐκ τοῦ δασυνομένου εἶναι γέγονε. 1266, 18. 48.

ἔμεναι ὅτι φύσει μὲν δι' ἑνὸς μ̄ γράφεται, δυσὶ δὲ διὰ μέτρου χρείαν ἐνίοτε. 961, 35.

ἐμίας ὁ ἐμετικὸς ἢ εὐεμὴς, παρὰ τὸ ἐμεῖν. 996, 38. ἀλλαχοῦ δὲ ὅτι ἐμίας, ὡς κοχλίας, ὁ ἔμετος, καὶ ἐμίας ὁ κακόφωνος. 1761, 38.

ἐμὶν ἀντὶ τοῦ ἐμοὶ κατὰ γλῶσσαν. 839, 35.

ἔμμαθε δυσὶ μ̄ διὰ μέτρου ἀνάγκην ἐν τῷ, ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, Ὀδ. ρ', 226. ὃ καὶ δι' ἑνὸς μ̄ γραφὲν ἐκτείνοι ἂν τὸ ε̄ διὰ τὴν ἐπ' αὐτοῦ ὀξεῖαν. 1818, 26.

ἐμμαπέως, ἤγουν ταχὺ καὶ ἅμα ἔπει. 612, 46. 1768, 15.

ἐμμέλεια, ὄρχησις τραγικὴ, ἣν ὠρχεῖτο ποτὲ Βάθυλλος ὁ Ἀλεξανδρεύς. 1167, 19. 1942, 7.

ἔμμεναι, ἀπαρέμφατον ἐκ τοῦ ὦ τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦν, τὸ ἀπαρέμφατον ἦναι διὰ τοῦ η̄, καὶ τροπῇ Αἰολικῇ τοῦ η̄ εἰς ε̄ καὶ διπλασιασμῷ τοῦ μ̄ ἔμμεναι. 1407, 57 — 1408, 3.

ἐμμὶ ἀντὶ τοῦ εἰμὶ, ἐκβολῇ τοῦ ῑ καὶ διπλασιασμῷ τοῦ μ̄ Αἰολικῶς. 110, 39.

ἔμμορα, μέρος παρακείμενος ἀντὶ τοῦ εἰς μοῖραν ἢ ἐκ μοίρας ἔλαχον, ἀπὸ τοῦ μείρω μερῶ μέμορα

καὶ ὑπερθέσει εἴτουν μεταθέσει ἔμμορα. 104, 19. 1012, 41.
ἔμμορος τιμῆς ὁ ἐπιτυχὴς τιμῆς, ὅ ἐστι τίμιος, καὶ ὅτι τὸ ἔμμορος ἀντίκειται τῷ ἄμμορος. 1605, 53. 1606, 28.
ἐμνήμυκα, ἐστύγνακα, τεταπείνωμαι, καταβέβλημαι, ἀπὸ τοῦ ἠμύω διπλασιασμῷ καὶ πλεονασμῷ τοῦ ν. 1282, 24.
ἔμνησας ἀντὶ τοῦ ἀνέμνησας καὶ καὶ εἰς μνήμην ἤγαγες ἐν τῷ, ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος, Ὀδυσσ. γ', 103. τὸ δὲ ἐμνησάμην αὐτοπαθῶς λέγεται. 1459, 5.
ἐμοὶ βουλομένῳ ἦν ἢ ἐστὶ, καὶ ἐμοὶ χαίροντί ἐστι τόδε τι, φράσεις Ἀττικαὶ ἐξ Ὁμήρου τὴν ἀρχὴν σχοῦσαι. 970, 2.
ἐμὸς ἀντωνυμία ὅτι κλητικὴν οὐκ ἔχει πρὸς ἀποφυγὴν συνεμπτώσεως, καὶ ὅτι ἡ ἐμὸς φωνὴ καὶ ἀντὶ κλητικῆς τέθειται ἐν τῷ, γαμβρὸς ἐμὸς θύγατέρ τε, Ὀδ. τ', 406. 1871, 24.
ἐμπάζεσθαι τὸ διὰ ἐπιστροφῆς ἔχειν, ὅτι ὡς τὰπ ολλὰ μὲν γενικῇ, ἐνίοτε δὲ καὶ αἰτιατικῇ συντάσσεται. 1044, 29. 1807, 13.
ἐμπάζεσθαι ἱρῶν λέγεται ὁ θεὸς παρ' Ὁμήρῳ, ἤγουν ἐπιστρέφεσθαι τῆς θυσίας. 1643, 37.
ἔμπαιος ὁ ἔμπειρος καὶ ἐντριβὴς, παρὰ τὸ παίω ἢ μᾶλλον παρὰ τὸ ἐμπάζομαι· καὶ ὅτι συστέλλει τὴν παραλήγουσαν ἐν συνιζήσει ἐν τῷ, ἔμπαιον οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης, Ὀδ. υ', 379. 1896, 41.
ἐμπαλάσσεσθαι ἀντὶ τοῦ φύρεσθαι καὶ ἀντὶ τοῦ ἐμπλέκεσθαι, καὶ περιπείρεσθαι δόρατι παρὰ Θουκυδίδῃ (7, 84.). 527, 18.
ἔμπεδα σήματα τὰ μὴ εἰκότα καὶ στοχαστικὰ, ἀλλὰ τὰ τεκμηριώδη σημεῖα. 1864, 39.
ἔμπεδα τίκτειν λέγονται τὰ θρέμματα Ὀδ. τ', 113. ἤγουν ἰσχυρά τινα καὶ δυνάμενα κατὰ τὸ πέδον ἵστασθαι. 1857, 59.
ἔμπεδοι φρένες παρὰ Ὁμήρῳ λέγονται ἐξ ἐναντίας τῷ, φρένες ἠερέθονται. 646, 43.
Ἐμπεδοκλέους βοῦς, ἐξ ἀρωμάτων πλασθεὶς, ἱστορία διεξοδική. 1454, 20.
Ἐμπεδοκλῆς ὅτι ἀνέμους κοιμίζειν ἠπίστατο. 1645, 42.
ἔμπεδον τὸ στερεὸν μεταφορικῶς ἐν τῷ, πομπὴν δ' ὀτρύνει καὶ λίσσεται ἔμπεδον εἶναι, Ὀδ. θ', 30. 1584, 31.
ἔμπεδον τεῖχος τὸ ἁπλῶς ἐν τῷ πέδῳ ἑστὼς ἐν τῷ, τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν, Ἰλ. μ', 12. 889, 12. καὶ ἔμπεδον λέχος τὸ ἀκατάσειστον καὶ ἐπὶ τῆς παλαιᾶς ἕδρας ἑστὼς, Ὀδ. ψ', 203. 1944, 63.
ἔμπεδον ἐπιῤῥηματικῶς ἀντὶ τοῦ βεβαίως καὶ σταθερῶς καὶ στερεῶς καὶ ἀσφαλῶς. 791, 5. 1048, 32. 1074, 18. 1114, 12.
ἔμπεδον μένειν, ἤγουν ἐν τῷ αὐτῷ πέδῳ ἵστασθαι. 1579, 58.
ἔμπεδον θέειν ἀντὶ τοῦ κατὰ τὸ πέδον φέρεσθαι. 1734, 17.
ἔμπεδον χέεσθαι αἱ νιφάδες λέγονται Ἰλ. μ', 281. ἀντὶ τοῦ ἀτινάκτως διὰ τὴν νηνεμίαν καταφέρεσθαι, ἢ ἐν τῷ πέδῳ, ὅ ἐστι τῇ γῇ. 905, 10.
ἔμπεδος ὁ στερεὸς καὶ βέβαιος, ὡς τὰ ἐν τῷ πέδῳ βεβηκότα. 1202, 51. καὶ ἔμπεδος χροὺς νεκροῦ τινὸς λέγεται παρ' Ὁμήρῳ ἀντὶ τοῦ στεῤῥὸς καὶ ἀδιάλυτος. 1170, 3.
ἐμπειρία ὅτι μήτηρ φρονήσεως εἶναι λέγεται. 96, 44.
ἐμπερίβολος λόγος ὁ κατὰ περιβολὴν, ἰδέαν τινὰ λόγου οὕτω καλουμένην, γινόμενος, καὶ παράδειγμα τῆς τοιαύτης ἰδέας. 24, 12. 1406, 31.
ἔμπεσε προστακτικῶς ἀντὶ τοῦ ἔμπεσον, ὅ ἐστι πρόσβαλε. 1046, 52.
ἐμπεσεῖν ἐν ἴσῳ τῷ ἐπεισπεσεῖν. 1033, 56. 1059, 58. καὶ ὅτι ἐμπεσεῖν λέγονται καὶ οἱ φεύγοντες παρ' Ὁμήρῳ, ὡς καὶ οἱ διώκοντες. 846, 32. ζήτει τὸ ἐμπίπτειν.
ἐμπεσεῖν τινὶ λέγονται τὰ βαρέα σώματα, οἷον παρ' Ἀριστοφάνει, ὁ Τιμοθέου δὲ πύργος ἐμπέσοι γέ σοι. 1969, 52.
ἐμπεσεῖν θυμῷ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐνθυμηθῆναι. 1721, 35.
ἐμπεφυκέναι τῇ κεφαλῇ λέγονται αἱ τρίχες, συνθήκη. 701, 3.
ἐμπεφυυῖαι, μετοχὴ θηλυκοῦ γένους ἀπὸ τοῦ πέφυα μέσου παρακειμένου τοῦ φύω ῥήματος, ζήτει τὸ ἐμφύεσθαι. 143, 5.
ἔμπης μεταληπτικῶς ἀντὶ τοῦ ἴσως, ὅ ἐστιν ἐπίσης ἐν τῷ, ἔμπης μοι τοῖχοι φαίνοντ' ὀφθαλμοῖς ὡσεὶ πυρὸς, Ὀδ. τ', 37. 1854, 41.
ἐμπίπληθι προστακτικὸν ὅτι ἐκ τοῦ ἐμπίπλη γέγονε πλεονασμῷ τῆς θι συλλαβῆς, ἢ ἐκ τῆς ἐμπιπλὰς μετοχῆς, ὡς ἐκ τῆς στὰς τὸ στῆθι. 1234, 45.
ἐμπιπρῶ καὶ ἐμπίπρημι, ὅτι ἐκ τοῦ πυρῶ πυρώσω κατὰ συγκοπὴν γίνεται πρῶ καὶ διπλασιασμῷ καὶ πλεονασμῷ τοῦ μ πιμπρῶ, ὅθεν τὸ πίμπρημι. 249, 32.
ἐμπίπτειν τὸ ἐμβάλλειν καὶ συμμῖξαι. 845, 17. καὶ ὅτι καὶ ὁ ἥλιος ἐμπίπτειν τῷ Ὠκεανῷ λέγεται ἀντὶ τοῦ δύεσθαι. 724, 54.
ἐμπίπτειν λέγονται οἱ νικῶντες, ἤγουν βιαίως ἐπικεῖσθαι, καὶ ὅτι κατ' ἄλλον λόγον καὶ οἱ φεύγοντες ἐμπίπτειν λέγονται παρ' Ὁμήρῳ. 1220, 27.
ἔμπλεως, ὁ καὶ ἀνάπλεως, ὅτι ἐκ τοῦ πλέος γέγονεν ἐκτάσει Ἀττικῇ τοῦ ο. 209, 45.
ἐμπλήγδην ἐπίῤῥημα ἀντὶ τοῦ ἀκρίτως, παρὰ τὸ ἐμπελάζειν ἢ ἐμπλήσσειν, ὅθεν καὶ ὁ ἔμπληκτος. 1886, 37.
ἔμπληκτος καὶ ἔκπληκτος ὁ ὑπὸ πληγῆς καὶ κρότου συγχεθεὶς τὸν νοῦν. 1844, 53. ἀλλαχοῦ δὲ ὅτι ἔμπληκτος ὁ ἄστατος καὶ τὰ ἔσω πεπληγμένος καὶ οὐ κατὰ φύσιν φρονῶν. 1886, 40.
ἐμπλήμενος ἀντὶ τοῦ ἐμπλησάμενος παρὰ τῷ κωμικῷ. 1281, 60.
ἔμπλην ἐπίῤῥημα ἀντὶ τοῦ ἐμπελαδὸν ἢ χωρίς. 173, 19.
ἐμπλῆξαι δοτικῇ τὸ ἐμπελάσαι ἢ ἐγκροῦσαι, καὶ ὅτι ἐμπλῆξαι λέγονται ὄρνιθες, ὅταν δικτύοις ἢ παγίσιν ἐγκρούσωσι. 893, 10. 1019, 2.
ἐμπλήσσειν τὸ ἐμπίπτειν ὡς ἂν τύχοι τοῖς πράγμασι. 1886, 33. καὶ ἐμπλήσσειν τὸ ἐγκρούειν ἐν τῷ, ἔρκει ἐνιπλήξωσιν, Ὀδ. χ', 469. 1933, 62.
ἐμπνέειν μετάφρενόν τινος λέγονται ἵπποι παρ' Ὁμήρῳ διὰ τὸ ἔγγιστα ἀκολουθεῖν. 1116, 11.

ἔμπνους ὁ ἔνθεος καὶ κάτοχος. 1178, 9.

ἐμπολᾶν τὸ ἁπλῶς πραγματεύεσθαι, παρ' Ὁμήρῳ δὲ ἐμπολᾶσθαι ἀντὶ τοῦ ἐξωνεῖσθαι ἐν τῷ, βίοτον πολὺν ἐμπολόωντο, Ὀδ. ο', 456. 1788, 42.

ἔμπορος παρ' Ὁμήρῳ ὁ ἀλλοτρίας νεὼς ἐπιβάτης. 1961, 51. καὶ ὅτι ὁ διὰ θαλάσσης περῶν κυρίως ἔμπορος λέγεται, ἑρμηνεία διεξοδική. 1447, 40.

ἔμπορος, φωνὴ ἐν συνθέσει ὑποτασσομένη, ὅτι ποτὲ μὲν ἐπὶ τῆς αὐτῆς φυλάσσει τὸν τόνον, ποτὲ δὲ ἐπὶ τὴν παραλήγουσαν καταβιβάζει. 1447, 46.

Ἔμπουσα, φάσμα δαιμονιῶδες ὑπὸ Ἑκάτης πεμπόμενον, ὃ καὶ Ὀνόσκελις ἢ Ὀνόκωλις λέγεται. 1704, 40. ἀλλαχοῦ δὲ ὅτι Ἔμπουσα εἰδεχθής τις σφόδρα ἦν γυνή, διὸ καὶ φοβερὰ τοῖς βλέπουσι γεγονέναι μυθεύεται. 1684, 26. καὶ ὅτι αἱ Ἔμπουσαι ἐξ ἰδιώματος φυσικοῦ φοβοῦνται τὴν ἴασπιν. 1659, 27.

ἔμπροσθεν παρ' Ὁμήρῳ λέγονται εἶναι τὰ παρελθόντα ὡς ἤδη εἰς θέαν ἢ γνῶσιν ἡμῖν ἐλθόντα, ὀπίσω δὲ τὰ μέλλοντα ὡς μήπω τεθεαμένα. 81, 45. 1412, 48.

ἐμπυρεύειν ὅτι ἐκ τοῦ πῦρ πυρὸς παρῆκται. 1139, 20.

ἐμπυριβῆται τρίποδες, οἱ καὶ λοετροχόοι, ἐν οἷς ὕδωρ ἐθερμαίνετο. 740, 9. ζήτει ἐν τῷ τρίποδες.

ἐμπυρίζω ὅτι παρὰ τὸ πυρῶ πυρώσω λέγεται. 249, 31.

ἐμπυροσκόποι, οἱ καὶ λιβανομάντεις λεγόμενοι. 1346, 38.

ἔμυκον, δεύτερος ἀόριστος τοῦ μυκῶ περισπωμένου ῥήματος. 604, 41.

ἔμφασις, σχῆμα τὸ καὶ συλλογισμὸς δι' ὑπονοίας αὖξον τὸ δηλούμενον. 576, 24. 1697, 64.

ἐμφέρεια ἡ ὁμοιότης. 372, 30.

ἐμφερής, ὅμοιος, ὅτι ἐκ τοῦ φέρω καὶ τῆς ἐν προθέσεως σύγκειται. 1787, 64.

ἐμφυαλίζειν ἐν ἴσῳ τῷ ἐγκεντρίζειν. 1405, 43.

ἐμφυὲς ἦθος τὸ ἐμπεφυκός τινι καὶ φύσει προσόν. 1930, 3.

ἐμφύεσθαι καὶ ἐμφῦναι τὸ ἐγκρατῶς ἀντιλαμβάνεσθαι, ὅθεν καὶ ἐμφῦναι ὀδὰξ τοῖς χείλεσιν· κα ἐμφῦναι χειρί, παρ' Ὁμήρῳ ὅτι παρὰ τὸ εἰς ἓν φῦναι λέγεται, ζήτει τὸ ἐμφῦναι. 143, 2—10.

ἔμφυλος ἄνθρωπος, Ὀδ. ο', 273. ὁ φυλέτης καὶ ὁμόφυλος. 1780, 30.

ἐμφῦναι τὸ ἅψασθαι γενναίως καὶ ἐμπλακῆναι καὶ οἷον εἰς ἓν γενέσθαι, καὶ ἐμφῦναι χειρὶ τὸ τῇ χειρὶ χειρὸς ἅψασθαι· καί, ὀδὰξ ἐν χείλεσι φύντες, ἀντὶ τοῦ, ἐμπλακέντες μετὰ δαγμοῦ τοῖς χείλεσι, κατὰ σχῆμα θάμβους καὶ ἀπορίας. 640, 29. 1148, 63. 1424, 38.

—εν λήγοντα οὐδέτερα, ἐπὶ τῆς παραληγούσης ἔχοντα τὸν τόνον, οἷον χαρίεν, τιμῆεν, φωνῆεν. 1088, 8.

—εν λήγοντα τρίτα πρόσωπα πληθυντικά, ἀντὶ τῶν διὰ τοῦ σαν ἐκ τῆς μετοχικῆς αὐτῶν γενικῆς ἀποβολῇ τῆς ἐσχάτης ἐσχηματισμένα, οἷον τραφεὶς τραφέντος ἔτραφεν καὶ ἀναυξήτως τράφεν ἀντὶ τοῦ ἐτράφησαν. 465, 14. 1913, 17.

—εν λήγοντα ἀπαρέμφατα, ἐκ τῶν εἰς ειν μεταποιούμενα Δωρικῶς, οἷον τύπτεν καὶ λέγεν ἀντὶ τοῦ τύπτειν καὶ λέγειν· ζήτει ἐν τῷ, —εμεν καὶ εμεναι λήγοντα ἀπαρέμφατα. 54, 33. 69, 41. 1872, 48.

ἐν πρόθεσις ἐν συνθέσει προτασσομένη ὅτι ἀποβάλλει ποτὲ τὸ οἰκεῖον φωνῆεν, οἷον ἐν τῷ ἔνερθεν νέρθεν. 82, 33.

ἐν πρόθεσις ὅτι ἐνὶ λέγεται κατ' ἐπέκτασιν, ἡ δὲ ἐνὶ καθ' ὑπέρθεσιν εἰν γίνεται. 30, 21. ἀλλαχοῦ δὲ ὅτι ἡ ἐν πρόθεσις εἰν γίνεται ἐπενθέσει τοῦ ῑ. 1407, 27.

ἐν πρόθεσις ἐν ἴσῳ τῷ ἔνι, ἤγουν ἔνεστι, ῥήματι. 979, 37.

ἐν πρόθεσις γενικῇ συντεταγμένη παρ' Ὁμήρῳ, οἷον, ἐν ἀφνειοῦ πατρός, ὁμοίως τῷ, ἐν Κλωπιδῶν. 623, 58. 718, 20.

ἐν πρόθεσις ὅτι αἰτιατικῇ Δωρικῶς συντάσσεται, οἷον ἐν τῷ ἐνταῦτα, ὅθεν τὸ ἐνταῦθα. 1839, 55. 59.

ἐν καρὸς αἴσῃ, Ἰλ. ι', 378. ἀντὶ τοῦ ἐν μοίρᾳ θανάτου ἢ μισθοφόρου τάξει. 751, 45. 757, 18.

ἐν Κλωπιδῶν ἔχειν τὸν νοῦν λέγεταί τις παρ' Ἀριστοφάνει (Eq. 79.) ἀντὶ τοῦ εἰς κλοπὴν ἀεὶ ἀφορᾶν. 1764, 35.

ἐν Μουσῶν, φράσις ἐλλειπτικῶς πεφρασμένη Ἀττικῶς. 1616, 62.

ἐν ἀμφορεῦσιν ἀφύσσειν οἶνον, ἀντὶ τοῦ ἐκ πίθου εἰς ἀμφορεῖς ἀντλεῖν. 1449, 30.

ἐν δὲ φάει καὶ ὄλεσσον, Ἰλ. ρ', 647. ὅτι παροιμιῶδές ἐστιν ἐπὶ τῶν εὐχομένων μὴ ἀκράτοις κακοῖς περιπεσεῖν. 1121, 48.

ἐν θυμῷ βαλεῖν, ἴσον τῷ ἐν φρεσὶ θεῖναι, τουτέστιν ἐνθυμεῖσθαι. 1203, 39. 1410, 38.

ἐν Καρὶ τὸν κίνδυνον, παροιμία ἐπὶ τῶν ἐν εὐτελέσι τὰς πείρας ποιουμένων. 368, 41.

ἐν κοτύλῃ, παιδιᾶς εἶδος, καὶ πῶς ἐγίνετο ἑρμηνεία διεξοδική. 550, 3. ζήτει τὸ ἐγκοτύλῃ. 1282, 54.

ἐν μοίρᾳ, ἀντὶ τοῦ δεόντως παρ' Ὁμήρῳ. 1918, 24.

ἐν νοτίῳ λέγεται εἶναι ναῦς, ὅταν ὕδατι ἔποχος γένηται. 968, 36.

ἐν νοτίῳ, ἀντὶ τοῦ ἐν ὑγρῷ, ἤγουν ἐν τῷ ὕδατι ἐν τῷ, ὑψοῦ δ' ἐν νοτίῳ τήνδ' ὥρμισαν, Ὀδ. δ', 785. θ', 55. 1518, 3.

ἐν ὁδῷ καθελών, ἀντὶ τοῦ ἐν λόχῳ, παρὰ Δημοσθένει κατὰ Ἀριστοκράτους p. 637. 69, 31.

ἐν ὀνόματι εἶναι, ἀντὶ τοῦ ὀνομαστὸν εἶναι, παρὰ Στράβωνι. 338, 9.

ἐν πρώτῳ ῥυμῷ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ, ἐν τῷ ἄκρῳ τοῦ ῥυμοῦ. 623. 40.

ἐν τελέεσσιν, ἐν τάγμασι. 1144, 25.

ἐν τετράδι γέγονας, παροιμία καὶ ἐξήγησις τῆς παροιμίας. 302, 36. 1353, 6.

ἐν τοίχῳ πίπτειν δόρυ λέγεται ἀντὶ τοῦ ἐμπίπτειν τοίχῳ. 1926, 4.

ἐν χερσὶ θεῖναι, ἀντὶ τοῦ ἐγχειρίσαι. 1202, 43.

ἐν χρῷ κείρειν, καὶ ἐν χρῷ κουρά, καὶ ἐν χρῷ κουρίας ἄνθρωπος, καὶ ἐν χρῷ πλέειν. 1450, 33.

ἕνα θυμὸν ἔχειν, ἤγουν μίαν ψυχὴν ἔχειν καὶ προθυμίαν, τουτέστιν ὁμονοεῖν. 1055, 12. 1460, 21.

ἐναγαγεῖν ἐν ἴσῳ τῷ ἐπενεγκεῖν, ὃ ἀντὶ τοῦ κατηγορεῖν κεῖται παρ'

ἔνδιος ἀφικέσθαι λέγεται ὁ ἔωθεν ἔκ τινος τόπου ἀπελθὼν καὶ μεσημβρινὸς εἰς ἕτερον ἀφικόμενος. 1463, 2.

ἔνδοι βαρυτόνως ἢ ἐνδοῖ περισπωμένως ἀντὶ τοῦ ἔνδον κατὰ γλῶσσαν Συρακουσίων τροπῇ τοῦ ν̄ εἰς ῑ. 140, 15. 722, 62.

ἐνδοιάζειν τὸ ἐν δοιῇ, ἤγουν ἀμφιβολίᾳ, εἶναι. 749, 40.

ἔνδον τὸ ἐν τόπῳ κυρίως, ἔσω δὲ τὸ εἰς τόπον. 1839, 64.

ἐνδύεσθαι ἀλκὴν, ὅτι ἐνδεδῦσθαι ἀλκὴν λέγεται ὁ ἀνδρεῖος παρ' Ὁμήρῳ. 1169, 53.

ἐνδύεσθαι λίθινον χιτῶνα, ἀντὶ τοῦ λιθοβολεῖσθαι παρ' Ὁμήρῳ. 802, 54.

ἐνδυκέως, ἤγουν ἐπιμελῶς, ὅτι ἐκ τοῦ δέκω γίνεται τραπέντος κατὰ τὴν παραγωγὴν τοῦ ε̄ εἰς ō, τούτου δὲ εἰς ῡ Αἰολικῶς. 1289, 31. 1579, 50. 1789, 11.

ἐνδυκέως ἐπίῤῥημα ὅτι παρὰ τὸ δοκεύειν λέγεται τροπῇ τοῦ ō εἰς ῡ, ἢ παρὰ τὴν δίκην, ἑρμηνεία διεξοδική. 1290, 4.

ἔνεγκε διὰ τοῦ ε̄ ψιλοῦ, προστακτικὸν τοῦ ἤνεγκον δευτέρου ἀορίστου, καὶ ἔνεγκαι διὰ διφθόγγου ἀπὸ τοῦ ἤνεγκα πρώτου. 983, 43. καὶ ὅτι ἐκ τοῦ ἔνεικε βοηθεῖται ἡ διὰ τοῦ ε̄ ψιλοῦ γραφή. 1906, 25.

ἐνέγκω ὅτι παρὰ τὸ ἐνείκω γέγονε τροπῇ τοῦ ῑ εἰς ν̄, τὸ δὲ ἐνείκω παρὰ τὸ ἔχω γίνεται, ἔκω Ἰωνικῶς λεγόμενον. 712, 18. 1183, 45. καὶ ὅτι ἡ ἐνέγκω ῥηματικὴ φωνὴ αὐθυπότακτός ἐστι χρόνου ἀορίστου δευτέρου, καὶ ὅτι σημασίαν μέλλοντος ἔχει. 983, 35—47.

ἐνέδρα ὁ λόχος, ἐκ τοῦ ἕζεσθαι τοὺς λοχῶντας. 932, 19. καὶ ὅτι καὶ ἔνεδρον οὐδετέρως λέγεται κατὰ γένους μεταπλασμόν. 1588, 55.

ἔνεικα ποιητικῶς ἀντὶ τοῦ ἤνεγκα πρώτου ἀορίστου, καὶ ὅτι τοῦ ἔνεικα ποιητικοῦ οὐκ ἔστι δεύτερος ἀόριστος. 1145, 60.

ἐνεῖκαι, ἀπαρέμφατον ἀντὶ τοῦ ἐνέγκαι, ἐκ τοῦ ἔνεικα, ὅ ἐστιν ἤνεγκα, πρώτου ἀορίστου. 1145, 60.

ἐνείκω τὸ κομίζω καὶ τὸ ἔχω, παραγωγὴ καὶ σχηματισμός. 983, 37.

ἐνείκω τὸ κομίζω καὶ προηγουμένως τὸ ἔχω, ὅτι παρὰ τὸ ἔχω γίνεται ἔκω Ἰωνικῶς, καὶ ἐν συνθέσει κοινῶς μὲν ἐνέγκω πλεονασμῷ τοῦ ν̄, Ἰωνικῶς δὲ ἐνείκω τροπῇ τοῦ ν̄ εἰς ῑ, ἑρμηνεία διεξοδική. 983, 37. 1183, 27.

ἐνεῖσθαι, ἤγουν ἐνδεδῦσθαι, παρδαλῆν ἢ ἀλωπεκῆν ἢ λυκῆν ἢ λεοντῆν, παροιμιωδῶς λεγόμενα ἐπὶ τῶν κατ' ἦθος διαφόρως διατεθειμένων. 374, 43.

ἕνεκα διαφέρει τοῦ χάριν, ὅτι τὸ μὲν ἐπὶ τῶν ἁπλῶς διά τι, τὸ δὲ ἐπὶ τῶν πρὸς χάριν τινὸς γινομένων τίθεται. 1040, 43. καὶ ὅτι ὑπακούεταί ποτε τὸ ἕνεκα, οἷον ἐν τῷ, οὔτ' ἄρ ὅγ' εὐχωλῆς ἐπιμέμφεται, Ἰλ. α', 65. 49, 23. καὶ ὅτι ἕνεκά τινος γίνεσθαί τι λέγεται πρὸς ἔκκλισιν ἢ πρὸς ἐπίτευξίν τινος, καὶ ἕνεκα ἀντὶ τῆς διὰ προθέσεως, ἑρμηνεία διεξοδική. 1960, 22.

ἕνεκεν αἰτιολογικὸν ἴσον τῷ ἕνεκα. 841, 42.

ἐνεκολλάβισεν, ἤγουν κολλάβου, ὅ ἐστι ψωμοῦ, δίκην κατέπιεν. 1817, 56.

ἐνέπειν ἴσον τῷ ἀείδειν, ὅ ἐστιν ἐμμελῶς λέγειν, ὅθεν ἔπη τὰ ποιήματα, ἃ καὶ ᾠδαὶ παρὰ τὸ ἀείδειν. 9, 12. καὶ ὅτι τὸ ἐνέπω φύσει μὲν δι' ἑνὸς ν̄ γράφεται, μέτρου δὲ ἕνεκα διπλάζει ἐνίοτε τὸ ν̄, καὶ ὅτι ἐκ τῆς ἐν προθέσεως καὶ τοῦ ἔπω σύγκειται. 1381, 27—31. 1832, 11.

ἐνεργεῖν τὴν ψάλτριαν, παρ' Ἀλκίφρονι ἀντὶ τοῦ ἀφροδισιακῶς συγγίνεσθαι. 762, 64. 1570, 6.

ἔνερθεν ὅτι παρὰ τὸ ἔνερος, ὅ ἐστιν ὑποχθόνιος, λέγεται. 1196, 7. καὶ ὅτι φύσει ἔχει τὸ κατάρχον ε̄, ἀφαιρέσει δὲ αὐτοῦ νέρθεν ἐνίοτε λέγεται. 1013, 62.

ἔνεροι οἱ ὑπὸ ἔραν, ὅ ἐστι γῆν, ἐτυμολογικῶς. 1012, 37.

ἐνέρτερος ὅτι φύσει ἔχει τὸ ε̄, νέρτερος δὲ ἀφαιρέσει τοῦ ε λέγεται. 619, 13. 1013, 62.

ἐνεσία, ζήτει τὸ ἐννεσία.

ἐνεστὼς ἀντὶ παρῳχημένου ἐν τῷ, ἐκλύσθη δὲ θάλασσα κατερχομένης, ἀντὶ τοῦ κατελθούσης, ὑπὸ πέτρης, Ὀδ. ι', 484. 1640, 10.

ἐνεστῶτες παρακειμένων ὑποτακτικῶν τύπον ἔχοντες, οἷον πεφύκω, πεπλήγω. 576, 37.

ἐνεστῶτες ἀντὶ μελλόντων ἐκ παραδείγματος, οἷον μένω καὶ θέω ἀντὶ τοῦ μενῶ καὶ θεύσω, Ἰλ. κ', 62. sq. 789, 27.

ἐνεταὶ, περόναι ποιαὶ, ὅτι παρὰ τὸ ἐνίεσθαι λέγονται. 976, 24.

Ἐνετοὶ ἔθνος, ὅθεν Ἐνέτιδες ἵπποι· καὶ Ἐνετὸς πόλις, ἡ καὶ Ἐνετὴ θηλυκῶς, ἱστορία. 361, 8. 18.

ἐνευναίων, τῶν ἐγκοιμωμένων ἐν τῷ, χήτει ἐνευναίων, Ὀδ. π, 35. ἀντὶ τοῦ σπάνει τῶν ἐγκοιμήτρων, ἐνεύναια γὰρ τὰ ἐγκοίτια· καὶ ἄλλως δὲ ἐνεύναιον ἀμφότερα δηλοῖ, τήν τε κλίνην καὶ τὴν ἐπ' αὐτῆς στρωμνήν. 1750, 28. 1793, 32. 47. 51.

ἐνέχειν ἐν ἴσῳ τῷ ἐπέχειν, ὅ ἐστι κατά τινος ἔχειν. 922, 46.

ἐνέχραεν ἐς τὸ πρόσωπον τὸ σκῆπτρον, παρ' Ἡροδότῳ 6, 75. ἀντὶ τοῦ ἔπληξε τῷ σκήπτρῳ. 1434, 9.

ἐνέχυρον ὅτι παρὰ τὸ ἐχυρὸν, ὅ ἐστιν ἰσχυρὸν, λέγεται. 1600, 6.

ἔνη καὶ νέα ἡ νουμηνία. 284, 30. ἀλλαχοῦ δὲ ὅτι ἔνη καὶ νέα ἡ τριακὰς ἡμέρα τοῦ μηνὸς παρ' Ἀθηναίοις, παρὰ τὸ ἔνον, ὃ δηλοῖ τὸ παλαιὸν καὶ παρῳχημένον· καὶ ὅτι δι' ἑνὸς ν̄ γράφονται τό τε ἔνον καὶ ἡ ἔνη, παρὰ δέ τισι καὶ δυσί· καὶ ὅτι Ἰωνικῶς μὲν ψιλοῦνται, παρά τισι δὲ δασύνονται. 1386, 8. 1866, 10.

ἐνηβητήρια, παραγωγή. 438, 3.

ἐνηής ὁ μειλίχιος. 1122, 31. καὶ ὅτι ἀντίκειται τῷ ἀπηνής. 113, 22. καὶ ὅτι ἐκ τοῦ ἠῢς λέγεται, οἱονεὶ ὁ ἐντὸς ὢν ἀγαθότητος. 314, 41. 1101, 42.

ἐνῆκας, ἤγουν ἐνέβαλες, παρὰ τὸ ἐνίημι. 783, 42.

ἐνήλατα, τὰ καὶ ἁμαξηδόνια, τουτέστι τὰ τοῖς τροχοῖς ἐμβαλλόμενα μέρη τοῦ ἄξονος, ἢ οἱ κωλύοντες ἐξιέναι τοὺς τροχοὺς πασσαλίσκοι. 598, 29. καὶ ἐνήλατα αἱ τῶν κλιμάκων βαθμίδες ὁμωνύμως. 782, 28.

ἐνήνεον, ἐσώρευον. 1292, 34.

ἐνήνοχα, μέσος παρακείμενος ἐκ

τοῦ ἥνοχα κατ' ἀναδιπλασιασμὸν, ὃ ἐκ τοῦ ἐνέχω κεκίνηται. 938, 39. ἀλλαχοῦ δὲ ὅτι τὸ ἐνήνοχα μίγμα ἐστὶν ἐκ μέσου καὶ ἐνεργητικοῦ παρακειμένου, ὧν τοῦ μὲν τὸ παραλῆγον ο, τοῦ δὲ τὸ λῆγον σύμφωνον ἔχει. 1687, 9.

ἐνήσει, ἐμβαλεῖ, ἀπὸ τοῦ ἐνίημι. 1778, 47.

ἐνήσομεν, ἤγουν ἐμβαλοῦμεν ἢ ἐπαφήσομεν. 970, 58. 1445, 36. καὶ ἐνήσομεν πόντῳ, τὴν ναῦν δηλονότι, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐμβαλοῦμεν, ὅτι μέλλοντός ἐστι χρόνου, οὐ παρακείμενος ἐνῆκα χρήσιμος παρ' Ὁμήρῳ. 1722, 12. 1728, 40.

ἔνθα ἀντὶ τοῦ τότε. 1051, 51. καὶ ὅτι τὸ ἔνθα οὐ μόνον τοπικόν ἐστιν, ἀλλὰ καὶ χρονικόν. 1384, 3.

ἔνθα δὲ, ἀντὶ τοῦ ἐνθάδε ἐν τῷ ἔνθα δὲ Σίσυφος ἔσκεν, Ἰλ. ζ', 153. 631, 11.

ἔνθα καὶ ἔνθα, ἀντὶ τοῦ εἰς πλάτος καὶ εἰς μῆκος ἐν τῷ, βόθρον ὀρύξαι ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα, Ὀδ. κ', 517. ἢ ἔνθα καὶ ἔνθα, τὸ πάντοθεν καὶ ἐν κύκλῳ. 672, 56. 1668, 11.

ἐνθάδε, ἐν τούτῳ τῷ τόπῳ καὶ εἰς τοῦτον τὸν τόπον. 1839, 62.

ἐνθάδε αὖθι, παρ' Ὁμήρῳ ὅτι ἐκ παραλλήλου ταὐτὸ σημαίνουσι. 1530, 21.

ἔνθεμα τὸ κοινῶς ἐμφύλλιον. 1423, 37.

ἔνθεν ἑλὼν, ὅτι καταστατικόν ἐστι καὶ καταρκτικὸν ἀφηγηματικοῦ λόγου. 1608, 6.

ἔνθεο ἀντὶ τοῦ ἐνέθου ἐν τῷ, οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ, Ἰλ. ζ', 326. 644, 62.

ἐνθέσθαι τὸ φαγεῖν Ἀττικῶς, ὅθεν ἔνθεσις ἡ τροφή. 1423, 37.

ἐνθεσίδουλος ὁ ψωμόδουλος, ὅ ἐστι λίχνος. 1837, 40.

ἔνθεσις ἡ τροφὴ, παρὰ τὸ ἐνθέσθαι, ὃ δηλοῖ τὸ φαγεῖν. 437, 17. 1423, 37. 1818, 3.

ἔνθεσις Θετταλικὴ ὁ μέγας ψωμὸς, εἴτουν ἡ μεγάλη τροφὴ διὰ τὴν τῶν Θετταλῶν πολυφαγίαν. 331, 14. 857, 31.

ἐνθεῦτεν ἀντὶ τοῦ ἐντεῦθεν Ἰωνικῶς κατ' ἐναλλαγὴν ἀφώνων. 468, 32. 746, 15.

ενθος λήγοντα οὐδέτερα ἐκ τῶν διὰ τοῦ αθος παρηγμένα, οἷον πάθος πένθος, βάθος βένθος. 99, 6. 695, 32.

ἐνθουσιαστὴς ὁ ἔνθεος καὶ ἐν ἐκστάσει προλέγων μαντικῶς. 47, 46.

ἐνθουσιαστικὸν ἐπίῤῥημα τὸ ὢ λέγεται, ὅθεν τὸ ὢ πόποι. 98, 41.

ἐνθύμιος λέγεται εἶναι, οὗ ἐνθυμεῖταί τις ἐν τῷ, μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω, Ὀδ. ν', 421. 1747, 34.

ἐνὶ πρόθεσις ὅτι ἐκ τῆς ἐν γέγονε κατ' ἐπέκτασιν. 30, 21. ἐνὶ σφίσιν, ἀντὶ τοῦ καθ' ἑαυτούς. 1325, 16.

ἔνι συνήθως ἀντὶ τοῦ ἔνεστι, ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ ἔνεισιν, οἷον ἐν τῷ, οὐδ' ἄνδρες νηῶν ἔνι τέκτονες, Ὀδ. ι', 126. 75, 1. 1619, 46.

ἐνιαυτὸς ὅτι παρὰ τὴν ἐν πρόθεσιν καὶ τὸ ἰαύειν, ὅ ἐστι διατρίβειν, λέγεται. 1418, 17. ἀλλαχοῦ δὲ ὅτι ἐνιαυτὸς ὁ μὴ ἀκαριαῖος, ἀλλὰ διατριβὴν ἔχων χρόνος, παρὰ τὸ ἰαύειν, ὅ ἐστι διατρίβειν. 1750, 23. καὶ ὅτι ἐνιαυτὸς ἐν ἴσῳ τῷ διατριβὴ παρ' Ἀριστοφάνει (Ran. 347.) ἐν τῷ, ἐτῶν ἐνιαυτούς. 191, 17. 754, 3. 1384, 62.

ἐνιαυτὸς ὅτι βοῦς μόσχος μονόκερως λέγεται ἀλληγορικῶς. 73, 36.

ἐνιαυτὸς, ποτήριον ποιὸν ὁμωνύμως. 917, 59.

ἐνιαυτοῦ σύμβολον εἴτουν αἴνιγμα ἐν ταῖς πομπαῖς, ἀνὴρ τετράπηχυς φέρων χρυσοῦν Ἀμαλθείας κέρας, ἱστορία. 1078, 57.

ἐνιέναι ἵππον παροιμίαις, παρ' Ὁμήρῳ ἤγουν ἐμβάλλειν, ἐντιθέναι, ἐνδεσμεῖν. 1051, 34.

Ἐνιῆνες παρ' Ὁμήρῳ οἱ καὶ Αἰνιᾶνες ἔθνος, γραφὴ ἀρκτική· ζήτει ἐν τῷ Αἰνιᾶνες. 335, 9.

ἑνικὰ ῥήματα ἀντὶ πληθυντικῶν Βοιωτιακῶς, καὶ ὅτι Ὅμηρος καθ' Ἡρακλείδην οὐδέποτε ἑνικοῖς ῥήμασιν ἀντὶ πληθυντικῶν χρῆται. 1885, 57.

ἑνικὰ ῥήματα κατὰ πληθυντικῶν πτωτικῶν λεγόμενα, οἷον ἐν τῷ, δοῦρα σέσηπε, καὶ, τῆς δ' ἦν τρεῖς κεφαλαὶ, ἀντὶ τοῦ ἦσαν. 191, 20. 1892, 47.

ἐνικλᾶν τὸ ἐμποδίζειν καὶ κατακλᾶν καὶ κατακάμπτειν, καὶ ὅτι κατὰ στερεῶν καὶ ἀτενῶν σωμάτων λέγεται. 720, 5. 39.

ἑνικὸν προσηγορικὸν ὑπὸ πληθυντικῶς ἐσχηματισμένου ἀναφορικοῦ ἄρθρου ἀναφερόμενον, οἷον· μῆτις Ἀχαιῶν ἐνθάδ' ἐπέλθῃσι βουληφόρος, οἵτέ μοι αἰεὶ βουλὰς βουλεύουσι παρήμενοι, Ἰλ. ω', 651. 1370, 18.

ἑνικὸν ἀντὶ πληθυντικοῦ ἐν τῷ, ἀλλ' ἄγε οἱ δῶμεν ξεινήιον ὡς ἐπιεικές, Ὀδ. θ', 389. 1602, 50. ὃ καὶ διὰ μέτρου ἀνάγκην ἐνίοτε γίνεται, οἷον ἐν τῷ, ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας κείμεθ' ἐνὶ μεγάρῳ, Ὀδ. λ', 419. ἀντὶ τοῦ, ἀμφὶ κρατῆρας, πληθυντικῶς. 1692, 51.

ἑνικὸν ὄνομα πληθυντικῷ ῥήματι ὑποκείμενον ἐν τῷ, ἐσκίδναντο ἕκαστος· καὶ ἀνάπαλιν ἑνικὸν ῥῆμα κατὰ πληθυντικοῦ λεγόμενον πτωτικοῦ ἐν τῷ, τὰ παιδία παίζει. 114, 36.

ἑνικὸν ῥῆμα κατὰ πληθυντικῶς ἐσχηματισμένων ἀρσενικῶν καὶ θηλυκῶν πτωτικῶν λεγόμενον, οἷον χεῖρές τ' ὀφθαλμοί τε παλάσσετο, Ἰλ. ρ', 387. 1110, 50. καὶ κατὰ θηλυκοῦ καὶ οὐδετέρου πληθυντικῶν ἐν τῷ, ἤτοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα ἤχθετο, Ὀδ. τ', 337. 494, 26. 1867, 21.

ἐνίλλειν τὸ τοῖς ὀφθαλμοῖς καταμωκᾶσθαι, ἐνιλλώπτειν δὲ τὸ ὑγροῖς καὶ ἐπιμύουσι τοῖς ὀφθαλμοῖς ἐμβλέπειν. 206, 30. 32.

ἐνιλλώπτειν, ζήτει ἐν τῷ ἐνίλλειν. 206, 32.

Ἐνιπεὺς ποταμὸς ὅτι περὶ Φάρσαλον ῥέων εἰς τὸν Ἀπιδανὸν ἐμβάλλει. 320, 40. ἀλλαχοῦ δὲ ὅτι Πελοποννήσιος ποταμὸς ὁ Ἐνιπεὺς, ἐμβάλλων εἰς τὸν Ἀλφειόν· ὁ γὰρ Θετταλικὸς Ἐνισεὺς λέγεται διὰ τοῦ σ, ὃς ἀπὸ Ὄθρυος τοῦ ὄρους ῥέων δέχεται τὸν Ἀπιδανὸν κατενεχθέντα ἐκ Φαρσάλων. 1682, 6.

ἐνιπὴ ἡ δι' ἐπῶν ἐπίπληξις ἢ κα-

κολογία. 489, 4. 1283, 19. ἀλλαχοῦ δὲ ὅτι ἡ δι' αἰσχρολογίας ἐπίπληξις. 1347, 57. καὶ ὅτι τὸ νῖ μακρὸν ἔχει ἐν τῷ, ἔδδεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν, 'Οδ. κ', 448. 1664, 36.

ἐνίπλειον ἀντὶ τοῦ ἔμπλεων, ὅτι τῆς ἀρχαίας 'Ατθίδος ἐστὶν ἡ λέξις. 705, 4. 1879, 17.

ἐνίπτειν τὸ κακολογεῖν καὶ τὸ ἁπλῶς εἰπεῖν, οἷον ἐν τῷ, ὁ δέ τοι νημερτὲς ἐνίψει, 'Οδ. λ', 148. 1677, 8. ἀλλαχοῦ δὲ ὅτι ἐνίπτειν οὐ τὸ ἁπλῶς λέγειν, ἀλλὰ μετὰ σφοδρότητος καὶ ἀπειλῆς, οἷον ἐν τῷ, ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω, 'Οδυσσ. β', 137. 1438, 39.

ἐνίπτειν τὸ ἔπεσιν ἐπιπλήττειν. 432, 36. 489, 5. 690, 39. 1374, 32. ἀλλαχοῦ δὲ ὅτι ἐνίπτω τὸ δι' αἰσχρολογίας ἐπιπλήττω, ὅτι καὶ ἐνίσσω λέγεται. 1347, 57. καὶ ὅτι τὸ ἐνίπτω καὶ τὸ ἐνίσσω, καίτοι παρὰ τὸ ἐνέπω λεγόμενα, ὅμως οὐδὲν κοινωνοῦσιν ἐκείνῳ κατὰ τὸ σημαινόμενον. 1381, 33.

'Ενισεὺς διὰ τοῦ σίγμα, ποταμὸς Θεσσαλικὸς, ἀπὸ Ὄθρυος τοῦ ὄρους ῥέων δέχεται τὸν 'Απιδανὸν κατενεχθέντα ἐκ Φαρσάλων· ζήτει ἐν τῷ 'Ενιπεύς. 1682, 8.

ἐνισκίμφθη, ἤγουν ἐπέλασεν, ἀπὸ τοῦ σκίμπτω. 1077, 63.

'Ενίσπη, πόλις τῆς 'Αρκαδίας ἐφ' ὑψηλοῦ τόπου ᾠκισμένη, ὁ πολίτης 'Ενισπαῖος. 301, 34.

ἐνισπήσω ὅτι ἀπὸ τοῦ ἐνισπῶ περισπωμένου θέματος κεκίνηται. 1525, 54.

ἐνίσπω, ὅτι παρὰ τὸ ἔπω γέγονεν ἴσπω τροπῇ Αἰολικῇ τοῦ ε̄ εἰς ῑ καὶ πλεονασμῷ τοῦ σ̄, ὅθεν τὸ ἐνίσπω. 1562, 44.

ἐνίσσειν ἐν ἴσῳ τῷ ἐνίπτειν, ὅ ἐστι κακολογεῖν, καὶ ὅτι ἐνίπτειν λόγοις κυρίως λέγεται. 1283, 19. 1374, 58. 1956, 44. καὶ ὅτι δοτικῇ συντέτακται ἐν τῷ, θυγατέρεσσι καὶ υἱάσιν ἐνισσέμεν, 'Ιλ. ο', 198. 1012, 50.

ἐνναέτηρος ἀντὶ τοῦ ἐνναετὴς ποιητικῶς. 245, 46.

ἐννέα ἀριθμοῦ ἰδιώματά τινα διεξοδικῶς. 180, 16.

ἐννέα ἄρχοντες, ἀρχὴ 'Αθήνησιν οὕτω καλουμένη, ὧν εἷς μὲν ἄρχων ἐκαλεῖτο, ἕτερος δὲ βασιλεὺς καὶ τρίτος πολέμαρχος· οἱ δὲ λοιποὶ ἓξ θεσμοθέται ἐλέγοντο. 1595, 37.

ἔννεον, ἐκολύμβων, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ἕτερον τῶν δύο ν̄, ὡς καὶ τὸ ἔννεπε. 1220, 30.

ἐννεσία ἡ συμβουλὴ, ὅτι παρὰ τὸ ἔννοια λέγεται τροπῇ τοῦ ο τῆς διφθόγγου εἰς ε̄ καὶ ἐπενθέσει τῆς σι συλλαβῆς, ἢ παρὰ τὸ ἐνίημι τὸ παθητικὸν ἐνεῖμαι ἐνεῖσαι ἐνεσία καὶ διπλασιασμῷ τοῦ ν̄ ἐννεσία ἡ εἰς νοῦν ἐνιεμένη συμβουλή. 618, 43.

ἐννέωροι σύες, 'Οδ. κ', 390. οἱ ἐννέα ὡρῶν, τουτέστι δυοῖν ἐτῶν καὶ τριμήνου, ἢ οἱ ἐνναετεῖς, παρὰ τὸν ὧρον ἤγουν ἐνιαυτόν· καὶ ἔλαιον ἐννέωρον τὸ ἐνναετὲς, 'Ιλ. σ', 351. καὶ ὅτι τὸ νε̄ καὶ ω̄ εἰς μίαν μακρὰν συλλαβὴν συνιζάνουσιν. 1146, 43. 1662, 53. 57. καὶ ἐννέωρος βοῦς παρ' 'Ομήρῳ ὁ καὶ ἐνναέτηρος παρ' 'Ησιόδῳ. 245, 45.

ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστὴς, περὶ Μίνωος λεγόμενον 'Οδ. τ', 179. ζήτει ἐν τῷ Μίνως. 1861, 29.

— εννη λήγοντα θηλυκὰ ὀξύτονα δυσὶ ν̄ γραφόμενα, οἷον φαεννὴ, ἐρεβεννή. 615, 45.

ἔννη καὶ νέα, ὅτι ἐδασύνετο πάλαι τὸ ἔννη. 1386, 8. ζήτει ἐν τῷ, ἔνη καὶ νέα.

ἐννῆμαρ ἐπίῤῥημα, ἤγουν ἐπὶ ἐννέα ἡμέρας. 44, 12.

— εννον λήγοντα ὀξύτονα ἐκ τῶν διὰ τοῦ εινον γενόμενα τροπῇ τοῦ ῑ τῆς διφθόγγου εἰς ν̄, οἷον φαεννὸν ἐκ τοῦ φαεινόν. 1604, 10.

— εννος ληγόντων ἐπιθέτων ἀναλογία, οἷον φάος φαεννὸς, ἔρεβος ἐρεβεννός. 392, 44.

'Εννοσίγαιος παρὰ τὸ ἐνόθω, ὅ ἐστι κινῶ, ὅτι δυσὶ ν̄ γράφεται ἀεὶ ἐκ πλεονασμοῦ πρὸς μετρικὴν χρῆσιν, 'Ενοσίχθων δὲ δι' ἑνός. 708, 16. 1381, 29.

ἕννυμι, ὅθεν τὸ ἀμφιέννυμι, ὅτι παρὰ τὸ ἕω τὸ ἐνδύω γίνεται ἕνω προσλήψει τοῦ ν̄, ὅθεν τὸ ἐννύω καὶ ἕννυμι. 57, 37.

ἕννυσθαι ἴσον τῷ ἀμφιέννυσθαι ἐν τῷ, αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο Νύμφη, 'Οδ. ε', 230. 1530, 59.

ἐννύχιος κατάγεσθαι λέγεται ὁ διὰ μιᾶς νυκτὸς ἀφικόμενος εἰς λιμένα τινά. 1462, 55.

ἐννώσας ὅτι ἐκ τοῦ ἐννοήσας κατὰ συναίρεσιν λέγεται παρ' 'Ηροδότῳ. 288, 17.

ἐνόθω ἐνόσω τὸ κινῶ. 307, 16. 1381, 29.

ἐνοινοχοεῖν ἐν δέπασι, ὅτι περισσεύει ἡ κατὰ θατέρα πρόθεσις. 1477, 24.

ἔνον τὸ παλαιὸν, ζήτει ἐν τῷ, ἔνη καὶ νέα. 1866, 12.

'Ενόπη βαρυτόνως ὄνομα πόλεως, ἐνοπὴ δὲ ὀξυτόνως ἡ φωνή. 743, 16.

ἐνοπὴ, ταραχώδης βοή. 370, 24.

ἐνόπλιος ῥυθμὸς, ὅτι κατ' ἐνόπλιον ῥυθμὸν πεποδίσθαι τινὰ ἔπη λέγονται, οἷον τὸ, ὡς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ, 'Ιλ. α', 357. 1899, 62.

ἕνος ὁ ἐνιαυτὸς, ὅτι παρὰ τὸ ἓν ἢ τὴν ἕνωσιν τῶν ὡρῶν λέγεται, ἢ παρὰ τὸ ἕω, ὅ ἐστι πληρῶ, καὶ ὅτι δασύνεται ἡ λέξις, ἑρμηνεία διεξοδική. 73, 32. 627, 16. 1387, 8. 1418, 18 — 24.

ἔνοσις ἡ κίνησις, παρὰ τὸ ἐνόθω ἐνόσω. 1613, 41.

'Ενοσίχθων παρὰ τὸ ἐνόθω, ὅ ἐστι κινῶ, ὅτι δι' ἑνὸς ν̄ γράφεται, 'Εννοσίγαιος δὲ δυσί. 708, 19. 1381, 29.

ἔνρινον ἢ ἔῤῥινον, ἄρωμα ποιὸν, ᾧ τὰς ῥῖνας ἐχρίοντο. 950, 1.

ἐνς ἡ εἰς πρόθεσις κατὰ γλῶσσαν 'Αργείων καὶ Κρητῶν τροπῇ τοῦ ῑ εἰς ν̄. 722, 60.

ἐνστάζειν μένος λέγεται ὁ πατὴρ τῷ υἱῷ 'Οδυσσ. β', 271. ὅτι παρὰ τὴν σπερματικὴν ὑγρότητα λέγεται τὸ ἐνστάζειν. 1444, 52.

ἐνταῦθα, ὅτι ἔθος Δωριεῦσιν αἰτιατικῇ συντάσσειν τὴν ἐν πρόθεσιν, ἐν ταῦτα οὖν, καὶ τροπῇ Δωρικῇ τοῦ τ̄ εἰς θ̄ ἐνταῦθα, καὶ ἑτέρα τροπῇ τῆς ληγούσης εἰς οῖ ἐνταυθοῖ, ὡς ἔνδον ἐνδοῖ, πέδον

ἐξ πρόθεσις ἐν συνθέσει προτεταγμένη ὅτι οὐ μόνον τὴν ἔξω σχέσιν, ἀλλὰ καὶ ὕψωμά τι σημαίνει. 532, 6.

ἐξ πρόθεσις ὅτι ἐπίτασιν δηλοῖ ἐν συνθέσει, ὁποίαν τὸ μάλιστα ἐπίῤῥημα, οἷον ἐν τῷ ἐξιθύνειν, ὅ ἐστι λίαν ἐξορθοῦν, καὶ ἐν τῷ ἐξαίσιος καὶ ἔκδικος, καὶ ἐν τῷ ἐξαπολέσθαι, καὶ ἐν τῷ ἐκγελάσαι, καὶ ζήτει τὸ ἐκγελάσαι. 931, 56. 1022, 60. 1032, 39. 1144, 9. 1836, 54.

ἐξ πρόθεσις τὸ ἐκτὸς, οἷον ἐν τῷ ὑπεξαναδύς. 936, 47.

ἐξ ἀγχιμόλου, ἤγουν ἐκ τοῦ σύνεγγυς. 1354, 12.

ἐξ ἄλλων, ἀντὶ τοῦ δίχα τῶν ἄλλων ἐν τῷ, ἐξ ἄλλων οὐ μέντοι ἐγὼ τόσον αἴτιός εἰμι, Ἰλ. φ', 370. 1241, 53.

ἐξ ἀρέων, ἤγουν ἕνεκα τῶν ἀρῶν ἐν τῷ, ἐξ ἀρέων μητρὸς κεχολωμένος, Ἰλ. ι', 566. 770, 32.

ἐξ ἔρον ἕντο, ἐπλήρωσαν τὴν ἐπιθυμίαν, καὶ ἐξ ἔρον εἶναι, ἤγουν ἐκπληρῶσαι τὴν ἐπιθυμίαν. 136, 27. 481, 38.

ἐξ ἑτέρων ἕτερ' ἐστὶ, περὶ οἰκημάτων τινῶν λεγόμενον Ὀδ. ρ', 266. ἀντὶ τοῦ οὐ μονόστεγά εἰσιν, ἀλλ' ὑπερῷα. 1819, 29.

ἐξ ἔτι τοῦ, ἐν ἴσῳ τῷ ἐξότου ἐν τῷ, ἐξ ἔτι τοῦ ὅτε Βρισηίδα κούρην ἔβης ἀπούρας, Ἰλ. ι', 106. 738, 29.

ἐξ ὀμμάτων λέγεται ὁ τυφλὸς, οἷον Δίδυμος ὁ ἐξ ὀμμάτων. 149, 29.

ἐξ οὗ, χρονικῶς καὶ αἰτιολογικῶς ἀκουόμενον ἐν τῷ, ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε, Ἰλ. α', 6. 21, 4.

ἐξ οὐρίας πλοῦς, ὁ ἐκ πνοῆς εὐδιεινῆς, ὅτι παρὰ τὸν οὖρον λέγεται, καὶ ὅτι καὶ ἐξ οὐρίων πληθυντικῶς λέγεται, ἤγουν ἐξ οὐρίων, ὅ ἐστιν εὐδιεινῶν, πνευμάτων. 1452, 46.

ἐξ ὑπογείου τὸ ἐγγύθεν προσδόκιμον, ἢ τὸ παραυτίκα γεγονὸς καὶ ὡς εἰπεῖν πρόχειρον, ἢ μᾶλλον ὑποχείριον παρὰ τὰ γυῖα, ὃ δηλοῖ τὰς χεῖρας. 920, 32.

ἐξ ἀριθμητικὸν ἐν συνθέσει οὕτως ὡς ἔχει σὺν τῷ ξ προτασσόμενον τινῶν λέξεων ἀπὸ συμφώνου ἀρχομένων, ἕξκλινον, ἕξγυον. 450, 45.

ἐξαγγέλλεσθαι ἀντὶ τοῦ ἐξαγγέλλειν παρὰ Σοφοκλεῖ. 694, 26.

ἐξάγειν ἐν ἴσῳ τῷ ἐξελθεῖν καὶ ἐκπορευθῆναι ἐν τῷ, τύμβον ἕνα χεύομεν ἐξαγαγόντες, Ἰλ. ή, 336. 684, 12.

ἐξαγορεύειν τὸ σαφῶς ἀγορεύειν, οἷον ἐν τῷ, γόνον ἐξαγόρευεν, Ὀδ. λ', 234. 1680, 57.

Ἐξάδιος κύριον ὅτι καὶ Ξάδιος λέγεται ἀποβολῇ τοῦ ἀρκτικοῦ ε, καὶ ὅτι ψιλοῦται ἡ λέξις. 101, 19.

ἐξαείρειν τὸ φοράδην ἐξενεγκεῖν, Ὀδυσσ. ν', 120. 1736, 14.

ἐξαίνυσθαι τὸ ἀφαιρεῖσθαι, πολλαχοῦ παρ' Ὁμήρῳ. 613, 46.

ἐξαιρεῖν ταὐτὸν τῷ ἐξελεῖν. 119, 35.

ἐξαιρεῖσθαι δὲ τὸ ἐκλέγεσθαι καὶ ἐξαιρέτως λαμβάνειν· καὶ ἐξαιρεῖσθαι τὸ ἐκβάλλειν ὁμωνύμως, ὅθεν καὶ ἐξαιρέσιμος λίθος λέγεται. 907, 63. 1762, 3.

ἐξαιρέσιμος λίθος ὁ ἐκ τοίχου ἐκβληθείς. 210, 3. 907, 64.

ἐξαίρεσις λίθου παρ' Ἡροδότῳ ἡ ἐκ τοίχου ἐκβολὴ, ζήτει τὸ ἐξαιρεῖν καὶ τὸ, ἐξαιρέσιμος λίθος. 119, 35. 907, 64.

ἐξαίρετος ὁ ἐκ τῶν ἄλλων αἱρεθεὶς, ὅ ἐστιν ἐπικριθείς. 1512, 40. καὶ ὅτι περὶ πολλῶν τινῶν λέγεται κατὰ συνθήκην. 210, 1. καὶ ὅτι ἐξαίρετον μὲν λέγεταί τι, ἐξέλετον δὲ οὔ. 119, 31.

ἐξαιρεύμην ἀντὶ τοῦ ἐξῃρούμην. 1762, 3.

ἐξαίσιον, πάλαι μὲν τὸ ἔξω τοῦ αἰσίου, ὡς καὶ παρ' Ὁμήρῳ, καὶ ἀντίκειται τῷ ἐναίσιμον. 1032, 25. ὕστερον δὲ ἀντὶ τοῦ ἄγαν αἴσιμον. 29, 34.

ἐξαίσιον παρ' Ὁμήρῳ τὸ ἔξω τοῦ αἰσίου, ὅ ἐστι τοῦ καθήκοντος, τουτέστιν ἄδικον, ἐν τῷ, οὔτε τινὰ ῥέξας ἐξαίσιον, Ὀδ. δ', 690. καὶ ἐξαίσιον ἐπιῤῥηματικῶς ἐνίοτε ἀντὶ τοῦ μεγάλως. 1514, 21. 1832, 26.

ἔξαιτος ὅτι ἐκ τοῦ ἐξαίρετος συγκέκοπται. 1512, 42. ἢ παρὰ τὸ ἐξαιτεῖσθαι λέγεται. 210, 14. 907, 58. 61. 1512, 42.

ἐξακεῖσθαι τὸ θεραπεύειν καὶ τὸ ῥάπτειν καὶ τὸ ναῦς παλαιὰς καινοποιεῖν. 768, 49.

ἐξακεῖσθαι χόλον, ὅτι νόσον ἐμφαίνει καὶ τὸν χόλον εἶναι, ἀκέσεως καὶ αὐτὸν δεόμενον. 1461, 43.

ἐξακρίζειν τὸ καὶ ἁπλῶς ἀκρίζειν, ὅ ἐστι τὰ ἄκρα ἐπιπορεύεσθαι. 1636, 48.

ἐξαλαοῦν ἐν ἴσῳ τῷ ἁπλῶς ἀλαοῦν, ὅ ἐστι τυφλοῦν. 1638, 62.

ἐξαλίσαι, ἤγουν κυλισθῆναι ποιῆσαι, ἀπὸ τοῦ ἀλίζω θέματος. 836, 48. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κυλίω ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ ῡ εἰς ᾱ γίνεται ἀλίω, ὅθεν τὸ ἐξαλίσαι παρ' Ἀριστοφάνει (Nub. 32.). 1538, 39.

ἔξαλλος στολὴ ἡ ἐξηλλαγμένη τῶν ἄλλων. 1676, 54.

ἔξαλος θάνατος, Ὀδ. λ', 133. ὁ ἔξω θαλάσσης, ἢ ἐξ ἁλὸς κατὰ παράθεσιν ὁ ἐκ θαλάσσης. 1676, 42.

ἐξάμνους, σταθμὸς ἐξ μνᾶς ἕλκων. 1878, 57.

ἐξαναλῦσαι τινὰ θανάτου τὸ εἰς ζωῆς ἀρχὴν ἐπανακάμψαι ποιῆσαι, καὶ τὰ ἐπινενησμένα ὑπὸ τῆς μοίρας ἀναλῦσαι. 1265, 3.

ἐξανέχειν τὸ εἰς ὕψος ὑπερῆρθαι. 419, 18.

ἐξανέψιοι οἱ ἐξ ἀνεψιῶν ἀλλήλοις γονέων γεγονότες. 971, 34.

ἐξανίσχειν ὅτι περὶ μόνου τοῦ ἡλίου λέγεται ἀντὶ τοῦ ἀνατέλλειν. 419, 17.

ἐξανύω ἀντὶ τοῦ ἐξανύσω, ὅ ἐστι τελειώσω, ἐν τῷ, ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας, Ἰλ. λ', 365. 849, 34. 1216, 61.

ἐξαπολέσθαι ὅτι τὸ τελείως ἀφανισθῆναι δηλοῖ διὰ τὴν ἐκ τῆς ἐξ προθέσεως δηλουμένην ἐπίτασιν. 1144, 9.

ἐξάπτεσθαι ἀντὶ τοῦ ἐκκρεμασθῆναι ἢ ἐπιλαμβάνεσθαι. 695, 44.

ἔξαρμα, ὕψος, ὄγκος, μέγεθος. 9, 5.

ἐξάρχειν γενικῇ, οἷον ἐν τῷ, βουλῆς ἐξῆρχε νέεσθαι, Ἰλ. β', 84. καὶ αἰτιατικῇ ἐλλιπῶς τῆς εἰς προθέσεως, οἷον ἐν τῷ, βουλὰς ἐξάρχων ἀγαθὰς, Ἰλ. β', 273. 219,

29. καὶ ὅτι ὁ φορμίζων κυρίως ἐξάρχειν τῆς μολπῆς λέγεται.' 1480, 20.

ἐξάρχεσθαι ἐν ἴσῳ τῷ ἐξάρχειν ἐνίοτε παρ' Ὁμήρῳ. 1725, 13.

ἔξαρχοι θρήνων οἱ τῶν θρηνητηρίων ᾠδῶν ἐξάρχοντες, καὶ ὅτι βαρβαρικὸν τὸ ἔθος. 1372, 24.

ἐξάστερον, ὅτι οὕτως ὀνομάζονται παρὰ τοῖς χυδαίοις ἀνθρώποις αἱ Πλειάδες τὸ ἀστροθέτημα. 870, 26.

ἐξαυδᾶν τὸ προφέρειν ἃ ἐν νῷ ἔχει τις. 118, 32.

ἐξαῖσαι τὸ ὀπτῆσαι, παρὰ τὸ αὔω, ὃ δηλοῖ τὸ καίω. 1547, 58.

ἐξαφύειν τὸ ἐξαντλεῖν. 1752, 54.

ἐξάψαι πόλεμον, ὅτι ἐξ ἔθους ἀρχαίου λέγεται, ᾧ ἐχρῶντο ἐπὶ προμηνύσει πολέμου, ἱστορία. 669, 44.

Ἔξγυον, ὄνομα πόλεως Σικελικῆς, παρὰ τὸ ἐξ ἀγυιὰς ἔχειν οὕτω λεγομένη. 450, 45.

ἐξεγλυμμένος ἀντὶ τοῦ ἐκγεγλυμμένος κατ' ἀποβολὴν τοῦ συμφώνου τῆς αὐξήσεως. 759, 42.

ἑξείης ὅτι τὴν κατὰ μέτωπον τάξιν δηλοῖ ἐν τῷ, ἑξείης δ' ἵσταντο, Ἰλ. ψ', 839. 1332, 39. καὶ ὅτι ἐξ ἐπενθέσεως ἔχει τὴν παραλήγουσαν δίφθογγον ἡ λέξις. 43, 38.

ἐξείλετο ἐν ἴσῳ τῷ ἐξήγαγον ἢ ἐξελέξατο, οἷον ἐν τῷ, ἐξείλετο πικρὸν ὀϊστόν, Ἰλ. θ', 323. 451, 25. 715, 42. ἁπλῶς δὲ τὸ ἐξείλετο ἀντὶ τοῦ ἐξαιρέτως ἔλαβε. 804. 30.

ἐξεῖναι ἐν ἴσῳ τῷ ἐκπέμψαι, ὅτι ἐκ τοῦ ἐξίημι κεκίνηται. 836, 30.

ἐξελαύνειν, ὅτι ἡ ἐξ πρόθεσις ἐπίτασιν δηλοῖ ἐν τῷ, ἐξήλαυνόν τινες τὸν ἄργυρον εἰς ὑμένος ἰδέαν. 1157, 19.

ἐξελεῖν καὶ ἐξελέσθαι παρ' Ὁμήρῳ τὸ ἐπιλέξασθαι ὡς ἐξαίρετον. 119, 29. 33. καὶ τὸ ἐκβαλεῖν ἐνίοτε ὁμωνύμως. 908, 1. ἀλλαχοῦ δὲ ὅτι ἐξελεῖν τὸ ἐξαίρετον διδόναι, ἐξελέσθαι δὲ τὸ ἐκλέξασθαι καὶ ἐξαίρετον λαβεῖν. 741, 10.

ἔξελεν ἀντὶ τοῦ ἐξείλετο, ὅ ἐστιν ἐπελέξατο. 1021, 36.

ἐξελέσθαι θυμὸν ἢ ψυχήν τινος, παρ' Ὁμήρῳ ἤγουν τὸ ἐν ἀνθρώποις ἐξαίρετον ἀφελέσθαι. 551, 21. 850, 51. 1257, 22.

ἐξελέσθαι θυμόν τινος, τὸ ἀφελέσθαι τὴν ψυχὴν αὐτοῦ. 850, 51.

ἐξελέσθαι ψυχήν τινος. 551, 21.

ἐξελέσθαι φρένας, παρ' Ὁμήρῳ ὅτι καθ' αὑτὸ μὲν ἀμφίβολον, εἴτε τὸ ἀφελέσθαι ἢ τὸ ἐξαιρέτους ποιεῖν σημαίνει· ἐν δὲ τῷ, καὶ ἐξέλετο φρένας ἐσθλάς, Ἰλ. ρ', 470. δῆλον ὅτι ἀντὶ τοῦ ἀφελέσθαι κεῖται τὸ ἐξελέσθαι. 757, 11. 1115, 19.

ἐξελέσθαι τὸ ἐξαιρεῖσθαι καὶ ἀποκρίνειν, ὅ ἐστιν ἐπιλέξασθαι, παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον τὸ λυτροῦσθαι. 740, 64. 1122, 22.

ἐξελεύθερος ὁ διὰ χρέος ὑπὸ τοῦ δανειστοῦ εἰς δουλείαν ἀπαχθεὶς, εἶτα ἀπολυθείς. 1751, 2.

ἐξελίνησεν ὁ λαγὼς, ἤγουν τὰ λίνα διέφυγεν. 574, 30.

ἔξελον ἀντὶ τοῦ ἐξεῖλον, ἤγουν ἐξαίρετον ἔδωκαν. 867, 4.

ἐξελώπισεν, ἐξέδυσεν, ἀπὸ τοῦ ἐκλωπίζω θέματος, ὃ δηλοῖ τὸ γυμνοῦν. 1739, 57.

ἐξεμεῖν ὅτι καθ' αὑτὸ ἀτελῶς λέγεται, μετὰ δὲ πτωτικῆς συναρτήσεως ἐντελῶς, οἷον ἐν τῷ, ὄφρ' ἐξεμέσειεν ὀπίσσω ἱστὸν καὶ τρόπιν αὖτις, Ὀδ. μ', 437. 1729, 55.

ἐξέμεν ἀντὶ τοῦ ἐξεῖναι, ὅ ἐστιν ἐκπέμψαι, ἀπὸ τοῦ ἐξίημι, ὁ δεύτερος ἀόριστος ἐξῆν, τὸ ἀπαρέμφατον ἐξεῖναι καὶ ἐξέμεναι Δωρικῶς, καὶ ἀπελεύσει τοῦ ι ἐξέμεναι, καὶ ἀποκοπῇ ἐξέμεν. 836, 30. 34.

ἐξέμεναι, ἤγουν ἐκπέμψαι. 1698, 13. ζήτει τὸ ἐξέμεν. 836, 30.

ἐξενεῖκαι ἀντὶ τοῦ ἐξενεγκεῖν, νεκρὸν δηλονότι. 1183, 42.

ἐξέντο, τρίτον πρόσωπον ῥηματικὸν ἐκ τοῦ ἕω τὸ πληρῶ ἐν τῷ, ἐξ ἔρον ἕντο. 871, 5. 8.

ἐξεπίακε ἀντὶ τοῦ ἐκπεπίακε, κατ' ἀποβολὴν τοῦ συμφώνου τῆς αὐξήσεως. 759, 42.

ἐξερέειν, ἐρωτᾶν ἢ ἐρευνᾶν ἐν τῷ, κνημοὺς ἐξερέησιν, Ὀδ. δ', 337. 1498, 43.

ἐξερέειν τὸ ἐρωτῆσαι καὶ τὸ ἀποκριθῆναι παρ' Ὁμήρῳ. 1859, 57.

ἐξερέησιν, ἐρωτᾷ ἢ ἐξερευνᾷ ἐν τῷ, κνημοὺς ἐξερέησιν, Ὀδ. δ', 337. 1498, 43.

ἐξεῤῥοίβδηται οἶνον κρατὴρ, ὅ ἐστιν ἐξηντλήθη, παρά τινι κωμικῷ. 1719, 43.

ἐξεσία ἡ ἔκπεμψις, παρὰ τὸ ἐξίημι ἐξήσω γίνεται ἔξεσις, ὅθεν ἐξεσία· καὶ δηλοῖ τὴν δημοσίαν πρεσβείαν παρ' Ὁμήρῳ. 731, 18. 836, 29. 1347, 26. 1667, 33. 1899, 64.

ἔξεσις παρ' Ἡροδότῳ 5, 40. ἡ ἀπόπεμψις, παρὰ τὸ ἐξίημι ἐξήσω, καὶ ἔξεσις γυναικὸς τὸ διαζύγιον. 1667, 32. 1900, 1.

ἐξέσσυτο, ἐξεπήδησεν, ᾤχετο. 1726, 31.

ἐξέτεα, αἰτιατικῆς πτώσεως, ἢ ἑξετέα παροξυτόνως. 1299, 40.

ἐξέτι πατρῶν, Ὀδ. θ', 245. ἤγουν ἐκ προγόνων ἀνέκαθεν. 1594, 3.

ἐξέφθιτο ἀντὶ τοῦ δεδαπάνητο. 1620, 57.

ἐξέχειν ἐν ἴσῳ τῷ ἀνατέλλειν ἐν τῷ, ἔξεχ' ὦ φίλ' ἥλιε, ὃ ὑπὸ τῶν παίδων ἐλέγετο. 881, 42.

ἐξήλατος ἀσπὶς ἡ ἐξ ἐλάσματα μετάλλου ἔχουσα, ἢ καὶ δασύνεται ἡ λέξις· ἢ ἡ ἔξωθεν ἔλασμα ἔχουσα μετάλλου, καὶ οὕτω ψιλοῦται. 905, 60.

ἐξημοιβὰ ἱμάτια τὰ ἄλλοτε ἄλλα ἀμειβόμενα. 1594, 32.

ἐξηρώησαν, ἤγουν ἐκτὸς ὥρμησαν, ἀπὸ τοῦ ἐρωέω ἐρωῶ. 1309, 32.

ἐξήρανται τρίτου προσώπου ἑνικοῦ, ὡς τὸ πέφανται ἐν τῷ, τέλος δ' οὔπω τι πέφανται, Ἰλ. β', 122. καὶ κατέξανται ἐν τῷ, κατέξανται δέμας, παρ' Εὐριπίδῃ. 189, 23.

ἐξήρατο ἀντὶ τοῦ ἐξαίρετα ἔλαβεν ἢ ἐξ Ἄρεος, ὅ ἐστι πολέμου, ἔσχε. 1521, 49.

ἐξιδίειν, εὐφήμως τὸ ἐκ δειλίας ἀποπατεῖν. 950, 55.

ἐξιθύνειν τὸ λίαν ἐξορθοῦν, ὅτι ἡ ἐξ πρόθεσις ἐπίτασιν σημαίνει. 1022, 59.

ἐξικέσθαι εἴς τινα, ἀντὶ τοῦ φυγεῖν πρός τινα καὶ ἱκετεῦσαι. 765, 29.

ἐξίλλειν, ὅθεν ἡ ἐξούλης δίκη, ὅτι ἐκ τοῦ ἴλλειν σύγκειται. 1834, 53.

ἐξίμεναι ἀντὶ τοῦ ἐξιέναι, Ὀδ. λ', 531. 1696, 18.

ἐξιονθίζειν τὸ ἐκριζοῦν αἴρειν τὰς τρίχας, ἴονθοι γὰρ αἱ πρῶται φυόμεναι τρίχες. 1750, 1.

ἐξισώσασθαι ἀντὶ τοῦ ἐρίσαι ἐν τῷ, τοῖσίν κεν ἐν ἄλγεσιν ἐξισωσαίμην, Ὀδ. ή, 212. 1577, 54.

ἐξίτης ὁ τὰ ἓξ δυνάμενος βόλος ἐν τῇ δι' ἀστραγάλων παιδιᾷ. 1289, 62. 1397, 40.

ἐξογκοῦσθαι ὅτι παρὰ τὸν ὄγκον, ὃ δηλοῖ ἄρσιν καὶ διαπέτειαν σώματος, λέγεται. 1899, 15. καὶ ὅτι ἡ ἐξ πρόθεσις ὕψωμα ὑπαγορεύει. 532, 8.

ἐξοῖ ἀντὶ τοῦ ἔξω κατὰ γλῶσσαν Συρακουσίων. 140, 15.

ἐξοινία ἡ ὑπὲρ τὸ καθῆκον οἰνοποσία. 1910, 52.

ἔξοινος ὁ λίαν οἰνωθεὶς καὶ ὁ ἔξω μέθης γεγονὼς ὁμωνύμως διὰ τὴν διάφορον δύναμιν τῆς ἐκ προθέσεως. 1398, 7. 1598, 55.

ἐξοιχνεῦσιν ἀντὶ τοῦ ἐξίασιν, Ἰλ. ί, 384. 758, 6.

ἐξομόθεν πεφυῶτας, Ὀδ. έ, 477. ὅτι ἢ πλεονάζει ἡ πρόθεσις, ἢ τῷ πεφυῶτας προσνέμεται, ἵν' ᾖ ἐκπεφυῶτας. 1547, 4.

ἐξονομάζειν τὸ ἐξ ὀνόματος καλεῖν καὶ τὸ ἁπλῶς προσφωνεῖν καὶ προσφθέγγεσθαί τινα, πολλαχοῦ παρ' Ὁμήρῳ· καὶ τὸ πλατυκώτερον ὁμιλεῖν εἴτουν διεξοδικῶς πολλοῖς ὀνόμασιν ἤτοι λέξεσι λαλεῖν. 118, 11 — 19. 980, 8. 1658, 63. 1750, 57.

ἐξονομαίνειν τὸ ὀνομαστὶ καλεῖν, παρ' Ὁμήρῳ. 118, 19. ζήτει τὸ ἐξονομάζειν.

ἐξονομακλήδην ὀνομάζειν, παρ' Ὁμήρῳ τὸ ἐκ τῶν κυρίων ὀνομάτων καλεῖν. 1277, 18.

ἐξοπίσω ἀναχάζεσθαι, ἀντὶ τοῦ ἀναχωρεῖν παρ' Ὁμήρῳ. 856, 56.

ἐξορμενίζειν τὸ ἐκκαυλεῖν, παρὰ τὸ ὄρμενον, ὅ ἐστι κράμβης καυλός. 899, 16. 1220, 58.

ἔξορμος ὁ ἔξω τοῦ ὅρμου γεγονὼς ἐν τῷ ἀναπλέειν. 130, 16.

ἐξοστρακίζειν παρ' Ἀθηναίοις τὸ ἐξορίζειν. 1161, 33.

ἐξουθενῶ ὅτι ἐκ τοῦ ἐξουδενῶ λέγεται τροπῇ τοῦ δ εἰς θ. 68, 41. 117, 17.

ἐξούλης δίκη λέγεται παρ' Ἀθηναίοις ἡ ἐφ' οἷς ἐξεκλείετό τις ὧν ἐνέμετο γινομένη. 945, 3. 1533, 63. ἀλλαχοῦ δὲ ὅτι ἐξούλης δίκη ἡ τῆς ἐξείρξεως παρὰ τὸ ἐξίλλειν. 1769, 33.

ἔξοχος πάντων, καὶ μέγ' ἔξοχος πάντων, ὅτι γενικῇ συντάσσεται τὸ ἔξοχος διὰ τὴν σημαινομένην ὑπεροχήν. 258, 39.

ἐξυπανίστασθαι τὸ κάτωθεν εἰς εὐθὺ ὑψοῦσθαι ἐν τῷ, σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη, Ἰλ. β', 267. 217, 16.

ἔξω ἐπίρρημα ὅτι ἐκ τῆς ἐξ προθέσεως γέγονε. 166, 30. καὶ ὅτι γενικῇ ἀεὶ συντάσσεται, ὡς καὶ ἡ ἐξ πρόθεσις· ζήτει ἐν τῷ, ἐξ πρόθεσις. 51, 40.

ἐξωθεῖν δόρυ ἐκ τοῦ μηροῦ τινὸς, Ἰλ. έ, 694. ἐν ἴσῳ τῷ ἐξάγειν. 595, 2.

ἐξώκαρπος πάλη ὅτι παρὰ τὸν καρπὸν λέγεται, ὅ ἐστι τὸ μεταξὺ τοῦ βραχίονος καὶ τοῦ θέναρος ἄρθρον. 1572, 39.

ἐξωμὶς, χιτὼν ἅμα καὶ ἱμάτιον τὸ αὐτό. 1166, 54.

ἐξωμοσία ἐλέγετο Ἀθήνησιν ὁ ὅρκος, ὃν ὤμνυέ τις προϊσχόμενος ἀδύνατός εἶναι ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῆς πόλεως. 1160, 51.

ἐξώστης ἄνεμος ὅτι παρὰ τὸ ὠθῶ ὤσω λέγεται. 1616, 8.

εο, ὅτι τὸ ε καὶ ο εἰς τὴν ευ δίφθογγον συναιροῦνται, οἷον θάμβευς ἀντὶ τοῦ θάμβεος. 1965, 30.

ἕο ἀντὶ τοῦ ἑαυτῆς ἐν τῷ, ἥτ' ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ, περὶ τῆς τοῦ ἀνθρώπου γαστρὸς λεγόμενον, Ὀδ. ή, 217. 1577, 57.

εοι συνιζάνοντα εἰς μίαν μακρὰν συλλαβὴν ἐν τῷ, ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες, Ἰλ. ά, 18. 27, 25.

ἔοι ἀντὶ τοῦ ὑπάρχοι, εὐκτικὸν τοῦ ἔον δευτέρου ἀορίστου, οὗ καὶ ἡ ἐὼν μετοχή. 887, 14. 990, 32. 1826, 23.

ἔοιγμεν παρὰ Σοφοκλεῖ (Aj. 1239.) ἀντὶ τοῦ ἐοίκαμεν, συγκοπῇ καὶ τροπῇ τοῦ κ εἰς γ. 885, 9. 1695, 27.

ἔοικα, ἀπὸ τοῦ εἴκω εἶκα διαλύσει καὶ ἐπενθέσει τοῦ ο ἔοικα. 759, 6. 1600, 23.

ἔοικε ἐν ἴσῳ τῷ πρέπει ἐν τῷ, τὰ μὲν οὔτι καταθνητοῖσιν ἔοικεν ἄνδρεσσι φορέειν, Ἰλ. κ', 440. 817, 9.

ἐοίκεσαν Ἰωνικῶς, ἐῴκεσαν δὲ Ἀττικῶς. 922, 48.

ἐοικότα ἀντὶ τοῦ καθήκοντα ἐν τῷ, ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι, Ὀδ. γ', 125. 1460, 2.

ἐοικὼς καὶ ἐοικυῖα ὅτι ἐκ τῶν κοινῶς λεγομένων οἰκὼς καὶ οἰκυῖα μετοχῶν τοῦ οἶκα μέσου παρακειμένου κατὰ πρόσθηκην τοῦ ε γεγόνασιν Ἀττικῶς, εἰκυῖα δὲ παρ' Ὁμήρῳ τῇ διὰ τοῦ ει διφθόγγου κατ' ἀρχὰς γράφεται. 714, 55. 759, 2. 5. 1714, 16.

εοισι λήγουσαι δοτικαὶ πληθυντικῶν, ἐκ τῶν διὰ τοῦ οισι γενόμεναι ἐπενθέσει τοῦ ε, οἷον τουτέοισιν ἀντὶ τοῦ τούτοισιν, ἐκ παραδείγματος. 1036, 34.

ἔολπα, μέσος παρακείμενος ἀπὸ τοῦ ἔλπω ἔλψω ὄλπα καὶ Ἀττικῶς ἔολπα, ἢ ἀπὸ τοῦ ἐέλπω τρισυλλάβου. 219, 23. 757, 33. 1472, 54. 1473, 7.

ἐόλπειν, ὑπερσυντέλικος τοῦ ἔολπα παρακειμένου, ὅτι ἠόλπειν ὤφειλε λέγεσθαι, ἐόλπειν δὲ ποιεῖ κατὰ χρόνου μετάθεσιν. 1187, 28.

ἔον, δεύτερος ἀόριστος ἀντὶ τοῦ ὑπῆρχον, ὅτι ἐκ τοῦ ἦον συνεστάλη Ἰωνικῶς, ἢ ἀπὸ τῆς ἐὼν μετοχῆς ἔον, ὡς ἀπὸ τοῦ φαγόντος ἔφαγον καὶ δραμόντος ἔδραμον. 883, 17. 1321, 50. 1759, 1. 26.

ἔοργα μέσος παρακείμενος, ἡ μετοχὴ ὁ ἐοργὼς, ἀπὸ τοῦ ἔργω θέματος ὄργα καὶ Ἀττικῶς ἔοργα, ὡς ἀπὸ τοῦ ἔλπω τὸ ἔολπα· ἢ ἀπὸ τοῦ ῥέζω ἔροργα καὶ μεταθέσει ἔοργα, ἢ ἀπὸ τοῦ ἐέργω τρισυλλάβου. 219, 22. 441, 40. 753, 32. 1068, 38. 1434, 48. 1472, 64. 1765, 27. καὶ ὅτι ἠόργειν ὤφειλε ποιεῖν τὸν ὑπερσυντέλικον. 1187, 28.

ἔοργας, ἤγουν ἔργοις ἐλύπησας ἐν τῷ, ἀποτισέμεν ὅσσα μ' ἔοργας, Ἰλ. φ', 399. 1243, 4.

ἐόργη ἡ τορύνη; καὶ ἐοργίζεσθαι τὸ τορυνᾶσθαι, ὅτι παρὰ τὸ ὀργάζειν δοκεῖ λέγεσθαι, ὃ δηλοῖ τὸ κυκᾶν καὶ ἀναταράττειν. 219, 26.

ἐοργίζεσθαι, τορυνᾶσθαι· ζήτει ἐν τῷ ἐόργη. 219, 29.

ἑορτάζω, ὁ παρατατικὸς ἡόρταζον καὶ κατὰ χρόνου μετάθεσιν ἑόρταζον. 1657, 35.

ἑορτὴ λέγεται παρὰ τὸ δι' αὐτῆς ἐὰ, ὅ ἐστιν ἀγαθὰ, ὄρνυσθαι τοῖς ἀνθρώποις. 1657, 36.

ἑορτὴ ὅτι Ἰωνικῶς μὲν ὀρτὴ δισυλλάβως λέγεται, Αἰολικῶς δὲ ἔροτις προπαροξυτόνως, ζήτει ἐν τῷ ἔροτις. 381, 6. 1908, 56.

ἑορτῶν, μήν τις Ἀττικὸς οὕτω καλούμενος κατὰ περιεκτικὸν τύπον. 1698, 35.

εος λήγοντα ὀξύτονα ἀπὸ ὁμοτόνων εἰς ος μὴ καθαρὸν ληγόντων πλεονασμῷ τοῦ ε παρηγμένα, οἷον δαφοινὸς δαφοινεὸς, ἀδελφὸς ἀδελφεὸς, κενὸς κενεὸς, ἠλὸς ἠλεός. 223, 44. 247, 32. 1160, 52. 1443, 62. 1769, 62.

εος ληγόντων προσῳδία, ὅτι τὰ εἰς ος καθαρὸν λήγοντα, τῷ ε παραλήγοντα, ὀξύνονται, οἷον φωλεύω φωλεὸς, κηδεύω κηδεός. 1293, 45.

εος λήγοντα ὀνόματα ἐκ τοῦ διὰ τοῦ ειος γενόμενα κατὰ ἀποβολὴν τοῦ ι τῆς διφθόγγου, οἷον χρύσεος ἐκ τοῦ χρύσειος καὶ τέλεος ἐκ τοῦ τέλειος. 28, 31. 640, 3.

ἐπαγαγεῖν ἀντὶ τοῦ πεῖσαι ἐν τῷ, οἷόν σ' οὐδ' ὀμόσας περ ἐπήγαγον, Ὀδ. ξ', 392. ὅπερ οἱ μεθ' Ὅμηρον ἐπάγεσθαι κατὰ φωνὴν παθητικὴν λέγουσι. 1765, 6. 11.

ἐπάγειν καὶ ἐπάγεσθαι τὸ πολεμικῶς ἐπιέναι, ὅθεν ἐπακτῆρες οἱ κυνηγοί. 1098, 60.

ἐπάγεσθαι τὸ ἐφέλκεσθαι καὶ πείθειν, ὃ παρ' Ὁμήρῳ ἐπαγαγεῖν κατὰ φωνὴν ἐνεργητικὴν λέγεται ἐν τῷ, οἷόν σ' οὐδ' ὀμόσας περ ἐπήγαγον, Ὀδυσσ. ξ', 392. 1765, 10.

ἐπαγωγὴ ἐστὶ πίστωσις τοῦ καθόλου ἐκ τῶν κατὰ μέρος. 1302, 50.

ἐπαγωγὸν τὸ ἐφελκτικὸν καὶ ἡδύ. 1765, 9.

ἐπαιγίζειν λέγεται ὁ ἄνεμος ἀντὶ τοῦ ἐφορμᾶν καὶ ἄνωθεν ἐπιπνέειν, ὅτι παρὰ τὸ ἀΐσσειν λέγεται, ὅθεν αἱ αἰγίδες καὶ καταιγίδες. 193, 37.

ἐπάϊκλα, τραγήματά τινα, ὅτι ἐκ τοῦ ἄϊκλον σύγκειται, καὶ ζήτει ἐν τῷ ἄϊκλον. 1714, 64.

ἐπαίκλια, τὰ καὶ ἐπαίκνια καὶ ἐπιφορήματα καὶ ἐπιτραπεζώματα, ἤγουν τὰ μετὰ τὰς μοίρας παρατιθέμενα, εἴτουν τὰ μετὰ τὸ δεῖπνον βρώματα. 1141, 10.

ἐπαινεῖν ἀντὶ τοῦ συναινεῖν καὶ συγκατατίθεσθαι πολλαχοῦ παρ' Ὁμήρῳ καὶ ἑτέροις. 485, 23. 1237, 30.

Ἐπαίνετος κύριον προπαροξυτόνως πρὸς διαστολὴν τοῦ ἐπαινετὸς ἐπιθέτου. 313, 23.

ἐπαινὴ Περσεφόνη, οἱονεὶ αἰανὴ, ἤγουν ἐν σκότει διάγουσα· ἢ ἡ αἰνὴ, ὅ ἐστι δεινὴ, πλεονασμῷ τῆς ἐπὶ προθέσεως. 763, 47. 64. 1665, 7.

ἐπαΐσσειν δοτικῇ, παρ' Ὁμήρῳ δὲ αἰτιατικῇ ἐν τῷ, ᾗ καὶ ἐπαΐξας Ἐριούνιος ἅρμα καὶ ἵππους, Ἰλ. ω', 440. ἀντὶ τοῦ ἀΐξας ἐπὶ ἅρμα καὶ ἵππους. 1357, 54.

ἐπαιτῆσαι τὸ ἐπί τινι αἰτήματι καὶ ἄλλο αἰτῆσαι ἐν τῷ, εἰ καί νύ κεν οἴκοθεν ἄλλο μεῖζον ἐπαιτήσειας, Ἰλ. ψ', 593. 1317, 60.

ἐπάκριος Ζεὺς, ᾧ ἐπ' ἄκρων τῶν ὀρέων ἵδρυντο βωμοί. 1747, 59.

ἐπακτῆρες λέγονται οἱ θηρευταὶ ὡς ἀεί τι ἐπαγόμενοι, οἷον κύνας ἢ ὅπλα, ἢ ὡς ἐπαγόμενοι τοῖς θηρίοις ἤγουν ἐπιόντες. 1098, 59. 1871, 56.

ἐπακτρεῖς οἱ κυνηγοὶ, ἐπακτρίδες δὲ αἱ ἁλιάδες. 1539, 25. 1871, 61.

ἐπακτρίδες αἱ ἁλιάδες, ἐπακτρεῖς δὲ οἱ κυνηγοί. 1539, 25. 1871, 61.

ἐπακτροκέλης, εἶδος πλοίου ληστρικοῦ μεταξὺ ἐπακτρίδος καὶ κέλητος, ἃ καὶ αὐτὰ εἴδη πλοιαρίων εἰσί. 1038, 3. 1539, 25.

ἐπαλαστεῖν ἐν ἴσῳ τῷ ἀλαστεῖν, ὅ ἐστι δεινοπαθεῖν, ὡς ἐπὶ ἀλάστοις ἤγουν ἀλαθήτοις κακοῖς. 1415, 14.

ἐπαλλάττειν πέρατα σχοινίου, ἀντὶ τοῦ συνάγειν καὶ συνδεῖν καὶ συνάπτειν, ἐτυμολογία. 937, 23. 27.

ἐπαλληλία ὁμοειδῶν γραμμάτων ὅτι ἐκκλίνεται κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων, ἑρμηνεία διεξοδικὴ μετὰ παραδειγμάτων. 878, 35.

ἐπάλξεις, προμαχῶνες, παρὰ τὸ ἄλκω ἄλξω, ὃ δηλοῖ τὸ βοηθῶ. 963, 35. 1254, 5.

ἐπαμᾶσθαι κόνιν ἢ τέφραν, ἀντὶ τοῦ συλλέγειν ἐκ μεταφορᾶς τῶν ἀμώντων. 1547, 29.

ἐπὰν ὅτι ἐκ τοῦ ἐπεὶ ἂν, ὅ ἐστιν ἐπειδὰν, γέγονε κατὰ πάθος. 652, 7.

ἐπαναιρεῖσθαι ἀντὶ τοῦ ἐπαναλαμβάνεσθαι, ὅ ἐστι συλλαμβάνεσθαι παρ' Ἡροδότῳ. 908, 4.

ἐπανάληψις, ὅτι διὰ τῆς ἐπαναλήψεως ἀναπληροῦνται τὰ τῶν διηγήσεων ἐλλείμματα. 1615, 49.

ἐπανάληψις εἴτουν ἐπαναφορὰ, ὅτι τὰ διὰ τῆς αὐτῆς λέξεως ἐπαναλαμβανόμενα κατὰ ταὐτότητα πτώσεως εἴωθε γίνεσθαι. 101, 34. 631, 28. 1385, 25. 36.

ἐπανάληψις, σχῆμα ὃ καὶ ἐπαναστροφὴ λέγεται, οἷον τὸ, τοῦ δ' ἐγὼ ἀντίος εἶμι καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ, Ἰλ. υ', 371. sq. 1211, 41. 1262, 3.

ἐπανάστασις, ζήτει ἐν τῷ ἐπανίστασθαι. 146, 11.

ἐπαναστῆναι παρ' Ὁμήρῳ τὸ τῆς καθέδρας ἀναστῆναι, καὶ ἁπλῶς ἀναστῆναι, οἷον ἐν τῷ, οἱ δ' ἐπανέστησαν, Ἰλ. β', 85. παρὰ δὲ τοῖς ὕστερον ἐπαναστῆναι τινὲς κατά τινος στασιαστικῶς λέγονται. 176, 13. 1007, 12.

ἐπαναστροφῆς, εἴτουν παρηχήσεως, σχήματος παράδειγμα τὸ, Σαμία μία ναῦς, παρ' Ἡροδότῳ· καὶ τὸ, καὶ ἀμφοτέρους ἱέρευσεν, εἷσέ τε, Ὀδ. ξ', 74. 1751, 38. καὶ ἄλλα πολλὰ παραδείγματα. 124, 10. 155, 5. 332, 30. 337, 41. 574, 2. 630, 16. 1211, 41. 1262, 3.

ἐπαναφορὰ σχῆμα λέγεται ἐκ

τοῦ τὰ κῶλα ἐπαναφέρεσθαι καὶ ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχεσθαι. 601, 22. ἀλλαχοῦ δὲ ὅτι ἐπαναφορά ἐστιν ἐπανακίκλησις τῆς αὐτῆς λέξεως. 1638, 60. καὶ παραδειγμάτων τοῦ σχήματος ἔκθεσις. 67, 34. 129, 30. 131, 19. 181, 42. 242, 46. 263, 44. 317, 33. 332, 32. 595, 42. 1619, 61.

ἐπανερωτᾶν τὸ ἐκ δευτέρου ἐρωτᾶν. 80, 10.

ἐπανίστασθαι πάλαι μὲν τὸ ἐπὶ τιμῇ ἀνίστασθαι, ὕστερον δὲ τὸ συνομνύειν στασιαστικῶς ἐν ἴσῳ τῷ κατεξανίστασθαι, ὅθεν καὶ ἐν τῷ ἐπανάστασις ἡ ἐπὶ ὀντὶ τῆς κατὰ λαμβάνεται. 146, 11.

ἐπανίστασθαι ἀλλήλοις, ἀντὶ τοῦ ἀσέμνως συμπλέκεσθαι ὁμωνύμως. 1428, 37.

ἐπαοιδὴ ταὐτὸ ὅπερ ἐπῳδή. 1872, 42.

ἐπαρὰ ἀντὶ τοῦ κατάρα, ἥτις ἐστὶν ἀρὰ κατά τινος· καὶ ἐπάρατος ἀντὶ τοῦ κατάρατος. 763, 46. 1856, 13.

ἐπάργεμον, πάθος τι ὀφθαλμοῦ, τὸ καὶ λεύκωμα. 427, 38.

ἐπάρξασθαι τὸ ἐκ δευτέρου ἄρξασθαι ἐν τῷ, ἐπάρξασθαι δεπάεσσιν, πολλαχοῦ παρ' Ὁμήρῳ. 1908, 61.

ἐπάρουρος ὁ γῆν ἐργαζόμενος καὶ ἁπλῶς ἐπίγειος, πάρουρος δὲ ὁ εἰς φυλακήν τινα τεταγμένος μισθωτικῶς. 1695, 36.

ἐπαρτὴς ἀντὶ τοῦ ἕτοιμος ἐν τῷ, ἐπαρτέες εἰσὶν ἑταῖροι, Ὀδ. θ', 151. 1589, 54.

ἐπαρτύειν πῶμα ἀγγείου τινὸς, τὸ συναρμόττειν. 1604, 25.

ἐπασσύτερον, ἐγγύτερον καὶ πυκνότερον, παρὰ τὸ ἄσσον, ὅ ἐστιν ἐγγὺς, τροπῇ Αἰολικῇ τοῦ ο εἰς υ. 491, 46.

ἔπαυλα οὐδετέρως παρὰ Σοφοκλεῖ κατὰ γένους μεταπλασμόν. 726, 27.

ἐπαυλία ἡμέρα, καθ' ἣν ἡ νύμφη τῇ τοῦ νυμφίου οἰκίᾳ αὐλίζεται, καὶ ἐπαύλια δῶρα τὰ μετὰ τὴν ἡμέραν ἐκείνην παρὰ τοῦ τῆς νύμφης πατρὸς διδόμενα, ἑρμηνεία διεξοδική. 1337, 43.

ἔπαυλις, ὅτι ἐκ τοῦ αὖλις βαρυνομένου πρὸς διάφορον σημασίαν σύγκειται ἡ λέξις. 265, 14.

ἔπαυλος ταὐτὸ ὅπερ σταθμὸς καὶ αὐλὴ καὶ ἔπαυλις, Ὀδ. ψ', 358. 1950, 2.

ἐπαυρεῖν τὸ ἀπολαῦσαι καὶ γεύσασθαι καὶ ἁπλῶς ἅψασθαι. 852, 28. 952, 33. καὶ ἐπαυρεῖν λίθον, ἀντὶ τοῦ προσκροῦσαι λίθῳ ἐν τῷ, λίθου δ' ἀλέασθαι ἐπαυρεῖν, Ἰλ. ψ', 340. 1304, 43.

ἐπαυρήσεσθαι, ἤγουν ἐπαπολαῦσαι. 646, 36.

ἐπαύρωνται βασιλῆος, ἀντὶ τοῦ ἐπαπολαύσωσι καὶ ἐπιχαρῶσιν, Ἰλ. α', 410. 126, 37.

Ἐπαφρόδιτος, κύριον καὶ ἐπίθετον, καὶ ἐπαφρόδιτον καὶ ἐπαφροδισία ὅτι παρὰ τὴν Ἀφροδίτην λέγονται. 1598, 5.

ἐπεγρόμενος, ἤγουν ὕστερον ἐγερθείς, Ἰλ. ξ', 256. 983, 51.

ἐπεγχύτης ὁ οἰνοχόος παρὰ Ἑλλησποντίοις. 1402, 40.

ἐπεζάρει, ἐπιβάρει, κατὰ ξένην τινὰ γλῶσσαν, καὶ ἐπεζάρησαν ἀντὶ τοῦ ἐπεβάρησαν ὁμοίως. 381, 20. 909, 27.

ἐπεζάρησαν ἀντὶ τοῦ ἐπέβρισαν, καὶ ἐπεζάρει ἀντὶ τοῦ ἐπεβάρει κατὰ ξένην τινὰ γλῶσσαν. 909, 27.

ἐπεὶ σύνδεσμος ἀρκτικὸς λόγου δυσαπόδοτος ἐνίοτε παρ' Ὁμήρῳ, καὶ δοκῶν παρέλκειν, οἷον ἐν τῷ, νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν, καὶ τὰ ἑξῆς, Ἰλ. σ', 101. 1133, 30. 1491, 55.

ἐπεὶ σύνδεσμος αἰτιολογικὸς καὶ ἐπίῤῥημα χρονικὸν ὁμωνύμως. 1382, 43.

ἐπεὶ ἂν, ἶσον τῷ ἐπειδὰν, οἷον ἐν τῷ, ἐπεὶ ἂν σύγε πότμον ἐπίσπῃς, Ἰλ. ζ', 412. καὶ, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθῃ, Ἰλιάδ. ι', 304. 652, 7. 750, 59.

ἐπεί κεν, ἀντὶ τοῦ ἐπειδὰν πολλαχοῦ παρ' Ὁμήρῳ. 661, 32.

ἐπεὶ οὖν, ἶσον τῷ ἐπειδὴ παρ' Ὁμήρῳ. 468, 38. 915, 63. 1066, 36.

ἐπείγειν τὸ οἴγειν, ὅ ἐστιν ἀνοίγειν, τὴν ἐπί τι ἔργον ὁδὸν, καὶ ὅτι ἐκ τῆς τοῦ οἴγειν συστοιχίας ἔχει τὴν διὰ τοῦ ει γραφήν. 838, 10.

ἐπείγειν τὸ ἐπισπεύδειν καὶ ἐρεθίζειν καὶ τὸ πολεμικῶς διώκειν. 812, 4. καὶ ἐπείγειν τινὰ λέγεται τὸ γῆρας ὑπακουομένου τοῦ εἰς Ἅιδην ἢ πρὸς θάνατον. 1320, 27.

ἐπείγεσθαι λέγεται γάλα κυκώμενον εἰς τυροποιίαν, Ἰλ. ε', 902. 619, 36. 620, 2.

ἐπείγεσθαι χερσὶν ἐρετῶν λέγεται ναῦς σφοδρῶς ἐλαυνομένη, Ὀδ. ν', 115. 1736, 8.

Ἐπειγεὺς κύριον ὅτι παρὰ τὸ ἐπείγειν λέγεται, καὶ σημαίνει σπουδαῖον ἄνθρωπον. 1076, 23.

ἐπειγόμενος Ἄρεος, καὶ ἐπειγόμενος ὁδοῦ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἔπειξιν ἔχων τοῦ πολεμεῖν καὶ τοῦ ὁδεύειν. 1176, 25. 1419, 6.

ἐπειγόμενος ὁδοῦ, ἐλλειπτικῶς τῆς ἐπὶ προθέσεως, ἵν' ᾖ ἐπὶ ὁδοῦ. 1088, 31. 1419, 6. ζήτει ἐν τῷ, ἐπειγόμενος Ἄρεως.

ἐπειδὰν ὅτι συνθετώτερόν ἐστι τοῦ ἐπεὶ ἂν, οὗ χρῆσις παρ' Ὁμήρῳ. 652, 7.

ἐπειὴ ἀντὶ τοῦ ἐπειδὴ, ὅτι ἐκ τοῦ ἐπεὶ καὶ τοῦ ἢ μορίου σύγκειται, ὃ κατὰ μέν τινας περισπᾶται. 45, 5. 73, 18. ἀλλαχοῦ δὲ ὅτι τὸ ἢ μόριον ἀντὶ τοῦ δὴ ὑποτασσόμενον τῷ ἐπεὶ ἐγκλίνεται, ὡς ἐν τῷ τίη. 1678, 39.

ἔπειμι ἀγρὸν, Ὀδ. ψ', 359. ἀντὶ τοῦ ἐπὶ τὸν ἀγρὸν εἶμι· ἐπιέναι δέ τινι τὸ πολεμικῶς ἐπέρχεσθαι παρὰ τοῖς μεθ' Ὅμηρον. 1950, 26.

ἕπειν τὸ ἐνεργεῖν, ἐν ἴσῳ τῷ ἀμφέπειν καὶ περιέπειν ἐνίοτε, ἕπεσθαι δὲ τὸ ἀκολουθεῖν. 644, 59. 1031, 4. καὶ ἕπειν ἀντὶ τοῦ κακοῦν καὶ περιελαύνειν ἐν τῷ, Τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι, Ἰλ. λ', 483. 859, 4.

Ἐπειοὶ παρ' Ὁμήρῳ οἱ Ἠλεῖοι ἑτερωνύμως. 303, 22. καὶ ὅτι Ἐπειοὶ ἐκαλοῦντο καὶ οἱ τὰς Ἐχινάδας νήσους οἰκοῦντες. 305, 37.

Ἐπειὸς κύριον ὁμωνύμως τῷ ἐθνικῷ. 325, 44. καὶ ὅτι Ἐπειὸς ὁ τοῦ δουρείου ἵππου ἀρχιτέκτων δειλὸς μὲν ἦν, ἄριστος δὲ πυγμάχος, καὶ ὅτι ὑδροφόρος ἦν τῶν Ἀτρειδῶν κατά τινας, ἱστορία. 1323, 56. 60. 1606, 60.

ἐπειράσθην ἀόριστος ὅτι ἐκ τοῦ

πειράζω θέματος κεκίνηται. 1599, 5.

ἔπεισιν ἀντὶ μέλλοντος τοῦ ἐπελεύσεται ἐν τῷ, πρίν μιν καὶ γῆρας ἔπεισιν, Ἰλ. α', 29. 30, 12. 1502, 42.

ἔπειτα ἀντὶ τοῦ ὕστερον, οἷον ἐν τῷ, τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον, Ἰλ. ψ', 551. 1315, 44. καὶ ὅτι τὸ ἔπειτα χρονικὸν ἀργῶς πρόσκειται πολλαχοῦ παρ' Ὁμήρῳ. 796, 48. 801, 30. 947, 64. 1158, 37.

ἔπειτα δὲ καί τι πάθοιμι, Ἰλ. φ', 274. ὅτι λείπεται ἡ φράσις ἑτέρου εὐκτικοῦ προηγουμένου. 1236, 34.

ἔπειτεν καὶ εἶτεν Ἰωνικῶς ἀντὶ τοῦ ἔπειτα καὶ εἶτα. 1158, 39.

ἐπέκτασις λέγεται κατὰ Ζηνόδοτον καὶ τὸ ἀντὶ τοῦ ἴση εἰπεῖν ἐΐση. 1401, 47.

ἐπέκτασις ἡ μέν τις διὰ τοῦ δὲ, οἷον ἐν τῷ τοιός δὲ, ἡ δὲ διὰ τοῦ ἰ, οἷον ἐν τῷ νυνὶ, ἡ δὲ διὰ τοῦ ἢ, οἷον ἐν τῷ τιή. 44, 43. 45, 8. ἡ δὲ διὰ τοῦ ῶ, οἷον εἰς εἴσω, ἡ δὲ διὰ τοῦ θᾶ, οἷον οἶδας οἴδασθα καὶ οἶσθα. 51, 34.

ἐπέκτασις ὅτι οὐκ ἀλλοιοῖ τὸν τόνον, οἷον ἐν τῷ ναὶ ναίχι, εἰ εἶα. 107, 25. ὁμοίως ὅτι ἐν τῷ τοῖςδεσσιν οὐκ ἀλλοιοῖ ἡ ἐπέκτασις τὴν τόνωσιν τοῦ ἄρθρου τῆς δοτικῆς, ζήτει ἐν τῷ τοῖςδεσσι. 1902, 56.

ἐπελάσαι ὅρκον, ἀντὶ τοῦ ἐπαγαγεῖν παρ' Ἡροδότῳ. 70, 42.

ἐπελήκεον ἀντὶ τοῦ ἐπεκρότουν τοῖς λιχανοῖς δακτύλοις, περὶ ὀρχηστῶν λεγόμενον, Ὀδ. θ', 379. ὅτι συστοιχεῖ τῷ λακεῖν, ὅ μίμημά ἐστιν ἤχου ποιοῦ. 1602, 10.

ἐπελήλατο χαλκὸς ταῖς ἀσπίσιν, ἤγουν περὶ τὴν ἐπιφάνειαν ἐλατὸς ἔκειτο. 1115, 64.

ἐπελθεῖν δοτικῇ παρ' Ὁμήρῳ, ὡς καὶ παρὰ τοῖς ὕστερον τὸ κατά τινος πολεμικῶς ἐλθεῖν, οἷον αὐτὰρ ὅ γ' ὥστε λέων ὀλοόφρων βουσὶν ἐπελθών, Ἰλ. ὀ, 630. 1035, 16. καὶ ἐπελθεῖν ἀντὶ τοῦ ἁπλῶς ἐλθεῖν, οἷον ἐν τῷ, μήτις Ἀχαιῶν ἐνθάδ' ἐπέλθῃσιν, Ἰλ. ὠ, 651. 899, 52. 1370, 17. καὶ ἐπελθεῖν τινὶ ἀντὶ τοῦ ἐπιστῆναι καὶ ἐπιδημῆσαι, οἷον ἐν τῷ, ὁμηγερέεσσι δ' ἐπῆλθεν, Ἰλ. ὀ, 84. 1007, 10. καὶ ὅτι παρὰ τοῖς μεθ' Ὅμηρον πολεμικῶς κατά τινος ἐλθεῖν ἀεὶ σημαίνει τὸ ἐπελθεῖν δοτικῇ συντασσόμενον· ζήτει τοὺς προεκτεθέντας ἀριθμούς· καὶ ἐπῆλθέ μοι τόδε τι ποιῆσαι, ἀντὶ τοῦ ἔδοξε παρὰ τοῖς μεθ' Ὅμηρον. 1007, 10.

ἐπελθεῖν αἰτιατικῇ ἐν τῷ, τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθε νήδυμος ὕπνος, Ὀδ. δ', 793. καὶ ὅτι παρὰ τοῖς μεθ' Ὅμηρον δοτικῇ συντάσσεται τὸ ἐπελθεῖν. 1518, 15.

ἐπεμβάλλειν ἐν ἴσῳ τῷ ἐγκεντρίζειν. 1405, 42. ὅθεν ἐπεμβολὰς ἄπιος ἡ ἐγκεκεντρισμένη. 545, 42.

ἐπεμβολὰς ἄπιος ἡ ἐγκεκεντρισμένη. 545, 42. ἡ δ' αὐτὴ καὶ ἐμβολὰς παρ' Ἀριστοτέλει, ἧς καὶ ὁ καρπὸς ἐπεμβολὰς ἂν λέγοιτο. 1405, 43.

ἐπεμβολή, ὄνομα σχήματος ῥητορικοῦ. 1405, 40. ἀλλαχοῦ δὲ ὅτι ἐπεμβολὴ ταὐτὸ ὅπερ παρένθεσις ἐν λόγῳ. 1783, 57.

ἐπέμυξαν, τρίτον πρόσωπον ῥηματικόν, ὅτι ἐκ τοῦ μύζω θέματος κεκίνηται. 440, 22. καὶ ζήτει τὸ μύζειν.

ἐπενδύτης, ἀνδρεῖος χιτωνίσκος. 1166, 51.

ἐπενεῖκαι, ἤγουν ἐπενεγκεῖν, καὶ μαχλοσύνην ἐπενεῖκαι, παρ' Ἡροδότῳ 4, 154. ἀντὶ τοῦ πορνείαν προφέρειν, ὅ ἐστιν ἐγκαλεῖν. 1183, 39.

ἐπενήνεον πυρκαϊῆς, ἤγουν ἐπεσώρευον εἰς πυρκαϊάν, Ἰλ. ή, 428, 31. καὶ ὅτι ἐκ τοῦ νῶ, ὅ ἐστι σωρεύω, γίνεται κατ' ἀναδιπλασιασμὸν νηνῶ, ὅθεν καὶ τὸ ἐπενήνεον τρίτον πρόσωπον τοῦ παρατατικοῦ. 641, 56. 688, 55. 689, 10. 741, 62.

ἐπενήνοθε, τρίτον πρόσωπον μέσου παρακειμένου ἀντὶ τοῦ ἐπέθεεν, ὅ ἐστιν ἐπέτρεχεν, ὅτι ἀπὸ τοῦ θέω γίνεται ἔθω κατὰ μετάθεσιν, καὶ ἐν συνθέσει ἐνέθω, ὁ μέσος παρακείμενος ἤνοθα καὶ ἐνήνοθα, ἑρμηνεία διεξοδική. 207, 30. 794, 23.

ἐπενήνοθεν ἔλαιον, ἀντὶ τοῦ ἐπιπολάζει, καὶ ἐπενήνοθε λάχνη, ἀντὶ τοῦ ἐπικινεῖται ἢ ἔπεστι καὶ ἐπανθεῖ. 1600, 37.

ἐπένθεσις τοῦ ἰ ἐπὶ τῶν εἰς μακρὰν καταληγόντων ὅτι οὐ μεταβάλλει τὴν τῶν λέξεων προσῳδίαν, οἷον σφέων σφείων, σπέους σπείους, δέους δείους. 655, 15.

ἐπένθεσις διχρόνων πρὸς βραχέων ἐπαλληλίας θεραπείαν, οἷον ἔριον εἴριον. 611, 34.

ἐπένθεσις στοιχείου ὅτι ψιλοῦσθαι τὰ δασυνόμενα ποιεῖ, οἷον ὁδὸς οὐδὸς, ἕκηλος εὔκηλος. 194, 26.

ἐπενθήκη ἐν ἴσῳ τῷ προσθήκη. 1349, 31.

ἐπέντρωμα ὅτι ἐρεθισμόν τινα δηλοῖ, καὶ ὅτι ἐκ τοῦ τρῶμα σύγκειται. 1910, 38.

ἐπέντυε ὅπλιζε ἢ εὐτρέπιζε προστακτικῶς ἐν τῷ, ἐπέντυε μώνυχας ἵππους, Ἰλ. θ', 374. 718, 55.

ἐπεντύνεσθαι ἄεθλα, ἀντὶ τοῦ εἰς ἀγῶνας ὁπλίζεσθαι, Ὀδ. ὠ, 89. 1953, 38.

ἐπέοικεν ἀντὶ τοῦ εἰκός ἐστι ἐν τῷ, ὡς ἐπέοικε, πολλαχοῦ παρ' Ὁμήρῳ. 1967, 51.

ἐπέπιθμεν, πρῶτον πρόσωπον πληθυντικὸν δευτέρου ἀορίστου ἀντὶ τοῦ ἐπεποίθειμεν ἢ ἐπιστεύομεν, ὅτι ἐκ τοῦ ἐπεπίθομεν συγκέκοπται. 234, 46. 458, 15. 734, 58. 966, 52.

ἐπέπληγον, τρίτον πρόσωπον παρατατικοῦ ἀπὸ τοῦ πεπλήγω ἐνεστῶτος, ὃς ἀπὸ τοῦ πέπληγα παρακειμένου λέγεται. 576, 35.

ἐπέπλως ἀντὶ τοῦ ἐπέπλευσας ἀπὸ τοῦ πλῶμι θέματος, ἢ ἐκ τοῦ ἐπέπλωσας κατὰ συγκοπήν. 1455, 11.

ἐπέραστος ὅτι παρὰ τὸ ἐράζω δοκεῖ παρῆχθαι. 1599, 5.

ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον, ἤγουν ἐνεστήριξεν ἰσχὺν πολλήν, Ἰλ. ή, 269. 680, 10.

ἐπερύσαι θύραν, ἤγουν ἑλκύσαι καὶ ἐπισπάσασθαι, Ὀδ. ά, 441. 1429, 1.

ἐπέρχεταί με ὕπνος, παρ' Ὁμήρῳ, ἐπέρχεται δέ μοι, δοτικῇ παρὰ τοῖς μεθ' Ὅμηρον. 1647, 4.

ἐπεσβολία ἡ τῶν ἐπῶν, ὅ ἐστι λόγων, εἰσβολὴ καὶ ἀρχή, ἢ λοιδορία καὶ βλασφημία, παρὰ τὸ ἔπεσι βάλλειν. 1489, 47. 55.

ἐπεσβόλος ὁ ἔπεσι βάλλων, ὡς βλάσφημος ὁ φήμαις βάλλων. 219, 38. 1490, 3.

ἕπεσθαι περὶ ἀψύχων ἐνίοτε λεγόμενον κατὰ τρόπον γλυκύτητος. 426, 23.

ἐπέσσεται ἀντὶ τοῦ ἐπιγενήσεται καὶ μετὰ ταῦτα ἔσται. 1516, 60.

ἐπέσσυμαι τεῖχος, ἀντὶ τοῦ ἐπέρχομαι τῷ τείχει. 1021, 61.

ἐπεσσύμενον τείχεος, ἤγουν κατεπεμβαίνοντα τοῦ τείχους. 910, 63.

ἐπεσσύμενος δὲ τείχους, γενικῇ. 910, 63.

ἐπέστη ἀντὶ τοῦ ἐπάνω ἔστη, ἢ ἐπεμελήθη. 793, 46.

ἐπέτειος φίλος ὁ μὴ διηνεκής, ἀλλ' ἐξ ἔτους εἰς ἔτος μεταβαλλόμενος. 1573, 2.

ἐπέτης ὁ θεράπων, παρὰ τὸ ἕπεσθαι. 1400, 58.

ἐπετήσιος ὁ εἰς ἔτος ὅλον ἐξαρκῶν ἐν τῷ, τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἀπολείπει χείματος, οὐδὲ θέρευς ἐπετήσιος, Ὀδ. ή, 117. sq. 1572, 62.

ἐπετιμήθη ὁ σῖτος, ἤγουν τιμιώτερος γέγονε. 1629, 10.

ἐπετόλμησεν ἀντὶ τοῦ ὑπέμεινεν ἐν τῷ, ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο, Ὀδ. ρ', 238. 1818, 63.

ἐπετράπετο ἀντὶ τοῦ ἐπέτρεψεν ἐν τῷ, σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα εἴρεσθαι, Ὀδ. ι', 12. 1612, 43.

ἐπεύχεσθαι τὸ καυχᾶσθαι, πολλαχοῦ παρ' Ὁμήρῳ· καὶ ἐπεύχεσθαι νεκρῷ, Ὀδ. χ', 412. ὅ ἐστιν ἐπικαυχᾶσθαι ἢ ἐπικαλεῖσθαι τὸ θεῖον, διαίτησις διεξοδική. 812, 31. 1932, 11.

ἐπεύχιον χυδαϊκῶς ὁ παρὰ τοῖς λογίοις λεγόμενος τάπης. 1056, 64.

ἐπέφραδε ὅτι παρατατικοῦ ἐστὶ χρόνου ἐκ τοῦ πεφράδω θέματος. 1044, 31.

ἐπέχειν ἀντὶ τοῦ ἀργεῖν καὶ διατρίβειν ἐν τῷ, Ἀντίνοος δ' ἔτ' ἐπεῖχε καὶ Εὐρύμαχος, Ὀδ. φ', 186. 1906, 31.

ἐπέχειν τὸ διωκτικῶς ἐλαύνειν, πολλαχοῦ παρ' Ὁμήρῳ. 154, 31. ἀλλαχοῦ δὲ ὅτι ἐπέχειν δοτικῇ παρ' Ὁμήρῳ ἐν τῷ, δαιμονίη τί μοι ἐπέχεις; Ὀδ. τ', 71. ἀντὶ τοῦ κατ' ἐμοῦ ἔχεις, ὃ καὶ ἐνέχειν λέγεται. 922, 46. καὶ ἐπέχειν ἀντὶ τοῦ προσέχειν· καὶ ἐπέχειν τὸ καταστοχάζεσθαι καὶ σκοπὸν ἔχειν, καὶ ὅτι καὶ διαλελυμένως λέγεται ἐν τῷ, ἐπὶ σφίσιν ἔχοντας, παρ' Ἡροδότῳ· καὶ ἐπέχειν τὸ ὑποκρατεῖν τὴν ἀπόφανσιν καὶ μὴ ἐπικρίνειν, ὅθεν οἱ ἐφεκτικοὶ φιλόσοφοι ἐκλήθησαν. 736, 6. 1856, 9. 14, 22.

ἐπέχειν πόδας ὑποποδίῳ, Ὀδ. ρ', 410. ἀντὶ τοῦ ἐπὶ τῷ ὑποποδίῳ ἔχειν. 1826, 4.

ἐπέχειν σκοπῷ τόξον, ἀντὶ τοῦ καταστοχάζεσθαι. 1065, 24. 1463, 4.

ἐπέχειν ἐπί τινι, ἤγουν ἔμπροσθέν τινος ἔχειν τι, ἐν ἴσῳ τῷ παρέχειν. 1258, 62.

ἐπέχθη, τρίτον πρόσωπον ἀορίστου, ὅτι ἀπὸ τοῦ πέκω θέματος κεκίνηται. 975, 56.

ἐπέχραον, ἐν χρῷ ἐγένοντο, ἐπέπεσον καὶ ἐβάρυνον ἐν τῷ, μητέρι μοι μνηστῆρες ἐπέχραον, Ὀδ. β', 50. 1434, 7.

ἐπέχω τὸ διασκέπτομαι. 983, 4. ζήτει ἐν τῷ ἐπέχειν. 1856, 22.

ἔπη τὰ ποιήματα, ζήτει ἐν τῷ ἐνέπειν. 9, 14.

ἔπη ὁλοδάκτυλα καὶ ἔπη ὁλοσπόνδεια ἐπαινούμενα παρ' Ὁμήρῳ διὰ μίμησιν τῶν ἐφ' οἷς λέγονται συμβεβηκότων. 1899, 54.

ἐπήβολος, ἐπιτυχὴς καὶ ἐγκρατής τινος πράγματος. 42, 24. ὅτι γενικῇ συντάσσεται. 625, 37. ὅθεν φρενῶν ἐπήβολος λέγεται ὁ συνετὸς καὶ τοῦ φρονεῖν ἐπιτυχών. 1404, 50. καὶ ὅτι καὶ παρὰ τοῖς Ἀττικοῖς χρησιμεύει ἡ λέξις. 1448, 5. 9. καὶ ὅτι τὸ πι διὰ τοῦ ἦτα γράφεται. 611, 39.

ἐπηβόλως, ἤγουν ἐπιτυχῶς, παρὰ τὸ ἐπιβάλλειν, ὅ ἐστιν ἐπιτυγχάνειν. 1406, 29.

ἐπηγκενίδες, σανίδες ἐκ πρύμνας ἐς πρώρας τεταμέναι, ὅτι παρὰ τὸ ἐπενεγκεῖν λέγονται, οἱονεὶ ἐπενεγκίδες καὶ ἐκτάσει καὶ μεταθέσει ἐπηγκενίδες· ἐστὶ δὲ ἐπηγκενίς, καθ' ἣν οἱ σκαλμοὶ πήγνυνται, ἢ τὸ κοινῶς λεγόμενον περίτονον ἢ τὰ παραθέματα τῆς νεώς. 1533, 39.

ἐπηετανὸν τὸ πολὺ καὶ ἐφ' ὅλον ἔτος διαρκές, ἤγουν τὸ δι' ὅλου ἔτους διαμένον. 1485, 32. 1552, 63. καὶ ὅτι ἐξ ἐπενθέσεως ἔχει τὸ η 474, 19. 611, 40.

ἐπηετανὸς κομιδή, ἀντὶ τοῦ ἁπλῶς πολλὴ ἐν τῷ, ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα ἦεν ἐπηετανός, Ὀδ. θ', 233. καὶ ἐπηετανὸν ἁπλῶς τὸ δι' ὅλου ἔτους ἐξαρκοῦν. 1593, 20.

ἐπήιεν, ἤγουν ἐπήρχετο. 1124, 23.

ἐπήκρισεν ἀντὶ τοῦ ἐπ' ἄκρον ἤγαγεν, ἀπὸ τοῦ ἀκρίζω θέματος. 1636, 49.

ἔπηλα, ἀόριστος πρῶτος ἀπὸ τοῦ πάλλω θέματος. 419, 3.

ἐπῆλθέ με ὕπνος, παρ' Ὁμήρῳ, ἐπῆλθε δέ μοι, παρὰ τοῖς ὕστερον. 1741, 43.

ἔπηλις ἡ ἐπὶ τοῦ προσώπου μελανία, καὶ τὸ πῶμα τῆς λάρνακος παρὰ Σοφοκλεῖ· καὶ ὅτι ἔφηλις ὤφειλε λέγεσθαι διὰ τὸ ἐκ τοῦ ἧλος δασυνομένης λέξεως συγκεῖσθαι, Ἰωνικῶς δὲ οὕτω λέγεται. 1562, 38.

ἐπηλλαγμένα λέγονται τὰ συνημμένα τοῖς πέρασι. 937, 24. ζήτει τὸ ἐπαλλάξαι.

ἐπηλυγάσασθαι ἀντὶ τοῦ προβαλέσθαι καὶ ἐπισκιάσασθαι. 809, 45.

ἐπήλυθον ὧραι, ἀντὶ τοῦ συνεπληρώθησαν παρ' Ὁμήρῳ. 1437, 12.

ἐπημοιβοὶ ἐπίκουροι οἱ ἐναλλάγδην ἐπιβοηθοῦντες τισί. 764, 41.

ἐπημοιβοὶ ὀχῆες θύρας τινὸς λέγονται, Ἰλ. μ', 456. ὧν εἷς μετὰ τὸν ἕτερον τέτακται. 914, 4.

ἐπημοιβοὶ χιτῶνες, ὅτι ἐπημοιβοὺς χιτῶνας ἔχειν λέγεται ὁ πολλοὺς κεκτημένος καὶ ἔχων ἄλλοτε ἄλλον μεταλαμβάνειν. 1771, 2.

ἐπὴν ἀντὶ τοῦ ἐπάν, ὅ ἐστιν ἐπειδάν. 657, 32.

ἐπήν κε ἀντὶ τοῦ ἐπειδὰν πολλαχοῦ παρ' Ὁμήρῳ. 73, 13.

ἐπήνησα ἐν ἴσῳ τῷ ἐπῄνεσα, οἷον ἐν τῷ, ὣς ἔφαθ', οἱ δ' ἄρα πάν-

τες ἐπήνησαν βασιλῆες, Ἰλ. ή, 344. 684, 36.

ἐπήρατον λέγεται τὸ ἐν Ὀδυσσείᾳ μυθευόμενον ἄντρον, ὅπερ εἰς τὸν κόσμον ἀλληγορεῖται διὰ τὴν ἐν τῷ κόσμῳ εἰδοπεποιημένην διακόσμησιν. 1735, 3.

ἐπήρετμοι ἑταῖροι οἱ ἐπ' αὐτοῖς ὄντες τοῖς ἐρετμοῖς, νῆες δὲ ἐπήρετμοι, αἷς εἰσὶν ἐρετμά· καὶ ὅτι ἐκ τοῦ ἐρετμὸς γέγονεν ἡ λέξις ἐκτάσει τοῦ ε εἰς η. 1451, 4. 1481, 41. 1509, 8. 14.

ἐπηρεφέες πέτραι αἱ δίκην ὀρόφου ἐπικεκλιμμέναι. 1649, 56. ἀλλαχοῦ δὲ ὅτι ἐπηρεφέες πέτραι αἱ ὑψηλαὶ καὶ ταῖς ἐξοχαῖς οἷον ἐρέφουσαι τὰ ὑπ' αὐτάς. 1711, 20. καὶ ἐπηρεφέες κρημνοί, Ἰλ. μ' 54. ἀντὶ τοῦ ὀφρύες ἐπὶ τὰ ἔσω κοιλαινόμεναι ἢ ὀροφωταί. 892, 33.

ἐπηρεφὲς σπήλαιον τὸ αὐτόροφον ἢ τὸ χθαμαλόν. 1743, 52.

ἐπηρεφὴς κρημνὸς ἐπιθετικῶς, ἐτυμολογία διεξοδική. 892, 33.

Ἐπήριτος κύριον, Ὀδ. ώ, 306. ὅτι Ἐπήριστος ὤφειλε λέγεσθαι κατὰ τὸ ἀμφήριστος, ὡς ἀπὸ τοῦ ἐρίζω. 1962, 7. καὶ ὅτι ἀποβολὴν ἔπαθε τοῦ σ. 725, 16.

ἐπῆρσεν ἀντὶ τοῦ ἐφήρμοσεν, ἀπὸ τοῦ ἄρω ἄρσω Αἰολικῶς κεκινημένον. 974, 39.

ἐπῆσαν ὅτι ἐκ τοῦ ἐπήισαν συνῄρηται. 1871, 60.

ἐπητὴς ὁ λόγιος καὶ φρόνιμος καὶ δεινὸς εἰπεῖν, παρὰ τὸ ἔπος, ἢ ὁ χαίρων τῇ ἀληθείᾳ, ἐκ τοῦ ἐτεὸν καὶ τῆς ἐπὶ προθέσεως· καὶ ὅτι παρὰ μὲν τοῖς ἀρχαίοις βαρυτόνως ἐλέγετο, ὕστερον δὲ ὀξυτόνως. 1659, 5. 1742, 59. 1841, 19. 1911, 7.

ἐπήτριμοι προπαροξυτόνως ἀντὶ τοῦ πολλοὶ καὶ πυκνοὶ καὶ συνεχεῖς, παρὰ τὰ τρία, ὃ δηλοῖ τὰ πολλά, κατὰ παραγωγὴν καὶ πλεονασμὸν τοῦ η, ἢ παρὰ τὰ ἐν τοῖς ὕφεσιν ἤτρια, ὅ ἐστιν ἐπαλλήλους στήμονας. 1139, 4. 1182, 13.

ἐπητὺς ἐπητύος, ἡ μεταίτησις παρὰ τὸ ἐπαιτεῖν, ἢ ὁ ἐν λόγοις ἔπαινος παρὰ τὸ ἔπος, ὅθεν καὶ ἐπητὴς ὁ λόγιος. 1911, 6.

ἐπήφυσεν, ἤγουν ἐπήντλησε. 1869, 61.

ἐπὶ πρόθεσις ἀντὶ τῆς κατὰ ἐν συνθέσει, ἐν τῷ ἐπίῤῥητος ἤγουν καταῤῥήσεων ἄξιος. 763, 49. καὶ ἐν τῷ ἐπιβόητος, ὃ δηλοῖ τὸν μοχθηρὰν ἔχοντα φήμην. 1856, 11.

ἐπὶ πρόθεσις ἀντὶ τῆς κατὰ ἐν παραθέσει, οἷον ἐν τῷ, ἐπ' ἀλλήλοισιν, ἀντὶ τοῦ κατ' ἀλλήλων. 832, 21. καὶ ἐν τῷ, ἑπτὰ ἐπὶ Θήβας. 1856, 10—20.

ἐπὶ ἀντὶ τῆς κατὰ ἐν παραθέσει καὶ συνθέσει διὰ πολλῶν παραδειγμάτων. 146, 11. 736, 5. 809, 37. 922, 44.

ἐπὶ πρόθεσις ἀντὶ τῆς παρὰ ἐν τῷ, ἐπ' ἐσχάρῃ ἧσθαι, Ὀδ. ή, 153. καὶ ἀντὶ τῆς πρὸς ἐν τῷ, ἐπὶ βωμὸν ἄγων, Ἰλ. ά, 440. καὶ ἀντὶ τῆς ἐν, οἷον ἐν τῷ ἐπουράνιος, ὃ δηλοῖ τὸν ἐν οὐρανῷ· καὶ ὅτι καὶ ἐκ περισσοῦ πρόσκειται ἐνίοτε, οἷον ἐν τῷ ἐπίουρος καὶ ἐπιβουκόλος· καὶ ἀντὶ τῆς κατά, οἷον ἐν τῷ ἐπίσκοπος ἀντὶ τοῦ κατάσκοπος· καὶ ὑστεροχρονίαν σημαίνει, οἷον ἐν τῷ ἐπίλογος, καὶ προσθήκην τινά, οἷον ἐν τῷ ἐπιβολή. 1575, 46—50.

ἐπὶ πρόθεσις γενικῇ ἀντιπτωτικῶς οἷον ἐν τῷ, ἐπ' Ὠκεανοῖο ῥοάων, Ἰλ. γ', 5. 371, 46.

ἐπὶ πρόθεσις δοτικῇ ἀντὶ τῆς κατά, οἷον ἐν τῷ, ἐπὶ σοὶ μεμαῶτε. 545, 16. καί, ἐπὶ Τρώεσσι μάχεσθαι. 854, 37. καί, ἐπὶ Ἕκτορι ἀκοντίσαι, ἀντὶ τοῦ καθ' Ἕκτορος. 163, 61.

ἐπὶ πρόθεσις δοτικῇ ἀντιπτωτικῶς, οἷον ἐπ' ἄνθεσι πέτονται, καὶ ἦλθεν ἐπὶ Κρήτεσσιν, ἀντὶ τοῦ ἐπὶ ἄνθη καὶ ἐπὶ Κρῆτας. 179, 16. 469, 25. καὶ ἐπὶ νυσσὶν ἐλαύνειν, ἀντὶ τοῦ ἐπὶ τὰς ναῦς. 444, 21.

ἐπὶ δοτικῇ ἀντὶ τῆς κατά, οἷον ἐπ' ἀλλήλοισιν ὄρουσαν, ἀντὶ τοῦ κατ' ἀλλήλων. 1655, 41.

ἐπὶ ποτὲ μὲν αἰτιατικῇ, ποτὲ δὲ δοτικῇ ἐπὶ τοῦ αὐτοῦ παρ' Ὁμήρῳ, οἷον αἰτιατικῇ μὲν ἐν τῷ, ἐπ' ὀνείατα χεῖρας ἴαλλον, δοτικῇ δὲ ἐν τῷ, ἑτάροις ἐπὶ χεῖρας ἴαλλεν. 1630, 21.

ἐπὶ αἰτιατικῇ ἀντὶ τῆς κατὰ αἰτιατικῇ καὶ αὐτῆς συντασσομένης, οἷον ἐν τῷ, αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν, Ἰλ. ύ, 226. ἀντὶ τοῦ κατὰ ἄρουραν. 1206, 1.

ἐπὶ αἰτιατικῇ ἀντὶ τῆς πρὸς ἐν τῷ, τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων, Ἰλ. ά, 440. ἀντὶ τοῦ πρὸς τὸν βωμόν. 1575, 47.

ἐπὶ πρόθεσις ἐν συνθέσει προτασσομένη τινῶν ὀνομάτων οὐδὲν προστίθησι τῇ σημασίᾳ αὐτῶν, οἷον ἐν τῷ ἐπιμῆνις ἀντὶ τοῦ ἁπλῶς μῆνις, καὶ ἐπαρὰ ἀντὶ τοῦ ἀρά, καὶ ἐπιβουκόλος ἀντὶ τοῦ ἁπλῶς βουκόλος. 536, 1. 666, 1. 763, 46. 1009, 49.

ἐπὶ πρόθεσις ὅτι τὴν ἄνω σχέσιν ἐνίοτε δηλοῖ. 1676, 10.

ἐπὶ πρόθεσις ἀντὶ τοῦ ἕνεκα συνδέσμου κατὰ μερῶν ἐναλλαγήν. 44, 41.

ἐπὶ πρόθεσις ἐν συνθέσει ὅτι ἐπίτασιν ἐνεργείας καὶ ἀκρίβειαν ἐνίοτε σημαίνει. 810, 25.

ἐπ' ἀλλήλοισιν, ἀντὶ τοῦ κατ' ἀλλήλων, πολλαχοῦ παρ' Ὁμήρῳ. 374, 2.

ἐπ' ἀνθρώπους, ἀντὶ τοῦ κατ' ἀνθρώπους ἐν τῷ, σὴν γὰρ ἀρίστην μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, Ὀδ. ψ', 125. ἄλλως γὰρ ἐπ' ἀνθρώποις λέγεται. 1941, 48.

ἐπ' ἐσχάρῃ, ἀντὶ τοῦ παρὰ τῇ ἐσχάρᾳ ἐν τῷ, ἐπ' ἐσχάρῃ ἐν κονίῃσι πὰρ πυρί, Ὀδ. ή, 153. 1575, 45.

ἐπ' εὐνῶν ὁρμίζειν τὴν ναῦν, ἤγουν ἐπ' ἀγκυρῶν ἱστᾶν. 968, 33—40.

ἐπ' ἤματι, ἀντὶ τοῦ ἐφ' ἑκάστῳ νυχθημέρῳ ἐν τῷ, τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναροιβδεῖ, περὶ Σκύλλης λεγόμενον, Ὀδ. μ', 105. 1716, 58.

ἐφ' ἡμέτερα, ἀντὶ τοῦ εἰς τὰ ἡμέτερα παρ' Ὁμήρῳ, ὅτι καὶ κατὰ τὴν κοινὴν συνήθειαν λέγεται. 778, 39.

ἐφ' ᾧτε, ὅτι ἐκ περισσοῦ ἔχει τὸ τέ. 1486, 59.

ἐπὶ δεξιά, ἐν δυσὶ μέρεσι λόγου ἀντὶ τοῦ ἐκ τῶν δεξιῶν, ἐπιδέξια δὲ ὑφ' ἓν προπαροξυτόνως ἀντὶ τοῦ ἐπιδεξίως. 902, 16.

ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερὰ νωμῆσαι τὴν ἀσπίδα, διαφόρως ἑρμηνευόμενον, Ἰλ. ή, 238. 679, 16.

ἐπὶ δηρόν, ἤγουν ἐπὶ πολὺν χρόνον. 760, 19.

ἐπὶ διακειμένοις μάχεσθαι, ζήτει ἐν τῷ διακείμενα. 233, 34.

ἐπὶ ἔργα ἔπειν, Ὀδ. ξ', 193. ἀντὶ τοῦ ἐφέπειν ἔργα, τουτέστιν ἐνεργεῖν. 1757, 6.

ἐπὶ θρόνον καθίζειν, κατ' αἰτιατικὴν πτῶσιν, Ἰλ. θ', 442. ὃ καὶ δοτικῇ, ἐπὶ κλισμοῖσι καθίζειν, ἐν ταὐτῷ 436. 722, 41.

ἐπὶ ἤματι, κατὰ συναλιφὴν λεγόμενον, ἐπ' ἤματι· ζήτει τὸ, ἐπ' ἤματι. 1716, 58.

ἐπὶ κὺρ, ἄνωθεν κάτω, ἐπὶ κεφαλήν. 1066, 26.

ἐπὶ Κῆρας ἰάλλειν, ἤγουν ἐπιπέμπειν ἢ ἐπιβάλλειν θάνατον. 1447, 36.

ἐπὶ κνέφας ἐλθεῖν, ἀντὶ τῶν ἐπελθεῖν σκότος πολλαχοῦ παρ' Ὁμήρῳ. 248, 38. 839, 20.

ἐπὶ κόῤῥης ἢ κατὰ κόῤῥης πλῆξαι ἢ ῥαπίσαι, φράσις Ἀττικὴ διεξοδικῶς ἑρμηνευομένη. 947, 26.

ἐπὶ ξυροῦ ἀκμῆς ἵστασθαι τὰ πράγματα λέγονται παροιμιακῶς, ὅταν ἐπικινδύνως ἔχωσιν, ἑρμηνεία διεξοδική. 796, 55.

ἐπὶ οἷ, ἀντὶ τοῦ ἐφ' ἑαυτὸν ἐν τῷ, ἕλκ' ἐπὶ οἷ, Ἰλ. λ', 239. 841, 18.

ἐπὶ Παλλαδίῳ, δικαστήριον Ἀθήνησιν ὅπου ἀκουσίου φόνου ἐδίκαζον, καὶ περὶ τοῦ δικαστηρίου ἱστορία διεξοδική. 1419, 53.

ἐπὶ πασσάλου τόξον ἢ κιθάραν κρεμάσαι παροιμιακῶς λέγονται οἱ ἀμελοῦντες τοξικῆς ἢ κιθαριστικῆς. 750, 41.

ἐπὶ ῥητοῖς τι ποιεῖν, ἤγουν ἐπὶ συμπεφωνημένοις. 233, 35.

ἐπὶ σκέλος χωρεῖν, τὸ μὴ προτροπάδην φεύγειν, ἀλλὰ βάδην ἀναχωρεῖν. 677, 30. 1097, 45.

ἐπὶ σκέλος χωρεῖν ἢ ἀνάγειν, τὸ ἠρέμα προϊέναι ἢ ἠρέμα ἀναχωρεῖν. 862, 4.

ἐπὶ στόμα πεσεῖν τις λέγεται, ἐν ἴσῳ τῷ πρηνής. 1067, 64.

ἐπὶ σφίσιν ἔχοντας, ἀντὶ τοῦ ἐπέχοντας σφίσιν· ζήτει ἐν τῷ ἐπέχειν. 1856, 16.

ἐπὶ τριῶν, τάξις φάλαγγος πολεμικῆς, ἑρμηνεία διεξοδική. 474, 34.

ἐπὶ χεῖρας φέρειν, παροιμία ἐπὶ τῶν ἐνδόξων καὶ μεγαλοιμόνων, παρα τὸ τὰς ᾧας τῶν ἱματίων τοὺς τοιούτους ἀνακουφίζειν ταῖς χερσί. 1430, 23.

ἔπι παροξυτόνως ἀντὶ τοῦ ἔπεστι κατ' ἀναστροφὴν τῆς ἐπὶ προθέσεως. 74, 43.

ἐπιάλτης, πάθος τι τοῖς κοιμωμένοις ἐπερχόμενον, ὃ καὶ ἐφιάλτης λέγεται. 1687, 51.

ἐπίαλτος, πάθος ὃ καὶ ἐφιάλτης καὶ ἐπιάλτης λέγεται, καὶ ὅτι ἀναλογώτερον διὰ τοῦ π γράφεται, ἑρμηνεία διεξοδική. 561, 9. 17. 562, 34.

ἐπίβαθρον, μισθὸς ἐπιβάσεως νεώς, τουτέστι ναῦλος, Ὀδ. ο', 449. 1787, 50. 1790, 38.

ἐπιβαίη ἀντὶ τοῦ ὀρθὸς σταίη ἐν τῷ, μηροῦ ἐξερύσαι δόρυ μείλινον ὄφρ' ἐπιβαίη, Ἰλ. ε', 666. 592, 14.

ἐπιβαίνειν ἵππου λέγεταί τις καὶ ἐφ' ἵππον ἀναβαίνειν, ἐμβαίνειν δὲ ἅρματι. 538, 39. παρ' Ὁμήρῳ δὲ ἐπιβαίνειν ἀντὶ τοῦ εἰς ἅρμα ἀναβαίνειν λέγεται. 546, 7.

ἐπιβαίνειν ᾠδῆς καὶ δόξης, αὐτοπαθῶς, ἐπιβιβάζειν δέ τινα πυρᾶς, ἀλλοπαθῶς. 210, 43. 774, 2. καὶ ἐπιβαίνειν εὐσεβείας, ἀντὶ τοῦ εὐσεβεῖν. 713, 31. ζήτει τὸ ἐπιβῆναι.

ἐπιβαίνειν τινὶ ἐν ἴσῳ τῷ ἐπικεῖσθαι, ὅτι ἡ ἐπὶ ἀντὶ τῆς κατὰ λαμβάνεται, καὶ ὅτι ἄλλο τι δηλοῖ παρὰ τὸ ἀμφιβαίνειν. 1046, 34. 1084, 59.

ἐπιβαίνειν αἰτιατικῇ ἐν τῷ Πιερίην ἐπιβᾶσα, Ἰλ. ξ', 226. καὶ, Πιερίην ἐπιβὰς, Ὀδ. ε', 50. ἀλλαχοῦ δὲ παρ' Ὁμήρῳ γενικῇ, οἷον, ἵππων ἐπιβάς. 980, 30. 1522, 48.

ἐπιβάλλειν ἀντὶ τοῦ εὐστοχεῖν καὶ ἐπιτυγχάνειν ἐν τῷ, ἡ δὲ Φερὰς ἐπέβαλλε, περὶ νεὼς λεγόμενον Ὀδ. ο', 297. ἀντὶ τοῦ εὐστόχως καὶ ἐπιτυχῶς ἔπλεεν. 42, 25. 1781, 63. ἀλλαχοῦ δὲ ὅτι ἐπιβάλλειν ναῦς εἰς λιμένα λέγεται, ἀντὶ τοῦ ἐπιτυχεῖν τοῦ εἰς τὸν λιμένα πλοῦ. 1311, 11. καὶ ὅτι ἐπιβάλλειν εἴς τινα τόπον ναῦς λέγεται, ἤγουν εὐστόχως ἐπελθεῖν. 1463, 5.

ἐπιβάλλειν νοήματι, ἀντὶ τοῦ ἐπιτυχῶς νοῆσαι, καὶ ἐπιβάλλειν ἔργῳ τὸ ἐπιτυχῶς καὶ ἠκριβωμένως ἐγχειρεῖν. 1406, 28.

ἐπιβάλλειν γῆν, ὅτι ἀντίκειται τῷ ἀναβάλλειν, ὅ ἐστιν ἄνω ῥίπτειν τὸ χῶμα. 1241, 43.

ἐπιβάλλειν χεῖρας τινὶ, ὅτι ἐπὶ βίας λέγεται, καὶ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ, ἑτάροις ἐπὶ χεῖρας ἴαλλεν, Ὀδ. ι', 288. ἀφορμὴν ἔσχεν ἡ φράσις. 1630, 25.

ἐπιβάλλεσθαι γενικῇ ἀντὶ τοῦ ἐφίεσθαι καὶ ἐπιθυμεῖν ἐν τῷ, μήτις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθε μιμνέτω, Ἰλ. ζ', 68. 625, 35. 1406, 29.

ἐπιβάσκω ἀντὶ τοῦ ἐπιβιβάζειν αἰτιατικῇ ἐκ δευτέρου καὶ γενικῇ ἐκ τρίτου, οἷον ἐν τῷ, κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν, Ἰλ. β', 234. 210, 43.

ἐπιβάται οἱ ἐπὶ τῶν νεῶν ἀργοὶ διαπορευόμενοι, παρ' Ἀττικοῖς δὲ οἱ ἐπὶ τῷ μάχεσθαι ἐπὶ τῶν νεῶν τεταγμένοι πρὸς διαστολὴν τῶν ἐρεσσόντων. 1447, 45.

ἐπιβάτης νεὼς λέγεται, ἀναβάτης δὲ ἵππου. 1515, 20.

ἐπίβδαι παρὰ Δωριεῦσι λέγονται αἱ μεθέορτοι ἡμέραι, παρὰ τὸ ἐπιβαίνειν ταῖς ἑορταῖς, ἤγουν ἐπ' αὐταῖς καὶ μετ' αὐτὰς ἔρχεσθαι. 1686, 15.

ἐπιβῆναι ἀναιδείης, ἀντὶ τοῦ ἀναιδεύσασθαι περιφραστικῶς, ἢ εἰς ἄκρον ἀναιδείας ἐλάσαι. 1932, 59.

ἐπιβῆναι εὐφροσύνης, περιφραστικῶς ἀντὶ τοῦ χαρῆναι, ζήτει τὸ ἐπιβαίνειν. 1937, 53.

ἐπιβήσεο, προστακτικὸν ἀπὸ τοῦ ἐπιβήσω μέλλοντος ἀνηγμένου εἰς ἐνεστῶτα, ὃ δι' ἑνὸς σ γράφεται πρὸς διαστολὴν τοῦ βήσσω βήξω. 702, 13.

ἐπίβησον, ἤγουν ἐπιβίβασον, ζήτει τὸ ἐπιβήσεο. 713, 29.

ἐπιβιβάζειν εὐκλείας καὶ κακῶν, καὶ ἐπιβιβάζειν πυρᾶς, παρ' Ὁμήρῳ ἀλλοπαθῶς. 713, 29. 33. 774, 2.

ἐπιβλής, μοχλὸς, ὅ ἐστι ξύλον συνέχον κεκλεισμένας τὰς θύρας, ὅτι παρὰ τὸ ἐπιβάλλεσθαι ἀπὸ τοίχου εἰς τοῖχον ἢ ἀπὸ στύλου εἰς στύλον οὕτω λέγεται. 1358, 57. 1405, 63.

ἐπιβλὺξ ἐπίῤῥημα παρὰ τὸ βλύζω βλύξω Δωρικῶς κεκλιμένον. 1095, 22.

ἐπιβόητος ὁ μοχθηρὰν ἔχων φήμην, καὶ καθ᾽ οὗ βοαὶ γίνονται, ὅτι τὴν ἐπὶ ἀντὶ τῆς κατὰ ἔχει. 1856, 11.

ἐπιβολὴ, ὅτι ἡ ἐπὶ προσθήκην τινὰ σημαίνει ἐν τῷ ἐπιβολὴ, ὡς καὶ ἐν τῷ ἐπίκουρος, ὅ ἐστι βοηθός. 1575, 50.

ἐπιβουκόλος ὁ ἐπὶ τῶν βοῶν εἴτουν ὁ ἐπὶ τοῖς βουσὶ τεταγμένος καὶ ἐπιστατῶν αὐτοῖς. 1889, 57.

ἐπιβρέμειν λέγεται ἄνεμος τὸ πῦρ, ἀντὶ τοῦ φυσᾶν σὺν βρόμῳ, ἢ πρὸς βρόμον ὑποκινεῖν τῷ πνεύματι. 1125, 19.

ἐπιβρίθειν, ἤγουν βρίθειν ἐν τῷ ἐπιτίθεσθαι. 684, 36.

ἐπιβρῖσαι ἀντὶ τοῦ ἐπιβαρίσαι. 1964, 28.

ἐπιβώσομαι ὅτι ἐκ τοῦ ἐπιβοήσομαι κέκραται. 288, 14. 1424, 30.

ἐπίβωτος ἀντὶ τοῦ ἐπιβόητος, ζήτει ἐν τῷ ἐπιβόητος. 1856, 11.

ἐπιβώτωρ ἀντὶ τοῦ ἁπλῶς βώτωρ κατὰ παρολκὴν τῆς προθέσεως, τὸ βο μέγα. 1739, 42.

ἐπιγίνεσθαι λέγονται τὰ τῶν δένδρων φύλλα παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ καθ᾽ ὥραν φύεσθαι. 630, 59.

ἐπιγνάμπτειν τὸ κάμπτειν, παρὰ τὸ γόνυ· καὶ, ἐπιγνάμψασα φίλον κῆρ, Ἰλιάδ. α', 569. ἀντὶ τοῦ κλιθεῖσα καὶ ταπεινωθεῖσα. 150, 28.

ἐπιγνάμπτειν φρένας τινὸς, παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ ἐπικλίνειν καὶ ἐπιεικεύεσθαι ποιεῖν καὶ μὴ ἀτενῶς ἔχειν. 769, 11.

ἐπιγονατὶς, εἶδος γυναικείου φορήματος, ὃ ὑπὸ τῷ ἐνδύματι ἐφόρουν. 976, 14.

ἐπίγονοι, οἱ καὶ ἀπόγονοι, ὅτι παρὰ τὸ ἐπιγίνεσθαι λέγονται. 630, 60. καὶ ἐπίγονοι οἱ εἰς τὸν ἔπειτα χρόνον γενησόμενοι. 1418, 63. ἀλλαχοῦ δὲ ὅτι ἐπίγονοι οἱ τοῦ γένους διάδοχοι. 1516, 60.

ἐπιγουνὶς ὁ ἀνωτέρω τοῦ γόνατος τόπος, καὶ ὅτι εὐσαρκίαν καὶ εὐεξίαν ὑπαγορεύει ἐν τῷ, οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει, Ὀδ. σ', 74. 1818, 24.

ἐπιγράβδην ἐπίῤῥημα ἀντὶ τοῦ ἐπιπολῆς, ὥστε μόνον ἐπιγράψαι, ὅ ἐστι ξέσαι. 1229, 23.

ἐπιγράφειν ἀντὶ τοῦ ἐπιξύειν ἢ ἐπιξέειν παρ᾽ Ὁμήρῳ. 946, 21. 1926, 45.

ἐπιγράψαι ἐπὶ τοῦ ἐπιπολῆς ξέσαι. 455, 1.

Ἐπίδαμνος, πόλις Ἰλλυρικὴ ἡ ὕστερον Δυῤῥάχιον. 287, 45.

Ἐπίδαυρος, πόλις Πελοποννησιακὴ, ὅτι κατὰ θηλυκὸν γένος λέγεται, καὶ ὅτι ἱερὰ ἦν Ἀσκληπιοῦ, καὶ ὅτι πολλαχῶς ὠνομάσθη κατὰ διαφόρους χρόνους; ἑρμηνεία διεξοδική. 287, 31.

ἐπιδέδρομεν ἀντὶ τοῦ ἐπιτρέχει καὶ ἐπιπολάζει ἐν τῷ, λευκὴ δ᾽ ἐπιδέδρομεν αἴγλη, Ὀδ. ζ', 45. 1551, 7.

ἐπιδέξια ἀστράπτειν, ἀντὶ τοῦ ἐκ τῶν δεξιῶν, ὅπερ αἴσιον ἐνομίζετο· ἐπιδέξια δὲ πληγῆναι, ἤγουν τὰ καίρια μέρη τοῦ σώματος παρὰ τοῖς Ἀττικοῖς. 235, 42. καὶ ἐπιδέξια προπαροξυτόνως, ὡς καὶ ἐνδέξια, ἀντὶ τοῦ ἐπὶ δεξιὰ ἐν τῷ, ὄρνυσθ᾽ ἑξείης ἐπιδέξια, Ὀδ. φ', 141. 1904, 47.

ἐπίδεσμα καὶ δεσμὰ Ἀττικώτερον λέγειν ἢ δεσμοὺς καὶ ἐπιδέσμους. 1598, 17. ἀλλαχοῦ δὲ ὅτι ἐπίδεσμον οὐδετέρως λέγεται παρ᾽ Ἀττικοῖς. 1390, 56.

ἐπιδευὴς ὁ ὕστερος, παρὰ τὸ δεύω, ὅθεν καὶ δεύτερος καὶ δεύτατος λέγεται, καὶ ἐπιδευὴς ὁ ἐνδεὴς καὶ χρήζων. 1955, 33.

ἐπιδημεύω τὸ ἐν πόλει διατρίβω, ὅτι ἐκ τοῦ ἐπιδημέω λέγεται ἐπενθέσει τοῦ ῡ. 1792, 55.

ἐπιδήμιος πόλεμος ὁ ἐμφύλιος. 736, 3. καὶ ἄνθρωπος ἐπιδήμιος ὁ ἐξ ἀλλοδαπῆς εἰς τὴν πατρίδα ἐλθών. 1410, 13. καὶ ἐπιδήμια νοσήματα ὁμοίως. 736, 4. ἐπιδήμιοι δὲ ἁρπακτῆρες, Ἰλ. ω', 262. οἱ τὰ τοῦ δήμου ἁρπάζοντες ἄρχοντες. 1349, 23.

ἐπὶ δὴ τούτοις, ὅτι τὸ δὴ μόριον χωρὶς τόνου προφέρεται. 143, 28.

ἐπιδιδόναι τὸ ἐπέκεινα τῶν προϋπαρχόντων διδόναι. 56, 37.

ἐπιδινεῖσθαι τινὶ ὁ θυμὸς λέγεται Ὀδυσσ. υ', 218. ἤγουν εἰς πολλὰ στρέφεσθαι. 1889, 40.

ἐπιδιφριὰς, μέρος τι τοῦ δίφρου ἢ τῆς ἄντυγος. 819, 11.

ἐπιδορατὶς ταὐτὸ ὅπερ αἰχμὴ, τουτέστιν ὁ τοῦ δόρατος σίδηρος. 680, 14. 726, 14. 1676, 49.

ἐπιδορπίδες τὰ ἐπὶ δόρπῳ ἤγουν μετὰ δόρπον προτιθέμενα τραγήματα. 1141, 4. ἀλλαχοῦ δὲ ὅτι ἐπιδορπίδα τινὲς καλοῦσι τὸ δεῖπνον. 1791, 42.

ἐπιδόσθαι τὸ μάρτυρας καταστῆσαι, περιδόσθαι δὲ τὸ στοίχημα θέσθαι καὶ συμφωνῆσαι περί τινος. 1268, 28.

ἐπιδραμεῖν, προδραμεῖν ἢ πλέον δραμεῖν καὶ τὸν δρόμον ἐπιτείνειν, καὶ ὅτι ἐπίτασιν ὑπαγορεύει ἡ πρόθεσις. 810, 26. 1309, 29.

ἐπιδρομάδην διώκειν λέγεται κατὰ συνθήκην, ἐπιτροχάδην δὲ λαλεῖν. 524, 36.

ἐπίδρομον τεῖχος, τὸ καὶ ἀμβατὸν, τουτέστιν εὐάλωτον, περίδρομον δὲ τὸ στρογγύλον, ἀμφίδρομον δὲ τὸ ἑκατέρωθεν δρόμον ἔχον. 653, 56.

ἐπιεικὲς παρ᾽ Ὁμήρῳ τὸ ἐοικὸς καὶ πρέπον, οὐ μὴν τὸ μέτριον καὶ προσηνὲς ὡς παρὰ τοῖς ὕστερον. 148, 2. 721, 38. 1169, 20. 1176, 52. 1287, 13. 1441, 62. ἀλλαχοῦ δὲ ὅτι ἐπιεικὲς τὸ ἐοικὸς ἢ ᾧ τις εἴκει διὰ τὸ λόγου ἄξιον εἶναι ἐν τῷ, ἀλλ᾽ ἄγε οἱ δῶμεν ξεινήιον ὡς ἐπιεικές, Ὀδ. θ', 389. 1602, 52.

ἐπιεικὴς ὁ εἴκων ἢ πρέπων. 1298, 6.

ἐπιεικὴς ἀμοιβὴ, παρ᾽ Ὁμήρῳ ἡ ἐοικυῖα καὶ ἀναλόγως πρέπουσα, καὶ ὅτι οὐδαμοῦ ἐπὶ πραότητος τὸ ἐπιεικὲς παρ᾽ Ὁμήρῳ. 1727, 41.

ἐπιεικὴς τύμβος, Ἰλ. ψ', 246. ὁ εἴκων ἤγουν πρέπων νεκρῷ τινί. 1298, 6.

ἐπιεικτὸν σθένος ἡ ῥᾳδίως εἴκουσα δύναμις. 696, 17. 723, 53. ἀλλαχοῦ δὲ ὅτι ἐπιεικτὸν τὸ εἶκον καὶ μὴ ἀντιτυποῦν καὶ ᾧ ἄν τις εἴξοι ἐπιεικῶς διατεθείς. 1599, 6. καὶ πάλιν ἐπιεικτὸν τὸ εἶκον ἁφῇ, ὅ ἐστι μαλακόν. 1873, 63.

ἐπιεικῶς ἐπίῤῥημα ἀντὶ τοῦ λίαν. 148, 4.

ἐπιειμένος ἀναίδειαν, Ἰλ. α΄, 149. ὁ προφανῆ ὡς οἷά τι περίβλημα τὴν ἀναίδειαν ἔχων, ἢ ὁ ὡς ὅπλον προβεβλημένος τὴν ἀναίδειαν, καὶ ἐπιειμένος ἀλκὴν ὁμοίως. 69, 23. 712, 12.

ἐπιεισαμένη ἀντὶ τοῦ ἐπιπορευθεῖσα ἐν τῷ, καί ῥ᾽ ἐπιεισαμένη πρὸς στήθεα χειρὶ παχείῃ ἤλασεν, Ἰλ. φ΄, 424. 1244, 36.

ἐπιείσομαι, ἐπελεύσομαι, ἀπὸ τοῦ εἴω θέματος. 849, 36. 1217, 3. ἡ μετοχὴ ὁ ἐπιεισάμενος καὶ ἐπιεισαμένη, ζήτει τὸ ἐπιεισαμένη. 1244, 36.

ἐπιέσαι χλαῖναν, ἤγουν ἐπιβαλεῖν ἐπὶ σκεπάσματι, Ὀδ. υ΄, 143. 1886, 29.

Ἐπιζεφύριοι Λοκροί. 277, 23. ζήτει τὸ, Λοκροὶ ἔθνος.

ἐπιζυγῶσαι θύρας μοχλῷ, ἤγουν ἀσφαλίσαι. 956, 7. καὶ ἐπιζυγοῦσθαι λέγονται θύραι, ἤγουν κλείεσθαι. 1142, 49.

ἐπίηρα καὶ ἐπιήρανα τὰ ἐπιθυμητὰ, παρὰ τὸ ἐρᾶν· καὶ ἐπίηρα ἡ μετ᾽ ἐπικουρίας χάρις ἐν τῷ, μητρὶ φίλῃ ἐπίηρα φέρων, Ἰλ. α΄, 572. καὶ ὅτι ἐκ τοῦ ἐπιήρανον συγκέκοπται, σχηματισμὸς διεξοδικός. 152, 25—38. 561, 45. καὶ ἐπιήρανον τὸ προσηνὲς καὶ ἐράσμιον. 1283, 31.

ἐπιήρανον, ζήτει ἐν τῷ ἐπίηρα. 0000, 00.

ἐπιθαλάμιον τὸ ἐπὶ τῷ θαλάμῳ τῆς γαμουμένης γραφὲν ποίημα, γαμήλιον δὲ ὃ ἐπὶ τῷ γάμῳ ἁπλῶς κατὰ χρόνου πλατύτητα. 1541, 49.

ἐπιθεάζειν τὸ καταρᾶσθαι σὺν θεοῦ ἐπικλήσει. 1438, 36.

ἐπιθεῖναι θύρας ἀντὶ τοῦ κλεῖσαι. 974, 43. 1922, 35.

ἐπιθεῖναι λεχέων, παρ᾽ Ὁμήρῳ ἤγουν ἐπάνω θεῖναι· οἱ δὲ μεθ᾽ Ὅμηρον κατὰ δοτικὴν, ἐπιθεῖναι λέχεσι. 1366, 33.

ἐπιθεῖναι χρήματα τὸ προσεπιβαλεῖν καὶ ἐπέκεινα δοῦναι. 685, 3. ἀλλαχοῦ δὲ ὅτι ἐπιθεῖναι ἀντὶ τοῦ προσθεῖναι καὶ ἐπιβαλεῖν, καὶ τὸ ἁπλῶς ἐπάνω θεῖναι. 1347, 8. 1349, 29.

ἐπιθεῖτε εὐκτικὸν, τὸ θι δίφθογγον, ὅτι ἐκ τοῦ ἐπιθείητε συγκέκοπται· ἐπιθῆτε δὲ ὑποτακτικὸν, τὸ θι ἦτα. 1349, 27.

ἐπίθετα διάφορα γυναικῶν ἐκ τῶν κατὰ τὸ σῶμα καὶ τῶν κατὰ τὴν ψυχὴν ἀρετῶν. 46, 12.

ἐπίθετά τινα θηλυκὰ, μὴ ἀπὸ τῶν ἰδίων ἀρσενικῶν παρωνύμως, ἀλλὰ κατὰ κλητικὸν τύπον σχηματιζόμενα, οἷον ἀνδρικὴ γυνὴ λέγεται, οὐκ ἀνδρεία. 84, 23. implicite.

ἐπίθετα διάφορα στρατιωτῶν, ἀπὸ διαφόρων ὅπλων παρονομασθέντα. 70, 5.

ἐπίθετα λεγόμενα κατὰ τινῶν ὑποκειμένων, ἢ ὡς καθόλου τοιούτων ἢ ὡς ποτὲ τοιούτων, ὡς τὸ γλυκὺ κατὰ τοῦ ὕπνου ἐν τῷ, γλυκὺς ὕπνος. 1631, 45.

ἐπίθετά τινα καθ᾽ αὐτὰ λεγόμενα, συνεισάγοντα μὲν τὰ ὑποκείμενα καθ᾽ ὧν λέγονται, ἀτελῶς δὲ ὅμως λεγόμενα, οἷον τὸ βροτὸς, ὅπερ ἐντελῶς βροτὸς ἄνθρωπος λέγεται. 97, 42. καὶ τὸ πολιαὶ, ὑπακουομένου τοῦ τρίχες. 116, 27. καὶ κεστὸς, ὑπακουομένου τοῦ ἱμάς. 425, 29. 427, 19. 934, 36. 979, 18.

ἐπίθετα δύο ἀντὶ ἑνὸς προσηγορικοῦ, οἷον αὐλῶπις τρυφάλεια, παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ περικεφαλαία. 537, 5. καὶ ὅτι δύο ἢ τρία ἐπίθετα χωρὶς ὑποκειμένου κυρίου ἢ προσηγορικοῦ οὐ συνίστανται, διόπερ ἐν τῷ, νεκταρέου ἑανοῦ, τὸ ἑανοῦ ὡς προσηγορικὸν ὑπόκειται. 427, 33.

ἐπίθετα δύο χωρὶς κυρίου ἢ προσηγορικοῦ πότε συνίστανται, καὶ πότε οὔ· καὶ ὅτι θεῶν τινῶν ἐπίθετα ἴδια ὡσεί τινα κύρια ἑτέροις ἐπιθέτοις ὑπόκεινται. 1381, 10.

ἐπίθετά τινα οὐ καθόλου τοῦ ὑποκειμένου λεγόμενα, ἀλλὰ κατά τι ὡς διαφορὰ ἐκ παραδείγματος, οἷον πλατὺς Ἑλλήσποντος, αὐχὴν ἁπαλός. 666, 3.

ἐπίθετα, ἤγουν συμβεβηκότων ὀνόματα ἐξ ἀνάγκης οὐσίαις τισὶ παρακολουθούντων, ὅτι παρελκόντως ἐπιτίθενται ταῖς τῶν οὐσιῶν ἐκείνων προσηγορίαις, οἷον τάφρος ὀρυκτὴ, νέκυς τεθνηκώς. 1074, 23.

ἐπίθετα εὔφημα ἁπλῶς κατὰ τινῶν λεγόμενα διὰ τὸ κατά τι ἐκείνοις προσεῖναι, ὡς τὸ ἀμύμων κατὰ Πανδάρου, ἀνελευθέρου τινὸς καὶ ἐπιόρκου παρ᾽ Ὁμήρῳ. 535, 6.

ἐπιθετικὰ πληθυντικὰ καθ᾽ ἑνικοῦ ὑποκειμένου συλληπτικῶς λεγομένου, οἷον· Ζεῦ πάτερ εἴ μ᾽ ἐθέλοντες ἤγετε, Ὀδυσσ. υ΄, 98. 1885, 5.

ἐπίθετον ἀρσενικὸν κατὰ θηλυκοῦ ὑποκειμένου λεγόμενον, οἷον ἀργὸς στρατιὰ, καὶ κλυτὸς Ἱπποδάμεια. 174, 27. 550, 16. 723, 14. 1160, 3. 1174, 62. 1502, 36.

ἐπίθετον ἀρσενικὸν κατ᾽ οὐδετέρου προσηγορικοῦ ἐν τῷ, τέκνον φίλε, παρ᾽ Ὁμήρῳ. 1450, 54.

ἐπιθήκη ἐν ἴσῳ τῷ προσθήκη. 1349, 30.

ἐπίθημα, πῶμα οὐ μόνον τραπέζης καὶ κιβωτοῦ, ἀλλὰ καὶ χύτρας κατὰ συνθήκην. 1402, 5. 1604, 26. καὶ ὅτι παρὰ τὸ ἐπιθεῖναι, ὅ ἐστιν ἐπάνω θεῖναι καὶ ἐπιβαλεῖν, λέγεται. 1347, 5.

ἐπιθρώσκειν, ἤγουν ἐμπηδᾶν, οἷον, τύμβῳ ἐπιθρώσκων Μενελάου, Ἰλ. δ΄, 177. 462, 6.

ἐπιθύειν ἀντὶ τοῦ ἐφορμᾶν. 1137, 14.

ἐπιθυλλὶς ταὐτὸ ὅπερ γαθυλλὶς καὶ γήτειον, ἔστι δὲ εἶδος λαχάνου ἐοικὸς ἀμπελοπράσῳ. 1155, 20.

ἐπιθυμία, ὅτι τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς τόπος ἐστὶ τὸ ἧπαρ. 144, 20.

ἐπιίστωρ ὁ ἐπιστήμων ἐν τῷ, μεγάλων ἐπιίστορα ἔργων, Ὀδ. φ΄, 26. ἢ ὁ μεγαλουργός. 1900, 12.

Ἐπίκαρος, ὅτι οὕτως ἐκλήθη ποτὲ Ἐπίδαυρος ἡ πόλις. 287, 38.

ἐπικάρσιος λέγεταί τις φέρεσθαι, ἤγουν ἐπὶ κεφαλὴν, ἐγκάρσιος δὲ ὁ πλάγιος. 1615, 61.

Ἐπικάστη, ὅτι οὕτω καλεῖ Ὅμηρος Ὀδ. λ΄, 271. τὴν μητέρα Οἰδίποδος τὴν παρὰ τοῖς ὕστερον Ἰοκάστην. 1683, 56.

ἐπικεῖσθαι λέγονται θύραι, ὅ ἐστι κεκλεῖσθαι. 1549, 39.

ἐπικεκλιμέναι θύραι, ἀντὶ τοῦ συγκεκλεισμέναι. 895, 47.

γίζειν, οἷον, ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται, Ἰλ. δ', 190. 462, 29.

ἐπίμαστος ὁ τροφὴν μαστεύων, τουτέστιν ἐπαίτης. 1896, 38.

ἐπιμείλια τὰ ἐπὶ τῇ προικὶ διδόμενα δῶρα, ὅτι παρὰ τὸ μειλίσσειν τὸν νύμφιον οὕτω λέγονται καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως διαίτησις διεξοδική. 742, 56. 60.

ἐπιμελοῦμαι ὅτι καὶ ἐπιμέλομαι βαρυτόνως λέγεται. 1257, 11.

ἐπιμέμφεσθαι γενικῇ ἀντὶ τοῦ χρῄζειν, οἷον ἐν τῷ, εἴτ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται, Ἰλ. α', 65. καὶ, ἠὲ κασιγνήτοις ἐπιμέμφεαι, δοτικῇ ἀντιπτωτικῶς, Ὀδ. π', 97. 1795, 20.

Ἐπιμενίδης Φαίστιος ὅτι καθαρμοὺς δι' ἐπῶν ἔγραψε. 313, 19.

ἐπιμενίδιον λέγεται ἡ τοῦ ἀσφοδέλου ῥίζα. 1220, 60.

ἐπιμερισμὸς ἀθροίσματος ἀκαταλλήλως ἔχων κατὰ πτῶσιν πρὸς τὸ οἰκεῖον ἄθροισμα, οἷον ἐν τῷ, ἣν δ' ἔρις στρατηλάταις, οἱ μὲν πατάξαι τόνδε, οἱ δὲ τόνδε, ἀντὶ τοῦ τοῖς μὲν, τοῖς δέ. 236, 35. 517, 10. 545, 22.

Ἐπιμηθεὺς ὅτι παρὰ τὸ μήδω λέγεται τροπῇ τοῦ δ εἰς θ. 117, 19.

ἐπιμῆνις ὅτι πλεονάζουσαν ἔχει τὴν πρόθεσιν. 535, 46.

ἐπιμὶξ μάχεσθαι, παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ ἀναμίξ. 1411, 54.

ἐπιμονῆς σχήματος παράδειγμα. 181, 26. 1363, 55.

ἐπιμύλιος ᾠδὴ, ἣν ἐπὶ τοῖς μύλωσιν ᾖδον, τουτέστιν ἡ κατὰ τοὺς ἀλετοὺς γινομένη. 1164, 12. 1885, 23.

ἐπινεῦσαι ὅτι ἀντίκειται τῷ ἀνανεῦσαι, καὶ ὅτι ἴσον τῷ δοῦναι δύναται περὶ θεοῦ λεγόμενον παρ' Ὁμήρῳ. 644, 8.

ἐπίνευσις ὅτι ἀντίκειται τῇ ἀνανεύσει. 644, 6. ζήτει τὸ ἐπινεῦσαι.

ἐπινεφρίδιος δημὸς, ἡ ἐπὶ τοῖς νεφροῖς πιμελή. 1231, 40.

ἐπινομὶς, μέρος τι τριήρους ὁμωνύμως τῇ ἐκ τοῦ νόμου λεγομένῃ ἐπινομίδι. 1165, 48.

ἐπίξηνον, τὸ καὶ ἐπίκωπον καὶ ἐπικόρμιον. 1443, 16.

ἐπίξυνος ἄρουρα ἡ ἐπιμεριζομένη γῇ, ὅπως ἐκ κοινῆς ἰδία γένηται. 911, 56.

ἐπιόπτεσθαι, ἐπιτηρεῖν, διακρίνειν, ἐπιλέγεσθαι. 744, 30.

ἐπιορκεῖν τὸ κατὰ τοῦ ὅρκου τι ποιεῖν ἢ λέγειν. 809, 37.

ἐπίουρα ὁρμήματα παρὰ τὸ ὀρούειν, ἢ τὰ μεταξὺ διαστήματα παρὰ τὸν οὖρον, ἤγουν ὅρον. 811, 10.

ἐπίουρος ὅτι ἐκ τοῦ οὖρος, ὅ ἐστι φύλαξ σύγκειται, οὖρος δὲ παρὰ τὸ ὁρᾶν λέγεται. 1774, 33. 1889, 58. καὶ ὅτι καὶ ἀντὶ τοῦ βασιλεὺς τίθεται. 941, 37. καὶ ὅτι περισσὴν ἔχει τὴν πρόθεσιν, ὡς καὶ τὸ ἐπιβώτωρ. 1746, 47.

ἐπιόψομαι, ἐπιτηρήσω, διακρινῶ, ἐπιλέξομαι. 744, 30. καὶ ἐπιόψομαι ἀντὶ τοῦ ἀκριβῶς ἐπισκέψομαι καὶ προσεκτικῶς περιβλέψω, ἐπίτασιν σημαινούσης τῆς ἐπὶ προθέσεως. 1446, 14. 1869, 44.

ἐπίπαγος τὸ ἐπιπολῆς τοῦ ζωμοῦ. 1450, 45.

ἐπίπαππος ὁ τοῦ πάππου πατήρ. 565, 29. ἀλλαχοῦ δὲ ὅτι ἐπίπαππος λέγεται, οὐχὶ πρόπαππος. 971, 23.

ἐπίπαστα τὰ ἐπιπασσόμενα βρώμασί τισιν ἄλφιτα. 1278, 54. ζήτει τὸ, ἀλφίτων πάσμα. 1668, 27.

ἔπιπλα τὰ μὴ ἔγγαια κτήματα, ἀλλὰ τὰ κατ' οἶκον καὶ δυνάμενα πλεῦσαι, ἢ τὰ προφαινόμενα καὶ ἐπιπολάζοντα. 1469, 27.

ἐπιπλέκεσθαι γυναικὶ τὸ ἐπὶ συνουσίᾳ συμπλέκεσθαι. 1428, 30.

ἐπίπληξις, πλῆξις ἀέρος κατά τινος διὰ λόγων γινομένη. 901, 2.

ἐπιπλήσσειν ἐν ἴσῳ τῷ πλήττειν, ὅ ἐστι κόπτειν, ὅθεν καὶ τὸ λόγοις ἐπιπλήττειν. 821, 10.

ἐπιπλόμενον ἔτος, παρ' Ὁμήρῳ ὅτι ὁμοίως τῷ, περιπλομένων ἐνιαυτῶν, λέγεται. 1579, 59.

ἐπιπλὼς μετοχὴ ὅτι ἐκ τοῦ ἐπιπλώσας συνεκόπη, ὃ ἐκ τοῦ πλώω δισυλλάβου θέματος κεκίνηται. 382, 7. 643, 15. 1101, 64.

ἐπιποιμένες ἐν ἴσῳ τῷ ἁπλῶς ποιμένες παρ' Ὁμήρῳ, ὡς καὶ ἐπιβουκόλος ἀντὶ τοῦ ἁπλῶς βουκόλος. 1717, 48.

ἐπίπολος ὁ μέχρι τέλους πολιῶν καὶ παραμένων τινί. 642, 38.

ἐπιπόρπημα, καὶ ἐπιπόρπαμα Δωρικῶς, ἡ τῶν κιθαρῳδῶν ἐφαπτίς. 905, 54.

ἐπιπρητῆνες αἶγες, ὅτι κατὰ προσηγορίαν ἡλικίας οὕτω λέγονται. 1625, 35.

ἐπιπροεῖναι τὸ πρὸ τῶν ἄλλων κατά τινος ἀφεῖναι βέλος. 448, 30.

ἐπίπροικος θυγάτηρ ἡ ἐπὶ μέρει τινὶ τῆς πατρῴας οὐσίας γεγαμημένη. 675, 53.

ἐπιπώλησις, ἔφοδος. 591, 36. καὶ ὅτι ἐπιπώλησις ἐπιγράφεται ἡ δ' ῥαψῳδία τῆς Ἰλιάδος. 435, 16.

ἐπιῤῥέειν τὸ ἐπιπολαστικῶς ἐπιτρέχειν, αἰτιατικῇ παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον δοτικῇ. 336, 7.

ἐπιῤῥέπειν ὄλεθρος λέγεται τροπικῶς παρ' Ὁμήρῳ ἀντὶ τοῦ κάτω βαρύνειν. 969, 32.

ἐπιῤῥήδην ἐπίῤῥημα ἀντὶ τοῦ ῥητῶς καὶ ὀνομαστικῶς. 1856, 19.

ἐπιῤῥήματα τοπικῶν σχέσεων σημαντικὰ ἐκ προθέσεων γενόμενα, οἷον ἀνὰ ἄνω, κατὰ κάτω. 166, 29.

ἐπιῤῥήματα δισύλλαβα εἰς ᾱ μετὰ συμφώνου συλλαβιζόμενον λήγοντα, ἐξ ὑπερδισυλλάβων καθαρολήκτων σχηματιζόμενα, οἷον ὦκα ἐκ τοῦ ὠκέα. 86, 31.

ἐπιῤῥήματα εἰς ᾱ λήγοντα, μεταπεπλασμένα ἀπὸ ληγόντων εἰς η, οἷον δίχα ἐκ τοῦ διχῇ· καὶ ὅτι τελικόν ἐστιν ἐπιῤῥημάτων ὥς περ τὸ η, οὕτω καὶ τὸ ᾱ. 58, 45.

ἐπιῤῥήματα εἰς η λήγοντα, ἀπὸ δοτικῶν γεγονότα, ὅτι μετὰ τοῦ ἰῶτα προσγεγραμμένου γράφονται, οἷον ἄλλῃ, ταύτῃ. 1251, 25.

ἐπιῤῥήσσειν μοχλὸν ἀντὶ τοῦ ἐπιτιθέναι καὶ ἐπιβάλλειν, ὅπερ οἱ μεθ' Ὅμηρον καταῤῥήσσειν καὶ καταράσσειν φασὶν, ὅθεν ὁ καταράκτης. 1358, 25—35. 1359, 1.

ἐπίῤῥητος, καθ' οὗ ἔστι ῥηθῆναι πολλὰ, ἐν ἴσῳ τῷ κατάῤῥητος, τῆς ἐπὶ προθέσεως ἀντὶ τῆς κατὰ λαμβανομένης, ὡς καὶ ἐν τῷ ἐπιβόητος, καὶ ζήτει τὸ ἐπιβόητος. 736, 6. 763, 49. 922, 45. 1856, 18. 1962, 15.

ἐπίῤῥοθος ὁ μετὰ ῥόθου καὶ σπουδῆς βοηθῶν, καὶ ὅτι πρωτότυπόν ἐστι τοῦ ἐπιτάῤῥοθος, οὗ χρῆσις

πολλαχοῦ παρ' Ὁμήρῳ. 849, 35. 1329, 20. ζήτει τὸ ἐπιτάῤῥοθος.

ἐπίσιτος ἐν ἴσῳ τῷ παράσιτος. 1119, 8.

ἐπίσκοπος ἀντὶ τοῦ κατάσκοπος παρ' Ὁμήρῳ. 788, 8. 1575, 49. 13. ἀλλαχοῦ δὲ ὅτι ἐπίσκοπος ἀντὶ τοῦ ἀκριβὴς σκοπευτὴς, ἀκρίβειαν ὑπαγορευούσης τῆς προθέσεως. 810, 25. καὶ ἐπίσκοποι ἁρμονιάων, Ἰλιάδ. χ', 255. ἀντὶ τοῦ ἀνάδοχοι τῶν συνθηκῶν. 1268, 30.

ἐπισκύζεσθαι τὸ ὀργίζεσθαι παρ' Ὁμήρῳ. 756, 55.

ἐπισκυθίζειν ἀντὶ τοῦ ἀκρατέστερον πίνειν. 1398, 5.

ἐπισκύνιον τὸ ὑπὲρ τὰς ὀφρῦς μέρος τοῦ μετώπου, ὅτι παρὰ τὸ σκύζεσθαι, ὅ ἐστιν ὀργίζεσθαι, λέγεται. 441, 2. 723, 42. 1581, 6.

ἐπισκύνιον τὸ πρὸ τῶν ὀφθαλμῶν δέρμα τῶν λεόντων, ὃ ἐπιχαλᾶται τοῖς ὀφθαλμοῖς αὐτῶν θυμουμένων, ἱστορία φυσική. 1098, 62.

ἐπίσκυρος, τρόπος τις τῆς διὰ σφαίρας παιδιᾶς, ὅτι διὰ τὸ ἐπὶ σκύρου, ἤγουν λατύπης, ἑστῶτας τοὺς παίζοντας τῇ τῆς σφαίρας βολῇ ἀλλήλους διώκειν οὕτω λέγεται. 1601, 34.

ἐπισκύσαιτο, ἤγουν ὀργισθείη, ἀπὸ τοῦ σκύζεσθαι. 1581, 6.

ἐπισπαστὴρ θύρας, τὸ καὶ ἐπίσπαστρον, δι' οὗ ἔστιν ἐπισπάσασθαι, ὅ ἐστιν ἑλκύσαι, θύραν. 1429, 2.

ἐπίσπαστον κακὸν, ὅ τις καθ' ἑαυτοῦ ἐπισπᾶται, ὅ ἐστι τὸ αὐθαίρετον. 1837, 63. 1966, 58.

ἐπισπεῖν καὶ ἐπισπέσθαι ὑπαρέμφατα, καὶ ἐπισπὼν καὶ ἐπισπόμενος μετοχαὶ, ὅτι ἐκ τοῦ ἐπίσπον ἀορίστου δευτέρου κεκίνηνται. 1101, 57.

ἐπισπεῖν ὅτι ταὐτὸν δύναται τῷ ἐφέπειν, ὅ ἐστιν ἀκολουθεῖν, διώκειν καὶ καταλαβεῖν. 237, 33. 1252, 16.

ἐπισπεῖν θάνατον καὶ πότμον, παρ' Ὁμήρῳ ἤγουν ἐπακολουθεῖν θανάτῳ καὶ προκαταλαβεῖν τὸν θάνατον. 1211, 3. ἀλλαχοῦ δὲ ὅτι ἐπισπεῖν πότμον τὸ ἑκοντὶ ἐφέπεσθαι τῷ θανάτῳ. 1256, 16.

ἐπισπέρχειν τὸ κατεπείγειν καὶ σπουδάζειν. 442, 7.

ἐπίσπῃ, τρίτον πρόσωπον τοῦ ἐπίσπον ἀορίστου δευτέρου, οὗ καὶ τὸ ἐπισπεῖν ἀπαρέμφατον. 237, 34.

ἐπισπόμενοι μένεϊ σφῷ, ἤγουν ἐπακολουθοῦντες τῇ ἰδίᾳ δυνάμει. 1955, 45.

ἐπισπῶμαι τὸ εἰς ἐμαυτὸν ἕλκω, ὅτι παρὰ τὸ πῶ, ὅ ἐστιν κτῶμαι, λέγεται πλεονασμῷ τοῦ σ. 1052, 11.

ἐπισπὼν, ἤγουν ἀκολουθήσας, ζήτει ἐν τῷ ἐπισπεῖν. 237, 34.

ἐπισσεύειν τὸ ἐφορμᾶν καὶ τὸ ἐπιπέμπειν ἐν τῷ, ἢ ἔτι μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων, Ὀδ. ε', 421. 1537, 52.

ἐπισσεύας, ἤγουν ἐφορμήσας, Ὀδ. ξ', 399. ἀπὸ τοῦ ἐπισσεύω. 1765, 14.

ἐπισταδὸν ἀντὶ τοῦ ἐπιστημόνως παρὰ τὸ ἐπίστασθαι, καὶ ἀντὶ τοῦ ἑστηκότως παρὰ τὸ ἐφίστασθαι ἐν τῷ, νείκεον ἄλλοθεν ἄλλος ἐπισταδὸν, Ὀδ. μ', 392. 1728, 26.

ἐπιστάμενος ἀπολύτως ὁ σπουδαῖος εἴτουν ἀγαθὸς ἐν τῷ, σταθμῷ ἐπέλασσαν ἄγοντες ἀνδρὸς ἐπισταμένου, Ὀδ. ξ', 359. 1761, 61.

ἐπίστασθαι γενικῇ παρ' Ὁμήρῳ Ὀδ. φ', 406. ἐν τῷ, ἐπιστάμενος φόρμιγγος καὶ ἀοιδῆς, 1915, 4. καὶ ὅτι καὶ ἵπποι λέγονταί τι ἐπίστασθαι παρ' Ὁμήρῳ. 541, 28.

ἐπιστάτης ἀντὶ τοῦ ἱκέτης ἢ προσαίτης παρ' Ὁμήρῳ Ὀδ. ρ', 455. παρὰ δὲ τοῖς ὕστερον ὁ παιδαγωγὸς καὶ παιδοτρίβης, καὶ γυμνασίου ἐπιστάτης ὁ ἐπιμελητὴς, καὶ ἐπιστάτης ὁμωνύμως ὁ χυτρόπους· καὶ ὅτι ἐπιστάτης Ἀθήνῃσιν εἷς τῶν πρυτάνεων ἐλέγετο, καὶ ἱστορία διεξοδικὴ περὶ τοῦ τοιούτου ἀξιώματος· καὶ ἐπιστάτης, ξύλον τι πολλοὺς ἔχον πασσάλους, ἐξ ὧν ἀπεκρέμων τὰ μαγειρικὰ σκεύη· καὶ ἐπιστάτης, πήλινόν τι εἴδωλον πρὸς ταῖς ἐσχάραις ἱδρυμένον. 1398, 40. 1827, 44 — 57.

ἐπίστατος καὶ πυρίστατος ὁ χυδαϊκῶς πυροστάτης, ζήτει ἐν τῷ ἐπιστάτης. 1827, 56.

ἐπιστέλλειν ἐν ἴσῳ τῷ ἐντέλλεσθαι, ὅθεν καὶ ἐπιστολὴ ἀντὶ τοῦ ἐντολή. 829, 57.

ἐπιστέφειν κρατῆρας οἴνου, παρ' Ὁμήρῳ τὸ μέχρι τῆς στεφάνης, ὅ ἐστι τοῦ χείλους, ἐμπιπλᾶν ἢ μᾶλλον ὑπερχειλεῖς ποιεῖν. 137, 7. 1402, 59.

ἐπιστεφὴς οἴνου κρατὴρ, ἀντὶ τοῦ πλήρης. 1453, 15. ζήτει τὸ ἐπιστέφειν.

ἐπιστήμη, ὅτι ἐπιστήμας ὠνόμαζόν τινες τὰς καθ' ἕξιν ἀρετὰς διὰ τὸ μόνιμον. 654, 34. καὶ ὅτι καὶ αἱ τέχναι ἀκύρως ἐπιστῆμαι λέγονται. 1915, 7.

ἐπίστιον οὐδετέρως τὸ νεώριον, ἐπίστιος δὲ ἀρσενικῶς ταὐτὸ ὅ περ ἐφέστιος. 1579, 41.

ἐπίστιον τὸ ὡς εἰπεῖν ἐποίκιον, δηλοῖ δὲ τὸ νεώριον, οἷον ἐν τῷ, πᾶσι γὰρ ἐπίστιόν ἐστιν ἑκάστῳ, Ὀδυσσ. ζ', 265. λέγεται δὲ παρὰ τὴν ἱστίαν, ὅ ἐστιν ἑστίαν, καὶ ψιλοῦται Ἰωνικῶς. 1562, 33.

ἐπίστιος Ζεὺς ἐπωνυμικῶς λέγεται παρ' Ἴωσιν ἀντὶ τοῦ ἐφέστιος. 458, 24. 1562, 33.

ἐπίστιχος φυτεία ὅτι παρὰ τὸ κατὰ στίχον, ὅ ἐστιν εὐτάκτως, πεφυτεῦσθαι λέγεται. 1572, 16.

ἐπιστολὴ ἐν ἴσῳ τῷ ἐντολὴ παρ' Αἰσχύλῳ (Prom. 3. Pers. 780.), ὅτι παρὰ τὸ ἐπιτέλλειν, ὅ ἐστιν ἐντέλλεσθαι, λέγεται πλεονασμῷ τοῦ σ. 29, 15. 312, 6. 829, 56.

ἐπιστολὴ ὅτι διὰ τοῦ, πτυκτὸς πίναξ, περιγράφεται παρ' Ὁμήρῳ, καὶ ἐπιστολῆς ὑπογραφὴ αἰνιγματικὴ ἐκ τῶν τῆς Σαπφοῦς. 632, 9.

ἐπιστομία, ὅτι ἐπιστομίας ἀντὶ τοῦ ἐπισβολίας γράφει Ζηνόδοτος Ὀδυσσ. δ', 159. ἐν τῷ, ὧδ' ἐλθὼν τὸ πρῶτον ἐπεσβολίας ἀναφαίνειν. 1490, 23.

ἐπιστροφάδην, ἐνεργῶς, σπουδαίως, ἐπεστραμμένως ὧδε κἀκεῖσε. 819, 53. ἢ συνεστραμμένως καὶ ἰσχυρῶς. 1221, 15.

ἐπιστροφίδες αἱ συνεστραμμέναι τρίχες. 1561, 38.

ἐπίστροφος ἀνθρώπων ὁ ποιούμενος ἐπιστροφὴν τῶν ἀνθρώπων, ὅ ἐστι φιλόξενος, ἢ ὁ πάσχων ἐπιστροφὴν παρὰ τῶν ἀνθρώπων καὶ ἀγαπώμενος. 1408, 18. 1464, 30.

ἐπιστρωφᾶν τὸ περιέρχεσθαι ἐν τῷ, ἐπιστρωφῶσι πόληας, Ὀδ. ρ', 486. 1829, 33.

ἐπισυνεμπτωσις, κακία ἔπους διὰ λέξεων ὁμοιοκαταληξίαν καὶ τῶν αὐτῶν συμφώνων ἐπαλληλίαν συμβαίνουσα. 1291, 42.

ἐπίσφατος ὁ ὀλέθριος, παρὰ τὸ σφῶ φάζω, ὅ ἐστι φονεύω, πλεονασμῷ τοῦ σ. 1728, 13.

ἐπισφελίτης, ὁ καὶ θρανίτης, παρὰ τὸ σφέλας, ὅ ἐστιν ὑποπόδιον, ζήτει ἐν τῷ θρανίτης. 1818, 51.

ἐπισφύρια, μέρη τινὰ τῶν κνημίδων καλύπτοντα τὰ σφυρὰ τῶν ποδῶν. 420, 21. 36. 827, 21. ἀλλαχοῦ δὲ ὅτι ἐπισφύρια τὰ μετὰ τὸ σφυρὸν μέρη τοῦ ποδός. 1107, 57.

ἐπίσχειν ἀντὶ τοῦ ἐπέχειν, Ὀδ. ν', 266. 1891, 4.

ἐπισχεῖν τὸ ἐπάνω σχεῖν καὶ τὸ κρατῆσαι, ὅθεν τὸ ἐπίσχες ἀντὶ τοῦ σίγησον. 982, 64. 983, 3. ἀλλαχοῦ δὲ ὅτι ἐπισχεῖν τὸ ἐπί τινι ἤγουν ἔμπροσθεν καὶ ἐγγύς τινος σχεῖν τι, ἐν ἴσῳ τῷ παρασχεῖν, καὶ ὅτι ἀντίκειται τῷ ὑποσχεῖν. 769, 2. 1258, 60. 1808, 25.

ἐπισχερὼ ἀντὶ τοῦ ἐχομένως καὶ συνεχῶς καὶ κατὰ τάξιν, ὅτι ὀξύνεται καὶ παρὰ τὸ σχέω σχῶ λέγεται, ἑρμηνεία διεξοδική. 492, 42. 877, 7.

ἐπίσχες ἀντὶ τοῦ σίγησον, οἷον ἐν τῷ, ἐπίσχες ὦ οὗτος. 983, 4.

ἐπισχέσθαι τὸ τῇ χειρὶ κρατῆσαι, καὶ ἀντὶ τοῦ καταστοχάσασθαι διὰ τὸ ἐπέχειν, ὅ ἐστιν ἰστᾶν τὴν χεῖρα τὸν κατὰ σκοποῦ βάλλοντα. 1917, 19.

ἐπισχεσία ἡ πρόφασις, παρὰ τὴν ἐποχὴν καὶ σκέψιν τῶν προφασιζομένων. 1901, 46. 55.

ἐπίσωτρα τὰ ἔξω τῶν τροχῶν σιδήρεια κύκλα, οἱονεὶ ἐπίσωστρα, διὰ τὸ σωστικὰ εἶναι τῶν τροχῶν. 574, 28. 598, 6. 34. 1313, 27. καὶ ἐπισσώτροις δατεῖσθαι, παρ' Ὁμήρῳ τὸ τοῖς τῶν τροχῶν κανθοῖς διακόπτειν. 1214, 7.

ἐπιτάῤῥοθος, σπουδαῖος βοηθὸς, οἱονεὶ ἐπίῤῥοθος ἐκ τοῦ παρακολουθοῦντος ῥόθου ἤγουν ποιοῦ ἤχου, καὶ ὅτι ἐκ τοῦ ἐπίῤῥοθος λέγεται ἐπενθέσει τῆς ταρ συλλαβῆς. 487, 21. 25. 849, 35. 1217, 1. 1329, 20.

ἐπιτατικὰ μόρια, ὅτι καὶ ἡ ἐξ καὶ περὶ προθέσεις ἐπιτατικαί εἰσιν ἐν τῇ συνθέσει. 729, 31. καὶ ὅτι τῶν ἐπιτατικῶν τὰ μὲν καθ' αὑτὰ νοοῦνται καὶ λέγονται, οἷον λίαν, πάνυ, ἄγαν· τὰ δὲ νοοῦνται μὲν καθ' αὑτὰ, οὐ λέγονται δὲ καθ' αὑτὰ, οἷον τὸ ἀρι καὶ ἐρι καὶ βου καὶ ζα· καὶ ὅτι αἱ μὲν τῶν ἐπιτάσεων περὶ μίαν εἰσὶ λέξιν, αἱ δὲ ἐν νοήμασι θεωροῦνται. 1226, 8.

ἐπιτείλασθαι ἀντὶ τοῦ ἐντείλασθαι καὶ ἐπιτρέψαι, καὶ ἐπιτείλασθαί τινι κακόν τι, οἷον ἐν τῷ, νόστον Ἀχαιῶν λυγρὸν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη, Ὀδ. ά, 327. 1420, 48. 1615, 7.

ἐπίτειχος, τεῖχος ἐπὶ τείχει πόλεως, καὶ ὅτι τὰ χείλη οἱονεὶ ἐπίτειχός εἰσι τῶν ὀδόντων· 979, 5.

ἐπιτέλλειν τὸ προστάσσειν καὶ ἐντέλλεσθαι, καὶ ἐπιτέλλειν ἀντὶ τοῦ ἀνατέλλειν περὶ ἄστρων λεγόμενον, ὅθεν ἐπιτολὴ ἡ τῶν ἀστέρων ἀνατολή. 29, 12.

ἐπιτέλλειν καὶ ἐπιτέλλεσθαι ἀντὶ τοῦ ἐπιτάττειν καὶ ἐντέλλεσθαι, οἷον, χαλεποὺς ἐπιτέλλετ' ἀέθλους, παρ' Ὁμήρῳ, Ὀδ. λ', 622. 750, 49. 829, 54. 877, 38. 928, 16. 958, 38. 1704, 9.

ἐπιτέλλεσθαι ἐν ἴσῳ τῷ ἐπιτέλλειν. 877, 38.

ἐπιτετράφαται λαοὶ τῷ βασιλεῖ, ἤγουν ἀνάκεινται ὡς οἷα ἐπιτρόπῳ καὶ ἐπιμελητῇ, ἀπὸ τοῦ ἐπιτρέπω, ὅθεν καὶ ὁ ἐπίτροπος. 168, 6. 1116, 26.

ἐπιτηδειέστατος ἀντὶ τοῦ ἐπιτηδειότατος. 1441, 16.

ἐπίτηδες προπαροξυτόνως ἐπίῤῥημα, ἐπιτηδὲς δὲ ὀξυτόνως ὄνομα εὐθείας πληθυντικῆς. 67, 35.

ἐπιτηδὲς ἀντὶ τοῦ ἐπιτηδείους, ἐκ τοῦ ἐπιτηδεῖς ἀποβολῇ τοῦ ι, ἢ ἐκ τοῦ ἐπιτηδέας ἀποβολῇ τοῦ ᾱ. 1520, 53.

ἐπιτήθη, ὄνομα συγγενικὸν, ἀνάλογον τῷ ἐπίπαππος. 971, 25.

ἐπιτιμᾶν ἐν ἴσῳ τῷ ἐπιπλήττειν. 1919, 18.

ἐπιτιμητὴς, ὅτι οὕτως ἂν λεχθείη ὁ παιδαγωγὸς καὶ παιδοτρίβης. 1827, 45.

ἐπιτιμήτωρ ἀντὶ τοῦ ἐπόπτης καὶ βοηθὸς ἢ τιμωρὸς, ὅ ἐστιν ἐκδικητὴς, ἢ τιμητικὸς ἢ ἐπιτιμητής. 1629, 9.

ἐπίτιμος ὁ ἔντιμος, ἐπιτίμιος δὲ ὁ ἐπιζήμιος καὶ ἐπίπληκτος, καὶ ἐπιτίμιον πρᾶγμα ἐπιθετικῶς. 1919, 17.

ἐπιτλῆναι δοτικῇ ἐν τῷ, τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν, Ἰλ. τ', 220. τλῆναι δὲ αἰτιατικῇ. 1181, 8.

ἐπιτολὴ ἀστέρων ἡ ἀνατολή. 29, 15. καὶ ἐπιτολὴ ἐν ἴσῳ τῷ ἐντολή. 829, 56. ζήτει τὸ ἐπιτέλλειν.

ἐπίτονος, ἱμὰς ἀνέλκων τὸ κέρας ὑψοῦ πρὸς τὸν ἱστὸν, κατὰ δ' ἑτέρους ἐπίτονός ἐστι δέρμα, ᾧ πλοίου ἱστὸς κατασφαλίζεται. 1452, 57. 1729, 30.

ἐπιτραπεζώματα, τὰ καὶ ἐπιφορήματα, τὰ μετὰ τὰς μοίρας παρατιθέμενα. 1141, 9. ἀλλαχοῦ δὲ ὅτι ἐπιτραπεζώματα τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα. 1402, 5.

ἐπιτραπέουσιν, ἐκ τοῦ τραπῶ δευτέρου μέλλοντος ἀνηγμένου εἰς ἐνεστῶτα τῆς πρώτης τῶν περισπωμένων. 815, 45.

ἐπιτρέπειν τὸ ἀνατιθέναι, ὅθεν ἐπίτροπος, οἷον, ἀλλὰ θεοῖσι μῦθον ἐπιτρέψαι, Ὀδ. χ', 289. καὶ ἐπιτρέπειν γήρᾳ ἑαυτὸν λέγεται ὁ παραχωρῶν τῷ γήρᾳ ἐξουσιάζειν καὶ ἐπιτροπεύειν ἑαυτοῦ. 789, 20. 790, 47. 1116, 23. 28. 1926, 61.

ἐπιτρέχειν λέγονται παρ' Ὁμήρῳ ἅρματα ἐπακολουθοῦντα ἵπποις τρέχουσι. 1313, 18.

ἐπίτροπός τινος λέγεται, ᾧ τὸ οἰκονομεῖν τὰ ἴδια ἀνατέθεικέ τις, παρὰ τὸ ἐπιτρέπειν. 1116, 24. 1773, 35.

ἐπιτροχάδην λέγειν τὸ ἐσπευσμένως καὶ κατ' ἐπιδρομὴν εἴτουν κεφαλαιωδῶς καὶ κομματικῶς λέγειν. 407, 11. 1835, 36. καὶ ὅτι ἐπιτροχάδην μὲν λαλεῖν λέγεταί τις, ἐπιδρομάδην δὲ διώκειν. 524, 36.

ἐπιτύμβιος λόγος ἢ ἀγὼν, ὁ καὶ ἐπιτάφιος. 1673, 45.

ἐπίφαλλος, ὄνομα αὐλήσεως ποιᾶς. 1236, 56.

ἐπίφατος, ὅτι ἡ ἐπὶ ἀντὶ τῆς κατὰ ἀκούεται, ὡς καὶ ἐν τῷ ἐπιβόητος, ζήτει τὸ ἐπιβόητος. 1856, 12.

ἐπιφέρνια τὰ ἐπὶ τῇ φερνῇ διδόμενα τῷ νυμφίῳ ὑπὸ τῆς νύμφης. 1417, 14.

ἐπιφημίζεσθαι παρ' Ἡροδότῳ 3, 124. τὸ δι' ἀναμνήσεως ἐνυπνίου μαντεύεσθαι. 28, 28.

ἐπιφθύζειν ἀντὶ τοῦ ἐπιπτύειν, ἐξ οὗ καὶ γέγονε κατὰ τροπὴν τῶν ψιλῶν εἰς δασέα. 1392, 41. 1482, 43.

ἐπιφορὰ ἐν ἴσῳ τῷ καταφορά, ὅθεν καὶ ἐπιφορικὸς λόγος· ζήτει ἐν τῷ καταφορά. 1788, 12.

ἐπιφορεῖν χῶμα, ὅτι ἐκ τοῦ φορεῖν, ὃ δηλοῖ τὸ φέρειν, σύγκειται. 804, 45.

ἐπιφορήματα τὰ μετὰ τὰς μοίρας παρατιθέμενα. 1141, 7. ζήτει τὸ ἐπιτραπεζώματα.

ἐπιφράσασθαι τὸ βουλεύσασθαι καὶ διὰ χρόνου καταλαβεῖν. 592, 25.

ἐπιφρὶξ, ὅτι ἐν τῷ, οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἐπιφρὶξ, Ἰλ. ή, 63. ἢ πλεονάζειν νομιστέα ἡ πρόθεσις, ἢ κατ' ἀναστροφὴν ἀναγνωστέα. 665, 1.

ἐπιφρονέουσα γυνή, ταὐτὸ ὅ περ περίφρων παρ' Ὁμήρῳ. 1869, 42.

ἐπιφροσύνη ἡ φρόνησις, παρελκούσης τῆς προθέσεως, ἢ ἡ ἐπὶ τῇ προτέρᾳ ἐπιτιθεμένη ἢ ἡ ὕστερον ἐπιγενομένη φρόνησις. 1853, 36.

ἐπιφωνημάτων τινῶν ἔκθεσις καὶ ἑρμηνεία διεξοδική, οἷον ὢ πόποι, σχέτλιος, νήπιος. 1016, 28.

ἐπιχαίρειν, ἤγουν κατά τινος χαίρειν κατ' ἔχθραν. 1856, 10.

ἐπίχαλκος ἀσπὶς ὅτι πρὸς διαστολὴν τῆς πέλτης λέγεται. 905, 59.

ἐπιχειρεῖν δείπνῳ, ἀντὶ τοῦ ἄρξασθαι δειπνεῖν. 1964, 59.

ἐπιχραύειν τὸ ἐν χρῷ γενέσθαι καὶ ἐπελθεῖν, τουτέστιν ἐπιπεσεῖν καὶ βαρύνειν, οἷον, Δαναοὶ Τρώεσσιν ἐπέχραον, Ἰλ. π', 356. καί, μητέρι μοι μνηστῆρες ἐπέχραον, Ὀδ. β', 50. 1063, 24. 34. 1434, 7.

ἐπιψαύειν πραπίδεσσιν, ἀντιπτωτικῶς ἀντὶ τοῦ ψαύειν πραπίδων, τουτέστι φρόνιμον εἶναι, περιφραστικῶς. 1609, 42.

ἐπιωγαί, ἐξοχαὶ ἢ πλατεῖς αἰγιαλοί, μάλιστα δὲ τόποι ἀνεμοσκεπεῖς, ὅπου ἡ τῶν ἀνέμων ἰωή, ὅ ἐστι πνοή, ἄγνυται. 1540, 24.

ἔπλεν ἀντὶ τοῦ ἔπελεν κατὰ παρατατικὸν χρόνον. 889, 12. 33.

ἔπλεο ἀντὶ τοῦ ἐπέλεο, ὅ ἐστιν ὑπῆρχες, καὶ ἔστι παρῳχημένος ἀντὶ ἐνεστῶτος κατ' ἔθος Ἰωνικόν. 1269, 56.

ἔπληντο ἀντὶ τοῦ ἐπλησίασαν, οἷον ἀσπίδες ἔπληντ' ἀλλήλῃσιν, Ἰλ. δ', 449. 495, 43.

ἐπόγμιος Δημήτηρ ὅτι παρὰ τὸν ὄγμον λέγεται. 1161, 59.

ἐποικοδόμησις, σχῆμα λόγου τὸ καὶ κλιμακωτόν. 181, 36. 1205, 29.

ἐποίπνυον, ἤγουν ἐπονοῦντο, ζήτει τὸ ποιπνύειν. 1151, 38.

ἐποίχεσθαι ἱστὸν ἀντὶ τοῦ ὑφαίνειν περιφραστικῶς, ἢ ἀντὶ τοῦ ἐπιστατεῖν ταῖς ὑφαινούσαις, Ἰλ. ά, 31. 31, 5. 9. καὶ ἐποίχεσθαι ἐν ἴσῳ τῷ φονικῶς ἐπάρχεσθαι, οἷον, Θρήικας ἐπῴχετο Τυδέος υἱός, Ἰλ. κ', 487. 819, 63. καὶ ἐποίχεσθαι ἔργον, ὁμοίως τῷ ἱστὸν ἐποίχεσθαι. 1423, 23.

ἐπομνύειν καὶ ἐπόμνυσθαι τὸ καταφατικῶς ὀμνύειν. 1450, 38.

ἐπομνύναι τὸ ἐνόρκως καταφάσκειν, ἀπομνύναι δὲ τὸ ἐνόρκως ἀποφάσκειν. 809, 34.

ἐποποιία καὶ ἐποποιὸς ὅτι ἐκ τοῦ ἔπος καὶ τοῦ ποιεῖν σύγκειται, καὶ ὅτι ποιήσεως εἶδος ἡ ἐποποιία, ζήτει τὸ ἔπος καὶ τὸ ποιεῖν. 3, 46. 4, 6.

ἐπορούειν τινί, οὐ μόνον τὸ πολεμικῶς ἐφορμᾶν, ἀλλὰ καὶ τὸ ἁπλῶς πρός τινα ἐλθεῖν. 608, 30.

ἔπος ληγόντων οὐδετέρων ἀναλογία, οἷον ἔπω ἔπος, βλέπω βλέπος. 1392, 28.

ἔπος ἁπλῶς μὲν ὁ λόγος, ἰδίως δὲ ὁ ἔμμετρος λόγος, καὶ ἔπη οἱ χρησμοί, παρὰ τὸ ἕπεσθαι τὰ πράγματα τοῖς χρησμοῖς, καὶ περὶ τοῦ πνεύματος τῆς λέξεως διαίτησις. 3, 41. 4, 2. ἀλλαχοῦ δὲ ὅτι ἔπος παρ' Ὁμήρῳ ὁ ἁπλῶς λόγος, παρὰ δὲ τοῖς νεωτέροις ἔπη λέγονται οἱ ἔμμετροι στίχοι πλὴν τῶν ἡρωικῶν. 1380, 61.

ἐποστρακισμός, εἶδος παιδιᾶς δι' ὀστράκων ἐπιρριπτομένων κατὰ τῆς ἐπιφανείας τοῦ ὕδατος. 1161, 34.

ἐποτρύνειν ἀντὶ τοῦ ἐπιβάλλειν ἐρεθισμὸν πολλαχοῦ παρ' Ὁμήρῳ. 1441, 9.

ἐπουράνιος, ὅτι ἡ ἐπὶ ἀντὶ τῆς ἐν λαμβάνεται καὶ δηλοῖ τὸν ἐν οὐρανῷ. 1575, 48.

ἐποχλεύς, ξύλον τι διαβαλλόμενον διὰ τῶν τροχῶν ἐν τοῖς κατάντεσι τόποις πρὸς τὸ ἐπέχειν τὴν καταφοράν, ὅτι παρὰ τὸ ὀχλεῖν λέγεται. 1944, 26.

ἔποχος μανίας λέγεται ὁ μανίας ἐπιβεβηκώς, τουτέστι μανικός. 210, 42.

ἐπόψησις ταὐτὸ ὅ περ ὄψον ἢ προσόψημα. 868, 13.

ἐπόψιος τόπος ὁ ὑψηλός, καὶ ἐπόψιος ἄνθρωπος ὁ περίβλεπτος ἐπὶ κακῷ, Ἰλ. γ', 42. 380, 38.

ἑπτὰ ἐπὶ Θήβας, καὶ ἔκθεσις τῶν ὀνομάτων αὐτῶν, καὶ γενεαλογία τῶν ἐπιγόνων αὐτῶν. 489, 36.

ἑπταβασίλειον, μύρον ποιὸν οὕτω καλούμενον. 1425, 41.

ἑπταβόειον σάκος τὸ ἑπτάβυρσον καὶ ἑπτάπτυχον. 678, 29. 861, 32.

ἑπτάμην μέσου ἀορίστου πρῶτον, τὸ ἀπαρέμφατον πτάσθαι, ὅθεν τὸ διαπτάσθαι παρ' Εὐριπίδῃ, ἡ μετοχὴ ὁ πτάμενος, ὁ δεύτερος ἐπτόμην, τὸ ἀπαρέμφατον πτέσθαι. 526, 45. 1419, 43. 1679, 50.

ἑπταπόδης ἀντὶ τοῦ ἑπτάπους, ὅτι ἐκ τῆς ἑπτάποδος γενικῆς γέγονε μεταποιήσει τῆς ἐσχάτης. 1684, 32. παρ' Ἡσιόδῳ δὲ ἑπτάποδος ὕξων λέγεται ἀναχθείσης τῆς γενικῆς εἰς εὐθεῖαν. 1040, 8.

Ἑπτάπορος, ὄνομα ποταμοῦ, ὅτι ἐκ τοῦ ἑπτάκις κατά τι χωρίον διαβαίνεσθαι οὕτως ὠνομάσθη. 889, 60.

ἑπτάπυλοι Θῆβαι αἱ Βοιώτιαι, ὅτι ἑπτὰ πύλας εἶχον αἱ Θῆβαι διὰ τὴν ἑπτάχορδον λύραν Ζήθου καὶ Ἀμφίονος, δι' ἧς ἐτειχίσθησαν. 1683, 5. καὶ ὅτι Ὅμηρος ἑπτάπυλον Θήβην ἑνικῶς λέγει. 490, 8.

Ἔπταχα ἀντὶ τοῦ ἐπταχῇ. 1766, 45.

ἐπτόμην μέσου ἀορίστου δευτέρου, οὗ πρῶτος ἐπτάμην, τὸ ἀπαρέμφατον πτέσθαι, ὅθεν τὸ ἐπιπτέσθαι παρ' Ὁμήρῳ. 526, 46. 961, 42. 1248, 55. 1419, 43. 1679, 50.

ἐπωβελία τὸ ἐπιδέκατον, ὅτι παρὰ τὸν ὀβολὸν λέγεται. 1405, 27.

ἐπώμοσις ἡ θέσις, ἀπώμοσις δὲ ἡ ἄρσις. 809, 32.

ἐπῶν ἐμμέτρων κακίαι τινὲς καὶ ἁπλῶς ποιότητες, ἑρμηνεία διεξοδική. 353, 35.

ἐπώνυμον πολλαχοῦ παρ' Ὁμήρῳ τὸ παρὰ τοῖς ὕστερον φερώνυμον. 776, 47. 1567, 55. 1871, 30.

Ἐπώπη, ὅτι οὕτως ἐκλήθη πάλαι ἡ Ἀκροκόρινθος παρὰ τὸ ἐποπτεύειν, ἱστορία. 290, 25.

ἐπώχαται παρακειμένου, καὶ ἐπώχατο ὑπερσυντελίκου ἀντὶ τοῦ ἐπεπορεύθησαν, ἢ ἀντὶ τοῦ δι' ὀχέων ἤτοι μοχλῶν ἠσφαλίσαντο, περὶ πυλῶν λεγόμενον, καὶ ἀντὶ τοῦ ἀνεῳγμέναι ἦσαν περὶ πυλῶν ὁμοίως. 909, 13. 17.

ερ λήγουσαι κλητικαὶ βαρύτονοι, ἀπὸ εὐθειῶν ὀξυτόνων κεκινημέναι, οἷον πατὴρ πάτερ, ἀνὴρ ἄνερ, σωτὴρ σῶτερ. 1388, 42,

ἔρα ἡ γῆ ποιητικῶς. 414, 27.

ἔραδε ἀντὶ τοῦ εἰς τὴν ἔραν, ἤγουν εἰς τὴν γῆν. 153, 27.

ἔραμαι ἔρασαι ἔραται, πρόσωπα παρακειμένου ἐκ τοῦ ἐράω ἐρῶ ἐράσω ἐνεστῶτος ἀναυξήτως κεκινημένου, ᾧ καὶ ἰσοδυναμεῖ κατὰ τὴν σημασίαν. 433, 23. 735, 64. 989, 54.

ἐρᾶν λέγεταί τις τῶν ἐν ὄψει, ποθεῖν δὲ τὰ ἀπόντα. 1679, 15.

ἐρανισταὶ οἱ ἐξ ἐράνων, ὅ ἐστι συμβολῶν συνδειπνοῦντες. 1118, 13.

ἐραννὴ ὅτι ἐκ τοῦ ἐρατεινὴ συγκέκοπται. 772, 18.

Ἔραννος δυσὶ νν, ὅτι οὕτως ἐκλήθη ποτὲ πόλις τῆς Φωκίδος, ἢ καὶ Κυπάρισσος. 274, 8.

Ἔρανος ἡ ἀπὸ κοινῆς συμβολῆς ἤγουν καταβολῆς καὶ δαπάνης πολλῶν τινῶν γινομένη εὐωχία. 1085, 48. 1412, 61. ἀλλαχοῦ δὲ ὅτι ἔρανος ἡ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγή, εἴτουν συναγωγή· ὅτι ἐκ τοῦ συνεράσθαι καὶ συμφέρειν ἕκαστον οὕτω λέγεται. 1119, 12. 1702, 6.

ἔραπτον δι' ἑνὸς ρ φύσει καὶ κοινῶς, Ἀττικῶς δὲ δυσί. 1805, 49.

ἐρατεινὴ πόλις ἐπιθετικῶς, ἢ εὐδαίμων ἢ ἀξιέραστος. 429, 16.

ἐρατεινὸν τὸ ἐρατὸν καὶ ἐπιθυμητόν, παρὰ τὸ ἐράω ἐρῶ. 1599, 6.

ἐρατίζειν κρεῶν λέγεται λέων παρ' Ὁμήρῳ περιφραστικῶς ἀντὶ τοῦ πεινᾶν. 1122, 29.

ἐρατὸν τὸ ἐρωτικὸν καὶ ἐράσμιον, ἀπὸ τοῦ ἐράω ἐρῶ. 383, 46. 1598, 5.

ἐρατός, ἐπιθυμητός, ὅτι ἐκ τοῦ ἐραστὸς γέγονεν ἀποβολῇ τοῦ σ. 1795, 63. ἀλλαχοῦ δὲ ὅτι ἐρατὸς μὲν ἀπὸ τοῦ ἐράω ἐρῶ, ἐραστὸς δὲ ἀπὸ τοῦ ἐράζω. 1598, 5.

ἔργα βοῶν τὰ γεωργικὰ καὶ ἡ δι' ἁμαξῶν ξυλαγωγία. 1650, 6.

ἔργα γάμου παρ' Ὁμήρῳ τὰ εἰς γάμον χρήσιμα λέγονται. 568, 29.

ἔργα κατ' ἐξοχὴν τὰ γεωργικὰ ἐν τῷ, ὄφρα μέν κ' ἀγροὺς ἴομεν καὶ ἔργ' ἀνθρώπων, Ὀδ. ζ, 259. 1562, 11.

ἔργα νέμεσθαι τὸ ἐργάζεσθαι τὴν γῆν πολλαχοῦ παρ' Ὁμήρῳ. 337, 20.

ἐργάζεσθαι κατ' ἐξοχὴν τὸ γεωργικῶς πονεῖσθαι. 660, 17.

ἐργάζεσθαι ἔργα παρ' Ὁμήρῳ, ὅτι ἐτυμολογικῶς εἴρηται. 1932, 53.

ἐργάνη Ἀθηνᾶ ὅτι παρὰ τὸ ἐργάζεσθαι λέγεται. 122, 46.

ἐργατίνας ὁ ἐργάτης καὶ περὶ γῆν πονούμενος. 660, 18.

ἐργάτις γυνὴ ἡ πόρνη εὐφήμως λέγεται. 1088, 37.

ἐργεπείκτης ὅτι παρὰ τὸ ἐπείγειν λέγεται. 588, 15.

Ἐργῖνος ὁ Κλυμένου Ὀρχομένιος τῆς Βοιωτίας δασμὸν Θηβαίοις ἐπιθείς, ἱστορία καὶ γενεαλογία. 272, 31.

ἔργον τὸ δύσκολον πρᾶγμα παρὰ τοῖς Ἀττικοῖς. 1169, 23. 1208, 51. καὶ ἔργον ἡ γεωργία πολλαχοῦ παρ' Ὁμήρῳ, παρὰ τὴν ἔραν καὶ γῆν, δύο ταὐτοσήμων λέξεων. 437, 1. 1762, 37. καὶ ὅτι ἐπὶ γεωργίας ἀπολύτως λέγεται, ἐπὶ δὲ τῶν ἄλλων σημαινομένων δεῖ προσθήκης τινός. 660, 16. καὶ ὅτι καὶ ἐπὶ πολέμου τίθεται παρ' Ὁμήρῳ. 1101, 41. καὶ ὅτι ἐπὶ μόνων ἀνθρώπων κυριολεκτεῖται. 629, 15. καὶ ὅτι ἔργον ἁπλῶς τὸ ἀγαθὸν ἀκούεται, οἷον ἐν τῷ, ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει ἔργον ἐποίχεσθαι, Ὀδ. ρ, 226. 1818, 29.

ἔργον ἀντὶ τοῦ βάρος ἐν τῷ, μέγα ἔργον, περὶ λίθου λεγόμενον Ἰλ. ε, 303. υ, 286. ἐκ τοῦ ἔρα καὶ γῆ ταὐτοσήμων λέξεων· καὶ ἔργον ἀντὶ τοῦ δύσεργον πρᾶγμα, ὅθεν ἐργῶδες τὸ δυσχερὲς καὶ δυσμεταχείριστον. 549, 32.

ἔρδειν τὸ πράττειν καὶ τὸ θύειν, ἐκ τοῦ ῥέζειν κατὰ μετάθεσιν καὶ τροπὴν τοῦ ζ εἰς δ. 218, 36. 226, 7. 441, 38. 773, 23. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ῥέδειν Βοιωτικοῦ γέγονε κατὰ μετάθεσιν. 984, 1. καὶ ὅτι δασύνεται ὡς ἐκ τοῦ ῥέζω γενόμενον. 1572, 42.

ἐρεβεννὴ νὺξ ἡ σκοτεινή, ἢ καὶ σκοτομηνία. 128, 43.

ἐρέβινθος, ὄσπριον καὶ τὸ αἰδοῖον τοῦ ἀνδρὸς ὁμωνύμως. 948, 47.

ἐρεγμὸς ὁ διακεκομμένος κύαμος. 1285, 64.

ἐρέειν φῶς λέγεται ἡ Ἠὼς παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀγγεῖλαι. 1297, 3.

ἐρέειν ὅτι πρωτότυπόν ἐστι τοῦ ἐρευνᾶν, καὶ ταὐτὸ δύναται ἐν τῷ, κνημοὺς ἐξερέῃσιν, Ὀδ. δ, 337. 1498, 44.

ἐρεείνειν ἀντὶ τοῦ προσφωνεῖν ἐν τῷ, μηδέ τινα προτιόσσεο μηδ' ἐρέεινε, Ὀδ. ψ, 365. 1950, 24.

ἐρεείνεσθαι ἐν ἴσῳ τῷ ἐρεείνειν ἐν τῷ, ἄφαρ δ' ἐρεείνετο μῦθον, Ὀδ. ρ, 305. 1821, 55.

ἤρεζε, τρίτον πρόσωπον παρατατικοῦ χρόνου, ὅτι καὶ δι' ἑνὸς ρ γράφεται διὰ μέτρου χρείαν. 245, 16.

ἐρέθειν ἀντὶ τοῦ ἐρεθίζειν καὶ κακολογεῖν καὶ εἰς ἔριν θυμικὴν παρακινεῖν παρ' Ὁμήρῳ. 143, 28. 1122, 21. 1825, 26. ὅτι παρὰ τὸ ἔρω, ὃ ἐκ τοῦ εἴρω, ὃ δηλοῖ τὸ εἰς μάχην συμπλέκω, λέγεται. 31, 36. 1048, 39. καὶ ὅτι τὸ ἐρέθειν

πρωτότυπόν ἐστι τοῦ ἐρεθίζειν. 1518, 55.

ἐρείδειν τὸ πρὸς ἔριν ἀντιβαίνειν καὶ ἀνθίστασθαι, καὶ ἀντὶ τοῦ ὠθεῖν καὶ ἀντὶ τοῦ στοιβάζειν ἐν τῷ, ἀλλήλῃσιν ἐρείδουσαι, Ὀδ. χ', 450. 1048, 38. 1094, 33. 1933, 34. ἀλλαχοῦ δὲ ὅτι ἐρείδειν τὸ ἑδραιοῦν καὶ ἀντιβαίνειν, καὶ ἐρείδειν γυναῖκα ἀντὶ τοῦ βινεῖν ὁμωνύμως παρὰ τοῖς κωμικοῖς. 1570, 3. καὶ ὅτι ἐκ τοῦ ἔρα καὶ ἱδρύειν σύγκειται. 1304, 15. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ἔρω, ἐξ οὗ καὶ τὸ ἐρέθω καὶ τὸ ἐρίζω. 1048, 38.

ἐρείκειν ἐν ἴσῳ τὸ ῥήσσειν. 941, 21. ἀλλαχοῦ δὲ ὅτι ἐρείκειν τὸ σχίζειν, ὅθεν ἐρείκη φυτὸν, καὶ ἐρεικτὰ ὄσπρια. 1524, 64.

ἐρείκη φυτὸν ὅτι παρὰ τὸ ἐρείκω λέγεται, ὃ δηλοῖ τὸ ῥήσσω ἢ σχίζω. 941, 23. 1107, 59.

ἐρεικτὰ ὄσπρια τὰ σχιστὰ, παρὰ τὸ ἐρείκειν, ὅθεν καὶ ἐρείκη τὸ φυτὸν λέγεται. 941, 23. 1524, 64.

ἐρεικτὸς πυρὸς ὁ μὴ εἰς ἄλευρα ἀληλεσμένος, ἀλλ' ὥστε δύο ἐξ ἑνὸς γενέσθαι. 941, 24.

Ἐρεικώδης, ὄνομα μιᾶς τῶν Αἰόλου νήσων. 1644, 35.

ἔρειο ἀντὶ τοῦ ἐρώτησον, ὅτι ἐκ τοῦ ἔρεο γέγονε πλεονασμῷ τοῦ ῑ. 866, 11.

ἐρείπιον, οἰκίας καταῤῥιφείσης ἔδαφος, παρὰ τὸ ἐρείπω, ὅ ἐστι καταβάλλω. 436, 43.

ἐρείπτω καὶ ἀνερείπτω, ὅθεν τὸ ἀνηρείψαντο παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ ἐρέπτω λέγεται. 539, 11.

ἐρείπω ἐν ἴσῳ τῷ καταβάλλω, ὅθεν ἐρείπιον. 1019, 64.

ρεῖσαι στόμα νεκροῦ, Ὀδ. λ', 426. ἀντὶ τοῦ ἁρμόσαι ὡς μὴ διαχάσκειν. 1692, 29.

ἐρείω τὸ ἐρωτῶ, παρὰ τὸ ἔρω πλεονασμῷ τῆς ει διφθόγγου. 43, 40.

Ἐρεμβοὶ ἔθνος ὅτι μέρος εἰσὶ τῶν νοτίων Αἰθιόπων, τινὲς δὲ Ἐρεμβοὺς τοὺς Ἰνδοὺς νοοῦσι παρὰ τὸ ἔρεβος, ὅ ἐστι τὴν μελανίαν, ἄλλοι δὲ τοὺς Τρωγλοδύτας παρὰ τὸ εἰς ἔραν ἐμβαίνειν αὐτοὺς διὰ τὸν καύσωνα. 1484, 36. 64 — 1485, 5.

ἐρεμνὴ αἰγὶς λέγεται ἐπιθετικῶς διὰ τὸ ἐκ τῶν συννεφειῶν ἔρεβος, ὅ ἐστι σκότος. 1119, 41.

ἐρεμνὸς ὁ μέλας, οἱονεὶ ἐρεβενὸς κατὰ συγκοπὴν, παρὰ τὸ ἔρεβος. 460, 38. 1458, 1. 5. καὶ ἐρεμνὸν αἷμα τὸ μέλαν. 683, 45.

ἐρενοβοσκὸς, ὁ καὶ ἀρηνοβοσκὸς, ὅ ἐστι προβατοβοσκός. 799, 36.

ἔρεξα, φύσει μὲν δι' ἑνὸς ρ̄, Ἀττικῶς δὲ δυσί. 763, 25. 789, 2. 1434, 47. 1494, 25. 1632, 37. καὶ ὅτι διὰ τὸ μέτρον ἐνίοτε οὐ διπλάζει τὸ ρ̄. 1316, 46.

ἐρέουσα ἀντὶ τοῦ ἀγγελοῦσα ἐν τῷ, Ζηνὶ φόως, πολλαχοῦ παρ' Ὁμήρῳ, ἀπὸ τοῦ εἴρω, ὃ δηλοῖ τὸ ἀγγέλλω. 170, 40. 1937, 3.

ἐρέπτειν τὸ ἀπὸ γῆς λαμβάνειν, παρὰ τὴν ἔραν, ὃ δηλοῖ τὴν γῆν καὶ τίθεται ἐπὶ ἀλόγων τροφῆς. 344, 37. 1414, 41.

ἐρέπτεσθαι λέγονται τὰ ἄλογα, ἤγουν εἰς ἔραν, ὅ ἐστι γῆν, κύπτειν εἰς τροφῆς ἀνάληψιν. 539, 10. 730, 3. καὶ ἐρέπτεσθαι ἐν ἴσῳ τῷ ἐρέπτειν ἐν τῷ, δημὸν ἐρεπτόμενον, Ἰλ. φ', 204. καὶ ὅτι καὶ ἰχθύες ὡς καὶ τὰ τετράποδα ἐρέπτεσθαι λέγονται παρ' Ὁμήρῳ. 1231, 37.

ἐρέριπτο ἀντὶ τοῦ ἐῤῥίπτο ἢ κεχάλαστο, ὑπὸ τοῦ ἐρείπω. 964, 31.

ἔρεσθαι τὸ πυνθάνεσθαι καὶ πολυπραγμονεῖν. 1457, 27. καὶ ὅτι τὸ ἐρέσθαι, καίπερ χρόνου μέσου ἀορίστου δευτέρου ὂν, ὅμως προπαροξύνεται, ὁμοίως τῷ φέρεσθαι, δέρεσθαι, ἅ περ ἀναλόγως προπαροξύνονται ὡς ἐνεστῶτος ὄντα. 1045, 4.

ἐρέσσειν καὶ ἐρετμὸς ὅτι κατὰ τὰς κινήσεις ποτὲ μὲν φυλάττουσι τὸ ἀρκτικὸν ε̄, ποτὲ δὲ καὶ τὸ ῑ προσλαμβάνουσι, ποτὲ δὲ εἰς ο ἢ εἰς η̄ μεταβάλλουσι. 1509, 11.

ἐρέται κυλίκων, ὅτι οὕτως ἐκάλει τις σκωπτικῶς τοὺς πολυπότας. 1243, 17.

ἐρετμὰ ὅτι κατὰ γένους μεταπλασμὸν λέγεται ἀπὸ τοῦ ἐρετμὸς ἀρσενικοῦ. 1517, 53.

Ἐρέτρια, πόλις Εὐβοίας μεγίστη μετὰ Χαλκίδα, καὶ ἄλλα τινὰ περὶ Ἐρετρίας διεξοδικῶς, ἐν οἷς καὶ ὅτι λευκότατα ἄλφιτα ἔφερεν. 279, 27 — 280, 10. 1462, 60.

Ἐρετριεῖς ὅτι ἐκωμῳδοῦντο ὡς πολλῷ ῷ ρῶ στοιχείῳ χρώμενοι. 492, 15.

ἐρεύγεσθαι εἰς θάλασσαν λέγονται οἱ ποταμοὶ, ἐπεὶ καὶ στόματα ἔχειν λέγονται. 1545, 14.

Ἐρευθαλίων κύριον ὅτι παρὰ τὸ ἔρευθος λέγεται, οἱονεὶ Ἐρευθίων καὶ ἐπενθέσει τῆς ᾱλ συλλαβῆς Ἐρευθαλίων. 477, 35. 671, 61. 672, 3.

ἐρευθέδανον, τὸ κοινῶς ἐρυθρόδανον, καὶ ἐρευθεδάνῳ κεχρισμέναι αἰγαῖ αἱ ἐρυθροβαφεῖς παρ' Ἡροδότῳ. 603, 7.

ἐρευνῶ, ὅτι ἐκ τοῦ ἐρέω γίνεται ἐρεύω, καὶ προσθέσει τοῦ ν̄ ἐρευνῶ, ὡς ἵκω ἱκνῶ. 670, 62. 1498, 44. 1900, 27.

ἐρεῦσαι γαῖαν, ὅ ἐστιν ἐρυθρῶσαι, λέγεται παρ' Ὁμήρῳ ὁ ἐκ τραύματος ἀποθανών. 1145, 42. 53.

Ἐρεχθεῖδαι οἱ Ἀθηναῖοι, ἀπὸ Ἐρεχθέως. 1568, 56.

ἐρέχθειν ἀντὶ τοῦ διατέμνειν καὶ σχίζειν ἐν τῷ, θυμὸν ἐρέχθειν, παρ' Ὁμήρῳ. 1524, 63.

ἐρέχθεσθαι ἀντὶ τοῦ ἐρεχθίζεσθαι ἐν τῷ, νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν, Ἰλ. ψ', 317. 1303, 12.

Ἐρεχθεὺς ὅτι γεννηθῆναι μὲν ἐκ Γῆς μυθεύεται, τραφῆναι δὲ ὑπ' Ἀθηνᾶς, ἀλληγορία. 283, 9.

Ἐρεχθέως δόμος ἡ Ἀττικὴ, καὶ Ἐρεχθεῖδαι οἱ Ἀθηναῖοι, ἀπὸ Ἐρεχθέως. 1568, 56.

ἔρεψα ἀντὶ τοῦ ὠρόφωσα, Ἰλ. ά, 39. 36, 3.

ἐρέω ὅτι ἀντὶ τοῦ ἐρῶ ἐπενθέσει τοῦ ε̄. 981, 24.

ἐρέων ἀντὶ τοῦ ἐρευνῶν ἐν τῷ, τὰς ἐρέων Ὀδυσῆι συνήντετο, Ὀδ. φ', 31. 670, 51. 1899, 27.

ἔρζω ἀντὶ τοῦ ῥέζω, ὅ ἐστι πράττω, ἐξ οὗ καὶ γέγονε κατὰ μετάθεσιν, χρῆσις δὲ αὐτοῦ ἐν τῷ, ἔρξον ὅπως ἐθέλεις, Ἰλ. δ', 37. 118, 6.

ερη λήγοντα θηλυκὰ βαρυνόμενα, ἀπὸ ὀξυτόνων διὰ τοῦ ειρη γι-

νόμενα, οἷον δέρη ἐκ τοῦ δειρή. 139, 40.

ἐρήμεια ὅτι ἐκ τοῦ ἐρήμη λέγεται κατὰ παραγωγὴν, ὡς ἐκ τοῦ Πηνελόπη τὸ Πηνελόπεια πολλαχοῦ παρ' Ὁμήρῳ. 449, 30.

ἐρήμη, θηλυκὸν τοῦ ἔρημος, ὅτι καὶ παρὰ τοῖς Ἀττικοῖς ἐστὶν ἐν χρήσει, καὶ ὅτι τὸ ἐρήμην ἁλῶναι, ὅ ἐστι καταδεδικάσθαι, ἐλλιπῶς λέγεται, ἑρμηνεία διεξοδική. 1467, 21. καὶ ὅτι καὶ ἔρημος λέγεται ἐπὶ θηλυκοῦ κατὰ γένους κοινότητα. 1725, 29.

ἐρῆμον προπερισπωμένως παρὰ τοῖς ἀρχαίοις, ὡς ἑτοῖμον, ἐν ἴσῳ τῷ ἔρημον καὶ ἕτοιμον, ἑρμηνεία διεξοδική. 531, 32.

ἐρηρέδαται τρίτον πληθυντικὸν ὅτι ἐκ τοῦ ἐρήρεισται ἐσχημάτισται πλεονασμῷ τῆς δα συλλαβῆς καὶ ἀποβολῇ τοῦ ι τῆς διφθόγγου καὶ τοῦ σ. 1300, 64. 1569, 59.

ἐρήρικα, Ἀττικὸς παρακείμενος ἀντὶ τοῦ ἔσχισα. 734, 53.

ἐρήριπα, μέσος παρακείμενος ἀπὸ τοῦ ἐρείπω κατὰ συστολὴν τῆς παραληγούσης. 964, 32.

ἐρητύειν, οἱονεὶ εἰρκτύειν, παρὰ τὴν εἰρκτήν. 80, 30.

ἐρητύειν, κωλύειν. 197, 45.

ἐρητύειν τὸ κωλύειν, οἱονεὶ εἰρκτύειν, παρὰ τὴν εἰρκτὴν, καὶ ἐρητύεσθαι τὸ κατέχεσθαι· καὶ ὅτι ἐρητύεσθαι ὁ θυμὸς λέγεται τῷ παυομένῳ ὀργῆς, πολλαχοῦ παρ' Ὁμήρῳ. 200, 7. 780, 7. 931, 60.

ἐρητύσασκεν, ἐκώλυε, τὸ θέμα ἐρητυσάσκω, ἀπὸ τοῦ ἐρητύω ἐρητύσω ἐρήτυσα ἀορίστου παραχθέν. 199, 12. 200, 5.

ερι ἐπιτατικὸν ὅτι ἐκ τῆς περὶ προθέσεως γέγονε. 701, 17.

ἔρια προβάτων λέγονται, τρίχες δὲ χοίρων. 1657, 9.

ἐριαύχενες ἵπποι ἐπιθετικῶς οἱ ὑψαύχενες καὶ γαῦροι. 807, 12. καὶ ὅτι ταὐτὸ δύναται τῷ δουλιχόδειροι. 838, 17.

ἐριβῶλαξ, ὅτι ἐκ τοῦ ἐρίβωλος παρῆκται ἡ λέξις. 1228, 25.

ἐρίγδουπος, ὅτι προϋπάρχει αὐτοῦ τὸ ἐρίδουπος χωρὶς τοῦ γ, οὗ χρῆσις ἐν τῷ, ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων, Ἰλ. υ, 50. 1195, 34. καὶ ὅτι τῆς Ἠπειρωτῶν διαλέκτου ἐστὶν ἡ προσθήκη τοῦ γ. 1064, 8.

ἐριδαίνω ὅτι παρὰ τὸ ἐρίζω λέγεται τροπῇ τοῦ ζ εἰς δ, καὶ ὅτι καὶ ἐριδμαίνω λέγεται. 153, 24. 234, 34.

ἐριδήσασθαι τὸ ἐρίσαι, ἀπὸ τοῦ ἐριδῶ δευτέρου μέλλοντος ἀνηγμένου εἰς ἐνεστῶτα, 1330, 16.

ἐριδμαίνειν ἀντὶ τοῦ ἐρεθίζειν καὶ εἰς ἔριν κινεῖν, παρὰ τὴν ἔριν καὶ τὸ μαίνεσθαι, ἢ παρὰ τὸ ἐριδαίνω πλεονασμῷ τοῦ μ. 1059, 4. καὶ ὅτι ταὐτὸ δύναται τῷ ἐριδαίνειν, καὶ ὅτι παρὰ τὸ ἐρίδω, ὅ ἐστι ἐρίζω, λέγονται. 1570, 11.

ἐρίδουπος ταὐτὸν τῷ ἐρίγδουπος. 1195, 34. ζήτει τὸ ἐρίγδουπος.

ἐρίδουπος αἴθουσα λέγεται διὰ τὸ ἐκκεῖσθαι ἀνέμοις. 1347, 54. ζήτει τὸ αἴθουσα. 1890, 25.

ἐρίζειν τὸ συγκρίνεσθαι εἴτουν παραβάλλεσθαι καὶ ἐξισοῦσθαι, οἷον, ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω, Ὀδ. θ', 223. καὶ ὅτι παρὰ τὸ ἔρω παρῆκται, ὅθεν καὶ τὸ ἐρέθω. 1048, 39. 1483, 64. 1593, 13.

ἐρίζεσθαι ἀντὶ τοῦ ἐρίζειν Ἀττικῶς, οἷον ἐν τῷ, καὶ κλέος ᾧ οὔτις τοι ἐρίζεται, Ἰλ. ε', 172. 535, 18.

ἐρίηρες ἑταῖροι οἱ ἄγαν πρὸς φιλίαν ἀρηρότες, ὅ ἐστιν ἡρμοσμένοι, ἢ οἱ ἄγαν ἐραστοὶ ἢ ἀρεστοί. 382, 11. 470, 26. 738, 59. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ ἀρέσασθαι λέγεται ἡ λέξις. 1604, 54.

ἐρίηρος ἀοιδὸς ὁ ἐναρμονίως ᾄδων, παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω καὶ ἐρίηρες ἑταῖροι οἱ ἡρμοσμένοι ἀλλήλοις κατὰ φιλίαν. 1422. 16. ἀλλαχοῦ δὲ ὅτι ἐρίηρος ἀοιδὸς ὁ λίαν ἁρμονικός. 1584. 61.

ἐριθακὶς γυνὴ ἡ μισθώτρια. 412, 41. 1162, 23.

ἐριθεύειν τὸ φαύλως ἐρίζειν. 1162, 23.

ἐριθηλὲς ἔρνος ὅτι παρὰ τὸ θάλλειν λέγεται. 1094, 63.

ἔριθοι, ἐριουργοὶ γυναῖκες, παρὰ τὸ ἔριον· καὶ ἔριθοι οἱ ἀμητῆρες, παρὰ τὴν ἔραν. 1162, 20. ἀλλαχοῦ δὲ ὅτι ἔριθος παρὰ τὴν ἔριδα. 1553, 40.

ἐρίμυκος βοῦς ἐπιθετικῶς, καὶ ὅτι καὶ βρονταῖς καὶ τυφώνων ἐκπνοαῖς ἐπιτίθεται ἡ λέξις. 1329, 37.

ἐρινάζειν τὸ ταῖς ἡμέροις συκαῖς ἐρινοὺς, εἴτουν ὀλύνθους, περιάπτειν. 653, 54. καὶ ὅτι καὶ ἐξερινάζειν λέγεται. 1204, 2.

ἐρινεὸς, τόπος πετρώδης, εἴτουν ῥάχις ὀρεινὴ ἔξω τῶν τειχῶν τῆς Τροίας περιεκτικὸς ἐρινεῶν, καὶ ὅτι ἐκ τοῦ ἐρινὸς πλεονασμῷ τοῦ ε λέγεται. 652, 43. 48. 1204, 64. 1263, 13. 1698, 33.

ἐρινεὸς τὸ δένδρον, ὅ ἐστιν ἡ ἀγρία συκῆ, ἐρινὸς δὲ ὁ καρπὸς αὐτοῦ. 653, 52. ἀλλαχοῦ δὲ ὅτι ἐρίνεος ὁ καρπὸς λέγεται προπαροξυτόνως. 1536, 17. καὶ ὅτι καὶ ἐπὶ ἁπλῶς ξύλου τίθεται ἡ λέξις ἐν τῷ, ὁ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ τάμνεν, Ἰλ. φ', 37. 1222, 17.

ἐρινεὸς ὅτι καὶ ἐρινὸς λέγεται, ὅθεν τὸ ἐρινεός. 1205, 2. καὶ ὅτι καὶ δίφοροι καὶ τρίφοροι ἐρινεοὶ ἱστοροῦνται· καὶ παροιμία, πέπων ἐρινὸς ἄλλους ἐξερινάζει, καὶ ἑρμηνεία τῆς παροιμίας. 1205, 2.

Ἐριννύες, μυθικά τινα δαιμόνια ἐν Ἅιδου, ὅτι ναρκίσσῳ στεφανοῦσθαι μυθεύονται διὰ τὸ τοῦ ναρκᾶν αἴτια γίνεσθαι τοῖς κολαζομένοις. 87, 25. καὶ ὅτι διαφόρως ἐτυμολογεῖται ἡ φωνὴ, καὶ Ἐριννύων διάφοροι ἐπωνυμίαι καὶ ποιότητες, ἑρμηνεία διεξοδικωτάτη. 763, 26 — 42. 55.

Ἐριννύες μητρὸς, παρ' Ὁμήρῳ αἱ μητρικαὶ ἀραὶ, δι' ὧν αἱ Ἐριννύες ἐρεθίζονται κατὰ τῶν φαύλων παίδων. 1244, 27. καὶ ὅτι ἐλλιπῶς λέγεται ἀντὶ τοῦ, αἱ ὑπὲρ τῆς μητρὸς ἢ αἱ τῆς μητρὸς τιμωροί. 1684, 53.

ἐρινὸς ἀρσενικῶς ἡ ἀγρία συκῆ τὸ δένδρον, ὅθεν τὸ ἐρινεός, ἐρινὸν δὲ οὐδετέρως ὁ καρπός. 1205, 2. 1536, 14. ζήτει τὸ, ἐρινεὸς τὸ δένδρον.

ἔριον ὅτι ὡς ἴχνιον τονίζεται, εἰρίον δὲ ὡς τειχίον. 1489, 12.

ἐριούνης Ἑρμῆς ὁ λίαν ὠφελῶν παρὰ τὸ ἔρι καὶ τὸ ὀνῶ, ἢ ὁ χθόνιος παρὰ τὴν ἔραν. 1194, 39. 1599, 20. καὶ ὅτι ἐριούνης μὲν παρ' ἑτέροις λέγεται, ἐριούνιος δὲ παρ' Ὁμήρῳ. 1354, 37.

ἐριπεῖν τὸ εἰς ἔραν πεσεῖν ἐτυμολογικῶς, καὶ ἐριπεῖν ἐξοπίσω τὸ κλιθέντα ὕπτιον πεσεῖν. 1280, 33.

ἐρίπῃσι, τρίτον πρόσωπον δευτέρου ἀορίστου ὑποτακτικοῦ ἀπὸ τοῦ ἐρείπω θέματος. 1117, 5.

Ἔρις, μυθικὴ δαίμων, ὁ ἐρεθισμὸς ἀλληγορικῶς ἐνίοτε παρ' Ὁμήρῳ. 826, 41. καὶ ὅτι παρὰ τὸ εἴρειν, ὅ ἐστι συμπλέκειν, λέγεται. 1490, 47. καὶ ὅτι ἔρις πολέμου λέγεται παρ' Ὁμήρῳ πρὸς διαστολὴν ἑτεροίων ἐρίδων. 1105, 44.

ἔρισμα ἡ φιλονεικία, Ἰλ. δ', 38. παρὰ τὸ ἔρις. 441, 36.

ἐριστάφυλος ἄμπελος ἡ μεγάλας φύουσα σταφυλάς, ἐριστάφυλος δὲ οἶνος ὁ ἐκ μεγάλων σταφυλῶν γενόμενος. 1618, 57.

ἐριστὸν τὸ ἀντιλεγόμενον, νήριστον δὲ τὸ ἀνέριστον καὶ ἀναντίῤῥητον. 1273, 30.

ἐρισύβη, δρόσος διαφθείρουσα τὰ σπόριμα. 310, 35.

ἐρισφάραγος ὁ πολύηχος, παρὰ τὸ σφαραγεῖν. 1636, 9.

ἐρίφλοιοι δρύες, ὅτι αἱ πλατύφυλλοι καὶ ἄκαρποι οὕτω καλοῦνται παρὰ Περγαμηνοῖς. 994, 41.

ἔριφοι, ὅτι ἐν Μήλῳ τῇ νήσῳ εὐφορία γέγονέ ποτε ἐρίφων, ἱστορία· καὶ ἔριφοι ὁμωνύμως ἀστροθέτημά τι. 1348, 61. 63.

Ἐριφύλη, θυγάτηρ Ταλαοῦ ἀδελφοῦ Ἀδράστου, Ἀμφιαράου δὲ τοῦ μάντεως γυνή, καταδιαιτήσασα τοῦ ἀνδρὸς Ἀμφιαράου ἐπὶ δώροις, ἱστορία. 1688, 3. καὶ Ἐριφύλης ὅρμος ἀνατεθεὶς τῷ ἐν Δελφοῖς Ἀπόλλωνι ὑπὸ Ἀλκμαίωνος τοῦ υἱοῦ αὐτῆς, ἱστορία. 1697, 40.

Ἐριχθόνιος Τρωικὸς, ἕτερος παρὰ τὸν τοῦ μύθου τὸν ἐκ τοῦ ἐρίου καὶ τῆς χθονὸς γινόμενον. 1205, 45.

Ἐριώλης, ὄνομα ἑνὸς τῶν Ποσειδῶνος ἵππων, ὅτι διὰ τὰς ἐν τῇ θαλάσσῃ γινομένας καταιγιδώδεις ἐριώλας πέπλασται τοὔνομα. 918, 17.

Ἐριῶπις κύριον ὅτι ταὐτὸ δύναται τῷ βοῶπις καὶ τῷ Εὐρώπῃ. 955, 17. 1018, 43.

ἑρκάνη ταὐτὸ ὅπερ ἕρκος, ὅ ἐστι φραγμός. 969, 2. 1578, 21.

ἑρκεῖος Ζεὺς ἐλέγετο παρὰ τὸ συντηρεῖν πάντας τοὺς ἐν τῷ αὐτῷ ἕρκει κατοικοῦντας. 1057, 31. καὶ ὅτι τὸ κι διὰ διφθόγγου γράφεται ὡς ἀπὸ τοῦ ἕρκος ἕρκεος, καὶ ὅτι Σοφοκλῆς (Ant. 487.) διὰ τοῦ, ἑρκεῖον Δία, τοὺς ἐν οἴκῳ πάντας δηλοῖ. 1930, 30.

ἑρκίον αὐλῆς τὸ τεῖχος, ἐκ τοῦ ἕρκος κατὰ παραγωγὴν, καὶ ὅτι παροξύνεται ἡ λέξις. 233, 44. 1839, 52.

ἑρκῖται οἱ κατ' ἀγρὸν οἰκέται κατὰ γλῶσσαν. 1024, 40.

ἕρκος, μέρος τι τῆς οἰκίας περὶ τὴν αὐλήν. 764, 47. καὶ ἕρκος ὁ φραγμός, παρὰ τὸ εἴργω. 233, 38. καὶ ἕρκος, πλέγμα τι ἐκ τριχῶν ὁμωνύμως. 968, 1. 1572, 20. καὶ ὅτι πρὸς πολλά τινα λέγεται κατὰ συνθήκην, οἷον ἕρκος οἰκίας καὶ κήπου καὶ ἑτέρων. 969, 4.

ἕρκος ἀγκίστρου τὸ ἄνω αὐτοῦ χάλκωμα. 969, 3.

ἕρκος ἀκόντων ἡ ποδηνεκὴς ἀσπὶς κατ' ἐπίθεσιν παρ' Ὁμήρῳ. 1035, 62

ἕρκος ἀλωῆς ὁ τοῦ ἀμπελοφύτου χωρίου φραγμός. 526, 9.

ἕρκος αὐλῆς τὸ περὶ τὴν αὐλὴν τειχίον. 1930, 23.

ἕρκος ὀδόντων, αὐτοὶ οἱ ὀδόντες παρ' Ὁμήρῳ περιφραστικῶς. 969, 3.

ἕρκος πολέμου λέγονται οἱ ἀνδρεῖοι. 105, 10. 621, 56.

ἕρκος χάλκειον ἡ ἐκ τῶν ὅπλων ἀσφάλεια. 1031, 15.

ἕρκος, δικτυῶδές τι μηχάνημα ἢ σχοῖνος, ἧς βρόχοι ἀπῃώρηνται πρὸς ὀρνίθων ἄγραν. 1934, 33.

ἕρμα πόλεως, παρ' Ὁμήρῳ κατὰ τὰς διαφόρους σημασίας τῆς ἕρμα φωνῆς ἑρμηνευόμενον, Ὀδ. ψ', 121. ὅτι δασύνεται ἡ λέξις. 1941, 40.

ἕρμα ἔρυμα, κώλυμα ἢ ὑπέρεισμα, ἢ τὸ ἐντιθέμενον ταῖς ναυσὶ βάρος πρὸς τὸ μὴ ἀνατρέπεσθαι. 451, 30. 1075, 33. καὶ ὅτι παρὰ τὸ εἴρω λέγεται ἡ λέξις. 1847, 40.

Ἑρμαϊκὴ κύλιξ, ἴσον ἴσῳ κεκραμένη, ὅτι τὸ διττὸν τοῦ εἰς λόγον ἀλληγορουμένου Ἑρμοῦ αἰνίττεται. 640, 55.

Ἕρμαιον, ὄνομα ὄρους, καὶ ἕρμαιον τὸ τυχηρὸν εὕρημα, ὅτι προπαροξύνεται. 460, 11. 1809, 43. καὶ ὅτι διὰ τὸ τοῖς κέρδεσιν ἐπιστατεῖν τὸν Ἑρμῆν ἕρμαιον λέγεται τὸ κατὰ τύχην εὑρεθὲν ἀγαθόν. 999, 11.

Ἑρμαῖος ἢ Ἕρμαιος λόφος, τόπος τις ἢ βωμὸς ὑπὲρ τῆς Ἰθακησίων πόλεως Ἑρμῇ ἀνακείμενος· οἱ δὲ ὅτι σωρὸς λίθων ἦν ἐνόδιος, οὕτω καλούμενος ἐκ τῶν ἐπὶ καθάρσει τῶν ὁδῶν ὑπὸ Ἑρμοῦ ἐκβληθέντων λίθων, ἢ τῶν ἐπὶ καταδίκῃ τοῦ Ἑρμοῦ καταβληθεισῶν ψήφων συσταθεὶς, ἱστορία καὶ μῦθος· ἄλλοι δὲ προσηγορικῶς τὰ τῶν διαστημάτων τῶν ὁδῶν σημεῖα οὕτω καλεῖσθαι φασί· καὶ ὅτι τοῦ εἰς λόγον ἀλληγορουμένου Ἑρμοῦ σύμβολόν φασί τινες εἶναι τὸν Ἑρμαῖον λόφον, καὶ ἐπεξεργασία τῆς τοιαύτης ἀλληγορίας. 1809, 26—44. καὶ ὅτι προπερισπᾶται ἡ λέξις, κατασκευὴ ἐξ ἀναλογίας. 960, 15. 1809, 42.

ἕρματα τὰ τῶν νεῶν ἐρείσματα, τὰ καὶ φαλάγγια, ὅτι δασύνεται ἡ λέξις· καὶ ἕρμα, κόσμος ἐνώτιος ὁμωνύμως, καὶ ἕρμα ὀδυνῶν τὸ ἐνέρεισμα, καὶ ἕρματα νεὼς τὸ ἐντιθέμενον βάρος πρὸς ἰσοῤῥοπίαν, ὅπερ αἱ μὴ ἔχουσαι ἀνερμάτιστοι λέγονται. 140, 7. 16. 194, 27.

ἕρματα τὰ τοῖς ὠτίοις ἐνειρόμενα κόσμια, παρὰ τὸ ἐνείρεσθαι, ὁμωνύμως τοῖς τῶν νεῶν ἕρμασι· καὶ ὅτι δασύνεται ἡ λέξις, καὶ ὅτι ἕρμα καὶ ἡ ἐν θαλάσσῃ πέτρα λέγεται. 976, 30.

Ἑρμείω, φωνὴ γενικῆς πτώσεως, ὅτι ἐκ τοῦ Ἑρμείεω συνεκόπη. 775, 59.

ἑρμηνευτικὰ μόρια παρὰ τοῖς χυδαΐζουσι τὸ ἤτοι καὶ εἴτουν καὶ ἤγουν. 50, 14.

Ἑρμῆς ὅτι Μαίας υἱὸς λέγεται διὰ τὸ θρεπτικὸς εἶναι ζῴων καὶ μαιευτικὸς, διὰ τὸ τοῦ λόγου, εἰς ὃν ἀλληγορεῖται ὁ Ἑρμῆς, ζητητικὸν καὶ ἐρευνητικόν. 1766, 14.

Ἑρμῆς, λάρῳ εἰκαζόμενος διὰ τὸ λευκὸν, ὅ ἐστιν ἐναργὲς, τοῦ λόγου, ἢ παρὰ τὸ λαρὸν, ὅ ἐστιν ἡδύ. 87, 18. 1522, 52.

Ἑρμῆς χθόνιος καὶ οὐράνιος καὶ θαλάσσιος καὶ καταχθόνιος καὶ ψυχοπομπὸς ἐπωνυμικῶς, καὶ ἑρμηνεία ἀλληγορικὴ ἑκάστης τῶν ἐπωνυμιῶν. 561, 34.

Ἑρμῆς τρικέφαλος ὅτι τὸ τριττὸν τοῦ φιλοσοφικοῦ λόγου αἰνίττεται. 1504, 62.

Ἑρμῆς ὅτι τετρακέφαλος λέγεται διὰ τὸ τετραμερὲς τῆς φιλοσοφίας, καὶ ἄλλως διὰ τὸ πολυδύναμον τοῦ λόγου, καὶ περὶ τῶν δυνάμεων αὐτοῦ ἑρμηνεία. 1353, 2.

Ἑρμῆς καὶ Πὰν ὅτι κυβείας προστάται ἐνομίζοντο. 1397, 27.

Ἑρμῆς ὅτι κλοπῆς καὶ ἀπάτης ἔφορος ἐνομίζετο, ἱστορία καὶ ἀλληγορία. 1337, 15. 22.

Ἑρμῆς ὀπηδεῖν λέγεται τῷ ἐλλόγως κλέπτοντι, Ὀδ. τ', 398. καὶ ὅτι κλεπτικῆς ἐπιστάτης ὁ Ἑρμῆς ἐνομίζετο. 1870, 50.

Ἑρμῆς νόμιος, ὅτι τὸν Ἑρμῆν οἱ ποιμένες ἐθεράπευον ὡς νόμιον καὶ αὐξητικὸν τῶν θρεμμάτων. 1766, 1.

Ἑρμῆς ὅτι ὕπνου προστάτης ἐνομίζετο. 1471, 20. καὶ ὅτι ἐν ὥρᾳ κοίτου ἔσπενδον αὐτῷ οἱ Ἕλληνες ὡς ὀνειροπομπῷ καὶ ὑπνοδότῃ. 1574, 36.

Ἑρμῆς οἰνοχοεῖν τοῖς θεοῖς μυθεύεται πρὸς αἴνιγμα τοῦ δεῖν κατὰ λόγον προχωρεῖν τὰ συμπόσια. 1205, 17.

Ἑρμῆς ὅτι ἐντεταμένος εἴτουν ὀρθιάζων ἵδρυτο παρὰ Πελασγοῖς, ἱστορία. 1249, 8.

Ἑρμῆς ὅτι πλουτοδότης ὁ αὐτὸς καὶ ἀποστερητικὸς καὶ κλέπτης ἐνομίζετο. 999, 10. 13.

Ἑρμῆς, ὅτι τῷ Ἑρμῇ ὑστάτῳ ἔσπενδον οἱ Ἕλληνες, καὶ ὅτι καὶ εἶδός τι πόσεως Ἑρμῆς ἐκαλεῖτο. 1470, 62. 64.

Ἑρμῆς ἐντυπούμενος τοῖς κλινόποσι. 1598, 36. ὅθεν ἑρμῖνες οἱ κλινόποδες. 1944, 57. ζήτει το ἑρμὶς ἑρμῖνος. 1598, 34.

Ἑρμῆς ὁ δραστήριος λόγος, ζήτει ἐν τῷ λόγος. 10, 19.

Ἑρμῆς ὅτι παρὰ τὸ εἴρω, ὅ ἐστιν ἀγγέλλω, λέγεται, οἱονεὶ Εἰρέας καὶ πλεονασμῷ τοῦ μ̄ Ἑρμέας, καὶ συναιρέσει Ἑρμῆς, ὅθεν καὶ περισπᾶται ἡ λέξις. 182, 12. 1951, 13.

ἑρμῖνες οἱ κλινόποδες, παρὰ τὸ ἕρμα ἢ παρὰ τὸ ἐνείρεσθαι τοῖς τρήμασι τῆς κλίνης. 1944, 57. ἢ παρὰ τὸ τὸν Ἑρμῆν ἐντυποῦσθαι τοῖς κλινόποσι. 1944, 57. ζήτει τὸ ἑρμὶς ἑρμῖνος. 1598, 34.

Ἑρμιόνη, πόλις Πελοποννησιακὴ, ἀπὸ τοῦ ἐκεῖ πρῶτον ὁρμισθῆναι τὸν Δία καὶ τὴν Ἥραν οὕτω κλεισθεῖσα, καὶ ὅτι καὶ Ἑρμιὼν λέγεται, καὶ ἱστορίαι τινὲς περὶ τῆς πόλεως. 284, 39.

Ἑρμιόνη, θυγάτηρ Μενελάου καὶ Ἑλένης, ὅτι Ὀρέστῃ πρῶτον ἐξεδόθη, εἶτα Νεοπτολέμῳ τῷ Ἀχιλλέως, καὶ πάλιν τῷ Ὀρέστῃ, ἱστορία διεξοδική. 1479, 10.

ἑρμὶς ἑρμῖνος ὁ κλινόπους, ὅτι καὶ ἑρμὶν δικαταλήκτως λέγεται, καὶ ὅτι παρὰ τὸ ἕρμα εἶναι τῆς κλίνης οὕτω λέγεται, ἢ παρὰ τὸν τοῦ ὕπνου δοτῆρα Ἑρμῆν, ὃς καὶ ταῖς ἑρμῖσι διὰ τοῦτο ἐνετυποῦτο. 1598, 34.

Ἕρμος ποταμὸς ὅτι δινήεις λέγεται ἐπιθετικῶς διὰ τὸ δύσπλωτον, καὶ ὅτι ἐκ Δινδυμήνης ὄρους τῆς Μυσίας ἄρχεται καὶ διὰ τῆς κατακεκαυμένης φερόμενος ἐκδίδωσιν εἰς τὴν κατὰ Φώκαιαν θάλασσαν. 366, 24. 1212, 57.

Ἑρμοῦ κλῆρος ἐλέγετο φύλλον ἐλαίας, ὃ τοῖς κλήροις ἐνεβάλλετο ὑπὸ τῶν κληρουμένων καὶ πρῶτον ἀνείλκετο εἰς τιμὴν τοῦ Ἑρμοῦ. 675, 53.

Ἑρμοῦ παῖδες μυθεύονται οἱ πολυκτήμονες ἢ λόγιοι ἢ δόλιοι. 18, 31. 1053, 56.

Ἑρμοῦ πρὸς Λητὼ στάσις, ἀλληγορικὴ παρ' Ὁμήρῳ διὰ τὴν τῆς εἰδήσεως πρὸς τὴν λήθην ἀντίθεσιν. 1197, 14.

Ἑρμοῦ ῥάβδος, καὶ περὶ διαφόρων ἐνεργημάτων αὐτῆς ἀλληγορία διεξοδική. 1522, 25.

Ἑρμοῦ σκευῆς διαγραφὴ καθ' Ὅμηρον, καὶ ἀλληγορία τῶν κατὰ μέρος. 1353, 20. καὶ ὅτι ὁ περὶ τὴν κεφαλὴν πλαττόμενος τῷ Ἑρμῇ πέτασος τάχους ἐστὶ σύμβολον. 1522, 5.

ἔρνος τὸ εὐθαλὲς φυτὸν, καὶ ὅτι καὶ ἄνθος ποτὲ σημαίνει ἡ λέξις. 1557, 60.

ἔρξαν ἀντὶ τοῦ ἐνέκλεισαν, ἀπὸ τοῦ ἔργω τὸ ἐγκλείω. 1765, 26.

ἔρξω μέλλων καὶ ἔρξον προστακτικὸν ὅτι ἀπὸ τοῦ ἔρζω ἢ ἀπὸ τοῦ ἔργω κεκίνηνται, ἑρμηνεία διεξοδική. 441, 39.

ἐρόεις ὁ ἐπιθυμητὸς, τὸ ρο̄ μικρόν. 1299, 36.

—**ερον** λήγοντα ὀξύτονα, ἀπὸ τῶν διὰ τοῦ ηρον ὁμοτόνων γενόμενα, οἷον ξερὸν καὶ νοσερὸν ἀπὸ τοῦ ξηρὸν καὶ νοσηρόν. 1540, 10.

—**ερος** λήγουσαι γενικαὶ ὑπερδισύλλαβοι παροξυνόμεναι παραλόγως, οἷον μητέρος, θυγατέρος. 1388, 50.

—**ερος** λήγοντα παράγωγα ἔχοντα πρὸ τοῦ ε̄ τὸ καταρκτικὸν σύμφωνον τῆς ληγούσης τῶν ἰδίων πρωτοθέτων ὀξύνονται, οἷον κάρτος καρτερὸς, βλάβος βλαβερός. 109, 42.

ἔρος διὰ τοῦ ο̄ μικροῦ Αἰολικῶς, ὅθεν ἡ αἰτιατικὴ τὸν ἔρον παρ' Ὁμήρῳ, ὅτι προϋπάρχει τοῦ διὰ τοῦ ω̄ μεγάλου, καὶ ὅτι καὶ ἰσοδυναμεῖ παρ' Ὁμήρῳ, ἑρμηνεία διεξοδική. 136, 33. 988, 6.

ἔροτις ἡ ἑορτὴ Αἰολικῶς, ὅτι προπαροξύνεται καὶ κατὰ μετάθεσιν λέγεται. 1430, 34. 1908, 57.

ἕρπειν ἀντὶ τοῦ βαδίζειν ἐν τῷ, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει, Ὀδ. σ', 131. 1841, 29. καὶ ἀντὶ τοῦ λάθρα καὶ οὐ κατ' ὀρθὸν βαδίζειν ἐν τῷ, ἥμενος ἢ ἕρπων, Ὀδ. ρ', 158. 1813, 61. καὶ ὅτι ἐκ τοῦ κατὰ τὴν ἕραν σπᾶσθαι λέγεται τὸ ἕρπειν. 1503, 59.

ἑρπετὰ ἀπὸ μέρους πάντα τὰ ζῷα ἐν τῷ, ὅσσ' ἐπὶ γαῖαν ἑρπετὰ γίνονται, Ὀδ. δ', 418. καὶ ὅτι ἀπὸ τοῦ ἑρπῶ ἑρπίσω γίνεται ἑρπεστὸν, καὶ ἐκδρομῇ τοῦ σ̄ ἑρπετόν. 1502, 53.

ἕρπης Αἰγυπτιστὶ ὁ οἶνος. 1633, 5.

ἑρπηστικὸν, ὅτι παρὰ τὸ ἑρπῶ ἑρπήσω λέγεται ἑρπητικὸν, καὶ ἐπενθέσει τοῦ σ ἑρπηστικὸν. 1502, 55.

ἑρπτὸν ὅτι ἐκ τοῦ ἑρπετὸν κατὰ συγκοπὴν λέγεται. 481, 36.

ἑρπύζειν ὅτι παρὰ τὸ ἕρπειν παρήχθη. 1502, 59.

ἕρπυλος, ἡ καὶ ζυγὶς, πόα τις εὔοσμος. 1295, 18.

ἔῤῥαδα μέσος παρακείμενος ὅτι ἐκ τοῦ ῥάζω κεκίνηται, τὸ τρίτον τῶν πληθυντικῶν ἐῤῥάδαται, καὶ ἐῤῥάδατο τοῦ ὑπερσυντελίκου, ὅτι ἀπὸ τῶν συστοίχων ἑνικῶν τοῦ ἔῤῥασται καὶ ἔῤῥαστο σχηματίζονται πλεονασμῷ τῆς δα συλλαβῆς. 441, 6. 912, 22.

ἔῤῥε προστακτικὸν ἀντὶ τοῦ, μετὰ φθορᾶς ἄπιθι, ἀπὸ τοῦ ἔῤῥω. 1647, 61.

ἐῤῥέθην ὅτι ἐκ τοῦ ῥῶ ῥήσω ἔῤῥηκα ἔῤῥημαι γέγονε τροπῇ τοῦ η εἰς ε. 1549, 12.

ἔῤῥειν ἀντὶ τοῦ φθείρεσθαι καὶ ἐπὶ φθορᾷ διατρίβειν. 591, 4. 710, 46. καὶ ἔῤῥειν τὸ ἐπιπόνως ζῆν. 1500, 41. καὶ ὅτι ἐκ τῆς ἐν προθέσεως καὶ τοῦ ῥεῖν σύγκειται, ὅθεν καὶ δυσὶ ρ γράφεται, τὸ προστακτικὸν ἔῤῥε ἐῤῥέτω ὁμοίως, ἑρμηνεία διεξοδική. 756, 23 — 37. 1526, 49. καὶ ὅτι πλέον τι τοῦ χωλεύειν δηλοῖ περὶ Ἡφαίστου λεγόμενον. Ἰλ. σ', 421. 1150, 55.

ἔῤῥιγα μέσος παρακείμενος ὅτι ἐκ τοῦ ἐῤῥίγηκα συγκέκοπται. 669, 19. 1101, 38. 1434, 11. τὸ ὑποτακτικὸν, ἐὰν ἐῤῥίγω, τὸ τρίτον ἐῤῥίγῃ καὶ προσθέσει τοῦ σι ἐῤῥίγῃσι παρὰ ποιηταῖς. 423, 28.

ἐῤῥίγει ἤγουν λίαν ηὐλαβεῖτο, τρίτον ὑπερσυντελίκου τοῦ ἔῤῥιγα μέσου παρακειμένου. 1946, 2.

ἐῤῥίγῃσι, τρίτον πρόσωπον ὑποτακτικὸν μέσου παρακειμένου, ζήτει τὸ ἔῤῥιγα. 423, 28.

ἐῤῥυπωμένος ἀντὶ τοῦ ῥερυπωμένος, ὅτι πρὸς τὸ εὐφωνότερον οὕτω λέγεται. 1570, 26.

ἐῤῥύσατο ὅτι οὐκ ἐκ τοῦ ἀρύω κεκίνηται, ἀλλ' ἐκ τοῦ ῥύω, καὶ ὅτι δυσὶ ρ γράφεται. 1016, 40. 1203, 25.

ερρω λήγοντα ῥήματα, ἀπὸ τῶν διὰ τοῦ ειρω Αἰολικῶς ἐσχηματισμένα, οἷον φθέῤῥω ἀπὸ τοῦ φθείρω, καὶ κέῤῥω ἀπὸ τοῦ κείρω. 756, 32. 1648, 2.

ἔῤῥω, ὅτι παρὰ τὸ φθείρω γίνεται φθέῤῥω Αἰολικῶς, καὶ παρέσει τοῦ φθ ἔῤῥω. 842, 49. 1647, 61.

ἐῤῥώσαντο, ἤγουν ἐῤῥωμένως ἐκινήθησαν, ἀπὸ τοῦ ῥώω. 1935, 58.

ἕρσαι τὰ νεογνὰ τῶν ἀρνῶν καὶ τῶν ἐρίφων παρ' Ὁμήρῳ, τὰ οἷον δροσερὰ καὶ ἁπαλὰ, παρὰ τὴν ἕρσην, ὃ δηλοῖ τὴν δρόσον. 1625, 30. 34.

ἕρση ὅτι παρὰ τὸ ἄρδω ἄρσω γέγονε, καὶ ὅτι δασύνεται Ἀττικῶς. 830, 17. 1625, 49. καὶ ὅτι καὶ ἑέρση λέγεται δασυτόνως οὐδὲν ἧττον, καὶ ὅτι παραλόγως δασύνονται ἀπὸ τοῦ ἄρδω ἄρσω παρηγμένα. 991, 27.

ἑρσήεντα τήθεα, ὅ ἐστιν ὄστρεα, λέγονται ἐπιθετικῶς διὰ τὸ τρυφερὸν καὶ οἷον γαλακτῶδες καὶ δροσερόν. 1084, 36.

ἕρσω, μέλλων Αἰολικὸς ἀπὸ τοῦ ἔῤῥω θέματος. 646, 22.

ἐρυγεῖν τὸ μετὰ βίας ἀνασπᾶν τὸ πνεῦμα ἐν τῷ, ὡς ὅτε ταῦρος ἤρυγεν ἑλκόμενος, παρ' Ὁμήρῳ Ἰλ. υ', 404. 1165, 29.

ἐρυγὴ ὅτι παρὰ τὸ ἐρεύγω λέγεται ἀπελεύσει τοῦ ε τῆς διφθόγγου. 1106, 54.

ἐρύγμηλος ταῦρος, οἱονεὶ ἐρύγηλος, παρὰ τὴν ἐρυγὴν πλεονασμῷ τοῦ μ. 1165, 29.

ἐρύγοιμι ἐρύγοις ἐρύγοι, πρόσωπα ἀορίστου δευτέρου εὐκτικοῦ ἀπὸ τοῦ ἐρεύγω θέματος. 1106, 55.

ἐρύειν τὸ σώζειν, ὅτι ἀπὸ τοῦ ῥύειν γέγονε πλεονασμῷ τοῦ ε. 788, 42. 1159, 57.

ἐρύεσθαι ἐν ἴσῳ τῷ ἐρύειν, ὅ ἐστιν ἕλκειν, οἷον, ἐρυσαίμεθα νῆας ἁπάσας, Ἰλ. ξ', 79. 968, 30.

Ἐρύθεια, νῆσος Ὠκεανῖτις, ὅτι ἐκ τοῦ ἤρυθον δευτέρου ἀορίστου τοῦ ἐρεύθω ῥήματος λέγεται, ὅθεν καὶ ἐρύθημα. 672, 2.

ἐρύθημα ὅτι παρὰ τὸ ἐρεύθω γέγονεν ἀπελεύσει τοῦ ε. 672, 2.

ἐρυθίβη ταὐτὸ ὅπερ ἐρυσίβη. 34, 29. ζήτει τὸ ἐρυσίβη.

ἐρυθίβιος Ἀπόλλων παρὰ τὴν ἐρυθίβην, εἴτουν ἐρυσίβην, λέγεται. 34, 29.

Ἐρυθῖνοι, πόλις Παφλαγονίας, καὶ ἐρυθῖνος, εἶδος ἰχθύος, ὅτι παρὰ τὸ ἔρευθος εἴτουν τὸ ἐρυθρὸν τῆς χρόας οὕτω λέγονται. 362, 35.

Ἐρύθραι βαρυτόνως ἢ Ἐρυθραὶ ὀξυτόνως, καὶ ὅτι πολλαὶ πόλεις ἐχρήσαντο τούτῳ τῷ ὀνόματι, ἑρμηνεία διεξοδική. 266, 45 — 267. 8.

ἐρυθρὸν νέκταρ τὸ οἰνῶδες τὴν χρόαν, ἢ τὸ αἵματος περιποιητικόν. 1170, 17.

ἐρυθρὸς οἶνος οὐ μόνον ὁ μέλας, ἀλλὰ καὶ ὁ ἐρυθροποιὸς τῶν πινόντων. 1704, 21.

ἐρυκακέειν παρ' Ὁμήρῳ ἀντὶ τοῦ κατασχεῖν. 544, 39.

ἐρυκτῆρες, ὅτι οὕτως ἐκαλεῖτο γένος τι δούλων ἀπελευθερωθέντων. 1024, 45.

ἐρύκω ὅτι ἐκ τοῦ ἐρύω, ὅ ἐστι φυλάσσω ἢ κωλύω, δοκεῖ λέγεσθαι. 364, 19. 829, 59.

Ἐρύμανθος, ὄρος καὶ ποταμὸς ἐν Ἀρκαδίᾳ, ὅθεν καὶ ὁ Ἐρυμάνθιος κάπρος λέγεται, ὃν ἀνεῖλεν ὁ Ἡρακλῆς. 1554, 12.

ἐρυσαίμεθα, ἤγουν βίᾳ ἑλκύσαιμεν. 1100, 32.

ἐρυσάρματες, εὐθεῖα μεταπεπλασμένη ἐκ τῆς ἐρυσάρματοι. 75, 27. 1064, 59.

ἐρύσασθαι, παθητικῶς ὡς ἐπιτοπολὺ παρ' Ὁμήρῳ, ἐν ἴσῳ τῷ ἐρύειν, ὅ ἐστιν ἑλκύειν. 1229, 58.

ἐρύσασθαι ἀντὶ τοῦ λύσασθαι ἐν τῷ, χρυσῷ ἐρύσασθαι ἀνώγει, Ἰλ. χ', 351. 1273, 36.

ἐρύσατο ἀντὶ τοῦ ἐφυλάξατο ἢ ἐξέφυγεν ἐν τῷ, ἐρύσσατο Κῆρα μέλαιναν, πολλαχοῦ παρ' Ὁμήρῳ. 364, 19.

ἐρύσατο ἀντὶ τοῦ ἐφύλαξεν, ὅτι φυσικῶς ἔχει τὸ ε, ὡς ἀπὸ τοῦ ἐρύω τὸ φυλάσσω. 554, 21. 849, 31. καὶ ὅτι δι' ἑνὸς ρ γράφεται, καὶ ὅτι ἐκ τοῦ εἰρύσατο γέγονεν ἐκβολῇ τοῦ ι. 1930, 56.

ἐρυσιάζειν τὸ ῥύσια, ὅ ἐστιν ἐνέχυρα χρέους, λαμβάνειν. 877, 36.

ἐρυσίβη, ὅτι παρὰ τὸ ἐξ ἀέρος βαίνειν οὕτω λέγεται. 1630, 43.

ἐρυσίπτολις Ἀθηνᾶ ἐπιθετικῶς, ὅτι παρὰ τὸ πόλεις ῥύεσθαι, ὅ ἐστι φυλάσσειν, λέγεται. 643, 46. 758, 59.

Ἐρυσίχθων ὁ Μυρμιδόνος ὅτι Αἴθων ἐπεκλήθη, ἱστορία. 862, 7.

ἐρυσμὸς, εἶδος λαχάνου, οὗ τὸ σπέρμα χρήσιμον ταῖς κυούσαις γυναιξί. 965, 48.

ἔρυτο ἀντὶ τοῦ ἐκώλυσεν ἐν τῷ, ἠδ' οὐκ ἔγχος ἔρυτο, παρ' Ὁμήρῳ. 1969, 28.

ἐρύω τὸ φυλάσσω καὶ τὸ κωλύω. 364, 19. 643, 47. καὶ ἐρύω τὸ ἑλκύω. 426, 6. καὶ ὅτι παρὰ τὸ ῥύω λέγεται πλεονασμῷ τοῦ ε. 1009, 36.

ἔρχαται, τρίτον πρόσωπον πληθυντικὸν παθητικοῦ παρακειμένου, ἀντὶ τοῦ καθείργνυνται ἢ καθειργμένοι εἰσὶ, τρίτον πρόσωπον πληθυντικὸν παρακειμένου ἀπὸ τοῦ εἵρκται συστοίχου ἑνικοῦ Ἰωνικῶς ἐσχηματισμένον. 1071, 47. 61. καὶ ἔρχατο ἀντὶ τοῦ καθειργμένοι ἦσαν, τρίτον πρόσωπον πληθυντικὸν ὑπερσυντελίκου ἐκ τοῦ εἵρκτο συστοίχου ἑνικοῦ ὁμοίως ἐσχηματισμένον. 1109, 31. 1125, 52.

ἐρχατόωντο, ὅτι ἀπὸ τοῦ ἔρχατο, τρίτου προσώπου πληθυντικοῦ παθητικοῦ ὑπερσυντελίκου Ἰωνικοῦ, παράγεται ῥῆμα ἐρχατόω ἐρχατῶ, ὅθεν τὸ ἐρχατόωντο. 1748, 64.

ἔρχεσθαι νέφος λέγεται παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἁπλῶς κινεῖσθαι. 472, 27.

ἔρχεται ἄλλη, ἀντὶ τοῦ ἀπέρχεται ἀλλαχοῦ, Ἰλ. α', 120. 64, 6.

ἔρω ἐρήσω τὸ ἐρωτῶ καὶ τὸ λέγω ὁμωνύμως. 780, 9.

ἔρῳ, δοτικῆς πτώσεως παρ' Ὁμήρῳ, ὅτι ἀπὸ τῆς ἔρος βραχυκαταλήκτου εὐθείας κεκίνηται, ἢ ἐκ τῆς ἔρωτι ἀποκέκοπται. 1843, 59.

ἐρῳδιὸς, εἶδος ὀρνέου, ὅτι αἴσιος ἦν οἰωνὸς τοῖς ἐνεδρεύουσι καὶ περὶ τινῶν ἰδιωμάτων τοῦ ὀρνέου, καὶ ἔκθεσις τῶν εἰδῶν αὐτοῦ. 804, 57. 60. καὶ ὅτι παρὰ τὸ ἕλος λέγεται, οἱονεὶ ἑλώδιος, ἢ παρὰ τὸν ἔρωτα, οἱονεὶ ἐρωτίδιος, σχηματισμὸς διεξοδικός· καὶ ὅτι ὀξύνεται ἀναλόγως τοῖς διὰ τοῦ ιος ἐπὶ ὀρνέων. 995, 11.

ἐρωεῖν τὸ ὁρμᾶν καὶ τὸ ἀναποδίζειν παρ' Ὁμήρῳ. 197, 41. ἀλλαχοῦ δὲ ὅτι ἐρωεῖν τὸ εἰς ἐρωὴν κινεῖν, ἀλλοπαθῶς. 920, 27.

ἐρωὴ ἡ ὁρμὴ, παρὰ τὸ ῥῶ, ὅ ἐστιν ὁρμῶ. 411, 5. 703, 8.

ἐρωὴ δουρὸς, καὶ δουρὸς ἐρωὴν λείπεσθαί τινος, παρ' Ὁμήρῳ ἀντὶ τοῦ εἰς ὅσον ἂν ἔλθοι δόρυ ἀφεθὲν ἀπέχειν τινός. 1314, 19.

ἔρως ὅτι παρὰ τὸ ὁρᾶν λέγεται. 87, 38.

Ἔρως ὅτι Ἴριδος καὶ Ζεφύρου γεγονέναι μυθεύεται. 555, 31.

Ἔρως ὑπὸ θεῶν ἀποψηφισθεὶς καὶ τὰ πτερὰ ἀποκοπεὶς, ἃ τῇ Νίκῃ ἐδόθη φορεῖν, μῦθος. 880, 5. 987, 22.

Ἔρως ὅτι τυφλὸς λέγεται ὡς τυφλοποιός. 1769, 51.

Ἔρως ὅτι συνιδρύετο Ἑρμῇ καὶ Ἡρακλεῖ ἐν τοῖς γυμνασίοις εἰς σύμβολον τοῦ ἐξ ἀλκῆς καὶ λόγου μιγέντων γεννᾶσθαι ὁμόνοιαν. 1596, 47.

Ἔρως ὅτι Ἀττικῶς διὰ τοῦ ω μεγάλου γράφεται, καὶ διαγραφὴ Ἔρωτος ἐκ τῶν Ἀλέξιδος τοῦ κωμικοῦ. 988, 12.

Ἔρωτος ἄγαλμα, Πραξιτέλους ἔργον, ὅτι ἐν Θεσπιαῖς ἀνέκειτο, ἀνατεθὲν ὑπὸ Γλυκέρας τῆς ἑταίρας. 266, 14.

ἐρωτᾶν ἐστὶ τὸ ἐθέλειν λαβεῖν κεφαλαιώδη ἀπόφασιν περί τινος ὑποκειμένου πράγματος, καὶ ὅτι διαφέρει τοῦ πυνθάνεσθαι. 1457, 29. καὶ ὅτι διαφέρει τοῦ προσφωνεῖν. 722, 54.

ἐρώτησίς ἐστι φράσις συμβολικὴν ἀπόκρισιν ἀπαιτοῦσα, καὶ ὅτι πρὸς τὴν ἐρώτησιν, ναὶ ἢ οὔ, ἢ ἔστιν ἢ οὐκ ἔστιν, ἀποκρινόμεθα· πεῦσις δέ ἐστι, πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνασθαι. 605, 8. 1457, 32.

ἐρώτησις, ὅτι τὰς ἐν ταῖς ἀντιλογίαις ἐρωτήσεις δεῖ ἐπὶ ἀναντιῤῥήτοις γίνεσθαι, καὶ ὅτι καταφατικῶς γινομένη ἡ ἐρώτησις ἀπόφασιν ἀντεισαγει. 64, 35. 755, 2. 7. 21.

ἐρωτήσεις ὅτι διὰ πολλά τινα πάθη γίνονται. 146, 44. καὶ ὅτι καὶ κατὰ σχῆμα τραχύτητος καὶ σφοδρότητος γίνεται ἐρώτησις, οἷον ἐν τῷ, Ἀτρείδη τέο δ' αὖτ' ἐπιμέμφεαι ἠδὲ χατίζεις, Ἰλ. β', 225. 208, 43.

Ἐρωτίδια, ἑορτὴ παρὰ Θεσπιεῦσι εἰς τιμὴν τοῦ παρ' αὐτοῖς Ἔρωτος. 1375, 2.

ἐρωῶ τὸ ὁρμῶ, συστοίχου τῷ ἐρωῇ, ὅ ἐστιν ὁρμή. 703, 8. ζήτε τὸ ἐρωεῖν.

ες συλλαβὴ, ὅτι τὸ ε, ᾧ τὸ σ ἐπάγεται, εἰς ι τρέπουσι Σικελοὶ, οἷον ἑστία ἱστία, κἂν τε ἔξωθεν ἐπεισπέσοι τὸ σ, ὁμοίως, οἷον ἐν τῷ ἔχω ἴσχω, ἔπω ἴσπω. 1561, 61. 1562, 42.

ες λήγουσαι φωναὶ ὀξύτονοι ἀντὶ πληθυντικῶν αἰτιατικῶν ἀκουόμεναι, οἷον ἀκλεὲς ἀντὶ τοῦ ἀκλεεῖς. 1066, 56.

ἐς πρόθεσις ἐν συνθέσει προτασσομένη ἀποβάλλει ποτὲ τὸ οἰκεῖον φωνῆεν, οἷον ἐσκορακίζειν σκορακίζειν. 82, 33.

ἐς πρόθεσις κατὰ ἀναστροφὴν κειμένη ἐν τῷ, Ἕκτορα δ' ὀτρύνησι μάχην ἐς Φοῖβος Ἀπόλλων, Ἰλ. ο', 59. 1006, 20.

ἐς πρόθεσις ἀντὶ τοῦ ἕως ἐπιῤῥήματος, οἷον ἐς γῆρας, ἀντὶ τοῦ ἕως γήρως. 969, 11.

ἐς αὔριον, ἐν ἴσῳ τῷ αὔριον. 728, 22.

ἐς γῆρας, ἀντὶ τοῦ ἕως γήρως. 969, 11.

ἐς ἠέλιον καταδύντα, περὶ δύσιν ἡλίου καὶ ἕως δύσεως ἡλίου. 1461, 5.

ἐς κόρακας, παροιμία· ὅτι ἀπὸ Κορακησίου ἢ Κοράκων τόπου τινὸς ἀφορμὴν ἔσχεν ἡ παροιμία, ἱστορία· ἢ ἐς κόρακας, ἀντὶ τοῦ εἰς κακὰ ὄρνεα, ἢ ἀπὸ κοράκων, οὓς ἐν λοιμοῦ καιρῷ περικαθαίροντες οἱ τότε ἄνθρωποι καὶ ἐπαείδοντες ἀφίεσαν, ἢ ἀπὸ μυθικοῦ τινος Κόρακος, ἑρμηνεία διεξοδική. 1746, 62.

ἐς πόδας ἐκ κεφαλῆς, ἤγουν δι' ὅλου τοῦ σώματος. 1146, 26.

ἐς τῆμος, καὶ ἐς τῆμοςδε, ὅτι τὸ μὲν ἐς τῆμος ὁμοίως ἔχει τῷ εἰς-αὔριον, ἡ δὲ ἐπέκτασις τοῦ δε παρέλκει καὶ οὐκ ἀντὶ τῆς εἰς προθέσεως κεῖται. 1581, 44.

ἐς τί, χρονικῶς ἀντὶ τοῦ μέχρι τίνος, οἷον ἐν τῷ, ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς, Ἰλ. ε', 465. 571, 26.

ἐσᾶλτο ἐν ἴσῳ τῷ ἐσήλατο παρ' Ὁμήρῳ. 914, 54.

ἔσαν ψιλούμενον ἀντὶ τοῦ ἦσαν. 1189, 57.

ἕσασθαι τὸ ἐνδύσασθαι. 809, 51. καὶ ἕσασθαι λεοντῆν ἤ τι ἄλλο δέρμα, ἀντὶ τοῦ ἐνάψασθαι. 787, 2.

ἐσεμάσσατο θυμὸν, ἐν βάθει ἐλύπησε καὶ καθήψατο τῆς ψυχῆς. 1117, 61.

ἐσεσάχατο παρ' Ἡροδότῳ ἀντὶ τοῦ ὡπλισμένοι ἦσαν. 234, 12.

ἐσεῖται, τρίτον πρόσωπον τοῦ ἐσοῦμαι Αἰολικοῦ μέλλοντος. 1865, 60.

ἔσεσθαι λέγεταί τι ἐξ ἀνάγκης, γενήσεσθαι δὲ ἐνδεχομένως. 1808, 18.

ἐσήλατο ἀντὶ τοῦ ἐσάλευσεν ἐν τῷ, ἐσήλατο τεῖχος Ἀχαιῶν, Ἰλ. π', 558. ἢ ἀντὶ τοῦ εἰσεπήδησε. 913, 7. 1075, 44—60.

εσθαι λήγοντα ἀπαρέμφατα μὴ ἀπὸ τῶν εἰς μι κεκινημένα, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους τὸ ι συνεσταλμένον, παροξύνονται, οἷον λιπέσθαι, πιθέσθαι, ἱκέσθαι, λιτέσθαι. 1045, 11.

ἐσθὴς ἑνικῶς ἐσχηματισμένον ὅτι ἀντὶ πληθυντικοῦ ἀκούεται προσηγορικῶς ἐν τῷ, χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά τε δόντες, Ὀδ. ε', 38. 1521, 47. 1551, 35.

ἐσθὴς καὶ ἔσθος, ὅτι ψιλοῦνται αἱ λέξεις, καίπερ ἀπὸ τοῦ ἕω δασυνομένου λεγόμεναι. 1552, 15.

ἐσθίειν ὅτι παρὰ τὸ ἔθος λέγεται διὰ τὸ σύνηθες ἡμῖν εἶναι. 1059, 7. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ ἔδω γίνεται ἔθω καὶ προσθέσει τοῦ σ ἔσθω, ὅθεν τὸ ἐσθίω. 773, 29. 1570, 64. καὶ ὅτι περὶ λογικῶν κυρίως λέγεται, τρώγειν δὲ περὶ ἀλόγων. 1553, 32.

ἐσθλὰ ὅπλα λέγονται παρ' Ὁμήρῳ τὰ ἐξ ὕλης τιμίας καὶ περιττῆς κατασκευῆς. 992, 46.

ἔσθω, ὅτι παρὰ τὸ ἔδω γίνεται ἔθω καὶ προσθέσει τοῦ σ ἔσθω, ὅθεν τὸ ἐσθίω. 773, 33. 1570, 64. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ἔδω ἔσω γέγονε προσθέσει τοῦ θ. 1071, 28. ἀλλαχοῦ δὲ τὸ ἔσθω ἐκ τοῦ ἔδω δοκεῖ γενέσθαι, ἢ ἀνάπαλιν τὸ ἔδω ἐκ τοῦ ἔσθω διὰ τὴν τοῦ δ πρὸς τὸ θ συγγένειαν. 1247, 4. καὶ ὅτι ἐκ τοῦ ἔθω γενόμενον προσλήψει τοῦ σ ἴσθω ὤφειλε λέγεσθαι, ὡς τὸ ἔχω ἴσχω καὶ τὸ ἕπω ἴσπω. 1561, 63. 1562, 45.

ἕσις, ἐμβολὴ, παρὰ τὸ ἧμι. 1350, 17.

εσκε λήγοντα τρίτα πρόσωπα ῥηματικὰ ἀπὸ τῶν εἰς ε ληγόντων βαρυτόνως, οἷον εἶπε εἴπεσκεν, ἔρεζε ῥέζεσκεν. 218, 30. καὶ εσκε λήγοντα ὅμοια πρόσωπα, ἀπὸ ληγόντων εἰς ει περισπωμένως κλινομένων, οἷον ἐφίλει ἐφίλεσκε. 1642, 7.

ἔσκε ἀντὶ τοῦ ἦν τρίτον προσώπου ὑπαρκτικοῦ, ὅτι ἀπὸ τοῦ ἔσω γίνεται, ἢ ἀπὸ τοῦ ὦ εἰς εἶ ἐκβολῇ τοῦ ι καὶ προσθέσει τοῦ σκε Δωρικῶς. 1642, 3-14.

εσκω καθαρὸν ληγόντων ῥημάτων παραγωγὴ ἀπὸ περισπωμένων ῥημάτων, οἷον σωίσκω οὐκ ἀπὸ τοῦ σώω βαρυτόνου, ἀλλ' ἀπὸ τοῦ σωῶ περισπωμένου ὁμοίως τῷ ζωίσκω καὶ κλαιίσκω. 718, 8.

εσκω λήγοντα ῥήματα ἀπὸ μελλόντων διὰ τοῦ εσω παρηγμένα, οἷον ἀρέσω ἀρέσκω, ἕω ἔσω ἔσκω, ἤγουν ὑπάρχω, κέω κέσω κέσκω, ὅ ἐστι κεῖμαι. 140, 39. 1892, 29.

ἔσκω ἀντὶ τοῦ ὑπάρχω, ὅτι ἀπὸ τοῦ ἕω ἔσω γέγονε· ζήτει ἐν τῷ, εσκω λήγοντα ῥήματα. 1892, 29.

ἕσμα ὁ αὐχὴν τῶν ἀκροδρύων, ὁ καὶ μίσχος. 932, 32.

ἐσμάσσασθαι θυμόν τινος, παρ' Ὁμήρῳ ἀντὶ τοῦ λυπῆσαι. 1215, 25.

ἐσμὲν ἐστὲ, πρόσωπα ὅτι ἐκ προσθέσεως Δωρικῆς ἔχουσι τὸ σ, καὶ ὅτι παραλόγως ὀξύνονται, διόπερ οὐδὲ ἐγκλίνονται, ἑρμηνεία διεξοδική. 780, 36. 1457, 43—50.

ἑσμὸς δασυτόνως τὸ σμῆνος τῶν μελισσῶν. 178, 16.

ἔσομαι μέλλων, ὅτι ἐκ τοῦ ὦ περισπωμένου γίνεται ὁ μέλλων ἔσομαι. 718, 4.

ἑσπέρα τὸ μετὰ τὴν τοῦ ἡλίου δύσιν κατάστημα. 1729, 58. καὶ ὅτι ἐν τῷ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται, Ὀδ. ρ', 191. ἕσπερα ἐκ τοῦ ἑσπέρια συγκέκοπται καὶ ἐλλειπτικῶς οὐσιαστικοῦ τινος εἴρηται. 1814, 58.

ἑσπερικὰ μῆλα τὰ κίτρα διὰ τὸ ἐκ τοῦ τῶν Ἑσπερίδων κήπου κεκομίσθαι ὑφ' Ἡρακλέους εἰς τὴν Ἑλλάδα. 1572, 42.

ἕσπερος τὸ τῆς Ἀφροδίτης ἄστρον λέγεται, ὅταν συγκαταδύνει τῷ ἡλίῳ. 1271, 33.

ἕσπερος μέλας, παρ' Ὁμήρῳ ἐπιθετικῶς, ὅτι πρὸς διαστολὴν γέγονεν ἡ ἐπίθεσις τοῦ μέλας. 1427, 31.

ἕσσαν ἀντὶ τοῦ ἐνέδυσαν. 1953, 13.

ἕσσασθαι τὸ ἐνδύσασθαι. 379, 21. καὶ ἕσσασθαι ἀσπίδα, κατὰ συνθήκην ἀντὶ τοῦ περιθέσθαι. 992, 54.

ἕσσατο, ἐπεκάθισεν ἑαυτῷ, εἴτουν περιέθετο ἐν τῷ, ἕσσατο δ' ἔκτοσθε ῥινὸν πολιοῖο λύκοιο, Ἰλ. κ', 334. 809, 48.

ἕσσεν, ἤγουν ἐνέδυσεν. 620, 23. 1152, 33.

ἐσσῆνες αἶγες, ὅτι κατὰ προσηγορίαν ἡλικίας οὕτω λέγονται. 1625, 34.

εσσι λήγουσαι δοτικαὶ πληθυντικαὶ οὐδετέρων περιττοσυλλάβως κλινομένων, ἀπὸ τῶν διὰ τοῦ ασι μεταπεποιημέναι, οἷον ὑδάτεσσιν ἀντὶ τοῦ ὕδασι. 906, 18.

εσσι λήγουσαι δοτικαὶ ἐκ τῶν εἰς οις μεταπεπλασμέναι, οἷον δένδροις δένδρεσσι, κρίνοις κρίνεσσι. 692, 22.

ἐσσὶ ἀντὶ τοῦ ὑπάρχεις, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ι, καὶ ὅτι οὐδὲν δεύτερον πρόσωπον ῥηματικὸν εἰς σι λήγει πλὴν τοῦ ἐσσὶ, καὶ ὅτι οὐδέποτε ἐφέλκεται τὸ ν. 76, 22—36. 1408, 14. ζήτει τὸ εἰμί.

ἔσσο προστακτικὸν ἀπὸ τοῦ ἥμην ἦσο παρατατικοῦ, ὅτι δυσὶ σ̄ γράφεται παρ' Ὁμήρῳ. 1770, 29.
ἔσσομαι καὶ ἔσσεται δυσὶ σ̄ ὅτι τοῦ Σικελῶν ἐστὶν ἰδιώματος. 655, 12.
ἐσταθευμένος ὅτι ἀπὸ τοῦ σταθεύω, ὅ ἐστι χλιαίνω, κεκίνηται. 1446, 31.
ἔσταθι, προστακτικὸν ἐκ τοῦ ἔστακε μεταπεπλασμένον, ὡς καὶ τὸ κλῦθι ἐκ τοῦ κλύε. 1935, 30.
ἐστάθμησα, τὸ μῖ ἦτα, ἀπὸ τοῦ σταθμίζω ἐνεστῶτος ἑτεροκλίτως. 114, 7.
ἔσται τρίτον πρόσωπον μέλλοντος ὅτι ἐκ τοῦ ἔσεται συνεκόπη. 655, 10. 718, 3. 1308, 31.
ἔσται ὅτι διαφέρει τοῦ γενήσεται, ἔσται μὲν γὰρ πρεσβύτης ὁ νέος, γενήσεται δὲ παῖς τῷ μήπω ἔχοντι. 214, 19. 1787, 38.
ἕσταμεν ὅτι ἐκ τοῦ ἑστήκαμεν συνεκόπη, καὶ ὅτι δασύνεται. 843, 13.
ἑστάναι ἀμφί τινι, παρ' Ὁμήρῳ δοτικῇ. 1098, 51.
ἑσταότως ἐπίῤῥημα ἀντὶ τοῦ εὐσταθῶς καὶ ἡσύχως. 1172, 57.
ἕστασαν καὶ ἐν συνθέσει ἐφέστασαν, ὅτι οὐκ ἀπὸ τοῦ ἔστην κεκίνηται, οὐ γὰρ ἂν ἐδασύνετο, ἀλλ' ἀπὸ τοῦ ἑστήκεισαν συνεκόπη τροπῇ τοῦ ῆ εἰς ᾱ. 345, 3. 1924, 23.
ἕστατον ὅτι ἐκ τοῦ ἑστάκατον συγκέκοπται, καὶ ὅτι δασύνεται. 1309, 64.
ἐστὲ, δεύτερον πρόσωπον πληθυντικὸν ἀπὸ τοῦ εἰμὶ, ζήτει τὸ ἐσμέν. 1457, 43—50.
ἕστε χρονικὸν ὅτι δασύνεται ὡς ἐκ τοῦ ἕως τε συγκοπέν. 161, 46.
εστερος καὶ εστερον λήγοντα συγκριτικὰ τῶν διὰ τοῦ οτερος μεταπλασθέντα, οἷον ἀνιηρέστερος ἀντὶ τοῦ ἀνιηρότερος, καὶ ζωρέστερον ἀντὶ τοῦ ζωρότερον. 746, 44. 1441, 10.
ἑστεῶς μετοχὴ ἀπὸ τοῦ ἕστεα παρακειμένου, ὃς καὶ ἕσταα λέγεται, οὗ μετοχὴ ὁ ἑσταώς. 1700, 42.
ἑστήκειν, τρίτον πρόσωπον ὑπερσυντελίκου, ὅτι ἐκ τοῦ ἑστήκεεν Ἰωνικῶς συνῄρηται. 1324, 40.

εστης ληγόντων παρωνύμων ὀνομάτων προσῳδία, ὅτι ἄλλως μὲν τονίζονται τὰ προσηγορικὰ ἢ ἐπίθετα, οἷον ἀργεστὴς, κηδεστὴς, ἄλλως δὲ τὰ κύρια, οἷον Ὀρέστης, Μενέστης. 596, 23.
ἐστὶ, τρίτον πρόσωπον ὑπαρκτικὸν, ὅτι ἀρκτικόν ἐστι διηγήσεως. 631, 13. καὶ ὅτι ἀρκτικὸν μὲν ὂν ἐν ἀποφάνσει παροξύνεται, ἐν δὲ ἀποκρίσει ὀξύνεται. 88, 22.
ἐστὶ τρίτον πρόσωπον ὅτι, ἡνίκα ἄρχεται λόγου ἢ ὑποτάσσεται τῷ οὐ ἢ τῷ καὶ ἢ τῷ ὡς, παροξύνεται· ἔτι, εἰ ὑποτάσσεται ὀξυτόνῳ ἢ προπαροξυτόνῳ ἢ προπερισπωμένῃ λέξει, ἐγκλίνεται· καὶ ὅτι ἦσὶ διὰ τοῦ ἦτα ὤφειλε ποιεῖν, ὡς τίθημι τίθησι, καὶ περὶ τοῦ σχηματισμοῦ εἴτουν τῆς σκευωρίας αὐτοῦ ἑρμηνεία διεξοδική. 1613, 24. 1660, 14—23.
ἔστι μοι βουλομένῳ, καὶ τὰ ὅμοια ὅτι ἐλλιπῶς λέγονται, καὶ ὅτι ἐξ Ὁμήρου τὴν ἀρχὴν ἔσχον. 970, 3.
ἔστι μοι κακῶς, φράσις ἐλλιπῶς λεγομένη ἀντὶ τοῦ, ἔστι μοι κακῶς ἔχοντα τὰ πράγματα. 774, 41.
ἑστία κυρίως μὲν ἡ τοῦ οἴκου ἐσχάρα· καὶ Ἑστία, θεά τις οὕτω λεγομένη παρὰ τὸ νομίζεσθαι τοὺς οἴκους δι' αὐτῆς συνεστάναι· καὶ ἑστία ἡ ὅλη οἰκία ἀπὸ μέρους τῆς ἑστίας, ἤγουν ἐσχάρας· καὶ ἑστία ἡ ἐκεῖθεν τροφὴ ὁμωνύμως· καὶ ὅτι καὶ ἱστία διὰ τοῦ ῑ λέγεται. 735, 60. 1562, 34. 1756, 23. 1814, 5.
ἑστία, ὅτι ἐσχάραι μὲν λέγονται αἱ πρὸς βιωτικὴν χρῆσιν γινόμεναι ἐπὶ γῆς, αἱ δὲ πολυτελεῖς ἑστίαι λέγονται· καὶ ὅτι καὶ ἱστία διὰ τοῦ ῑ γράφεται· καὶ Ἑστία ἡ σωματοειδὴς θεὰ, ἣ καὶ αὐτὴ διὰ τοῦ ῑ λέγεται. 1564, 29—32.
ἑστία ὁ ὅλος οἶκος ἀπὸ μέρους τῆς ἑστίας, ἤγουν ἐσχάρας. 129, 46-130, 5. 249, 22. 412, 45.
ἑστία θύειν, παροιμιακῶς ἀντὶ τοῦ μηδενὶ μεταδιδόναι· καὶ ἀφ' ἑστίας ἄρχεσθαι, ἤγουν ἀπὸ τῶν κρειττόνων ἢ ἀπὸ τῶν οἰκείων. 1579, 43.
Ἑστίαια, πόλις Εὐβοίας, ὅτι προπαροξύνεται ἡ λέξις, καὶ ὅτι καὶ Ἱστίαια λέγεται Ἰωνικῶς, ὡς καὶ ἱστία ἡ ἑστία, καὶ ὅτι Ὡρεὸς ὕστερον ἐκλήθη. 280, 15.
ἑστιᾶν ὅτι παρὰ τὴν ἑστίαν λέγεται. 1579, 46.
ἐστιχόωντο ἀντὶ τοῦ ἐστιχῶντο, τρίτον πρόσωπον ῥηματικὸν ἀπὸ τοῦ στιχῶ δευτεροζύγου θέματος, ὃ ἐκ τοῦ ἔστιχον δευτέρου ἀορίστου γέγονεν, ὡς ἐκ τοῦ ἔστιβον τὸ στιβῶ. 179, 32.
ἑστὸν δυϊκὸν ὅτι ὀξύνεται καὶ ἀκολούθως τοῖς συστοίχοις προσώποις ἔχει τὸ σ̄. 100, 24.
ἐστόρνυν ἐστόρνυς ἐστόρνυ, πρόσωπα παρατατικοῦ χρόνου, ὅτι ἀπὸ τοῦ στορέννυμι θέματος γεγόνασι κατὰ συγκοπήν. 748, 33.
ἔστυγον, ἤγουν ἔφριξαν ἐν τῷ, κατὰ δ' ἔστυγον αὐτήν, Ὀδ. κ', 113. 1650, 58. καὶ ὅτι ἐκ τοῦ στύγω βαρυτόνου θέματος δοκεῖ κεκινῆσθαι, ἢ ἐκ τοῦ ἐστύγησα ἀορίστου, ὡς ἐκ τοῦ ἐδούπησα καὶ ἐκτύπησα τὸ ἔδουπον καὶ ἔκτυπον. 1695, 30.
ἔστω, τρίτον πρόσωπον προστακτικὸν, ὅτι χωρὶς τοῦ σ̄ ὤφειλε λέγεσθαι ὡς τὸ τ̄ ἔχον πρὸ τοῦ ω̄· οἱ δέ φασιν ὅτι ἐκ τοῦ ἐσάτω ἀορίστου συγκοπὲν ἀναλόγως ἔχει τὸ σ̄. 1755, 56.
ἔστων ὅτι ἐκ τοῦ ἔστωσαν συνεκόπη, ἢ ἐκ τοῦ ἔστω ἑνικοῦ γέγονε προσλήψει τοῦ ν̄. 114, 36.
ἕστωρ, πάσσαλος ἐνιέμενος τῷ ἄκρῳ τοῦ ζυγοῦ, οἷον ἐν τῷ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον, Ἰλ. ω', 272. ἐτυμολογία καὶ ἑρμηνεία διεξοδικωτάτη. 1350, 14.
ἐσφορεῖν ὅτι ἀντίκειται τῷ ἐκφορεῖν. 1553, 37.
ἐσχάρα ὁ τόπος τοῦ ἐφεστίου πυρός. 1523, 28. ἀλλαχοῦ δὲ ὅτι ἐσχάρα βωμὸς ἰσόπεδος, ἔνθα τὸ πῦρ καίεται. 1938, 64. ἀλλαχοῦ δὲ ὅτι ἐσχάρα λέγεται ἡ πρὸς βιωτικὴν χρῆσιν ἐπὶ γῆς γινομένη ἑστία· καὶ ὅτι κυρίως βωμοὶ μὲν δαιμόνων, ἐσχάραι δὲ ἡρώων, ἐνίοτε δὲ ἐσχάραι καὶ οἱ βωμοὶ λέγονται· καὶ ὅτι ἡ πρόσγειος ἐσχάρα καὶ βαῦνος λέγεται· καὶ ὅτι ἡ θυτικὴ ἐσχάρα παρὰ τὸ ἔχειν ἀρὰς λέγεται, ἑρμηνεία διεξοδική. 1564, 29—35. 1575, 36—45. καὶ πόθεν ἡ χυδαϊκῶς

λεγομένη ἐσχάρα, τὸ μαγειρικὸν σκεῦος, ἀφορμὴν ἔσχε τοῦ λέγεσθαι, ζήτει τὸ ἐσχάριον· καὶ ὅτι ὁμώνυμος ἡ λέξις, καὶ ἔκθεσις τῶν σημαινομένων αὐτῆς. 815, 8. καὶ ὅτι ἐσχάρα τὸ γυναικεῖον μόριον ὁμωνύμως. 1523, 28. 1539, 33. καὶ ἐσχάρα τὸ ἐπὶ τῶν ἁμαξῶν φορτοφόρον πλινθίον ὅ περ Ὅμηρος πείρινθα καὶ ὑπερτερίαν λέγει. 1777, 14. καὶ ὅτι καὶ περιφορηταί τινες ἐγίνοντο ἐσχάραι κατὰ τὰς πομπὰς, ἱστορία. 1575, 41.

ἐσχάριον, θυμιατήριον, ὅτι παρὰ τὴν ἐσχάραν λέγεται. 1523, 29. καὶ ὅτι καὶ ἐργαλεῖόν τι, δι' οὗ καθέλκονται τὰ πλοῖα εἰς θάλασσαν, ἐσχάριον ὁμωνύμως λέγεται, ὅθεν τὰ καινὰ πλοῖα ἀπὸ σκαρίου εἶναι λέγονται χυδαϊκῶς ἀντὶ τοῦ ἀπὸ ἐσχαρίου· καὶ ὅτι ἐξ ὁμοιότητος τοῦ τοιούτου ἐργαλείου καὶ ἡ χυδαϊκῶς λεγομένη ἐσχάρα, τὸ μαγειρικὸν σκεῦος, ἀφορμὴν ἔσχε τοῦ λέγεσθαι. 1575, 42.

ἐσχάτη χθονὸς ἡ Κάνωβος παρ' Αἰσχύλῳ (Prom. 846.) λέγεται ὡς ἀγχίαλος, πᾶσα γὰρ τοιαύτη ἐσχάτη ἐστὶ χθονός. 1386, 12. 1509, 36. 1559, 60.

ἐσχατιὰ τὸ ἁπλῶς ἔσχατον μέρος τόπου τινὸς παρ' Ὁμήρῳ, οἷον ἐσχατιὰ ὄρους καὶ ἀγροῦ· παρὰ δὲ τοῖς ὕστερον ἀπῳκισμένον τινὰ τόπον ἀγροτικὸν δηλοῖ. 766, 27. 860, 28. 1297, 55. 1532, 37. 1650, 4.

ἐσχατιὰ, ὅτι παρ' Ὁμήρῳ μὲν ἐπιτίθεται, παρὰ δὲ τοῖς ὕστερον οὐσιωδῶς λέγεται, πῇ μὲν ἀπολύτως, πῇ δὲ μετὰ προσθήκης, οἷον παρ' Ὁμήρῳ καὶ τὸ, ἀγροῦ ἐπ' ἐσχατιῇ. 1297, 55.

ἐσχατιὰ, ἔσχατον μέρος ἀγροῦ, ᾧ γειτνιᾷ τόπος ἔρημος· καὶ ἐσχατιὰ λιμένος τὸ ἄκρον, μεθ' ὃ ἡ θάλασσα. 1451, 43.

ἐσχατόγηρως γραῖα ὅτι καθ' ἡλικίας προσηγορίαν λέγεται. 1784, 23.

ἐσχατόωσα, ἐπίθετον πόλεώς τινος ἐκ τῆς θέσεως ληφθέν. 264, 12.

ἐσχέθην ὅτι ἐκ τοῦ σχῶ σχήσω ἔσχηκα ἔσχημαι γέγονε τροπῇ τοῦ η εἰς ε. 1540, 13.

ἔσχεν ἀντὶ τοῦ ἀντέσχε καὶ ἀντέβη. 1084, 26.

ἔσχετον, κατεῖχον. 1036, 5.

ἔσχημαι ἐσχέθην, ὅτι ἐκ τοῦ σχῶ σχήσω ἔσχηκα κεκίνηνται. 1540, 13.

ἔσχων ἀντὶ τοῦ ἔσχασα ἢ διέῤῥηξα παρ' Ἀριστοφάνει (Nub. 408.). 527, 4. 842, 56.

εσω λήγοντες μέλλοντες τῆς πρώτης τῶν περισπωμένων, οἱ αὐτοὶ καὶ διὰ τοῦ ησω λεγόμενοι, οἷον καλέσω καὶ καλήσω, ὅθεν καὶ τὰ παρ' αὐτῶν ὀνόματα τὰ μὲν τὸ ε, τὰ δὲ τὸ η ἔχει. 106, 41. καὶ ὅτι ἀναλογώτεροι οἱ διὰ τοῦ ησω λήγοντες· ζήτει ἐν τῷ, μελλόντων περισπωμένων ῥημάτων παραλήγουσα. 1723, 7—15.

ἔσω ἐπίῤῥημα τὸ εἰς τόπον κυρίως, ἔνδον δὲ τὸ ἐν τόπῳ. 1839, 64.

ἐσώζετο ἀντὶ τοῦ ἔσωζε παρὰ Σοφοκλεῖ Ἀττικῶς. 479, 27.

ἑταίρα ἐπὶ πόρνης, ὅτι οὐκ ἔχει προϋφεστὼς ἀρσενικόν· ὁ γὰρ ἑταῖρος οὐκ ἐπὶ πόρνου, ἀλλ' ἐπὶ συνήθους φίλου. 84, 29.

ἑταίρα Ἀφροδίτη ἐπωνυμικῶς λέγεται διὰ τὸ χαίρειν ταῖς ἑταίραις. 1285, 3.

ἑταιρεῖος Ζεὺς ὁ τῆς ἑταιρίας εἴτουν ἑταιρότητος ἔφορος· καὶ ὅτι συνήθως μὲν προπερισπᾶται ἡ λέξις, κατὰ δέ τινας προπαροξύνεται. 1930, 32.

ἑταιρίζεσθαι ἐπὶ τοῦ βοηθὸν προσλαβεῖν, καὶ ἁπλῶς τὸ φιλιοῦσθαι, καὶ ἐνεργητικῶς ἑταιρίζειν. 941, 58.

ἑταιρίσαι, φιλιωθῆναι ἢ φιλίαν καταπρόξασθαι ἐν τῷ, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν ἀνδρὶ ἑταιρίσσαι, Ἰλιάδ. ω', 335. 1352, 62.

ἑταῖροι οἱ συνήθεις, φίλοι δὲ οἱ πρὸς γένους ἐν τῷ, εἰ μετὰ οἷς ἑτάροισι δάμη, ἠὲ φίλων ἐν χερσίν, Ὀδ. α', 237. 1414, 33.

ἑταῖρος καὶ ἑταίρα ὅτι οὐκ εἰσὶ σύζυγα ἐπὶ τοῦ αὐτοῦ σημαινομένου. 84, 29.

ἑταῖρος ὁ συνήθης καὶ φίλος, ὅτι παρὰ τὸ ἔθος λέγεται, διὸ καὶ δασύνεται. 28, 13. 681, 57. 1480, 10. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ αἱρετὸς δοκεῖ γενέσθαι ἡ λέξις κατὰ στοιχείων μετάθεσιν, ὅθεν καὶ τὴν δασεῖαν ἀναδραμοῦσαν ἔχει. 1512, 45.

ἑταῖρος ὅτι καὶ ὁ βοηθὸς καὶ ὑπουργὸς, εἴτουν ὑπηρέτης, οὕτω λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ. 571, 37. 941, 59. 1442, 34.

ἑταῖρος ἐσθλὸς λέγεται ἄνεμός τις εἶναι τοῖς πλέουσι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ βοηθὸς καὶ συνεργός. 1610, 2. 1670, 38. 1717, 57.

ἐτάλασσας ὅτι ἐκ τοῦ ταλάω ταλῶ θέματος κεκίνηται. 1100, 43.

ἔταρφον, ἀόριστος ἀπὸ τοῦ τρέφω, ὡς ἀπὸ τοῦ δέρκω ἔδαρκον. 1263, 6.

ἐτελείετο, τρίτον πρόσωπον παρατατικοῦ ἀπὸ τοῦ τελείω, ὃ ἐκ τοῦ τελῶ παρήχθη. 20, 25.

ἑτερήμεροι ζῆν λέγονται οἱ Διόσκουροι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ παρ' ἡμέραν, διαφόρως ἑρμηνευόμενον. 1686, 27. 1687, 3.

Ἐτεοβουτάδαι, γένος λαμπρὸν Ἀθήνησιν, ἀπὸ Βούτου υἱοῦ Ποσειδῶνος, ἐτυμολογία. 13, 43. 1644, 47.

Ἐτεόκρητες οἱ ἀληθῶς Κρῆτες, ὅ ἐστιν αὐτόχθονες καὶ γνήσιοι τῆς Κρήτης. 1644, 48. 1861, 6.

ἑτέρα ἀντὶ τοῦ δευτέρα ἐν τῷ, τῆς δ' ἑτέρης Εὔδωρος ἡγεμόνευεν, Ἰλ. π', 179. ὅπου περὶ πέντε τινῶν τάξεων ὁ λόγος. 1052, 49.

ἑτεραλκὴς δῆμος ὁ θατέρῳ μέρει ἀλαλκὼν, ὅ ἐστιν ἐπικουρῶν ἢ ἀλκὴν διδούς. 1040, 26.

ἑτεραλκὴς νίκη ἡ τῷ ἀλκίμῳ διδομένη. 662, 37. 681, 32. ἢ ἡ ἐκ διαδοχῆς ἑτέροις, ἤγουν ἑνὶ τῶν δύο μερῶν, ἀλκὴν περιποιοῦσα. 999, 63.

ἑτέρηφι ἐπίῤῥημα ἀντὶ τοῦ ἑτέρως, τὸ ρη μετὰ τοῦ ἰῶτα προσγεγραμμένον. 1251, 25.

ἑτεροθαλὴς παῖς ὁ θατέρου τῶν γονέων ἐστερημένος, καὶ ἑτεροθαλεῖς οἱ μὴ ὁμομήτριοι. 1283, 2.

ἑτεροίωσις λέγεται ἡ ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβολὴ, ἀλλοίωσις δὲ προτέρας ὑπολήψεως ποίησις ἑτέρα. 1799, 31.

ἑτεροκλίτων τινῶν ὀνομάτων κα-

τάλογος, καὶ ὅτι τινὰ μὲν εὐθειῶν χηρεύουσι, τινὰ δὲ πλαγίων, ἑρμηνεία διεξοδική. 113, 27—114, 5.

ἑτεροκλίτων τινῶν διὰ τοῦ ατος κλινομένων σεσιγημέναι εὐθεῖαι, οἷον τοῦ ὕδατος ἡ ὕδας, καὶ τοῦ φρέατος ἡ φρέας. 1606, 63.

ἑτερόμαλλοι τάπητες οἱ μὴ ἑκατέρωθεν, ἀλλ' ἐκ μόνου τοῦ ἑτέρου μέρους μαλλωτοί, ὅ ἐστι δασεῖς. 746, 36.

ἑτερομόλιος δίκη, ἐν ᾗ μὴ ἄμφω ἦλθον οἱ ἀντίδικοι, ἀλλ' ὁ ἕτερος μόνον. 999, 63.

ἑτερορρεπὴς πλάστιγξ καὶ δίκη φιλία ἐπιθετικῶς, ὅτι παρὰ τὸ ῥέπειν λέγονται. 699, 4.

ἕτερος ὅτι κυρίως μὲν ἐπιμεριστικόν ἐστι δυοῖν τινῶν, καταχρηστικῶς δὲ καὶ πολλῶν τινῶν ἐν ἴσῳ τῷ ἄλλος, ἑρμηνεία διεξοδική· καὶ ὅτι καὶ μετὰ τοῦ θ θατέρα λέγεται τὸ θηλυκὸν καὶ θάτερον τὸ οὐδέτερον, καὶ ὅτι τὸ ἀρσενικὸν κατὰ τὴν ὀρθὴν καὶ ἅτερος λέγεται, κραθὲν ἐκ τοῦ ὁ ἕτερος ἢ Δωρικῶς τροπῇ τοῦ ε εἰς α. 1573, 48. 60.

ἕτερος ὅτι περὶ δυοῖν τινῶν λεγόμενον τὸ ἓν τῶν δύο σημαίνει. 1534, 42. 1638, 22. 1682, 40. καὶ ὅτι προηγεῖται τοῦ ἄλλος ἐν τῇ τῶν συντεταγμένων ἀκολουθίᾳ. 764, 56.

ἑτερούας ὁ μόνωτος, παρὰ τὸ ἕτερον καὶ τὸ οὖας οὔατος. 870, 2.

ἑτερόφθαλμος λέγεται ὁ τοῖν δυοῖν ὀφθαλμοῖν τὸν ἕτερον μόνον ἔχων. 1534, 42.

ἑτερώνιος κτητικὸν ὅτι ἐκ τῆς ἑτέρων γενικῆς ἐσχημάτισται, ὡς ἐκ τῆς ἀνέμων ἀνεμώνιος. 1214, 27.

ἑτερωνυμίας παράδειγμα, ἑρμηνεία διεξοδική. 304, 24.

ἑτέρως ἀντὶ τοῦ, οὐκ εὖ, κατ' εὐφημισμὸν ἐν τῷ, νῦν δ' ἑτέρως ἐβάλοντο θεοὶ κακὰ μητιόωντες, 'Οδ. α', 234. 1414, 2.

ετες λήγοντα ἐπιῤῥήματα, ἔχοντα τὴν ἔτος φωνὴν ὑποκειμένην ἀριθμητικοῖς ὀνόμασιν, οἷον ἑπτάετες, εἰνάετες, ὅτι ἀντὶ τῶν ἐξ ὧν σύγκειται λαμβάνονται, οἷον ἑπτάετες ἀντὶ τοῦ ἑπτὰ ἔτη ἐν τῷ, ἑπτάετες δ' ἤνασσε πολυχρύσοιο Μυκήνης, τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἤλυθε δῖος 'Ορέστης, 'Οδ. γ', 305. sq. 1469, 33.

ετες λήγοντα, ὅτι τῶν διὰ τοῦ ετες ληγόντων μερῶν τοῦ λόγου τὰ μὲν προπαροξυνόμενα ἐπιῤῥηματικῶς ἀκούονται, οἷον τρίετες, τετράετες, τὰ δὲ ὀξυνόμενα ἐπίθετά εἰσιν, οἷον τριετὲς παιδίον. 1437, 9. 1459, 1.

ἔτετμεν, ἤγουν κατέλαβε καὶ εὗρε κατ' ἐπιτομὴν ὁδοῦ, ὅτι ἐκ τοῦ τέμω γίνεται τμῶ κατὰ συγκοπήν, καὶ διπλασιασμῷ τέτμω. 474, 12. 1466, 22.

'Ετεωνεὺς κύριον ὅτι παρὰ τὸ ἐτεόν, ὅ ἐστιν ἀληθές, λέγεται. 1484, 31. καὶ ὅτι προσφυές ἐστι θεράποντι τοὔνομα, ὃν ἀληθεύειν χρὴ πρὸς τὸν δεσπότην. 1492, 56.

'Ετεωνὸς κύριον ὅτι παρὰ τὸ ἐτεὸν λέγεται, οὗ πόλις ὁμώνυμος ἐν Βοιωτίᾳ, ἡ καὶ Σκάρφη ποτὲ κληθεῖσα. 265, 34. 1484, 31.

ετηρος λήγοντα ὀνόματα, ἀπὸ τῶν διὰ τοῦ ετης παρηγμένα, οἷον πενταετὴς πενταέτηρος, ἐνναετὴς ἐνναέτηρος. 245, 45.

ετης ληγόντων ὀνομάτων ἐχόντων τὴν ἔτος φωνὴν ἐν συνθέσει ὑποτεταγμένην προσῳδία καὶ κλίσις, καὶ ἁπλῶς προσῳδία τῶν διὰ τοῦ ετης ὀνομάτων. 340, 40.

ετης λήγοντα ὀνόματα, ἀπὸ περισπωμένων ῥημάτων παρηγμένα, οἷον εὐμενῶ εὐμενέτης, εὐχῶ εὐχέτης. 1434, 44.

ἔτης ὅτι παρὰ τὸ ἔθος λέγεται, καὶ ὅτι ψιλοῦται, καὶ δηλοῖ ἑθάδα ἢ ἑταῖρον ἢ πολίτην. 641, 56. 681, 57. 764, 4. 1480, 8.

ἐτήτυμον ἐπιῤῥηματικῶς πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, ναὶ δὴ ταῦτά γε τέκνον ἐτήτυμον, 'Ιλ. σ', 128. 922, 35. 1131, 64.

ἐτήτυμος ὅτι ἐκ τοῦ ἔτυμος γέγονεν ἐπενθέσει τῆς τη συλλαβῆς· εἰ γὰρ ἦν ἐκ διπλασιασμοῦ, συστέλλοιτ' ἂν ἡ δεδιπλασιασμένη συλλαβή. 1408, 8. 14.

ἔτι ἐπίῤῥημα δὶς παραλαμβανόμενον ἐν μιᾷ περιόδῳ, οἷον ἐν τῷ, οὐ γὰρ ἔτ' ἄλλον φράζετο τοῦδ' ἔτι μοι κρατερώτερον εἶναι ἄεθλον, 'Οδυσσ. λ', 623. 1704, 11. καὶ ὅτι καὶ ἅπαξ παραληφθὲν ἐνίοτε παρέλκει, οἷον ἐν τῷ, εἴ με ἔτι γνοίη, 'Οδ. ω', 217. 506, 23. 1959, 34.

ἔτνος, γενικῷ ὀνόματι, πάντα τὰ ἑψητὰ ὄσπρια, παρὰ τὸ ἕω τὸ πληρῶ καὶ ἀπολαύω, κατ' ἐξοχὴν δὲ οἱ κύαμοι. 948, 36.

ἑτοῖμα τὰ πρόχειρα, προπερισπωμένως παρ' Ὁμήρῳ. 966, 42.

ἑτοιμασαίατο ἀντὶ τοῦ ἑτοιμάσαιντο. 824, 16.

ἑτοῖμον τὸ ἕτοιμον, ὅτι προπερισπᾶται 'Αττικῶς. 206, 1. 531, 33. ἀλλαχοῦ δὲ ὅτι ἑτοῖμον, πρόχειρον καὶ ἐναργὲς καὶ ἀκολούθως ἀληθές. 1602, 2.

ἔτορον δευτέρου ἀορίστου ἀπὸ τοῦ ἐτόρησα, ὡς ἀπὸ τοῦ ἐδούπησα τὸ ἔδουπον, καὶ τοῦ ἐκτύπησα τὸ ἔκτυπον. 841, 8.

ἔτος, φωνὴ ἐν συνθέσει ὑποτασσομένη ἀριθμητικοῖς ὀνόμασι, συνίστησιν ὀνόματα θηλυκὰ εἰς ις λήγοντα καὶ διὰ τοῦ δος κλινόμενα, οἷον τριακοντοῦτις τριακοντούτιδος. 340, 35.

ἔτραγον, δεύτερος ἀόριστος ἀπὸ τοῦ τρώγω θέματος. 1553, 33.

ἔτραπεν ἀντὶ τοῦ ἐτράπετο ἐν τῷ, ἐς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, παρ' Ὁμήρῳ 'Ιλ. π', 657. 1080, 17.

ἔτρεσαν ἀντὶ τοῦ ἔντρομοι ἔφυγον, ἀπὸ τοῦ τρῶ τρέσω. 882, 5.

ἔτριγον, ἀόριστος δεύτερος ἀπὸ τοῦ τρίζω θέματος. 1071, 34. *implicite.*

ἐτυμολογία ἐστὶ λόγος ἐπαληθιζομένην δεικνὺς τὴν λέξιν τῇ φύσει τοῦ πράγματος, καὶ ὅτι ἐκ τοῦ ἐτὸς καὶ τοῦ ἔτυμος, ὅ ἐστιν ἀληθής, σύγκειται ἡ λέξις. 1408, 13.

ἐτυμολογίαι ὀνομάτων τινῶν κυρίων καὶ ἐπωνυμικῶν παρὰ ποιηταῖς, οἷον τοῦ 'Οδυσσεὺς παρὰ τὸ ὀδύσσασθαι παρ' Ὁμήρῳ, καὶ ἄλλων παρ' ἄλλοις, ἑρμηνεία διεξοδική. 650, 39.

ἐτυμολογίας τρόπος τὸ, ἔπος εἰπεῖν, καὶ τὰ ὅμοια. 147, 24. καὶ

ἄλλα πολλὰ παραδείγματα τοῦ αὐτοῦ τρόπου. 171, 19.

ἐτυμολογίας ταὐτότης ὅτι οὐκ ἀεὶ ταὐτότητα σημαινομένου ὑπαγορεύει, οἷον τὸ ἄχος, παρὰ τὸ ᾱ στερητικὸν καὶ τὸ χαίνειν γενόμενον, οὐ ταὐτὸν σημαίνει τῷ μηχανῇ, ὃ ἐκ τοῦ μὴ καὶ τοῦ χαίνειν γίνεται. 197, 15.

ἔτυμος ὁ ἀληθὴς, ὅτι ἐκ τοῦ εἰμὶ γίνεται ἐτὸς, καὶ κατὰ παραγωγὴν ἔτυμος. 1408, 11.

ἐτυμώνιος κτητικὸν, ὅτι ἐκ τῆς ἐτύμων γενικῆς ἐσχημάτισται, ὡς ἐκ τῆς ἀνέμων τὸ ἀνεμώνιος. 1214, 28.

ἔτυχέ μοι τόδε, ἀντὶ τοῦ εὐτυχῶς προσεγένετο. 878, 6.

ἐτώσιον βέλος, τὸ καὶ ἅλιον πολλαχοῦ παρ' Ὁμήρῳ. 995, 41.

ευ δίφθογγος ὅτι πολλαχῶς ἀλλοιοῦται, ποτὲ μὲν ἀποβάλλουσα τὸ ε, οἷον φεύγω φυγὴ, ποτὲ δὲ τρέπουσα αὐτὸ εἰς ο, οἷον σπεύδω σπουδὴ, ἢ τὸ υ εἰς ι, ἢ ὁμοῦ μεταβάλλουσα τὸ μὲν ε εἰς ο, τὸ δὲ υ εἰς ι· ἀλλοιοῦται δὲ καὶ διαλυομένη, εἶτα τρέπουσα τὸ ε εἰς η. 178, 3—10.

ευ δίφθογγος ἀποβάλλουσα τὸ ε κατὰ τὰς παραγωγὰς, ὅπου κακοφωνία συμβαίνει, οἷον ἐν τῷ ἐρυθρὸν, ὃ παρὰ τὸ ἐρεύθω. 671, 61.

ευ καὶ ου δίφθογγοι ἀρκτικαὶ λέξεων, ἐξ ἐπενθέσεως Αἰολικῆς ἔχουσαι τὸ υ, ψιλοῦνται, οἷον οὖρος, εὔκηλος, ἐκ παραδείγματος. 149, 15. 194, 26. 1121, 52.

ευ καὶ δυς μόρια διακρίνοντα μέσως ἐχούσας λέξεις, οἷον τὸ τύχη καὶ μοῖρα καὶ ἄλλα τινά. 651, 21.

εὖ ἐπίρρημα ἐν συνθέσει προτασσόμενον ὅτι διαλελυμένως προφέρεται Ἰωνικῶς, οἷον ἐϋτρέφω ἀντὶ τοῦ εὐτρέφω, καὶ ἐϋπλήσασα ἀντὶ τοῦ εὐπλήσασα. 1054, 12.

εὖ ἐπίρρημα ὅτι ἑκάστῳ ἔργῳ κατ' ἐπιστήμην γενομένῳ ἐπιλέγεται. 1944, 55.

εὖ γεγονὼς, ἀντὶ τοῦ εὐγενής. 626, 55.

ἐῢ γνοίην ἀντὶ τοῦ εὖ γνοίην παρ' Ὁμήρῳ, αἰτιατικῇ συντεταγμένον. 409, 35. 42.

εὖ δάσασθαι, ἀντὶ τοῦ δικαίως διανεῖμαι παρ' Ὁμήρῳ. 119, 27.

εὖ εἰδὼς, ἀντὶ τοῦ ἐπιστήμων ὢν πολλαχοῦ παρ' Ὁμήρῳ. 463, 42. καὶ ὅτι ποτὲ μὲν γενικῇ συντάσσεται, οἷον τόξων εὖ εἰδὼς, ποτὲ δὲ αἰτιατικῇ, οἷον οὔτε δίκας εὖ εἰδότα οὔτε θέμιστας. 709, 40. 762, 8. 1624, 60. ποτὲ δὲ γενικῇ καὶ ἀπαρεμφάτῳ ἐκ τρίτου, οἷον ἐν τῷ, τόξων εὖ εἰδότες ἶφι μάχεσθαι. 329, 20.

εὖ μὲν ἀσκὸς εὖ δὲ θύλακος, παροιμία δι' ἧς τὸ τοῦ βίου ἐπαμφοτερίζων δηλοῦται. 1646, 19.

εὖ νοστῆσαι λέγεται ὁ ἀπήμων νοστήσας. 1846, 16.

εὖ δασυτόνως ἀντὶ τοῦ ἕο, ἤγουν αὐτοῦ. 1217, 35. καὶ ὅτι ἐκ τοῦ ἕο κέκραται, καὶ ὅτι καὶ δίχα τόνου προφέρεταί ποτε ἐγκλιτικῶς. 996, 36.

εὐαγγέλιον τὸ ὑπὲρ ἀγαθῆς ἀγγελίας διδόμενον δῶρον. 1755, 4.

εὔαδεν, ἤρεσεν, ἐκ τοῦ ἧδεν ἕαδε κατὰ διάλυσιν καὶ πλεονασμῷ τοῦ υ Αἰολικῶς εὔαδεν, καὶ ὅτι ψιλοῦται. 990, 36. 1121, 35. 52. 1792, 57. ἀλλαχοῦ δὲ ὅτι Ἀττικῶς καὶ Αἰολικῶς εἴρηται, καὶ ὅτι ἀπὸ τοῦ ἁδεῖν δοκεῖ κεκινῆσθαι. 1722, 1.

Εὐαίμων κύριον ὅτι παρὰ τὸ αἷμα λέγεται. 524, 6.

Εὐάνθης βαρυτόνως, υἱὸς Οἰνοπίωνος τοῦ Διονύσου, πρὸς διαστολὴν τοῦ εὐανθὴς ἐπιθέτου. 1623, 45. 58.

εὐανθὴς ὁ εὐθαλὴς ὀξυτόνως, Εὐάνθης δὲ κύριον βαρυτόνως. 1967, 25.

εὐάρχῳ μύλῳ, παρὰ Λυκόφρονι ἀντὶ τοῦ, βασιλικῷ γρόνθῳ. 1857, 62.

Εὔβοια ἡ νῆσος πόθεν ὀνομάσθη, καὶ περὶ τοῦ σχήματος αὐτῆς· καὶ ὅτι πολλοί τινες τόποι ταύτῃ τῇ προσηγορίᾳ ἐχρήσαντο· καὶ περὶ τῶν ἐν Εὐβοίᾳ τῇ νήσῳ ποταμῶν καὶ πόλεων ἑρμηνεία διεξοδικωτάτη. 278, 30.

Εὔβοιος, ὄνομα παρῳδοῦ δεξιοῦ, ἱστορία. 1224, 54.

Εὐγένιος κύριον, τὸ νῦ ἰῶτα. 1015, 62.

εὔγματα ἀντὶ τοῦ καυχήματα, Ὀδ. χ', 249. 1925, 56.

εὔγναμπτον, ἐπικαμπὲς καὶ περιφερές. 1847, 35.

εὐγραμμία ὅτι παρὰ τὴν γραμμὴν λέγεται, καὶ παράδειγμα τῆς χρήσεως τῆς λέξεως. 852, 15.

εὐδαιμονία, ὅτι τὴν εὐδαιμονίαν φασί τινες ἐκ παντοίας ἀρετῆς συγκεκροτῆσθαι, ἐξ Ὁμηρικοῦ τινὸς ὁρμηθέντες. 1599, 35. 1732, 28.

εὐδείελος τόπος ἀντὶ τοῦ εὔδηλος καὶ εὐπεριόριστος, ἐκ τοῦ δῆλος κατὰ διάλυσιν καὶ ἐπένθεσιν τοῦ ι, ἢ ὁ εὔκρατος, οἱονεὶ εὔειλος ὡς εὖ τῆς εἵλης ἔχων, ἢ ὁ πρὸς δείλην, ὅ ἐστι δύσιν, κείμενος. 818, 48. 1439, 57. 1613, 32—38. καὶ ὅτι εὐδείελος ὠνομάσθη ποτὲ Ἀσπληδὼν ἡ πόλις διὰ τὰς εἰρημένας ἐτυμολογίας. 272, 22.

εὐδία ἡ εὐαερία, παρὰ τὸν Δία, ὃς εἰς ἀέρα ἀλληγορεῖται. 414, 36. 1064, 36.

εὐδικία, τοὐναντίον τῆς ἀδικίας, ἤτουν κακοδικίας, Ὀδ. τ', 111. 1857, 57.

εὔδιος ὁ εὐαέριος, καὶ εὐδία ἡ εὐαερία. 1505, 17.

ἐΰδμητος ὅτι ἐκ τοῦ εὔδμητος λέγεται κατὰ διάλυσιν. 1570, 60.

εὔδμητος ὅτι ἐκ τοῦ εὐδόμητος λέγεται κατὰ συγκοπήν. 132, 19.

Εὔδωρος, υἱὸς Ἑρμοῦ, εἷς τῶν ὑπ' Ἀχιλλεῖ ἡγεμόνων παρ' Ὁμήρῳ, ὅτι μνήμων ἐδόθη τῷ Πατρόκλῳ ὑπ' Ἀχιλλέως τοῦ μὴ προσωτέρω χωρεῖν, ἀνῃρέθη δὲ ὑπὸ Πυραίχμου. 1053, 55. 1697, 56.

εὐειδὴς ὁ εὖ ἔχων εἴδους, ἤγουν ὁ ἅπαν τὸ σῶμα καλὸς, εὔμορφος δὲ ὁ εὐπρόσωπος· καὶ ὅτι εὐειδεῖς μὲν λέγονται γυναῖκες παρ' Ὁμήρῳ, θεοειδεῖς δὲ ἄνδρες. 382, 1. 1799, 37.

εὐείλητος, εὔκλωστος ἢ εὐδίπλωτος. 1056, 64.

εὔειλον χωρίον τὸ εὐήλιον, ὅτι παρὰ τὴν εἵλην λέγεται. 1573, 45.

εὐειμονεῖν τὸ εὖ ἐνδεδύσθαι. 1783, 18.

Ευέλθων κύριον ὅτι βαρύνεται, καίπερ ἐκ τῆς ἐλθὼν μετοχῆς συγκείμενον. 395, 12. 1098, 1. 1383, 40. καὶ ὅτι Εὐέλθων ὁ Σαλαμίνιος Φερετίμῃ γυναικί τινι στρατιὰν αἰτούσῃ ἄτρακτον ἔδωκε καὶ ἠλακάτην, ἱστορία. 657, 41.

εὐεργεσία παρ' Ὁμήρῳ ἡ ἀγαθοεργία, ἥτις ἀντίκειται τῇ κακοεργίᾳ. 1930, 57.

εὐεργέων ἀντὶ τοῦ εὐεργετῶν ἐν τῷ, οὐδέ τις ἐστὶ χάρις μετόπισθ' εὐεργέων, Ὀδυσσ. δ', 695. 1514, 31.

εὐεργής ναῦς ἢ οἰκία ἡ κατὰ τέχνην εἰργασμένη, καὶ εὐεργὴς ἀντὶ τοῦ εὐεργέτης ἐνίοτε παρ' Ὁμήρῳ, εὐεργὸς δὲ γυνὴ ἡ ἀγαθοεργός. 1083, 42. 1514, 31. 1624, 11. 1693, 13.

εὐερμία τὸ ἀγαθὸν ἕρμαιον, ὅ ἐστιν εὕρημα, καὶ εὐερμεῖν ῥῆμα. 675, 54. 1439, 35.

εὔζυγον ἅρμα ἐπιθετικῶς παρ' Ὁμήρῳ, πολύζυγος δὲ ναῦς. 223, 11.

εὐζωία ἡ εὐδαιμονία, ὅτι παρὰ τὸ Ὁμηρικὸν, εὖ ζώειν, ἐπενοήθη ἡ τοῦ εὐζωία ὀνόματος σύνθεσις. 1826, 25.

εὔζωνος γυνὴ ἡ εὔκοσμος, ἀπὸ μέρους τῆς ζώνης, εὔζωνος δὲ ὁδοιπόρος ὁ εὐσταλὴς, ἑρμηνεία διεξοδική. 129, 35. 258, 35. 777, 13.

εὐηγενής ὁ εὐγενὴς πλεονασμῷ τοῦ η. 854, 61. 1288, 62.

εὐηγεσία ἡ εὐαρχία, παρὰ τὸ ἡγῶ ἡγέσω, ὅθεν καὶ ἡγεμών. 1857, 61.

εὐήκης αἰχμὴ ἡ εὖ ἔχουσα ἀκῆς, ὅ ἐστιν ὀξύτητος, καὶ ὅτι βαρύνεται ἡ λέξις. 1271, 38.

Εὔηνος ὅτι γαμβροκτόνος ἱστορεῖται, ὡς καὶ ὁ Οἰνόμαος, καὶ ὅτι ἀπ' αὐτοῦ Εὔηνος μετωνομάσθη ὁ Λυκόρμας ποταμὸς, ἱστορία διεξοδική. 776, 8.

εὐήνωρ οἶνος καὶ σίδηρος ἐπιθετικῶς παρ' Ὁμήρῳ, ὁ ἀνδρίας περιποιητικός. 1512, 11.

εὐήνωρ χαλκὸς ὁ ἀνδρίας περιποιητικὸς διὰ τὴν πάλαι ποτὲ ἐξ αὐτοῦ ὁπλοποιΐαν, καὶ οἶνος εὐήνωρ ὁμοίως· καὶ ὅτι καὶ ὁ εἰς τρίποδας καὶ λέβητας συντελῶν χαλκὸς εὐήνωρ λέγεται παρ' Ὁμήρῳ ὡς δυνάμει τοιοῦτος. 1731, 57.

εὐῆρες πλοῖον καὶ ἐρετμὸν παρὰ τὸ ἐρέσσειν τροπῇ τοῦ ε εἰς η, καὶ εὐῆρες ἁπλῶς τὸ ἐπιεικὲς καὶ πρᾶον καὶ εὐάγωγον. 1509, 14. 1676, 17.

εὐήτριος χιτὼν ὅτι ἀπὸ τῶν ἠτρίων λέγεται, ὅ ἐστι τῶν ἐν τοῖς ὕφεσι στημόνων. 1182, 16.

εὐθεῖα ἀρκτικὴ παραβολῆς κατὰ γενικὴν ἔχουσα τὴν ἀπόδοσιν, οἷον Τρῶες δ' ὥστ' ὄϊες, ὡς Τρώων ἀλαλητός, Ἰλ. δ', 433-436. 493, 39.

εὐθεῖα μεταβαίνουσα ἐπὶ γενικὴν κτητικῶς, οἷον κύων Ὀδυσσέως. 1821, 15.

εὐθεῖαι ἐνιαχοῦ ἀντὶ τῶν συστοίχων κλητικῶν παρὰ τοῖς Ἀττικοῖς, οἷον ὦ Αἴας καὶ ὦ παῖς, ἀντὶ τοῦ ὦ Αἶαν καὶ ὦ παῖ. 1469, 59.

εὔθυμος ἀντὶ τοῦ εὔψυχος ἐν τῷ, ἄναξ εὔθυμος ἔδωκεν, Ὀδ. ξ', 63. 1750, 59.

εὐθὺς ἐπίῤῥημα ὅτι καὶ εὐθὺ χωρὶς τοῦ σ λέγεται. 579, 1.

Εὔιος καὶ Ἤϊος ὁ Διόνυσος, ὅτι παρὰ τὸ ἵεσθαι λέγεται, ὅθεν καὶ τὸ μεθίεσθαι, ὅ ἐστιν ἀμελεῖν. 1473, 27.

εὐκαμπὲς δρέπανον, ἀπὸ μέρους τῆς καμπῆς τὸ διόλου εὖ τετεχνητευμένον. 1851, 44.

εὐκέαστα ξύλα τὰ εὔκλαστα, παρὰ τὸ κεάσαι, ὅ ἐστι σχίσαι. 1241, 48.

εὐκέατος κέδρος ὅτι παρὰ τὸ κεάσαι, ὅ ἐστι σχίσαι, λέγεται. 1523, 35.

εὔκηλος παρὰ τὸ ἕκηλος, ὅ ἐστιν ἥσυχος, ἐπενθέσει τοῦ υ, καὶ ὅτι ψιλοῦται διὰ τὴν ἐπένθεσιν. 149, 11.

εὐκλεῖας ὅτι ἐκ τοῦ εὐκλεέας συνήρηται καὶ προπερισπᾶται διὰ τὴν συστολὴν τῆς ληγούσης. 805, 3. 7. 1911, 63.

εὐκλήϊς ἐπίθετον ὅτι ἐκτείνει τὴν λήγουσαν. 1352, 45.

εὐκνήμιδες οἱ καθόλου εὔοπλοι ἀπὸ μέρους τῶν κνημίδων, ὅτι βαρύνεται ἡ λέξις καὶ μακροκαταληκτεῖ. 26, 28. 70, 7.

εὐκόμιστος ὁ ἐπιμελείας τετυχηκὼς, παρὰ τὸ κομίζω, ὅ ἐστιν ἐπιμελοῦμαι. 1560, 6.

Εὐκράτης, Ἀθηναῖος στρατηγὸς, ὅτι στύγαξ ἐπεκαλεῖτο διὰ τὸ στυγεῖσθαι ὑπὸ τῶν πολλῶν, ἱστορία. 1650, 60.

εὐκρίνας ἀντὶ τοῦ εὖ κρίνας, ἢ διακρίνας καὶ διαχωρίσας ἢ ἐπιλεξάμενος. 961, 5. 1054, 26. 57. 1753, 1.

εὐκρίνεια, ἐν λόγοις καὶ ἐν ἔργοις εὐκοσμία. 1054, 58. καὶ ὅτι ἡ εὐκρίνεια ἀντίκειται τῇ συγχύσει. 961, 7.

εὐκρίνειν ὅτι ἀντίκειται τῷ συγχέειν. 965, 5.

εὐκρινῶς, ἤγουν εὐτάκτως. 961, 5.

εὐκτικὰ εἰς μι λήγοντα, εἰς ην μεταπλαττόμενα, οἷον ἐκπεφεύγοιμι ἐκπεφευγοίην. 58, 39.

εὐκτικοὶ λόγοι δι' εὐκτικῶν ῥημάτων ἐπὶ ἀξιώσει γινόμενοι, ὅτι δι' εὐλάβειαν γίνονται ἢ ἔνδειξιν ἐφέσεως, οἱ δὲ προστακτικῶς σχηματιζόμενοι ἀποτομώτερον ἀξιοῦσι. 10, 40.

εὐκτικὸς λόγος κατ' ἀπαρέμφατον γινόμενος ἐλλιπῶς τοῦ εὔχομαι ἢ τοῦ δὸς ἢ ποίησον, οἷον τὸ, Ζεῦ ἄνα Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι, Ὀδ. ρ', 354. 1823, 36.

εὐκτικῶν χρῆσις ἀντὶ παρῳχημένων ὁριστικῶν, οἷον, καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης, Ἰλ. ε', 388. ἀντὶ τοῦ ἀπώλετο ἄν. 91, 22. 562, 36.

εὐκτικῶν Αἰολικῶν εἰς εια σχηματισμὸς καὶ σημασία ἰδία. 36, 46. ζήτει ἐν τῷ, εια λήγοντα εὐκτικά.

εὐκτικῶν πρόσωπα διὰ τοῦ ειμεν καὶ ειτε, ἐκ τῶν διὰ τοῦ ειημεν καὶ ειητε συγκοπέντα, καὶ ἕτερα εἰς ειο ἐκ τῶν διὰ τοῦ ειοιο ὁμοίως συγκοπέντα, οἷον βλεῖο ἐκ τοῦ βλείοιο· ζήτει ἐν τῷ, ειμεν καὶ ειτε λήγοντα. 1907, 45.

εὐκτιμένη πόλις ἐπιθετικῶς ἀντὶ τοῦ καλῶς οἰκουμένη. 1222, 22. καὶ εὐκτίμενον πτολίεθρον ἐπὶ τοῦ αὐτοῦ πολλαχοῦ παρ' Ὁμήρῳ. 283, 6.

εὐκτίμενος ὅτι ἀπὸ τοῦ κτίζω λέγεται κατ' ἔλλειψιν τοῦ σ̄. 328, 2.

εὔκυκλος ἀσπὶς ἡ περιφερής. 996, 22. εὔκυκλος δὲ ἀπήνη ἡ εὔτροχος ἅμαξα. 1550, 23.

εὐλάβειαν σώζειν ἐν ἴσῳ τῷ εὐλαβεῖσθαι. 694, 23.

εὐλαὶ, σκώληκες νεκροῖς σώμασιν ἐγγενώμενοι, ὅτι παρὰ τὸ εἰλεῖσθαι λέγονται τροπῇ τοῦ ῑ εἰς ῡ, καὶ ὅτι ὀξύνεται ἡ λέξις. 1169, 36. 1283, 57. 1356, 39.

εὔληρα τὰ ἡνία, παρὰ τὸ εἰλεῖσθαι, ὅ ἐστι στρέφεσθαι, δι' αὐτῶν τοὺς ἵππους, τροπῇ τοῦ ῑ εἰς ῡ. 1311, 42.

εὐλογεῖν ἀντὶ τοῦ κακολογεῖν ἀντιφραστικῶς. 634, 10.

εὔλοφος νῶτος ἐπιθετικῶς ὁ εὔεικτος, παρὰ τὸν λόφον, ὅς ἐστι μέρος τι τοῦ ζωικοῦ τραχήλου. 1313, 32.

εὐλόφως ἀντὶ τοῦ εὐπειθῶς, ἐκ μεταφορᾶς τῶν ζώων, οἷς ἐπὶ τοῦ λόφου ἐπιτίθεται ὁ ζυγός. 1653, 6.

Εὐμάθης κύριον βαρυτόνως, εὐμαθὴς δὲ ἐπίθετον ὀξυτόνως. 1623, 60.

Εὔμαιος κύριον ὅτι παρὰ τὸ εὖ μαιωθῆναι εἴρηται. 1766, 16. 1784, 32.

εὐμαρὲς, εὐχερὲς, παρὰ τὸ μάρη, ὃ δηλοῖ τὰς χεῖρας. 1009, 25. καὶ εὐμάρεια ἡ εὐχέρεια ὁμοίως. 980, 41.

εὐμενέτης ὅτι οὐχ, ὡς τὸ εὐμενὴς, ἀπὸ τοῦ μένος γέγονεν, ἀλλ' ἀπὸ ῥήματος ἀχρήστου περισπωμένου. 1558, 29.

Εὐμενὴς ὁ Μακεδὼν ὅτι περὶ χοίρων μεγάλων κτῆσιν ἐσπούδαζεν, ἱστορία. 773, 11. καὶ ὅτι ὀξύνεται ἡ λέξις. 585, 34.

Εὐμενίδες αἱ Ἐριννύες κατ' ἀντίφρασιν καὶ εὐφημισμόν. 763, 36. 1398, 52.

Εὔμηλος, υἱὸς Ἀδμήτου τοῦ Φέρητος τοῦ Κρήθεως, γενεαλογία. 1681, 49.

εὔμηλος χώρα ἐπιθετικῶς, ὁμωνύμως τῷ κυρίῳ. 1787, 24.

εὔμορφος ὁ εὖ ἔχων μορφῆς καὶ εὐπρόσωπος, ἐπειδὴς δὲ ὁ ἅπαν τὸ σῶμα καλός. 382, 2. 1799, 37.

ευν λήγοντα πρόσωπα ῥηματικὰ ἀντὶ τῶν εἰς ουν κατὰ γλῶσσαν, οἷον ἐποίευν ἀντὶ τοῦ ἐποίουν. 1710, 35.

εὐνάζειν γόον, ἀντὶ τοῦ παύειν ποιητικῶς. 1516, 63. καὶ εὐνάζειν σῶμα λέγεται ὁ θάνατος, ἤγουν καταβάλλειν ἢ ἀναπαύειν. 699, 41. καὶ ὅτι παρὰ τὸ εὐνῶ παρήχθη τὸ εὐνάζω. 1542, 46.

εὐνάζεσθαι ἀντὶ τοῦ διατρίβειν. 345, 46.

εὐναὶ αἱ κοῖται καὶ αἱ διατριβαὶ καὶ αἱ τὰς ναῦς ἀνάγουσαι ἄγκυραι ὁμωνύμως. 131, 4.

εὐναὶ αἱ ἄγκυραι, ἢ τὰ ἕρματα τῶν νεῶν, ὅτι ἀφορμὴ γέγονε τῆς λέξεως τὸ καὶ στορέννυσθαι λέγεσθαι τὸ πέλαγος, ὡς καὶ τὰς στρωμνάς. 968, 40. 1462, 9.

εὐναία ἡ εὐνὴ κατὰ παραγωγὴν, ὡς σεληναία ἡ σελήνη. 474, 45.

Εὐνεῖδαι, γένος μουσικὸν, ὅτι ἀπὸ Εὔνεω τοῦ Ἰάσονος παρωνόμασται. 1327, 42. 1681, 57.

Εὔνεως, υἱὸς Ἰάσονος, ὅθεν Εὐνεῖδαι, γένος τι ἀνθρώπων μουσικῶν. 1327, 42.

εὐνὴ καὶ εὐναία ἡ ἄγκυρα. 474, 45. ζήτει τὸ εὐναί.

εὐνὴ ἡ στρωμνὴ, λέχος δὲ ἡ ὑποκειμένη κλίνη. 1793, 50. 1943, 12.

εὐνὴ, εὐφήμως ἡ κατὰ συνουσίαν μῖξις ἐν τῷ, εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί, Ὀδ. θ', 249. 1594, 33. 1660, 24.

εὐνὴ ὁ τάφος ἐνίοτε κατ' εὐφημισμόν. 346, 1.

εὐνὴ νεβροῦ ἡ διατριβὴ, ἡ καὶ κοίτη. 1265, 32.

εὐνὴ, ὅτι καὶ ὁ τόπος, ἔνθα ἔστιν εὐνασθῆναι, εὐνὴ λέγεται. 1504, 17.

εὐνὴ πεποίηται, ἀντὶ τοῦ ἐστόρεσται ἐν τῷ, πεποίηταί τοι εὐνή, Ὀδ. η', 342. 1582, 52.

εὐνηθῆναι ὅτι ἀπὸ τοῦ εὐνῶ θέματος κεκίνηται, ὅθεν τὸ εὐνάζω. 1544, 42.

Εὔνηος, υἱὸς Ἰάσονος ἐξ Ὑψιπύλης, Λήμνου βασιλεὺς, ὅτι ἐκ τοῦ ναῦς σύγκειται τοὔνομα. 692, 36.

εὐνῆσαι πῦρ, ἀντὶ τοῦ εὐνάσαι, τουτέστι φυλάξαι ἐν σποδιᾷ. 1783, 6.

εὔνητος ὁ εὖ νενησμένος, ὅ ἐστιν εὔκλωστος, παρὰ τὸ νήθω ἢ τὸ νῶ νήσω. 1166, 57. 1366, 10. 1570, 58.

εὖνις ὁ ἐστερημένος καὶ μεμονωμένος, παρὰ τὴν ἑνὸς γενικὴν ἐπενθέσει τοῦ ῡ, δι' ἣν καὶ ψιλοῦται ἡ λέξις· ἢ ὁ εὐναζόμενος καὶ ἡσυχάζων καὶ ἀπρακτῶν παρὰ τὴν εὐνήν. 149, 16. 1256, 27. 1643, 16. καὶ εὖνις ἀνδρὸς γυνὴ ἡ τοῦ ἀνδρὸς ἐστερημένη, τουτέστι χήρα. 445, 7.

ἐΰννητος ἀντὶ εὔνητος, ὅ ἐστιν εὔκλωστος, ὅτι κατὰ διάλυσιν γέγονε καὶ προσθήκην ἑτέρου ν̄. 1166, 56. 1570, 59.

Εὔνοστος, ὄνομα θεοῦ ἐπιμυλίου ἐποπτεύοντος τὰ τῶν ἀλείρων μέτρα. 214, 18. 1383, 42. καὶ ὅτι καὶ Νόστος ἐν ἁπλότητι ὁ αὐτὸς λέγεται. 1885, 25. καὶ Εὔνοστος ὄνομα βασιλέως τινὸς Σολέων τῶν ἐν Κύπρῳ. 1332, 4.

εὐνοῦχος ὁ ἐστερημένος ὀχείας, παρὰ τὸ εὖνις, ὅ ἐστιν ἐστερημένος ἢ μεμονωμένος. 1256, 30. 1643, 16. καὶ εὐνοῦχος ἡ θρίδαξ διὰ τὸ ἀσυντελὴς εἶναι πρὸς τὰ ἀφροδίσια. 1283, 28.

εὐνοῦχοι φοίνικες, ὅτι τῶν τῆς φοίνικος καρπῶν οἱ μὴ ἔχοντες πυρῆνας εὐνοῦχοι καλοῦνται. 1735, 41.

ευντι λήγοντα τρίτα πρόσωπα πληθυντικὰ ἐνεστώτων τῆς πρώτης τῶν περισπωμένων Δωρικῶς λεγόμενα, οἷον φρονεῦντι ἀντὶ τοῦ φρονοῦσι, ἅπερ οἱ Αἰολεῖς χωρὶς τοῦ ν̄ προφέρουσιν. 1557, 40.

εὐξέστη, θηλυκὸν τοῦ εὔξεστος. 824, 47. 1366, 30.

εὔξοον ἅρμα τὸ εὖ ἐξεσμένον. 243, 44. εὔξοον δὲ σκέπαρνον τὸ εὖ ξέον κατὰ ἐνεργητικὴν σημασίαν. 1531, 44.

εὐοικονόμητος ἄρτος ἀντὶ τοῦ εὔπεπτος. 866, 21.

εὐόμφαλον ἀντὶ τοῦ εὔοσμον, καὶ ὅτι οὕτω καλοῦσιν Ἀρκάδες τὸ ῥόδον. 1295, 14.

ζειν. 1864, 10. καὶ Εὐρυβάτης, στρατηγός τις παρ' Ἡροδότῳ, ἱστορία. 110, 4. 10.

εὐρυθμία, ὅτι οὐ μόνον βαδίσεως, ἀλλὰ καὶ ἐνδύσεως εὐρυθμία ἐπιτηδεύετο παρὰ τοῖς παλαιοῖς. 1164, 33.

εὐρυκρείων, συνθέτως ὡς ἀλικρείων, ἢ εὐρὺ κρείων ἐν παραθέσει, ὁ ἐς πλάτος βασιλεύων καὶ πολλῶν τινῶν ἄρχων. 57, 25. 401, 5. καὶ ὅτι ἐνδοξότερον ἐπίθετόν ἐστι τὸ εὐρυκρείων ἢ τὸ ἄναξ ἀνδρῶν. 132, 2.

Εὐρύλοχος, γαμβρὸς Ὀδυσσέως ἐπὶ τῇ ἀδελφῇ Κτιμένῃ. 1654, 64. 1664, 32.

Εὐρύμαχος, Φλεγύων βασιλεύς, ὅτι ἀποθανόντων Ζήθου καὶ Ἀμφίονος τὰς Θήβας ἠρήμωσεν, ἱστορία. 1682, 53.

Εὐρυνόμη, ὄνομα μιᾶς τῶν Ὠκεανίδων, ἀλληγορικῶς δὲ ἡ τοῦ ὕδατος εὐρεῖα διανομή. 1149, 59.

εὐρυόδεια γῆ ἐπιθετικῶς ἡ μεγαλάμφοδος, ὅτι ἐκ τοῦ ὁδεύειν ἔχει τὴν παραληκτικὴν δίφθογγον ἡ λέξις. 1078, 22. 1476, 56.

εὐρύοπα Δία, κατ' αἰτιατικήν, ὅτι ἀναλόγως λέγεται, εὐρύοπα δὲ Ζεὺς ἐν εὐθείᾳ κατὰ σχῆμα, καὶ διάφοροι ἐτυμολογίαι τῆς λέξεως. 141, 25.

εὐρυπυλὴς καὶ εὐρυπυλὲς ἐπίθετα ὅτι ὀξύνονται. 772, 13.

Εὐρύπυλος, υἱὸς Ἡρακλέους καὶ Χαλκιόπης, βασιλεύσας ἐν Κῷ τῇ νήσῳ. 318, 34.

Εὐρύπυλος υἱὸς Τηλέφου ἐξ Ἀστυόχης τῆς Πριάμου ἀδελφῆς, ὅτι ἐν τοῖς περὶ Κάϊκον τόποις δοκεῖ βεβασιλευκέναι καθ' Ὅμηρον, πλησίον Ἐλαίας Αἰολικῆς πόλεως. 1697, 14. 32.

Εὐρυσάκης, παῖς Αἴαντος τοῦ Τελαμῶνος, ὅτι φερωνύμως παρὰ τὸ τοῦ πατρικοῦ σάκους εὖρος ὠνόμασται. 857, 56.

Εὐρυσθεύς, Σθενέλου τοῦ Περσέως, Μυκηναίων βασιλεύς, ὑπὸ Ἀθηναίων καταπολεμηθείς. 290, 15.

Εὐρυτίων Κένταυρος, αἴτιος τοῦ τῶν Κενταύρων πρὸς Λαπίθας πολέμου, ὅτι ὑφ' Ἡρακλέους ἀνῃρέθη, ἱστορία. 1909, 50 61.

Εὔρυτος ὁ Οἰχαλιεὺς ὅτι κατὰ μὲν Ὅμηρον ὑπ' Ἀπόλλωνος ἀνῃρέθη, κατὰ δὲ τοὺς ὕστερον ὑφ' Ἡρακλέους διὰ τὴν ἐκείνου θυγατέρα Ἰόλην, καὶ ὅτι παρὰ τὸ εὖ ῥύειν, ὅ ἐστιν ἑλκύειν, τὸ τόξον ὠνόμασται. 1593, 25. 29. 1899, 35. 39. καὶ ὅτι διδάξαι τὴν τοξικὴν τέχνην Ἡρακλέα ἱστορεῖται ὁ Εὔρυτος οὗτος. 299, 12.

εὐρυφυὲς κρῖ λέγεται κατὰ φυσικὸν ἰδίωμα, ὡς τοιοῦτον ὂν κατὰ τὴν ἔκφυσιν. 1511, 14.

εὐρύχορος τόπος λέγεται, ἐν ᾧ ἔστιν εὐρὺ χορεύειν, καὶ ὅτι ἀεὶ διὰ τοῦ ο μικροῦ γράφεται παρ' Ὁμήρῳ, καὶ ἔστιν εὐδαίμονος χώρας τὸ ἐπίθετον, τὸ δὲ διὰ τοῦ ω μεγάλου γραφόμενον πλάτος μόνον χώρας δηλοῖ. 1549, 15. ἀλλαχοῦ δὲ ὅτι εὐρύχορος διὰ τοῦ ο μικροῦ παρ' Ὁμήρῳ διὰ μέτρον ἀνάγκην, τοῦ χοροῦ ὀνόματος ἀντὶ τοῦ τόπος καὶ χώρα λαμβανομένου, ὡς καὶ ἐν τῷ, ὅθι τ' Ἠοῦς ἠριγενείης οἰκία καὶ χοροί εἰσιν, Ὀδ. μ', 4. 765, 21. 1705, 41.

εὐρώεις ὁ πλατὺς παρὰ τὸ εὖρος, ἢ ὁ σεσηπὼς παρὰ τὸν εὐρῶτα· ἐκτείνει δὲ τὴν παραλήγουσαν, ὡς τὸ κηώεις καὶ κητώεις. 1196, 18.

εὐρώεις δόμος ὁ σκοτεινὸς ἢ πλατύς. 1666, 49.

Εὐρώπη, θυγάτηρ Φοίνικος καὶ Κασσιεπείας, Μίνωος καὶ Ῥαδαμάνθυος μήτηρ. 989, 34. καὶ ὅτι τῆς Εὐρώπης ταύτης φύλαξ χαλκοῦς Ἡφαιστότευκτος κατεστάθη ὑπὸ τοῦ Διὸς ἐν Κρήτῃ, ἱστορία μυθική. 1893, 6.

εὐρωπὸν σπήλαιον ἐπιθετικῶς τὸ πλατύ, ἀπεναντίας τῷ στενωπῷ. 672, 25. 1719, 40.

Εὐρώτας, ποταμός τις Λακωνικὸς καὶ μόριόν τι τοῦ σώματος ὁμωνύμως. 1478, 37. καὶ ὅτι καὶ ὁ παρ' Ὁμήρῳ Τιταρήσιος ποταμὸς Εὐρώτας ὕστερον ἐκλήθη. 336, 25.

—ευς λήγοντα ὀνόματα μεταπλασθέντα ἀπὸ ληγόντων εἰς ος εὐθειῶν καὶ γενικῶν, οἷον πομπὸς πομπεύς, ἡγεμόνος ἡγεμονεύς. 1472, 54.

—ευς λήγοντα ὀνόματα ἀπὸ ληγόντων εἰς ης παρηγμένα, οἷον Ἀντιφάτης Ἀντιφατεύς. 1150, 49.

—ευς λήγοντα ὀνόματα ἀπὸ μελλόντων διὰ τοῦ ευσω ληγόντων παρηγμένα, οἷον ἡγεμονεύσω ἡγεμονεύς, ἡνιοχεύσω ἡνιοχεύς. 1084, 22

—ευς λήγοντά τινα ὀνόματα ἀπὸ τεταρτοκλίτων ἢ πεμπτοκλίτων ὀνομάτων παρηγμένα, οἷον Αἰθίοψ Αἰθιοπεύς, ἡνίοχος ἡνιοχεύς. 128, 35. 576, 40.

—ευς λήγοντα ὀνόματα ὅτι κοινῶς μὲν διὰ τοῦ εως κλινόμενα διὰ τοῦ ειδης ποιοῦσι τὰ πατρωνυμικά, Ἰωνικῶς δὲ διὰ ηιδης, ὡς καὶ διὰ τοῦ ηος κλινόμενα. 12, 37.

—ευς λήγοντα ὀνόματα, οὐδὲν ὄνομα εἰς ευς λῆγον εὕρηται βαρυνόμενον πλὴν τοῦ Ἄρευς. 518, 37. ἀλλαχοῦ δὲ ὅτι τὰ ευς λήγοντα ὀξύτονα Αἰολικῶς βαρύνονται, οἷον βασίλευς καὶ Ἀχίλλευς ἀντὶ τοῦ βασιλεὺς καὶ Ἀχιλλεύς. 1534, 22.

—ευς λήγουσαι γενικαὶ ἀπὸ τῶν διὰ τοῦ εος καὶ εως κραθεῖσαι, οἷον Ἐρέβεος Ἐρέβευς, Ὀδυσσέως Ὀδυσσεῦς. 775, 49.

—ευς λήγοντα ὀνόματα τῆς τρίτης τῶν συνῃρημένων ὅτι καὶ εἰς η ἰσοσυλλάβως τῇ εὐθείᾳ ἐξ ἀποκοπῆς ποιοῦσι τὴν αἰτιατικήν, οἷον Μηκιστῆα Μηκιστῆ, Τυδῆα Τυδῆ. 1018, 64.

ἐῢς ὁ ἀγαθός, ζήτει ἐν τῷ ἠΰς. 121, 19.

εὔσελμος ναῦς ἐπιθετικῶς, ἡ καὶ εὔζυγος, παρὰ τὸ σέλμα, ὅ ἐστι καθέδρα καὶ σελλίς, ἢ παρὰ τὰς σελμίδας, ὃ δηλοῖ τὰ σπάρτα κατὰ γλῶσσαν. 197, 12. 1025, 56. 1041, 28. 34.

εὐσθενὴς ὁ ῥωμαλέος, Εὐσθένης δὲ κύριον βαρυτόνως. 1967, 21.

εὔσκαρθμος ὁ εὐκίνητος, παρὰ τὸ εὖ καὶ τὸ σκαίρειν, ὅ ἐστι πηδᾶν. 351, 38. 918, 63.

ἐΰσκοπος Ἑρμῆς ὁ ἀγαθὸς σκοπευτής, ἢ ὁ τοῦ δέοντος προνοούμενος· ἐΰσκοπος δὲ Ἄρτεμις ἡ εὖ τοῦ σκοποῦ καταστοχαζομένη ἐν τῷ τοξεύειν. 1679, 6. 1343, 33.

ευσταθὲς μέγαρον, τὸ καὶ εὔπηκτον παρ' Ὁμήρῳ. 1148, 23.
ευστέφανος γυνὴ ἡ εὔκοσμος, παρὰ τὸν στέφανον ἢ τὴν στεφάνην, ὅς ἐστι κόσμος γυναικεῖος ἐπομφάλιος. 1249, 39. 1598, 13.
Εὐστέφανος πόλις ἐπιθετικῶς, πολλαχῶς ἑρμηνευόμενον, καὶ περὶ τῆς παραγωγῆς τῆς λέξεως. 1174, 6. 1175, 5.
εὕστρα ἡ τῶν συῶν φλογίστρα, παρὰ τὸ εὕω, ὅ ἐστι καίω, καὶ ὅτι πολλά τινα σημαίνει ὁμωνύμως, καὶ ἔκθεσις τῶν σημαινομένων σὺν ἐξηγήσει διεξοδικῇ. 1286, 20. 1446, 21.
εὐστραφὲς τὸ εὔκλωστον. 1915, 23.
εὔστρεπτος ἱμὰς ὁ εὐμάλακτος ἢ εὔκλωστος. 1453, 3.
εὐστρεφὴς καὶ εὔστροφος νευρὰ ἐπιθετικῶς ἡ εὔκλωστος, παρὰ τὸ στρέφειν, ὅ ἐστι κλώθειν. 1025, 33.
$\overline{\text{ευσω}}$ λήγοντες μέλλοντες ἀπὸ ληγόντων διὰ τοῦ $\overline{\text{εω}}$ ἐνεστώτων κατ' Αἰολικὴν ἐπένθεσιν τοῦ $\bar{\text{υ}}$ λεγόμενοι, οἷον ῥέω ῥεύσω, πλέω πλεύσω. 1678, 43.
εὖτ' ἄν, ἀντὶ τοῦ ὅταν χρονικοῦ. 94, 43.
εὖτε, παραβολικὸν ἐπίῤῥημα ἀντὶ τοῦ ὥστε. 117, 35. καὶ ὅτι καὶ χρονικόν ἐστιν ἀντὶ τοῦ ὅταν. 718, 17.
εὐτείχεα αἰτιατικὴ ὅτι οὐκ ἐκ τοῦ εὐτείχης, ἀλλ' ἐκ τοῦ εὔτειχος εὐτείχεος κεκίνηται. 1045, 59.
Εὐτείχεος πόλις Ἰωνικῶς, ἢ κοινῶς εὐτειχὴς, παρὰ τὸ τεῖχος, ὡς παρὰ τὸ σθένος εὐσθενής. 65, 24.
εὐτελὴς ὁ φειδωλὸς καὶ ὀλιγοδάπανος. 881, 27. καὶ εὐτελὴς, ὃν μικροῦ τις πρίαιτο. 892, 41.
εὖτι ἀντὶ τοῦ εἰσὶν Αἰολικῶς, ὃ καὶ ἐντὶ λέγεται. 1557, 42.
εὐτρεφεῖς ὄϊες ἐπιθετικῶς παρ' Ὁμήρῳ, ζατρεφεῖς δὲ φῶκαι. 1638, 14.
ἐΰτρεφον ἀντὶ τοῦ εὖ ἔτρεφον, ἀπὸ τοῦ εὐτρέφω. 977, 51. 978, 55.
Εὔτρησις, πόλις ἐν ᾗ ἐτιμᾶτο Ἀπόλλων Εὐτρησίτης ἐπικαλούμενος. 268, 3.
εὔτυκτος ἐπίθετον ὅτι ἐκ τοῦ τεύχω ἀποβολῇ τοῦ $\bar{\epsilon}$ ἢ ἀπὸ τοῦ τύκω λέγεται. 421, 33. 967, 14.
εὐτυχία ὅτι θεῖόν τι χρῆμά ἐστι, συνάγεται ἐξ Ὁμηρικῶν τινῶν ῥητῶν. 1651, 59.
εὔυφος ὅτι παρὰ τὸ ὕφος ἢ τὴν ὑφὴν λέγεται, καὶ ὅτι ἐκτείνει τὸ παραλῆγον δίχρονον. 1436, 51.
Εὔφαντος, ἄνθρωπός τις ζηλωτὴς Ὀδυσσέως γενόμενος, ἱστορία, 1713, 43.
εὐφάρμακον τὸ εὔχροον, ἀφάρμακον δὲ τὸ ἄνευ ἄνθους καὶ χρόας. 1416, 2.
εὐφημεῖν οὐχ ἁπλῶς τὸ ἐπαινεῖν, ἀλλὰ τὸ ἐνθεαστικῶς ἀγαθολογεῖν. 28, 17. 29, 29. καὶ εὐφημεῖν τὸ ὑμνεῖν. 745, 21. 28.
εὐφημισμὸς, σχῆμα λόγου καθ' ὃ ἀγαθῇ τινὶ ὀνομασίᾳ περιστέλλεται τὸ φαῦλον πρᾶγμα. 1398, 52.
εὔφορβος ὁ εὐτραφὴς παρὰ τὸ φέρβω, καὶ Εὔφορβος κύριον ὁμωνύμως. 1088, 33.
εὔφορος γῆ λέγεται ἡ φέρουσα τοὺς καρποὺς ἐν καιρῷ. 1619, 54.
Εὐφράνωρ ζωγράφος ἐξ Ὁμηρικῶν τινῶν ἐπῶν εἰκονίσας τὸν Δία, ἱστορία. 145, 11.
εὐφρόνη ἡ νὺξ, ὅτι παρὰ τὸ εὖ φρονεῖν λέγεται διὰ τὰς κατ' αὐτὴν γινομένας βουλάς. 168, 3. 1140, 64.
εὐφροσύνη ἡ φιλόφρων ἡδονὴ, οἷον ἐν τῷ, ἐϋφροσύνης ἐπιβῆναι, Ὀδ. ψ', 52. 1938, 6.
εὔφρων καρπὸς ὁ εὐφραντικὸς, ὅτι παρὰ τὸ εὐφραίνειν, οὐ παρὰ τὸ φρονεῖν λέγεται. 411, 35. 641, 21.
εὐφυὲς οὐσιωδῶς τὸ δεξιὸν τοῦ ἤθους, ἐν ἴσῳ τῷ εὐφυΐα, ὅτι παρὰ τὴν φυὴν λέγεται. 61, 33. καὶ εὐφυὲς πρόσωπον τὸ εὖ ἔχον φυῆς, ὅ ἐστιν εὐειδείας. 172, 45. εὐφυεῖς δὲ μηροὶ οἱ εὖ πεφυκότες καὶ εὐτραφεῖς. 456, 43. καὶ εὐφυὴς ἄνθρωπος ὁ τὸν νοῦν δεξιός. 173, 2. καὶ εὐφυὴς ὁ σκωπτικὸς παρὰ τοῖς Ἀττικοῖς. 1530, 43. καὶ ὅτι οἰκειότατα τοῖς δένδροις ἐπιτίθεται ἡ λέξις, οἷον εὐφυὴς πτελέα. 456, 43. 1235, 15.
εὐφυΐα ἡ εἰς μάθησιν δεξιότης, παρὰ τὴν φυήν. 61, 43. ζήτει ἐν τῷ εὐφυές.
εὐφωνία λέξεως ὅτι πῆ μὲν διὰ προσθήκης στοιχείου γίνεται, οἷον ἐν τῷ πλάγχθη, πῆ δὲ δι' ἀφαιρέσεως, οἷον ἐν τῷ πεφευγμένος πεφυγμένος. 1385, 7.
εὐχαὶ δι' ἀπαρεμφάτου μόνου ἐλλιπῶς ἔχουσαι ῥήματος προστακτικοῦ, οἷον, ὦ Ζεῦ γενέσθαι μοι Ἀθηναίους τίσασθαι, παρ' Ἡροδότῳ. 248, 30.
εὐχαριστία ὅτι σκοπός ἐστιν ἐν ταῖς θυσίαις ἡ εὐχαριστία. 133, 9.
εὐχέρεια ἡ τῶν κατὰ τὸ σῶμα περιττωμάτων ἔκκρισις κατὰ γλῶσσαν. 980, 42.
εὔχεσθαι τὸ θεοκλυτεῖν, οἱονεὶ εὖ ἔχεσθαι τοῦ θείου ἐτυμολογικῶς. 674, 47. καὶ εὔχεσθαι τὸ καυχᾶσθαι πολλαχοῦ παρ' Ὁμήρῳ. 992, 11. 1602, 21. καὶ εὔχεσθαι τὸ λέγεσθαι καὶ φημίζεσθαι. 1407, 55.
εὔχεσθαι κατὰ ἑκατὸν ἢ χιλίων, τὸ ἑκατὸν ἢ χίλια ὑποσχέσθαι θύσειν. 1454, 29.
εὐχέτης ὅτι ἐκ τοῦ εὐχέω εὐχᾶ ἀῤῥήτου ῥήματος δοκεῖ παρῆχθαι. 1725, 57.
εὐχετόω ῥῆμα ὅτι παρὰ τὸ εὐχέτης ὄνομα δοκεῖ λέγεσθαι. 1725, 57.
εὐχετοῴμην ὅτι κατὰ τὴν δευτέραν τῶν περισπωμένων κλίνεται, εὐχεταοίμην εὐχετῴμην, καὶ πλεονασμῷ τοῦ $\bar{\text{ο}}$ εὐχετοῴμην. 1605, 32.
εὐχή ἐστι θεοῦ δεξίωσις ὑπ' ἀνθρώπων, καὶ ὅτι οἱονεὶ εὐεχὴ λέγεται, ἤγουν κατοχὴ τοῦ ἀρίστου. 1278, 30. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ εὖ χέειν ἢ παρὰ τὸ εὖ ἔχειν. 1725, 59.
εὐχὴ κατ' ἀπαρέμφατον γινομένη ἐλλειπτικῶς τοῦ βούλοιο ἤ τινος τοιούτου ἐν τῷ, αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον παῖδά τ' ἐμὴν ἐχέμεν καὶ ἐμὸν γαμβρὸν καλέεσθαι, Ὀδ. η', 311. 3. 1581, 17.
εὖχος ἐν ἴσῳ τῷ κῦδος. 844, 61.
εὐχωλὴ καύχημα, παρὰ τὸ εὔχεσθαι, ὃ καὶ τὸ καυχᾶσθαι δηλοῖ

ὁμωνύμως. 195, 14. 461, 33. 496, 11. 1407, 55.
εὐχωλιμαῖοι, ὅτι οὕτω λέγονται παρὰ Γαλάταις οἱ τῷ βασιλεῖ συζῶντες καὶ συναποθνήσκοντες. 1278, 32.
ευω λήγοντα ῥήματα ἀπὸ τῶν διὰ τοῦ εω ἐπενθέσει τοῦ υ γενόμενα, οἷον ἐπιδημέω ἐπιδημεύω, χέω χεύω, ζητέω ζητεύω, δισκέω δισκεύω. 96, 10. 834, 9. 884, 13. 1513, 46. 1792, 56. 1872, 44.
εὔω ῥῆμα ὅτι ἐδασύνετο παρὰ τοῖς Ἀττικοῖς. 1745, 49.
εὔωθεν ἀντὶ τοῦ εἴωθεν, ὅτι ἐκ τοῦ ἔωθεν γέγονεν ἐπενθέσει τοῦ υ, ἢ ἐκ τοῦ εἴωθε τροπῇ τοῦ ι εἰς υ. 919, 30.
εὐώνυμα, ὅτι κατ' εὐφημισμὸν οὕτω λέγονται τὰ λαιὰ μέρη, τὰ καὶ ἀριστερὰ ὁμοίῳ τρόπῳ λεγόμενα. 1398, 51.
Εὐώνυμος, ὅτι οὕτω καλεῖται μία τῶν Αἰόλου νήσων διὰ τὸ ἐξ ἀριστερῶν κεῖσθαι τοῖς ἐκ Λιπάρας πλέουσι. 1644, 37.
εὐώνυμος παρὰ Πινδάρῳ ἀντικείμενον τῷ δυσώνυμος. 895, 37.
εὐωχία ὅτι παρὰ τὴν ὀχὴν, ὅ ἐστι τροφὴν, λέγεται ἐκτάσει τοῦ ο. 156, 40. 180, 46.
εὐὼψ εὐῶπος, ὁ καλὸς τοὺς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμοὺς, ἢ ὁ καλὸς φαινόμενος τοῖς τῶν ὁρώντων ὀφθαλμοῖς. 1389, 9.
Ἔφαλος πόλις ἐπιθετικῶς, ἡ ἐπὶ τῇ θαλάσσῃ κειμένη. 280, 31.
ἐφάμην ἀπὸ τοῦ φημὶ, ὅτι ἀναλόγως συστέλλει τὴν παραλήγουσαν. 1770, 24.
ἐφαπτὶς ταὐτὸ ὅπερ χλαμύς. 1056, 57.
ἔφατο καὶ φάτο ἀναυξήτως, τρίτα πρόσωπα τοῦ ἐφάμην μέσου ἀορίστου δευτέρου, ὅτι βραχὺ ἔχουσι τὸ παραλῆγον α. 1641, 33.
ἐφέδρανα τὰ ἐφ' ὧν καθεζόμεθα μέρη τοῦ σώματος. 716, 37.
ἐφέηκεν ἀντὶ τοῦ ἐφῆκεν, ὅ ἐστιν ἀνῆκεν, ἀνέπεισε, παρώρμησε. 1133, 63. καὶ ἐφέηκεν ἀντὶ τοῦ ἐνετείλατο. 1769, 43.
ἐφείην εὐκτικῶς ἀντὶ τοῦ ἀναπείσαιμι. 1134, 25.
ἐφεῖναι ἀντὶ τοῦ ἐντείλασθαι. 1309, 25. 1615, 8.
ἐφείω ἀντὶ τοῦ ἐφῶ, ὅ ἐστιν ἐπιπέμψω, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὴν παραλήγουσαν δίφθογγον. 150, 11. 27.
ἐφεκτικοὶ φιλόσοφοι, οἱ καὶ σκεπτικοὶ, ὅτι παρὰ τὸ ἐπέχειν, ὅ ἐστιν ὑποκρατεῖν, τὴν ἀπόφανσιν καὶ μὴ ἐπικρίνειν ἑτοίμως ἐκλήθησαν, ζήτει ἐν τῷ ἐπέχειν. 1856, 23.
ἐφελκὶς, λέξις ἰατρικὴ, ὅτι παρὰ τὸ ἕλκος λέγεται. 1761, 44.
ἐφελκομένοις, ὅ ἐστι συρομένοις, ποσὶ λέγεται βαδίζειν τις παρ' Ὁμήρῳ. 1324, 45.
ἐφελκυσμὸς τοῦ ν ἐπὶ τινῶν τοῦ λόγου μερῶν, οἷον τοῦ ἐγὼ, καὶ τοῦ κε καὶ νυ παραπληρωματικῶν, καὶ τῶν εἰς θε ληγόντων ἐπιῤῥημάτων. 52, 24.
ἐφεξῆς ἐπίῤῥημα ὅτι παρὰ τὸ ἔχω ἕξω λέγεται. 877, 9.
ἐφέπειν τὸ διώκειν καὶ ἀκολουθεῖν καὶ καταλαβεῖν ἢ τὸ κακοῦν. 859, 2. 1218, 15. 1252, 16. καὶ ἐφέπειν τινὶ ἵππους, τὸ κατά τινος ἐλαύνειν παρ' Ὁμήρῳ. 1083, 19. καὶ ἐφέπειν ἵππους μάστιγι, ἀντὶ τοῦ πλήττειν παρ' Ὁμήρῳ. 1352, 53.
Ἐφέσια γράμματα, ἐπῳδαί τινες, δι' ὧν τινὲς ἐκ μεγάλων κινδύνων ἐσώθησαν, καί τινες ἀγῶνας τινὰς ἐνίκησαν, ἱστορία· καὶ ὅτι φωναί τινες ἦσαν ἐπὶ τῆς στεφάνης καὶ τῆς ζώνης καὶ τῶν ποδῶν τῆς Ἐφεσίας Ἀρτέμιδος αἰνιγματωδῶς γεγραμμέναι, ὅθεν καὶ τοῖς ἀσαφῶς καὶ δυσπαρακολουθήτως λαλουμένοις παροιμιακῶς ἐπιλέγεται τὸ, Ἐφέσια γράμματα. 1864, 14.
ἔφεσις καὶ ἐφέτης ὅτι παρὰ τὸ ἐφιέναι λέγονται. 536, 29.
ἔφεσσαι νηὸς, ἀντὶ τοῦ ἐπικάθισον ἢ ἐπιβίβασον, Ὀδ. ο', 277. 1780, 35.
ἐφέσσαι, ἤγουν καθίσαι καὶ ἱδρύσαι ἐν τῷ, Πύλονδε καταστῆσαι καὶ ἐφέσσαι, Ὀδ. ν', 274. 1741, 9.
ἐφεστάναι ἔργῳ τινὶ, τὸ ἐπιμελεῖσθαι. 792, 48. ἀλλαχοῦ δὲ ὅτι ἐφιστάναι τὸ ἐπάνω καὶ κατὰ κεφαλῆς ἑστάναι ἢ τὸ κατά τινος ἑστάναι. 908, 13.
ἐφέστιος, ἐγκάτοικος. 186, 26. ἀλλαχοῦ δὲ ὅτι ἐφέστιος ὁ ἑστίαν ἔχων. 190, 12. καὶ πάλιν ἐφέστιος λέγεται ὁ ἐπὶ τῆς αὐτῆς ἑστίας ὤν. 1579, 39. καὶ ὅτι ἐπίστιος λέγεται Ἰωνικῶς. 1562, 46.
ἐφέται οἱ ἐπὶ Παλλαδίῳ δικάζοντες ἀκουσίου φόνου, καὶ περὶ τοῦ πότε πρῶτον κατεστάθησαν, καὶ περὶ τοῦ ἐπὶ Παλλαδίῳ δικαστηρίου, ἑρμηνεία διεξοδική. 1419, 58.
ἐφέτης καὶ ἔφεσις ὅτι παρὰ τὸ ἐφιέναι λέγονται. 536, 29.
ἐφετικὰ ῥήματα ἐλλιπῶς ἀπαρεμφάτου λεγόμενά ποτε, οἷον τὸ λιλαίομαι, ὅ ἐστιν ἐπιθυμῶ ἐν τῷ, ἀλλὰ φόωσδε τάχιστα λιλαίεο, Ὀδ. λ', 223. ὑπακουομένου τοῦ ἐλθεῖν, ἵν' ᾖ, λιλαίεο ἐλθεῖν. 1680, 21.
ἐφετικῶν τινῶν ῥημάτων εἰς ειω ληγόντων κατάλογος. 162, 8.
ἐφετίνδα, παιδιὰ διὰ σφαίρας, καθ' ἣν ἄλλῳ δεικνύντες τὴν σφαῖραν, ἄλλῳ ἀφιᾶσι. 1554, 34.
ἐφετμὴ ταὐτὸ ὅπερ ἐφημοσύνη, ὅ ἐστιν ἐντολὴ ἢ κέλευσις, ὅτι παρὰ τὸ ἐφίεμαι, ὅ ἐπὶ τοῦ ἐντέλλομαι κεῖται παρ' Ὁμήρῳ Ὀδ. ν', 7. 536, 28. 577, 26. 1365, 60. 1730, 54.
ἐφεύσαις, πρόσωπον εὐκτικὸν ἀντὶ τοῦ φώξαις, φλογίσαις, ὀπτήσαις. 1017, 20.
ἐφέψειν, καταλήψεσθαι, ἀπὸ τοῦ ἕπω ἕψω. 1967, 39.
ἐφεψιόωνται ἀντὶ τοῦ λοιδοροῦνται ἢ ἐμπαίζουσιν ἢ ἐφήδονται, Ὀδ. τ', 331. 1866, 40. 1868, 25.
ἐφέψω, μέλλων ἀπὸ τοῦ ἐφέπω θέματος, οὗ χρῆσις ἐν τῷ, σὺ δ' ἐνθάδε πότμον ἐφέψεις, Ἰλ. φ', 588. 1252, 16.
ἐφηβικὴ, παιδιὰ διὰ σφαίρας, ἡ καὶ ἐπίκοινος καὶ ἐπίσκοπος λεγομένη. 1601, 35.
ἔφηβος, εἶδος ποτηρίου, ὃς καὶ ἐμβαθυχύτας λέγεται. 1299, 64.
ἐφῆκεν ἀντὶ τοῦ ἔπεμψεν ἐν τῷ, πολλοῖσι δὲ κήδε' ἐφῆκεν, Ἰλ. φ', 524. 1249, 53. καὶ ὅτι διαφέρει τοῦ ἀφῆκε. 1088, 40.

ἔφηλις ἡ ἐπὶ τοῦ προσώπου μελανία, καὶ τὸ πῶμα τῆς λάρνακος παρὰ Σοφοκλεῖ. 1562, 38.
ἐφημέρια φρονεῖν τὸ παρὸν μόνον σκοπεῖσθαι, καὶ ὅτι ἐκ τοῦ ἐφήμερον λέγεται κατὰ παραγωγήν. 1902, 10. 40.
ἐφημέριος λέγεταί τις ἀδάκρυτος διαμένειν, ἀντὶ τοῦ δι' ὅλης ἡμέρας τινὸς, οἷον ἐν τῷ, οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν, Ὀδ. δ', 223. 1493, 37.
ἐφήμερος ἄνθρωπος ἐπιθετικῶς, καὶ ἐφήμερα ζωΰφιά τινα μίαν μόνην ἡμέραν βιοῦντα. 1902, 42.
ἐφημοσύνη, κέλευσις, ἐντολὴ, παρὰ τὸ ἐφίημι ὅ ἐστιν ἐντέλλομαι. 1730, 43. 1769, 60. καὶ ὅτι ἐφημοσύνη μὲν ἡ ἐντολὴ, μεθημοσύνη δὲ ἡ ἀμέλεια. 1719, 27.
ἐφῆπται ἀντὶ τοῦ ἐξῆπται ἢ ἐπιδέδεται δοτικῇ ἀντιπτωτικῶς ἐν τῷ, ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται, Ἰλ. φ', 513. 978, 7. 1249, 43. καὶ ἐφῆπται κήδεά τινι, ἀντὶ τοῦ ἐπίκεινται καὶ ἐπικρέμανται. 166, 36. 639, 25. καὶ ἐφῆπται ὄλεθρος, ὡσεὶ καὶ σχοινίον ἐξημμένον ποθὲν ἐκ τοῦ πέρατος. 1918, 3.
ἐφήσεις ἀντὶ τοῦ ἀναπείσεις, ἐκ τοῦ ἐφίημι. 143, 20.
ἐφήσομαι ἀντὶ τοῦ ἐντελοῦμαι. 1288, 63. τὸ ἀπαρέμφατον ἐφήσεσθαι ἀντὶ τοῦ ἐντελεῖσθαι. 1309, 25.
ἐφήσω ἀντὶ τοῦ ἐπιπέμψω καὶ ἀντὶ τοῦ ἐντελοῦμαι. 1341, 63.
ἑφθὰ κρέα, ὅτι καὶ ἑφθὰ κρέα ἤσθιον οἱ ἥρωες παρὰ τὴν παρατήρησιν τινῶν. 1893, 1. καὶ ὅτι εὐπεπτότερα τῶν ὀπτῶν εἰσὶ τὰ ἑφθὰ κρέα. 1752, 5.
ἔφθακεν ἀντὶ τοῦ πέφθακε λέγουσιν Ἀττικοὶ πρὸς τὸ εὐφωνότερον. 1570, 23.
ἔφθαρκα παρακείμενος ὅτι ἀπὸ τοῦ φθαίρω Δωρικοῦ θέματος κεκίνηται. 1648, 6.
ἔφθασα ὅτι ἐκ τοῦ φθάζω κεκινῆσθαι δοκεῖ. 1309, 59.
ἔφθιθον, ὅτι ἐκ τοῦ φθίω γίνεται φθίθω, ὅθεν τὸ ἔφθιθον. 1526, 14.
ἑφθὸν, ὅτι ἐκ τοῦ ἑψητὸν συγκέκοπται ἡ λέξις. 481, 35. 1455, 59. ἀλλαχοῦ δὲ ὅτι ἑφθὸν παρὰ τὸ ἕπω λέγεται τροπῇ τῶν ψιλῶν εἰς δασέα καὶ δηλοῖ τὸ περιεπόμενον χάριν βρώσεως, ἑρμηνεία διεξοδική. 1482, 28.
ἐφιαλεῖν ἀντὶ τοῦ ἐπιβαλεῖν καὶ ἐγχειρεῖν, καὶ ἐφιαλοῦμεν ἀντὶ τοῦ ἐπιβαλοῦμεν, ὅτι παρὰ τὸ ἰάλλειν λέγονται, φιαλεῖν δὲ τρισυλλάβως τὸ μετ' εὐχῆς ἐγχειρεῖν παρὰ τὴν φιάλην, ἑρμηνεία διεξοδική. 1403, 16.
Ἐφιάλτης κύριον, μῦθος καὶ ἀλληγορία καὶ ἐτυμολογία καὶ γραφὴ τῆς λέξεως· καὶ ἐφιάλτης, πάθος τι, ὃ καὶ ἐπιάλτης διὰ τοῦ π ἀναλογώτερον γράφεται· καὶ περὶ Ὤτου καὶ Ἐφιάλτου τῶν μυθευομένων θεομάχων Γιγάντων ἑρμηνεία διεξοδική. 560, 11. 561, 8. 562, 34. 1403, 15.
ἐφιεὶς μετοχὴ ὅτι ἐκτείνει τὸ παραλῆγον δίχρονον. 42, 45.
ἐφίεμαι ἀντὶ τοῦ ἐντέλλομαι ἐν τῷ, ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω, Ὀδ. ν', 7. 1730, 53. ἡ μετοχὴ ἐφιέμενος, τὸ θηλυκὸν ἐφιεμένη. 1350, 61.
ἐφιέναι τὸ πέμπειν καὶ τὸ ἐντέλλεσθαι. 536, 26.
ἐφιέναι βέλος τὸ ἐγγύθεν ἐμβαλεῖν, ἀφιέναι δὲ τὸ μακρόθεν. 1088, 40.
ἐφιζάνειν δείπνῳ, καθίζειν ἐπὶ τῷ δειπνῆσαι. 824, 50.
ἐφίημι ἀντὶ τοῦ ἐπιπέμπω καὶ ἀντὶ τοῦ ἐντέλλομαι. 1341, 63. 1365, 61. 1876, 62.
ἐφίλατο, τρίτον πρόσωπον τοῦ ἐφιλάμην μέσου ἀορίστου πρώτου, ἀπὸ τοῦ φίλημι ὡς ἵστημι θέματος, τὸ προστακτικὸν φίλαι. 522, 19.
ἐφίστασθαι θύραις λέγονται οἱ προσαιτοῦντες, καὶ ἐφίστασθαι ἔργῳ τινὶ ἀντὶ τοῦ προΐστασθαι καὶ ἐπιστατεῖν. 1398, 38.
ἐφόδια τὰ εἰς ὁδὸν ἐπιτήδεια βρώματα. 1445, 37.
ἐφόλκαιον τὸ πηδάλιον, παρὰ τὸ ἐφέλκεσθαι τῇ νηΐ· ἐφόλκιον δὲ εἶδος πλοίου. 1761, 12. ζήτει τὸ ἐφόλκιον.
ἐφόλκιον, εἶδος πλοίου, ὃ καὶ ἐφολκὶς, ὅτι τῷ ἰῶτα μόνῳ παραλήγεται· καὶ ἐφόλκιον τὸ ἀνθρώπινον σῶμα συμβολικῶς. 1761, 13. 41. 46.
ἐφόλκιον τὸ πηδάλιον, παρὰ τὸ ἐφέλκεσθαι. 1324, 46. 1533, 45.
ἐφολκὸν τὸ ἐπαγωγόν. 1761, 43.
ἐφομαρτεῖν τὸ διωκτικῶς ἐπακολουθεῖν. 707, 48.
ἐφοπλίσασθαι ἀντὶ τοῦ ἁπλῶς ἑτοιμάσαι πολλαχοῦ παρ' Ὁμήρῳ. 736, 16.
ἐφορμῶ ἐγὼ καὶ ἐφορμῶ ἄλλον. 398, 37.
ἔφυγον κακὸν, εὗρον ἄμεινον, ὅτι παροιμιακῶς λέγεται ἐπὶ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς· καὶ ὅτι κατά τινα ἑορτὴν Ἀθήνησι ἐλέγετο τὸ ῥητὸν τοῦτο, ἱστορία. 1726, 18.
ἔφυδρος ἄνεμος λέγεται Ὀδ. ξ', 458. ὁ σὺν ὑετῷ γινόμενος. 1769, 40.
Ἔφυρα πόλις, ὅτι πολλαὶ Ἔφυραι, ὧν τὰ ἐθνικὰ διαφέρουσι· τῆς μὲν γὰρ Ἐφυραῖος, τῆς δὲ Ἔφυρος Ἐφύρου, τῆς δὲ Ἐφυρ Ἔφυρος, καὶ ἑρμηνεία περὶ ἑκάστης Ἐφύρας. 300, 45. 933, 16. 21. 1415, 50. καὶ ὅτι Ἔφυρα ἐκλήθη ποτὲ καὶ ἡ Κόρινθος. 290, 21. 31.
Ἔφυροι ἑτερωνύμως οἱ ἐκ Κραννῶνος πόλεως ἀπὸ Ἐφύρας τῆς Θεσπρωτικῆς, ἱστορία. 337, 14. 933, 9.
ἐφῶ ὑποτακτικὸν ὅτι ἐκ τοῦ ὦ ὑποτακτικοῦ ῥήματος σύγκειται, ὃ δηλοῖ τὸ πέμψω, ὅθεν καὶ τὸ ἀφῶ. 98, 43.
ἔχαδον, ἀόριστος δεύτερος ἐκ τοῦ χάζω θέματος. 441, 3. 723, 49. 965, 51. 1345, 3.
ἐχάλκευται ἀντὶ τοῦ κεχάλκευται λέγουσιν οἱ Ἀττικοὶ πρὸς τὸ εὐφωνότερον. 759, 46. 1570, 24.
ἐχάρην δόκιμον, χαίρομαι δὲ κίβδηλον. 376, 35.
ἔχειν ὅτι πῇ μὲν ἐπὶ σωματικῆς ἐπαφῆς, πῇ δὲ ἐπὶ ψυχικῆς ἀντοχῆς. 912, 49.
ἔχειν ὅτι πάσαις ταῖς προθέσεσι συντίθεται ἐπὶ διαφόροις σημαινομένοις. 1856, 24.
ἔχειν τινὰ λέγεται τὸ τοῦ ἡλίου μένος, Ὀδ. κ', 160. ἀντὶ τοῦ δίψαν ἐμποιῆσαι. 1652, 9.
ἔχειν ἔγχος τινὸς, ἀντὶ τοῦ κατέχειν καὶ κωλύειν αὐτὸ τῆς βολῆς,

ἔχων καὶ ἔχον, φωναὶ πλεονάζουσαι ἐν τῷ, παίζεις ἔχων, καὶ ἐν τῷ, νῦν ἔχον. 205, 34.

ἐχώσατο ὅτι ἀπὸ τοῦ χῶ χώσω κεκίνηται. 48, 46.

εψ λήγοντα σύνθετα ἀπὸ παθητικοῦ παρακειμένου διὰ δύο μ̄ ἐκφερομένου γενόμενα βαρύνονται, οἷον κέκλεμμαι κέκλεψαι βοόκλεψ. 1401, 15.

ἑψητὸν ὅτι παρὰ τὸν ἕψω μέλλοντα μεταποιηθέντα εἰς περισπώμενον ἐνεστῶτα λέγεται. 1482, 33.

ἑψητὸς, ἔδεσμα ποιὸν ἐκ λεπτῶν ἰχθυδίων, καὶ ἑψητοὶ πληθυντικῶς ἰχθύδια ὑπολειπόμενα ἐν διώρυξιν ἐν τῇ τοῦ Νείλου ἀμπώτει. 867, 49.

ἑψία, παιδιὰ, γέλως, χλεύη, καὶ ἑψίαι ἑορταὶ, ὅτι δασύνεται ἡ λέξις, ὡς καὶ τὸ ἑψιᾶσθαι· καὶ ζήτει τὸ ἑψιᾶσθαι. 1831, 5.

ἕψια τὰ παίγνια, ὅθεν ἑψιᾶσθαι, ἐξ οὗ καὶ ἐφεψιᾶσθαι καὶ καθεψιᾶσθαι. 1868, 25.

ἑψιᾶσθαι τὸ λόγῳ παίζειν ἢ γελᾶν ἢ χλευάζειν, ὅτι δασύνεται παρὰ τὸ ἕπεσθαι ἢ παρὰ τὸ ἕπω λεγόμενον. 1831, 3. ἀλλαχοῦ δὲ ὅτι ἑψιᾶσθαι τὸ λοιδορεῖσθαι καὶ ἐμπαίζειν καὶ ἐφήδεσθαι. 1866, 40. 1868, 25.

ἐψυγμένοι ἄρτοι οἱ ψυχροὶ, ἀπὸ τοῦ ψύχω. 866, 22.

ἕψω δασύνεται, ὄψον δὲ ψιλοῦται. 867, 49.

ἑψῶ ἑψήσω, ὅτι ἐκ τοῦ ἕψω βαρυτόνου μέλλοντος εἰς περισπώμενον ἐνεστῶτα μετεποιήθη. 1482, 34.

εω, ὅτι τὸ ε̄ καὶ ω̄ ἐν συνιζήσει ποτὲ μὲν ἀντὶ μιᾶς μακρᾶς λογίζονται, ποτὲ δὲ ἀντὶ μιᾶς βραχείας. 10, 23. 12, 30. 80, 46.

εω, καὶ ειω λήγουσαι γενικαὶ, ἀπὸ τῶν διὰ τοῦ εεω καὶ ειεω Ἰωνικῶν κατὰ συγκοπὴν γενόμεναι, οἷον Βορέας Βορέου καὶ Βορέεω καὶ Βορέω, Ἑρμείας Ἑρμείου καὶ Ἑρμείεω καὶ Ἑρμείω. 444, 28. 994, 37.

εω καὶ οω λήγοντα ῥήματα, ὅτι ἄλλο μὲν κατὰ τὴν πρώτην, ἄλλο δὲ κατὰ τὴν τρίτην συζυγίαν τῶν περισπωμένων κλινόμενα σημαίνουσιν, οἷον δηλέω καὶ δηλόω. 70, 21.

εω λήγοντα ῥήματα, διὰ τοῦ ευσω ποιοῦντα τὸν μέλλοντα κατ' Αἰολικὴν ἐπένθεσιν τοῦ ῡ, οἷον ῥέω ῥεύσω, χέω χεύσω, πλέω πλεύσω. 1678, 43.

ἔω τὸ ὑπάρχω, ἡ μετοχὴ ἐὼν, ὅτι μετὰ τοῦ ε̄ ἀεὶ παρ' Ὁμήρῳ γράφεται, κοινῶς δὲ χωρὶς τοῦ ε̄. 51, 20. 63, 27.

ἕω τὸ πορεύομαι, ὅτι δασύνεται, ὅθεν ὁδός. 1407, 54. καὶ ἕω τὸ ἀπολαύω. 121, 18.

ἕω τὸ πληρῶ, ὅτι ἀπὸ τοῦ ὦ μονοσυλλάβου καὶ δασυνομένου ῥήματος γέγονε. 425, 33. 1190, 19. 1626, 36.

ἐῶ ῥῆμα ὅτι κατὰ τὴν δευτέραν τῶν περισπωμένων λέγεται. 1625, 59.

ἐῷ μετὰ τοῦ ῑ ἀντὶ τοῦ ἐῴη, τρίτον πρόσωπον τοῦ ἐάοιμι ἐῷμι, οὗ τὸ δεύτερον ἐάοις ἐῷς. 1881, 9.

ἑῷ αὐτοῦ, ἀντὶ τοῦ τῷ ἑαυτοῦ ἐν τῷ, ἑῷ αὐτοῦ θυμῷ, Ἰλ. κ', 204. 798, 56.

εωα τρία φωνήεντα εἰς μίαν βραχεῖαν συλλαβὴν συνιζάνοντα ἐν τῷ, χρυσέῳ ἀνὰ σκήπτρῳ, Ἰλ. α', 15. 25, 22.

ἔωθεν, τρίτον πρόσωπον ῥηματικὸν ἀντὶ τοῦ εἴωθεν Ἰωνικῶς. 720, 38.

ἐῴκειν ὑπερσυντέλικος ὅτι ἐκ τοῦ ἔοικα μέσου παρακειμένου γέγονε κατ' ἔκτασιν. 759, 6. ἀλλαχοῦ δὲ ὅτι ἐκ προσθήκης Ἀττικῆς ἔχει τὸ κατάρχον ε̄. 1714, 18.

ἑωλοκρασία ἡ χθεσινὴ κρᾶσις, ὅ ἐστι λείψανον χθεσινοῦ κρατῆρος, ὃ κατέχεον τῶν ἀποκοιμηθέντων οἱ διαπαννυχίσαντες. 1451, 55.

ἐώλπειν ὅτι ἐκ τοῦ ἠόλπειν γέγονε κατὰ χρόνου μετάθεσιν. 1187, 27.

εωμεν καὶ εωσι λήγοντα πρῶτα καὶ τρίτα πρόσωπα πληθυντικὰ ὑποτακτικῶν, ἐκ πλεονασμοῦ ἔχοντα τὸ ε, οἷον θέωμεν ἀντὶ τοῦ θῶμεν, καὶ φθέωσιν ἀντὶ τοῦ φθῶσιν, ὅ ἐστι φθάσωσι. 1925, 23. 1968, 25.

ἕωμεν ἢ ἑῶμεν δασυτόνως ἀντὶ τοῦ πληρωθῶμεν, εἴτουν κορεσθῶμεν, κανονισμὸς διεξοδικῶς. 136, 32. 1190, 17.

ἐῷμι, ἤγουν συγχωροίην. 1794, 45.

εων λήγοντα ὀνόματα ὀξύτονα, ἐκ πλεονασμοῦ ἔχοντα τὸ παραλῆγον ε̄, οἷον πυλὼν πυλεὼν, ἀκανθὼν ἀκανθεών. 547, 43. καὶ ἀναλογία διὰ τοῦ εων ληγόντων τινῶν, οἷον ἀνθερεὼν, ἀπατεών. 1573, 27.

ἐὼν μετοχὴ ὅτι ἐκ τοῦ ἔον δευτέρου ἀορίστου κεκίνηται. 990, 32. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ἦον δευτέρου ἀορίστου τοῦ ἔω θέματος, καὶ ὅτι ὀξύνεται ἀναλόγως, καὶ ἄλλα πολλὰ περὶ τῆς προσῳδίας καὶ τοῦ κανονισμοῦ τῆς λέξεως. 1410, 53. 1411, 20.

ἑῷος ὅτι καὶ ἠῷος καὶ ἠοῖος λέγεται ποιητικῶς. 1142, 54.

ἐώρα διὰ τοῦ ε̄ ψιλοῦ ταὐτὸ ὅπερ αἰώρα διὰ διφθόγγου, καὶ δηλοῖ τὴν κρεμάθραν. 389, 42.

ἑώρταζον ὅτι ἐκ τοῦ ἠόρταζον γέγονε κατὰ χρόνου μετάθεσιν. 1657, 35.

ἑώρων, ὅτι δασύνεται τὸ ε ἀναδραμούσης ἐπ' αὐτὸ τῆς ἐπὶ τοῦ ὥρων δασείας. 1417, 17.

εως λήγοντα ὀνόματα κατὰ τὴν τρίτην κλινόμενα Ἀττικῶς, παρ' Ὁμήρῳ δὲ κοινῶς κατὰ τὴν τετάρτην, οἷον Τυνδάρεως ἐν τῷ, Λήδην εἶδον τὴν Τυνδαρέου παράκοιτιν, ἥ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε, Ὀδ. λ', 298. sq. 1686, 23.

ἕως ἐπίῤῥημα χρονικὸν ἀντὶ τοῦ, μέχρις οὗ, καὶ ἀντὶ τοῦ τέως, ὅ ἐστι πρὸς τὸ παρὸν καὶ μέχρι τινὸς, καὶ ἀντὶ τοῦ ὡς κατὰ πλεονασμὸν τοῦ ε̄. 80, 40. 896, 19. 925, 33. 1015, 38. 1124, 64. 1823, 61. καὶ ὅτι τὸ ἕως ἀντὶ μιᾶς ἐνίοτε συλλαβῆς λογίζεται κατὰ συνίζησιν διὰ μέτρου ἀνάγκην. 80, 43.

ἕως ἀντὶ τοῦ ὡς, ὅ ἐστιν ὅπως, οἷον ἐν τῷ, εἴως Πηνελόπειαν ὀδυρομένην γοόωσαν παύσειε κλαυθμοῖο, Ὀδ. δ', 800. 1518, 29. 1868, 36. ἀλλαχοῦ δὲ ὅτι τὸ ἕως ἐκ τοῦ ὡς γέγονε πλεονασμῷ τοῦ ε̄. 1055, 11. 1823, 61.

ἑωσφόρος τὸ τῆς Ἀφροδίτης ἄστρον λέγεται, ὅταν προανατέλλει τοῦ ἡλίου. 1271, 33.
ἑωυτοῦ ὅτι ἐκ τοῦ, ἕο αὐτοῦ, κέκραται, καὶ ὅτι καὶ ἑωϊτοῦ κατὰ διάλυσιν λέγεται. 1191, 19.

Ἀρχὴ τοῦ Ζ στοιχείου.

ζ τὸ στοιχεῖον ὅτι ἐκ τοῦ σ καὶ τοῦ δ σύγκειται. 1562, 45.
ζ ἐκ τοῦ β τραπὲν, οἷον ζέρεθρον ἀντὶ τοῦ βέρεθρον κατὰ γλῶσσαν. 381, 20.
ζ ἐκ τοῦ γ τραπὲν Ἰωνικῶς, οἷον ἐν τῷ ὀλίγον ὀλίζον, φυγὴ φύζα. 1643, 41.
ζ εἰς δ τρεπόμενον κατὰ τὴν παραγωγὴν, οἷον ἕζω ἕδος. 153, 23.
ζ οὐκ ἐκτεῖνον ἐνίοτε τὸ πρὸ αὐτοῦ φωνῆεν διὰ μετρικὴν παραίτησιν, οἷον ἐν τῷ, οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης, Ἰλ. δ', 103. 121. 449, 15.
Ζάγκλη, ὅτι οὕτως ἐκλήθη ποτὲ ἡ Σικελικὴ Μεσσήνη δι' ἣν ἔχει σκολιότητα, παρὰ τὸ ζάγκλιον, ὃ δηλοῖ τὸ σκολιὸν, ἢ παρὰ τὸ ζάγκλον, ὅ ἐστι δρέπανον κατὰ γλῶσσαν. 1716, 11.
ζάγκλιον τὸ σκολιὸν κατὰ γλῶσσαν, καὶ ζάγκλον τὸ δρέπανον, ζήτει ἐν τῷ Ζάγκλη. 1716, 11.
ζαὴς ἄνεμος ὁ ἄγαν πνέων, ὅ ἐστι σφοδρὸς, ὅτι περισπᾶται κατὰ τὴν αἰτιατικὴν, οἷον ἐν τῷ, ὦρσε δ' ἔπι ζαῆν ἄνεμον, Ὀδ. μ', 313. 1539, 16. 1723, 36. καὶ ὅτι κανονικῶς ὀξύνεται ἡ λέξις. 897, 11. 38.
ζαὴς ἄνεμος ἐπιθετικῶς, ἐτυμολογία καὶ προσῳδία. 897, 11.
ζάκοτος ὁ ὀργίλος, ἐκ τοῦ ζα ἐπιτατικοῦ καὶ τοῦ κότος. 407, 25.
Ζάκυνθος, νῆσος ἀρσενικῶς καὶ θηλυκῶς λεγομένη, καὶ περὶ τῆς τοποθεσίας καὶ τινων ποιοτήτων τῆς νήσου ἱστορία. 305, 38. 307, 31.
Ζάκυνθος ὑλήεσσα ἐπιθετικῶς παρ' Ὁμήρῳ, ὅτι τὸ ὑλήεσσα κατὰ θηλυκὸν γένος ὑπαγορεύει λέγεσθαι τὴν Ζάκυνθον, καὶ ὅτι καὶ ἐν τῷ ὑλήεντι Ζακύνθῳ οὐδὲν κωλύει θηλυκῶς ἀκούεσθαι τὸ Ζάκυνθος. 1613, 46.
Ζάλευκος ἑαυτὸν ἀποσφάξας πρὸς τὸ μὴ παραβῆναι νόμον τινὰ, ὃν αὐτὸς ἐτεθήκει, ἱστορία. 83, 18.
ζάλη ἡ μεγάλη ἄελλα ἐτυμολογικῶς. 579, 10. 897, 11.
Ζάμολξις ὅτι ἐν καταγείῳ οἰκήματι τέσσαρα ἔτη λαθὼν καὶ μετὰ ταῦτα ἀναφανεὶς ἐπιστεύθη ἀναβεβιωκέναι, ἱστορία. 1701, 61.
Ζὰς Ζάντος, ἀντὶ τοῦ Ζεὺς κατὰ γλῶσσαν, ὅτι ὀξύνεται καὶ διὰ τοῦ ντ κλίνεται, ὡς τὸ φθὰς φθάντος μετοχικόν. 436, 19.
ζατρεφέες φῶκαι λέγονται παρ' Ὁμήρῳ αἱ πολλὴν πιμελὴν ἔχουσαι. 1505, 23. καὶ ὅτι ζατρεφεῖς μὲν φῶκαι λέγονται παρ' Ὁμήρῳ, εὐτρεφεῖς δὲ ὄϊες. 1638, 14.
ζατρεφὴς ταῦρος καὶ σῦς ὅτι κατὰ κοινὸν ἐπίθετον λέγονται. 678, 32.
ζάφελος ὄνομα ὅτι βαρύνεται, ζαφελῶς δὲ ἐπίῤῥημα περισπᾶται. 769, 61. 1565, 5.
ζαφελῶς ἐπίῤῥημα ἀντὶ τοῦ λίαν ηὐξημένως, ὅτι ὀξύνεται, ἑρμηνεία διεξοδική. 769, 21.
ζαφλεγὴς, θερμὸς ἢ λαμπρὸς ἐν τῷ, ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες, Ἰλ. φ', 465. 1246, 53. 60.
ζαχρηεῖς ἄνεμοι οἱ ἄγαν χρειώδεις, ἢ οἱ ἄγαν βαρεῖς καὶ ἐμβριθεῖς παρὰ τὸ χράω, καὶ ὅτι τῷ η παραλήγεται ἡ λέξις ἢ μόνῳ ἢ μετὰ τοῦ ι. 579, 10. 18. 684, 36. 909, 29. 954, 10. 1104, 28.
ζε ληγοντα ἐπιῤῥήματα ὅτι ἐκ τῶν εἰς δε ληγόντων γίνονται, οἷον ἔραζε ἐκ τοῦ ἔραδε. 153, 27. καὶ ὅτι προπαροξύνονται καὶ βραχεῖα παραλήγονται πλὴν τοῦ χαμᾶζε. 377, 2.
ζέειν ὅτι μίμημά ἐστι τῆς τοῦ ζ στοιχείου ἀπηχήσεως, καὶ ὅτι λειότερον ἦχον ἔχει ἢ ὁ σιγμὸς, καὶ ὅτι ζέειν λέβης λέγεται ἀπὸ τοῦ ἐν αὐτῷ ὕδατος. 821, 40. 1146, 41. 1241, 14. 1636, 15. 1661, 64. καὶ ὅτι ζέειν μὲν ὁ ἀφρὸς λέγεται παρὰ ποιηταῖς, μορμύρειν δὲ τὸ ὕδωρ. 1150, 31.
ζείδωρος ἄρουρα ἡ δωρουμένη τὸ ζῆν, τροπῇ τοῦ η εἰς ει Βοιωτικῶς. 283, 18. 630, 12. 1206, 4.
ζεῖν καὶ ζέειν ὅτι μίμημά ἐστι τῆς τοῦ ζ στοιχείου ἀπηχήσεως. 821, 40. ζήτει τὸ ζέειν.
ζεῖρα, ζώνη ἢ χιτὼν καὶ χλαμὺς, παρὰ τὸ δεῖν, ὅ ἐστι δεσμεύειν, καὶ τὸ εἴρειν. 837, 51.
Ζέλεια πόλις, ἡ καὶ Ζελίη καὶ Ζέλη, ὅτι ὑπὸ τῇ Τρωικῇ Ἴδῃ ἔκειτο, καὶ ὅτι ἀπὸ Καρνάβου ἢ Καρνάβαντός τινος ἐκτίσθη, καὶ ἄλλα τινὰ περὶ τῆς πόλεως, ἱστορία. 354, 4—16. 448, 14. 449, 25.
ζέρεθρον Μακεδονικῶς τὸ κοινῶς βάραθρον, ὃ καὶ βέρεθρον λέγεται τροπῇ τοῦ α εἰς ε. 381, 20. 695, 34. 909, 27. 1715, 38.
ζεύγλη ὅτι παρὰ τὸ ζεῦγος λέγεται πλεονασμῷ τοῦ λ. 1191, 15.
Ζεῦν, αἰτιατικὴ τῆς Ζεὺς εὐθείας. 1387, 28.
Ζευξίλεως, ὄνομα βασιλέως, ᾧ λαὸς ὑπέζευκται. 401, 11.
Ζεὺς Διὸς, ὅτι παρὰ τὸ ζῆν λέγεται, ἢ παρὰ τὸ δεύω, ὅ ἐστι βρέχω, οἱονεὶ Δεὺς. 153, 35. καὶ ὅτι καὶ Δὶς καὶ Δὰν καὶ Ζὰν καὶ Ζὰς καὶ Ζὴν καὶ Ζὴς λέγεται, καὶ ὅτι οὐδαμόθεν τούτων σχηματίζεται πατρωνυμικόν. 436, 12. 17. 1387, 25. καὶ ὅτι αἱ Διὸς καὶ Διὶ καὶ Δία πλάγιαι ἀπὸ τῆς Δὶς σεσιγημένης εὐθείας κεκίνηνται. 113, 44. καὶ λόγος διεξοδικὸς περὶ τῆς ἑτεροκλίτου κινήσεως τοῦ ὀνόματος. 162, 32. καὶ ὅτι καὶ πληθυντικῶς Δίες Διῶν Δισὶ Δίας εὕρηται λεγόμενον. 1384, 46.
Ζεὺς ὅτι εἰς οὐρανὸν καὶ ἥλιον καὶ ἀέρα καὶ νοῦν ἀλληγορεῖται. 22, 38. 40, 29. 728, 14. καὶ τίνι λόγῳ εἰς νοῦν ἀλληγορεῖται. 196, 26. καὶ ὅτι καὶ εἰς ἄλλα πολλὰ ἀλληγορεῖται, ἑρμηνεία διεξοδική. 20, 22. καὶ ὅτι Ζεὺς ἀλληγορικῶς ὁ διοικῶν τὰ πάντα λόγος καὶ ὁ ὑπὲρ γῆν ἀήρ. 1011, 58. καὶ ὅτι ὁ Ζεὺς καὶ εἰς ἥλιον ἀλληγορεῖται, καὶ ὅτι καὶ αὐτὸς καὶ ὁ Ἥλιος εἰς εἱμαρμένην ἀνάγονται. 1726, 60. 1883, 52. καὶ ὅτι καὶ

ἀντὶ τῆς ἐν τῷ περιέχοντι εὐκρασίας τίθεται. 1620, 24.

Ζεὺς ὅτι τὸν ἀετὸν οἰκειοῦται ὡς βασιλεὺς τῶν θεῶν βασιλέα τῶν ὀρνέων. 87, 15.

Ζεὺς ὅτι καὶ εἰς περιστερὰν μετεμορφώθη δι' ἔρωτα Φθίας παρθένου τινός. 71, 9.

Ζεὺς τὸν οὐρανὸν λαχὼν ἐν τῇ εἰς τρία διανομῇ τοῦ κόσμου, ἀλληγορία. 1011, 58.

Ζεὺς, ὅτι καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων Ζεὺς λέγεται ἐπιθετικῶς παρὰ τοῖς ποιηταῖς. 763, 51.

Ζεὺς ἐπιβουλευθεὶς ὑπό τινων θεῶν καὶ λυτρωθεὶς τῇ τοῦ Ἑκατόγχειρος ἐπικουρίᾳ, μῦθος καὶ ἀλληγορία. 122, 22.

Ζεὺς σωτὴρ, ὅτι τῷ μετὰ δεῖπνον πρώτῳ κράματι Ζεὺς σωτὴρ ἐπεφωνεῖτο· ζήτει ἐν τῷ, οἴνου κρᾶσις, καὶ ἐν τῷ, ἀγαθὸς δαίμων. 1816, 17.

Ζεφυρίη, ὅτι ὑπακούεται πνοὴ ἐν τῷ, Ζεφυρίη πνείουσα, Ὀδ. η', 119. 1573, 8.

Ζέφυρος ὅτι παρὰ τὸ ζῆν φέρειν οὕτω λέγεται. 193, 19. 25. 579, 7. 732, 15. 1538, 28. καὶ ὅτι γόνιμος καὶ πολύκαρπος καὶ πρὸς ἐπίπνοιαν ζωτικὴν συντελῶν. 1509, 50. καὶ ὅτι ἡ τοῦ Ζεφύρου πνοὴ ἐλαφροτάτη διὰ τὸ μὴ κάθυγρον. 1191, 20. καὶ ὅτι εἰς ταὐτὸν ἄγεται τῷ Βοῤῥᾷ. 1238, 51. καὶ ὅτι ὁ μὲν Ζέφυρος κυλίειν λέγεται τὰ κύματα παρ' Ὁμήρῳ, ὠθεῖν δὲ ὁ Νότος. 846, 15.

Ζέφυρος δυσαὴς, παρ' Ὁμήρῳ ὁ ὑπὸ τῶν ὕστερον Ἀργέστης καλούμενος, λίγα δὲ πνέων Ζέφυρος ὁ ἰδίως Ζέφυρος. 1238, 63.

ζῆ, προστακτικὸν ἀπὸ τοῦ ζάω ζῶ, ἐν ἴσῳ τῷ ζῆθι. 157, 18. 681, 5. 980, 5. 1606, 22.

ζῆθι προστακτικὸν ὅτι ἐκ τοῦ ζῆ γέγονε προσλήψει τῆς θι συλλαβῆς. 1234, 46.

Ζῆθος καὶ Ἀμφίων, Διὸς υἱοὶ ἐξ Ἀντιόπης τῆς Ἀσωποῦ, ὅτι Θήβας ἐτείχισαν διὰ λύρας, ἱστορία. 1682, 44.

ζηλήμων ὅτι ἀπὸ τοῦ ζηλῶ ζηλήσω πρωτοζύγου ῥήματος παρῆκται, καὶ δηλοῖ τὸν φθονερὸν ἢ ζηλότυπον. 1527, 29. 33.

ζῆλος, μίμησις καλοῦ, ζηλοτυπία δὲ τὸ μῖσος. 1527, 35.

ζηλοτυπία τὸ μῖσος, ζῆλος δὲ μίμησις καλοῦ. 1527, 35.

ζηλῶ ζηλήσω κατὰ τὴν πρώτην συζυγίαν τὸ φθονῶ ἢ ζηλοτυπῶ, ζηλῶ δὲ ζηλώσω τὸ μιμοῦμαι κατὰ τὴν τρίτην. 412, 32. 1527, 30. 33.

Ζῆν ὁ Ζεὺς, ζήτει ἐν τῷ Ζεύς. 436, 11.

ζῆν τυτθὸν, παρ' Ὁμήρῳ ἀντὶ τοῦ κακῶς ζῆν καὶ ἐκ μέρους τεθνάναι. 1187, 35.

Ζῆνα τὸν Δία ἔλεγον οἱ Ἕλληνες, ὡς τοῦ ζῆν αἴτιον. 1200, 15.

Ζήνων, Κρὴς ὀρχηστὴς, ὅτι πάνυ φίλος ἦν Ἀρταξέρξῃ τῷ βασιλεῖ. 1602, 23.

Ζήνωνος τοῦ φιλοσόφου ἀπόφθεγμα περὶ τῆς ἐκ τοῦ οἴνου ἐπιγινομένης ἱλαρότητος τοῖς σκυθρωποῖς ἀνθρώποις. 1910, 42.

ζητεύω παρ' Ἡσιόδῳ ἔργ. 398. ἀντὶ τοῦ ζητῶ. 1872, 44. καὶ ὅτι παρὰ τὸ ζητῶ λέγεται ἐπενθέσει τοῦ υ. 749, 4. 834, 10.

Ζήτης, Βορέου παῖς, ὅτι οἱονεὶ ζαήτης, ὅ ἐστι σφοδρῶς πνέων, οὕτω λέγεται. 1547, 14.

Ζήτης καὶ Κάλαϊς, υἱοὶ Βορέου, ὅτι πτερωτοὶ μυθεύονται διὰ τὸ ποδώκεις, καὶ ὅτι τοῖς Ἀργοναύταις συμπλεύσαντες ἀπεδίωξαν τοῦ Φινέως τὰς Ἁρπυίας, ζήτει ἐν τῷ Φινεύς. 934, 18. 1712, 22.

ζήτρειον προπαροξυτόνως, ἢ ζητρεῖον προπερισπωμένως, τὸ τῶν δούλων δεσμωτήριον, τουτέστιν ὁ μύλων, ὅτι παρὰ τὸ δεῖν λέγεται τροπῇ τοῦ δ εἰς ζ. 837, 45. 1411, 33.

ζόρκων καὶ δόρκων ἐν ἴσῳ τῷ δορκὰς, ὅθεν καὶ λέγονται μεταχωρήσει τοῦ δ εἰς ζ. 1259, 60.

ζοφὸς, σομφὸς, ἀραιὸς, χαῦνος. 972, 37.

ζόφος ἠερόεις, ἀὴρ ἀϊδὴς, ὅ ἐστιν ἀφανής. 1012, 40.

ζόφος παρ' Ὁμήρῳ τὰ δυτικὰ μέρη ἐν τῷ, οὐ γάρ πω ἴδμεν ὅπη ζόφος, οὐδ' ὅπη Ἠώς, Ὀδ. κ', 190. 1654, 1.

ζυγὰ οὐδετέρως αἱ τῶν ἐρεσσόντων καθέδραι, διὰ τὸ συμβεβηκέναι τοῖς τοιούτοις ζυγοῖς ζευγνύναι τε τοὺς τῶν νεῶν τοίχους καὶ εἰς καθέδρας χρησιμεύειν τοῖς ἐρέσσουσι. 665, 33. 1731, 62.

ζυγὰ θανάτου, ὅτι ἐλθεῖν εἰς ζυγὰ θανάτου λέγεται κατὰ τὴν κοινὴν γλῶσσαν ὁ κινδυνεύσας ἀποθανεῖν. 1266, 43.

ζύγαστρον, κιβωτὸς ἢ ξυλίνη σωρὸς, ὅτι παρὰ τὸ ἐζυγῶσθαι λέγεται. 956, 5. 1604, 13. 15.

ζύγιοι, ζήτει ἐν τῷ θρανῖται. 1818, 52.

ζυγὶς, ἡ καὶ οὔλη ἕρπυλος λεγομένη παρά τινι ποιητῇ. 1295, 18.

ζυγόδεσμον οὐδετέρως παρ' Ὁμήρῳ, ἱμὰς ἢ σχοινίον, ᾧ δεσμεῖται ὁ ζυγός. 460, 32. 665, 31. 1350, 9.

ζυγομαχεῖν τὸ ἀντερίζειν. 956, 3.

ζυγὸς ἀρσενικῶς, καὶ ζυγὸν οὐδετέρως κατὰ γένους μεταπλασμόν. 946, 55. 1071, 35. 1349, 64. καὶ ὅτι ὁμώνυμος ἡ λέξις, καὶ περί τινων ἐξ αὐτῆς παρηγμένων καὶ συγκειμένων. 956, 2.

ζυγὸς, σταθμὸς, τρυτάνη, τάλαντον, ὅτι συνωνυμοῦσιν ἀλλήλοις. 912, 44. 47.

ζυγὸς ἅρματος καὶ ἁμάξης, καὶ ζυγὸς ὁ σταθμὸς, ὅτι παρὰ τὸ δύο ἄγειν λέγεται. 196, 43. 665, 30. 35.

ζυγὸς ὅτι παρ' Ὁμήρῳ ἄηθες ἐπὶ σταθμοῦ, ἐπὶ δὲ ἅρματος καὶ ἁμάξης σύνηθες. 460, 31.

ζυγὸς, μέρος τι τῆς νεώς. 223, 5.

ζυγὸς σανδαλίου τὸ συνέχον τοὺς δακτύλους, καὶ θύρας ζυγὸς ὁ μοχλός. 956, 7.

ζυγὸς φόρμιγγος ὁ πῆχυς. 744, 41.

ζυγοῦν ἀντὶ τοῦ κατέχειν καὶ δαμάζειν περὶ ὑποζυγίων λεγόμενον, ζυγῶσαι δὲ θύρας τὸ μοχλῷ ἀσφαλίσαι. 956, 7.

ζύγρα ἰδιωτικῶς ὁ δίυγρος τόπος. 295, 28.

ζύγωθρον ὁ τὰς δύο θύρας συνέχων μοχλὸς, παρὰ τὸ ζυγῶσαι. 1550, 12.

ζυγῶσαι τὸ ὑπὸ ζυγὸν ὑποζύγια ἀγαγεῖν. 1550, 12. καὶ τὸ ἁπλῶς συναρμόσαι. 1604, 13.

ζῦθος, πόμα τι ἐκ κριθῶν ἀφεψήματος γινόμενον παρὰ Κελτοῖς. 871, 54.

ζω λήγοντα ῥήματα, τῇ αι συλλα-

βῆ παραλήγοντα, ὅτι ἀνεκφώνητον ἔχουσι τὸ ῑ, οἷον σφαδάζω, ματάζω, πλὴν τοῦ παίζω. 1554, 23.

ζω λήγοντα ῥήματα, εἰς δα τὸν μέσον παρακείμενον σχηματίζοντα, οἷον ὄζω ὄδωδα. 153, 32.

ζω λήγοντα ῥήματα, τῷ ν̄ παραλήγοντα, ὅτι φιλεῖ βαρύνεσθαι καὶ τῆς τρίτης συζυγίας εἶναι· ζήτει ἐν τῷ, υζω λήγοντα. 1746, 17. 20.

ζω λήγοντα ῥήματα, ὑπὸ βαρυτόνων εἰς περισπώμενα μεταχθέντα, οἷον μύζω μυζῶ, δίζω διζῶ. 1746, 6.

ζω λήγοντα ῥήματα περισπώμενα, ἀπὸ ὀνομάτων διὰ τοῦ ζα παρηγμένα, οἷον κνύζα κνυζῶ, κόρυζα κορυζῶ, ῥίζα ῥιζῶ. 1746, 7.

ζω λήγοντα ῥήματα, ὅτι τὰ εἰς ζω λήγοντα ῥήματα, ὧν ὁ παρακείμενος τὸ κ̄ ἔχει, διὰ δύο σσ προφέρουσι Ταραντῖνοι, οἷον φράσσω ἀντὶ τοῦ φράζω, καὶ ἀνάπαλιν τὰ κοινῶς εἰς δύο σσ λήγοντα διὰ τοῦ ζω προφέρουσιν ἐκεῖνοι, τὸ ἀνάσσω ἀνάζω λέγοντες, καὶ τὸ πλάσσω πλάζω. 824, 27. 1654, 23.

ζῷα ἄλογα ἀνθρώπων ἐρασθέντα, καὶ ἀνάπαλιν ἄνθρωποι ζῴων ἐρασθέντες, ἱστορίαι. 1166, 26.

ζῷα διάφορα τῷ εἴδει διαφόροις θεοῖς ἀνακείμενα διὰ τὴν ἑκάστου πρὸς ἕκαστον κατά τι οἰκειότητα. 87, 2 — 46.

ζῷα γράφειν, ἀντὶ τοῦ ζωγραφεῖν. 626, 53. 1608, 11.

ζωάγρια, μισθὸς ὑπὲρ τοῦ τὸ ζῆν ἀγεῖραι, ὅ ἐστι περιποιῆσαι τινί, Ὀδυσσ. θ', 462. κοινῶς δὲ ζωάγρια τὰ διδόμενα ἐν πολέμῳ ὑπὲρ ζωγρήσεως λύτρα. 623, 52. 1605, 23. 26. ζήτει τὸ σῶστρα. 24, 25.

ζωάγρια λέγεται ὁ Ἥφαιστος τῇ Θέτιδι ὀφείλειν Ἰλ. σ', 407. ἤγουν εὐχαριστήρια ὑπὲρ τοῦ εἰς τὸ ζῆν ἀγερθῆναι, ὅ ἐστι συναχθῆναι ἐκ τοῦ ὀλιγηπελέειν. 1149, 36.

ζωγρεῖν ὅτι παρὰ τὸ ζωὴν ἀγείρειν λέγεται. 595, 13. 623, 51. 1280, 42.

ζωγρεῖν θυμὸν τὸ τὸ ζωτικὸν πνεῦμα ἀγείρειν, ἤγουν συλλέγειν ἐκ λειποθυμίας. 1244, 53.

ζωγρεῖον ἰχθύων κατὰ συνήθειαν, ὅτι παρὰ τὸ ζωγρεῖν λέγεται τὸ ζωγρεῖον. 595, 16. 629, 52.

ζωὴ ἡ τοῦ ζῴου σύστασις, ζώη δὲ βαρυτόνως τὸ ἐπάνω τοῦ γάλακτος ἐφιστάμενον. 906, 53.

ζωὴ ὅτι ὡς μὲν παρὰ τὸ ζέειν λεγόμενον διὰ τοῦ ο̄ μικροῦ ὤφειλε γράφεσθαι, εἰ δὲ ἀπὸ τοῦ ζῶ κατὰ πρόσληψιν συλλαβῆς, διὰ τοῦ ω̄ μεγάλου, ἑρμηνεία διεξοδική. 411, 1.

ζωὴ ἡ εἰς τὸ ζῆν κτῆσις καὶ περιουσία, πολλαχοῦ παρ' Ὁμήρῳ. 1752, 56. 1758, 29. 1807, 30. 1826, 25.

ζῶμα, ὅπλισμά τι στρατιωτικὸν, ὅτι χωρὶς τοῦ σ̄ λέγεται, καίτοι ἐκ τοῦ ζῶσαι παρηγμένον. 453, 41. 790, 58. 1770, 34. 1835, 52.

ζῶμα, ὅτι οὐ μόνον οἱ πυκτεύοντες, ἀλλὰ καὶ οἱ παλαίοντες περιζώμασιν ἐχρῶντο, καὶ ἔτι Ὄρσιππός τις ἤρξατο γυμνὸς ἀγωνίζεσθαι, ἱστορία. 1324, 11. 14.

ζῶμα πυγμάχων, ζήτει ἐν τῷ, πυγμάχων ζῶμα. 1837, 57.

ζωμὸς, ὅτι οὕτως ἐπεκαλεῖτο σκωπτικῶς πᾶς τις λιπαρὸς ἄνθρωπος. 1642, 60.

ζώνη ἡ πολεμικὴ πανοπλία ἀπὸ μέρους τῆς ζώνης ἐν τῷ, Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι, Ἰλ. β', 479. 258, 34.

ζώνη, ζωστὴρ στρατιωτικὸς εἴτουν μίτρα, καὶ ὁ τόπος καθ' ὃν ζωννύμεθα. 1835, 52.

ζώννυσθαι πολλαχοῦ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ὁπλίζεσθαι, ἀπὸ μέρους τῆς ζώνης. 827, 18. 1954, 21.

ζώννυσθαι ὅτι συνείργειν ζωστῆρι τὸν χιτῶνα λέγεται περιφραστικῶς Ὀδ. ξ', 72. καὶ ὅτι σπουδῆς ἐστιν ἐμφαντικόν· Ἡσίοδος δὲ (ἔργ. 343) ἐπὶ ἀργίας τίθησι τὸ ζώννυσθαι ἐν τῷ, γείτονες ἄζωστοι κίον, ζώσαντο δὲ πηοί. 1751, 15. 20.

ζώννυσθαι τὸ ἐγχώριον ζῶμα, παροιμιακῶς ἀντὶ τοῦ ἐφαρμόζεσθαι τοῖς ἀνθρώποις, ὧν κέν τις δῆμον ἵκηται, ὥς φησιν Ὅμηρος. 1594, 32

ζώννυσθαι ζωστῆρι παρ' Ὁμήρῳ, ζώννυσθαι δὲ ζωστῆρα παρὰ τοῖς ὕστερον, καὶ ἔτι τὸ ζώννυσθαι φύσει μὲν δι' ἑνὸς ν̄ γράφεται, κατὰ πάθος δὲ δυσί. 790, 56. 58.

ζωνύσκω παρὰ τὸ ζωνύω κατὰ παραγωγήν. 1835, 55.

ζῷον ὅτι ἐκ τοῦ ζῶ ῥήματος λέγεται κατὰ πρόσληψιν συλλαβῆς. 411, 5. καὶ ὅτι τὸ μέγα καὶ πολὺ ἡ ζῷον λέξις σημαίνει ἐν συνθέσει παραλαμβανομένη. 746, 64. καὶ ὅτι ὑπογράφεται ἡ λέξις κατὰ συνεξακολούθησιν τοῦ πατρῷον, μητρῷον καὶ τῶν τοιούτων. 1420, 51.

ζωροποτεῖν τὸ ζωρὸν, ὅ ἐστιν ἄκρατον, πίνειν. 746, 57.

ζωρὸς οἶνος ὁ ἄκρατος, οἱονεὶ ζωηρὸς, παρὰ δὲ Ἐμπεδοκλεῖ το ζωρὸν ἀντίκειται τῷ ἀκράτῳ· ἄλλοι δὲ ζωρὸν οἶνον τὸν πολυετῆ λέγουσι, παρὰ τὸν ὧρον, ὃ δηλοῖ τὸν ἐναυτόν. 746, 40. 50. 57. 63.

ζῶς ὀξυτόνως ὅτι ἐκ τοῦ ζωὸς γέγονε κατὰ συναίρεσιν. 618, 9.

ζῶσα φωνὴ ὁ προφορικὸς λόγος πρὸς διαστολὴν τοῦ ἐν γράμμασι. 969, 20.

ζωστὴρ, ὅπλισμά τι στρατιωτικόν. 453, 41. 454, 5. ἀλλαχοῦ δὲ ὅτι ζωστὴρ ὁ ἔξωθεν τὰ ὅπλα συνδέων. 790, 57.

ζῶστρα τὰ πρὸς ζώνην ἐπιτήδεια, καὶ οἷς ἔστι ζώσασθαι. 1550, 18.

ζῴων διαφόρων καθ' ἡλικίας αὐτῶν προσηγορίαι διάφοροι. 1625, 32 — 49.

ζῴων εἰδικαὶ ὀνομασίαι κατὰ θηλυκὸν γένος προφερόμεναι, οἷον αἱ ἵπποι, αἱ βοῦς. 692, 20.

ζῴων ἀγέλαι θεοῖς ἀνειμέναι παρὰ τοῖς Ἕλλησιν, ὧν καὶ ἀπείχοντο ἐκεῖνοι. 1717, 42.

Ἀρχὴ τοῦ Η στοιχείου.

η̄ ἐκ τοῦ ᾱ τραπὲν, οἷον ἑκηβόλος ἐκ τοῦ ἑκαβόλος, ἢ ἐκ τοῦ ο̄, οἷον ἐλαφηβόλος ἐκ τοῦ ἐλαφοβόλος. 28, 16.

ῃ ἐκ τοῦ ε τραπὲν, οἷον Μεθώνη Μηθώνη, καὶ Φηρητιάδης ἀπὸ τοῦ Φέρης Φέρητος. 264, 19.

ῃ κατ᾽ ἀρχὰς λέξεων τινῶν πλεονάζουσα, οἷον ἐν τῷ μύειν ἠμύειν, βαιὸν ἠβαιόν. 73, 18.

ῃ ἐν μέσῳ λέξεων πολυβραχέων τραπὲν ἐκ τοῦ ο πρὸς χρείαν μέτρου δακτυλικοῦ, οἷον θεοτόκος θεητόκος, στεφανοφόρος στεφανηφόρος. 422, 31.

ῃ δίφθογγος ἀντὶ τῆς ει Ἀττικῶς οὐ μόνον ἐν ταῖς καταλήξεσιν, οἷον ἱππῆς ἀντὶ τοῦ ἱππεῖς καὶ ᾔδη ἀντὶ τοῦ εἴδει, ἀλλὰ καὶ ἐν καταρχῇ λέξεων, οἷον ᾔκαζον ἀντὶ τοῦ εἴκαζον. 50, 19. 31.

ῃ δίφθογγος ἐκ συναιρέσεως τοῦ η καὶ ι γενομένη, οἷον λήιον λῇον, ληιστὴς λῃστής. 193, 36.

ῃ πρὸ φωνήεντος κατὰ διάστασιν ψιλοῦται, οἷον ἠώς, ἠέλιος, ἠίθεος, ἠΰς, ἠΰτε. 161, 12. 1020, 19.

ῃ καὶ ου εἰς μίαν μακρὰν συλλαβὴν συνιζάνοντα 554, 30. 772, 42.

ῃ πρὸ τοῦ π ὅτι ψιλοῦται, οἷον ἤπιος, ἠπεροπευτής, ἠπεδανός, ἠπύτης. 859, 57.

ῃ μόριον περισπώμενον μὲν ἐν τῷ ἐπειῆ, ἐγκλινόμενον δὲ ἐν τῷ τίη. 73, 18.

ῃ ληγόντων τινῶν μονοσυλλάβων καὶ δισυλλάβων ἐπιῤῥημάτων ἔκθεσις, καὶ περὶ τοῦ τίσιν ὑπογράφεται τὸ ι καὶ τίσιν οὔ. 174, 1.

ῃ μετὰ συμφώνου ληγόντων θηλυκῶν τῷ ο παραληγόντων προσῳδία, οἷον στροφή, τροπή, σπονδή, νομή, ὁλκή. 539, 20.

ῃ λήγοντα θηλυκὰ βαρύτονα ἀπὸ ληγόντων εἰς ος ἀρσενικῶν ὀξυτόνων παρηγμένα, οἷον σταθμὸς στάθμη, κολωνὸς κολώνη. 1022, 62.

ῃ λήγοντα θηλυκὰ ὀξύτονα τῷ ο παραληγόμενα, ἀπὸ ληγόντων εἰς ος βαρυτόνων ἀρσενικῶν ταυτοπαραλήκτων γενόμενα, οἷον χόλος χολή, πόθος ποθή. 94, 28.

ῃ λήγοντα θηλυκὰ ἐπίθετα ἢ προσηγορικά, ἐκ δισυλλάβων ὀξυτόνων ὁμοιοκαταλήκτων συγκείμενα, μετὰ μὲν προθέσεως ἐπὶ τῆς αἰτῆς ἔχει τὸν τόνον, οἷον τομὴ ἐπιτομή, ἀνατομή, μετὰ δὲ ἄλλου μέρους ἀναβιβάζει τὴν τάσιν, οἷον ῥοὴ ὑδροῤῥόη, χοὴ οἰνοχόη. 992, 56.

ῃ λήγοντα περισπώμενα θηλυκὰ ἐκ τῶν διὰ τοῦ εα καὶ εη κατὰ κρᾶσιν γενόμενα, οἷον συκέα συκῆ, γαλέα γαλῆ, παρδαλέη παρδαλῆ. 374, 40. 1572, 50.

ῃ καὶ α λήγοντα θηλυκὰ καὶ οὐδετέρως ἐπὶ τοῦ αὐτοῦ σημαινομένου λεγόμενα, οἷον βλάβη βλάβος, δίψα δίψος. 74, 1.

ῃ περισπώμενον λήγουσαι αἰτιατικαὶ ὀνομάτων εἰς ευς ληγόντων, κατὰ ἀποκοπὴν γενόμεναι, οἷον Μηκιστῆα Μηκιστῆ, Τυδῆα Τυδῆ. 487, 10. 1018, 64.

ῃ λήγοντα μονοσύλλαβα πρόσωπα ῥηματικὰ ὅτι περισπῶνται, οἷον ζῆ, κνῆ, ψῆ, πλὴν τοῦ χρή. 751, 50.

ῃ λήγοντα πρῶτα πρόσωπα ὑπερσυντελίκων ἀπὸ τῶν διὰ τοῦ εα κεκραμένα, οἷον εἰρήκεα εἰρήκη, οἷς ὁμοφωνοῦσιν ἐνίοτε τὰ σύστοιχα τρίτα, οἷον ᾔδη ἀντὶ τοῦ ἐγίνωσκε· καὶ ὅτι καὶ διὰ τοῦ ην προφέρονται τὰ τοιαῦτα πρόσωπα Ἰωνικῶς. 881, 62. 1946, 22.

ῃ λήγοντα ἐπιῤῥήματα ὀξυνόμενα, οἷον ὠή, ὀτιή. 751, 64.

ῃ κατ᾽ ἐπέκτασιν προσκείμενον τῷ τέλει τινῶν τοῦ λόγου μερῶν, οἷον ἐν τῷ τιὴ καὶ ἐπειή. 45, 4.

ῃ λήγοντα ἐπιῤῥήματα περισπώμενα, οἷον εἰκῆ, ὁμαρτῆ, πολλαχῆ. 592, 16.

ῃ λήγοντα δοτικοφανῆ ἐπιῤῥήματα τὸ ι ὑπογεγραμμένον ἔχοντα. 1251, 24.

ἢ ἀπορητικὸν ἢ λυτικὸν ἀπορημάτων ἀντὶ τοῦ ἴσως. 1114, 29. 1310, 59. 1961, 54.

ἢ ἀντὶ τοῦ παρὰ διαφορικῶς, ἢ ἀντὶ τοῦ πολλῷ μᾶλλον, οἷον ἐν τῷ, καὶ γάρ τίς τ᾽ ἄλλοιον ὀδύρεται ἄνδρ᾽ ὀλέσασα ἢ Ὀδυσῆα, Ὀδυσσ. τ', 265, 267. 1864, 60.

ἢ σύνδεσμος ὅτι διαπορητικός ἐστι δίχα ἐρωτήσεως, οἷον ἐν τῷ, τίς νύ σε Κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο, ἢ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἰοχέαιρα; Ὀδ. λ', 171 sq. καὶ ὅτι καὶ ἀντὶ τοῦ εἰ μὴ λαμβάνεται ποτε τὸ ἤ. 1678, 29.

ἢ διαζευκτικὸν, ὅτι ἀντὶ τοῦ καὶ λαμβάνουσί τινες τὸν ἤ, οἷον ἐν τῷ, εἰ δὲ φθεγξαμένου τευ ἢ αὐδήσαντος ἄκουσεν, Ὀδ. ι', 497. καὶ ἐν τῷ, κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδόν, Ὀδ. λ', 120. 1641, 15. 1675, 26.

ἢ διαζευκτικὸν ὅτι καὶ χωρὶς ἀντιπαραθέσεως ἑτέρου ἢ ἐνίοτε τίθεται, οἷον ἐν τῷ, ὥστε τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς καὶ τὰ ἑξῆς, Ὀδ. τ', 109. 1857, 47.

ἢ σύνδεσμος διασαφητικὸς καὶ διαζευκτικὸς καὶ παραδιαζευκτικὸς καὶ διαπορητικὸς καὶ βεβαιωτικὸς καὶ συγκριτικὸς καὶ ἐρωτηματικὸς δὶς καὶ τρὶς ἐπαναφερόμενος ἐν διαζευκτικαῖς ἐννοίαις, καὶ ὅτι καὶ ἀντὶ τοῦ εἰ λαμβάνεται ποτε· καὶ ὅτι ὑποτάσσεται τῷ τί πευστικῷ ἐν τῷ τίη, καὶ προτάσσεται τοῦ περ ἐν τῷ ἤπερ. 62, 18-40.

ἢ ψιλούμενον καὶ ὀξυνόμενον ἀντὶ τοῦ εἰ ἐν τῷ, ἢ καὶ ἐμὸν δόρυ μαίνεται, Ἰλ. η', 111. 618, 7.

ἢ σχετλιαστικὸν καὶ θαυμαστικὸν χωρὶς προσγραφῆς τοῦ ι. 174, 3.

ἦ ἀντὶ τοῦ ἦν, ὅ ἐστιν ὑπῆρχον, Ἀττικῶς χωρὶς τοῦ ν, ὅτι ἐκ τοῦ ἔα Ἰωνικοῦ κέκραται, καὶ ὅτι τὸ ἦν ἐπὶ τρίτου προσώπου οὐδέποτε χωρὶς τοῦ ν λέγεται. 883, 20. 1759, 3. 1761, 50.

ἤ κεν διὰ τοῦ η ἀντὶ τοῦ εἰ διστακτικοῦ ἐν τῷ, ἤ κεν ζωὸς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν, Ἰλ. ε', 887. 618, 6.

ἦ ἀντὶ τοῦ ὄντως. 143, 27. καὶ ἦ δή, ἀντὶ τοῦ ὄντως δή. 100, 7. καὶ ἦ μάλα, ἀντὶ τοῦ ὄντως μάλα. 1127, 62. καὶ ἦ μέν, ἀντὶ τοῦ ὄντως δή. 984. 56. καὶ ἦ νύ τοι, ἤγουν ὄντως δή σοι. 1187, 43. καὶ ἦ ῥα, ἀντὶ τοῦ ὄντως δή. 1011, 18. ἦ τοι, ὄντως σοί. 624, 21.

ἦ μετὰ ψιλῆς καὶ περισπωμένης ἀντὶ τοῦ ἆρα τοῦ κατ᾽ ἐρώτησιν προπερισπωμένου. 1678, 38.

ἦ ἄρα ἐρωτηματικὸν ὅτι παρέλκον ἔχει τὸ ἄρα, ἢ καὶ αὐτὸ ἐρωτηματικῶς ἐκ παραλλήλου κεῖται, διὸ

καὶ περισπᾶσθαι ὤφειλεν. 1152, 24.

ἦ θέμις ἐστὶν, ἀντὶ τοῦ καθὰ θεμιτόν ἐστιν, ἤγουν καθὼς ἐστι δίκαιον. 1178, 59. 1754, 14. ἀλλαχοῦ δὲ ὅτι τὸ, ἣ θέμις ἐστὶ, καὶ τὸ, ἦ θέμις, περὶ τῶν ἔκπαλαι νομιζομένων λέγεται. 1316, 61.

ἦ ἀντὶ τοῦ ὅπου μετὰ προσγραφῆς τοῦ ι ὁμοίως τῷ πῇ καὶ τῷ ὅπῃ, ἦ δὲ ἀντὶ τοῦ ὡς χωρὶς τοῦ ι. 173, 46.

ἦ κεν δὴ, ἀντὶ τοῦ ὅποι ἄν. 1005, 26.

ἦα δισύλλαβον ὅτι ἐκ τοῦ ἤια, ὃ δηλοῖ βρώματα ἢ ἄχυρα, κατὰ συναίρεσιν λέγεται. 1445, 42.

ἦα ἀντὶ τοῦ ἤμην, ὅ ἐστιν ὑπῆρχον, ὅτι πρῶτος ἐστὶν ἀόριστος τοῦ ἦν δευτέρου, καὶ ὅτι ἀναλογώτερον λέγεται τοῦ ἔα, ἐξ οὗ καὶ γέγονε κατ' ἔκτασιν Ἰωνικήν. 618, 13. 883, 21. 1758, 6. 1759, 53. 1761, 53. 1902, 24.

ἡβάσκω, ζήτει ἐν τῷ, ἡβάω ἡβῶ. 438, 4.

ἡβάω ἡβῶ ἡβήσω καὶ ἡβάσω, ὅθεν τὸ ἡβάσκω. 438, 3.

Ἥβη, Διὸς καὶ Ἥρας θυγάτηρ, ὅτι καθ' Ὅμηρον μὲν Ἡρακλεῖ συνῴκησε, κατὰ δὲ τοὺς ὕστερον παρθένος διατελεῖ οἰνοχοοῦσα τοῖς θεοῖς, καὶ ὅτι εἰς τὸ ἀεὶ νεάζον τῶν στοιχείων ἀλληγορεῖται. 435, 32. 1702, 48. 1703, 18.

ἥβη ἡ πρώτη τρίχωσις τῶν αἰδοίων, καὶ ὁ τριχούμενος ἐκεῖ τόπος, καὶ ὁ καιρὸς καθ' ὃν τοῦτο συμβαίνει· καὶ ἥβης μέτρον, παρ' Ὁμήρῳ ἡ τῆς ἥβης ἡλικία· καὶ ὅτι παρὰ τὸ ἤδω λέγεται ἡ ἥβη, οἱονεὶ ἤδη τις οὖσα. 581, 10. 840, 37.

ἥβη ἡ νεανικὴ ἡλικία, ὅτι καὶ ἐπὶ κτηνῶν λέγεται καὶ ἐπὶ φυτῶν· καὶ ἥβη τὰ περὶ τὸ αἰδοῖον, καὶ χρόνος ἥβης, ὅτε τὰ ἐκεῖ μέρη ἄρχονται τριχοῦσθαι. 437, 43. 943, 13. 1353, 58. 1428, 20. 1799, 12.

ἥβη φωνὴ ἐν συνθέσει ὑποτασσομένη ὅτι οὐ μόνον εἰς ης, ἀλλὰ καὶ εἰς ος ὀνόματα σχηματίζει, οἷον πρωθήβης, ἔξηβος, ἄνηβος. 437, 43. — 438, 6. 727, 11.

ἡβηδὸν ἀνελεῖν, ἤγουν κατὰ ἥβην, τουτέστι πάντας τοὺς ἡβῶντας. 1524, 34.

ἡβητήρια τὰ συμπόσια καὶ τὰ πορνεῖα. 1205, 21.

ηβος λήγοντα ἔχοντα ἐν συνθέσει ὑποτεταγμένην τὴν ἥβη φωνὴν, οἷον πρωθηβος, ἔξηβος, ἄνηβος. 1428, 20.

ἡβυλλιᾶν ὅτι παρὰ τὴν ἥβην λέγεται. 1799, 12.

ἡβώοιμι εὐκτικὸν ὅτι ἐκ τοῦ τρισυλλάβου κεκίνηται, τὸ δὲ ἡβῷμι ἐκ τοῦ ἡβῶ δισυλλάβου. 673, 5.

ἠγαθέη Λῆμνος ἡ ἀγαστὴ, ὡς τῷ Ἡφαίστῳ ἀνακειμένη. 329, 37. καὶ ἠγάθεον Νυσσήιον διὰ τὰς ἐν αὐτῷ τελουμένας τῷ Διονύσῳ θυσίας. 629, 47.

ἠγάθεος καὶ ἠγαθέη ὅτι οὐκ ἐκ τοῦ ἄγαν καὶ τοῦ θεῖον σύγκεινται, ἀλλὰ παρὰ τὸ ἀγῶ ἀγάζω λέγονται. 98, 9.

ἤγανον Δωρικῶς τὸ κοινῶς τήγανον ἐλλείψει τοῦ ἀρκτικοῦ συμφώνου. 244, 46. 701, 18. 1862, 11.

ἠγάσατο ἀντὶ τοῦ ἐξεπλάγη ἐν τῷ, τὸν δ' ὁ γέρων ἠγάσσατο, Ἰλ. γ'. 181. 402, 7.

ἤγειρας μάχην, Ἰλ. ν', 778. ὅτι ἔκ τε τοῦ ἐγείρω καὶ τοῦ ἀγείρω ἐνδέχεται κεκινῆσθαι. 959, 49.

ἡγεῖσθαι, ἀφηγεῖσθαι, προηγεῖσθαι, ἐξηγεῖσθαι, ἐπὶ τοῦ αὐτοῦ συνωνύμως. 51, 29.

ἡγεῖσθαι τὸ ἡγεμονεύειν ὡς στρατηγὸς, καὶ ἁπλῶς προηγεῖσθαι ὡς ὁδηγός· ἐπὶ δὲ τοῦ νομίζειν σπανίως εὕρηται παρὰ τοῖς παλαιοῖς· καὶ ὅτι καὶ ἐπὶ γαμικῆς πομπῆς χρήσιμον τὸ ἡγεῖσθαι. 1052, 35. 1399, 26.

ἡγεῖσθαι τὸ ἡγεμονεύειν ποτὲ μὲν γενικῇ, ποτὲ δὲ δοτικῇ, ἐπὶ δὲ τοῦ ὁδηγεῖν δοτικῇ ἐλλιπῶς γενικῆς ἐκ δευτέρου, καὶ ἡγεῖσθαι τὸ οἴεσθαι. 51, 24. 29. 34. 77, 12. 321, 41.

ἡγεμονεύειν ὁδὸν, ἀντὶ τοῦ προηγεῖσθαι εἰς ὁδὸν, ἐλλιπῶς τῆς εἰς προθέσεως. 1562, 15 1666, 32

ἡγεμονεύειν τινὶ πρός τινα τόπον, φράσις Ὁμηρικὴ Ὀδυσσ. γ', 386. 1473, 49.

ἡγεμονικῶν εἴτουν ἀρχικῶν ῥημάτων διπλῆ σύνταξις, οἷον τὸ ἄρχω, ἡγοῦμαι, ἀνάσσω. 77, 12.

ἡγεμὼν ὁ στρατιωτικῆς τάξεως ἡγούμενος. 1840, 7. ἡγεμὼν δὲ ὁδοῦ ὁ ὁδηγός. 1473, 50. καὶ ὅτι ἐκ τοῦ ἡγέσω μέλλοντος ἔχει τὸ παραλῆγον ε. 624, 49. 1857, 62.

ἠγερέεσθαι, ἀπαρέμφατον τοῦ ἠγερῶ ῥήματος, ὅ περ ἀπὸ τοῦ ἀγερῶ μέλλοντος ἀνηγμένου εἰς ἐνεστῶτα γέγονεν ἐκτάσει τοῦ α. 793, 62.

ἤγερθεν ἀντὶ τοῦ ἠθροίσθησαν ἀπὸ τοῦ ἀγείρω, καὶ ἤγερθεν ἀντὶ τοῦ ἠγέρθησαν ἀπὸ τοῦ ἐγείρω. 46, 18. 21.

ἡγέω ἡγῶ, ὅτι οὐ μόνον ἡγήσω, ἀλλὰ καὶ ἡγέσω ποιεῖ, ὅθεν ἡγεμών. 624, 49.

ἡγηλάζειν δασυνόμενον μὲν τὸ προηγεῖσθαι, ψιλούμενον δὲ τὸ ἄγειν. 1817, 13.

ἠγηλάζειν τὸ διώκειν καὶ φυγαδεύειν, καὶ τὸ ληίζεσθαι καὶ πορθεῖν, παρὰ τὸ ἄγειν καὶ ἐλᾶν κατὰ παραγωγὴν καὶ τροπήν· καὶ ἡγηλάζειν ἀντὶ τοῦ ἁπλῶς ἄγειν ἐν τῷ, κακὸν μόρον ἡγηλάζεις, Ὀδ. λ', 618. καὶ ἀντὶ τοῦ ἄγειν καὶ ὁδηγεῖν ἐν τῷ, πάγχυ κακὸς κακὸν ἡγηλάζει, ρ', 217. 1704, 2.

Ἡγήμων, Θάσιος παρῳδὸς ὁ ἐπικληθεὶς φακῆ, ὅτι Γιγαντομαχίαν ἐν παρῳδίαις ἀπήγγειλέ ποτε Ἀθήνησιν ἐν τῷ θεάτρῳ, ἱστορία. 1239, 29. 1420, 36.

Ἡγήμων δίκην φυγὼν Ἀλκιβιάδου συνεργείᾳ, ἱστορία. 1829, 41.

ἡγήσασθαι ὁδὸν, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ὁδηγῆσαι. 1657, 44.

ἡγήσω μέλλων ὅτι καὶ ἡγέσω λέγεται, ὅθεν ἡγεμών. 624, 49.

ἡγήτορες οἱ βασιλεῖς. 175, 10. ἀλλαχοῦ δὲ ὅτι ἡγήτορες ἠδὲ μέδοντες παρ' Ὁμήρῳ τῆς αὐτῆς ἐννοίας εἰσὶν, ἢ μέδοντες μὲν οἱ κατὰ τὸ μήδεσθαι ὅ ἐστι βουλεύεσθαι ἡγούμενοι, ἡγήτορες δὲ οἱ κατ' ἀνδρίαν καὶ ῥωμαλεότητα. 1698, 8.

ἡγητορίας ὁ καρπὸς τῆς συκῆς διὰ τὸ ἡγήσασθαι καθαρείου βίου τοῖς ἀνθρώποις τὴν συκῆν καὶ προευρεθῆναι τῆς ἡμέρου τροφῆς. 1964, 11.

ἡγήτρια, παλάθη, ἡ πρώτη πεμπομένη ἐν ταῖς γαμικαῖς πομπαῖς. 1399, 29.

ἡγήτωρ, στρατηγὸς, ἡγεμών. 1052, 12.

ηγος λήγοντα ὀξύτονα παρὰ τὸ ἄγειν, οἷον στρατηγὸς, ἀρχηγός. 682, 34.

ἤγουν, ἑρμηνευτικὸν μόριον, ὡς καὶ τὸ εἴτουν. 50, 15.

ηγω λήγοντα ῥήματα ὅτι τῆς Συρακουσίων εἰσὶ διαλέκτου, οἷον πεπλήγω, κεκλήγω. 895, 55.

ἠδὲ σύνδεσμος ὅτι τῷ καὶ ἰσοδυναμεῖ, διὸ καὶ ἐκ παραλλήλου κεῖνταί ποτε ἀντὶ ἑνὸς συμπλεκτικοῦ, οἷον ἐν τῷ, ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν. 1404, 33.

ἠδὲ καὶ, ζήτει ἐν τῷ ἠδέ. 112, 35. 529, 43.

ἥδε ὅτι δεικτικῶς λεγόμενον ἀντὶ τοῦ αὕτη παροξύνεται, ἀναφορικῶς δὲ προπερισπᾶται, οἷον ἐν τῷ, ναῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος, Ὀδυσσ. α', 185. 1409, 22.

ᾔδεα ὅτι ἐκ τοῦ ᾔδειν λέγεται κατὰ διάλυσιν Ἰωνικῶς. 50, 30. 718, 15.

ᾔδη διὰ τῶν δύο η, πρῶτον πρόςωπον ὑπερσυντελίκου ἀντὶ τοῦ ἠπιστάμην, ὅτι τὸ μὲν παραλῆγον η ἐκ τοῦ τῆς ει διφθόγγου τέτραπται Ἀττικῶς, τὸ δὲ τῆς ληγούσης ἐκ τοῦ εα Ἰωνικοῦ κέκραται, καὶ ὅτι καὶ τὸ σύστοιχον τρίτον οὕτω γράφεται, ἑρμηνεία διεξοδικωτάτη. 50, 17—38.

ἤδη ἐπίῤῥημα ὅτι τοῖς τρισὶ χρόνοις συνεπιμερίζεται, ἐνεστῶτι δηλονότι, παρῳχημένῳ καὶ μέλλοντι. 100, 4. 886, 45.

ἤδη ἐν ἴσῳ τῷ νῦν, διὸ καὶ ἐκ παραλλήλου εὑρίσκονταί ποτε παρατιθέμενα ἀλλήλοις, οἷον ἤδη νῦν. 1419, 1.

ηδον ληγόντων τινῶν ἐπιῤῥημάτων ὀξυτόνων ἔκθεσις, οἷον πυργηδὸν, σφαιρηδὸν, λυκηδὸν, γνωμηδόν. 927, 60.

ηδος λήγουσαι γενικαὶ ἑνικαὶ καὶ ηδων πληθυντικαὶ ἐκ τῶν διὰ τοῦ ηιδος καὶ ηιδων συνῃρημέναι, οἷον Νηρηΐδος Νηρῆδος, Νηρηΐδων Νηρῄδων. 174, 13.

ἧδος ἡ ἡδονὴ Αἰολικῶς, καὶ ὅτι ἄκλιτόν ἐστι τοὔνομα. 113, 30. 235, 6.

ἦδος τὸ ὄφελος ὅτι ψιλοῦται καὶ ὅτι ἐκ τοῦ ἡδονὴ μετεπλάσθη, ἧδος δὲ τὸ ὄξος δασύνεται παρ' Ἀττικοῖς. 1417, 19. 22.

ἡδυεπὴς ἐπίθετον, ὅτι ἡδυεπὴς λέγεταί τις διὰ λόγου γλυκύτητα. 95, 45.

ἡδύκωμος, ὄνομα αὐλήσεως ποιᾶς. 1237, 57.

ἡδυλίζω παρὰ τὸ ἡδυλισμὸς, ὅς ἐστιν εἶδος κολακείας, λέγεται, καὶ ὅτι δασύνεται. 1417, 21.

ἡδυλισμὸς, εἶδος κολακείας, καὶ ῥῆμα ἡδυλίζειν ὅτι δασύνονται. 1417, 21.

ἥδυμος ὁ ἡδὺς κατὰ παραγωγήν. 163, 32.

ἡδὺς ἐπίθετον θηλυκῷ προσηγορικῷ ἐπιτιθέμενον, οἷον ἐν τῷ, ἡδὺς ἀϋτμή. 1726, 32.

ἠὲ καὶ οὐκὶ, ἀντὶ τοῦ εἴτε καὶ μή. 225, 33.

ἠείδειν, ὑπερσυντέλικος ἀντὶ τοῦ ἠπιστάμην, ὅτι ἀπὸ τοῦ εἴδειν γέγονε προσθέσει τοῦ η, ἢ ἀπὸ τοῦ ᾔδειν Ἀττικοῦ ἐπενθέσει τῆς ει διφθόγγου. 1269, 28. 1624, 18.

ᾔειν, ὑπερσυντέλικος ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, ὅτι Ἀττικῶς ηὔξηται. 50, 22. 849, 38. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ἠίειν συνῄρηται προςγραφομένου τοῦ ι. 909, 44. 933, 39.

ἤειρε, συνέπλεκεν, ἀπὸ τοῦ ἀείρω, ὃ δηλοῖ τὸ ὁμοῦ εἴρω, ὅ ἐστι συμπλέκω. 820, 56.

ἠέλιος παρὰ τὸ ἥλιος ἐπενθέσει τοῦ ε, ἢ ἐκ τοῦ ἄω τὸ λάμπω καὶ ἕλη ἡ θερμασία, καὶ ὅτι ψιλοῦται κανονικῶς. 161, 9. 17. 1020, 20. ἀλλαχοῦ δὲ ὅτι ἠέλιος λέγεται οἱονεὶ ἠοῦς ἕλην ἔχων. 546, 35.

ἦεν ἀντὶ τοῦ ἦν, ὅ ἐστιν ὑπῆρχεν, ὃ καὶ ἔην κατὰ γλῶσσαν ποιητικὴν λέγεται. 1588, 48.

ᾖεν ἀντὶ τοῦ ἐπορεύετο, ὅτι ἐκ τοῦ ᾔιεν συνῄρηται. 909, 41. 1884, 1.

ἠέρα θηλυκῶς τὴν ἀορασίαν Ὅμηρος κατὰ Ἰωνικὸν σχηματισμόν. 775, 15. 1566, 14.

ἠερέθεσθαι τὸ ἐν ἀέρι κρέμασθαι καὶ ἀβεβαίως ἔχειν. 389, 39. καὶ ἠερέθεσθαι λέγονται ἀκρίδες, ἤγουν εἰς ἀέρα αἴρεσθαι. 1220, 56.

ἠέρθη, ἐκρεμάσθη. 1063, 1.

Ἠερίβοια κύριον παρὰ τὸν ἀέρα καὶ τὴν βοὴν, ἢ παρὰ τὸν βοῦν, ὡς Εὔβοια καὶ Ἀλφεσίβοια, ἑρμηνεία διεξοδική. 562, 38.

ἠερίη, ὀρθρινή· ζήτει ἐν τῷ, ἦρ ὁ ὄρθρος· ἢ ἀντὶ τοῦ ἀερία, ἤγουν δι' ἀέρος ἐλθοῦσα, Ἰλ. α', 497. 141, 9.

ἠέριος ὁ πρωινὸς εἴτουν ὀρθρινὸς, ἢ ὁ ἀέριος καὶ διὰ τοῦ ἀέρος πετόμενος. 372, 25. 1615, 32.

ἠεροειδὲς λέγεται τὸ ἐν Ὀδυσσείᾳ μυθευόμενον ἄντρον, ὃ περ εἰς τὸν κόσμον ἀλληγορεῖται, διὰ τὸ ἀνείδεον τῆς πρώτης ὕλης. 1735, 2. ἁπλῶς δὲ ἠεροειδὲς ἄντρον τὸ βαθὺ, τὰ γὰρ βαθέα ἐσκότωνται τῇ τοῦ ἀέρος μελανίᾳ. 1714, 28.

ἠεροειδὴς πόντος ὁ μέλας δίκην ἀέρος, ἢ ὁ βαθὺς, ἢ ὁ ἀναπεπταμένος καὶ πλατὺς, ἢ ὅθεν μόνος ὁ ἀὴρ καθορᾶται τοῖς πλέουσι. 1444, 21.

ἠερόεις Τάρταρος ὁ σκοτεινός. 695, 29. καὶ ἠερόεν τὸ σκοτεινὸν διὰ τὴν τοῦ ἀέρος μελανίαν. 455, 8.

ἠερόεντα κέλευθα λέγονται παρ' Ὁμήρῳ τὰ πρὸς δύσιν καὶ Ἅιδην, ἢ ἁπλῶς τὰ περὶ τὸν ἀέρα εἴτουν ἡ δι' ἀέρος φορά. 1882, 59.

ἠεροφοῖτις Ἐριννὺς ἡ ἀφανῶς φοιτῶσα κατά τινων. 775, 14. 1173, 16.

Ἠετίων, παρ' Ὁμήρῳ δυνάστης τῶν Ὑποπλακίων Θηβῶν, ὅτι παρὰ τὸ ἀετὸς λέγεται. 119, 18.

ηη λήγοντα εὐκτικὰ ῥήματα, ἐκ τῶν διὰ τὸ αιη γενόμενα, οἷον φθαίη φθήῃ, σταίη στήῃ. 1047, 28. 1090, 20.

ᾔην ἀντὶ τοῦ ἦν τρίτου προσώπου, ἐξ οὗ καὶ γέγονε πλεονασμῷ τοῦ η. 883, 19. 1865, 32. 1962, 62.

ἠθὰς ἀντὶ τοῦ ἐθὰς παρὰ Λυκόφρονι. 1480, 11. 1750, 22.

ἤθεα συῶν, αἱ συνήθεις κοῖται τῶν χοίρων, Ὀδ. ξ', 411. 1765, 25.

ἠθεία κεφαλὴ, ἀντὶ τοῦ ἀδελφικὴ, Ἰλ. ψ', 94. ἐν οἷς ὁ Ἀχιλλεὺς

προσφωνεῖ τὸν Πάτροκλον. 1290, 14.

ἠθεῖε, προσφώνησις σεπτικὴ νεωτέρου πρὸς πρεσβύτερον ἀδελφόν, ὅτι τῆς Ἰώνων ἐστὶ διαλέκτου. 1267, 41.

ἠθεῖν καὶ διηθεῖν καὶ ἀπηθεῖν, τὸ διυλίζειν. 1753, 5.

ἠθεῖος, προσφώνησις νεωτέρου πρὸς παλαιότερον, καὶ ἠθεῖος ἀντὶ τοῦ θεῖος, ὅ ἐστι θαυμαστός, καὶ ἠθεῖος ὁ ὁμότροπος, ἐτυμολογία καὶ σχηματισμός. 659, 44—51. καὶ ὅτι παρὰ τοῖς μεθ' Ὅμηρον ἀντὶ τοῦ ἔνθεος τίθεται. 788, 1. 5.

ἠθικαὶ ἀρεταὶ λέγονται οἱονεὶ ἐθικαί. 538, 31.

ἠθμὸς ὁ διυλιστήρ. 1753, 6.

ηθμος ληγόντων ἀναλογία, οἷον ὀρχηθμὸς, κηληθμὸς, βρυχηθμός. 1689, 40.

ἠθοποιιῶν πλατυσμὸς ἢ στενολογία παρὰ τὸ ἀόριστον ἢ ὡρισμένον τῶν προσώπων οἷς προσάπτονται. 573, 38.

ἦθος ἐν ἴσῳ τῷ ἔθος. 659, 48.

ηθω λήγοντα ῥήματα ἀπὸ περισπωμένων ῥημάτων παρηγμένα, οἷον ἀλῶ ἀλήθω, κνῶ κνήθω. 871, 62.

ἤια τὰ εἰς ὁδὸν ἐπιτήδεια βρώματα, ὅ ἐστιν ἐφόδια, παρὰ τὸ ἰέναι, καὶ τὰ ἁπλῶς βρώματα· καὶ ὅτι καὶ τὰ ἄχυρα οὕτω λέγονται, ἢ ὡς βρώματα καὶ αὐτὰ ζῴων ἢ παρὰ τὸ ἰέναι διὰ τὸ κοῦφον· κυρίως δὲ ἤια αἱ τῶν ὀσπρίων καλάμαι· καὶ ἤια ἀντὶ τοῦ ἐπορευόμην ὁμωνύμως. 922, 55. 1445, 37-43. 1539, 16. 1724, 13. ἐν δὲ τῷ, ἐν δὲ καὶ ἤια κωρύκῳ, ἐν δὲ καὶ ὄψα τίθει, Ὀδ. ε', 266. τὰ ἤια πρὸς τὰ ὄψα ἀντιδιαστέλλονται. 1534, 45.

ἦια μέσος παρακείμενος ὅτι ἀπὸ τοῦ εἴω θέματος κεκίνηται. 849, 39. ἀλλαχοῦ δὲ ὅτι τὸ ἦια ἀορίστου ἐστὶν ἀπὸ τοῦ ἴω θέματος. 933, 41. ἀλλαχοῦ δὲ ὅτι ὑπερσυντελίκου ἐστὶ τὸ ἦια, ἐκ τοῦ ἤειν διαλυθὲν Ἰωνικῶς. 50, 29.

ἦιγα, μέσος παρακείμενος ἀπὸ τοῦ αἴσσω. 193, 40.

ἠΐειν ἀντὶ τοῦ ἦλθον, ὑπερσυντέλικος ἐκ τοῦ ἴω θέματος. 933, 39.

ἤιεν, ἤγουν ἐπορεύετο, τρίτον πρόσωπον παρατατικοῦ ἀπὸ τοῦ εἴω, ἐξ οὗ τὸ εἶω, ὃ δηλοῖ τὸ πορεύομαι. 40, 44. 949, 9. 1798, 64.

ἠΐθεος, ὄνομα προσηγορικὸν νεωτερικῆς ἀνδρῶν ἡλικίας, ἀναλογοῦν τῷ παρθένος ἐν γυναιξί· καὶ ἔτι καὶ γυνὴ ἠΐθεος εὕρηται λεγομένη καταχρηστικῶς, καὶ ὅτι διαφόρως ἐτυμολογεῖται. 500, 32. 1166, 34. καὶ ὅτι ἠΐθεοι λέγονται οἱ μήπω γεγαμηκότες. 1163, 48. καὶ ὅτι καὶ ἤθεος τρισυλλάβως λέγεται. 1166, 34.

ηιον λήγοντα ὀνόματα ὅτι τὰ μὲν ἀπὸ τῶν διὰ τοῦ ιον πλεονασμῷ τοῦ η σχηματίζονται, τὰ δὲ ἀπὸ τῶν διὰ τοῦ ειον διαλύσει τῆς διφθόγγου. 257, 11. 880, 46. 1437, 1.

ἤιον, παρατατικὸς ἀπὸ τοῦ ἴω θέματος, ὅθεν τὸ ἀνήιον ἐν συνθέσει. 1657, 33. 38.

ἠιόεις ποταμὸς ὁ ὀχθώδης, παρὰ τὴν ἠιόνα οἱονεὶ ἠιονόεις, ἢ ὁ ἀνθηρὸς παρὰ τὸ ἴον. 519, 24.

Ἠϊόνες, πόλις παρ' Ὁμήρῳ τῶν ὑπὸ τῷ Διομήδει· καὶ Ἠϊών, πόλις Θρᾳκική, ἑρμηνεία διεξοδική. 287, 24.

ἤιος, ἐπίθετον διαφόρως ἐτυμολογούμενον καὶ πνευματούμενον, καὶ ὅτι Ἀπόλλωνι καὶ Διονύσῳ ἐπιτίθεται, καὶ ὅτι ἐκ τοῦ ἰήιος τετρασυλλάβου γέγονε κατὰ ἀφαίρεσιν, καὶ ὅτι καὶ τοῖς λοιμικοῖς παθήμασιν ἐπιτίθεται ἡ φωνή. 1020, 16—25.

ἤιος Ἀπόλλων ὅτι δοκεῖ παρὰ τὸ ἰὴ παρῆχθαι, ὅ περ ἐπίῤῥημα ἐνθεαστικὸν ἐπιφωνούμενον τῷ Ἀπόλλωνι ἐν τῷ, ἰὴ παιάν. 500, 41. 1201, 16. καὶ ἤιος ὁ τοξικὸς ὅτι ψιλοῦται κανονικῶς. 161, 12.

Ἤιος καὶ Εὔιος ὁ Διόνυσος, ὅτι παρὰ τὸ ἵεσθαι λέγεται, ὅθεν τὸ μεθίεσθαι. 1473, 27.

ηις λήγοντα ὀξύτονα δισύλλαβα ὅταν συντεθῶσι προπαροξύνονται, οἷον κληὶς πολυκλήις, ψηφὶς πολυψήφις. 174, 8.

ηις λήγοντα θηλυκὰ σύνθετα κατὰ πλαγίας συναιροῦντα τὸ η καὶ ι εἰς τὴν ῃ δίφθογγον, οἷον Νηρηίδος Νηρῇδος, κληίδων κλῄδων, καὶ τὰ ὅμοια. 174, 13.

ἤισαν ἀντὶ τοῦ ἐπορεύοντο, ἀπὸ τοῦ εἴω. 933, 38. 1951, 29.

Ἠϊὼν τρισυλλάβως, ἡ καὶ Ἠιὼν δισυλλάβως, πόλις ἐν τῇ Θρᾳκικῇ Χεῤῥονήσῳ, καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ, ὁ πολίτης Ἠϊονεὺς καὶ Ἠϊονίτης. 179, 38.

ηκα λήγοντες παρακείμενοι, ἀπὸ δευτέρων μελλόντων βαρυτόνων ῥημάτων εἰς ἐνεστῶτας ἀνηγμένων κανονιζόμενοι, οἷον γράφω, ὁ δεύτερος μέλλων γραφῶ, ὅθεν τὸ γεγράφηκα καὶ γεγραφηκώς. 1126, 3. 1700, 47.

ἧκα, πρῶτον πρόσωπον παρακειμένου χρόνου, ὅτι ψιλούμενον μὲν ἀπό τε τοῦ ἔθω ἐνεστῶτος ἐνδέχεται κεκινῆσθαι καὶ ἀπὸ τοῦ αἴδω καὶ ἀπὸ τοῦ αἴθω τὸ καίω καὶ ἀπὸ τοῦ ἄδω καὶ ἀπὸ τοῦ ἔδω τὸ ἐσθίω, δασυνόμενον δὲ ἀπό τε τοῦ ἥδω καὶ ἕζω καὶ ἕω καὶ ἥκω καὶ ἵημι. 1700, 34. καὶ ὅτι τὸ ἀπὸ τοῦ ἵημι γινόμενον ἧκα μιᾷ συλλαβῇ λείπεται τοῦ ἰδίου ἐνεστῶτος. 1769, 57.

ηκα ἀντὶ τοῦ ἡσυχῇ καὶ ἠρέμα καὶ ἐπ' ὀλίγον, ὅτι παρὰ τὸ ἀκὴν λέγεται. 397, 8. καὶ ὅτι ψιλοῦται. 1314, 25.

ἤκαζον ἀντὶ τοῦ εἴκαζον Ἀττικῶς, τροπῇ τῆς ει διφθόγγου εἰς τὴν η καταχρηστικήν. 50, 20.

ἥκειν ἐνεργητικῶς τῷ η, ἱκέσθαι δὲ τῷ ι παρὰ τοῖς μεθ' Ὅμηρον, παρ' Ὁμήρῳ δὲ καθόλου τῷ ι. 1432, 12.

ἧκεν, ἔπεμψεν, ἀπὸ τοῦ ἵημι. 804, 55. καὶ ἦ κε, βεβαιωτικὸν μετὰ ψιλῆς καὶ περισπωμένης. 1093, 63.

ἠκέστη βοῦς ἡ ἀκίνητος καὶ ἀδάματος καὶ φορβὰς εἴτουν νομὰς, παρὰ τὸ α στερητικὸν καὶ τὸ κένσαι, ὅ ἐστι κεντῆσαι. 627, 16. 21. 1473, 44.

ἥκιστα ἐπίῤῥημα ἀντὶ τοῦ οὐδόλως, οὐχ ἥκιστα δὲ ἀντὶ τοῦ μάλιστα, ὅτι παρὰ τὸ ἧκα λέγεται, καὶ ὅτι δασύνεται. 1314, 26.

ἥκιστος ὁ ὀλίγος καὶ οὐδαμινός,

παρὰ τὸ ἦκα, ὅ ἐστιν ἡσυχῆ καὶ ἠρέμα καὶ ἐπ' ὀλίγον, ὅτι τὸ μὲν ἦκα ψιλοῦται, τὸ δὲ ἥκιστος καὶ ἥκιστα δασύνεται. 1314, 25. 31.

ἠκούετο ἀντὶ τοῦ ἤκουεν ἐν τῷ, οὐ γάρ πώ σφιν ἀκούετο λαὸς ἀϋτῆς, Ἰλ. δ', 331. 479, 25.

ἥκω καὶ αἱ ἀπ' αὐτοῦ κινήσεις ἐπὶ μὲν τῶν ἐνεργητικῶν διὰ τοῦ η, ἐπὶ δὲ τῶν παθητικῶν προφερομένων φωνῶν διὰ τοῦ ἰῶτα, οἷον ἱκόμην καὶ ἱκέσθαι. 109, 30. 1432, 12. ζήτει τὸ ἥκειν.

ἦλ ὁ ἧλος κατὰ ἀποκοπὴν, ὅτι ἄκλιτόν ἐστι τοὔνομα. 217, 6. 295, 2. 566, 34.

ἦλα ἀντὶ τοῦ μῆλα ἐλλείψει τοῦ μ. 701, 18.

ηλαι, τύπος ληκτικὸς ἀπαρεμφάτων τῶν ἀπὸ τῶν διὰ τοῦ αλλω ληγόντων θεμάτων κινουμένων ἀορίστων, οἷον πῆλαι, σφῆλαι, ψῆλαι. 656, 60.

ἠλάκατα οὐδετέρως τὰ περὶ τὴν ἠλακάτην ἔρια, πολλαχοῦ παρ' Ὁμήρῳ· καὶ ἠλάκατα ὁμωνύμως τὰ τόξα. 1053, 62. 1197, 25. 1423, 11. 1551, 14. ζήτει ἐν τῷ ἠλακάτη.

ἠλακάτη τὸ ἐριουργικὸν ἐργαλεῖον, παρὰ τὸ ἠλάσκειν, ὅ ἐστιν ἐν πλάνῃ εἰλεῖσθαι· ἠλάκατα δὲ οὐδετέρως τὰ περὶ τὴν ἠλακάτην ἔρια, καὶ τὰ τόξα ὁμωνύμως· καὶ ἠλακάτη, μέρος τι τοῦ τῶν πλοίων ἱστοῦ, ἑρμηνεία διεξοδική. 1423, 8. 11. 13. καὶ ἠλακάτη ὁμωνύμως ὁ κάλαμος, εἴτουν ξύλον τοῦ οἰστοῦ. 1053, 63. καὶ ὅτι ἀπὸ τῆς ἐριουργικῆς ἠλακάτης καὶ ποιημάτιόν τι Ἠρίννης τῆς ποιητρίας ἠλακάτη ἐπιγέγραπται. 327, 1.

ἠλακατῆνες, εἶδος ἰχθύος οὕτω λεγόμενον. 1423, 12. 1488, 34.

ἠλασκάζειν ταὐτὸ ὅπερ ἀλυσκάζειν, ὅ ἐστιν ἀλᾶσθαι καὶ ἐκφεύγειν. 1638, 43. καὶ ἠλασκάζειν ἀντὶ τοῦ ἐπ' οὐδενὶ τέλει τρέχειν, Ἰλ. σ', 281. 1142, 62.

ἠλάσκω ὅτι παρὰ τὸ ἀλῶ ἀλάσω παρῆκται. 257, 14. 922, 60.

ἠλάστεον, ἤγουν ἐδεινοπάθουν, ἀπὸ τοῦ ἀλαστεῖν. 1003, 25.

ἠλάστρεον ἀντὶ τοῦ ἤλαυνον, ὅτι ἀπὸ τοῦ ἐλῶ, ὅ ἐστιν ἐλαύνω, παρῆκται. 1003, 27.

ηλατον λήγοντα ὀνόματα ἐκ τροπῆς τοῦ ο ἔχοντα τὸ προπαραλῆγον η, οἷον τὸ σικυήλατον. 422, 32.

ἤλδανε μέλεα, ἤγουν ηὔξανε τὰ μέλη, Ὀδ. σ', 70. ω', 368. 1584, 12.

ἠλέ, κλητικὴ ἀπὸ τῆς ἠλεὸς εὐθείας, ὅτι ἐκ τοῦ ἠλεὲ γέγονε κατὰ ἀποκοπήν. 636, 56. καὶ ὅτι ὀξύνεται καὶ παρὰ τὴν ἄλην, ἤγουν πλάνην, λέγεται. 1009, 12.

Ἠλεῖος ὁ ἀπὸ Ἤλιδος τῆς πόλεως, οἱονεὶ Ἠλίδειος ἀποβολῇ τοῦ δ καὶ συναιρέσει λεγόμενον. 30, 40. καὶ ὅτι οἱ Ἠλεῖοι μέθυσοι καὶ ψεῦσται ἱστοροῦνται. 879, 38.

Ἠλέκτρα μία τῶν Ἀτλαντίδων, Πλειάδων δὲ καλουμένων, ἧς καὶ Διὸς ἐγένετο Δάρδανος. 1155, 51. καὶ ὅτι διὰ τὴν τῆς Τροίας ἅλωσιν ἠμαυρώθη τὸ τῆς Ἠλέκτρας ἄστρον. 1155, 56. καὶ ὅτι παρὰ τὸν ἤλεκτρον λέγεται τοὔνομα. 742, 51. 1483, 29.

ἤλεκτρος, ὕλη τις χαλκώδης ἢ μίγμα ἐκ χρυσοῦ καὶ ἀργύρου· καὶ ἤλεκτρον τὸ μυθευόμενον δάκρυον τῶν Ἡλιάδων διὰ τὸ ἡλιῶδες τῆς χρόας· Σοφοκλῆς δὲ καὶ αὐτὸν τὸν χρυσὸν ἤλεκτρον καλεῖ· καὶ ἤλεκτρα οὐδετέρως, ἢ ἤλεκτροι θηλυκῶς, τὰ ἐν ταῖς κλίναις ποικιλλόμενα ἐξ ἠλέκτρου, καὶ ἤλεκτρον τὸ κοινῶς βερονίκην. 366, 30. 1483, 24—32.

ἠλέκτωρ ἥλιος ὁ ἀκοίμητος καὶ μὴ εἰδὼς λέκτρον, ἢ ὁ μὴ ἐῶν τοὺς ἀνθρώπους ἐν λέκτροις κεῖσθαι. 659, 28. 826, 13. 1189, 62. 1483, 33.

ἠλέματον, ὅτι ἐκ τοῦ ἠλεὸν καὶ μάταιον ταὐτοδυνάμων λέξεων σύγκειται τοὔνομα. 437, 2.

ἠλεὸς καὶ ἠλὸς ὁ ἠλίθιος καὶ πεπλανημένος τὸν νοῦν, παρὰ τὴν ἄλην· καὶ ὅτι ἄδηλον, πότερον ἐκ τοῦ ἠλὸς γέγονεν ὁ ἠλεὸς κατ' ἐπένθεσιν, ἢ ἀνάπαλιν ὁ ἠλὸς ἐκ τοῦ ἠλεὸς κατὰ συγκοπήν. 1443, 60. ἀλλαχοῦ δὲ ὅτι ἠλεὸς παρὰ τὸ ἀλῶ, ἡ κλητικὴ ἠλεὲ καὶ ἠλὲ κατὰ ἀποκοπήν. 636, 56. καὶ ἠλεὸς οἶνος ὁ ἀλῶν, ὅ ἐστι πλανῶν τοὺς ἐμφορουμένους αὐτοῦ, καὶ ὅτι ἐκ τοῦ ἠλὸς πλεονασμῷ τοῦ ε λέγεται. 1769, 49.

ηλη ληγόντων τινῶν ὀξυνομένων ἔκθεσις, οἷον χηλὴ, θυηλὴ, γαμφηλή. 872, 17.

ἦλθον ὅτι ἐκ τοῦ ἤλυθον συνεκόπη. 70, 13.

ἠλιακὰ χυδαϊκῶς αἱ παρ' Ὁμήρῳ αἴθουσαι. 639, 38.

ἠλιβάτας ὅτι παρὰ τὸ ἠλίβατος λέγεται. 1753, 24.

ἠλίβατος πέτρα, οἱονεὶ ἠλιτόβατος, παρὰ τὸ ἀλιτεῖν, ὅ ἐστιν ἀποτυχεῖν βάσεως, ἢ καὶ ψιλοῦται ἡ λέξις· ἢ παρὰ τὸ ἐπὶ τὰς τοιαύτας πέτρας πρῶτον ἐπιβαίνειν τὸν ἥλιον, ἢ καὶ δασύνοιτ' ἄν. 1033, 33. καὶ ἠλίβατον κακὸν, ἐν ἴσῳ τῷ πέλωρον, ὅ ἐστι μέγα. 1623, 7.

Ἡλιεῖον, Ἡλίου ἱερόν. 1562, 58.

ἡλικίας ἀνθρωπίνης βαθμῶν ὀνόματα, βρέφος, παιδίον, παιδίσκος, παῖς. 727, 15.

ἡλικιῶν ἀνθρώπου διαφόρων ὀνομασίαι. 962, 8.

ηλιον ληγόντων ὀνομάτων τύπος, οἷον ἀπατήλιον, νοσήλιον. 1755, 32.

ἥλιος ὁ φαινόμενος φωστὴρ καὶ ὁ σωματοειδὴς θεὸς τοῦ φωστῆρος. 1871, 52.

ἥλιος ὅτι παρὰ τὴν ἅλα λέγεται, οἱονεὶ ἅλιος. 1297, 9.

ἥλιος φωνὴ δασύτονος ἐν συνθέσει ὑποτασσομένη ἑτέρᾳ λέξει, ἧς ἡ λήγουσα συναλείφεται κατὰ τὴν σύνθεσιν, ὅτι οὐ τρέπει ἐνίοτε εἰς δασὺ τὸ ἐκ τῆς συναλιφῆς ἀπολειφθὲν ψιλὸν, οἷον ἐν τῷ ἀντήλιος καὶ ἀπηλιώτης. 83, 3.

ἡλιοστερὴς κυνῆ ἡ τὸν ἥλιον στέγουσα. 803, 1.

Ἦλις, πόλις Πελοποννησιακὴ, ἣ καὶ κοίλη ἐπεκαλεῖτο· καὶ ἔτι πολλαί τινες πόλεις οὕτως ἐκλήθησαν, καὶ γενεαλογία τῶν ἐν Ἤλιδι τῇ Πελοποννησιακῇ βασιλευσάντων, ὧν Ὅμηρος μέμνηται ἐν τῷ καταλόγῳ, καὶ ἄλλα πολλὰ περὶ Ἤλιδος καὶ τῶν Ἠλείων. 303, 2—16. 37—304, 8.

ἠλιτόμηνα λέγονται τὰ ἑπταμηνιαῖα βρέφη παρ' Ὁμήρῳ, ὡς

ἀλιτόντα, ὅ ἐστιν ἀποτυχόντα, τῶν συνήθων ἐννέα μηνῶν. 1175, 38.

ἠλιτόμηνος ὅτι παρὰ τὸν ἤλιτον δεύτερον ἀόριστον λέγεται, καὶ ὅτι καὶ ἀλιτόμηνος λέγεται διὰ τοῦ α. 1529, 44.

ἤλιτον δεύτερος ἀόριστος ὅτι παρὰ τὸ ἀλείτω διφθογγοπαράληκτον θέμα κεκίνηται, ὅθεν καὶ ὁ ἀλιτρός. 1529, 41. 1885, 64.

Ἡλίου δέπας, τὸ καὶ Ἡράκλειον, ὅτι ποτηρίῳ διαπλέειν τὸν Ὠκεανὸν ὁ Ἥλιος μυθεύεται, ᾧ καὶ τον Ἡρακλέα λόγος ἐστὶ διαπεραιωθῆναι ἐπὶ τὰς Γηριόνου βοῦς. 1632, 23.

Ἡλίου θυγατέρες ἐκ Νεαίρας, Φαέθουσα καὶ Λαμπετίη, ὅτι ποιμαίνειν τὰ ἐν Σικελίᾳ θρέμματα τοῦ Ἡλίου μυθεύονται, καὶ ἀλληγορία τοῦ μύθου. 1717, 27. 34.

Ἡλίου παῖδες γεγονέναι μυθεύονται Αἰήτης καὶ Κίρκη καὶ Πασιφάη, ἢ ὡς βασιλικοὶ ἢ ὡς λαμπροὶ καὶ περιφανεῖς ἢ διὰ τὸ ἡλιῶδες τοῦ κάλλους. 1651, 34.

Ἡλίου πύλαι, παρ' Ὁμήρῳ αἱ πρὸς δυσμὰς καταδύσεις αὐτοῦ. 1951, 54.

Ἡλίου σπήλαιον ἐν Σύρῳ τῇ νήσῳ, ὅθεν τὰς τοῦ ἡλίου τροπὰς οἱ ἐκεῖ ἄνθρωποι ἐσημειοῦντο. 1787, 15—22.

Ἡλίου σπονδὴ, ὅτι Ἡλίῳ μέλιτος ἔσπενδον οἱ Ἕλληνες, οἶνον οὐ προσφέροντες τοῖς βωμοῖς διὰ τὸ τοῦ θεοῦ νηφάλιον. 1668, 24.

Ἡλίῳ Ἀπόλλωνι διάφορα ζῶα θυόμενα παρὰ τοῖς Ἕλλησι διὰ διάφορα ἰδιώματα τῶν ζώων, καθ' ἃ οἰκείως ἐκείνῳ ἔχειν ἐνομίζοντο, καὶ κατάλογος διεξοδικὸς τῶν ζώων ἐκείνων. 36, 17. 30.

ηλος λήγοντα εἰ μὲν ὦσι κύρια βαρύνονται, οἷον Βῆλος, Σφῆλος, εἰ δὲ ἐπιθετικὰ ἢ προσηγορικὰ, ποτὲ μὲν ὀξύνονται, οἷον πηλὸς, χηλὸς, βηλὸς, ποτὲ δὲ βαρύνονται, οἷον δῆλος, ἧλος. 1018, 61.

ἧλος ὅτι παρὰ τὸ ἵημι, οὗ μέλλων ἥσω, λέγεται. 1350, 18. καὶ ὅτι παρὰ τὸν κανόνα τῶν εἰς ος τροχαϊκῶν δασύνεται ἡ λέξις. 155, 1.

ἧλοι ἀστέρων σύμβολον, ὅτι τοὺς κατὰ τὴν Νεστορέην κύλικα ἀστέρας ἥλους ὀνομάζει Ὅμηρος διά τε τὴν τοῦ σχήματος ὁμοιότητα καὶ τὸ προσηλῶσθαι καὶ αὐτοὺς τῷ ποτηρίῳ ὡς καὶ οἱ ἀστέρες τῷ οὐρανῷ. 1816, 35.

ἠλύγη ταὐτὸ ὅπερ λύγη, ὅ ἐστι σκέπη ἢ σκιά. 809, 44.

ἤλυξα, ἐξέκλινα, ζήτει ἐν τῷ ἀλύξαι. 1724, 64.

Ἠλύσιον πεδίον ὅτι περί που τὰ κατὰ δύσιν πέρατα τῆς γῆς κεῖται, καὶ ὅτι ταὐτόν ἐστι ταῖς μακάρων καλουμέναις νήσοις, καὶ ὅτι παρὰ τὸ ἀλύειν, ὅ ἐστι χαίρειν, λέγεται, ἢ παρὰ τὸ λελύσθαι ἢ ἀλύτως, ὅ ἐστιν ἀφθάρτως, ἔχειν τοὺς ἐκεῖ· καὶ ὅτι Ἀπίων τὴν περὶ Κάνωβον καὶ Ζεφύριον πεδιάδα οὕτω κληθῆναι νομίζει παρὰ τὴν ἰλὺν ἐτυμολογῶν τὴν λέξιν, ἑρμηνεία διεξοδική. 1509, 22—33.

ἤλυσις ὅτι ἐκ τοῦ ἔλευσις γέγονεν ἐκβολῇ τοῦ ε τῆς διφθόγγου καὶ τροπῇ τοῦ ἀρκτικοῦ ε εἰς η. 1385, 13.

ἦλφον, ἤγουν εὗρον, πρόσωπον ῥηματικὸν χρόνου ἀορίστου δευτέρου. 1224, 41.

ἦλων ἀντὶ τοῦ ἤλουν, ὅ ἐστιν ἤληθον, ζήτει ἐν τῷ ἀλέω ἀλῶ. 1885, 29.

Ἠλώνη, πόλις Περραιβικὴ ὑπὸ τῷ Ὀλύμπῳ, καὶ ἄλλα τινὰ περὶ αὐτῆς, καὶ ὅτι καὶ Λειμώνη ἐκλήθη ποτέ. 333, 30. 37.

ημ, ὅτι τὸ η πρὸ τοῦ μ εἰς ε μετατιθέασιν Αἰολεῖς διπλοῦντες τὸ ἀμετάβολον, οἷον Φιλέμμων ἀντὶ τοῦ Φιλήμων. 1407, 64.

ημα λεγόντων ὀνομάτων ἀναλογία, οἷον τράγημα, φάγημα, ἄγημα, πίσημα. 1859, 35.

ἧμα ἀντὶ τοῦ ἀκόντισμα, ὅτι παρὰ τὸ ἵημι λέγεται. 1019, 40. 1335, 2.

Ἠμαθία ἡ Μακεδονία, ἀπὸ Ἀμάθου τοῦ Μακεδόνος τοῦ Διός. 980, 31.

ἠμαθόεις Πύλος, ὅτι οὐχ' οὕτω παρὰ τὴν ἄμαθον ὡς διὰ ποταμὸν παραῤῥέοντα, ἠμαθόεντα κληθέντα ποτέ, οὕτω λέγεται· καὶ ὅτι τριῶν οὐσῶν Πύλων ἑκάστην ποταμὸς παραῤῥέει Ἠμαθόεις καλούμενος. 296, 35. 1681, 59. καὶ ὅτι τὸ ἠμαθόεις ἐπίθετον ἐνδέχεται καὶ θηλυκοῦ γένους εἶναι, ὡς τὸ ὑλήεις ἐν τῷ, ὑλήεντι Ζακύνθῳ. 1394, 49.

ἦμαρ ἡ ἡμέρα κατὰ γένους ἐναλλαγήν. 108, 23. καὶ ὅτι τὸ μὲν ἦμαρ ψιλοῦται, ἡμέρα δὲ δασύνεται. 154, 43. καὶ ὅτι καὶ ἐπιῤῥηματικῶς ἀκούεται ἐνίοτε ἡ ἦμαρ φωνὴ, οἷον ἐν τῷ, σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ, Ἰλ. ε', 490, 573, 33.

ἥματα λέξις μετὰ μὲν ψιλῆς αἱ ἡμέραι ἀπὸ τῆς ἦμαρ εὐθείας, μετὰ δὲ δασείας τὰ ἀκοντίσματα παρὰ τὸ ἵημι, οὗ μέλλων ἥσω. 1019, 40. 1335, 2. 1492, 21.

ἤματα πάντα, ἀντὶ τοῦ ἀεὶ παρ' Ὁμήρῳ. 1936, 23.

ἤματι τῷ, ἀντὶ τοῦ, τῇ ἡμέρᾳ ταύτῃ, παρ' Ὁμήρῳ. 333, 46.

ἠμάτιαι νῆες ἄγειν τι ποθὲν παρ' Ὁμήρῳ λέγονται, ἀντὶ τοῦ καθ' ἑκάστην ἡμέραν ἢ δι' ἡμέρας. 736, 43.

ἠμάτιος ὁ ἡμερινός. 1110, 58.

ἤμβροτες καὶ ἤμβροτε πρόσωπα ῥηματικὰ ὅτι ἀπὸ τοῦ ἀβρόξω θέματος κεκίνηνται πλεονασμῷ τοῦ μ, ἢ ἐκ τοῦ ἥμαρτες καὶ ἥμαρτε γεγόνασι μεταθέσει καὶ τροπῇ καὶ πλεονασμῷ τοῦ β. 548, 13.

ἡμεδαπὸς ὅτι παρὰ τὸ ἔδαφος λέγεται. 1246, 22.

ἡμεῖς κοινὸν, ὅτι Δωρικῶς μὲν ἁμὲς λέγεται, Αἰολικῶς δὲ ἄμμες. 1112, 39.

ημεν λήγοντα πρῶτα πρόσωπα παθητικῶν ἀορίστων, ὅτι ἀποβολῇ τοῦ ημ ποιοῦσι τὰ τρίτα Αἰολικῶς, οἷον ἐτύφθημεν ἔτυφθεν. 85, 13.

ἧμεν ἀντὶ τοῦ ὑπήρχομεν, τὸ ι ἦτα. 878, 27.

ἦ μὲν παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἦ μὴν ὁρκωμοτικόν. 1678, 36.

ημεναι λήγοντα ἀπαρέμφατα ἐκ τῶν διὰ τοῦ αινω ἢ ημι ἀχρήστων θεμάτων ἀνωμάλως σχηματιζόμενα, οἷον πενθήμεναι καὶ

πεινήμεναι, ἐκ παραδείγματος. 1887, 3.

ημεναι λήγοντα ἀπαρέμφατα ἀορίστων παθητικῶν ἀπὸ τῶν διὰ τοῦ ηναι μετεσχηματισμένα. 69, 46. ἀλλαχοῦ δὲ ὅτι τὰ διὰ τοῦ ημεναι ἀπαρέμφατα ἀπὸ περισπωμένων θεμάτων κινοῦνται, οἷον φιλῶ φιλήμεναι, τὰ δὲ διὰ τοῦ εμεναι ἀπὸ βαρυτόνων, οἷον εὕρω εὑρέμεναι. 1407, 62.

ημενος λήγουσαι μετοχαὶ ἀπὸ τῶν διὰ τοῦ ουμενος Αἰολικῶς ἐσχηματισμέναι τροπῇ τῆς ου εις η οἷον ὀνέω ὀνῶ ὀνούμενος καὶ ὀνήμενος, διζῶ διζούμενος καὶ διζήμενος, αἰνῶ αἰνούμενος καὶ αἰνήμενος. 1432, 29.

ἡμέρα, ὅτι ὁ πεφωτισμένος ὑπὸ ἡλίου ἀὴρ ἡμέρα λέγεται. 825, 46. 1652, 3. ἀλλαχοῦ δὲ ὅτι ἡμέρα ἐστὶν οὐρανοῦ ἀποκατάστασις. 227, 1. καὶ ὅτι νυκτὸς θυγάτηρ ἡ ἡμέρα μυθεύεται. 1527, 55.

ἥμερα ὅτι ἐξ ἐπιθέτου οὐσιῶδες γέγονε τοὔνομα, ἡμέρα γὰρ ἠὼς ἐπιθετικῶς λέγεται. 427, 22. 979, 22.

ἡμέραι ἢ νύκτες παρεκταθεῖσαι μυθικῶς ὑπὸ θεῶν τινῶν, ἑρμηνεία διεξοδική. 1946, 56—1947, 10.

ἡμερίδες καλοῦνται αἱ καρποφόροι δρύες. 994, 42.

ἡμερὶς ἡ ἥμερος ἄμπελος πρὸς διαστολὴν τῆς ἀγριάδος, κατ' ἄλλους δὲ εἶδος λεπτοφλοίου δρυὸς ἡ ἡμερὶς, ἧς ὁ καρπὸς σταφυλὴ, ὅθεν καὶ ὁ ἰξὸς γίνεται. 1524, 17—32.

ἡμεροκαλλὲς, εἶδος ἄνθους, ἐτυμολογία ἐξ ἱστορίας φυσικῆς. 1049, 37.

ἡμερονυκτίου μέρη ὅτι ἀναλογοῦσι ταῖς τοῦ ἐνιαυτοῦ ὥραις. 832, 46.

ἥμερος ἐπίθετον ὅτι παρὰ τὴν ἡμέραν λέγεται. 40, 41.

ἡμερωρεῖν τὸ ἡμεροφυλακεῖν. 1535, 19.

ἡμετέρειος ὅτι ἐκ τοῦ ἡμέτερος παρήχθη κατὰ κτητικὸν τύπον. 233, 31.

ημην λήγοντα εὐκτικὰ, οἷον μέμνημαι μεμνήμην, κέκλημαι κεκλήμην. 1373, 64.

ημην λήγοντες παρατατικοὶ παθητικοὶ τῆς πρώτης τῶν περισπωμένων Αἰολικῶς ἐσχηματισμένοι, οἷον ἐκαλήμην ἀντὶ τοῦ ἐκαλούμην. 1432, 36.

ἤμην, παρατατικὸς παθητικοῦ τύπου, ὅτι ἀπὸ τοῦ ὦ περισπωμένου θέματος γίνεται παρατατικὸς οὖν, καὶ τροπῇ Αἰολικῇ τῆς ου εἰς η ἦν, καὶ ὁ παθητικὸς οὔμην, καὶ καθ' ὁμοίαν τροπὴν ἤμην. 1432, 35. ἀλλαχοῦ δὲ ὅτι διὰ τῆς ει διφθόγγου ὤφειλε γράφεσθαι, ὡς ἀπὸ τοῦ ἐμαὶ κατὰ πρόσληψιν τοῦ ι. 1641, 44. καὶ πάλιν ὅτι ἔμην ὤφειλε λέγεσθαι, τὰ γὰρ εἰς μι βραχυπαραληκτοῦσιν ἐν τοῖς παθητικοῖς, καὶ ὅτι τὸ δεύτερον τοῦ ἤμην ἦσο ὤφειλε λέγεσθαι. 1770, 26.

ημι λήγοντα δευτερόζυγα ῥήματα ἔχοντα ἐν τῇ προπαραληγούσῃ τὸ μ πρὸ δύο συμφώνων, οἷον πίμπρημι, πίμπλημι, ὅτι ἐκ μονοσυλλάβων γίνονται κατὰ διπλασιασμὸν καὶ πλεονασμὸν τοῦ μ. 58, 24.

ἠμὶ ἀντὶ τοῦ φημὶ, ὅτι τῷ ἦτα παραλήγεται. 1442, 46.

ἡμίεκτον τὸ ἥμισυ τοῦ ἑκτέως, ἑκτεὺς δὲ τὸ ἕκτον τοῦ μεδίμνου. 1854, 13.

ἡμίζαρον ὅτι ἐκ τοῦ ζεῖρα σύγκειται, ὅ ἐστι ζώνη ἢ χιτὼν ἢ χλαμύς. 837, 55.

ἡμίθεοι οἱ ἐκ θατέρου τῶν γονέων θεοῦ γεγονότες, ἑρμηνεία διεξοδική. 17, 22.

ἡμίκραιρα τὸ ἥμισυ τῆς κεφαλῆς, τὸ καὶ ἡμίκρανον. 710, 50. 1127, 35.

ἡμῖν κοινῶς, ἄμμι δὲ Αἰολικῶς, ἀμὶν δὲ Δωρικῶς, ἧμιν δὲ Ἰωνικῶς. 1112, 34. 35. 37.

ἧμιν προπερισπωμένως ἀντὶ τοῦ ἡμῖν Ἰωνικῶς καὶ Ἀττικῶς. 1112, 37. καὶ ὅτι ἀναπεμφθέντος τοῦ τόνου συνεστάλη ἡ λήγουσα. 1611, 3. 1670, 4. 1690, 13.

ἡμίνα τὸ ἥμισυ μέτρου τινὸς, ὃ καλεῖται ἶν. 1753, 7. ἀλλαχοῦ δὲ ὅτι ἡμίνα ταὐτὸ ὅπερ κοτύλη παρὰ Διοδώρῳ. 1282, 48.

ἡμίονος τὸ ζῷον ὅτι πεντήκοντα ἔτη ζῇ. 877, 16.

ἡμιπέλεκκον, μονόστομος πέλεκυς, ὅτι διπλάζει τὸ κ πρὸς μέτρου χρείαν. 1333, 22. ἀλλαχοῦ δὲ ὅτι ἡμιπέλεκκον ὁ μικρὸς πέλεκυς. 949, 57.

ἡμίσεων γενικὴ πληθυντικὴ ὅτι Ἀττικῶς μὲν προπαροξύνεται, κοινῶς δὲ ἢ Ἰωνικῶς παροξυτόνως λέγεται. 1966, 35.

ἡμιτελὴς δόμος ὁ ἐξ ἡμισείας τετελεσμένος, καὶ πῶς ὁ τοῦ Πρωτεσιλάου οἶκος ἡμιτελὴς λέγεται παρ' Ὁμήρῳ, ἑρμηνεία διεξοδική. 325, 12.

ἡμιωβολιαῖον τὸ ἡμίσεος ὀβολοῦ τιμώμενον. 1405, 27.

ἦμος ἀντὶ τοῦ ἡνίκα ὅτι ψιλοῦται. 154, 43.

ἦμοσδε καὶ τῆμοσδε χρονικὰ ὅτι τὸν δε ἢ ἀντὶ τοῦ δὴ ἔχουσιν ἢ παρέλκοντα. 1502, 19.

ἠμύειν τὸ κλίνεσθαι καὶ καταπίπτειν. 241, 5. παρὰ τὸ μύειν πλεονασμῷ τοῦ κατ' ἀρχὰς η. 473, 32. 1282, 27. καὶ ὅτι καὶ τὰ λήια ἠμύειν στάχυσι λέγονται παρ' Ὁμήρῳ. 193, 42.

ἤμυσεν ἀντὶ τοῦ ἔκλινεν, ἀπὸ τοῦ ἠμύω θέματος. 715, 5.

Ἡμωδὰ, ὄρος τι τῆς Ἰνδικῆς πληθυντικῶς λεγόμενον διὰ τὸ μέγεθος, ὡς καὶ ἄλλα πολλά. 1014, 27.

ἥμων ὁ ἀκοντιστὴς, ὅτι παρὰ τὸ ἵημι λέγεται. 759, 63. 1019, 39. 1641, 25.

ἡμῶν ἡμῖν ἡμᾶς πλάγια ὅτι ἐγκλίνονται ἤγουν βαρύνονται, οἷον ἧμων ἧμιν ἧμας. 1407, 40.

ην λήγοντα ὀνόματα μονογενῆ μὲν ὄντα διὰ τοῦ η κλίνονται, οἷον Γέρην Γέρηνος, μὴ μονογενῆ δὲ τῷ ε, οἷον ἄρσην ἄρσενος, τέρην τέρενος, ἐκ παραδειγμάτων. 1077, 30.

ην λήγουσαι αἰτιατικαὶ πρωτοκλίτων συνῃρημένων ὅτι εἰς εα διαλύονται Ἰωνικῶς, οἷον Ἀστυάγην Ἀστυάγεα. 1946, 28.

ην λήγοντα τρίτα πρόσωπα παρατατικῶν ἐκ τῶν διὰ τοῦ εεν συν-

αιρεθέντα Δωρικῶς, οἷον ἔπλην ἀντὶ τοῦ ἔπλεεν· ζήτει ἐν τῷ, ει λήγοντα τρίτα πρόσωπα παρατατικῶν. 1892, 39.

ην λήγοντες παρατατικοὶ ὁριστικοὶ ἐκ περισπωμένων θεμάτων Αἰολικῶς κεκινημένοι, οἷον φιλῶ ἐφίλην, νοῶ ἐνόην. 1408, 3.

ην λήγουσαι ῥηματικαὶ φωναὶ ὑπερμονοσύλλαβοι μὲν βαρύνονται, μονοσύλλαβοι δὲ περισπῶνται, οἷον βῆν ἀντὶ τοῦ ἔβην, στῆν ἀντὶ τοῦ ἔστην· καὶ ὅτι καὶ ἀπαρέμφατά τινα Δωρικὰ εἰς ην περισπώμενον λήγουσιν, οἷον φιλῆν, νοῆν, πρὸς ὁμοιότητα τοῦ ζῆν. 1647, 32.

ην λήγοντα εὐκτικὰ ἀπὸ ληγόντων εἰς μι μεταπεπλασμένα, οἷον πεφεύγοιμι πεφευγοίην. 58, 38. 666, 36.

ην περισπώμενον λήγοντα ἀπαρέμφατα δευτερόζυγα, οἷον πεινῆν, διψῆν, ἀντὶ τοῦ πεινᾶν καὶ διψᾶν. 1216, 37.

ἦν ἀντὶ τοῦ ὑπῆρχον, ὅτι περισπᾶται διὰ τὸ μονοσύλλαβον εἶναι, καὶ ὅτι ὡς μὲν πρῶτον πρόσωπον προσφυῶς ἔχει τὸ ν ὡς ἐκ τοῦ ἦον συγκοπέν, ὡς δὲ τρίτον οὐχ οὕτως· ἐκ τοῦ ἦε γὰρ ἢ ἔε συναιρεθὲν πόθεν ἂν σχοίη τὸ ν, πλὴν εἰ μὴ κατὰ Δωριεῖς εἴποι τις αὐτὸ ἐσχηματίσθαι· ζήτει ἐν τῷ, ην λήγοντα τρίτα πρόσωπα παρατατικῶν. 1892, 30 — 40.

ἦν ἀντὶ τοῦ ὑπῆρχον, ὅτι καὶ ἦ χωρὶς τοῦ ν λέγεται Ἀττικῶς, καὶ ἔα δὲ καὶ ηα καὶ ἔσκον καὶ ἔην καὶ ἔον, ἐπὶ πρώτου προσώπου πάντα. 883, 18. 1761, 53.

ἦν, παρατατικὸς ὑπαρκτικὸς, ὅτι ἀπὸ τοῦ ῶ περισπωμένου θέματος γίνεται οὖν, ὡς ἀπὸ τοῦ οἰκῶ ᾤκουν, καὶ τροπῇ Αἰολικῇ τῆς ου εἰς η γέγονεν ἦν. 1408, 3. 1432, 35. ζήτει τὸ ἦμην.

ἦν, πρῶτον πρόσωπον ᾧ ὁμοφωνεῖ καὶ τὸ τρίτον, ὅτι ἐκ τοῦ ἦον γέγονεν ἐξαιρέσει τοῦ ο· καὶ ἦν ἀντὶ τοῦ ἦσαν Δωρικῶς παρ' Ἡσιόδῳ (Theog. 321.) ἐν τῷ, τῆς δ' ἦν τρεῖς κεφαλαί. 1759, 31. 1892, 47.

ηναι λήγοντα ἀπαρέμφατα ἀπὸ θεμάτων διὰ τοῦ αινω, οἷον κυδαίνω κυδῆναι, κερδαίνω κερδῆναι, ἃ καὶ κυδᾶναι καὶ κερδᾶναι λέγονται. 36, 37. καὶ ὅτι τοῖς τοιούτοις συνεξηκολούθησε καὶ τὸ φορῆναι καὶ ὀνομῆναι, ὡς ἀπὸ τοῦ φοραίνω καὶ ὀνομαίνω. 1843, 1.

ηναι λήγοντα ἀπαρέμφατα παθητικῶν ἀορίστων εἰς ημεναι μετασχηματιζόμενα, οἷον ποιηθήμεναι ἐκ τοῦ ποιηθῆναι. 69, 45.

ἠνάλωτο ὅτι ἐκ τοῦ ἀνήλωτο γέγονε κατὰ χρόνου συλλαβικοῦ μεταβολήν. 193, 15.

ἠναντιοῦτο ὅτι ἐκ τοῦ ἐνηντιοῦτο γέγονε κατὰ χρόνου συλλαβικοῦ μεταβολήν. 193, 16.

ἤνεγκον, ἐνεγκεῖν καὶ ἐνεγκὼν καὶ ἔνεγκε προστακτικὸν ὅτι χρόνου εἰσὶν ἀορίστου δευτέρου. 983, 43. καὶ ὅτι χρῆσις τοῦ ἤνεγκον ἐν τῷ, τὸ ῥόδινον ἤνεγκον μύρον, Ἀριστοφ. Λυσιστρ. 1435, 64.

ἠνείκαντο ἀντὶ τοῦ ἠνέγκαντο, ὅ ἐστιν ἔφερον. 740, 32.

ἠνεμόεσσα Ἴλιος πολλαχοῦ παρ' Ὁμήρῳ λέγεται διὰ τὸ ἐφ' ὑψηλοῦ κεῖσθαι ποτέ. 418, 9.

ἠνέῳγα ὅτι μέσος ἐστὶ παρακείμενος τοῦ ἀνοίγω, καὶ ὅτι κατὰ διπλῆν αὔξησιν λέγεται. 1325, 34. 1808, 26.

ἦνθεν ἀντὶ τοῦ ἦλθεν τροπῇ Δωρικῇ τοῦ λ εἰς ν. 1648, 4.

ἡνία οἱ ῥυτῆρες, ὅτι παρὰ τὸ ἑνοῦν εἴτουν συνδέειν τοὺς ἵππους λέγονται. 1071, 35. 1189, 57. καὶ ὅτι ἡνία παρ' Ὁμήρῳ οὐχ οἱ ἁπλῶς ἑνωτικοὶ ἵππων δεσμοὶ, ἀλλὰ κυρίως οἱ χαλινοί. 1120, 37.

ἡνιοχεύειν τὸ τὰ ἡνία κρατεῖν, ὅτι ἐκ τοῦ ἡνιοχέω λέγεται ἐπενθέσει τοῦ υ. 834, 9. καὶ ὅτι συνήθως μὲν αἰτιατικῇ συντάσσεται, ἐνίοτε δὲ γενικῇ, οἷον ἐν τῷ, τῆς ἐμῆς ψυχῆς ἡνιοχεύεις. 1321, 45. 48.

ἡνίοχοι, τάγμα Ἀθήνησι εἰς τὸ ἁρματοτροφεῖν κατειλεγμένον ἐκ τῶν εὐπορωτάτων. 576, 42.

ἡνίοχος ὅτι διαφέρει παραιβάτου. 833, 47. καὶ ὅτι καὶ ὁ παραιβάτης ἡνίοχος λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ. 557, 21. 622, 27. 704, 13.

ἠνίπαπεν, ἤγουν ἐπέπληξεν, τρίτον πρόσωπον τοῦ ἤνιπα μέσου παρακειμένου ἀπὸ τοῦ ἐνίπτω θέματος, ὅτι κατὰ πλεονασμὸν οὕτω λέγεται. 432, 35. 1881, 21.

ἦνις βοῦς ἡ ἐνιαυσιαία, παρὰ τὸν ἔνον ἤγουν ἐνιαυτὸν, ὅθεν καὶ τῷ η γράφεται κατὰ τροπὴν, καὶ ὅτι ἐκτείνει τὴν λήγουσαν. 805, 58. 1473, 46. καὶ ὅτι καὶ ἤνις ἐπὶ αἰτιατικῆς πληθυντικῆς ἐκ τοῦ ἤνιας κατὰ κρᾶσιν λέγεται ἐν τῷ, δυοκαίδεκα βοῦς ἐνὶ νηῷ ἤνις ἠκέστας ἱερευσέμεν, Ἰλ. ζ, 94. 275. 309. 627, 14.

ἦνον ἀντὶ τοῦ ἤνυον, ὅ ἐστιν ἐτελείουν, ἀπὸ τοῦ ἄνω θέματος, ὅθεν τὸ ἀνύω, ἐν τῷ, ἦνον ὁδὸν, παρ' Ὁμήρῳ. 1153, 51. 1434, 20. 1478, 3. 5.

ἠνορέη ἡ τοῦ ἀνδρὸς ἰσχὺς, καὶ ἁπλῶς ἡ ἀνδρία, παρὰ τὸ ἠνόρεος κατὰ κτητικὸν τύπον. 826, 57. καὶ ὅτι ἠνορέη ἐρατεινὴ ἐπιθετικῶς λέγεται παρ' Ὁμήρῳ πρὸς διαστολὴν τῆς μὴ τοιαύτης. 631, 56.

ἤνοχα, μέσος παρακείμενος, ὅθεν τὸ ἐνήνοχα, ὅτι ἀπὸ τοῦ ἐνέχω θέματος κεκίνηται. 983, 39. ζήτει τὸ ἐνήνοχα.

ἤνοψ χαλκὸς ὁ ἔμφωνος, οἱονεὶ ἔνοψ διὰ τὸ τοῦ μετάλλου ἠχητικὸν, ἢ ὁ διαυγὴς καὶ δι' οὗ ἔστιν ἐνοπτρίζεσθαι 918, 20. 1067, 58. 1146, 41. 1662, 3. καὶ Ἦνοψ, κύριον παρ' Ὁμήρῳ ὁμωνύμως τῷ ἐπιθέτῳ. 997, 1. 1067, 29.

ηνται πρόσωπα παρακειμένων ὅτι διὰ τοῦ εασαι διαλελυμένως λέγονται Ἰωνικῶς. 1885, 52.

ηνωρ ληγόντων ὀνομάτων ἀναλογία, οἷον Ἀντήνωρ, Ῥηξήνωρ, Ἐλπήνωρ, Ἀγήνωρ. 826, 56. 1673, 46.

ηξ λήγοντα ὀνόματα ἀπὸ παθητικοῦ παρακειμένου συγκείμενα ὀξύνονται, οἷον βουπλὴξ, ὀρθοπλὴξ, πλὴν τοῦ ὕσπληξ. 629, 52.

ἦξε συνήθως μὲν ἀντὶ τοῦ ἤγαγεν· ἐν δὲ τῷ, πᾶσι κατ' αὐχένας ἦξεν, Ὀδ. τ', 539. ἀντὶ τοῦ ἔαξε τίθεται. 1876, 53.

ηο συλλαβαὶ ἀρκτικαὶ, ὅτι οὐδέπο-

τε εὕρηται ἐν παρῳχημένῳ τὸ η̄ μόνον πρὸ τοῦ ō. 1657, 34.

ἠοία τὸ ἀπὸ πρωίας ἕως ἕκτης ὥρας μέρος τῆς ἡμέρας, ὅτι ἀπὸ τῆς ἠόος γενικῆς παρῆκται, καὶ ὅτι ἐπιθετικῶς ἀκούεται κατ' ἔλλειψιν ἐν τῷ, πᾶσαν δ' ἠοίην, Ὀδ. δ', 447. 1319, 20. 1504, 44.

ἠοῖος ἀντὶ τοῦ ἑῷος, ὅ ἐστι πρωινὸς ἢ ἀνατολικὸς, ὅτι ἀπὸ τῆς ἠόος γενικῆς λέγεται Ἰωνικῶς. 727, 52. 58. 1142, 54. 1504, 44. 1558, 28.

ἤομεν παρατατικὸς, ἀπὸ τοῦ εἴω ἤιον, τὸ πληθυντικὸν ἤιομεν καὶ συναιρέσει ἤομεν μετὰ προσγραφῆς τοῦ ῑ. 370, 29. 933, 40. 1657, 33. 1670, 2.

ἦον ἦες ἦε, ὅτι προϋπόκεινται τοῦ ἦν ἦς παρατατικοῦ. 883, 19. 1759, 29.

—ηορος λήγοντα ὀνόματα παρὰ τὸ ἀείρω, ὃ πῇ μὲν τὸ συζευγνύω δηλοῖ, ὅθεν παρήορος καὶ συνήορος, πῇ δὲ τὸ κουφίζω καὶ ἐπαίρω, ὅθεν μετήορος ἀντὶ τοῦ μετέωρος· τὸ δὲ ἀπήωρος, ὅ ἐστιν ἀποκρεμὴς, οὐ παρὰ τὸ ἀείρω, ἀλλὰ παρὰ τὸ αἰωρῶ γίνεται, διὸ καὶ τῷ ω μεγάλῳ γράφεται. 1587, 18.

—ηος ληγόντων ὀξυτόνων ὀνομάτων ἀναλογία, οἷον πηὸς, νηὸς, αἰζηός. 218, 2.

—ῃος προπερισπώμενον λήγουσαι γενικαὶ πρωτοκλίτων συνῃρημένων ἀπὸ τῶν διὰ τοῦ εος ἐκτάσει τοῦ ε̄ εἰς η̄ γενόμεναι, οἷον δυσαὴς δυσαέος καὶ δυσαῆος. 1735, 31.

Ἠοῦς ἵπποι Λάμπος καὶ Φαέθων ἐν ξυνωρίδι, ἄλλοι δὲ ἐπὶ τοῦ Πηγάσου κελητίζειν τὴν Ἠῶ πλάττουσι. 826, 26. 1947, 20.

ἧπαρ ὅτι τοῦ ἐπιθυμητικοῦ ἐστὶν ἕδρα, ὅθεν καὶ ὁ φαύλως ἐπιθυμήσας Τιτυὸς τὸ ἧπαρ κολάζεσθαι μεμύθευται. 1700, 8.

ἤπαφον, δεύτερος ἀόριστος ἀπὸ τοῦ ἀπάφω θέματος. 757, 4.

ἠπεδανὸς ὅτι παρὰ τὸ πέδον λέγεται πλεονασμῷ τοῦ η̄. 702, 10.

ἤπειρος ὅτι ἐπίθετον τῆς γῆς ἐστὶ, καὶ ὅτι καὶ κατὰ μόνας ἤπειρος ἡ ὅλη γῆ λέγεται. 427, 29.

Ἤπειρος ἡ ἀντικρὺ Κεφαλληνίας καὶ Ἰθάκης περαία γῆ παρ' Ὁμήρῳ, ὁμωνύμως τῇ ὅλῃ. 306, 45. 307, 44. 1926, 11. ἀλλαχοῦ δὲ ὅτι Ἤπειρος χώρα τις ἰδίως οὕτω καλουμένη, ἧς ἦρξε ποτὲ Πύῤῥος, ὃς καὶ Ἠπειρώτης ἐπεκλήθη. 1838, 61.

ἤπερ σύνδεσμος ἐκ τοῦ ἢ διαζευκτικοῦ καὶ τοῦ περ μορίου. 62, 26.

ἠπεροπευτὴς ὁ δι' ἡμέρου ὀπὸς ἀπατῶν, οἱονεὶ ἡμεροπευτής. 379, 46.

ἠπήσασθαι, ὅτι παντελῶς βάρβαρός ἐστιν ἡ λέξις. 1647, 59.

ἠπητήριον τὸ τῆς ἠπήσεως ὄργανον. 1647, 60.

ἠπίαλος ὁ ῥιγοπύρετος, καὶ δαίμων τις τοῖς κοιμωμένοις ἐπερχόμενος κατά τι πάθος, ὃ καὶ ἐφιάλτης λέγεται. 561, 17. 1687, 52. καὶ ὅτι ἐκ τοῦ ἤπιος κατ' ἀντίφρασιν λέγεται. 640, 21.

ἠπιόδωρος μήτηρ ἡ ἤπια δωρουμένη τοῖς τέκνοις. 640, 13.

ἠπιόλης ταὐτὸ ὅπερ ἠπίαλος. 1687, 52. ζήτει ἐν τῷ ἠπίαλος.

ἤπιος ὁ προσηνὴς, ὅτι παρὰ τὸ ἧδω λέγεται κατά τινας, ἣ καὶ δασύνοιτ' ἂν ἡ λέξις, ψιλοῦται δ' ὅμως, ὡς δῆλον ἔκ τε τῆς συνθέσεως καὶ τῆς κατὰ συναλιφὴν παραθέσεως πρὸς ἑτέρας λέξεις. 566, 40. 859, 55. καὶ ὅτι ἰατρικοῖς ὀνόμασιν οἰκείως ἔχει ἐπιτίθεσθαί τε καὶ συντίθεσθαι ἡ λέξις. 640, 17.

ἠπύειν, ὅτι μόνα τὰ λογικὰ ἠπύειν ἤγουν φωνεῖν λέγονται. 686, 22. 1648, 30.

Ἠπύτης κύριον, ζήτει ἐν τῷ Περίφας. 110, 6.

Ἤπυτον, ὄρος Θρᾴκης παρὰ τὸ ἀπ' αὐτοῦ τὸν Πρωτέα ἠπύειν οὕτω κληθὲν, ἱστορία. 686, 24.

Ἤπυτος, ὄνομα κήρυκος, παρὰ τὸ ἠπύειν, ὅ ἐστι φωνεῖν. 1108, 36.

—ηρ λήγοντα ὀξύτονα ποιητικὰ, οἷον ἁρπακτὴρ, φυλακτὴρ, ῥητὴρ, θηρητήρ. 1349, 26.

ἦρ τὸ ἔαρ, ὅτι κατὰ συναίρεσιν λέγεται, καὶ ὅτι καὶ ἦρος ἦρι συνῃρημένως κλίνεται, ὅθεν Ἠὼς ἠριγένεια ἐπιθετικῶς λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ. 141, 9—13. 573, 28. καὶ ἦρ ὁ ὄρθρος ἧς ἡμέρας ἀναλόγως τῷ τοῦ ἐνιαυτοῦ, παρὰ τὸ αἴρω, τότε γὰρ αἰρόμεθα, ἑρμηνεία διεξοδική. 826, 14. 1430, 4. 1947, 26.

ἦρ ἡ ἐπικουρία ὀξυτόνως, ὅθεν ἦρα φέρειν πολλαχοῦ παρ' Ὁμήρῳ. 152, 31.

ἦρα φέρειν, ἤγουν χάριν ἢ ἐπικουρίαν, ὅθεν ἐπίηρα ἐν συνθέσει, καὶ περὶ τῆς προσῳδίας τῆς φωνῆς, ζήτει ἐν τῷ ἐπίηρα. 152, 32.

ἦρα φέρειν, ἀντὶ τοῦ χαρίζεσθαι, ὅτι ἐκ τοῦ ἐρῶ, ὅ ἐστιν ἐπιθυμῶ, γίνεται ἤρανα κατ' ἔκτασιν καὶ συγκοπῇ ἦρα, ὅθεν καὶ ἐπίηρα ἐν συνθέσει. 561, 44. 1461, 56. ἀλλαχοῦ δὲ ὅτι ἦρα φέρειν ἐπὶ τινὶ, ἀντὶ τοῦ χάριν ἔχειν καὶ κεχαρισμένως προσφέρεσθαι ἐν τῷ, ἐφ' ἡμῖν ἦρα φέρουσιν, Ὀδ. π', 375. 1805, 21. καὶ ὅτι καὶ οἱ ῥαθυμοῦντες ἦρα φέρειν θυμῷ λέγονται, ὅ ἐστιν ἑαυτοῖς χαρίζεσθαι. 972, 11.

Ἥρα ὁ ἀὴρ κατὰ ἀναγραμματισμόν. 45, 45.

Ἥρα ὅτι εἰς ἀέρα καὶ εἰς βασιλείαν ἀνάγεται ἀλληγορικῶς. 40, 31. 81, 37.

Ἥρα ὅτι δότειρα εἴδους καὶ πινυτότητος ταῖς γυναιξὶν εἶναι μυθεύεται, καὶ ὅτι καὶ γάμοις ἐπιστατεῖ. 1882, 42.

Ἥρα ὑπὸ Ὠκεανοῦ καὶ Τηθύος τραφεῖσα, ἀλληγορία διεξοδική. 978, 42.

Ἥρα ὑφ' Ἡρακλέους κατατοξευθεῖσα, ἀλληγορία διεξοδική. 561, 19. 31. 563, 4.

Ἥραια κατὰ γένος οὐδέτερον ἡ τῇ Ἥρᾳ τελουμένη ἑορτὴ ὅτι προπαροξύνεται. 444, 18. 1562, 61.

Ἡραία ζωὴ ἡ βασιλικὴ διὰ τὸ τὴν Ἥραν εἰς βασιλείαν ἀνάγεσθαι. 81, 38.

Ἡραῖον ὁ τῆς Ἥρας ναὸς, Ἥραιος δὲ ὄνομα κύριον. 1562, 60.

Ἥραιος κύριον, Ἡραῖον δὲ Ἥρας ναός. 1562, 60.

Ἡράκλεια πόλις, Λακεδαιμονίων κτίσμα, ἡ καὶ Τραχίν ποτε κληθεῖσα. 320, 21. καὶ ὅτι ὀκτωκαίδεκα Ἡράκλειαι ἱστοροῦνται, ὧν μία Λυδίας ἡ καὶ Μαγνησία, ὅθεν

μάγνης λίθος ὁ καὶ Ἡρακλεωτικός. 338, 26.
Ἡράκλεια λουτρὰ τὰ θερμὰ ἐκ φύσεως, οὐ μὴν τὰ βεβαλανευμένα τεχνικῶς, ἑρμηνεία διεξοδική. 1279, 3. 1594, 17.
Ἡρακλείδης ὁ Ἡρακλῆς παρά τισι. 989, 47.
Ἡράκλειον δέπας, τὸ καὶ Ἡλίου. 1632, 23. ζήτει τὸ, Ἡλίου δέπας.
Ἡράκλειος δεσμὸς ἐλέγετο ὁ ἐπὶ τὰ ὦτα ἐπικείμενος τοῖς Ἡρακλεωτικοῖς καλουμένοις σκύφοις· ζήτει ἐν τῷ, Ἡρακλεωτικοὶ σκύφοι. 1775, 31.
Ἡράκλειτος, μύθων ἀλληγορητὴς, οὐχὶ ὁ σκοτεινὸς, ἀλλ' ἕτερός τις. 1504, 55.
Ἡρακλέους ἱερὸν ἐν τῷ Κανωβικῷ στόματι, ἱστορία. 1494, 1.
Ἡρακλέους κοῖται, ὅτι οὕτως ἐλέγοντο αἱ μαλακαὶ στρωμναί. 1278, 6.
Ἡρακλέους μιαιφονία, ὅτι Ἡρακλῆς ἀπέκτεινέ τινα ἀχθεσθεὶς τῷ ἐκείνου γέλωτι. 1365, 38. καὶ ὅτι καὶ Λῖνον τὸν διδάσκαλον ἀνεῖλε, καὶ Ἀρχίαν ἢ Χαιρίαν τινὰ παῖδα, καὶ Κάλχαντα τὸν μάντιν, καὶ Κύανθόν τινα οἰνοχοοῦντα αὐτῷ, ἱστορίαι· ζήτει ἐν τοῖς κατὰ μέρος. 1900, 23.
Ἡρακλεωτικοὶ σκύφοι οἱ Βοιώτιοι, ἀπὸ Ἡρακλέους τοῦ πρώτου χρησαμένου· ζήτει ἐν τῷ, Ἡράκλειος δεσμός. 1775, 30.
Ἡρακλεωτικὸς λίθος, ὁ καὶ μάγνης, ἐξ Ἡρακλείας τῆς Λυδιακῆς, τῆς καὶ Μαγνησίας. 338, 26.
Ἡρακλῆς, ἐτυμολογία ἐξ ἱστορίας καὶ πνεῦμα τῆς λέξεως, καὶ ὅτι ὁ Ἡρακλῆς Ἀλκαῖος πρότερον ἐκαλεῖτο. 561, 38. 989, 42. καὶ ὅτι ὁ Ἡρακλῆς καὶ Ἡρακλείδης λέγεται κατά τινας. 1593, 14.
Ἡρακλῆς, ὅτι τρεῖς Ἡρακλέες ἱστοροῦνται γεγονέναι, καὶ παροιμία, ἄλλος οὗτος Ἡρακλῆς. 589, 40. καὶ ἔκθεσις ἱστοριῶν τινῶν περὶ Ἡρακλέους, καὶ παροιμία, οὐδὲ Ἡρακλῆς πρὸς δύο. 882, 34. ἀλλαχοῦ δὲ ὅτι διάφοροι Ἡρακλέες γεγονέναι ἱστοροῦνται, ὧν ὁ Διὸς καὶ Ἀστερίας ἀναιρεθεὶς ὑπὸ Τυφῶνος καὶ προσενεχθέντος αὐτῷ ὄρτυγος ἀνεβίω, ἱστορία. 1702, 50.
Ἡρακλῆς διαδεξάμενος τὸ τοῦ Ἄτλαντος οὐράνιον ἄχθος, ἀλληγορία ἱστορική. 1390, 23.
Ἡρακλῆς ὅτι ὑπὸ γαλῆς ἐνομίσθη τραφῆναι. 1175, 43. καὶ ὅτι ὁ Ἡρακλῆς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά. 867, 64.
Ἡρακλήειος καὶ Ἡρακληείη πεντασυλλάβως, ἐν ἴσῳ τῷ Ἡράκλειος καὶ Ἡρακλείη. 316, 19.
ἠράμην μέσου ἀορίστου πρώτου, ἠρόμην δὲ μέσου ἀορίστου δευτέρου. 740, 33. καὶ ὅτι ἀμφότερά εἰσιν ἐν χρήσει. 999, 58.
ἤραρεν, ἤγουν ἥρμοσεν, ὅτι ἀναλογώτερόν ἐστι τοῦ ἄραρε. 451, 7. 13. καὶ ὅτι ἐκ τοῦ, ἤραρε θυμὸν ἐδωδῇ, Ὀδ. ε', 95. ἡ τοῦ θυμήρης ἐμφαίνεται σύνθεσις. 1525, 48.
Ἥρας καὶ Διὸς λαθραία μῖξις πρὸ τοῦ νομίμου γάμου, ἀλληγορία διεξοδική. 986, 62.
Ἥρας καὶ Ἀρτέμιδος μάχη παρ' Ὁμήρῳ, ἀλληγορία διεξοδική. 1197, 4.
Ἥρας μειδίαμα, ἡ τοῦ ἀέρος γαλήνη ἀλληγορικῶς. 159, 13.
Ἥρας δεσμὸς μυθευόμενος Ἰλ. ο', 19. ὅτι τὴν ἄλυτον δηλοῖ τῶν στοιχείων συνάφειαν. 1003, 8.
ἠρασάμην, πρῶτον πρόσωπον ῥηματικὸν, καὶ ἠράσατο τρίτον ἀντὶ τοῦ ἠράσθην καὶ ἠράσθη παρ' Ὁμήρῳ. 989, 6. 1053, 54. 1205, 62.
ἠράσθην ὅτι ἀπὸ τοῦ ἐράζω θέματος κεκίνηται. 1599, 5.
ἠρεμῶ ὅτι καὶ ἠρεμίζω λέγεται. 1416, 39.
—ηρης λήγοντα ὀνόματα ἀπὸ τοῦ ἐρέσσω γενόμενα τροπῇ τοῦ ε εἰς η, οἷον διήρης, εὐήρης. 1509, 14.
ἠρήσαντο, ἤγουν ηὔξαντο, ἀπὸ τοῦ ἀράομαι ἀρῶμαι. 1423, 59.
ἦρι, δοτικῆς πτώσεως ἀντὶ τοῦ ἔαρι καὶ ἀντὶ τοῦ ὄρθρῳ, ὅτι προπερισπᾶται διὰ τὸ ἐκ κράσεως παθεῖν τὴν δισυλλαβίαν. 1146, 51. καὶ ἦρι μάλα, ἤγουν ὄρθρου βαθέος. 756, 10.
ἠριγένεια Ἠώς, οἱονεὶ ἠεριγένεια, ἤγουν ὑπὸ ἀέρος γεννωμένη, ἡ ἐν τῷ ἦρι, ὅ ἐστιν ὄρθρῳ, γεννωμένη, ἢ ἡ τὸν ὄρθρον γεννῶσα· μάλιστα δὲ παθητικὸς ὁ τύπος τῆς λέξεως, ὡς τοῦ Ἰφιγένεια καὶ Τριτογένεια. 141, 11. 696, 40. 1429, 62 — 1430, 4.
ἤρικον, δεύτερος ἀόριστος ἐκ τοῦ ἐρείκω θέματος, ὃ δηλοῖ τὸ σχίζω. 1107, 59.
Ἤριννα ποιήτρια, ἱστορία διεξοδικὴ περὶ αὐτῆς. 326, 46. καὶ ὅτι δυσὶ ν γράφεται τοὔνομα. 351, 41.
ἤριπε, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ ἐρείπω θέματος κεκίνηται. 938, 59.
ἠρμένος ἀντὶ τοῦ ἄρας παρά τινι τραγικῷ. 694, 27.
ἥρμοσε τεύχεα τῷ Ἕκτορι, φράσις Ὁμηρικὴ ἀντὶ τοῦ προσηρμόσθησαν παθητικῶς. 1099, 60.
Ἡρόδικος, Σηλυβριανὸς παιδοτρίβης, ὅτι διὰ πόνους ἀμέτρους ἐμπεσὼν φθόῃ ἐμελέτησε τὰ περὶ δίαιταν. 763, 16.
Ἡροδοτείων ῥητῶν τινῶν ἑρμηνεία. 42, 35. 155, 27. 166, 7. 233, 33.
Ἡρόδωρος, σαλπιγκτὴς Δημητρίου τοῦ Πολιορκητοῦ, δυσὶ σάλπιγξιν ὁμοῦ σημαίνων, ἱστορία διεξοδική. 1242, 37.
ἠρόμην καὶ ἠράμην, ὅτι ἀμφότερά εἰσιν ἐν χρήσει. 999, 58. ζήτει τὸ ἠράμην.
—ηρον λήγοντα ὀξύτονα ὀνόματα καὶ διὰ τοῦ ε λεγόμενα, οἷον ξηρὸν ξερὸν, παρ' Ὁμήρῳ. 1540, 10.
Ἡροφίλου ἰατροῦ εἰκὼν, ὅτι παρέκειτο αὐτῇ σὺν ἄλλοις γυμναστικοῖς ὀργάνοις καὶ σφαῖρα παικτική, ἱστορία. 1601, 39.
ἤρυγον, ἀόριστος δεύτερος ἀπὸ τοῦ ἐρεύγω θέματος. 1106, 55. 1214, 20.
Ἥρυλλος ὁ Ἡρακλῆς, ὑποκοριστικῶς. 989, 48.
ἥρῳ, κατὰ δοτικὴν, ὅτι ἐκ τοῦ ἥρωι ἀπεκόπη ἢ κατ' ἰσοσύλλαβον κλίσιν κεκίνηται. 691, 12. 1607, 17.
ἥρω αἰτιατικῆς πτώσεως, ὅτι ἐν τῷ, ἥρω Εὐρύπυλον, Ὀδ. λ', 520. οἱ μὲν ἥρωα νοοῦσι κατ' ἔκθλιψιν, οἱ δὲ ἥρω δισυλλάβως

ἐξ ἀποκοπῆς, οἱ δὲ κατὰ κλίσιν ἰσοσύλλαβον. 1697, 16.

ἡρῷα, ὅτι οὕτως ἐλέγοντο οἱ ἑξάμετροι στίχοι, ἔπη δὲ οἱ ἁπλῶς ἔμμετροι στίχοι. 1380, 63.

ἥρωες, παρὰ τοῖς ἀρχαίοις γένος τὸ μεταξὺ θεῶν καὶ ἀνθρώπων, ὅτι παρὰ τὸν ἔρωτα λέγονται, ἢ παρὰ τὴν ἔραν, ὅ ἐστι γῆν, ἢ παρὰ τὸν ἀέρα, ἑρμηνεία διεξοδικωτάτη. 17, 18 — 40. καὶ ὅτι ἥρωας πάντας τοὺς ἐπὶ Τροίαν Ἕλληνας Ὅμηρος καλεῖ συνεκδοχικῶς. 18, 10.

ἡρώησαν ὀπίσω, ἀντὶ τοῦ ἀνεχώρησαν καὶ ἀνεπόδισαν καὶ εἰς τοὐπίσω ὥρμησαν. 1309, 30.

ἥρως, ὅτι οὐ μόνον οἱ γένει καὶ δόξῃ προέχοντες ἥρωες εὕρηνται λεγόμενοι παρ' Ὁμήρῳ, ἀλλὰ καί τινες ὑποδεέστεροι. 1852, 39.

ἥρως κατὰ γενικὴν ἀπὸ τοῦ ἥρωος κατὰ ἀποκοπὴν ἐν τῷ, δόμος Ἀλκινόοιο ἥρως, Ὀδ. ζ, 303. 1607, 19.

ἡρώων μυθικῆς γενέσεως ἐκ θεοῦ ἢ θεᾶς ἀλληγορία διεξοδικὴ, καὶ σκοπὸς τῆς κατασκευῆς τοῦ τοιούτου μύθου. 18, 16. 22.

—ης λήγουσαι εὐθεῖαι ἰσοσυλλάβως κλινομένων ὀνομάτων, εἰς ᾱ βραχὺ μεταπλαττόμεναι, οἷον ἱππότης ἱππότα, καὶ τὰ ὅμοια, ὧν τινὰ καὶ προπαροξύνεται. 75, 19 — 37.

—ης λήγοντα περισπώμενα πρωτόκλιτα ἐκ τῶν διὰ τοῦ εας κεκραμένα, οἷον Ἑρμέας Ἑρμῆς, Ἀπελλέας Ἀπελλῆς, Θαλέας Θαλῆς, Ποδέας Ποδῆς. 182, 18. 840, 30. 1118, 62. 1538, 33. 1951, 13.

—ης λήγοντα κύρια ἰσοσυλλάβως κλινόμενα ὅτι διὰ τοῦ αδης σχηματίζουσι τὰ πατρωνυμικὰ, οἷον Ἱππότης Ἱππότου Ἱπποτάδης. 13, 41. 1644, 45.

—ης λήγοντα ἐπίθετα εἰς ου ποιοῦντα τὴν γενικὴν, κατὰ θηλυκῶν ὑποκειμένων λεγόμενα, οἷον πατροφόντου μητρὸς, παρ' Εὐριπίδῃ. 1428, 21.

—ης λήγοντα εἰς ου ποιοῦντα τὴν γενικὴν, ὅτι εἰς ις ἔχει τὸ θηλυκὸν, οἷον ὁ τοξότης ἡ τοξότις, ὁ δεσπότης ἡ δεσπότις. 1428, 17.

—ῃς μετὰ τοῦ ι προσγεγραμμένου λήγοντα θηλυκὰ ὀνόματα πατρωνυμικὰ, οἷον Νηρῇς ἀντὶ τοῦ Νηρηΐς. 840, 33.

—ης λήγοντα ὀξύτονα τῆς πρώτης τῶν συνῃρημένων, ἐκ ληγόντων εἰς ος βαρυτόνων τεταρτοκλίτων ἰσοσυλλάβων παρηγμένα, οἷον ἄτερπος ἀτερπὴς, δύσπονος δυσπονής. 1548, 7.

—ῃς μετὰ τοῦ ι προσγεγραμμένου λήγοντα ὀνόματα πεμπτόκλιτα περισπώμενα, ἀπὸ ληγόντων εἰς ηεις ὁμοιοκλίτων παρηγμένα ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, οἷον τιμήεις τιμῇς. 775, 45.

—ης λήγοντων ἀπὸ βραχείας ἀρχομένων προσῳδία καθόλου, οἷον λέβης λέβητος, Θαλῆς Θαλοῦ, ἑρμηνεία διεξοδική. 1017, 1 — 12.

—ης λήγοντα ἀρσενικὰ ἐκ ῥημάτων συγκείμενα, ἔχοντα ἐν τῷ τέλει μίαν συλλαβὴν τοῦ ῥήματος καὶ διὰ τοῦ τος κλινόμενα, ὅτι ὀξύνονται, οἷον προβλὴς, ἡμιθνὴς, ἀδμής. 629, 52. 1359, 5.

—ης λήγοντα ὑπερδισύλλαβα, ἐξ ὑπερμονοσυλλάβων ὀξυτόνων συγκείμενα, ὅτι καὶ αὐτὰ ὀξύνονται, οἷον σαφὴς ἀσαφὴς, ἀθλητὴς φιλαθλητής. 897, 38.

—ης λήγοντα ἐπίθετα συνῃρημένως κλινόμενα, σύνθετα ἀπὸ οὐδετέρων ταυτοκλίτων εἰς ος ληγόντων, ὅτι ὀξύνονται, οἷον γένος εὐγενὴς, θάλος εὐθαλής. 341, 2.

—ης λήγοντα ὀξύτονα διὰ τοῦ εος κλινόμενα, οἷς συστοιχοῦσιν ὀνόματα διὰ τοῦ υς ἀρσενικὰ, ὅτι οὐκ ἀπ' ἐκείνων γίνονται, ἀλλ' ἐξ οὐδετέρων οὐσιωδῶν εἰς ος, οἷον ἀηδὴς καὶ ἐμβριθὴς οὐ παρὰ τὸ ἡδὺς καὶ βριθὺς, ἀλλὰ παρὰ τὸ ἦδος καὶ βρῖθος. 1395, 57.

—ης λήγοντα συνῃρημένα, ἐξ ὀξυτόνων εἰς υς περιττοσυλλάβων συγκείμενα, ὅτι ὀξύνονται, οἷον βαρὺς ἀβαρὴς, ἡδὺς ἀηδής. 340, 23.

—ης λήγοντα σύνθετα, ἐξ οὐδετέρων εἰς ος ληγόντων, καὶ τῷ η δὲ παραληγόντων, ὅτι βαρύνεται, οἷον ἦθος κακοήθης. 920, 46.

—ης λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὅτι οὐ φιλοῦσιν ὀξύνεσθαι, πλὴν τοῦ Κουρῆς Κουρῆτος. 771, 36.

—ης λήγοντα βαρύτονα δισύλλαβα ἀπὸ βραχέος ἀρχόμενα περιττοσυλλάβως κλίνονται, οἷον λέβης λέβητος, Λάχης Λάχητος· ὅτε δὲ μὴ οὕτως ἡ κλίσις ἔχει, περισπῶνται τὰ τοιαῦτα ἰαμβικὰ, οἷον Θαλῆς, φαλῆς. 1017. 1.

—ης ληγόντων ἐπιθετικῶν ἀρσενικῶν συνθέτων ἐκ θηλυκῶν εἰς η ληγόντων, ὧν ἡ γενικὴ εἰς ους καὶ τὸ οὐδέτερον εἰς ες, προσῳδία καθόλου, οἷον τύχη εὐτυχής. 939, 9.

—ης λήγοντα δισύλλαβα ὀξύτονα, ἓν ἔχοντα σύμφωνον πρὸ τοῦ η, ὅτι εἰς ους ποιοῦσι τὴν γενικὴν, οἷον πρηνής, σαφής. 515, 8.

—ης λήγοντα ὀνόματα, διὰ τοῦ η κοινῶς γραφόμενα, ὅτι Βοιωτικῶς διὰ τῆς ει διφθόγγου γράφονται, οἷον λέβης, πένης. 1401, 34.

—ης λήγοντα ὀνόματα ὑπερδισύλλαβα, ἔχοντα τὴν προπαραλήγουσαν μακρὰν ἢ φύσει ἢ θέσει, ὅτι ἀσυντελῆ εἰσὶν εἰς μέτρον δακτυλικόν. 762, 3.

ἧς ἀντὶ τοῦ ἔφης, ὅτι διὰ τοῦ ἦτα γράφεται. 76, 28.

ἧς Δωρικῶς ἀντὶ τοῦ ἦν τρίτου προσώπου, ὅ ἐστιν ὑπῆρχε. 1892, 43.

ἧς γαίης, ἤγουν τῆς οἰκείας γῆς. 687, 52.

ἦσαν, τρίτον πρόσωπον πληθυντικὸν ὑπερσυντελίκου, ὅτι ἐκ τοῦ ἤισαν συνηρέθη. 933, 39.

ἥσατο ἀντὶ τοῦ ἥσθη παρὰ τοῖς ποιηταῖς. 1633, 30.

ἦσθα ὅτι καὶ ἦσθας λέγεται. 1773, 30.

ἧσθαι ἀντὶ τοῦ διατρίβειν, ἀργεῖν. 214, 36.

—ησι λήγοντα τρίτα πρόσωπα ῥημάτων βαρυτόνων τε καὶ περισπωμένων, ὅτι ὁριστικῶς μὲν λεγόμενα τῆς Ῥηγίνων εἰσὶ διαλέκτου, οἷον φίλησι ἀντὶ τοῦ φιλεῖ καὶ φέρησιν ἀντὶ τοῦ φέρει, ὑποτακτικῶς δὲ λεγόμενα τῆς τῶν Ἰώνων εἰσὶν, οἷον λάχησιν ἀντὶ τοῦ λάχῃ καὶ λάβησιν ἀντὶ τοῦ λάβῃ. 1576, 60 — 1577, 9.

ησιν λήγοντα τρίτα πρόσωπα ὑποτακτικῶν ὅτι τὸ ι ἔχουσι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, οἷον εἴπησι. 1006, 15.

ἦσιν ἀντὶ τοῦ ὑπάρχει κατὰ τὴν Ῥηγίνων διάλεκτον, οἷον ἐν τῷ, καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσσιν ἐμοῖσιν, Ἰλ. τ', 202. 1180, 2. 1577, 5. ζήτει ἐν τῷ, ησι λήγοντα τρίτα πρόσωπα.

ἠσὶν ἀντὶ τοῦ φησὶν Ἰωνικῶς. 1613, 28.

Ἡσιοδείου ῥητοῦ τινὸς ἑρμηνεία. 52, 6.

Ἡσίοδος ὅτι Κυμαῖος ἦν, ἱστορία. 357, 38.

Ἡσιόδου πίθος κακῶν γέμων, μῦθος. 1363, 22.

ἤσκειν ἀντὶ τοῦ ἤσκεε, τρίτον πρόσωπον παρατατικοῦ· ζήτει ἐν τῷ, τρίτα πρόσωπα ῥημάτων εἰς βραχὺ περαιούμενα. 427, 46. 1892, 34.

ἠσκημένος ἐχθρὸς ὅτι παρὰ τὸ ἀσκεῖν λέγεται. 1944, 33.

ησκω λήγοντα ῥήματα ἀπὸ μελλόντων διὰ τοῦ ησω γενόμενα, οἷον θνήσω θνήσκω. 1809, 18. καὶ ὅτι οὐ πέρα τοῦ παρατατικοῦ κλίνονται. 1473, 35.

ἧσο προστακτικὸν, ἤγουν καθῆσο, καὶ ἁπλῶς δίαγε ἢ μένε. 490, 33. 1840, 2.

ἡσσητέα ἀντὶ τοῦ ἡσσητέον Ἀττικῶς. 759, 39.

ησσος λήγοντα ὑπερδισύλλαβα, τῷ η παραλήγοντα, ὅτι ὀξύνεται, οἷον Λυρνησσὸς, Ταρτησσός. 890, 3.

ησσω λήγοντα ῥήματα ἀπὸ συγκοπέντων ῥημάτων γενόμενα, οἷον ἐγείρω ἔγρω ἐγρήσσω, πέλω πλῶ πλήσσω, πέτω πτῶ πτήσσω. 1882, 18.

ἥστην ἀντὶ τοῦ ἤτην, τρίτον πρόσωπον τῶν δυϊκῶν παρατατικοῦ χρόνου, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ. 100, 28. 515, 39.

ηστις λήγοντα θηλυκὰ προπερισπώμενα ὅτι τὰ μὲν ἐκ κλίσεως ἔχει τὸ σ, οἷον λέλησται λῆστις, τὰ δὲ ἐκ πλεονασμοῦ, οἷον μέμνηται μνῆστις. 1741, 44. *implicite.*

ἡσυχαίτατα ἀντὶ τοῦ ἡσυχώτατα. 1441, 29.

ησω λήγοντες μέλλοντές τινες, ὧν οἱ σύστοιχοι ἐνεστῶτες βαρυτόνως προφέρονται, οἷον θέλω θελήσω, μέλω μελήσω, κέλω κελήσω. 1659, 29.

ησω λήγοντες μέλλοντες καὶ διὰ τοῦ εσω λεγόμενοι, οἷον καλέσω καὶ καλήσω, ὅθεν καὶ τὰ παρ' αὐτῶν ὀνόματα τὰ μὲν τὸ ε, τὰ δὲ τὸ η ἔχει. 106, 41.

ἥσω, ἤγουν πέμψω καὶ ἀκοντίσω. 1019, 39. 1116, 45. καὶ ἥσω ἀντὶ τοῦ ὑφήσω καὶ ἀντὶ τοῦ ὑποθήσω καὶ ὑποβαλῶ. 982, 62.

ἑταιρηκῶς, φωνὴ μετοχικὴ ὑπάρχουσα εἰς ἀρσενικὸν τῷ ἑταίρᾳ θηλυκῷ ἐπὶ πόρνης λαμβανομένῳ. 84, 32.

ἦτε ἀντὶ τοῦ ἢ κατὰ παρολκὴν τοῦ τε. 1176, 61.

ητης λήγοντα ὀνόματα ἀπὸ περισπωμένων ῥημάτων γενόμενα ὀξύνονται, οἷον ποιῶ ποιήσω ποιητὴς, ἠχῶ ἠχήσω ἠχητής. 1724, 35.

ητης λήγοντα, ὅτι τῶν διὰ τοῦ ητης τινὰ μὲν φύσει ἔχει τὸ παραλῆγον η, οἷον Μασσαλία Μασσαλιήτης, τινὰ δ' ἐκ πλεονασμοῦ, οἷον πολίτης πολιήτης. 348, 1.

ητης λήγοντα ὀνόματα ὀξύτονα ὅτι ἐνεργητικῆς εἰσὶν ἐννοίας, τὰ δὲ διὰ τοῦ ητος παθητικῆς. 873, 14.

ητης, καὶ ητις λήγοντα ὀνόματα ἐκ τοῦ μήδω ἢ μῆτις συγκείμενα, οἷον ἀγκυλομήτης καὶ πολύμητις· ζήτει ἐν τῷ, μητης λήγοντα. 1462, 18.

ἠτίμησεν ὅτι ἀπὸ τοῦ ἀτιμάω ἀτιμῶ κατάγεται παρ' Ὁμήρῳ. 1803, 31.

ἤτοι συμπλεκτικὸν καὶ ἑρμηνευτικὸν καὶ διαζευκτικόν. 50, 10. 14.

ἤτοι σύνδεσμος ὅτι ἰσοδυναμεῖ τῷ μὲν, ἢ καὶ ἐκ παραλλήλου κεῖνται ποτὲ, οἷον ἐν τῷ, ἤτοι μὲν τόδε καλὸν ἀκουέμεν. Ὀδ. ι', 3. 1404, 31.

ἤτοι ἔφης γε, ἤγουν καὶ μὴν ἔφης, Ἰλ. χ', 280. 1269, 58.

ἦτορ ἡ καρδία καὶ ἡ ψυχὴ πολλαχοῦ παρ' Ὁμήρῳ. 660, 27. 1071, 49. 1279, 54. ὅτι παρὰ τὸ ἄω λέγεται, ὃ δηλοῖ τὸ πνέω. 79, 46. 1161, 52. καὶ ὅτι ἄκλιτόν ἐστι τοὔνομα. 113, 31.

ἤτρια οἱ ἐν τοῖς ὕφεσι στήμονες. 1182, 16.

ἦτρον ὁ ἀπὸ τῆς ἥβης ἄχρι τοῦ ὀμφαλοῦ τόπος. 854, 19. καὶ ὅτι παρὰ τὸ ἄω, ὃ δηλοῖ τὸ πνέω, λέγεται. 1139, 8. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ἦτορ δοκεῖ γεγονέναι κατὰ μετάθεσιν πλεονασμῷ τοῦ ληκτικοῦ ν. 1161, 50.

ἧττον ἀντὶ τοῦ οὐδαμῶς παρὰ τοῖς Ἀττικοῖς. 1455, 6.

Ἥτυλος, ὁ καὶ Ἴτυλος, υἱὸς Ζήτου τοῦ Βορέου, οἱονεὶ Ἀήτυλος παρὰ τὸν ἀήτην, ὃ δηλοῖ τὸν ἄνεμον. 1875, 1.

ητω λήγοντα προστακτικὰ ἐκ τῶν διὰ ειτω Δωρικῶς λεγόμενα τροπῇ τοῦ ει εἰς η, οἷον φιλήτω ἀντὶ τοῦ φιλείτω. 1411, 22.

ἤτω ἀντὶ τοῦ ἔστω, ὅτι ἐκ τῆς ἐὼν μετοχῆς γίνεται προστακτικὸν ἔτω καὶ κράσει εἴτω καὶ τροπῇ Δωρικῇ ἤτω. 1411, 22. 1756, 4.

ητωρ λήγοντα ὀνόματα ἀπὸ ληγόντων εἰς ητης παρηγμένα, οἷον ἡγητὴς ἡγήτωρ, θηρητὴς θηρήτωρ. 1454, 48.

ἠϋγένειος λέων, ὅτι οὐ πρός τι φοβερόν τι δηλοῦν ἡ ἐπίθεσις, ἀλλ' ὡς ἴδιον λέοντος. 1505, 43. καὶ ὅτι τὸ λέων ἠϋγένειος περὶ λεαίνης λέγεται, κάλλιον γάρ φασι ταῖς θηλείαις τὸ γένειον. 1145, 21.

ἠΰκομος, εὔκομος κατὰ διάλυσιν καὶ ἔκτασιν τοῦ ε. 178, 9.

ηυς λήγοντα ὀνόματα θηλυκὰ ἀπὸ ληγόντων εἰς αυς ὁμογενῶν γενόμενα κατὰ διάλυσιν, οἷον γραῦς γρηῦς. 1409, 25.

ἠΰς ἠέος, ἐκ τοῦ ἐΰς ἐκτάσει τοῦ ε, τὸ δὲ ἐΰς παρὰ τὸ εὖ ἐπίρρημα, ἢ παρὰ τὸ ἥδω ἢ τὸ ἔω, ὃ ἐστιν ἀπολαύω. 121, 18. 399, 14. 1841, 18.

ἤϋσεν, ἤγουν ἐβόησεν, ἀπὸ τοῦ αὔω θέματος. 856, 58. 1139, 24.

ἠΰτε παραβολικὸν ἀπὸ τοῦ εἴτε τροπῇ καὶ διαλύσει. 117, 34. 178, 1. 10.

Ἡφαιστία, πόλις Λήμνου, ζήτει ἐν τῷ Λῆμνος. 157, 28.

Ἥφαιστος ὅτι εἰς πῦρ ἀλληγορεῖται, καὶ ὅτι παρὰ τὸ αἴθειν τὴν ἀφὴν λέγεται, καὶ διὰ τί χωλὸς γεγονέναι μυθεύεται, καὶ διὰ τί Ἥρας υἱὸς, καὶ ἄλλα τινὰ περὶ τοῦ μυθευομένου καὶ τοῦ ἀλληγορουμένου Ἡφαίστου, ἑρμηνεία διεξοδικωτάτη. 87,27. 151,24—152,25.

Ἥφαιστος, Διὸς καὶ Ἥρας υἱὸς παρθένιος, μῦθος καὶ ἀλληγορία· καὶ περὶ τῆς οὐρανόθεν αὐτοῦ πτώσεως, καὶ ὅτι χωλὸς ἐκ γενετῆς, καὶ πῶς ὑπὸ Θέτιδος σεσῶσθαι μυθεύεται. 156,23. 987,8. 1149,42. 1150,53.

Ἥφαιστος, Κηδαλίωνος τοῦ Ναξίου χαλκέως μαθητής. 987,8.

Ἥφαιστος διαλλάκτης τῆς Διὸς πρὸς Ἥραν μυθευομένης παρ' Ὁμήρῳ ἔριδος, ἀλληγορία διεξοδικωτάτη. 150,40.

Ἥφαιστος οἰνοχοῶν τοῖς θεοῖς παρ' Ὁμήρῳ, ἀλληγορία διεξοδική. 159,31. καὶ ὅτι οἰκοδόμος τῶν θείων οἴκων μυθεύεται. 162,7.

Ἥφαιστος πολύφρων καὶ πολύμητις λέγεται ἐπιθετικῶς διὰ τὰ διὰ πυρὸς τεχνικὰ μεθοδεύματα. 1241,51.

Ἥφαιστος ὅτι εἰς πῦρ ἀλληγορεῖται. 83,35. καὶ ὅτι ἀντὶ τοῦ πῦρ ἀκούεται μετωνυμικῶς. 1449,21.

Ἡφαίστου ἀγάλματα ὅτι παρὰ ταῖς καμίνοις ἱδρύοντο. 1827,55.

Ἡφαίστου θεράπαιναι χρυσαῖ καὶ ἐργαλεῖα φρονοῦντα ὡς ἔμψυχα παρ' Ὁμήρῳ. 1151,21.

Ἡφαίστου ἱερεῖς ὅτι τοὺς ὀφιοδήκτους ἐθεράπευον, ἱστορία. 330,12.

ἠχήεντα δώματα, ὅτι τοῖς μεγάλοις οἴκοις προσαρμόζει τὸ ἐπίθετον. 1483,20.

ἠχήεσσα θάλασσα, καθ' ἣν πολὺς ἦχος γίνεται. 71,18.

ἠχητὴς ὅτι ὀξύνεται ὡς ἀπὸ τοῦ ἠχῶ ἠχήσω γενόμενον. 1724,36.

ἤχθετο ἀντὶ τοῦ φόρτῳ ἐβαρύνετο ἐν τῷ, ἀλλ' ὅτε δὴ νηῦς κοίλη ἤχθετο, Ὀδ. ο', 457. 1788,44.

ἦχι ἀντὶ τοῦ ὅπου, ὅτι ἐκ τοῦ ἦ καὶ τῆς χι ἐπεκτάσεως σύγκειται, καὶ ὅτι μόνον τῶν ἀπὸ φωνήεντος ᾧ τὸ χ ἐπιφέρεται ἀρχομένων εἴρηται δασυνόμενον. 155,1. 211,32. 606,37. 1328,56. 1678,38. 1720,44.

ἤχλυσε πόντος, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀχλύος ἐνεπλήσθη. 1728,43.

ἠῶθεν, ἅμα ἡλίῳ ἀνιόντι, ὅτι ἐπεξηγητικῶς λέγεται παρ' Ὁμήρῳ. 1135,12.

ἠῶθι πρὸ, ἀντὶ τοῦ πρὸ ἠοῦς, ὅ ἐστι πρωίας. 829,63. 1546,49.

-ηων λήγουσαι Ἰωνικαὶ γενικαὶ πληθυντικαὶ ἀπὸ εὐθειῶν εἰς -ευς ληγουσῶν ὅτι καὶ διὰ διφθόγγου γράφονται, οἷον Φωκήων καὶ Φωκείων ἀντὶ τοῦ Φωκέων. 273,41. 1108,7.

Ἠιὼν, πόλις Θρᾳκικὴ περὶ τὸν Στρυμόνα ποταμόν. 362,24. ζήτει ἐν τῷ Ἠιόνες καὶ Ἠϊών.

ἠῷος ὅτι παρὰ τὸ ἠὼς λέγεται, ἑῷος δὲ παρὰ τὸ ἕως. 1142,54.

ἠὼς ἡ πρωία, καὶ τὸ ἐκ πρωίας μέχρι μέσης ἡμέρας, καὶ πάλιν τὸ ἐκ πρωίας ἕως ἑσπέρας, καὶ τὸ ὅλον νυχθήμερον, καὶ ἡ ἀνατολή· καὶ Ἠὼς ἡ σωματοειδὴς θεὰ, ἣ καὶ ἅρματι ἐποχεῖσθαι ἢ ἐπὶ τοῦ Πηγάσου κελητίζειν καὶ λαμπαδηφορεῖν πλάττεται. 140,42. 1430,9.

ἠὼς ὁ ὄρθρος ἐν τῷ, παννυχίη μὲν ῥ' ἥγε καὶ ἠῶ πεῖρε κέλευθα, Ὀδ. β', 434. 802,25. 1453,16.

ἠὼς τὰ ἀνατολικὰ μέρη ἐν τῷ, οὐ γάρ πω ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠὼς, Ὀδ. κ', 190. 1645,2.

Ἠὼς ἡ μυθικὴ θεὰ ὅτι Θείας θυγάτηρ εἶναι μυθεύεται. 1527,56.

ἠὼς ἡ ἡμέρα ὅτι Ἰωνικῶς λέγεται, ἕως δὲ Ἀττικῶς, ἀὼς δὲ Δωρικῶς, καὶ αὔως Αἰολικῶς. 691,21. 826,3. καὶ ὅτι τὸ μὲν ἠὼς ψιλοῦται, ἕως δὲ ἐπὶ τοῦ αὐτοῦ δασύνεται. 1020,20.

Ἠὼς ἡρπάξασά τινας δι' ἔρωτα, ὅτι τοὺς πρὸ ὥρας ἀποθνήσκοντας νέους ἅμ' ἡμέρᾳ ἔθαπτον οἱ προσήκοντες, διὸ ὑπὸ Ἠοῦς εἴπουν ἡμέρας ἁρπαγῆναι ἐμυθεύθησάν τινες οὕτως ἀποθανόντες. 1527,51.

Ἀρχὴ τοῦ Θ στοιχείου.

θ ἐκ τοῦ δ τραπὲν Αἰολικῶς, οἷον οὐδὲν οὐθὲν, δάσος θάσος. 1841,23.

θ τραπὲν ἐκ τοῦ δ κατὰ τὰς παραγωγὰς, οἷον ἐκ τοῦ μήδω Προμηθεύς· καὶ ὅτι συγγενῆ ἀλλήλοις εἰσὶ τὸ δ καὶ τὸ θ. 68,40. 117,15.

θ ἐκ τοῦ σ τραπὲν ἐν τῷ μηνιθμὸς καὶ ἄλλοις τισί. 375,20.

θ εἰς φ τραπὲν ἐν τῷ φλᾶν ἀντὶ τοῦ θλᾶν, καὶ φλίβω ἀντὶ τοῦ θλίβω. 101,46.

θ πλεονάζον κατ' ἀρχὰς τινῶν λέξεων ἀπὸ δασυτόνων παρηγμένων, οἷον ἐν τῷ θαμὰ, ὃ παρὰ τὸ ἅμα. 42,36.

θ πλεονάζον ἐν τισὶ λέξεσι πρὸς τραχυφωνίας ἔνδειξιν, οἷον ἐν τῷ τρίχα τριχθά. 424,17.

-θα συλλαβὴ κατ' ἐπέκτασιν προστιθεμένη τῷ τέλει τινῶν λέξεων, οἷον ἐν τῷ ἔφης ἔφησθα. 45,5.

θάασσεν ἀντὶ τοῦ ἐτέθειτο ἢ ἐκάθητο. 1008,47.

θάασσεν, ἤγουν ἐκάθητο, ἀπὸ τοῦ θαάσσω. 746,20.

-θαι λήγοντα ἀπαρέμφατα, τῇ -ορ συλλαβῇ παραλήγοντα, προπαροξύνονται ὡς Αἰολικὰ, κἂν χρόνου παρακειμένου ὦσιν, οἷον μέμορθαι, ἔφθορθαι, ἐγρήγορθαι. 790,7.

θαιρὸς, στρόφιγξ, ἄξων. 914,33.

Θαῒς ἑταίρα καταχρησαμένη τῷ Εὐριπιδείῳ ἐκείνῳ, Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος, κατά τινος Γρύσωνος καλουμένου, ἱστορία. 1634,21.

θακεῖν τὸ κάθησθαι. 746,20. 1008,47.

θᾶκος καὶ θῶκος ὁ θρόνος, ὅτι παρὰ τὸ θῶ λέγονται. 746,20. 1008,47.

θαλάμαι βαρυτόνως αἱ τῶν ζῴων καταδύσεις, θαλαμαὶ δὲ ὀξυτόνως ἱερόν τι Διοσκούρων οὕτω καλούμενον. 906,49. 1541,47.

θαλάμακες, οἱ καὶ θαλαμῖται, οἱ ὑπὸ τοὺς θρανίτας τεταγμένοι ἐρέται. 640,10.

θαλάμη, κατάδυσις τῶν πολυπόδων, βαρυτόνως ὡς παλάμη, τὸ

πληθυντικὸν θαλάμαι βαρυτόνως· θαλαμαὶ δὲ ὀξυτόνως ἱερὸν Διοσκούρων. 640, 9. 1541, 45.

Θαλάμη καὶ θάλαμος ὅτι παρὰ τὸ θάλπειν λέγονται. 1541, 20.

Θαλάμιοι, ζήτει ἐν τῷ θρανῖται. 1818, 52.

Θαλαμῖται, ἐρέται οἱ ὑπὸ τοὺς θρανίτας τεταγμένοι. 640, 10. ζήτει τὸ θαλάμακες.

Θάλαμος, μέρος τι τῆς οἰκίας οὕτω καλούμενον, τουτέστιν ὁ κοιτών. 764, 45. 840, 44. 1598, 34. ἀλλαχοῦ δὲ ὅτι θάλαμος ἡ γυναικωνῖτις, καὶ ἁπλῶς ὁ ἐνδοτάτω οἶκος, ὁ καὶ μυχὸς δόμου λεγόμενος παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ θάλπειν λέγεται. 640, 8. 1474, 6. 1549, 36. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ θάλλειν γίνεται θάλος, ὅθεν ὁ θάλαμος. 1094, 54. καὶ ὅτι θάλαμος ἰδίως ἡ γυναικωνῖτις λέγεται παρὰ τοῖς μεθ' Ὅμηρον, Ὅμηρος δὲ καὶ τὸν ἀνδρεῖον οἶκον οὕτω καλεῖ. 1427, 38. καὶ ὅτι καὶ τὸ ταμεῖον οὕτως εὕρηται λεγόμενον ἐνίοτε παρ' Ὁμήρῳ. 1448, 59. 1943, 53.

Θάλασσα γλυκεῖα, ὅτι γλυκεῖαν ἔλεγον τὴν παρ' αὐτοῖς θάλασσαν οἱ Σικελοὶ διὰ τὰ ἐξ αὐτῆς ποριζόμενα ἐδέσματα. 1506, 49.

Θάλασσα κοίλη, ὅτι οὕτως ἐλέγοντο τὰ ἐκ ξυλίνων ἰκρίων θέατρα, οἷς ἐχρῶντο πρὶν σκευασθῆναι τὰ λίθινα. 1472, 5.

Θάλασσα, ὅτι ἀντικείμενα ἐπίθετα κατηγορεῖται τῆς θαλάσσης παρ' Ὁμήρῳ, ἤγουν τὸ πολιὸν, ὅ ἐστι λευκὸν, καὶ τὸ μέλαν. 146, 26.

Θάλασσα κλύζει πάντα τἀνθρώπων κακὰ, παροιμία. 108, 30.

Θαλάσσης ἐπίθετα διάφορα ἀπὸ διαφόρων ἐπιφαινομένων τῷ ὕδατι χρωμάτων καὶ ὅτι οὐ πάντα τῇ ὅλῃ θαλάττῃ προσαρμόζουσιν, ἀλλὰ τὰ πλείω μέρεσί τισιν αὐτῆς. 116, 3. 10. 1462, 13.

Θαλάσσιαι δαίμονες ὅτι γραῖαι μυθεύονται, καὶ ὁ Νηρεὺς γέρων. 116, 25.

Θαλάσσιον ὕδωρ ὅτι μάτην ἐδόκει πεφυκέναι πρὸ τοῦ τὰς ναῦς εὑρεθῆναι. 441, 29.

Θαλασσοπορίας σημαντικὰ ῥήματα, οἷον τὸ πέμπειν καὶ τὸ στέλλειν. 119, 46.

Θαλάττιον ὕδωρ χρησιμεῖον εἰς ἄρδευσιν ἀμπέλων παρὰ Θρᾳξίν, ἱστορία. 1130, 43.

Θαλαττίων καὶ ἁπλῶς ἐνύγρων δαιμόνων παῖδες ποῖοι τινὲς ἄνθρωποι γεγονέναι μυθεύονται. 18, 40.

Θάλεα τὰ εἰς ἀπόλαυσιν ἀγαθὰ, ἢ τὰ τοῦ θάλλειν αἴτια ἀγαθά. 1283, 4. 45.

Θαλέθειν λέγονται τὰ λιπαρὰ ζῷα, ἐπεὶ εὐεξίας σημεῖον τὸ λῖπος. 1286, 12.

Θάλεια προπαροξυτόνως δαιτὸς ἐπίθετον, καὶ ὄνομα Μούσης τινὸς καὶ Νηρηΐδος· θαλία δὲ παροξυτόνως διὰ τοῦ ι ἡ εὐωχία, παρὰ τὸ θάλλειν. 742, 37. 1474, 55.

Θάλεια Νηρηΐς τις καλεῖται διὰ τὸ ὕδωρ ζῳογόνον εἶναι καὶ αἴτιον τοῦ θάλλειν τὰ φυτά. 1130, 39.

Θάλεια ἑορτὴ ἐπιθετικῶς, ὡς αἰτία τοῦ θάλλειν διὰ τὰς ἐκ τῶν γινομένων θυσιῶν ἀπολαύσεις. 1908, 58.

Θαλερὴ ἀλοιφὴ, εἴτουν πιμελὴ, ἡ ἐνδεικτικὴ τοῦ θάλλειν τὸ ζῷον, τὰ γὰρ ἀλιπῆ φθίνουσιν ἔοικε. 1606, 20.

Θαλερὴ φωνὴ, ὅτι κατά τι κατὰ τῆς φωνῆς λέγεταί ποτε τὸ θαλερὸν παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, θαλερὴ δέ οἱ ἔσχετο φωνὴ, Ὀδ. δ', 705. τ', 472. οὐ γὰρ ἁπλῶς τὴν φωνὴν ἀλλὰ τὸ θαλερὸν τῆς φωνῆς ἐκεῖ κατασχεθῆναι ἀκουστέον. 1514, 61. 1873, 24.

Θαλερὸν δάκρυον τὸ ἀκμαῖον ἢ ἔνικμον ὡς τὰ θάλλοντα τῶν φυτῶν, ἑρμηνεία διεξοδική. 216, 46.

Θαλερὸς αἰζηὸς ὅτι πρὸς διαστολὴν τοῦ ἤδη φθίνοντος εἴρηται. 804, 5.

Θαλερὸς γάμος ὁ τοῦ θάλλειν τοῖς ἀνθρώποις αἴτιος. 1883, 48.

Θαλερὸς γόος ὅτι καθ' ὁμοιότητα λέγεται τοῦ θαλερὸν δάκρυ, ὅ ἐστι τὸ ἄπαυστον καὶ ἀεὶ νεάζον. 1664, 39.

Θαλερὸς πόσις ὁ ἐκ παρθενίας καὶ ἁπλῶς νεότητος δοθεὶς τῇ γυναικί. 707, 47

Θαλῆς ὅτι ἐκ τοῦ Θαλέας κέκραται, διὸ καὶ περισπᾶται. 1951, 14. ἀλλαχοῦ δὲ ὅτι καὶ Θάλης λέγεται ἐπὶ τοῦ αὐτοῦ βαρυτόνως. 1017, 8.

Θαλία παροξυτόνως ἡ εὐωχία παρὰ τὸ θάλλειν, θάλεια δὲ προπαροξυτόνως δαιτὸς ἐπίθετον καὶ Μούσης ὄνομα καὶ Νηρηΐδος. 742, 36. 1474, 55. ζήτει τὸ θάλεια.

Θαλλὸς, πᾶν τὸ ἐκ γῆς θάλλον ἢ φυλλὰς ἢ κλάδος δένδρου· Ἀττικοὶ δὲ ἰδίως τὸν τῆς ἐλαίας θαλλὸν λέγουσιν, ἱστορία· καὶ Θαλλὸς, ὄνομα καπήλου τινὸς, ὃν φαγοῦσα ἑταίρα τις αἲξ ἐπεκλήθη. 1818, 14. 19.

Θαλλὸς ὀξυτόνως ἐν δυσὶ λ ὁ κλάδος, θάλος δὲ τὸ φυτόν· καὶ ὅτι θάλλος μὲν ἁπλῶς λέγεται, θαλλὸς δὲ μετὰ προσθήκης τοῦ τίνος ὁ θαλλός. 1557, 23.

Θαλλοφόροι, ὅτι Ἀθήνησιν ἐν ταῖς ἑορταῖς οἱ γεραίτατοι ἐθαλλοφόρουν. 1557, 24. καὶ θαλλοφόροι παροιμιακῶς οἱ εἰς μηδὲν ἄλλο χρήσιμοι ἢ τοῖς βοσκήμασι θαλλὸν παραβάλλειν. 1818, 20.

Θάλλω ὅτι ἐκ τοῦ θέω θῶ παρῆκται. 867, 20.

Θάλος λέγεται πᾶν φυτὸν παρὰ τὸ θάλλειν, θαλλὸς δὲ ὀξυτόνως ἐν δυσὶ λ ὁ κλάδος· διὸ καὶ τὸ θάλος μὲν ἁπλῶς λέγεται, ὁ θαλλὸς δὲ χρῄζει προσθήκης τοῦ τίνος ὁ θαλλὸς, οἷον ἐλαίας. 1557, 23.

Θαλπωρὴ ἡ ὑπὸ ἡλίῳ διαγωγὴ, τουτέστιν ἡ ζωὴ, παρὰ τὸ θάλπεσθαι· καὶ θαλπωρὴ ἡ βεβαία ἐλπὶς ὡς θάλπουσα καὶ ζωοῦσα, καὶ θαλπωρὴ ἡ θάλπουσα ἡδονή. 651, 55. 731, 37. 1407, 46.

Θαλπωρὴ καὶ θάρσος παρ' Ὁμήρῳ ὅτι συγγενῶς ἔχουσι πολυωνυμικῶς. 800, 20.

Θαλύσια αἱ ἀπαρχαὶ αἱ διδόμεναι τῷ θεῷ κατὰ τὴν τῶν καρπῶν συγκομιδὴν, παρὰ τὸ θάλλω. 772, 21. καὶ θαλύσια ῥέζειν παρ' Ὁμήρῳ, ὃ παρ' Εὐριπίδῃ θύειν ἀπαρχάς. 770, 21.

Θαλύσιος ἄρτος ὁ ἐκ τῆς τῶν καρπῶν συγκομιδῆς πρῶτος γινό-

μενος, ὅτι παρὰ τὸ θάλλειν λέγεται ὡς καὶ τὰ θαλύσια. 772, 21.

Θάλων φυγαδευθεὶς ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς καὶ βοῦν θύσας κατῆρξε γελετῆς τινὸς, ἱστορία. 1156, 59.

θαμὰ ἀντὶ τοῦ πυκνῶς, ὅτι παρὰ τὸ ἅμα λέγεται. 43, 33.

θαμάξιον ἀντὶ τοῦ τὸ ἁμάξιον, ὅτι ἡ λέξις αὕτη ἐλέγχει δασύνεσθαι τὴν ἅμαξα φωνήν. 1387, 9.

θαμβεῖν τὸ ἐπὶ θέᾳ τινὸς ἐκπλήττεσθαι. 82, 22.

θάμβος ἡ ἔκπληξις, παρὰ τὸ διὰ θέας ἐμβιβάζεσθαι, θαμβὸς δὲ ὀξυτόνως ὁ ἐκπλαγείς. 447, 3. 690, 29. 822, 9. 906, 53. 1420, 15.

θαμειὸς θαμειὰ, ὅτι ἐκ τοῦ θαμὰ, ὃ δηλοῖ τὸ ἅμα, γίνεται θαμὸς καὶ ἐπενθέσει τῆς ει θαμειός. 43, 32.

θαμέσι δοτικὴ τῶν πληθυντικῶν ὅτι ἀπὸ τῆς θαμὴς εὐθείας κεκίνηται. 1533, 38.

θαμίζειν τὸ συχνάκις ἔργῳ τινὶ παρεῖναι· καὶ διδασκάλῳ θαμίζειν, ἀντὶ τοῦ φοιτᾶν· καὶ θαμίζειν κομιζόμενον, Ὀδ. θ', 451. τὸ συχνάκις κομίζεσθαι, ἤγουν ἐπιμελείας ἀξιοῦσθαι. 1605, 17. καὶ ὅτι τὸ θαμίζειν νηὶ, παρ' Ὁμήρῳ ἀρχὴν ἐνδέδωκε τοῖς μεθ' Ὅμηρον τοῦ θαμίζειν διδασκάλῳ λέγειν. 1589, 2. 1605, 17.

θάμνος, ὅτι τὰ χαμηλὰ καὶ πολύκλαδα εἴτουν πολυστέλεχα φυτὰ θάμνοι λέγονται. 838, 2. καὶ ὅτι παρὰ τὸ θαμὰ, ὅ ἐστι πυκνῶς, πεφυκέναι οὕτω λέγονται. 1122, 59. 1546, 56. 1554, 63. ἀλλαχοῦ δὲ ὅτι θάμνοι οἱ τοῖς δένδροις παραφυόμενοι κλάδοι. 1944, 35.

Θάμυρις κύριον, ὁ καὶ Ἄμυρις δίχα τοῦ θ, ἱστορία· καὶ παροιμία, Ἄμυρις μαίνεται. 298, 2. 38 — 299, 6. καὶ ὅτι Ἐρατοῦς τῆς Μούσης υἱὸς γεγονέναι ἱστόρηται. 817, 31.

θάνατοι αἰφνίδιοι, ὅτι οἱ μὲν τῶν γυναικῶν αἰφνίδιοι θάνατοι Ἀρτέμιδι ἀνάγονται, οἱ δὲ τῶν ἀνδρῶν τῷ Ἀπόλλωνι. 1171, 25.

Θανάτου βωμὸς, ὅτι ἐν Γαδείροις Θανάτου ἵδρυται βωμός. 744, 4.

θανάτου στόμα, ὅτι θανάτου στόμα τὸν τάφον ἔστιν εἰπεῖν. 1112, 31.

θανεῖν τὸ θέειν ἄνω, ἐτυμολογικῶς. 107, 7.

θάπος ἡ ἔκπληξις, παρὰ τὸ θάπτω, ὅθεν καὶ θαπών μετοχὴ ἀντὶ τοῦ ταφὼν κατὰ ἀντιστοιχίαν. 468, 28.

θάπτω ὅτι παρὰ τὸ θῶ παράγεται, ἔστι γὰρ θάπτειν τὸ ἀποτιθέναι τὸν νεκρόν. 1746, 15. καὶ ὅτι οἱ νεκροὶ μειλίσσονται τῷ ταχὺ θάπτεσθαι, τῷ δὲ ἐναντίῳ μηνίουσι. 688, 7. καὶ ὅτι τὸ θάπτειν διαφόρως περιφράζεται παρ' Ὁμήρῳ ποιητικῶς. 666, 28.

θαῤῥαλέος λέγεται ὁ ἐν τοῖς δεινοῖς εὔελπις ὅσον ἐφ' ἑαυτῷ. 511, 38.

θαρσαλέος ὅτι παρὰ τὸ θέρω θέρσω, ὅ ἐστι θερμαίνω λέγεται. 1856, 55.

θάρσος, θερμότης ἔμφρων ἀπεναντίας τῷ θράσει. 1762, 32. καὶ ὅτι παρὰ τὸ θέρω θέρσω λέγεται. 513, 28. 800, 20. καὶ ὅτι ψυχικόν τι ἐστὶ τὸ θάρσος, τὸ δὲ μένος σωματικὸν, ἑρμηνεία διεξοδική. 511, 31. 35. καὶ ὅτι καὶ τὸ ἐκ θεοῦ προσγινόμενόν τινι ἔπαρμα θάρσος ἐνίοτε λέγεται. 1234, 52.

θάρσυνον προστακτικὸν, καὶ θάρσυνον ὁμωνύμως οὐδέτερον ἐπιθετικόν. 1058, 20.

Θασία ἅλμη οἱ ἐκ Θάσου ἅλες. 749, 2.

Θάσιος οἶνος, ὅτι ὁ μέν τις ὑπνωτικὸς, ὁ δὲ ἀγρυπνίας ποιητικὸς ἱστορεῖται. 1633, 55.

θάσσων, συγκριτικὸν ἀρσενικὸν, καὶ θᾶσσον, ὄνομα οὐδέτερον καὶ ἐπίῤῥημα, ὅτι παρὰ τὸ ταχὺς ταχίων γίνεται τάσσων συγκριτικὸν καὶ τροπῇ θάσσων· τὸ οὐδέτερον ὁμοίως. 630, 18.

θάτερος ὅτι ἐκ τοῦ τὸς Δωρικοῦ ἄρθρου, ἰσοδυναμοῦντος τῷ ὁ προτακτικῷ, καὶ τοῦ ἅτερος σύγκειται, καὶ θατέρα ἐκ τοῦ τὴ καὶ τοῦ ἁτέρα, καὶ θάτερον ἀντὶ τοῦ τὸ ἕτερον· τὸ δὲ ἅτερος ἐκ τοῦ ὁ ἕτερος κέκραται, ἢ ἐκ τοῦ ἕτερος μόνου γέγονε τροπῇ Δωρικῇ τοῦ ε εἰς α· καὶ ὅτι ἐπὶ τῆς αἰτιατικῆς οὐ λέγεται τὸν θάτερον, οὔτε θατέροις κατὰ τὴν δοτικὴν τῶν πληθυντικῶν· καὶ ὅτι διὰ τὸ ἐξ ἄρθρων συγκεῖσθαι ἀνεπίδεκτά εἰσιν ἄρθρων ἐν τῇ συντάξει τὰ τοιαῦτα. 1385, 50. 1573, 35. 62.

θαῦμα μωροῖς, παροιμία κατὰ τῶν πολυπραγμονούντων ἀνόνητά τινα. 1482, 63.

θαυμάζειν τὸ ἐπὶ θεάματί τινι ἐκπλήττεσθαι, οἱονεὶ θεαμάζειν. 82, 22. 690, 29. καὶ ὅτι τὸ θαυμάζειν ἀντὶ τοῦ μισθὸν διδόναι τίθεται παρὰ τοῖς Ἀττικοῖς καὶ ἀποθαυμάζειν λέγεται. 912, 58.

θαυμαίνω τὸ θαυμάζω, ὅτι παρὰ τὸ θαῦμα λέγεται, ὡς παρὰ τὸ ὄνομα τὸ ὀνομαίνω. 1587, 55.

Θαυμακία, πόλις Μαγνησίας, καὶ ἑτέρα κατὰ τὸν Μηλιᾶ κόλπον, καὶ νῆσός τις ὁμωνύμως, ὁ πολίτης Θαυμακός. 329, 6.

Θαυμακὸς ὁ ἐκ Θαυμακίας πόλεως. 329, 6. ζήτει τὸ Θαυμακία.

θαυμανέοντες, ἤγουν θαυμασόμενοι ἢ θεασόμενοι, καὶ ὅτι ἐκ τοῦ θαυμαίνω κεκίνηται. 1587, 48. 55.

θαύματα, ὅτι θαύματα λέγονται καὶ τὰ ἐν τῷ κόσμῳ ὑπερφυῆ θεάματα, οἷον ὁ ἐν Ἐφέσῳ ναὸς, ὁ Μαυσωλοῦ τάφος, ὁ Βαβυλώνιος κῆπος, αἱ ἐν Αἰγύπτῳ πυραμίδες. 1623, 14.

θαυματὸν ἀντὶ τοῦ θαυμαστὸν παρὰ Πινδάρῳ. 400, 30.

θαυματοποιῶν τινῶν ὀνόματα. 1503, 30.

θαφθεὶς ποιητικῶς ἀντὶ τοῦ ταφείς. 419, 43.

θαψάσκω ὅτι ἐκ τοῦ ἔθαψα ἀορίστου παρήχθη. 200, 5.

θε λήγοντα ἐπιῤῥήματα ὅτι φωνήεντος ἐπιφερομένου ἐφέλκονται τὸ ν, πρὸ δὲ συμφώνου καθαρὸν μένει τὸ ε. 32, 6.

θεὰ ἐπὶ ψυχικῆς γνώσεως παρ' Ὁμήρῳ, παρὰ τὸ θέειν διὰ τὸ τάχος τῆς γνώσεως. 9, 34.

Θεαγένης Θάσιος ἀθλητὴς βοῦν καταφαγὼν, ἱστορία. 1528, 7.

θεαιδέστατος ἀντὶ τοῦ θεοειδέστατος, ἤγουν θεοῦ ἰδέαν ἔχων. 378, 6.

Θεμίσκυρα πόλις ὅτι Ἀμαζόνων οἰκητήριον ἐγένετό ποτε. 351, 27.

θεμίσσειν τὸ νομοθετεῖν καὶ δικάζειν, ὅτι παρὰ τὸ θέμις λέγεται. 735, 55. 993, 13. 1699, 37.

θέμιστες αἱ δίκαι καὶ αἱ μαντεῖαι καὶ αἱ βουλαὶ καὶ τὰ νομοθετήματα. 1699, 41. 1806, 42.

θεμιστεύω ὅτι παρὰ τὸ θεμίσσω παρήχθη, ἢ παρὰ τὸ θέμις θέμιστος Δωρικῶς κεκλιμένον. 1699, 37. καὶ ὅτι παρ' Ὁμήρῳ μὲν γενικῇ συντέτακται, παρὰ δὲ τοῖς ὕστερον ἀπολύτως λέγεται. 1617, 51.

Θεμίστιος κύριον, ὅτι ἐκ τοῦ παρ' Ὁμήρῳ ἀθεμίστιος ἐπιθέτου γέγονε τοὔνομα. 1893, 30.

Θεμιστοκλέους εὐχή, σχεῖν τρίκλινον μεστὸν φίλων. 1490, 42.

θεμιτὸν καὶ ἀθέμιτον ὅτι παρὰ τὴν θέμιτος γενικὴν λέγονται. 735, 54.

θεμῶσαι ἀντὶ τοῦ ἀναγκάσαι ἢ καταπεῖσαι ἢ δικαιῶσαι, παρὰ τὸ θέμις, ὅ ἐστι νόμος, ᾧ ἐξ ἀνάγκης πειθόμεθα· οἱ δὲ ἀντὶ τοῦ ἐποίησε, παρὰ τὸ θεῖναι, ὃ δηλοῖ τὸ ποιῆσαι. 1640, 12. 49.

θεν λήγοντα τρίτα πρόσωπα πληθυντικὰ παθητικῶν ἀορίστων, ἀπὸ τῶν διὰ τοῦ ημεν συστοίχων πρώτων ἐσχηματισμένα Αἰολικῶς, οἷον ἐτύφθημεν ἔτυφθεν. 85, 13.

θεν ἐπιῤῥήματα ἐκ τῶν διὰ τοῦ θεν γενόμενα ἀπελεύσει τοῦ σ, οἷον ὄπισθεν ὄπιθεν, ἔκτοσθεν ἔκτοθεν. 1400, 29.

θεν λήγοντα ἐπιῤῥήματα παρελκόντως ἔχοντα τὴν ἐξ πρόθεσιν ἐν παραθέσει προτεταγμένην, οἷον ἐξ οὐρανόθεν. 714, 49.

θεν λήγοντα ἐπιῤῥήματα τῷ ο παραλήγοντα, καὶ ἁπλῶς τὰ εἰς θεν παροξύνονται τὰ πλεῖστα πλὴν τινῶν σεσημειωμένων, ἑρμηνεία διεξοδική. 174, 19. 918, 41.

θέναρ χειρὸς, ἐτυμολογία διεξοδική· καὶ βωμοῦ θέναρ τροπικῶς τὸ πλάτος. 309, 25. 553, 19.

θεόδμητοι πύργοι οἱ θεοδόμητοι, ἤγουν ὑπὸ θεῶν οἰκοδομηθέντες. 727, 28.

Θεοδώριτος κύριον, τὸ ρι ἰῶτα κανονικῶς. 264, 29. 868, 45.

Θεόδωρος ψηφοκλέπτης, ὅτι τούτου χαλκῆν εἰκόνα ἔστησαν ἐν τῷ θεάτρῳ Ἑστιαιεῖς καὶ Ὠρεῖται ψῆφον ἔχουσαν ἐν τῇ χειρί. 1601, 49.

θεοειδὴς λέγεται παρ' Ὁμήρῳ ὁ θεοῖς εἰδόμενος διὰ κάλλος ἢ εὐγένειαν ἢ ἐπιστήμην τινά. 374, 15. 21. καὶ ὅτι τὸ θεοειδὴς ἐπίθετον κατ' ἀνδρῶν λέγεται παρ' Ὁμήρῳ, εὐειδὴς δὲ κατὰ γυναικῶν. 382, 1.

θεοὶ ὅτι παρὰ τὸ θέειν λέγονται. 159, 33.

θεοὶ, ὅτι οἱ ποιηταὶ θεοποιοῦσι πάντα τὰ ὑπερφυῆ καὶ τεράστια. 9, 33. καὶ ὅτι καὶ πολλοὶ ἄνθρωποι ἐθεοποιήθησαν δι' ἀρετὴν ἢ εὕρεσιν τῶν εἰς τὸν βίον χρησίμου τινός. 19, 2. ἀλλαχοῦ δὲ ὅτι θεοὶ παρὰ τοῖς ἀρχαίοις τὰ στοιχεῖα παρὰ τὸ τεθεῖσθαι, καὶ οἱ πλανῆται καὶ ἁπλῶς οἱ ἀστέρες παρὰ τὸ θέειν. 435, 31. 978, 12.

θεοὶ εἰς ἀστέρας ἀλληγορούμενοι, ὅτι παρὰ τὸ θέειν λέγονται. 159, 33. καὶ ὅτι θεοί τινες τὰς ἐναντίας δυνάμεις ἔχειν μυθεύονται, οἷον Ἀπόλλων τοῦ τε ἀπόλλειν καὶ τοῦ ζῳογονεῖν, καὶ Ποσειδῶν τοῦ τε σείειν τὴν γῆν καὶ τοῦ συνέχειν. 1856, 34.

θεοὶ μυθικοὶ ὁποῖοι τινὲς τὰ ἤθη καὶ τὰ πάθη πλάττονται ὑπὸ τῶν ποιητῶν καὶ εἰς τίνα ἀνάγονται, καὶ ὅτι οὐ πάντες οἱ θεοὶ ἐμπαθεῖς. 38, 4. 26. ἑρμηνεία διεξοδική. 38, 4—26. 127, 16.

θεοὶ μυθικοὶ διάφορα ὄρνεα καὶ ἰχθύας καὶ φυτὰ οἰκειούμενοι διὰ τὴν ἑκάστου πρὸς ἕκαστον οἰκειότητα, ἑρμηνεία διεξοδικωτάτη. 87, 2—46.

θεοὶ τεχνῶν ἄλλος ἄλλης προστατοῦντες, ἑρμηνεία διεξοδική. 40, 13. καὶ ὅτι καὶ παρεῖναι ταῖς θυσίαις ἐπλάσθησαν ὑπὸ τῶν ἀρχαίων οἱ θεοὶ πρὸς σωφρονισμὸν τῆς εἰς τὰς ἀπολαύσεις ὁρμῆς τῶν ἀνθρώπων. 1475, 60.

θεοὶ ὅτι οὐδένα ἀπολύειν τοῦ πεπρωμένου ἐνομίζοντο, ζῶντι δὲ ἕκαστος ἑκάστῳ ἀγαθοῦ τινος αἴτιος γίνεσθαι. 1781, 1.

Θεοκλύμενος μάντις, υἱὸς Πολυφείδους υἱοῦ Μαντίου τοῦ Μελάμποδος, ὅτι παρὰ τὸ τὰ ἐκ θεοῦ κλύειν ὡς μάντις οὕτως ὠνομάσθη. 1780, 18. 53. ζήτει τὸ Μελάμπους.

Θεόμανδρος Κυρηναῖος ἐπαγγελλόμενος διδάσκειν τὴν διὰ βίου εὐτυχίαν. 1363, 18.

θεομηνίαι κατὰ δήμων ὅλων καὶ πόλεων δι' ἑνός τινος πλημμέλημα, ἐξ ἐπαγωγῆς ἱστορικῶν τινῶν παραδειγμάτων. 42, 2.

θεοπροπέω ῥῆμα, ζήτει ἐν τῷ θεοπρόπος. 55, 43.

θεοπροπία ἡ μαντεία, ζήτει ἐν τῷ θεοπρόπος. 55, 43.

θεοπρόπος, μάντις θεοὺς περιέπων, ὅθεν θεοπρόπιον τὸ μάντευμα, καὶ θεοπροπία ἡ μαντεία, καὶ θεοπρόπιον οὐδετέρως τὸ αὐτὸ, καὶ ῥῆμα θεοπροπέω, καὶ θεοπρόποι τάγμα τι θεῖον ἐν Δελφοῖς, ἱστορία. 55, 41. 1044, 26. 1426, 62. καὶ ὅτι γενικόν ἐστιν ὄνομα ὁ θεοπρόπος, ὡς καὶ ὁ μάντις. 920, 57.

θέορτον τὸ θεοκίνητον, παρὰ τὸ ὄρω, ὅ ἐστιν ὁρμῶ. 784, 4.

θεὸς ὁ πάντα τιθεὶς, οἱονεὶ θὸς παρὰ τὸ θῶ, καὶ πλεονασμῷ τοῦ ε θεός. 1148, 51. 1575, 54. καὶ ὅτι τὸ θεὸς ὄνομα περὶ διαφόρων τῷ εἴδει λέγεται κατὰ διαφόρους ἐτυμολογίας, ἑρμηνεία διεξοδική. 10, 45. καὶ ὅτι τὸ θεὸς προσηγορικῶς ἀκουόμενον εἰς πλῆθος ἀναλύεται. 825, 44.

θεὸς διὰ πάντα τελευτᾷ, γνωμικὸν, ἢ θεόσδια ὑφ' ἓν κατά τινας, ἀντὶ τοῦ τὰ θεόσδοτα πάντα τελειοῦται. 1173, 23.

θεὸς θεὸς, ἐπίφθεγμα ὃ ἐπεφώνουν οἱ ἀρχαῖοι ἄνθρωποι τοῖς οἰκείοις ἄρχουσιν ἐπιφημιζόμενοι· ἄλλοι δὲ ὅτι ἐν ταῖς ἱεροποιίαις καὶ ἁπλῶς πάσαις ταῖς σεμναῖς πράξεσιν ἐπεφωνεῖτο τὸ, θεὸς θεός. 258, 27.

θεόσδοτον ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ πρὸς μέτρου χρείαν. 422, 30. 623, 49.

θεοῦ μοῖρα, παρ' Ὁμήρῳ ταὐτὸ ὅπερ Διὸς βουλὴ, ὃ περίφρασίς ἐστι τοῦ πεπρωμένου. 1686, 18.

θεουδὴς ἀντὶ τοῦ θεοειδὴς, ὃ

ἐστι προσηνὴς καὶ θεῷ ἁδῶν, ὅ ἐστιν ἀρέσκων, ἢ θεῷ ὅμοιος τὸ εἶδος, καὶ περὶ τοῦ σχηματισμοῦ τῆς λέξεως. 378, 4. 1554, 38. 1857, 44.

θεοῦ μήνιμα γενέσθαι τινὶ λέγεταί τις, δι' ὃν ὁ θεὸς ἐκείνῳ ὀργίζεται. 1273, 52.

θεράπων, δοῦλος ὁπλοφόρος παρὰ Κρησί, καὶ ὁ ἁπλῶς δοῦλος παρὰ τοῖς μεθ' Ὅμηρον, παρ' Ὁμήρῳ δὲ οἱ δραστικώτατοι τῶν φίλων καὶ ἁπλῶς οἱ οἰκεῖοι θεράποντες καλοῦνται. 96, 15. 110, 8. 1024, 25. 1090, 47. 1176, 26. 1397, 57. καὶ ἁπλῶς θεράπων ὁ χαριζόμενός τινι καὶ θεραπεύων. 1741, 17.

θερείβοτος τόπος ὁ θερεινὰς ἔχων νομάς. 222, 20.

θέρεσθαι τὸ θερμαίνεσθαι καὶ τὸ καίεσθαι. 645, 38. 876, 64.

θερέω πυρὸς, ἀντὶ τοῦ διὰ πυρὸς θερμανθῶ ἐν τῷ, αὐτὰρ ἐπεί κε πυρὸς θερέω, Ὀδ. ρ', 23. 1810, 58.

θεριστῶν ἔθος τὸ εἰς δύο διαιρεθέντας ἀπὸ τῶν περάτων ἄρχεσθαι τοῦ λῄου καὶ ἁμιλλωμένους εἰς τὰ μέσα τελευτᾶν. 831, 43.

θερμὰ δάκρυα οὐ μόνον τὰ φύσει τοιαῦτα, ἀλλὰ καὶ τὰ ἐξ ἐνδιαθέτου, ἐπεὶ καὶ τὸ θερμὸν ἐπὶ ἐνδιαθέτου λαμβάνεται, ὅθεν καὶ θερμὴ καρδία ἐπιθετικῶς λέγεται. 1140, 26. 29.

θερμὰ λουτρὰ, ὅτι τὰ ἐκ φύσεως θερμὰ λουτρὰ Ἡράκλεια ἐλέγοντο, καὶ ὅτι οἱ θερμοῖς βεβαλανευμένοις χρώμενοι κακῶς ἤκουον ὡς τρυφηταὶ καὶ ἡδυπαθοῦντες. 1594, 17. καὶ ὅτι πρὸς καμάτου τὸ πλέον ἐξαίρεσιν ἐχρῶντο τοῖς θερμοῖς λουτροῖς οἱ ἀρχαῖοι. 1661, 39.

θερμαινόμενον ὕδωρ ὅτι πρῶτον χλιαίνεσθαι λέγεται, εἶτα ζέειν, εἶτα παφλάζειν ἢ καχλάζειν. 1661, 63.

θερμαϋστρίζειν λέγονται οἱ ὀρχούμενοι, ὅταν εἰς ὕψος ἀναπηδήσαντες πολλὰς παραλλαγὰς τοῖς ποσὶ ποιήσωνται πρὸ τοῦ εἰς τὸ ἔδαφος κατενεχθῆναι. 1601, 21.

θερμαϋστρὶς, ὄρχησις διὰ ποδῶν σύντονος· ζήτει τὸ θερμαϋστρίζειν. 1601, 27.

θέρμεσθαι τὸ θερμαίνεσθαι ποιητικῶς. 1146, 39.

θερμοκύαμοι, οἱ καὶ ἁπλῶς θέρμοι λεγόμενοι. 948, 32.

θερμὸν τὸ προσηνὲς πρὸς ἀντιδιαστολὴν τοῦ ψυχροῦ, ὃ δηλοῖ τὸ ἀηδές. 1097, 62.

θερμὸς ἄνθρωπος ὁ ἰτακὸς καὶ μάχιμος, καὶ θερμουργὸς ἐπὶ ἐπαίνῳ ὁ ἀνδρεῖος, καὶ θερμὸν ἔργον τὸ ἀναιδὲς καὶ θρασύ· καὶ ὅτι παρὰ τὸ θέρω θέρσω λέγονται, ὅθεν καὶ τὸ θάρσος. 201, 6. 213, 17. 513, 26.

θερμότης, ὅτι ποτὲ μὲν εἰς ἔπαινον, ποτὲ δὲ εἰς ψόγον συντελεῖ τὰ παρὰ τὴν θερμότητα λεγόμενα. 213, 15.

θερμουργὸς σύνθετον ὅτι οὐ μετέχει τῆς σημασίας τοῦ ἐν παραθέσει θερμὸν ἔργον. 201, 6. 213, 16. ζήτει ἐν τῷ, θερμὸς ἄνθρωπος.

Θερσίτης, κύριον παρ' Ὁμήρῳ, καὶ γενεαλογία καὶ ἱστορία τις περὶ αὐτοῦ, καὶ ἐτυμολογία τῆς λέξεως, ἑρμηνεία διεξοδική. 203, 45—204. καὶ περὶ τοῦ παραληκτικοῦ χρόνου τῆς λέξεως. 213, 9. καὶ ὅτι κατὰ φύσιν εὔσχημος γεννηθεὶς ὁ Θερσίτης, ἐν τῇ τοῦ Καλυδωνίου κάπρου θήρᾳ κατακυλισθεὶς, μετεποιήθη τῆς κατὰ φύσιν πλάσεως, ἱστορία. 774, 1. καὶ ὅτι κονδύλῳ ὑπ' Ἀχιλλέως ἀναιρεθῆναι λέγεται. 208, 2.

θέρσος Αἰολικῶς τὸ κοινῶς θάρσος, ἀπὸ τοῦ θέρσω μέλλοντος. 213, 13.

θέρσω, μέλλων Αἰολικῶς ἀπὸ τοῦ θέρω θέματος. 204, 1.

θέσει μακρὰ συλλαβὴ βραχυνομένη ποτὲ διὰ μέτρου χρείαν, οἷον ἡ λήγουσα τοῦ προχέοντο ἐν τῷ, ἐς πεδίον προχέοντο Σκαμάνδριον, Ἰλ. β', 465. καὶ τοῦ ἄστυ ἐν τῷ, οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης, δ', 103. 21. 255, 28-37.

θέσθαι νέμεσιν, ὅτι ἐλλιπῶς Ὀδ. χ', 40. ἐντελὲς δὲ τὸ θέσθαι κατὰ νοῦν. 1918, 56.

θέσις ἐγκεφάλου, μέρος τι τοῦ τραχήλου οὕτω καλούμενον. 998, 17.

θέσκελα ἔργα τὰ θεοείκελα ἢ τὰ θεοκέλευστα. 392, 22. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ ἡ λέξις. 422, 29.

θέσκελον ἐπιῤῥηματικῶς ἀντὶ τοῦ θαυμαστῶς ἐν τῷ, ἔικτο δὲ θέσκελον αὐτῷ, Ἰλ. ψ', 107. 1288, 8.

θεσμοθέται, ὅτι οἱ ἐξ τῶν ἐννέα καλουμένων ἀρχόντων Ἀθήνησιν οὕτως ἐλέγοντο, οἱ ἐπεμελοῦντο τῶν νόμων, κυριεύοντες τοῦ δικάζειν καὶ τοῦ χειροτονεῖν. 1595, 39. 45.

θεσμὸς ὁ νόμος, ὅτι παρὰ τὸ θέμις λέγεται. 1640, 14.

Θέσπεια καὶ Θεσπιαὶ πληθυντικῶς, πόλις τῆς Βοιωτίας, ὅτι ἑνικῶς μὲν λεγομένη προπαροξύνεταί τε καὶ διφθογγογραφεῖται, πληθυντικῶς δὲ ὀξύνεται καὶ διχρόνῳ παραλήγεται, καὶ ἄλλα πολλὰ περὶ τῆς λέξεως καὶ τοῦ σημαινομένου τόπου διεξοδικῶς. 265, 41—266, 17.

θεσπέσια κτήματα παρ' Ὁμήρῳ λέγονται τὰ πολλὰ ἢ τὰ θεῖα. 1892, 54.

θεσπεσία ᾠδὴ ἡ θεόθεν δεδομένη, ἢ ἣν θεὸς ἂν ἐνίσποι. 299, 22.

θεσπεσίη φύζα ἐπιθετικῶς ἡ μὴ φυσικὴ, ἀλλ' ἐκ θεοῦ πεσοῦσα. 731, 52. καὶ θεσπεσίη ἠχὴ ὁμοίως, πολλαχοῦ παρ' Ὁμήρῳ. 1296, 31.

θεσπέσιον ὅτι ἔριόν τι οὕτω λέγεται παρ' Ὁμήρῳ ἐπιθετικῶς διὰ τὸ δασὺ καὶ ἁπαλόν. 1637, 64.

θεσπέσιος πλοῦτος ὁ πολὺς ἢ ὁ θεόπεμπτος. 317, 20. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ ἡ λέξις πρὸς μέτρου συντέλειαν διὰ τὸ πολύβραχυ. 422, 30.

θεσπεσίως φέβεσθαι λέγονται παρ' Ὁμήρῳ οἱ ὑπὸ θεοῦ εἰς φυγὴν τραπέντες. 1035, 32.

θεσπιδαὲς πῦρ τὸ καιόμενον καὶ λάμπον κατὰ τὸ θεόθεν πεσὸν, ὅ ἐστι τὸ κεραύνιον. 1218, 6. 1502, 10.

θέσπις ἀοιδὴ λέγεται παρ' Ὁμήρῳ, ἣν ἐκ θεοῦ τις ἔπει, ὅ ἐστι λέγει, ἢ ἣν ὁ θεὸς ὀπάζει ἤγουν δίδωσι. 1607, 12. ἀλλαχοῦ δὲ θέσπις ἀοιδὴ ἡ θεία καὶ ὑπὸ θεοῦ ἑπομένη, ὅ ἐστι λεγομένη. 1420,

16. καὶ θέσπις ἀοιδὸς ὁ θεοεπής. 1825, 17.

Θεσπιῳδεῖν τὸ μαντεύεσθαι, ὅτι παρὰ τὸ θέσπις, ὅ ἐστι θεῖος, καὶ τὸ ᾄδειν λέγεται. 1420, 16. 1825, 17.

Θεσπρωτία, πόλις καὶ χώρα περὶ τὰ ἔσχατα τῆς Θεσσαλίας. 1769, 31.

Θεσπρωτοὶ, ἔθνος ὁμοροῦν Ἀμπρακιώταις καὶ Λευκαδίοις. 1865, 8.

Θεσσαλία χώρα ὅτι εἰς τέσσαρα μέρη διῄρητο. 320, 28. καὶ Θεσσαλίας χώρας τοπογραφία, καὶ περὶ τῶν κατ᾽ αὐτὴν βασιλευσάντων κατὰ διαφόρους χρόνους ἱστορία. 321, 21.

Θεσσαλίας ποταμοὶ, ὅτι τῶν πέντε Θεσσαλικῶν ποταμῶν Πηνειὸς καὶ Ἀπιδανὸς καὶ Ἐνιπεὺς συμμίσγουσι καὶ κοινῶς ἑνὶ ὀνόματι τῷ τοῦ Πηνειοῦ χρῶνται. 337, 4.

Θεσσαλιῶται, ἔθνος τι βάρβαρον ὑπεροικῆσαν ποτὲ τὴν Θεσσαλίαν. 1896, 51.

Θέστιος, Μελεάγρου μητροπάτωρ, ἱστορία περὶ τῆς τῶν Πλευρωνίων πρὸς Αἰτωλοὺς μάχης. 774, 39.

Θέσφατον τὸ θεόφραστον καὶ θεοβούλευτον καὶ εἱμαρμένον. 393, 24. 724, 13. καὶ θέσφατον ταὐτὸ ὅπερ χρησμὸς ἐν τῷ, παλαίφατα θέσφατα, Ὀδ. ν', 172. 1737, 58. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ̄ πρὸς μετρικὴν συντέλειαν διὰ τὸ πολύβραχυ. 422, 29.

Θέτις ἡ τοῦ παντὸς θέσις ἀλληγορικῶς. 122, 46.

Θέτις, κύριον Νηρηΐδος, ὅτι τῇ καταθέσει τῆς ζάλης παρηχεῖται τοὔνομα. 1131, 5.

Θέτις καὶ Εὐρυνόμη, Ἥφαιστον οὐρανόθεν πεσόντα διασώσασαι, ἀλληγορία. 1150, 2.

Θέτις ὅτι εἰς πολλά τινα μετεμορφώθη πρὸς ἀποφυγὴν τῆς τοῦ Πηλέως συνουσίας. 1152, 9. καὶ ὅτι ἀπέλιπε τὸν Πηλέα, ἀλληγορία ἱστορική. 1364, 20.

Θετταλικὰ πτερὰ αἱ Θετταλικαὶ χλαμύδες, αἳ καὶ Θετταλικὰ γέρα ὡς διδόμενα τοῖς νικῶσι τοὺς ἐκεῖ ἀγῶνας, ἑρμηνεία διεξοδική. 331, 14.

Θετταλικὴ ἔνθεσις, παροιμιακῶς ἡ μεγάλη τροφὴ διὰ τὴν τῶν Θετταλῶν πολυφαγίαν. 857, 31.

Θετταλοικέται, ὅτι οὕτως ἐκαλοῦντο οἱ τῶν Θετταλῶν δοῦλοι. 1090, 51.

Θετταλὸν σόφισμα, παροιμία καὶ ἱστορία διεξοδικωτάτη περὶ τῆς τῶν Θεσσαλῶν πανουργίας. 331, 18—40.

Θετταλονίκη, Φιλίππου θυγάτηρ ἐκ Νικησιπόλιδος Φεραίας γυναικός. 1345, 54.

Θέτω, τρίτον προστακτικὸν τοῦ τίθημι, ὅτι θήτω ὤφειλε λέγεσθαι διὰ τοῦ η̄, κατασκευὴ διεξοδική. 1756, 63.

Θεῦν Ἄρτεμιν, κατ᾽ αἰτιατικὴν πτῶσιν, ὅτι τὸ θεῦν ἐκ τοῦ θεὸν κέκραται. 775, 48. 1387, 29.

Θέωμεν ἀντὶ τοῦ θῶμεν πλεονασμῷ τοῦ ε̄, Ὀδ. ω', 485. ἢ θέομεν διὰ τοῦ ο̄ μικροῦ, ἐξ οὗ τὸ θείομεν. 1968, 25.

Θεῶν παῖδες, ὅτι θεῶν διαφόρων παῖδες οἱ ἀρχαῖοι βασιλεῖς ἐνομίσθησαν ἐκ διαφόρων ἐπιτηδευμάτων, ἑρμηνεία διεξοδική. 18, 23.

Θεῶν τινῶν ἐπανάστασις καὶ ἐπιβουλὴ μυθικὴ κατὰ τοῦ Διός, ἀλληγορία διεξοδική. 122, 22.

Θεωρεῖν, ὅτι παρὰ τὴν θέαν λέγεται. 690, 28.

Θεωρηματικοὶ ὄνειροι λέγονται οἱ οὕτως ἀπεκβάντες ὡς καθ᾽ ὕπνους ἐθεάθησαν, ἀλληγορικοὶ δὲ οἱ ἄλλα δι᾽ ἄλλων ἀγορεύοντες. 1876, 40.

Θεώτερος παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ θειότερος. 1735, 59.

Θῆ, προστακτικὸν ἀπὸ τοῦ θῶ, ὅ ἐστι θηλάζω. 1606, 24.

Θῆβαι, πόλις τῆς Βοιωτίας· ὅτι τὰς Θήβας Ζῆθος καὶ Ἀμφίων οἱ Διὸς καὶ Ἀντιόπης τῆς Ἀσωπίδος διὰ λύρας ἐτείχισαν, ὕστερον δὲ ὑπὸ Εὐρυμάχου τοῦ Φλεγύων βασιλέως ἐρημωθεῖσαι, πάλιν ὑπὸ Κάδμου ἀνεκτίσθησαν· καὶ ὅτι παρὰ τὸ τὴν τοῦ Κάδμου ὁδηγὸν βοῦν θεῦσαι οὕτως ἐκλήθη ἡ πόλις, ἑρμηνεία διεξοδική· καὶ ἀλληγορία τοῦ διὰ λύρας τειχισμοῦ αὐτῶν ὑπὸ Ζήθου καὶ Ἀμφίονος· καὶ ὅτι ἑπτάπυλοι αἱ Θῆβαι διὰ τὴν ἑπτάχορδον λύραν, δι᾽ ἧς ἐτειχίσθησαν. 269, 42. 1682, 45—1683, 9.

Θήβη Ὑποπλακία, πόλις τῆς Ἀτραμυττηνῆς, περὶ ἧς Ὅμηρος πολλαχοῦ, ἣν καὶ Θήβας πληθυντικῶς καλοῦσι τινὲς, καὶ Θήβη τῆς Παμφυλίας ὁμωνύμως· καὶ ὅτι τὸ Θήβης πεδίον περιμάχητον ποτὲ γέγονε τοῖς πλησιοχώροις ἔθνεσιν, ἱστορία. 119, 1—10. 322, 9. 649, 42—50.

Θηβῶν τειχισμὸς διὰ φόβον τῶν ἀπὸ Φλεγυῶν καὶ ἅλωσις, ἱστορία. 933, 11. 1682, 45. ζήτει ἐν τῷ Θῆβαι.

Θήγειν τὸ εἰς θοὸν ὅ ἐστιν εἰς ὀξὺ, ἄγειν. 942, 56.

Θηεῖτο ἀντὶ τοῦ ἐθηεῖτο, ὅ ἐστιν ἐθαύμαζε. 1595, 52.

Θηεῦντο, ἐθαύμαζον, ὅτι ἀπὸ τοῦ θηέω θηῶ θηήσω κεκίνηται. 690, 27. 822, 8. 1431, 10.

Θηέω θηῶ τὸ θαυμάζω, ὅτι παρὰ τὴν θέαν λέγεται, καὶ ὅτι διὰ τοῦ η̄ γράφεται. 1431, 10.

Θήης καὶ θήῃ, πρόσωπα ῥηματικὰ διὰ τοῦ η̄, ἀντὶ τῶν θείης καὶ θείη κοινῶς διὰ διφθόγγου γραφομένων, ὅτι εἰ μὲν μετὰ τοῦ ῑ ἔχουσι τὸ παραλῆγον η̄, ἐκ τροπῆς τοῦ ε̄ ἔχουσιν αὐτὸ, εἰ δὲ χωρὶς, ἐκ πλεονασμοῦ, ἑρμηνεία διεξοδική. 653, 42.

Θηητὸν τὸ ἀξιοθέατον, παρὰ τὸ θηῶ θηήσω. 690, 28.

Θηλάζω ἐκ τοῦ θῶ μονοσυλλάβου. 83, 30.

Θηλαμὼν ἡ τροφὸς, παρὰ τὸ θηλάζω. 83, 30.

Θήλεας ἢ θηλέας ἵππους, κατὰ πληθυντικὴν αἰτιατικὴν παρ᾽ Ὁμήρῳ, ὅτι εἰ μὲν προπαροξύνεται, ἐκ τοῦ θῆλυς θήλεος κεκίνηται, εἰ δὲ παροξύνεται, ἐκ τοῦ θηλείας γέγονεν ἀποβολῇ τοῦ ῑ. 546, 42.

Θήλεον, ῥῆμα παρατατικοῦ χρόνου ἀντὶ τοῦ ἔθαλλον, Ὀδυσσ. ε', 73. ὅτι ἀπὸ περισπωμένου θέματος κεκίνηται. 1524, 53.

Θηλὴ τὸ ἀκρότατον τοῦ μαστοῦ, ἡ χυδαϊκῶς ῥάξ. 749, 21. 1485, 59.

Θηλίας τυροὺς καλοῦσι Κρῆτες τοὺς πλατεῖς καὶ λεπτοὺς, τὸ λι

ἰῶτα· καὶ ὅτι ἀπὸ τῆς ὁ θηλίας εὐθείας κεκίνηται. 1626, 32.

θηλυκοῦ γένους χρῆσις ἐν ταῖς κατ' εἶδος προσηγορίαις τῶν ζῴων κατ' Ἰωνικὸν ἰδίωμα, ὅτε καὶ συνεκδέχεται τὸ ἀρσενικόν, οἷον αἱ ἵπποι, αἱ κύνες, αἱ ἡμίονοι. 877, 62. 1390, 49.

θηλύπρινος, μέσον τι πρίνου καὶ δρυός, ὃ καὶ φελλὸς Ἀρκὰς ἐλέγετο. 302, 29.

θῆλυς ἐέρση ἡ θρεπτικὴ τῶν φυτῶν, ὡς τὰ θήλεα ἐν τοῖς ζῴοις, καὶ ὅτι τὸ θῆλυς ἐπίθετον ἀρσενικὸν τύπον ἔχον θηλυκοῖς προσηγορικοῖς ἐπιτίθεται, οἷον καὶ τό, θῆλυς ἀϋτμή. 1546, 47. 1599, 23.

θῆλυς φωνὴ ἀντὶ τοῦ γυναικεία. 1554, 40.

θηλύτατον πεδίον ἐπιθετικῶς τὸ πολύγονον πρὸς ὁμοιότητα τῶν θηλέων ζῴων. 1599, 24.

θηλύτεραι γυναῖκες ἐπιθετικῶς λέγονται πρὸς σύγκρισιν τῶν ἄλλων θηλέων ζῴων διὰ τὸ διὰ παντὸς πρὸς ἔρωτα ἐκτεθηλύνθαι, ἢ θηλύτεραι αἱ εὔκαρποι καὶ πολύφοροι. 727, 28. 1599, 22.

θημὼν καὶ θημωνία, ἤγουν σωρός, οὐ μόνον ἐπὶ σπερμάτων, ἀλλὰ καὶ ἀχύρων λέγεται, Ὀδ. ε', 368. 1539, 17.

θηοῖό κεν, θαυμάσοις ἂν καὶ θηητὸν κρίνοις. 1356, 46.

θὴρ θηρός, ὅτι παρὰ τὸ θέειν ῥᾷον λέγεται, ἢ παρὰ τὸ φθείρειν ἐναλλαγῇ καὶ τροπῇ τοῦ ει εἰς η. 697, 36.

Θήρα νῆσος, τὸ ἐθνικὸν Θηραῖος, καὶ περί τινος ἰδιώματος τῆς Θηραίων διαλέκτου. 1872, 45.

θήρα τὸ κυνηγέσιον, ὅτι περισπούδαστόν τι ἦν παρὰ τοῖς ἀρχαίοις, καὶ περὶ γερῶν τινῶν διδομένων παρὰ Μακεδόσιν τοῖς ἔξω λίνων κάπρον κεντήσασι, καὶ περὶ Κασάνδρου τινὰ εἰς τὸ προκείμενον τοῦτο. 1872, 56.

θηρεύω ὅτι ἐκ τοῦ θηρέω μᾶλλον, ἢ ἐκ τοῦ θηράω δοκεῖ παρῆχθαι. 1872, 43.

θηρίκλειον ἢ θηρίκλειος, εἶδος ποτηρίου ἀπὸ Θηρικλέους τινός, ἑρμηνεία διεξοδική, καὶ περὶ τοῦ γένους καὶ τῆς ἐτυμολογίας τῆς λέξεως. 1153, 43.

θηρίον, ὅτι πάντα τὰ ἄλογα θηρία λέγονται μέχρις ἀράχνου, καὶ ὅτι οὐχ' ὑποκοριστικῶς ἀκούεται ἡ λέξις παρ' Ὁμήρῳ. 697, 35. 1653, 17.

θηρίων ἀλκίμων ἰδίωμα τὸ φεύγειν μετὰ τὸ πρᾶξαί τι κακόν, ἱστορία φυσική. 1031, 60.

θὴς θητός, ὁ μισθωτός. 1246, 11.

Θησεὺς ὁ Αἰγέως, ὅτι πρῶτος ἱστορεῖται κόμην ἀνατεθεικέναι. 165, 7. καὶ ὅτι πρῶτος ἐξοστρακίσθη. 782, 54. καὶ ὅτι πολλαῖς γυναιξὶ συνεγένετο, ἱστορία. 1345, 52. καὶ περὶ τῶν κατὰ τὸν Μινώταυρον καὶ Ἀριάδνην ἱστορία διεξοδική. 1688, 35. καὶ παροιμία, οὐκ ἄνευ γε Θησέως, ἐπὶ τῶν σὺν ἄλλοις εὐδοκιμούντων. 1129, 53.

θῆσθαι ὡς χρῆσθαι, ἀντὶ τοῦ θηλάζειν καὶ ἀντὶ τοῦ ἀμέλγειν, ὅτι παρὰ τὴν θηλὴν λέγεται. 1485, 33. 57.

θῆσσα, ὀρφανὴ παῖς, ἣν ἔδει κατὰ νόμον Ἀθήνησι γήμασθαι τῷ ἔγγιστα τῷ γένει, ἢ πέντε μνᾶς ἀποτίνειν τὸν μὴ γήμαντα. 1246, 12.

θῆτες οἱ ἐλεύθεροι μὲν ὄντες, μισθοῦ δὲ ὑπουργοῦντες. 1246, 11.

θι λήγοντα προστακτικὰ ἀναδιπλασιασμὸν παθόντα κατ' ἀρχάς, οἷον τλῆθι τέτλαθι, κλῦθι κέκλυθι. 562, 28.

θι λήγοντα προστακτικὰ ἀπὸ τῶν εἰς ε ληγόντων μεταπεπλασμένα, οἷον κλύε κλῦθι. 33, 3.

θι ληγόντων τινῶν προστακτικῶν κανονισμός, οἷον δῦθι, κλῦθι, ἴληθι. 1418. 3.

θίασος ἐν ἴσῳ τῷ ἔρανος, οὕτω δὲ λέγονται αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαί· καὶ θίασος ὁ τῷ Διονύσῳ ἑπόμενος, καὶ ἁπλῶς ὁ ὀργιάζων καὶ ἐνθεάζων ὄχλος, παρὰ τὸ σιός, ὅ ἐστι θεὸς κατὰ Λάκωνας, οἱονεὶ σίασος· καὶ θιασῶται οἱ ἐπὶ τὰ τοιαῦτα συνιόντες, οἱ καὶ ἐρανισταί· ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ θεῖον λέγεται ὁ θίασος ἀποβολῇ τοῦ ε. 539, 34. 635, 26. 1119, 3. 1702, 5.

θιασώτης καὶ θιασίτης ὁ ὀργιαστὴς καὶ τοῦ θιάσου μετέχων. 1119, 13. ζήτει τὸ θίασος.

θὶν καὶ θίς, ὄχθος ἢ βουνὸς ἢ ἄμμος, ὅτι δικατάληκτόν ἐστι τοὔνομα, καὶ ὅτι ἐπὶ αἰγιαλοῦ παρὰ τὸ θείνεσθαι τοῖς κύμασι λέγεται, καὶ ὅτι διὰ τοῦ ι γράφεται. 109, 3. καὶ ὅτι θὶν θαλάσσης πρὸς διαστολὴν ἑτέρων θινῶν λέγεται, καὶ ὅτι ἐπὶ αἰγιαλοῦ θηλυκῶς ὡς τὰ πολλὰ λέγεται, ἄλλως δὲ ἀρσενικῶς, καὶ ὅτι ἀναλογώτερον διὰ τοῦ ν λέγεται ἢ διὰ τοῦ σ. 1453, 60. ἀλλαχοῦ δὲ ὅτι ἀρσενικῶς λέγεται παρὰ τοῖς Ἀττικοῖς. 1390, 56. καὶ ὅτι καὶ θὶς ὀστέων καὶ ἄμμου καὶ ἑτέρων τινῶν λέγεται κατὰ συνθήκην. 866, 25. 1710, 14.

Θίσβη, ἡ καὶ Θίσβαι πληθυντικῶς, πόλις ὅμορος Θεσπιεῦσι, καὶ ἄλλα πολλὰ περὶ τῆς τοποθεσίας καὶ τινῶν ἰδιωμάτων τοῦ χωρίου, ἑρμηνεία διεξοδική. 268, 9.

θλαδίας ὅτι παρὰ τὸ θλῶ θλάζω λέγεται τροπῇ τοῦ ζ εἰς δ. 1208, 15.

θλασταὶ ἐλαῖαι ὅτι παρὰ τὸ θλῶ θλάσω λέγονται. 1208, 14.

θλίβω ὅτι ἀπὸ τοῦ θλῶ μονοσυλλάβου παρῆκται. 1532, 6.

θμος λήγοντα ὀνόματα ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὸ ϑ, οἷον μηνιθμός, ὠρυθμός. 352, 3. 607, 8. ἀλλαχοῦ δὲ ὅτι ἐκ τροπῆς τοῦ σ ἔχουσιν αὐτό. 1702, 9. καὶ ὅτι ὀξύνονται κανονικῶς τὰ τοιαῦτα. 582, 16.

θνήσκω ὅτι ἐκ τοῦ θνῶ θνήσω γέγονε πλεονασμῷ τοῦ κ. 922, 60. 1373, 33.

θοάζειν, τρέχειν, μαίνεσθαι, σκιρτᾶν. 746, 20.

θοαὶ νῆσοι μεταληπτικῶς αἱ ὀξεῖαι, θοὸν γὰρ τὸ ὀξύ. 305, 41. 46. 1782, 3.

Θόας, υἱὸς Ἀνδραίμονος καὶ Γόργης τῆς Οἰνέως, ὅτι ὑπὸ Διομήδους ἀπεδείχθη βασιλεὺς Αἰτωλίας. 1016, 34.

Θόη ἢ Θοή, ὅτι Νηρηΐς τις οὕτω λέγεται παρ' Ὁμήρῳ οὐ μόνον

διὰ τὸ θοὸν τοῦ ὕδατος, ἀλλὰ καὶ ὅτι θεούσαις ὑπόκειται ταῖς ναυσὶ τὸ ὕδωρ. 1130, 38. 51.

θοὴ ναῦς ἐπιθετικῶς ἡ ταχεῖα, παρὰ τὸ θέειν. 24, 19. 140, 2. καὶ θοὴ χεὶρ ὁμοίως ἡ ταχεῖα. 906, 22.

θοὴ νὺξ ἡ ταχεῖα ἢ ὀξεῖα ἢ ἡ καταθετικὴ ἢ εἰς ὀξὺ λήγουσα, τουτέστι κωνοειδὴς διὰ τὴν ἀποτελουμένην σκιὰν, ἑρμηνεία διεξοδική. 680, 60. 814, 15—24. 1722, 3.

θοίνη ὅτι παρὰ τὸ θῶ λέγεται. 979, 16.

θολία θηλυκῶς, πῖλος εἴτουν σκιάδιον εἰς ὀξὺ λῆγον. 1934, 9.

θόλος, οἴκημά τι ἰδίως οὕτω καλούμενον ἐν ταῖς οἰκίαις, ὅτι παρὰ τὸ θέειν λέγεται, καὶ ἑρμηνεῖαι διάφοροι τῆς λέξεως. 644, 44. 726, 18. 1934, 6. καὶ ὅτι βαρύνεται ἡ λέξις πρὸς διαστολὴν τοῦ θολὸς ἐπιθέτου. 794, 30. 907, 4. καὶ ὅτι κατὰ θηλυκὸν γένος λέγεται. 1390, 54.

θοὸν τὸ ὀξὺ καὶ τὸ ταχὺ καὶ τὸ τμητικὸν κατὰ τὸ ἄκρον. 337, 37. 1631, 34.

θοὸς ζυγὸς εἰρεσίας, οὐχ ὁ αὐτὸς θοὸς ὤν, ἀλλ' ὁ ἐπιταχύνων τὴν ναῦν διὰ τῶν ἐρεσσόντων. 678, 27. 828, 37. 1041, 30.

θοοῦν ἀντὶ τοῦ ἀποξύνειν μεταληπτικῶς κατὰ ὁμωνυμίαν καὶ συνωνυμίαν. 1631, 31. 34.

θόριξις ἡ μέθη, τὸ θο μικρὸν, καὶ τὸ ρι ἰῶτα, παρὰ τὸ θόρω, ὅ ἐστιν ὁρμῶ, ὅτι καὶ θώρηξις παρὰ τὸ θωρήσσω λέγεται. 166, 18. 242, 33.

θόρνυσθαι τὸ σπερμαίνειν καὶ τὸ θορὸν δέχεσθαι. 1057, 3.

θορὸς τὸ ζωικὸν σπέρμα. 242, 35.

θόρυβος ὅτι ἐκ τοῦ θροῦς καὶ τοῦ βοὴ, δύο ταὐτοσήμων λέξεων, λέγεται. 437, 8.

θόρω τὸ πηδῶ. 242, 33. 796, 45.

θος ληγόντων ὀνομάτων προσῳδία καθόλου, οἷον στρουθὸς, ἀγαθὸς, Ζῆθος, Ξοῦθος, μῦθος, βοηθὸς, ἑρμηνεία διεξοδική. 228, 33.

Θούμαιον, πόλις ἡ καὶ Ἰθώμη. 330, 31. ζήτει τὸ Ἰθώμη.

θοῦρις ἀλκὴ καὶ ἀσπὶς ἐπιθετικῶς ἡ ὁρμητικὴ, παρὰ τὸ θόρω, ὅ ἐστιν ὁρμῶ, ἐκ τοῦ ἀποτελέσματος. 828, 37.

θοῦρος ὁ ὁρμητίας, παρὰ τὸ θόρω, ὃ δηλοῖ τὸ πηδῶ καὶ ὁρμῶ. 828, 37.

θόωκος ὁ θῶκος κατὰ πλεονασμὸν τοῦ ο, καὶ λαμβάνεται ἀντὶ τοῦ συνέδριον ἐν τῷ, οὐδέ ποθ' ἡμετέρη ἀγορὴ γένετ' οὐδὲ θόωκος, Ὀδ. β', 26. 171, 15. 1432, 8.

θοῶσαι τὸ ἀποξῦναι, παρὰ τὸ θοὸν, ὃ δηλοῖ τὸ ὀξὺ ὁμωνύμως. 1392, 52.

Θοώτης, ὄνομα κήρυκος, ὅτι παρὰ τὸ θέειν λέγεται. 908, 37.

Θράϊξ Θρᾷξ, ὅτι παρὰ τὸ θορεῖν τὸ ἀΐσσειν λέγεται, οἱονεὶ Θοράϊξ. 437, 11.

Θρᾷκες, ἔθνος πολλαχοῦ τῆς γῆς διεσπαρμένον, καὶ ὅτι τινὲς Θρᾷκες ἐπήλυδες ὠνομάζοντο, ἱστορία. 358, 24.

Θράκη, χώρα ἐξ εἰκοσιδύο ἐθνῶν συνεστηκυῖα, καὶ περὶ τῶν ὁρίων αὐτῆς, ἱστορία. 358, 34.

Θράκη ὅτι πολύοινος ἦν, καὶ ὅτι Ἄρεος οἰκητήριον ἐνομίζετο. 736, 46. 1297, 18.

θρανίτης ὁ κωπηλάτης, παρὰ τὸ θρᾶνος, ὃ δηλοῖ τὴν τῶν ἐρεσσόντων καθέδραν. 1040, 8. ἀλλαχοῦ δὲ ὅτι θρανῖται οἱ τὴν ἀνωτάτω ἕδραν ἔχοντες ἐν τοῖς ἐρέσσουσιν, οἱ δὲ τὴν μέσην ζυγῖται, οἱ δὲ τὴν κάτω θαλαμῖται. 1818, 51.

θρανίτιδες κῶπαι αἱ τῶν θρανιτῶν. 1400, 24.

θρᾶνος καὶ θρανίον ἡ τῶν ἐρεσσόντων καθέδρα, καὶ θρανίτης ὁ κωπηλάτης, ὅτι παρὰ τὸν θρῆνυν δοκοῦσι λέγεσθαι, ὃ δηλοῖ τὸ ὑποπόδιον. 1040, 7. 1400, 24.

Θρᾷξ ἐθνικὸν ὅτι περισπᾶται, ὡς ἐκ τοῦ Θράϊξ συναιρεθέν. implicite. 359, 2. καὶ περὶ τῆς ἐτυμολογίας τῆς λέξεως ζήτει ἐν τῷ Θράϊξ.

Θρασίος ὅτι παροξύνεται ὡς τρίβραχυ. 1231, 47.

θράσος τὸ ἄλογον παράστημα τῆς ψυχῆς, ὅτι παρὰ θέρω θέρσω, ὃ δηλοῖ τὸ θερμαίνω, λέγεται. 511, 41. 513, 28.

θρασυμέμνων, ὅτι ἐκ τοῦ θράσος καὶ τοῦ μένος σύγκειται ἡ λέξις. 511, 42. 591, 15.

Θρᾷττα, γυνὴ ἐκ Θράκης· καὶ θράττα, ὄνομα ἰχθύος ποιοῦ. 1297, 22.

θραύω ὅτι ἐκ τοῦ θλῶ θλαύω γέγονε τροπῇ τοῦ λ εἰς ρ. 995, 12.

θρέμματα κυρίως τὰ τετράποδα, καταχρηστικῶς δὲ καὶ τὰς περιστερὰς θρέμματά τις ἐκάλεσε. 841, 48.

θρέξασκον, τρίτον πρόσωπον ῥήματος ἀπὸ τοῦ θρέξω μέλλοντος κεκινημένου. 1167, 1.

θρεπτήριος πλόκαμος λέγεται, ὃν κειρόμενοι οἱ ἀρχαῖοι Ἕλληνες ἐν καιρῷ ἀκμαίας ἡλικίας ἀνετίθουν τῷ Ἀπόλλωνι. 165, 6.

θρεπτὸς, ὁ καὶ τρόφιμος. 846, 11.

θρέπτρα ἀντὶ τοῦ θρεπτήρια, ὅ ἐστι τροφεῖα, ὅτι κατὰ συγκοπὴν λέγεται, κατ' ἀναλογίαν τοῦ λυτήριον λύτρον, καὶ σωστήριον σῶστρον, καὶ τῶν ὁμοίων. 501, 16. 1107, 47.

θρεφθῆναι ἀντὶ τοῦ τραφῆναι κατὰ χρῆσιν ποιητικήν. 519, 41.

θρέω τὸ σὺν θορύβῳ λαλῶ ἢ βοῶ, ὅθεν θρόος, καὶ παραδείγματα τῆς χρήσεως τοῦ ῥήματος. 494, 22.

θρηνεῖν ἐπῳδὰς, παρὰ Σοφοκλεῖ τὸ γοερῶς ἐπᾴδειν. 1147, 8.

θρῆνος τὰ παρ' αὐτῇ τῇ συμφορᾷ μονῳδούμενα πρὸ τῆς ταφῆς τοῦ νεκροῦ καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τῆς κηδείας. 1673, 46. καὶ ὅτι οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ οὐδετέρως λέγεται κατά τινας. 432, 18.

θρῆσαι καὶ θρήσασθαι τὸ καθίσαι κατὰ γλῶσσαν. 1400, 23. 1482, 4.

θρῆνυς τὸ ὑποπόδιον, ὅτι παρὰ τὸ θρήσασθαι, ὅ ἐστι καθέζεσθαι, λέγεται, ἢ παρὰ τὸ θορεῖν ἄνω. 1482, 3. καὶ θρῆνυς ἐνίοτε ἡ τῶν ἐρεσσόντων καθέδρα. 1040, 5. καὶ ὅτι ἀρσενικοῦ ἐστὶ γένους, καὶ περὶ τῆς ἐτυμολογίας τῆς λέξεως. 982, 60. 1400, 23.

Θρία ἐγκεφάλου, βρῶμα ποιὸν παρ' Ἀθηναίοις, ἑρμηνεία διεξοδική. 757, 54.

Θριγκὸς, φραγμὸς ἢ περίβολος ὑπερκείμενος καὶ τριχῶν δίκην κοσμῶν, ὅτι παρὰ τὴν τριχὸς γενικὴν γέγονε πλεονασμῷ τοῦ ν̄ κατ' ἐναλλαγὴν ἀφώνων. 1570, 12. 27.

Θριγκῶσαι τὸ χαρακῶσαι, ἢ στεφάνην καὶ οἷον τρίχα τινὰ ἐπιθεῖναι τοῖς οἰκοδομήμασιν ἢ φραγμοῖς. 1748, 42. ζήτει τὸ Θριγκός.

Θρίδαξ τὸ φυτὸν, ὅτι μισητὸν Ἀφροδίτῃ ἱστορεῖται διὰ τὸ τὸν Ἄδωνιν ὑπὸ θρίδακι καταφυγόντα ἀναιρεθῆναι ὑπὸ κάπρου. 1283, 29.

Θρινακία παρ' Ὁμήρῳ ἀντὶ τοῦ Τρινακρία, τουτέστιν ἡ Σικελία, ὅτι παρὰ τὸ τρεῖς ἄκρας ἔχειν οὕτως εἴρηται. 1675, 5.

Θρὶξ ἐπὶ ἵππων, ὅθεν καλλίτριχες λέγονται. 144, 46.

Θριπήδεστα ξύλα, ὅτι ἐκ τοῦ θρὶψ θριπὸς καὶ τοῦ ἐδῶ ἐδέσω σύγκειται ἡ λέξις, καὶ ὅτι τινὲς ἀντὶ τοῦ θριπήδεστα θριπηδέστατα γράφουσι πεντασυλλάβως. 1403, 37.

Θρίσσα ὅτι παρὰ τὴν τρίχα λέγεται. 1276, 34.

Θρόμβος ὅτι παρὰ τὸ τεθρύφθαι, ὅ ἐστι πεπῆχθαι, λέγεται. 1627, 33.

-θρον ληγόντων τινῶν ὀνομάτων κατάλογος, οἷον πέλεθρον, ῥέεθρον, φαρύγεθρον. 545, 20.

Θρόνα τὰ φάρμακα, καὶ τὰ βεβαμμένα ἔρια ἢ λίνα, ἐτυμολογία καὶ ἑρμηνεία διεξοδική. 1278, 45.

Θρόνιον, πόλις τῶν Ἐπικνημιδίων Λοκρῶν. 277, 44.

Θρόνος τὸ ἐφ' οὗ καθήμεθα, καὶ ὅτι καὶ εἶδός τι ἄρτου δηλοῖ ὁμωνύμως. 1365, 19.

Θρόνος, καθέδρα σὺν ὑποποδίῳ, παρὰ τὸ θρήσασθαι, ὅ ἐστι καθέζεσθαι· καὶ ὅτι κλισμὸς περισσοτέρως ἐσκεύασται ἐπὶ ἀνακλίσει, ὁ δὲ δίφρος εὐτελέστερόν τι τούτων. 1482, 3—8. καὶ ὅτι ὁ θρόνος καὶ ὁ δίφρος καὶ ὁ κλισμὸς ἐπὶ τοῦ αὐτοῦ τίθεται κατὰ συνωνυμίαν. 1366, 59.

Θρόος καὶ θροῦς ὅτι παρὰ τὸ θρέω θρῶ λέγεται. 494, 21. καὶ ζήτει τὸ Θρέω.

Θρύλιγμα ὅτι παρὰ τὸ θρυλλῶ θρυλλίσω γέγονε, καὶ ὅτι ἡ πλείων χρῆσις δι' ἑνὸς λ̄ γράφει τὰ τοιαῦτα. 1307, 41.

Θρυλλίσσεσθαι τὸ θραύεσθαι καὶ δρύπτεσθαι, παρὰ τὸ θρυλλῶ, καὶ ὅτι ἡ πλείων χρῆσις δι' ἑνὸς λ̄ γράφει τὰ τοιαῦτα. 1307, 40.

Θρίμβοι χυδαϊκῶς τὰ παρὰ τοῖς λογίοις λεγόμενα θύμβρα. 1828, 14.

Θρυόεσσα, πόλις ἡ καὶ Θρύον, ἀπὸ τῶν περὶ αὐτὴν φυομένων θρύων οὕτω λεγομένη, καὶ ὅτι διαφόρως λεγομένη διαφόρως καὶ τὰ ἐθνικὰ σχηματίζει. 297, 1. 880, 24.

Θρύπτω τὸ καὶ θραύω, ὅτι ὀνοματοπεποίηται ἡ λέξις. 424, 21.

Θρῶ, ἀπὸ τοῦ θορῶ συγκοπὲν, ὅτι τρίτης ἐστὶ συζυγίας. 796, 45.

Θρῴσκω, τὸ θρω μέγα σὺν τῷ ῑ ὑπογεγραμμένῳ, ὡς ἀπὸ τοῦ θορῶ θορίσκω κατὰ μετάθεσιν καὶ ἔκτασιν. 326, 10. 1064, 5. 1227, 26. 1722, 41.

Θρωσμὸς, τόπος ὑψηλὸς, εἴτουν γήλοφος, ἑρμηνεία διεξοδική. 796, 35—46. καὶ ὅτι μετὰ τοῦ ῑ γράφεται ὡς ἀπὸ τοῦ θρῴσκω. 1227, 28.

Θρωσμὸς πεδίου, ὅτι τὴν λεγομένην καλλικολώνην ἐνόμισάν τινες θρωσμὸν λέγεσθαι παρ' Ὁμήρῳ. 1195, 40.

Θυάδες αἱ Βάκχαι, παρὰ τὸ θύειν, ὅ ἐστιν ὁρμᾶν, καὶ ὅτι καὶ Θύσαι λέγονται παρὰ Λυκόφρονι. 114, 43.

Θυγατρῶν ποιητικῶς ἀντὶ τοῦ θυγατέρων. 1514, 16. 1594, 5. καὶ ὅτι ἄχρηστόν ἐστιν ἐν πεζῷ λόγῳ. 392, 6.

Θυέεσσιν ἀντὶ τοῦ θυμιάμασιν, ἀπὸ τῆς θύος εὐθείας. 767, 46.

Θύειν αἵματι λέγεται δάπεδον Ὀδ. λ', 420. ἀντὶ τοῦ θύεσθαι καὶ περιῤῥεῖσθαι, ἢ φαντασίαν παρέχεσθαι τοῦ θύειν, ὅ ἐστιν ὁρμᾶν καὶ κινεῖσθαι, διὰ τὸ ἐπ' αὐτοῦ ῥέον αἷμα. 1692, 19.

Θύειν ὅτι ἀντὶ τοῦ θυμιᾶν ἀεὶ παρ' Ὁμήρῳ κεῖται, οὐδέποτε δὲ ἐπὶ τοῦ σφάζειν ἱερεῖον, ὅθεν καὶ θύος τὸ θυμίαμα. 1767, 14. καὶ ὅτι κατὰ τὸ σπένδειν καὶ εὔχεσθαι θύειν λέγεται παρ' Ὁμήρῳ. 1781, 30.

Θύεσθαι ἀντὶ τοῦ θύειν παρὰ τοῖς Ἀττικοῖς, καὶ θυόμενος ἀντὶ τοῦ θύων. 1223, 45.

Θύη τὰ θυμιάματα, ἀπὸ τῆς θύος εὐθείας. 1346, 39.

Θυήεις βωμὸς ὅτι παρὰ τὸ θύος ἢ τὸ θύειν λέγεται. 697, 44. 1601, 2.

Θυηλαὶ αἱ διὰ θυσιῶν μαντεῖαι. 1601, 4.

Θυηχόοι οἱ ὑπὲρ ἄλλων θύοντες ἱερεῖς. 1601, 3.

Θυλάκιον ὑποκοριστικὸν, ὅτι χρήσιμός ἐστι λέξις. 1534, 48.

Θύλακος ὅτι καὶ κώρακος καὶ μάρσιππος συνωνύμως λέγεται. 1534, 47. καὶ ὅτι καὶ τὸ τοῦ ἀνθρώπου σῶμα θύλακος κρεῶν λέγεται τροπικῶς. 1303, 38. 1450, 14. καὶ παροιμία, εὖ μὲν ἀσκὸς, εὖ δὲ θύλακος, ἐπὶ τῶν τῷ βίῳ ἐπαμφοτεριζόντων. 1646, 19.

Θυμαλγὲς τὸ λυπηρὸν, ὅτι παρὰ τὸ ἄλγος καὶ τὸ θυμὸς λέγεται. 388, 19. καὶ θυμαλγὴς χόλος ὁμοίως. 750, 53.

Θυμαρὴς ἢ θυμάρης ἐπίθετον, ζήτει τὸ Θυμαρέα.

Θυμαρέα, αἰτιατικὴ ἀπὸ τῆς θυμαρὴς εὐθείας, ὅτι παρὰ τὸ ἀρηρέναι ἢ ἀρέσκειν τῷ θυμῷ λέγεται, καὶ ὅτι διὰ μὲν τοῦ ᾱ προφερομένη ὀξύνεται ἡ λέξις, διὰ δὲ τοῦ η̄ βαρύνεται, θυμήρης γάρ. 754, 60. 1946, 35.

Θύμβρα, πόλις τῆς Τρωάδος ἔχουσα καὶ ποταμὸν Θύμβριν λεγόμενον, ὅθεν καὶ Θυμβραῖος Ἀπόλλων, ὁ καὶ Ζυμβραῖος διὰ τοῦ ζ, ἔτι δὲ καὶ Θύμβριος καὶ Δύμβριος διὰ τοῦ δ̄. 816, 11—22.

Θυμβραῖος Ἀπόλλων, ζήτει ἐν τῷ Θύμβρα. 816, 11.

Θυμβρεπίδειπνος ὁ εὐτελῶς δειπνῶν καὶ μόνοις θύμβροις ἀρκούμενος διὰ φειδωλίαν. 816, 25. 1828, 13.

Θύμβρις, ποταμὸς περὶ Θύμβραν πόλιν τῆς Τρωάδος· καὶ Θύμβρις ὁμωνύμως ποταμὸς Ῥώμης, ὁ καὶ Τίβερις. 816, 11.

Θυμηγερέειν τὸ ἀγείρειν τὸν θυ-

μὸν, ὅ ἐστι συνάγειν καὶ ἀνακτᾶσθαι τὴν ψυχὴν ἐκ λειποθυμίας. 457, 41. 577, 10. 1014, 44. 1280, 41. 1580, 6. 1605, 25.

Θυμηδὲς, κατ' ἀναλογίαν τοῦ μελιηδὲς, ὅτι ἀντίκειται τῷ θυμαλγές. 1805, 59.

Θυμηδία ὅτι παρὰ τὸ ἥδειν, ὅ ἐστιν εὐφραίνειν, τὸν θυμὸν λέγεται. 1652, 1.

Θυμῆρες, ὅτι ἐκ τοῦ θυμὸς καὶ τοῦ ἦρ ἦρος, ὃ δηλοῖ τὴν χάριν, σύγκειται ἡ λέξις. 972, 14. καὶ θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων, παρ' Ὁμήρῳ ἀντὶ τοῦ καταχέασα ὕδωρ οὐ πάνυ θερμὸν, ἀλλ' εὔκρατον. 1662, 7.

Θυμήρης βαρυτόνως, θυμαρὴς δὲ ὀξυτόνως, ζήτει ἐν τῷ θυμαρεία. 1946, 35.

Θυμοβόρος ἔρις ἡ τὴν ψυχὴν βιβρώσκουσα. 1171, 28.

Θυμοίτης κύριον ὅτι παρὰ τὸ θυμὸς λέγεται πλεονασμῷ τοῦ ῑ. 113, 6.

Θυμολέων ὁ ψυχικὴν προθυμίαν ἔχων κατὰ τοὺς λέοντας. 678, 62.

Θυμομαχεῖν λέγεταί τις ὡς τοῦ χόλου πολεμίου ὄντος τοῖς πάσχουσι. 979, 5.

Θυμὸν ἀγεῖραι, εἰς εὐψυχίαν ὑποκινῆσαι. 577, 13.

Θύμον ὅτι οὐδετέρως παρ' Ἀττικοῖς λέγεται. 1390, 57. ζήτει τὸ θύμος.

Θυμοραϊστὴς, ὅτι ἐκ τοῦ ῥαίω τὸ φθείρω γίνεται ῥαΐζω, ὅθεν θυμοραϊστὴς ὡς κυνοραϊστής· καὶ ὅτι κοινῶς μὲν ἑνὶ ῥ γράφονται τὰ τοιαῦτα, Ἀττικῶς δὲ δυσί. 945, 50. 1076, 20. 1139, 62.

Θυμὸς ὁ χόλος, ὅτι παρὰ τὸ θύειν, ὅ ἐστιν ὁρμᾶν, λέγεται, οἱονεὶ θύαιμος· καὶ ὅτι κίνησις τοῦ περικαρδίου αἵματός ἐστιν ὁ θυμός. 8, 22. 34. 114, 38. ἀλλαχοῦ δὲ ὅτι ζέσις ἐστὶ τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. 1134, 6. καὶ ὅτι τοῦ θυμικοῦ τῆς ψυχῆς ἕδρα ἐστὶν ἡ καρδία. 144, 19 καὶ θυμὸς ἡ ψυχὴ καὶ ἡ διάνοια. 80, 38. 660, 28. καὶ θυμὸς τὸ ζωτικὸν πνεῦμα ἐν τῷ, μόγις ἐσαγείρατο θυμὸν, παρ' Ὁμήρῳ. 1244, 52. καὶ θυμὸς μελιηδὴς ἐπιθετικῶς πολλαχοῦ παρ' Ὁμήρῳ ἡ φίλη ἑκάστου ψυχή. 820, 47. καὶ θυμὸς ἵλαος ἡ πραϋθυμία. 780, 16. καὶ θυμὸς ὑπέρβιος ὁ χόλος ἢ ἡ βιαία ψυχή. 1779, 20. καὶ θυμὸς ὁμωνύμως ἀδήν τις μεταξὺ τῶν κλειδῶν. 1214, 22.

Θύμος ὅτι καὶ θύμον λέγεται κατὰ γένους μεταπλασμόν. 1148, 25. ζήτει τὸ θύμον.

Θυμόσοφος ὁ ἀφ' ἑαυτοῦ καὶ τῇ κατ' αὐτὸν εὐφυΐᾳ σοφός. 678, 63. καὶ ὅτι διὰ τοῦ, ὃς θυμῷ εἰδείη, περιφράζεται παρ' Ὁμήρῳ. 900, 44.

Θυμοφθόρα φάρμακα τὰ φθαρτικὰ καὶ ἀναιρετικὰ τοῦ λογισμοῦ. 1448, 35.

Θυμῷ χαίρειν, ἤγουν ἐκ ψυχῆς χαίρειν, Ἰλ. ή, 191. 675, 59.

Θυμῷ εἴκειν, παρ' Ὁμήρῳ ποτὲ μὲν ἐπὶ θυμοῦ, ποτὲ δὲ ἐπὶ ἐπιθυμίας ἀκούεται ὁ θυμός. 1528, 30.

Θύνναξ θύνναχος, ὑποκόρισμα θύννου, ὡς τοῦ ὀρφῶς ὁ ὄρφαξ. 1720, 60.

Θυννὶς, ἡ καὶ πηλαμίς. 994, 49.

Θύννοι οἰστρηλατούμενοι περὶ κυνὸς ἐπιτολὴν, ἱστορία φυσική. 1928, 20.

Θύννοι ὅτι βαλανηφαγοῦσιν ἀπὸ δρυαρίων φυομένων ἐν τῇ θαλάσσῃ. 1715, 51.

Θύννος ὅτι παρὰ τὸ θύνω, ὅ ἐστιν ὁρμῶ, λέγεται διπλασιασμῷ τοῦ ν̄, καὶ ὅτι καὶ θύνναξ ὑποκοριστικῶς λέγεται, καὶ ὅτι ὑπὸ μὲν τινῶν σεμνύνεται ὁ θύννος, ὑπὸ δὲ τινῶν ἐκφαυλίζεται. 1720, 60. 63. καὶ περὶ τινῶν ἰδιωμάτων τοῦ ἰχθύος ἱστορία φυσικὴ, καὶ περὶ διαφόρων ὀνομασιῶν τῶν εἰδῶν αὐτοῦ. 994, 47.

Θύνω παρὰ τὸ θύω, ὅ ἐστιν ὁρμῶ, πλεονασμῷ τοῦ ν̄. 171, 21.

Θυόεν νέφος τὸ εὐῶδες. 697, 45. 1010, 7.

Θυομένων ζώων παρ' Ἕλλησιν ἕξις καὶ ποιότης, ὅτι γαλαθηνὸν ἢ ἄπεκτον ἢ ἄτοκον πρόβατον ἀπηγόρευτο θύειν, ἔτι τῇ τῆς Ἀθηνᾶς ἱερείᾳ οὐκ ἐξῆν θύειν ἀμνήν. 1485, 56.

Θύον, εἶδός τι δένδρου οὕτω λεγόμενον. 1523, 36.

Θύος τὸ θυμίαμα παρ' Ὁμήρῳ, παρὰ τὸ θύειν, ὃ δηλοῖ τὸ θυμιᾶν ἀεὶ παρ' Ὁμήρῳ. 641, 60. 1767, 17. παρὰ δὲ τοῖς μεθ' Ὅμηρον θύος τὸ θυόμενον ἱερεῖον. 1010, 13. 1293, 29.

Θυοσκόος ὁ διὰ θυέων, ὅ ἐστι θυμιαμάτων ἢ ἱερείων, κοῶν, ὅ ἐστι νοῶν τὸ μέλλον· ἢ θυοσκόος ὁ θύτης, ὁ τὰ θύη κίων ἤγουν καίων. 1346, 36. 1626, 47. 1905, 22. ἀλλαχοῦ δὲ ὅτι θυοσκόος ὁ ἱεροσκόπος, ἤγουν ὁ δι' ἐμπύρων τὸ μέλλον σημαίνων. 1601, 3.

Θύρα Φανίου, ζήτει ἐν τῷ, Φανίου θύρα. 1959, 14.

Θύραζε, ὅτι τὸ θύραζε γενέσθαι ἐπὶ οἴκου κυρίως λέγεται, καὶ θύραζε τὸ ἁπλῶς ἔξω πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον καὶ ἐν τῷ, ἁλὸς πολιοῖο θύραζε, Ὀδ. έ, 410. 595, 1. 1067, 53. 1152, 62. 1233, 55. 1540, 40. 1639, 64.

Θύραι οἰκίας λέγονται, πύλαι δὲ πόλεως. 1257, 36. ἀλλαχοῦ δὲ ὅτι θύραι αἱ σανίδες, αἷς κλείονται αἱ εἴσοδοι τῶν οἰκιῶν ἢ πόλεων, πύλαι δὲ αἱ εἴσοδοι αὐταὶ, ἐφ' αἷς αἱ θύραι. 895, 45. 1142, 47.

Θύραι τροπικῶς αἱ αἰσθήσεις, δι' ὧν βαίνουσιν εἰς τὴν ψυχὴν τὰ αἰσθητὰ, καὶ ὅτι καὶ γλώσσης θύρα λέγοιτ' ἄν. 1627, 4.

Θύραι σπηλαίου, παρ' Ὁμήρῳ ἀναλογικῶς. 1637, 40.

Θυρεὸς παρ' Ὁμήρῳ ταὐτὸ ὅπερ θύρα, παρὰ δὲ τοῖς ὕστερον εἶδος ἀσπίδος μεγάλης ἐοικυίας θύρᾳ, ὅθεν καὶ λέγεται ἐπενθέσει τοῦ ε̄. 1626, 55. 1627, 2. 1744, 19.

Θύριον, θύρας ὑποκόρισμα, ὅτι προπαροξύνεται ἡ λέξις. 268, 9.

Θυροκοπικὸν, ὄνομα αὐλήσεως ποιᾶς. 1236, 57.

Θύρσοι, κλάδοι τινὲς, οὓς ἔφερον οἱ περὶ τὸν Διόνυσον, θυρσοὶ δὲ ὀξυτόνως γαμικά τινα στέμματα. 629, 50.

Θυς λήγοντα ἐπιῤῥήματα ὅτι καὶ ἀποβαλόντα τὸ ληκτικὸν σ̄ ἐπὶ τοῦ αὐτοῦ μένουσι σημαινομένου, οἷον εὐθὺς εὐθὺ, ἰθὺς ἰθύ. 579, 1.

Θύσαι αἱ Βάκχαι, αἱ καὶ Θυάδες. 114, 44.

Θύσανοι οἱ κροσσοὶ, ὅτι παρὰ τὸ θύειν, ἤγουν σείεσθαι, λέγονται. 252, 9. 17. 600, 22. 976, 28.

Θύσθλα, τελεστικά τινα θύματα Διονυσιακὰ, ἢ κλάδοι τινὲς, οἷόν τι καὶ οἱ νάρθηκες καὶ οἱ θύρσοι. 629, 48.

Θυσία ὅτι παρὰ τὸ θύος, ὃ δηλοῖ τὴν ἐκ τῶν θυομένων ἱερείων ἀναθυμιωμένην κνίσσαν, λέγεται. 641, 61. καὶ ὅτι σκοπός ἐστι τῶν θυσιῶν ἡ εὐχαριστία. 133, 9. καὶ περὶ τῆς παρ' Ὁμήρῳ Ἰλ. α', 458 sqq. θυσίας ἑρμηνεία διεξοδική. 134, 13. καὶ περὶ τῶν παρὰ Πέρσαις θυσιῶν ἱστορία. 135, 2. καὶ ὅτι ἡ ἐκ τριῶν ζῴων θυσία τριττύα ἐλέγετο, ἐκ ποίων δὲ ζῴων ζήτει ἐν τῷ τριττύα· ἡ δ' ἐκ δώδεκα δωδεκαΐς, ἡ δ' ἐξ ἑκατὸν ἑκατόμβη, ἡ δ' ἐκ χιλίων χιλιόμβη. 1676, 37. καὶ ὅτι τὸ αἷμα τῶν θυομένων ἱερείων εἰς ἀγγεῖον δεχόμενοι τῷ βωμῷ ἐπέχεον οἱ πάλαι Ἕλληνες· καὶ ὅτι καὶ πρόθυμα, εἴτουν προβολὴ καὶ καταρχὴ θυσίας, ἣν τὸ τίλλειν καὶ καίειν τὰς τῆς κεφαλῆς τοῦ ἱερείου τρίχας. 1476, 41. 45.

Θυῶ θυώσω ῥῆμα, ὅτι παρὰ τὸ θύος ἢ θύον λέγεται. 1488, 12.

Θυώδης ὁ εὐώδης, παρὰ τὸ θύον, ὅ ἐστι θυμίαμα. 1488, 9.

Θυώματα τὰ εὐώδη θυμιάματα, παρὰ τὸ θύος ἢ θύον. 1488, 15.

Θῶες, οἱ καὶ λυκοπάνθηρες, εἶδος ζῴου ὑαίνῃ παραπλήσιον, ἱστορία φυσική. 856, 51. 922, 51.

Θωὴ ἡ κατατιθεμένη ζημία, παρὰ τὸ θῶ, ὡς παρὰ τὸ ζῶ ζωή. 953, 41. 1441, 1.

Θὼθ, μὴν Αἰγυπτίων, ὅτι ἀπὸ Θῶνος τινὸς βασιλέως ἔσχε τοὔνομα. 1493, 58.

Θῶκόνδε καθιζάνειν, ἀντὶ τοῦ ἐκκλησιάζειν, Ὀδ. ε', 3 1520, 38.

Θῶκος καὶ θᾶκος ὁ θρόνος, παρὰ τὸ θῶ. 746, 20. 1008, 48.

Θῶμιγξ, τὸ σχοινίον. 1539, 13.

Θωμὸς, σωρὸς σπερμάτων, καὶ ὅτι διὰ τοῦ ω λέγεται, οὐ μὴν θημὸς διὰ τοῦ η. 1539, 12.

Θων λήγοντα ὀνόματα ὅτι φυλάττουσι τὸ ω ἐπὶ τῶν πλαγίων, οἷον κώθων κώθωνος, μόθων μόθωνος, ῥώθων ῥώθωνος. 1409, 21.

Θῶνις Αἰγύπτιος, ἱστορία διεξοδικωτάτη, καὶ Θῶνις πόλις. 1493, 54 - 63.

Θῶνος, γενικῆς πτώσεως ἐν τῷ, Θῶνος παράκοιτις, Ὀδ. δ', 228. ὅτι ἀπὸ τοῦ Θόων Θόωνος γέγονε κατὰ συγκοπὴν, ἢ ἀπὸ τοῦ Θῶνις Θώνιος ὁμοίῳ πάθει· καὶ περὶ τοῦ Θῶνος τούτου ἱστορία διεξοδικωτάτη. 1493, 54—63.

Θωράκιον τὸ ἐπικείμενον τῷ καρχησίῳ τετράγωνον. 1423, 15.

Θώραξ ὁ ἀνθρώπειος κορμὸς χωρὶς χειρῶν καὶ ποδῶν. 835, 52. καὶ θώραξ ὁμωνύμως τὸ ἐπ' αὐτῷ ὅπλον. 26, 24. καὶ θώραξ στατὸς τὸ αὐτὸ ὅπλισμα, ἑρμηνεία διεξοδική. 453, 40.

Θώρηξις ἡ ἀκρατοποσία εἴτουν μέθη ὁμωνύμως, καὶ ὅτι καὶ θόριξις διὰ τοῦ ο καὶ τοῦ ι λέγεται ἐπὶ τοῦ αὐτοῦ. 166, 12. 242, 30. ζήτει τὸ θωρήσσεσθαι.

Θωρήσσεσθαι τὸ ὁπλίζεσθαι καὶ τὸ μεθίσκεσθαι ὁμωνύμως, ὅθεν θώρηξις ἡ ἀκρατοποσία. 166, 11.

Θὼς, ὁ καὶ λυκοπάνθηρ. 856, 51. ζήτει ἐν τῷ θῶες.

Θωϋμάσιον τὸ θαυμάσιον Ἰωνικῶς. 482, 39.

Ἀρχὴ τοῦ Ι στοιχείου.

ι στοιχεῖον, ὅτι ἡ τοῦ ι ἐπαλληλία σεσηρέναι ποιεῖ τὰ χείλη, οἷον ἐν τῷ, Ἴριδι δίῃ. 820, 34.

ι, ὅτι τὸ τοῦ ἰῶτα στοιχείου σημεῖον τὰ δέκα σημαίνει. 1428, 28.

ι πρὸ φωνήεντος ὅτι ψιλοῦται. 1025, 12.

ι πρὸ τοῦ σ ἐπαγομένου δασέος ὅτι ψιλοῦται, οἷον ἴσχας. implicite. 1341, 6.

ι λήγοντα οὐδέτερα, ὅτι τῶν εἰς ι ληγόντων οὐδετέρων δύο μόνα εἰσὶν Ἑλληνικά. 846, 9.

ι ἐπεντιθέμενον ὅτι οὐκ ἐξαλλάσσει τὸν τόνον, οἷον πέρων πειρῶν. 1336, 25.

ι πλεονάζον ἐν μέσῳ λέξεων πολυβραχέων πρὸς συντέλειαν μέτρου δακτυλικοῦ, οἷον ὁδοπόρος ὁδοιπόρος, μεσαπόλιος μεσαιπόλιος. 422, 33.

ι λήγουσαι δοτικαὶ μεταπεπλασμέναι ἀπὸ τῶν εἰς η, οἷον Δωδῶνι ἐκ τοῦ Δωδώνη. 58, 34.

ι λήγουσαι δοτικαὶ ἐκ κράσεως δύο ιι εἰς ι μακρὸν γενόμεναι, οἷον Θέτι Θέτι, μήτι μήτι. 348, 35.

ι ληκτικὸν δοτικῆς ὅτι ἐκθλίβεταί ποτε, οἷον ἐν τῷ, ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, Ἰλ. ε', 5. 514, 18.

ι ληκτικὸν δοτικῶν ἐκτεινόμενόν ποτε πρὸς μέτρου χρείαν. 52, 9. 54, 22.

ι λήγουσαι δοτικαὶ ὀνομάτων δισύλλαβοι ὀξύνονται, εἰ μὴ ἐκ κράσεως ἔπαθον τὴν δισυλλαβίαν, ὡς τὸ κέαρι κῆρι, ἔαρι ἦρι. 1146, 50.

ι λήγουσαι δοτικαὶ ὑπερδισύλλαβοι, ὅτι ἀποστρέφονται τὴν ὀξυτόνησιν, πλὴν τοῦ θυγατρί. 1388, 48.

ι λήγουσαι δοτικαὶ ὀξύτονοι ἀπὸ βαρυτόνων εἰς ω ληγουσῶν μεταπεπλασμέναι, οἷον λιτὶ, κλαδί. 1460, 19.

ι κατ' ἐπέκτασιν προστιθέμενον τῷ τέλει τινῶν τοῦ λόγου μερῶν, οἷον ἐν τῷ οὑτοσὶ, νυνί. 45, 2.

ι ληκτικὸν ἐπιῤῥημάτων, οἷον αὐτόθι, κεῖθι, ὅθι. 122, 8.

ια λήγοντα ὀξύτονα θηλυκὰ ὅτι περιεκτικῆς εἰσὶν ἐννοίας, οἷον ἀχυρμιὰ, μυρμηκιά. 748, 18. 1698, 37.

ια ληγόντων θηλυκῶν ὀξυτόνων παραγωγὴ ἀπὸ ὁμογενῶν εἰς η ληγόντων, οἷον ἐσχάτη ἐσχατιὰ, σκοπὴ σκοπιά. 1183, 60. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὸ ι τὰ τοιαῦτα. 1507, 53.

ια λήγοντά τινα θηλυκὰ διὰ τὸ μέτρον ἐκτείνοντά ποτε τὸ παραλῆγον δίχρονον, οἷον τὸ ὑποδεξία ἐν τῷ, πᾶσα τοι ἔσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις; Ἰλ. ι', 73. 736, 54.

ια ληγόντων πληθυντικῶν οὐδετέρων ἐπὶ ἑορτῶν γραφὴ παραληκτικὴ, οἷον Διάσια, Διονύσια, Ὀλύμπια. 444, 14.

ια λήγοντα πληθυντικά τινα οὐδέτε-

ρα συγκοπτόμενα ποτὲ, οἷον μηρία μῆρα, σιτία σῖτα. 1017, 61.

ἴα ἡ φωνή. 794, 54. καὶ ἴα ἀντὶ τοῦ μία, ἀπὸ τοῦ ἴος ἀῤῥήτου ἀρσενικοῦ. 663, 26. καὶ ἴα ἀντὶ τοῦ πρώτη. 1052, 48.

ἰὰ ἀντὶ τοῦ ἰοὶ κατὰ γένους μεταπλασμόν. 1197, 24.

ιαδης λήγοντα πατρωνυμικὰ τίνα ἐκ πλεονασμοῦ ἔχουσι τὸ παραλῆγον ᾱ καὶ τίνα φύσει. 13, 10. 27. 31. ζήτει ἐν τῷ ᾱδης λήγοντα.

ἰαίνεσθαι, τήκεσθαι, ἥδεσθαι, διαχεῖσθαι, μαλάσσεσθαι. 1008, 4. 1559, 47. καὶ ὅτι ἰαίνεσθαι λέγεται κυρίως τὸ ὕδωρ, τουτέστι χλιαίνεσθαι καὶ θερμαίνεσθαι. 1661, 63. καὶ ἰαίνεσθαι λέγονται οἱ στάχυες τῇ δρόσῳ, ἤγουν φαιδρύνεσθαι· ὁ δὲ χαλκὸς ἰαίνεται πυρούμενος, ἤγουν θερμαίνεται. 1318, 32. 1605, 1.

ἰαίνω τὸ εὐφραίνω καὶ γλυκαίνω. 1506, 53. ζήτει τὸ ἰαίνεσθαι.

ιαιος λήγοντα ὀνόματα προπερισπώμενα, ἐκ πλεονασμοῦ ἔχοντα τὸ προπαραλῆγον ῑ, οἷον μναϊαῖος, καμινιαῖος, ταλαντιαῖος. 1878, 60. 1905, 36.

Ἴαιρα Νηρηΐς τις λέγεται παρὰ τὸ ἰαίνειν διὰ τὸ τοῦ ὕδατος εὐφρόσυνον. 1130, 47. ζήτει τὸ Ἰάνασσα.

ἴακχος ὁ ἐπὶ Διονύσῳ ἦχος παρὰ τὸ ἰάχειν, καὶ Ἴακχος αὐτὸς ὁ Διόνυσος ὁμωνύμως. 629, 30. 962, 60.

Ἰάλεμος, ὄνομα μωροῦ τινὸς καὶ εὐήθους ἀνθρώπου, ὅτι παρὰ τὸ ἀλᾶσθαι λέγεται, ἀφ᾽ οὗ παροιμιακῶς λέγεται τὸ, Ἰαλέμου ψυχρότερος. 636, 59. καὶ ἰάλεμος, πένθιμός τις ᾠδὴ ὁμωνύμως. 1164, 8.

ἰάλλειν τὸ πέμπειν καὶ βάλλειν, καὶ ἀπὸ χεῖρας ἰάλλειν, τὸ ὑπάγειν καὶ ἀπέχεσθαι· καὶ ὅτι κατὰ μὲν τὸν κανόνα τοῦ ῑ πρὸ φωνήεντος ψιλοῦται τὸ ἰάλλειν, ἡ δὲ σύνθεσις τοῦ ἐφιάλτης καὶ τοῦ ἐφιάλλειν δασύνεσθαι αὐτὸ ὑπαγορεύει. 562, 35. 714, 34. 1403, 6. 13—20.

ἰάλλω ὅτι παρὰ τὸ ἰῶ, ὅ ἐστι πέμπω, παρῆκται. 867, 19. καὶ περὶ τοῦ πνεύματος τῆς λέξεως ζήτει τὸ ἰάλλειν.

Ἰαλυσὸς, πόλις Ῥόδου, καὶ ἄλλη τοῦ Ἀδρίου κόλπου, καὶ ἄλλη Σκυθίας. 315, 22.

Ἰάμβη, κόρη τις, ὅτι αἰσχρῶς ὑβρισθεῖσα ἀπήγξατο· καὶ ὅτι Ἰάμβη, θεράπαινα Κελεοῦ, λυπουμένην τὴν Δήμητρα παρεμυθεῖτο ὀρχουμένη τὸ ἰαμβικὸν μέτρον, ἱστορία. 1684, 48. 53.

Ἰάμνια, τὸ μνῖ ἰῶτα κατ᾽ ἀναλογίαν. 265, 43.

Ἰάνασσα καὶ Ἰάνειρα, ὀνόματα Νηρηίδων, παρὰ τὸ ἰαίνω, ὅ ἐστιν εὐφραίνω καὶ γλυκαίνω διὰ τὸ τοῦ ὕδατος εὐφρόσυνον. 1130, 47. 1506, 52.

Ἰάνειρα, ὄνομα Νηρηΐδος τινὸς, ζήτει τὸ Ἰάνασσα. 1130, 46.

Ἴανος διπρόσωπος ὅτι πρῶτος νόμισμα χαλκοῦν ἐχάραξε καὶ ἄλλα τινὰ εὗρεν, ὅθεν καὶ κεφαλὴν διπρόσωπον ἐνεχάραττόν τινες τοῖς νομίσμασιν, ἱστορία. 1533, 3.

Ἰάονες, ἔθνος τι οὕτω καλούμενον, χρόνος παραληκτικὸς καὶ προπαραληκτικὸς τῆς λέξεως· καὶ ὅτι ἄλλο τι ἔθνος παρὰ τοὺς Ἴωνας, καὶ ὅτι ἐν Πελοποννήσῳ οἱ Ἰάονες, καὶ ὅτι τοὺς Ἀθηναίους τινὲς Ἰάονας λέγεσθαι ἐνόμισαν. 954, 44.

Ἰαπετὸς ὅτι παρὰ τὸ ἰάπτω, ὅ ἐστι, βλάπτω, λέγεται. 17, 2.

Ἰαπετὸς, εἷς τῶν Τιτάνων, ὅτι παρὰ τὸ ἰάπτω λέγεται. 17, 2. καὶ Ἰαπετὸς ἀλληγορικῶς ἡ οὐρανία σφαῖρα, παρὰ τὸ ἵεσθαι καὶ πέτεσθαι διὰ τὸ ὀξὺ τῆς κινήσεως. 87, 8. 724, 27.

ἰάπτειν τὸ διαφθείρειν καὶ βλάπτειν ἐν τῷ, ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ, Ὀδ. β΄, 376. ἀλλαχοῦ δὲ ἀντὶ τοῦ προπέμπειν ἐνόησάν τινες. 1450, 36. καὶ ὅτι ἐκ τοῦ ἴπτω, ὅ ἐστι βλάπτω, ἐπενθέσει τοῦ ᾱ λέγεται καὶ ἰάπτειν ὀρχήματα, παρὰ Σοφοκλεῖ (Aj. 700.) ἀντὶ τοῦ εἰπεῖν καὶ διδάξαι, παρὰ τὸ ἔπω ἴπτω καὶ ἰάπτω. 16, 46. 17, 12.

Ἰάρδανος, ποτάμιόν τι πλησίον Φειᾶς πόλεως Πελοποννησιακῆς. 671, 19. ἀλλαχοῦ δὲ ὅτι Ἰάρδανος ποταμὸς τῆς Κυδωνίας χώρας. 1468, 25.

Ἴας ἡ Ἰωνικὴ διάλεκτος, κτητικῷ τύπῳ ἐλλιπῶς. 5, 23.

ἴασιν, ἤγουν ἔρχονται, προπαροξυτόνως πρὸς διαστολὴν τοῦ ἰᾶσιν, ὅθεν τὸ ἀφιᾶσι. 1052, 1.

Ἰασίων ὅτι διὰ τὸ γεωργικὸς γεγονέναι μίγνυσθαι τῇ Δήμητρι ἐμυθεύθη, μῦθος καὶ ἀλληγορία διεξοδικὴ καὶ ἱστορία· καὶ ὅτι παρὰ τὴν ἕσιν, ὅ ἐστιν πέμψιν, τῶν σπορίμων λέγεται τοὔνομα. 1528, 5—15.

Ἴασον Ἄργος ἡ Πελοπόννησος, ἀπὸ Ἰάσου βασιλέως, υἱοῦ Ἰοῦς τῆς Ἰνάχου. 1465, 60. 1845, 11.

Ἰάσονος πλοῦς εἰς τὴν Κολχίδα ὅτι ἐπὶ ἀνακλήσει τῆς Φρίξου ψυχῆς ἐγένετο. 1614, 62.

Ἴασος, εἷς τῶν Φορωνέως παίδων, ἀφ᾽ οὗ Ἴασον Ἄργος ἐκλήθη ποτὲ ἡ Πελοπόννησος, ἱστορία. 385, 40.

ἴασπις, ὅτι αἱ Ἔμπουσαι καὶ ἄλλα τινὰ εἴδωλα φοβοῦνται τὴν ἴασπιν. 1659, 28.

Ἰάσων ὁ Αἴσωνος ὅτι ἐξ Ὀρμενίου ἦν τῆς Θετταλίας. 332, 12. καὶ ὅτι παρὰ τὸ Αἴσων λέγεται κατ᾽ ἀναγραμματισμόν. 488, 23. καὶ ὅτι Ἰάσων σκωπτικῶς ἐπεκαλεῖτο πᾶς ὁ κλέψας κῴδιον. 1642, 62.

ἰάτρια γυνὴ λέγεται, τὸ δὲ ἰατρίνη βάρβαρον. 859, 51.

ἰατρικὴ καὶ μαντικὴ ὅτι ἐπικοινωνοῦσιν ἀλλήλαις, κατασκευὴ ἐξ ἐπαγωγῆς παραδειγμάτων. 48, 35.

ἰατρὸς κατὰ μόνας ὅτι ἀτελῶς λέγεται, ἰατρὸς δὲ κακῶν ἐντελῶς. 1825, 15. καὶ ὅτι κοινόν ἐστι τῷ γένει τοὔνομα, λέγεται γὰρ καὶ ἰατρὸς γυνὴ ἐν ἴσῳ τῷ ἰάτρια. 859, 51.

ἰαύειν τὸ κοιμᾶσθαι καὶ ἐφ᾽ ὕπνῳ ἀνακεκλίσθαι, καὶ τὸ ἁπλῶς διάγειν, καὶ τὸ χρονίζειν εἴτουν διατρίβειν. 191, 17. 754, 1. 979, 15. 1958, 9.

ἰαυθμὸς ὅτι παρὰ τὸ ἰαύειν, ἤγουν διατρίβειν, λέγεται. 1750, 22.

ἰάχειν τὸ ἁπλῶς ἠχεῖν. 962, 60. καὶ ὅτι καὶ ὄρνιθες λέγονταί που παρ᾽ Ὁμήρῳ. 229, 19 καὶ σίδηρος πεπυρωμένος σίζων ἐν τῷ βάπτεσθαι ὕδατι. 1636, 5.

ἰαχὴ ὁ βρεφικὸς κλαυθμυρισμὸς καὶ ὁ ἁπλῶς ἦχος. 651, 35. 919, 27.

Ἰαωλκὸς, πόλις Θεσσαλικὴ, ἡ καὶ Ἰωλκός· ζήτει τὸ Ἰωλκός. 327, 41.

ἴβδης, μέρος τι τῆς νεὼς οὕτω καλούμενον. 525, 34. ἀλλαχοῦ δὲ ὅτι ἴβδης πάσσαλος ἐν τοῖς τῶν πλοίων ἐδάφεσι. 858, 38.

Ἰβύκειον λέγεται σχῆμά τι λόγου παρὰ τὸ Ἴβυκον τὸν ποιητὴν αὐτῷ κατακόρως χρήσασθαι, ἑρμηνεία διεξοδική. 1577, 1.

ιβω λήγοντα ῥήματα ἀπὸ μονοσυλλάβων παρηγμένα, οἷον τρῶ τρίβω, θλῶ θλίβω. 1532, 6.

ἰγνύη τὸ ὀπίσω τοῦ γόνατος, ὅτι καί περ ἀπὸ τοῦ ἱκνεῖσθαι παρηγμένον, ὅμως ψιλοῦται τοὔνομα, ἑρμηνεία διεξοδική. 928, 12.

ἰγνυῶν ἀφαίρεσις, παλαιστικόν τι μηχάνημα, ᾧ Κερκυὼν ὁ λῃστὴς πρῶτος ἐχρήσατο, ἑρμηνεία διεξοδική. 1327, 8.

Ἰδαῖοι Δάκτυλοι ὅτι σιδήρου ἐργάται γεγόνασι κατὰ τὴν Κρητικὴν Ἴδην πέντε τὸν ἀριθμὸν, διὸ καὶ οὕτως ἐκλήθησαν. 353, 20.

ἰδάλιμον καῦμα, παρὰ τὸ ἰδίειν, ὃ δηλοῖ τὸ ἱδροῦν. 1505, 11. 1961, 24.

ἰδάλιμος ὅτι παρὰ τὸ ἰδίω, ὅ ἐστιν ἱδρῶ, λέγεται. 1890, 10.

Ἴδας, ἀδελφὸς Λυγκέως Μύρπισσαν τὴν Εὐήνου ἁρπάσας, ἱστορία διεξοδική. 776, 10.

ἰδέα, τὸ ι ἰῶτα, ἀπὸ τοῦ εἴδω καθ' ὑπεξαίρεσιν τοῦ ε τῆς διφθόγγου, ἑρμηνεία διεξοδική. 194, 39.

ἰδέαι λόγων τρεῖς, μιμητικὴ ἡ καὶ δραματικὴ, ἀμίμητος καὶ μικτή. 263, 6.

ἰδεῖν ἀντὶ τοῦ εἰδέναι διὰ τὸ καὶ τὸ ἰδεῖν εἰς τὸ εἰδέναι συντελεῖν. 1004, 2.

ἰδεῖν αὐγὰς ἡλίου, ἀντὶ τοῦ ἄρτι γεννηθῆναι, περὶ βρέφους λεγόμενον παρ' Ὁμήρῳ. 1054, 5.

ιδεις λήγοντα ὡς πατρωνυμικὰ, προσηγορικὰ ζωικῶν ἐκγόνων, οἷον λαγιδεῖς, λυκιδεῖς, ἀλεκτοριδεῖς, χηνιδεῖς, περδικιδεῖς, ὅτι ἀπὸ ἑνικῆς εὐθείας διὰ τοῦ δης κλίνονται, οἷον λαγιδῆς, λυκιδῆς. 753, 56. 1821, 35.

ἰδέσθαι εἰς ὦπα τινὸς, παρ' Ὁμήρῳ ἀντὶ τοῦ θεαθῆναί τινί. 1010, 3.

ἰδέσθαι ἀντὶ τοῦ νοῆσαι ἐν τῷ, πειρήσεται καὶ ἴδηται, Ὀδ. φ', 159. 1905, 54.

ἰδέσθαι καὶ αἱ σύστοιχοι παθητικαὶ κινήσεις ὅτι συνήθεις εἰσὶν Ὁμήρῳ. 1122, 63.

Ἴδεω, γενικὴ ἀντὶ τοῦ Ἴδου, ἀπὸ εὐθείας τῆς ὁ Ἴδας, ὡς ὁ Μίδας. 775, 58.

Ἴδη, ὄρος Κρήτης καὶ Τροίας, καὶ ὅτι πᾶν ὄρος ὑψηλὸν Ἴδη λέγεται παρὰ τὸ ἰδεῖν. 353, 12—21. 356, 11. 500, 43. 633, 35. 697, 48. 1351, 15.

ἴδη προσηγορικῶς ἡ τῶν ξύλων ὕλη ὁμωνύμως τῷ ὄρει. 1246, 3.

ἴδῃ ἀντὶ τοῦ θεάσῃ, ὅτι ἐκ τοῦ ἴδηαι κέκραται. 86, 21. 398, 46.

Ἰδήιον πεδίον τὸ τῇ Ἴδῃ ὑποκείμενον. 1251, 1.

Ἴδης ὄρους Τρωικοῦ ἀκρωτήρια τρία, Γάργαρον, Λεκτὸν, Φαλάκρα. 697, 28.

ιδης πατρωνυμικὰ προσλαμβάνοντα τὸ α πρὸ τοῦ δης διὰ μέτρου χρείαν, οἷον Τελαμωνίδης Τελαμωνιάδης. 13, 10. 27.

ἰδίᾳ ἐπίῤῥημα ἀντὶ τοῦ χωρὶς, ὅτι παρὰ τὸ ἰδιάζειν τὰ χωρὶς ἀλλήλων ὄντα λέγεται. 1582, 13.

ἰδίειν τὸ ἱδροῦν ἐξ ἀγωνίας. 950, 55. ζήτει τὸ ἴδιον.

ιδιον λήγοντα ὑποκοριστικὰ ὅτι ἀπὸ τῶν διὰ τοῦ ιον οὐδετέρων γίνονται. 678, 26.

ἴδιον, ἤγουν ἵδρουν καὶ ἠγωνίων ἐν τῷ, ἴδιον ὡς ἐνόησα, Ὀδ. υ', 204. 1889, 28. 1890, 9.

ἰδιόξενοι οἱ μὴ δημοσίᾳ, ἀλλ' ἰδίᾳ ξένοι ἀλλήλοις. 405, 40.

ἰδιωτικὸν ὅτι πρὸς τὸ δημόσιον ἀντιδιαιρεῖται. 1891, 22.

ἴδμεν ὅτι ἐκ τοῦ ἴσμεν λέγεται τροπῇ τοῦ σ εἰς δ. 214, 21. 780, 35. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ἴζμεν, τοῦτο δὲ ἐκ τοῦ ἴσμεν. 1570, 9.

ἴδμεν ἐπὶ μὲν τὸ πλεῖστον ἀντὶ τοῦ ἴσμεν, ἀντὶ δὲ τοῦ εἰδέναι κατ' ἀπαρέμφατον σπανίως, οἷον ἐν τῷ, ἀλλ' ἐθέλω ἴδμεν καὶ πειρηθήμεναι ἄντην, Ὀδ. θ', 213. 880, 47. 1592, 39.

ἰδνοῦσθαι, ἐτυμολογία καὶ σχηματισμός. 216, 37—44. ζήτει τὸ ἰδνωθῆναι.

ἰδνωθῆναι τὸ δονηθῆναι τὸ ἰνίον ἢ ὀδυνηθῆναι καὶ οὕτω συστραφῆναι καὶ συγκαθεσθῆναι. 900, 2. 950, 17.

Ἰδομενεὺς, κύριον ἡγεμόνος παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ μένειν λέγεται. 942, 58.

ιδον λήγοντα ἐπιῤῥήματα ἀπὸ ῥημάτων διὰ τοῦ ιζειν καὶ ινειν γενόμενα, οἷον νοσφιδὸν, διακριδόν. 894, 49. 1008, 20. 1499, 5.

ἴδον ἀόριστος δεύτερος, καὶ ἰδεῖν ἀπαρέμφατον, καὶ ἰδὼν μετοχὴ, ὅτι διὰ τοῦ ι ὡς ἐπιπολὺ γράφονται παρ' Ὁμήρῳ, τὸ δὲ διὰ διφθόγγου εἶδον ἔστι μὲν παρατατικοῦ, ἀντὶ δὲ ἀορίστου χρησιμεύει τῷ Ὁμήρῳ. 181, 30. 472, 22. καὶ ὅτι τὸ μὲν ἴδον κοινῶς λέγεται, ἰδόμην δὲ Ἀττικῶς. 504, 28.

ἶδος ὁ ἱδρὼς, παρὰ τὸ ἰδίω, ὅ ἐστιν ἱδρῶ. 1890, 9. 1961, 26. ἀλλαχοῦ δὲ ὅτι ἶδος τὸ θερινὸν κατάστημα, καὶ ὅτι παρὰ τὸ ἰδίειν λέγεται. 1505, 10.

ἰδοὺ ῥῆμα ὅτι εἰς ἐπίῤῥημα μεταπεσὸν ἐξέπεσε τοῦ περισπᾶσθαι. 752, 4.

ἰδρείη ἡ ἐπιστήμη. 1063, 62.

ἴδρις ὁ ἐπιστήμων, ὅτι ὡς τὸ ὄφις ὄφεος κλίνεται. 676, 16. 1063, 62. 1656, 14.

ἱδρύειν παρ' Ὁμήρῳ τὸ κάθησθαι, παρὰ τὸ ἕδω, παρὰ δὲ τοῖς ὕστερον ἱδρύεσθαι ναὸς ἢ ἄγαλμα λέγεται. 387, 8.

ἱδρὼς ὅτι παρὰ τὸ ὕδωρ λέγεται τροπῇ τοῦ υ εἰς ι, καὶ ὅτι δασύνεται ἡ λέξις. 413, 10.

ἱδρὼς γῆς, ὅτι ἱδρῶτες γῆς αἱ πηγαὶ λέγονται, καὶ ἱδρὼς Βρομιάδος πηγῆς ὁ οἶνος, καὶ δρυὸς ἱδρὼς ὁ ἰξός. 310, 1. 865, 15.

ἱδρῶσαι, μετοχικὴ εὐθεῖα τῶν πληθυντικῶν, ὅτι κατὰ τὴν δευτέραν τῶν περισπωμένων κέκλιται ἢ ἐκ τοῦ ἱδρώουσαι συγκέκοπται. 865, 13.

ἰδυῖα, ὄνομα θηλυκὸν διὰ μὲν

τοῦ ἰῶτα ὀνοματικῶς ἀντὶ τοῦ ἐπιστημονική, εἰδυῖα δὲ διὰ διφθόγγου μετοχικῶς ἀντὶ τοῦ γινώσκουσα. 1193, 26. ἀλλαχοῦ δὲ ὅτι τὸ ἰδυῖα, καίτοι σύζυγον ὂν τοῦ εἰδώς, ὅμως διὰ τοῦ ῐ ἔχει τὴν ἄρχουσαν, ὡς ὄνομα μετοχικόν. 1154, 34.

ἰδυίῃσι πραπίδεσσι, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἰδυίαις, ὅ ἐστιν ἐπιστήμοσιν, ὅτι διὰ μὲν διφθόγγου γραφόμενον μετοχὴ ἔσται, διὰ δὲ τοῦ ῐ μετοχικὸν ὄνομα 1153,56. 1570, 38.

ἰδύοι ἢ εἰδύοι διὰ διφθόγγου, ὅτι ἰδυίους ἐκάλουν οἱ ἀρχαῖοι τοὺς ἴδμονας καὶ συνίστορας μάρτυρας. 1154, 35. 1158, 20. 1570, 40.

ἴδωμαι ἴδῃ ἴδηται, ἀντὶ τῶν ἴδω ἴδῃς ἴδῃ, πολλαχοῦ παρ' Ὁμήρῳ Ἀττικῶς. 86, 20.

ἴδωμι ἀντὶ τοῦ ἴδοιμι ἐκτάσει τῆς παραληγούσης. 1279, 48.

ἵει, τρίτον πρόσωπον παρατατικοῦ ἀντὶ τοῦ ἀφίει ἢ ἔπεμπε. 407, 46, καὶ ἵει ἀντὶ τοῦ ἐνῆκεν ἐν τῷ, ὡς Ἥφαιστος ἵει λόφον, Ἰλ. τ', 383. χ', 316. 1189, 28. καὶ περὶ τοῦ παραληκτικοῦ χρόνου τοῦ τε ἵει καὶ τῶν ἐξ αὐτοῦ συγκειμένων, οἷον ἀφίει καὶ προΐει. 111, 19.

ἱείη ἀντὶ τοῦ πεμφθείη ἢ πορευθείη, οἷον· πρὶν δ' οὔπως ἂν ἔμοι γε φίλον κατὰ λαιμὸν ἱείη, Ἰλ. τ', 209. 1179, 54.

ἱέμενος φοβέεσθαι, ἤγουν σπεύδων εἰς φυγήν. 1073, 11.

ἵεν ψιλούμενον ἀντὶ τοῦ ἐπορεύετο, δασυνόμενον δὲ ἀντὶ τοῦ ἔπεμπε. 891, 12.

Ἱερά, ὄνομα μιᾶς τῶν Αἰόλου νήσων. 1644, 34.

ἱερά, ὅτι πᾶσα πόλις ἱερὰ κατὰ κοινὸν ἐπίθετον λέγεται παρ' Ὁμήρῳ, καὶ ἱερὸν τέλος ἐπιθετικῶς τὸ τῶν νυκτοφυλακούντων, Ἰλ. κ', 56. καὶ ἁπλῶς πᾶν τὸ φυλακτικὸν ἱερὸν λέγεται παρ' Ὁμήρῳ. 119, 10.

ἱερὰ τὰ ἱερευόμενα ζῷα. 788, 46. ἀλλαχοῦ δὲ ὅτι ἱερὰ λέγονται τὰ σπλάγχνα, δι' ὧν ἐμαντεύοντο. 1346, 40.

ἱερὰ ἄμπελος, ἡ καὶ Διονυσιάς, ἡ τὸν Πράμνειον οἶνον φέρουσα ἐν Ἰκάρῳ τῇ νήσῳ. 871, 21.

ἱερὰ γραμμή, ὅτι τῶν κατὰ τὴν διὰ πεσσῶν παιδιὰν πέντε γραμμῶν ἡ μέση ἱερὰ ἐλέγετο, ὅθεν καὶ παροιμία, κινεῖν τὸν ἀφ' ἱερᾶς, ἐπὶ τῶν ἀπηλπισμένων καὶ ἄκρας βοηθείας δεομένων. 633, 59. 1396, 60. 1397, 29.

ἱερὰ Ἴλιος ἐπιθετικῶς λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ, οὐ μόνον καθ' ὃ πόλις, ἀλλὰ καὶ ἰδικῶς διὰ τὰ ἐν αὐτῇ πάλαι τελούμενα ἱερά. 444, 11. καὶ ἱερὰ Πύλος ὁμοίως. 1904, 20.

ἱεραὶ βῆσσαι καὶ ἱερὸν ἄλσος ἐπιθετικῶς λέγονται διὰ τὸ ἀστίβητον καὶ ἀπρόσβατον. 1657, 50.

ἱερακιδεῖς οἱ τῶν ἱεράκων νεοσσοί. 753, 56.

ἱέραξ ὅτι παρὰ τὸ ῥᾷον ἵεσθαι λέγεται, καὶ ὅτι Ἡλίῳ ἀφιέρωται. 87, 6. καὶ ὅτι τὸ μὲν ἱέραξ δασύνεται, τὸ δὲ ἴρηξ ψιλοῦται. 920, 44.

Ἱεράπυτνα, ὄνομα πόλεως Κρητικῆς. 311, 32.

ἱερεῖα, ὅτι ἀκύρως τὰ τοῖς νεκροῖς σφαγιαζόμενα οὕτω λέγεται Ὀδ. λ', 23. εἰ μὴ καθὸ ἱερεῖα ἁπλῶς τὰ θρέμματα καὶ πάντα τὰ σφαζόμενα λέγονται. 1671, 60.

ἱερεῖον Ἀττικῶς τὸ σφαγιαζόμενον ζῷον. 1264, 11. 1434, 15.

ἱερεῖς λέγονται παρ' Ὁμήρῳ οἱ διὰ σπλάγχνων μαντευόμενοι. 1346, 39.

ἱερεῖς Ἀθήνησιν ὅτι ἐκ τοῦ Ἐτεοβουταδῶν γένους καθίσταντο. 1644, 47. 1861, 45.

ἱερεῖς Αἰγύπτιοι εὐνουχιζόμενοι, ἱστορία. 1183, 12.

ἱερεύειν τὸ θύειν, καὶ τὸ ἁπλῶς σφάζειν. 1434. 15. 1751. 30.

ἱερεύειν δεῖπνον, ἀντὶ τοῦ εἰς δεῖπνον θύειν, Ὀδ. ω', 215. 1959, 33.

ἱερεύειν ζῷον, ἤγουν σφάττειν· καὶ ἱερεῦσαι τινὶ ζῷον, ἀντὶ τοῦ χάριν τινὸς θῦσαι. 1765, 29. 31.

ἱερεὺς ὁ διὰ σπλάγχνων μαντευόμενος παρ' Ὁμήρῳ. 47, 35. 1346, 39. καὶ ὅτι ἡ ἄρχουσα τοῦ ἱερεὺς καὶ ἱερὸς ποτὲ μὲν ἐκτείνεται, ποτὲ δὲ συστέλλεται παρ' Ὁμήρῳ. 556, 37.

ἱεροὶ ποταμοὶ ἐπιθετικῶς λέγονται παρὰ τὸ ἵεσθαι κατὰ ῥοῦν, ἢ ἱεροὶ οἱ θεῖοι διὰ τὸ ἀέναον καὶ τρόφιμον. 1661, 51.

ἱερὸν καλεῖται ὀφείδιόν τι, ὅπερ οἱ πάνυ μεγάλοι ὄφεις φεύγουσι. 1067, 49.

ἱερὸν προσηγορικῶς ὁ τόπος, ἐν ᾧ τὸ θεῖον ἵλεων ἡμῖν καθίσταται, ὅτι παρὰ τὸ ἵεσθαι λέγεται, ἢ παρὰ τὸ μεθίεσθαι εἰς ἄνεσιν καὶ εὐφροσύνην τοὺς παλαιοὺς ἐν τῷ τιμᾶν τὸ θεῖον. 1473, 29. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ ἰὴ ἐπιφώνημα δοκεῖ λέγεσθαι τὸ ἱερόν. 1020, 24.

ἱερὸν παρ' Ὁμήρῳ ἐπιθετικῶς πᾶν τὸ φυλακτικὸν ἀνθρώπων, καὶ ἱερὸν τὸ μέγα. 575, 38. 789, 9.

ἱερὸν ἄλφιτον ἐπιθετικῶς λέγεται διὰ τὸ ζῳοποιεῖν τοὺς ἐσθίοντας. 868, 35.

ἱερὸν ἦμαρ ὅτι κατὰ κοινὸν ἐπίθετον λέγεται, ἐνίοτε δὲ καὶ κατὰ μέρος. 698, 32. 832, 47.

ἱερὸν κνέφας τὸ βαθὺ καὶ μέγα κατά τινας, πολλαχοῦ παρ' Ὁμήρῳ. 839, 28.

ἱερὸν μένος Ἀλκινόοιο παρ' Ὁμήρῳ λέγεται διὰ τὸ φιλόξενον καὶ βασιλικὸν καὶ πολυτρόπως μέγα τοῦ ἱστορουμένου Ἀλκινόου. 1067, 46.

ἱερὸς βοῦς ἐπιθετικῶς ὁ ἀγελαῖος καὶ μέγας καὶ ἄνεκτος. 1067, 46.

ἱερὸς δόμος ὁ ναὸς παρ' Ὁμήρῳ. 626, 58.

ἱερὸς ἰχθύς, ὅτι ἱερὸν ἰχθὺν οἱ μὲν προσηγορικῶς τὸν λεγόμενον ἀνθίαν νοοῦσιν, οἱ δὲ τὸν χρύσοφρυν, καὶ ἄλλοι ἄλλον· οἱ δὲ ἐπιθετικῶς τὸν διερὸν ἢ ἱέμενον κατὰ τὸν ῥοῦν, ἑρμηνεία διεξοδική. 890, 44 1067, 36—49.

ἱερὸς πόλεμος, ὅτι ὁ ἱερὸς ἐπικληθεὶς πόλεμος διὰ Θεανώ, Θηβαίαν τινὰ γυναῖκα ὑπό τινος Φωκέως ἁρπαγεῖσαν, συνεκροτήθη. 1244, 44.

ἱερόσυλος, ὅτι ἱερόσυλος λέγεται καὶ ὁ καθελὼν τεῖχος πόλεως 119, 14.

Ἱέρωνος ναῦς ὅτι Συρακουσία τὸ πρῶτον ἐκλήθη, εἶτα Ἀλεξανδρίς. 1761, 47.

ἱερωστί, ζήτει ἐν τῷ δημιωστί. 1899, 57.

ἵεσθαι τὸ πέμπεσθαι καὶ τὸ ὁρμᾶν. 344, 6. 1448, 32.

ἱεσθαι λέγονται οἱ δίσκοι καὶ οἱ ὀϊστοί. 1512, 19.

ιζα λήγοντα θηλυκὰ ἀπὸ ῥημάτων διὰ τοῦ ιζω παρηγμένα, οἷον σχίζω σχίζα, κνίζω κνίζα. 1746, 13.

ἱζάνειν ἀγῶνα, ἤγουν καθίζειν, ὃ καὶ καθιστᾶν ἀγῶνα λέγεται. 1298, 64.

ιζω λήγοντα ῥήματα ἀπὸ μονοσυλλάβων γενόμενα, οἷον κνῶ κνίζω, στῶ στίζω, τρῶ τρίζω. 1766, 31.

ιζω λήγοντα ῥήματα ἀπὸ πρωτοτύπων περισπωμένων παρηγμένα, οἷον ὁπλίζω ἀπὸ τοῦ ὁπλέω ὁπλῶ, καὶ ἀφρίζω ἀπὸ τοῦ ἀφρέω ἀφρῶ. 616, 16. 1236, 2. 1550, 16.

Ἵζω ὅτι ἐνεργητικῶς ἀεὶ ἐκφωνεῖται, ἕζω δὲ οὔ, ἀλλ' ἕζομαι παθητικῶς· καὶ ὅτι τὸ ἵζω ἀπὸ τοῦ ἕζω λέγεται τροπῇ τοῦ ε εἰς ι κατὰ γλῶσσαν. 348, 37. 1562, 44.

ἰὴ, ἐπιφώνημα λεγόμενον ἐν τόποις, ὅπου τὸ θεῖον τιμᾶται, ὅθεν τὸ, ἰὴ παιάν. 1020, 24. ἀλλαχοῦ δὲ ὅτι τὸ ἰὴ ἐπίῤῥημά ἐστιν ἐνθεαστικὸν, ἐπιφωνούμενον τῷ Ἀπόλλωνι ἐν τῷ, ἰὴ παιάν. 1201, 16. ἀλλαχοῦ δὲ ὅτι τὸ, ἰὴ παιὰν, ἐπῳδός ἐστι τοῦ παιανικοῦ ὕμνου. 1109, 28.

ἰήιοι κάματοι οἱ λοιμικοὶ, ἐτυμολογία τῆς ἰήιος φωνῆς. 1020, 23.

ἰήιον βέλος, παρὰ τὸ ἰέναι, καὶ ἰήιος βοὴ ἡ θρηνώδης, παρὰ τὸ ἰὼ ἐπίῤῥημα. 500, 43.

ἰήνῃ, τρίτον πρόσωπον ἀορίστου ὑποτακτικοῦ ἀντὶ τοῦ εὐφράνῃ καὶ διαχέῃ, ἀπὸ τοῦ ἰαίνω. 1342, 61.

Ἰήσων ὁ Ἰάσων, ὅτι διὰ μέτρου χρείαν τρέπεταί ποτε τὸ α εἰς η. 692, 38.

ιητης ὀνόματα ἐκ πλεονασμοῦ ἔχοντα τὸ παραλῆγον η, οἷον πολίτης πολιήτης, καὶ τὰ ὅμοια. 468, 45.

ἰητρὸς γὰρ ἀνὴρ, Ἰλ. λ', 514. ὅτι μερικῶς περὶ Μαχάονος ἐκεῖ ἐνδέχεται ἀκούεσθαι καὶ καθόλου γνωμικῶς ἐπὶ παντὸς ἰατροῦ. 859, 33.

ἰθαγενὴς παῖς ὁ γνήσιος καὶ ὁ κατ' εὐθύτητα γεννηθείς· καὶ ἰθαγενὴς πολίτης ὁ αὐτόχθων· καὶ ὅτι καὶ ἰθαιγενὴς λέγεται πλεονασμῷ τοῦ ι, καὶ ὅτι τινὲς κακῶς ᾠήθησαν διὰ τοῦ η δεῖν γράφεσθαι τὴν λέξιν ὡς παρὰ τὸ ἦθος. 1758, 12. 19.

Ἰθαιμένης κύριον ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ι, ἀπαθῶς δὲ Ἰθαμένης λέγεται πρὸς ἀναλογίαν τοῦ ἰθαγενής. 1076, 60. 1758, 20.

Ἰθάκη νῆσος, ἀπὸ Ἰθάκου υἱοῦ Πτερελάου, καὶ Ἰθάκη ὁμωνύμως πόλις Συρίας. 307, 7. 1815, 48.

Ἰθάκη ἡ νῆσος ὅτι οὐ τρέφει λαγωοὺς οὔτε δασύποδας, ἱστορία φυσική. 1821, 29.

ἰθεῖα ὅτι ἐλλιπῶς τοῦ δίκη λέγεται ἐν τῷ, ἰθεῖα γὰρ ἔσται, Ἰλ. ψ', 580. καὶ ἰθεῖαν νέμειν παρ' Ἡσιόδῳ ὁμοίως. 1316, 58.

ἴθι, προστακτικὸν ἐκ τοῦ ἴε μεταπεπλασμένον. 33, 5. καὶ ἴθι ὁμωνύμως ἐπίῤῥημα παρακελευστικόν. 165, 39.

ἴθμα, κίνημα, ὅτι παρὰ τὸ ἰέναι λέγεται πλεονασμῷ τοῦ θ. 606, 46. 607, 7.

ἰθὺ καὶ ἰθὺς ἐπιῤῥήματα ὅτι παρὰ τὸν ἰθύσω μέλλοντα τοῦ ἰθύω, ὅ ἐστι ὁρμῶ, λέγονται. 626, 35. 892, 19. 1701, 45.

ἰθυδίκης ἀντὶ τοῦ εὐθυδίκης παρ' Ἡσιόδῳ ἔργ. 228. 1857, 56.

ἰθύειν τὸ κατ' εὐθὺ ὁρμᾶν, καὶ τὸ ἁπλῶς ὁρμᾶν· καὶ ὅτι καὶ ἰθύεσθαι κατὰ παθητικὴν φωνὴν λέγεται ἐπὶ τοῦ αὐτοῦ. 621, 25. 49. 1038, 25. καὶ ὅτι καὶ ἀντὶ τοῦ ἰθύνειν τίθεταί ποτε. 1122, 29.

ἰθυκτίων μελία ἡ κατ' εὐθὺ ἔχουσα τὰς κτιδόνας, ἤγουν τὰς ἐν τῷ ξύλῳ ἶνας. 1229, 42. ζήτει τὸ ἰθυπτίων.

ἰθύνειν καὶ ἰθύνεσθαι δόρυ ἀντὶ τοῦ ἀκοντίζειν παρ' Ὁμήρῳ. 22, 47. 621, 22. 47.

ἰθύνεσθαι ἐν ἴσῳ τῷ ἰθύνειν ἐνίοτε παρ' Ὁμήρῳ. 1534, 62.

ἰθύντατα ἐπίῤῥημα ὅτι ἐκ τοῦ ἰθύνω ἔχει τὸ ν, ἐκ γὰρ τοῦ ἰθὺς οὐκ εἶχεν ἄν. 1158, 42.

ἰθυπτίων μελία ἡ ἰθὺ πετομένη, ὅτι ἐκτείνει τὴν παραλήγουσαν ἡ λέξις, καὶ φυλάττει τὸ ω κατὰ τὴν κλίσιν. 547, 19. 570, 16. 1229, 42. 45. ζήτει τὸ ἰθυκτίων.

ἰθὺς ἡ ὁρμὴ, οἷον ἐν τῷ, πᾶσαν ἐπ' ἰθὺν, παρ' Ὁμήρῳ, ἤγουν ἐπὶ πᾶσαν ὁρμήν. 621, 25. 49. 1503, 60. ἀλλαχοῦ δὲ ὅτι ἰθὺς ἡ ψυχικὴ ὁρμή. 1803, 13.

ἰθὺς ἐπίῤῥημα ὅτι καὶ χωρὶς τοῦ σ λέγεται. 579, 1.

ἰθὺς τετράφθαι λέγεται παρ' Ὁμήρῳ ὁ κατ' εὐθὺ μαχόμενος. 1104, 16.

ἰθύς τινος ἰέναι, ἀντὶ τοῦ ἀντικρύ. 1077, 40.

ἰθὺς φέρειν ὅπλα, τὸ ἀνθιστάναι τοῖς πολεμίοις τὰ ὅπλα. 1199, 39.

ἰθὺς φρονεῖν τὸ προθυμεῖσθαι καὶ εἰς τὸ ἀντικρὺ καὶ πρὸς εὐθὺ καὶ πρόσω θρασύνεσθαι. 895, 51. 924, 44.

ἰθύφαλλος καὶ εἰθύφαλλος διὰ διφθόγγου, αἰδοῖον ἐντεταμένον καὶ ᾆσμα Διονυσιακὸν καὶ ἑταιρικὸν, καὶ ἰθύφαλλος ὁμωνύμως ὁ πρόχειρος εἰς συνουσίαν, καὶ ᾠδή τις ὑπόκενος. 1413, 35. 38.

ἰθύω τὸ ὁρμῶ παρὰ τὸ θύω, ὅτι ἐκτείνει τὴν ἄρχουσαν, οἷον· τῶν ὁπότ' ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι, Ὀδ. λ', 591. 1701, 44.

Ἰθώμη, ὅτι οὕτως ἐλέγετο ἡ τῆς Πελοποννησιακῆς Μεσσήνης ἀκρόπολις. 295, 7. καὶ Ἰθώμη ὁμωνύμως πόλις Θεσσαλικὴ, ἡ καὶ Θούμαιον, ἑρμηνεία διεξοδική. 330, 30.

ἱκάνομαι ἐν ἴσῳ τῷ ἵκω, καὶ ἱκάνομαι ἀντὶ τοῦ ἱκετεύω πολλαχοῦ παρ' Ὁμήρῳ. 1153, 2. 1458, 42.

ἱκανὸς ὁ ἐπὶ πᾶν ἱκάνων. 394, 35.

ἱκάνω παρὰ τὸ ἵκω, τὸ ι καὶ τὸ κα μακρόν. 99, 10. 162, 29. 394, 32. 1434, 22. καὶ ὅτι καὶ ἀντὶ τοῦ ἱκετεύω τίθεται παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, καί σευ φίλα γοῦναθ' ἱκάνω, Ὀδ. ν', 231. 1740, 2. καὶ ὅτι ἀναλογώτερον ἦν ἰγκάνω λεγόμενον, ἵνα τὸ ἵκω ὑποτακτικὸν τρισὶ γράμμασιν αὐτοῦ λείποιτο, ὡς τὸ μάθω τοῦ μανθάνω, καὶ τὸ λάχω τοῦ λαγχάνω. 1525, 17.

ἱκανώτατος, ὑπερθετικὸν ἀμφισβητούμενον κατὰ τὴν γραφὴν τῆς προπαραληγούσης, ἑρμηνεία διεξοδική. 99, 11. 394, 34. ἀλλαχοῦ δὲ ὅτι μακρᾶ παραληγομένου τοῦ ἱκάνω, ἐξ οὗ δοκεῖ παρῆχθαι τὸ ἱκανὸς, δοκεῖ δεῖν συστέλλεσθαι τὴν νο συλλαβὴν ἐν τῷ ἱκανότατος. implicite. 1740, 4.

Ἰκαρία, νῆσος ἐν τῷ Αἰγαίῳ πελάγει, ἀπὸ Ἰκάρου τοῦ Δαιδάλου. 193, 3. ζήτει ἐν τῷ, Ἰκάριος πόντος.

Ἰκάριος, Πηνελόπης πατὴρ, ὅτι ἀδελφὸς ἦν Τυνδάρεω τοῦ τῆς Ἑλένης πατρὸς, καὶ ὅτι ἐκπεσὼν τῆς οἰκείας μέρος τι τῆς Ἀκαρνανίας ᾤκησεν, ἱστορία. 1417, 23.

Ἰκάριος, ὅτι ὁ Ἰκάριος καταστερισθεὶς Βοώτης ἐκλήθη διὰ τὸ ἐπὶ ἁμαξῶν ποτὲ παρακομίζειν τὸν οἶνον. 1535, 38.

Ἰκάριος πόντος παρ' Ὁμήρῳ τὸ κοινῶς Ἰκάριον πέλαγος· ἔστι δὲ μέρος τι τοῦ Αἰγαίου, ἀπὸ Ἰκάρου υἱοῦ Δαιδάλου ἀποπνιγέντος ἐν αὐτῷ, ἢ ἀπὸ Ἰκαρίας νήσου τινὸς ἐν αὐτῷ οὔσης. 192, 44.

ἵκειν τὸ ἔρχεσθαι, ὅτι ἀεὶ διὰ τοῦ ῑ παρ' Ὁμήρῳ γράφεται, παρὰ δὲ τοῖς ὕστερον τὰ μὲν ἐνεργητικὰ αὐτοῦ τῷ η̄, τὰ δὲ παθητικὰ τῷ ῑ. 109, 27. 1432, 12.

ἱκέσθαι τινὰ, ἀντὶ τοῦ ἱκετεῦσαι πολλαχοῦ παρ' Ὁμήρῳ. 983, 57. 1830, 23.

ἱκέσθαι τινὰ ἄλγος, λέγεται παρ' Ὁμήρῳ ἐλλιπῶς τῆς εἰς προθέσεως, οἷον ἐν τῷ, ὅν κεν ἵκηται ἄλλη καὶ πῆμα καὶ ἄλγος, Ὀδ. ο', 345. 1783, 32.

Ἱκέσιον, ὅτι οὕτω καλεῖσθαι φασί τινες μίαν τῶν καλουμένων Αἰόλου νήσων. 1644, 35.

ἱκέσιος Ζεὺς ἐπωνυμικῶς, ὅτι ἐκ τοῦ ἱκετήσιος συγκέκοπται ἡ λέξις. 1739, 16. καὶ ὅτι ἱκέσιος Ζεὺς λέγεται διὰ τὴν τῶν ἱκετῶν ἐφορείαν. 1576, 13.

ἱκετεύειν, ὅτι οἱ ἱκετεύοντες εἰώθεσαν ἅπτεσθαι τῶν γονάτων τοῦ ὃν ἱκέτευον, καὶ ἔτι τοῦ γενείου, ὃ καὶ λαβεῖν χειρὶ γενείου ἐλέγετο, καὶ ὑπ' ἀνθερεῶνος ἑλεῖν, καὶ ποτὶ στόμα χεῖρα ὀρέξαι. 129, 2. 718, 43. καὶ ὅτι δύο καιροὺς ἱκετείας ὑπαγορεύει Ὅμηρος, τόν τε ὀρθρινὸν καὶ τὸν πρὸς ἑσπέρας. 141, 2.

ἱκετεύειν εἴς τινα, παρ' Ὁμήρῳ κατὰ παρολκὴν τῆς προθέσεως. 1076, 31.

ἱκέτευσα ἀόριστος ὅτι φύσει μὲν μακρὰν ἔχει τὴν ἄρχουσαν, διὰ δὲ μέτρου χρείαν συστέλλει ποτὲ Ἰωνικῶς. 1580, 48.

ἱκέτης, οἱονεὶ ἱκέστης, ὁ ἱκόμενος εἰς τὴν ἑστίαν τινός. 1224, 28. καὶ ὅτι ἱκέτης ὁμωνύμως ὅ τε ἱκετεύσας καὶ ὁ τὸν ἱκέτην ὑποδεξάμενος λέγεται. 485, 12. 1807, 6.

ἱκετήσιος Ζεὺς παρ' Ὁμήρῳ ὁ παρὰ τοῖς ὕστερον ἱκέσιος. 1739, 16.

ἱκετοδόχος ὁ ἱκέτην ὑποδεξάμενος. 1897, 9.

ικη λήγοντα θηλυκὰ ὑπερδισύλλαβα ὅτι βαρύνονται πλὴν τοῦ ἀϊκή. 1039, 14.

Ἰκκὸς, ὄνομα ἰατροῦ τινὸς, ἀφ' οὗ καὶ, Ἰκκοῦ δεῖπνον, παροιμιακῶς τὸ εὐτελές. 610, 26.

Ἰκμάλιος κύριον ὅτι παρὰ τὴν ἰκμάδα λέγεται. 1855, 29.

ἴκμενος οὖρος, ὅ ἐστιν ἄνεμος ὁ ὑγρὸς, ὅτι παρὰ τὴν ἰκμάδα λέγεται, ἢ καὶ ψιλοῦται, ἢ ὁ οἷον ἱκόμενος κατὰ συγκοπὴν, ὅ ἐστι φορὸς, ἢ καὶ δασύνοιτ' ἂν ἡ λέξις. 138, 42. 575, 46. καὶ ἴκμενος Ζεὺς ἐπωνυμικῶς. 964, 63. 1452, 43.

ἰκνῶ παρὰ τὸ ἵκω ἐπενθέσει τοῦ ν̄ καὶ καταβιβασμῷ τοῦ τόνου. 670, 62.

ἰκόνιον ὅτι ἐκ τοῦ εἰκὼν εἰκόνος γέγονεν ἀπελεύσει τοῦ ε̄ τῆς διφθόγγου. 989, 12. 1562, 63. ἀλλαχοῦ δὲ ὅτι παραλόγως διὰ τοῦ ῑ γράφεται ἡ ἄρχουσα τοῦ ἰκόνιον. 1272, 26.

ικος λήγοντα ἐπίθετα τῷ ᾱ προπαραλήγοντα, οἷον Ἀχαϊκὸς, ἀρχαϊκὸς, ὅτι ἀναλογώτερον διὰ τῆς αι διφθόγγου λέγονται, οἷον Ἀχαιικὸς, ἀρχαιικός. 936, 45.

ικος λήγοντα ὀξύτονα κτητικῶν τύπον ἔχοντα, οὐ μὴν κτητικὰ ὄντα, ἀλλ' ἁπλῶς παράγωγα, οἷον ὀρφανικὸς ἀντὶ τοῦ ὀρφανός. 1566, 18.

ἴκρια προπαροξυτόνως τὰ τῶν νεῶν καταστρώματα, καὶ τὰ ἐγκοίλια τῆς νεὼς, καὶ τὸ μέρος τοῦ καταστρώματος, ἔνθα ὁ τοῦ κυβερνήτου τόπος, καὶ ὁ ἱστὸς τῆς νεώς· καὶ ἴκρια τὰ ἐν τῇ ἀγορᾷ σανιδώματα, ἀφ' ὧν ἐθεῶντο πρὶν γενέσθαι τὸ θέατρον. 1037, 32. 1472, 3. 1528, 59. 1719, 31.

ἴκριον νεὼς, προπαροξυτόνως τὸ κατάστρωμα, ὅτι παρὰ τὸ ἄκρον ἢ παρὰ τὸ ἱκνεῖσθαι λέγεται· ἐν δὲ τῷ, ἴκρια δὲ στήσας ἀραρὼν θαμέσι σταμίνεσσι ποίει, Ὀδ. ε', 252. τὰ ἐγκοίλια δοκεῖ λέγεσθαι· καὶ ἴκριον ὁ ἱστὸς, καὶ ἴκριον σκηνικὸν καὶ πανηγυρικὸν ὄρθωμα πρὸς τὸ θεᾶσθαι ἀπ' αὐτοῦ γινόμενον. 233, 45. 1037, 34. 1533, 20. 31.

ἰκριώματα τὰ ἔξωθεν τῶν τειχῶν προβεβλημένα ἐπ' ἀσφαλείᾳ καὶ ἀντερείσει. 903, 54.

ἴκταρ, ἐπίῤῥημα δασυνόμενον ἀντὶ τοῦ ἐγγύς· καὶ παροιμία, οὐδ' ἴκταρ βάλλειν, ἀντὶ τοῦ οὐδ' ἐγγὺς τοῦ σκοποῦ· καὶ ἴκταρ, ὄνομα ἰχθύος ἀμφισβητούμενον κατὰ τὸ γένος. 1936, 12.

ἰκτιδέη κυνῆ, ἡ καὶ κτιδέη τρισυλλάβως, ἡ ἀπὸ δέρματος ἴκτιδος ζῴου τινὸς κατεσκευασμένη, ἑρμηνεία διεξοδική. 809, 55. 810, 1.

Ἰκτῖνος, ὄνομα δημιουργοῦ τινὸς ὁμωνύμως τῷ ὄρνιθι, ὅτι προπερισπᾶται. 1825, 12.

ἴκτις, εἶδος ζῴου, ἱστορία φυσικὴ καὶ προσῳδία τῆς λέξεως, ἑρμηνεία διεξοδική. 809, 56. 60.

ἵκω, ὅτι αἱ μὲν παθητικαὶ αὐτοῦ κινήσεις διὰ τοῦ ἰῶτα γράφονται, αἱ δὲ ἐνεργητικαὶ διὰ τοῦ η̄ παρὰ τοῖς μεθ' Ὅμηρον. 109, 30.

ἰλαδὸν ἐπίῤῥημα ὅτι παρὰ τὴν ἴλην λέγεται, καὶ ὅτι καὶ αὐτὸ καὶ ἡ ἴλη διὰ τῆς ει ὤφειλον γράφεσθαι ὡς ἀπὸ τοῦ εἰλῶ. 177, 38. 179, 23.

ἵλαθι, καὶ ἐκτάσει ἵληθι, ὅτι παρὰ τὸ ἵεσθαι κατὰ Ἀθήναιον λέγεται, καὶ ὅτι ἀπὸ τῆς ἱλὰς ἱλάντος μετοχῆς ἀχρήστου θέματος τοῦ ἵλημι κεκίνηται, ἢ ἀπὸ τοῦ ἱλάω ἵλαε, καὶ μεταπλασμῷ ἵλαθι. 1473, 23—30.

ἵλαος ὁ πρόθυμος ἐποπτεύειν τοὺς δεομένους περὶ θεοῦ λεγόμενον, παρὰ τὸ ἱλάω, ὃ παρὰ τὸ ἵεσθαι λάειν λέγεται· καὶ ὅτι ἵλαος μὲν κοινῶς λέγεται, ἵλεως δὲ Ἀττικῶς. 649, 18.

ἱλαρὸς ὁ μὴ σκυθρωπὸς καὶ σκύννους, ὅτι παρὰ τὸ ἵεσθαι λάειν, ὅ ἐστι βλέπειν, λέγεται, ὅθεν καὶ τὸ ἱλάω. 649, 18. 1473, 25. 28. 33. ζήτει τὸ ἵλαος.

ἱλαρύνω, ῥῆμα σύστοιχον τῷ ἱλαρὸς ὀνόματι. 649,18. ζήτει τὸ ἱλαρός.

ἱλαρῳδία, τραγική τις μελῳδία σεμνή, ὅθεν καὶ ἱλαρῳδεῖν ῥῆμα. 1941, 51. 55.

ἱλάσκω ὅτι παρὰ τὸν ἱλάσω μέλλοντα λέγεται πλεονασμῷ τοῦ κ, καὶ ὅτι οὐ πέρα τοῦ παρατατικοῦ κλίνεται. 649, 17. 19. 1473, 33.

ἱλάω, ῥῆμα σύστοιχον τῷ ἵλαος ὀνόματι. 649, 19. ζήτει τὸ ἵλαος.

Ἱλάων, υἱὸς Ποσειδῶνος, ὑπερφυής τις καὶ δυσπρόσιτος ἄνθρωπος γενόμενος. 1622, 44.

Ἰλεὺς ἐκ τοῦ Ὀϊλεὺς ἀποβολῇ τοῦ ο. 101, 19. ἀλλαχοῦ δὲ ὅτι τὸ Ὀϊλεὺς ἐκ τοῦ Ἰλεὺς γέγονε πλεονασμῷ τοῦ ο, καὶ ἐτυμολογία τοῦ Ἰλεὺς ὀνόματος ἐξ ἱστορίας. 650, 45.

ἵλεως Ἀττικῶς ὁ κοινῶς ἵλαος. 1473, 25 — 33. ζήτει τὸ ἵλαος.

ἴλη τὸ τάγμα καὶ τὸ πλῆθος, παρὰ τὸ εἰλῶ, ὅτι ἐδιφορεῖτο κατὰ τὴν γραφὴν τῆς ἀρχούσης. 179, 23. 834, 41. 1413, 31.

ἵληθι ὅτι καὶ ἵλαθι λέγεται. 1418, 4. 9. 1473, 23 — 30. ζήτει τὸ ἵλαθι· καὶ ὅτι διὰ τοῦ, ἵλαον ἔνθεο θυμὸν, περιφράζεται παρ' Ὁμήρῳ. Ἰλ. ι', 639. 780, 17.

Ἰλήιον πεδίον τὸ Τρωικὸν ἢ τὸ Ἴλειον, περὶ ὃ Ἶλος τέθαπται. 1250, 64.

ἱλήκῃσιν ἀντὶ τοῦ ἱλήκῃ, τρίτον πρόσωπον τοῦ ἱλήκω ὑποτακτικοῦ παρακειμένου, οὗ ἐνεστὼς οὐχ εὕρηται. 1913, 14

ἱλήκοις ἀντὶ τοῦ ἵλεως εἴης. 1473, 24.

Ἰλιὰς Ὁμήρου, διὰ τί οὕτως ἐπιγράφεται, καὶ διὰ τί οὐκ Ἀχίλλεια ἐπεγράφη, καὶ διὰ τί τῷ Ἕκτορος θανάτῳ ἐπισφραγίσθη, καὶ τίνι οἰκονομίᾳ ἐχρήσατο Ὅμηρος κατὰ τὴν ἀφήγησιν τῶν Τρωικῶν, καὶ ὅτι ἡ Ἰλιὰς φωνὴ κτητική ἐστι. 5, 20. 14, 25 — 15, 8. 169, 21. καὶ διὰ τί ἀπὸ τῶν τελευταίων τοῦ πολέμου ἤρξατο τῆς Ἰλιάδος ὁ Ὅμηρος. 7, 5. καὶ ὅτι Ἰλιὰς, κατὰ μόνας λεγόμενον, ἀτελῶς λέγεται. 904, 59.

Ἰλιὰς κακῶν, καὶ αἰεὶ Ἰλίῳ κακὰ, παροιμιακῶς λέγονται διὰ τὰ μεγάλα κακὰ, ἃ ἔπαθον Ἰλιεῖς. 444, 22. 1175, 62.

ἴλιγγος ὅτι παρὰ τὸ εἰλῶ λέγεται ἀποβολῇ τοῦ ε. 989, 10.

Ἰλίεια, ἑορτὴ ἐπιχώριος τῆς Ἰλιέων, ὅτι διὰ διφθόγγου γράφεται ἡ παραλήγουσα τῆς λέξεως, ἑρμηνεία διεξοδική. 444, 13. 878, 33.

Ἴλιον, πόλις Τρωικὴ περιώνυμος, ἢ καὶ Ἴλιος θηλυκῶς παρ' Ὁμήρῳ, ὅτι τὸ ἀρχαῖον ἀπῴκιστο τῆς θαλάσσης. 444, 25. 1083, 53. ἀλλαχοῦ δὲ ὅτι Ἴλιον κώμη ὁμωνύμως τῇ παλαιᾷ Ἰλίῳ περὶ τὸν αὐτὸν τόπον, καὶ περὶ τῆς ἁλώσεως τῆς παλαιᾶς Ἰλίου ἱστορία. 459, 37 — 460, 13. καὶ ὅτι οἱ Ἰλιεῖς Τρῶες λέγονται ἑτερωνύμως παρ' Ὁμήρῳ. 281, 19. καὶ παροιμία, αἰεὶ Ἰλίῳ κακά· ζήτει ἐν τῷ, κακῶν Ἰλιάς. 444, 22.

ἰλλάδες, δεσμοὶ συνεστραμμένοι, ζήτει τὸ ἰλλάς.

ἰλλὰς ὁ ἀπὸ λύγου δεσμὸς, παρὰ τὸ ἴλλεσθαι, ὅ ἐστιν εἰλεῖσθαι καὶ συστρέφεσθαι· καὶ ἰλλὰς ὁμωνύμως εἶδός τι κιχλῶν. 834, 40, 947, 3. 8. 1769, 35.

ἴλλειν ταὐτὸ ὅπερ εἰλεῖν, ὅ ἐστι συστρέφειν, ὅθεν ἰλλὰς ὁ συνεστραμμένος δεσμός. 947, 4. 1769, 35.

ἴλλειν ὅτι πρωτότυπόν ἐστι τοῦ ἐπιλλίζειν καὶ τοῦ ἐξίλλειν καὶ τοῦ ὑπίλλειν. 1834, 52.

ἴλλεσθαι, ἐκβάλλεσθαι, ἐκκλείεσθαι, στερεῖσθαι. 1720, 34.

ἴλλος ὁ ὀφθαλμὸς, ἰλλὸς δὲ ὀξυτόνως ὁ τὸν ἴλλον διάστροφος, καὶ ἁπλῶς ὁ πλάγιος καὶ διεστραμμένος, ὅτι παρὰ τὸ ἴλλω λέγεται, καὶ ὅτι ἐντεῦθεν καὶ τὸ ἰλλώπτειν, ὃ δηλοῖ τὸ στραβίζειν, λέγεται. 206, 28. 32. 744, 35. 768, 34. 834, 41. 907, 8.

Ἶλος, υἱὸς Μερμέρου τοῦ Φέρητος τοῦ Ἰάσονος καὶ Μηδείας, ὅτι φαρμάκων ἦν σκευαστὴς ἐν Ἐφύρῃ τῇ Θεσπρωτικῇ. 1415, 2.

Ἴλου σῆμα, ὅτι ἔξω που τῆς Τροίας ἐν τῷ πεδίῳ ἔκειτο τὸ τοῦ ἥρωος Ἴλου μνῆμα, διότι πρῶτος ἐθάρρησεν ἐν τοῖς πεδινοῖς οἰκῆσαι. 1353, 62.

ἰλὺς ἰλύος, ὅτι ποτὲ μὲν συστέλλει τὴν παραλήγουσαν, ποτὲ δὲ ἐκτείνει· καὶ ὅτι παρὰ τὸ εἰλύω, ὃ καὶ ἰλύω γράφεται, δοκεῖ λέγεσθαι. 1238, 1.

ἰλυσπᾶσθαι τὸ ὁμοίως ὄφει καὶ σκώληκι εἰλεῖσθαι καὶ σπᾶσθαι ἤγουν κινεῖσθαι, ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῆς ἀρχούσης. 1413, 33.

ἰλύσω ἀντὶ τοῦ καλύψω, ὅτι καὶ διὰ τοῦ ι γράφεται. 1238, 4.

ἱμαῖος, ᾠδή τις, ἣν παρὰ τοὺς ἀλετροὺς ᾖδον, ἢ καὶ ἐπιμύλιος καὶ μυλωθρὸς καλουμένη. 1236, 58. 1885, 24.

ἱμαλὶς παρὰ Δωριεῦσιν ὁ νόστος, εἴτουν δαίμων τις ἐπιμύλιος, καὶ τὰ ἐπίμετρα τῶν ἀλετῶν. 1236, 59. 1885, 24.

ἱμᾶν τὸ ἀντλεῖν, ὅτι παρὰ τὸ ἱμὰς λέγεται. 1453, 4.

ἱμαντελιγμὸς, παιδιά τις διὰ διπλοῦ ἱμάντος σκολιῶς εἰλουμένου γινομένη. 979. 28.

ἱμάσθλη, μάστιξ, ὅτι ἐκ μέρους τοῦ ἱμάντος τὸ ὅλον ὄργανον λέγεται. 599, 2. 1308, 57. 1564, 61. καὶ ὅτι οἱονεὶ ἱμαμάσθλη λέγεται κατὰ συγκοπὴν, ἤγουν ἱμὰς μάσθλη, εἴτουν λῶρος μεμαλαγμένος. 1317, 2.

ἱμάσσειν τὸ ἱμάντι πλήσσειν, ὅ ἐστι μαστίζειν, ὅτι παρὰ τὸν ἱμάντα λέγεται. 347, 5. 979, 27. 1120, 46.

ἱμάτια πόλεως μεταφορικῶς ὁ τειχισμὸς αὐτῆς. 1871, 50.

Ἴμβρασος ὁ Ἑρμῆς παρὰ Καρσὶν, ἐξ Ἴμβρου τῆς νήσου, ὅπου ἐτιμᾶτο. 985, 57.

Ἴμβρος, νῆσος Θρακικὴ Καβείρων καὶ Ἑρμοῦ ἱερά. 985, 56.

Ἴμβρος, νῆσος Αἰολικὴ πλησίον Λήμνου καὶ Τενέδου, καὶ ὅτι Ἴμβριοι παροιμιακῶς ἐλέγοντο οἱ φυγοδικοῦντες. 1222, 32.

ἴμεν ὁριστικῶς ἀντὶ τοῦ πορευόμεθα ἐν τῷ, ἆ δειλοὶ πόσ' ἴμεν, Ὀδ. κ', 431. ἀπὸ τοῦ εἶμι συστολῇ τῆς παραληγούσης τῷ λόγῳ τῶν εἰς μι, ἢ ἀπὸ τοῦ ἴμι τοῦ

διὰ τοῦ ῑ· καὶ ἴμεν ἀπαρεμφάτως ἀντὶ τοῦ ἰέναι ὁμοίως γραφόμενον. 878,24. 1100,20. 1664, 10.

ἱμείρειν ὅτι παρὰ τὸν κεστὸν ἱμάντα τῆς Ἀφροδίτης δοκεῖ λέγεσθαι. 974,20.

Ἱμέρα κύριον καὶ πόλις Σικελικὴ ὁμωνύμως τῷ προσηγορικῷ. 977, 36.

ἱμερόεις, ὁ καὶ ἐρόεις καὶ ἱμερτός. 568,22.

ἵμερος ἁπλῶς ἡ ἐπιθυμία, κυρίως δὲ ἡ ἐρωτικὴ, καὶ Ἵμερος ὁμωνύμως εἷς τῶν Σελευκέων τυράννων. 977,28. 1799,43.

Ἱμερτὴ, ὅτι οὕτως ἐκλήθη ποτὲ Λέσβος ἡ νῆσος, ἱστορία. 741,32.

ἱμερτὸν παρ' Ὁμήρῳ ὅτι τοῖς κούφοις ὕδασιν ἐπιτίθεται, οἷον ἐν τῷ, ἱμερτὸς Τιταρήσιος, ὃς Πηνειῷ ἐπιτρέχει ὡς ἔλαιον. 1553,23.

ιμη λήγοντα θηλυκὰ ἀπὸ ἀρσενικῶν διὰ τοῦ ιμος παρεσχηματισμένα, οἷον χρήσιμος χρησίμη, αἴσιμος αἰσίμη. 1936,63.

ἶμι τὸ πορεύομαι ἐκ τοῦ ἴω, ὡς ἐκ τοῦ διφθογγογραφουμένου εἴω τὸ διὰ διφθόγγου εἶμι. 1254,11. 14.

ἱμονιὰ τὸ ἀντλητήριον, ὅ ἐστιν ἱμὰς ἢ σχοινίον, δι' οὗ ὕδωρ ἀντλεῖται, ὅτι παρὰ τὸν ἱμάντα λέγεται. 599,2. 1453,4. 1944, 63.

ιμος λήγοντα ὀνόματα ὑπερδισύλλαβα ὅτι προπαροξύνονται. 1139,5.

ιν καὶ ις λήγοντα δικατάληκτα, ὅτι τῶν εἰς ιν καὶ ις δικαταλήκτων ἀναλογωτέρα ἡ εἰς ν κατάληξις, ἑρμηνεία διεξοδική. 1453,64.

ιν λήγουσαι αἰτιατικαὶ ἀπὸ τῶν εἰς δα γενόμεναι ὅτι συστέλλουσι τὴν λήγουσαν, οἷον Θέτιδα Θέτιν. 265, 17. καὶ ἁπλῶς ὅτι αἱ εἰς ιν λήγουσαι αἰτιατικαὶ βραχυκαταληκτοῦσιν, οἷον ἔχιν, Θέτιν, Ἄλεξιν. 8,43.

ἴν, μέτρον τι οὕτω καλούμενον, ὅθεν ἡμίνα τὸ ἥμισυ τοῦ ἴν. 1282,51. 1753,7.

ἶνα λέγει Ὅμηρος τὰ ὄπισθεν τῶν κεράτων τοῦ ζῴου ἐν τῷ, ἶνα τάμη διὰ πᾶσαν, Ἰλ. ρ', 522. ὅθεν τὸ ἰνίον. 1117,4.

ἵνα αἰτιολογικὸν καὶ ἐνδοιαστικὸν καὶ τοπικὸν ἀντὶ τοῦ ὅπου καὶ ἀντὶ τοῦ ἐκεῖ, ἑρμηνεία διεξοδική. 793,54.

ἵνα μὴ, ἀντὶ τοῦ ἐὰν μὴ κατ' ἐναλλαγὴν συνδέσμου. 684,51.

ἵνα τε, ἀντὶ τοῦ ὅπου. 1217,50.

ἰνᾶσθαι τὸ καθαίρεσθαι καὶ κενοῦσθαι, παραγωγή. 877,12.

ἰνδάλλεσθαι τὸ μὴ ἐμφανῶς γινώσκεσθαι, ἀλλ' εἰκάζεσθαι, καὶ ἰνδάλλεσθαί τις λέγεται ἐν ὀνείρασι· καὶ ὅτι παρὰ τὸ εἴδω, ὅ ἐστιν ὁμοιῶ, γέγονε σχηματισμός. 1102,63. 1311,4.

ἰνδάλλεται ἦτορ, ἀντὶ τοῦ φαντάζεται, Ὀδ. τ', 224. 1863,6.

ἴνδαλμα, εἴδωλον, παρὰ τὸ ἰνδάλλω, ὃ δηλοῖ τὸ ὁμοιῶ. 1311, 4.

Ἰνδῶν βασιλεῖς, ὅτι οὐκ ἐξῆν τῷ βασιλεῖ τῶν Ἰνδῶν μεθυσθῆναι. 1834,6.

ἶνες, ὅτι καὶ τὰ νεῦρα οὕτω λέγονται, ὅθεν καὶ ἰνίον, καὶ ἲς ἰνὸς ἡ ἐν τοῖς νεύροις δύναμις. 1680,18.

ινη ληγόντων θηλυκῶν πατρωνυμικῶν παραγωγὴ, οἷον Ἄδραστος Ἀδραστίνη. 776,5. 989,18.

ἰνίον, νεῦρον ὄπισθεν τοῦ τραχήλου τεταμένον, καθῆκον ἀπὸ κεφαλῆς εἰς αὐχένα. 877,11. ἀλλαχοῦ δὲ ὅτι ἰνίον τὸ ὄπισθεν τῆς ἀνθρωπίνης κεφαλῆς μέρος, καὶ ὅτι παρὰ τὰς ἐκεῖ ἶνας οὕτω λέγεται. 216,38. 522,30. 1117,5.

ἶνις ὁ υἱὸς, ὅτι παρὰ τὴν ἶνα λέγεται. 1473,47.

ἴννος, εἶδος ζῴου ἐξ ἡμιόνου καὶ ἵππου θηλείας γεννώμενον. 834, 47. 877,15.

ινω λήγοντα ῥήματα ὅτι φύσει μετὰ τοῦ ν λέγεται ἐν τοῖς παθητικοῖς ἀορίστοις, οἷον ἐκρίνθην καὶ ἐκλίνθην, ἡ δὲ κοινὴ χρῆσις χωρὶς τοῦ ν ἐκφέρει τὰ τοιαῦτα. 924,18.

ινω λήγοντα ῥήματα ἀπὸ ληγόντων εἰς ιω παρηγμένα, οἷον φθίω φθίνω. 1152,58.

Ἰνὼ ὅτι διωνύμως καὶ Λευκοθέα λέγεται, καὶ μύθου τοῦ κατ' αὐτὴν ἀπαγγελία διεξοδικὴ, καὶ ὅτι Κάδμου γέγονε θυγάτηρ. 667,6. 12. 1543,20. 33.

ιξ καὶ υξ λήγοντά τινα διὰ τοῦ ικος καὶ υκος κλινόμενα, ὧν αἱ γενικαὶ εἰς εὐθείας ἰσοσυλλάβως κλινομένας μετάγονται, οἷον ὁ κῆρυξ τοῦ κήρυκος, ὅθεν ὁ κήρυκος τοῦ κηρύκου, ὁ ἀνθέριξ τοῦ ἀνθέρικος, ὅθεν ὁ ἀνθέρικος τοῦ ἀνθερίκου. 100,16.

ιξ λήγοντα ἐπιῤῥήματα ὅτι ὀξύνονται, οἷον ἀπρὶξ, κουρὶξ, ἀναμίξ. 966,63.

ἰξαλῆ, ὡς λεοντῆ περισπωμένως, ἡ αἰγεία δορὰ, ἐπεὶ καὶ ἴξαλος ὁ αἴξ λέγεται. 450,25. ζήτει τὸ ἴξαλος.

ἴξαλος αἴξ ἐπιθετικῶς ὁ ἐκτομίας ἢ ὁ ὀχευτικός. 450,12. ἢ ὁ πηδητικὸς καὶ ὁρμητίας, λέξις διαφόρως ἑρμηνευομένη καὶ ἐτυμολογουμένη διεξοδικῶς, καὶ ἔτι ψιλοῦται Αἰολικῶς. 373,29. 450, 12. 1750,8.

Ἰξιόνιος Ἰξιονίη, τὸ νι ἰῶτα. 989,6.

Ἰξίων ὅτι πρῶτος κατὰ τὴν Ἑλλάδα φονεὺς γεγονέναι ἱστορεῖται, καὶ ἀλληγορία διεξοδικὴ τοῦ κατ' αὐτὸν μύθου. 102,20.

ἶξον ἀντὶ τοῦ ἶκον, τρίτον πρόσωπον παρατατικοῦ, ἀπὸ τοῦ ἴξω θέματος ἐκ μέλλοντος ἀναχθέντος εἰς ἐνεστῶτα γενομένου, ὅτι προπερισπᾶται διὰ τὸ ἐξ αὐξήσεως φύσει μηκυνθῆναι τὴν παραλήγουσαν. 818,60. 1453, 60.

ἰξοφάγος, ὅτι εἶδός τι κιχλῶν οὕτω λέγεται ἐκ τοῦ τὸν ἰξὸν ἐσθίειν. 947,9.

ἰξοφόροι δόνακες, παρ' Ὀππιανῷ οἱ λεπτοὶ λίγοι. 1165,27.

ἰξὺς, ἡ καὶ ὀσφὺς, μέρος τι τῆς ῥάχεως, παρὰ τὸ ξίσαι, ὅ ἐστι κνήσασθαι, οὕτω λεγόμενον. 450, 18. 1531,4.

ιω συλλαβαὶ ἡ μὲν ληκτικὴ μιᾶς λέξεως, ἡ δὲ ἀρκτικὴ ἑτέρας εἰς μίαν βραχεῖαν συλλαβὴν συνιζάνουσαί ποτε πρὸς μέτρου χρείαν. 514,19.

ἰοδνεφὲς ἔριον τὸ μέλαν ἢ πορφυροῦν ἢ τὸ λεγόμενον ἰάνθινον,

ὅτι ἐκ τοῦ ἴον καὶ τοῦ νέφος σύγκειται πλεονασμῷ τοῦ δ. 1489, 10. 1637, 58.

ἰοδόκος φαρέτρα ὅτι παρὰ τὸ δέχεσθαι τοὺς ἰοὺς Ἰωνικῶς λέγεται. 1024, 60. καὶ ὅτι παροξύνεται ἡ λέξις διὰ τὸ μὴ πάθος δηλοῦν. 1898, 39. 44.

ἰοειδὴς πόντος ὁ μέλας ἢ πορφυροῦς, καὶ ἰοειδὴς νεφέλη ὁμοίως, ὅτι παρὰ τὸ ἴον λέγονται. 845, 23. 1453, 4.

ἰόεις σίδηρος ὁ μέλας ἢ ὁ εἰς ἰοὺς ἐπιτήδειος ἢ μάλιστα ὁ ἰοῦ δεκτικός. 1332, 58.

Ἰοκάστη κύριον, ὅτι παρὰ τὸ ἰότητι, ἤγουν βουλῇ, κεκάσθαι, ἤγουν κεκοσμῆσθαι, λέγεται τοὔνομα. 926, 61.

Ἰόλη, θυγάτηρ Εὐρύτου, καὶ ὅτι δι᾽ αὐτὴν κακῶς ἐγένετο τῷ Ἡρακλεῖ, ἱστορία. 298, 18.

ἴομεν ὅτι ἐκ τοῦ ἴω κεκίνηται ὡς ἐκ τοῦ τίω τὸ τίομεν, καὶ ὅτι τὸ κατάρχον δίχρονον ποτὲ μὲν ἐκτείνεται, ποτὲ δὲ συστέλλεται παρ᾽ Ὁμήρῳ. 251, 40. 1254, 14. 1967, 6. καὶ ὅτι ἐκτεινομένου τοῦ ι συστέλλεται τὸ ο διὰ μέτρου ἀνάγκην ὡς τύπον ἔχειν ὁριστικοῦ ἐνεστῶτος, ἀνάπαλιν ἢ ὡς αὐθυπότακτον χρόνου ἀορίστου δευτέρου. 778, 43. 908, 16.

ἰόμωρος, ἐπίθετον διαφόρως ἐτυμολογούμενον, καὶ περὶ τῆς παραληκτικῆς γραφῆς ἑρμηνεία διεξοδική. 322, 39. 467, 34. 42. 998, 42.

ιον λήγοντά τινα τρισύλλαβα ὑποκοριστικὰ, ἀπὸ δισυλλάβων θηλυκῶν εἰς α καὶ η ληγόντων γενόμενα, ὅτι προπαροξύνονται, οἷον κώμη κώμιον, θύρα θύριον. 268, 8.

ιον λήγοντα τρισύλλαβα προσηγορικὰ οὐδέτερα, ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα, ὅτι παροξύνονται, οἷον ἰσχίον καὶ ἑρκίον, εἰ μὴ θάτερον τῶν συμφώνων εἴη ἀμετάβολον, οἷον ἐν τῷ ἴχνιον καὶ ἴκριον. 233, 43. 742, 64. ἀλλαχοῦ δὲ ὅτι τὰ διὰ τοῦ ιον παράγωγα, εἰ μὲν ὦσι τριβράχεα προπαροξύνονται, οἷον θρόνος θρόνου θρίνιον, εἰ δὲ δακτυλικὰ, πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον ψωμίον, ὠτίον, κλειδίον, παιδίον. 428, 5. 1146, 60.

ιον λήγοντα προπαροξύτονα οὐδέτερα ἀπὸ θηλυκῶν εἰς α παρηγμένα, οἷον θύρα θύριον, λύρα λύριον, λυχνία λύχνιον. 1854, 55.

ιον ληγόντων οὐδετέρων παραγωγὴ, καὶ ὅτι οὐχ ὑποκοριστικὰ παρὰ τῷ ποιητῇ τὰ εἰς ιον οὐδέτερα, οἷον τὸ οἰκίον καὶ ἴχνιον. 233, 36. 385, 28. 678, 24.

ιον λήγοντα οὐδέτερα ἐπιρρηματικὰ ἀπὸ διαφόρων καταλήξεων Δωρικῶς γενόμενα, καὶ μιᾷ συλλαβῇ ὑπερβάλλοντα τὰ ἀφ᾽ ὧν παράγονται, οἷον ἆσσον ἄσσιον, αἶψα αἴψιον, μᾶλλον μάλλιον, ἐγγὺς ἔγγιον. 1643, 32.

ιον λήγοντα περιεκτικὰ ἀμφισβητούμενα κατὰ τὴν προσῳδίαν καὶ τὴν παραληκτικὴν γραφὴν, οἷον Ποσείδειον ἢ Ποσείδιον ἢ Ποσειδεῖον, καὶ Ἀπολλώνιον ἢ Ἀπολλωνεῖον. 1562, 54.

ἰὸν ἰοῦ ἰῷ, ἤγουν ἓν ἑνὸς ἑνὶ, οἷον ἰῷ ἤματι, ἀντὶ τοῦ μιᾷ ἡμέρᾳ. 652, 51. 663, 26.

ἴον τὸ ἄνθος, ὅτι οὐ μόνον πορφύρεον καὶ κιῤῥὸν τὴν χρόαν, ἀλλὰ καὶ λευκὸν φύεται, καὶ ὅτι καὶ τὸ κρίνον ἴον ὑπ᾽ ἐνίων λέγεται, καὶ ὅτι ἀπὸ Ἰάδων Νυμφῶν τινῶν παρωνομάσθη, καὶ ὅτι οὐ φύεται μετὰ σελίνων, ἑρμηνεία διεξοδική. 1524, 44. 52.

ἴον δεύτερος ἀόριστος, καὶ ἰὼν μετοχὴ, ὅτι ἀπὸ τοῦ εἴω θέματος κεκίνηνται. 933, 42.

ἰονθὰς αἲξ ἐπιθετικῶς ἡ νέα ἢ ταχεῖα παρὰ τὸ ἰέναι, ἢ ἡ δασεῖα ἢ ἡ ἔχουσα ἰόνθους ἤγουν ἐξανθήματα, καὶ ὅτι ἀρσενικῶς κεῖται ἐν τῷ ἰονθάδος ἀγρίου αἰγὸς, Ὀδ. ξ, 50. 1625, 36. 1750, 6. 18.

ἴονθοι αἱ ῥίζαι καὶ αἱ πρῶται ἐκφύσεις τῶν ῥιζῶν καὶ τῶν τριχῶν καὶ τὰ ἐν τῷ σώματι ἐξανθήματα. 1750, 9—18.

ιος λήγοντα δισύλλαβα μακροπαράληκτα, οἷον δῖος, Χῖος, Φθῖος. 954, 55.

ιος λήγοντα κύρια τριβράχεα ὅτι παροξύνονται, οἷον Δολίος, Τυχίος. 264, 35. 395, 23. 593, 31. 745, 18. 890, 7.

ιος λήγοντα κύρια ὅτι διὰ τοῦ αδης σχηματίζουσι τὰ πατρωνυμικὰ, οἷον Ἥλιος Ἡλιάδης. 13, 32. 1644, 46.

ιος λήγοντα πατρωνυμικὰ, οἷον τὸ Τελαμώνιος καὶ τὸ Καπανήιος, ὅτι πατρωνυμικοῦ εἰσὶ τύπου. 483, 29.

ιος λήγοντα κτητικὰ διὰ μόνου τοῦ ι γραφόμενα κατ᾽ ἀποβολὴν τοῦ παραληκτικοῦ ε διὰ μέτρου ἀνάγκην, οἷον τὸ Ποιάντιος υἱὸς, καὶ Αἰπύτιος τύμβος, καὶ Αἰολίη νῆσος. 301, 7. 1463, 39.

ιος καὶ ιον λήγοντα ὀνόματα, ἀπὸ ληγόντων εἰς ος μετὰ συμφώνου ἀρσενικῶν παρηγμένα, ὅτι διὰ τοῦ ἰῶτα γράφονται, οἷον δόλος δόλιος, νόμος νόμιος, σκότος σκότιος· τὰ δὲ ἀπὸ ληγόντων εἰς ος οὐδετέρων συνῃρημένως κλινομένων τῇ ει διφθόγγῳ γράφονται, οἷον κῆδος κήδειος, κῆτος κήτειος, γῆρος γήρειον. 1697, 20.

ιος λήγοντα προπαροξύτονα ἀπὸ ληγόντων εἰς ος ὀξυτόνων παρηγμένα ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, οἷον ὀρθὸς ὄρθιος, Αἰτωλὸς Αἰτώλιος, μειλίχος μειλίχιος. 434, 31. 775, 19.

ιος λήγοντα ὀνόματα ἀπὸ ληγόντων εἰς ος μετὰ συμφώνου γενόμενα πλεονασμῷ τοῦ ι, οἷον πτολίπορθος πτολιπόρθιος, κάπρος κάπριος, ὀρθὸς ὄρθιος· καὶ ὅτι ὅμοιος πλεονασμὸς γίνεται καὶ ἐν τοῖς εἰς ος καθαρὸν λήγουσιν, οἷον ὅμοιος ὁμοίιος, αἰδοῖος αἰδοίιος. 488, 33. 1628, 6. 1643, 27. 1781, 19.

ιος λήγοντα ἀρσενικὰ ἀπὸ οὐδετέρων εἰς ος μὲν ληγόντων, τῷ δὲ α παραληγόντων παρηγμένα, οἷον ἄγος ἅγιος, πέλαγος πελάγιος, τέναγος τενάγιος. 1144, 36.

ιος λήγοντα ὀρνέων εἰδικὰ ὀνόματα ὅτι φιλοῦσιν ὀξύνεσθαι, οἷον αἰγυπιὸς, χαραδριὸς, ἐρωδιός. 995, 14.

ἰὸς ὁ οἰστὸς, ὅτι παρὰ τὸ ἰέναι ἢ ἵεσθαι λέγεται. 17, 14. 344, 32.

1542, 54. 1641, 26. καὶ ὅτι ψιλοῦται ἡ λέξις, καί τοι παρὰ τὸ ἵημι λεγομένη. 1025, 12.

Ἴος, νῆσος τῆς Ὁμήρου μητρὸς πατρὶς, καὶ ἴος ἄχρηστον ἀντὶ τοῦ εἷς ἢ μόνος. 663, 23.

ἰότης, βουλὴ, πολλαχοῦ παρ' Ὁμήρῳ. 616, 22.

Ἰουλιανὸς κύριον, καὶ περὶ τοῦ παραληκτικοῦ χρόνου τοῦ ὀνόματος ζήτει ἐν τῷ, ανος λήγοντα. 128, 44.

ἴουλοι αἱ κατὰ τῶν γενύων πρῶται τρίχες, ὅτι παρὰ τὸ εἰς τὸ ὅλον, ὅ ἐστι τέλειον, ἴεσθαι τοὺς γενειάζοντας λέγονται· καὶ ἴουλος, ζωΰφιον πολύπουν ὁμωνύμως. 1215, 8. 11. 1688, 18.

ἴουλοι τὰ δράγματα τῶν κριθῶν ἀθροισθέντα εἰς δέσμην, ὁμωνύμως τοῖς κατὰ τὴν ἥβην ἰούλοις ἢ τῷ οὕτω καλουμένῳ πολύποδι ζωϋφίῳ· καὶ Δήμητρος ἴουλοι, ὕμνοι εἰς Δήμητρα. 1162, 40.

ἰουλόπεζοι νῆες αἱ μακραὶ, παρὰ τὸ ἰούλοις ἐοικέναι, ὅ ἐστι σκώληξι ποδωτοῖς. 1215, 10.

ἴουλος, ᾠδὴ ταλασιουργῶν εἴτουν ἐριουργῶν, ὁμωνύμως τῷ ζωϋφίῳ καὶ τῇ τῶν τριχῶν ἐκφύσει. 1164, 10. ζήτει τὸ ἴουλοι.

ἰοχέαιρα Ἄρτεμις ἡ χαίρουσα ἰοῖς ἢ ἡ χέουσα ἰοὺς, ἢ καὶ ἰοχέαιρα ἀσπὶς τὸ ζῶον κατὰ μετάληψιν λέγεται. 770, 47. 772, 45. 1479, 34. 1554, 16.

ἶπες, θηρίδια ποιὰ κέρασι καὶ ξύλοις ἐμφυόμενα, ὅτι παρὰ τὸ ἴπτειν, ὅ ἐστι φθείρειν λέγονται· καὶ ὅτι προπερισπᾶται ἡ λέξις ὡς μακροπαράληκτος. 437, 20. 1913, 56.

ἴπνος ἢ ἰπνὸς ὁ κλίβανος ἢ ἡ ἑστία. 16, 42.

ἰποκτόνος Ἡρακλῆς ἐπωνυμικῶς παρ' Ἐρυθραίοις, ἐτυμολογία διεξοδικὴ ἐξ ἱστορίας. 34, 28.

ἶπος δι' ἑνὸς π ἡ παγὶς τῶν μυῶν, παρὰ τὸ ἰποῦν, ὅ ἐστι βλάπτειν. 16, 40. 844, 39.

ἰποῦν τὸ βλάπτειν. 16, 40. ζήτει τὸ ἶπος.

ἱππαγρέται, ἀρχή τις οὕτω καλουμένη παρὰ Λακεδαιμονίοις. 727, 23.

ἱππάκης, βρῶμά τι Σκυθικὸν ἐκ γάλακτος ἱππείου σκευαζόμενον. 916, 16.

ἱππεὺς, ἡλικίας ὄνομα παρὰ Λάκωσι. 727, 22.

Ἵππη, ὄνομα ἑταίρας, ἥτις ἐσκώφθη πολὺν χόρτον καταφαγεῖν διὰ τὴν ἐκ τοῦ ἵππου παρωνυμίαν, ἱστορία. 1224, 49.

ἱππηλασία ὁδὸς ἐπιθετικῶς, δι' ἧς ἵπποι ἐλαύνονται, καὶ ἱππηλασία ἀπολύτως ἡ τῶν ἵππων ἔλασις. 684, 25.

Ἱππημολγοὶ, ὄνομα ἔθνους παρ' Ὁμήρῳ ἢ ἐπίθετον ἐξ ἐπιτηδεύματος, ἑρμηνεία διεξοδική. 916, 11. 15. 32.

ἱππία Ἀμαζὼν, ὅτι διὰ διφθόγγου ὤφειλεν ἔχειν τὸ πι, ὡς ἀπὸ τοῦ ἵππειος κτητικοῦ. 656, 23.

Ἱππίας, υἱὸς Πεισιστράτου τοῦ τυράννου, ὅτι ἐκ πταρμοῦ ἀπέβαλε τῶν ὀδόντων τινὰς, ἱστορία. 1831, 38.

ἵππιος Κολωνὸς, ζήτει ἐν τῷ, ἵππιος Ποσειδᾶν. 656, 25.

ἵππιος Ποσειδῶν ἐπωνυμικῶς, ὅθεν καὶ ἵππιος Κολωνὸς, ὅπου ἵσταντο οἱ ὀρεωκόμοι Ἀθήνησι, καὶ περὶ τῆς παραληκτικῆς γραφῆς τῆς λέξεως. 656, 22. 25.

ἱππιοχαίτης καὶ ἱππιοχάρμης, τὸ πι ἰῶτα, ἐκ τοῦ ἵππειος κτητικοῦ ἀποβολῇ τοῦ ε. 656, 19.

ἱππιοχάρμης ὁ ἵπποις χαίρων ἢ ἐφ' ἵππων ποιούμενος χάρμην, ὅ ἐστι μάχην, ὅτι τὸ πι δίφθογγον ὤφειλεν ἔχειν ὡς ἀπὸ τοῦ ἵππειος λεγόμενον. 163, 46. 301, 12. 656, 19. 1615, 30. 1681, 34.

ἱππόβοτον Ἄργος παρ' Ὁμήρῳ ἐπιθετικῶς, ὅτι οὕτως ἐκλήθη ποτὲ τὸ Πελοποννησιακὸν Ἄργος διὰ τὴν πολλὴν ἵππον τοῦ Φορωνέως, ἱστορία· ἄλλοι δὲ ἱππόβοτον Ἄργος τὴν Θεσσαλίαν νοοῦσι. 385, 43.

Ἱπποδάμεια, Οἰνομάου θυγάτηρ, ἱστορία διεξοδικὴ τῶν περὶ Πέλοπος καὶ Μυρτίλου καὶ Οἰνομάου. 183, 16.

ἱππόδαμος ὅτι ὡς ἐνέργειαν δηλοῦν ὤφειλε παροξύνεσθαι. 843, 56.

Ἱπποθόων, νόθος υἱὸς Οἰβάλου τοῦ Λακεδαιμονίων ἄρχοντος, ὅτι τὸν ἀδελφὸν Τυνδάρεων ἀπελάσας αὐτὸς ἦρξεν, ὕστερον δὲ ὑπὸ Ἡρακλέους ἀνῃρέθη, ἱστορία διεξοδική. 293, 13.

ἵπποι συλλαμβάνουσαι πρὸς βορέαν τετραμμέναι ὅτι κάλλιστα τίκτουσι, διὸ καὶ τῷ ἀνέμῳ συγγίνεσθαι μυθεύονται. 1205, 41.

ἵπποι ἀθάνατοι λέγονται παρ' Ὁμήρῳ οἱ δυνάμενοι σπείρειν καὶ τῇ διαδοχῇ ἀθανατίζεσθαι. 1051, 30.

ἱπποκέλευθος ὁ ἐφ' ἵππου τὰς πορείας ποιούμενος, ἁπλῶς δὲ ὁ ἱππικός. 1050, 3. 1076, 56.

ἱπποκένταυροι, ζήτει ἐν τῷ Κένταυροι. 102, 8.

ἱπποκόμος παροξυτόνως ὁ ἐπιμελητὴς τῶν ἵππων παρὰ τὸ κομεῖν ἵππους, ἱππόκομος δὲ κόρυς προπαροξυτόνως ἡ ἱππείαις θριξὶ κομῶσα. 924, 30.

ἱπποκορυστὴς, ὅτι φαύλως ἐνόησάν τινες τὸν ἱππείας τρίχας ἔχοντα ἐν τῇ κόρυθι. 163, 44.

ἱππομανὴς ὁ πάνυ μανιώδης, ὅτι παρὰ τὸ ἵππος ἐπιτατικῆς φωνῆς καὶ τοῦ μαίνεσθαι λέγεται. 1524, 48.

ἵππον εἰς πεδίον, παροιμιακῶς λέγεται διὰ τὸ ἐν τοῖς πεδινοῖς τόποις εὐδοκιμεῖν τοὺς ἵππους καὶ τοὺς ἐπ' αὐτοῖς ἱππέας. 541, 30. 1262, 17.

ἱπποπόλος ὁ ἱππικὸς καὶ μάχιμος. 980, 33.

ἱππόπορνος, ὅτι πόρνος τις ἔφιππος οὕτως ἐκλήθη ποτὲ ὑπὸ Διογένους. 1909, 63.

ἵππος τὸ ζῶον ὅτι παρὰ τὸ ἵπτασθαι τοῖς ποσὶ λέγεται καὶ δυσὶ π γράφεται. 557, 39. 696, 52. 844, 37. 860, 16. καὶ ὅτι ὁ ἵππος τῷ Ἡλίῳ ἀνάκειται ὡς ταχυτάτῳ ταχύτατος. 1515, 32. καὶ ὅτι καὶ τοῖς ποταμοῖς ᾠκείωται διὰ τὴν ὠκύτητα. 1227, 35. ἢ διὰ τὸ φίλυδρον τοῦ ζῴου. 658, 59.

ἵππος εἰς πεδίον, παροιμία· ζήτει ἐν τῷ, ἵππον εἰς πεδίον.

ἵππος λέξις ἐν συνθέσει ἐγκειμένη κυρίοις ὀνόμασιν, οἷον Ἱπποκόων, Ἵππαρχος, Φίλιππος. 339, 42. καὶ ὅτι ὑποτασσομένη ἐν τῇ συνθέσει οὐ τρέπει ἐνίοτε τὸ πρὸ αὐτῆς ψιλὸν, οἷον ἐν τῷ Λεύκιππος. 83, 2.

ἵππος φωνὴ ὅτι ἐν συνθέσει προ-

ταςσομένη τὸ μέγα ὑπαγορεύει. 962, 5. 1534, 48.
ἱπποσέλινον ὅτι ἐκ τοῦ ἵππος λέξεως ἐπιτατικῆς ἐν τῇ συνθέσει καὶ τοῦ σέλινον σύγκειται καὶ δηλοῖ τὸ μέγα σέλινον. 1524, 48.
ἱπποσίνη ἡ ἱππικὴ καὶ ἡνιοχικὴ τέχνη. 475, 17. 1325, 44.
ἱππότα ἀντὶ τοῦ ἱππότης κατ' εὐθεῖαν, καὶ ἀντὶ τοῦ ἱππότου κατὰ γενικὴν παρ' Ἀράτῳ ἐν τῷ, ἱππότα θηρός. 1457, 18.
Ἱπποτάδης, υἱὸς Ἱππότου. 1644, 9.
ἱππότης ὅτι καὶ ἀντὶ τοῦ φυγὰς ἐνίοτε λαμβάνεται. 305, 5.
ἵππουρις κόρυς ἡ λόφον ἔχουσα ἐκ τριχῶν ἱππείας οὐρᾶς, καὶ ἵππουρις εἶδος βοτάνης ὁμωνύμως. 1189, 34.
ἵππουρος ὁ καὶ ἱππουρεύς, εἶδος ἰχθύος, καὶ ἱστορία φυσικὴ περὶ αὐτοῦ. 1083, 59. 1189, 35.
Ἵππων, ὄνομα κύριον ἀθέου τινὸς ἀνθρώπου. 1224, 54.
ἵππων Ποσειδῶνος ὀνόματα, καὶ ἐτυμολογία αὐτῶν. 918, 14.
ἵππων ζωῆς μέτρον, ἱστορία φυσική. 865, 10.
ἵπτασθαι ἀπὸ χειρῶν λέγεταί τι μεταφορικῶς παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐκπεσεῖν. 1969, 56.
ιπτω ληγόντων ῥημάτων ἀναλογία, οἷον ῥέπω ῥίπτω, πέτω πίπτω, ἐνέπω ἐνίπτω. 129, 21. 1438, 40.
ἴπτω ἴψω, ῥῆμα πρωτότυπον τοῦ ἰάπτω καὶ τοῦ ἰπόω, ὃ δηλοῖ τὸ βλάπτω. 16, 40.
ἰράων, ἤγουν ἐκκλησιῶν ἢ ἀγορῶν, ὅτι ἀπὸ βαρυτόνου εὐθείας κεκίνηται, καὶ ὅτι ἀμφιβάλλεται κατὰ τὴν γραφὴν τῆς ἀρχούσης. 1160, 33.
ἰρεὺς ἀντὶ τοῦ ἱερεύς, ὅτι ψιλοῦται ἡ λέξις Ἰωνικῶς. 1623, 61.
ἰρεὺς ὅτι ἐκ τοῦ ἱερεὺς συναλήλιπται καὶ ὅτι ψιλοῦται Ἰωνικῶς. 515, 35.
Ἰρή, πόλις καὶ ὄρος τῆς Μεσσηνίας, καὶ Ἰρὴ πόλις Λέσβου, καὶ ἑτέρα Μαλιέων ἀπὸ Ἴρου, καὶ ὅτι ψιλοῦται ἡ λέξις. 743, 17. 25.
ἴρηξ ὅτι ψιλοῦται Ἰωνικῶς, τὸ δὲ ἱέραξ δασύνεται κοινῶς τε καὶ Ἀττικῶς. 920, 44. 1248, 48. 1734, 17.
ἴρινον μύρον, ζήτει τὸ ἰρίς.
ἰρίς, ὀξυτόνως μυρεψικόν τι εἶδος, ὅθεν καὶ τὸ ἴρινον μύρον. 391, 34.
Ἶρις, μυθικῶς μὲν δαίμων τις ἄγγελος τῶν θεῶν καὶ μάλιστα τοῦ Διός, παρὰ τὸ εἴρειν, ὅ ἐστιν ἀπαγγέλλειν λεγομένη. 391, 20. 555, 29. φυσικῶς δὲ ἶρις ἐστὶ πάθος περὶ τὸν ἀέρα, ἐξ ἡλιακῶν ἀκτίνων τὴν αἰτίαν ἔχον καὶ ὑγρῷ νέφει ἐμφαινόμενον. 827, 63. παρὰ τὸ εἴρειν, ὅ ἐστιν ἀγγέλλειν, καὶ αὐτὸ λεγόμενον, ἐπεὶ τροπῆς ἀέρος καὶ ἑτέρων τινῶν τεραστίων ἐστὶ σημεῖον. 391, 27. 1117, 48. καὶ Ἶρις ἡ φήμη ἀλληγορικῶς. 391, 29. 1136, 26. καὶ ὅτι Ἴριδος καὶ Ζεφύρου μυθεύουσί τινες υἱὸν γεγονέναι τὸν Ἔρωτα. 391, 20. 555, 29. καὶ ὅτι βαρύνεται καὶ μακροπαραληκτεῖ ἡ λέξις. 391, 20. 719, 47. 61.
Ἶρος κύριον, οἱονεὶ ἀπαγγελεὺς παρὰ τὸ εἴρω τὸ λέγω καὶ ἀπαγγέλλω, ὅθεν καὶ Ἶρις· καὶ ὅτι καὶ πᾶς ἐπαίτης Ἶρος ἐλέγετο προσηγορικῶς, καὶ ὅτι μακρὰν ἔχει τὴν παραλήγουσαν. 719, 61. 1834, 24. 33.
ις συλλαβὴ ἀρχτικὴ λέξεων κατὰ Σικελούς, οἷον ἑστία ἱστία, ἔχω ἴσχω, ἑρμηνεία διεξοδική. 1562, 42.
ις λήγοντα μονοσύλλαβα ὀξυνόμενα, οἷον τὶς τινός, θὶς θινός, ῥὶς ῥινός, κὶς κιός. 841, 23.
ις λήγοντα ὀνόματα μονοσύλλαβα ὅτι οὐ φιλοῦσι διὰ τοῦ τος κλίνεσθαι, ἀλλ' ἢ διὰ καθαροῦ τοῦ ος ἢ διὰ τοῦ νος ἢ διὰ τοῦ δος. 1146, 53.
ις λήγοντα σύνθετα ἐκ θηλυκῶν ὀξυτόνων εἰ μὲν θηλυκὰ διαμένει, ἐπὶ τῆς αὐτῆς φυλάσσει τὸν τόνον, οἷον σκελὶς περισκελίς, εἰ δὲ κοινὰ γίνονται τῷ γένει, βαρύνονται, οἷον ἐλπὶς δύσελπις, κνήμις εὐκνήμις, ψηφὶς πολυψήφις. 26, 29. 174, 8.
ις ληγόντων προσῳδία, ὅτι τῶν εἰς ις ληγόντων τὰ μὲν βαρύτονα συστέλλεται, οἷον ὄφις, ἔχις, Θέτις, τὰ δὲ ὀξύτονα ἐκτείνεται, οἷον ἀκτίς, δελφίς, ψηφίς, κρηπίς. 26, 37.
ις λήγοντα θηλυκὰ ἀπὸ ὁμογενῶν εἰς α ἢ εἰς η ληγόντων Αἰολικῶς γενόμενα, οἷον χαρὰ χάρις, δαμάλη δάμαλις, κιθάρα κίθαρις, ἄκρη ἄκρις. 381, 6. 1403, 63.
ις λήγοντα θηλυκὰ ὀξύτονα, ἀπὸ ληγόντων εἰς η θηλυκῶν ὀξυτόνων παρηγμένα, ὅτι βραχυκαταληκτοῦσιν, οἷον βολὴ βολίς, γραφὴ γραφίς. 1220, 50.
ις λήγοντα ὑποκοριστικὰ ὀξύτονα ἀπὸ ληγόντων εἰς η θηλυκῶν παρηγμένα, οἷον πύλη πυλίς, ἀγκάλη ἀγκαλίς, παλλακὴ παλλακίς. 265, 12. 763, 18.
ις λήγοντα θηλυκὰ φύσει μὲν διὰ τοῦ δος κλινόμενα, τροπὴν δὲ Δωρικῶς πάσχοντα τοῦ δ εἰς τ, οἷον χάρις χάριδος καὶ τροπῇ χάριτος. 1469, 63. 1618, 28.
ις ληγόντων θηλυκῶν συνθέτων ἀπὸ ὁμογενῶν ὁμοιοκαταλήκτων χρόνος ληκτικὸς καὶ προσῳδία, οἷον κνημὶς εὐκνήμις, ψηφὶς πολυψήφις. 26, 29. 174, 8. 1437, 50.
ις λήγοντα θηλυκὰ ἀπὸ ἀρσενικῶν εἰς ης ληγόντων γενόμενα, οἷον ὁ δεσπότης ἡ δεσπότις, ὁ τοξότης ἡ τοξότις. 768, 42. 1428, 17.
ις καὶ ιν λήγοντα, ὅτι τῶν εἰς ιν καὶ ις ληγόντων δικαταλήκτων ἀναλογωτέρα ἐστὶν ἡ εἰς ιν κατάληξις. 1453, 64.
ις λήγοντα ὀνόματα ἀπὸ μελλόντων διὰ τοῦ ισω γινόμενα ἀποβολῇ τοῦ ω, οἷον νεμεσίσω νέμεσις, ὑβρίσω ὕβρις. 1416, 36.
ις λήγοντα θηλυκὰ διὰ τοῦ ιος Ἰωνικῶς κλινόμενα, οἷον κνῆστις κνήστιος, μνῆστις μνήστιος· καὶ ὅτι τῶν εἰς ις τινὰ οὐ μόνον διὰ τοῦ δος, ἀλλὰ καὶ διὰ τοῦ εως Ἀττικῶς κλίνονται, οἷον Ἄμαστρις Ἀμάστριδος καὶ Ἀμάστρεως. 871, 64. 872, 2.
ις λήγοντα ἐπιῤῥήματα καὶ χωρὶς τοῦ ς λεγόμενα, οἷον χαμάδις

χαμάδι, αὖθις αὖθι, χωρὶς χωρί· καὶ ὅτι καὶ φύσει τινὰ εἰς ι μόνον λήγουσι χωρὶς τοῦ ς, οἷον αὐτόθι, κεῖθι, ὅθι. 122, 11. 1879, 53.

—ις ληγόντων δισυλλάβων ἐπιῤῥημάτων προσῳδία καθόλου, οἷον ἄλις, μέχρις, χωρὶς, ἀμφὶς, αὖθις. 1062, 49.

ἲς ἰνὸς, ἡ ἐκ τῶν νεύρων δύναμις, κυρίως δὲ ἶνες νευρώδη τινὰ εἰσι μόρια τοῦ ζωικοῦ σώματος. 877, 10. 16. ἀλλαχοῦ δὲ ὅτι ἲς ἡ τῶν νεύρων ἰσχὺς, βία δὲ ἡ ἁπλῶς ἰσχὺς καὶ ῥωμαλεότης. 1691, 51. 1834, 9.

ἲς ἀνέμου ὅτι καταχρηστικῶς ἐῤῥέθη, κυρίως γὰρ ἐπὶ σωμάτων νεύροις διοικουμένων ἡ ἲς καὶ αἱ ἶνες λέγονται. 1021, 16.

Ἴς, ὄνομα ποταμοῦ τινὸς παρὰ Λυκόφρονι. 1691, 54.

ἲς ποταμοῖο περιφραστικῶς ὁ ποταμὸς, ὡς βίη Ἡρακλέος ὁ Ἡρακλῆς. 1239, 53.

ἰσαίτερον καὶ ἰσαίτατον ἀντὶ τοῦ ἰσότερον καὶ ἰσότατον. 1441, 28. 29.

ἰσαίω ῥῆμα ἀντὶ τοῦ ἰσάζω, ὡς κεδαίω ἀντὶ τοῦ κεδάζω. 140, 27.

ἴσαν ἀντὶ τοῦ ἐγίνωσκον, ἀπὸ τοῦ ἴσημι θέματος. 782, 1. 1517, 33. 1738, 8.

ἴσαν, τρίτον πληθυντικὸν πρόσωπον ῥηματικὸν, ὅτι ἐνδέχεται μὲν καὶ ἀπὸ τοῦ διφθογγογραφουμένου εἶμι κεκινῆσθαι, μάλιστα δὲ δοκεῖ ἀπὸ τοῦ ἶμι τοῦ διὰ μόνου τοῦ ἰῶτα· ἀλλαχοῦ δὲ ὅτι ἀπὸ τοῦ ἴω, ὡς ἀπὸ τοῦ τίω τὸ ἔτισαν. 140, 43. 370, 26. 31. 493, 12. 1126, 22. 48. 1254, 8.

Ἴσανδρος κύριον ὅτι παρὰ τὸ ἐξισοῦσθαι ἄλλῳ ἀνδρὶ λέγεται. 635, 56.

ἴσας κεφαλὰς ἔχειν ἐν μάχῃ, φράσις Ὁμηρικὴ διεξοδικῶς ἑρμηνευομένη. 831, 51. 832, 1. 23.

ἴση ἡ ἰσομοιρία προσηγορικῶς παρ' Ὁμήρῳ. 911, 52. ζήτει τὸ ἴσης ἀτέμβεσθαι, καὶ ἴση ἐπιθετικῶς ἀντὶ τοῦ ὁμοία, οἷον μαινάδι ἴση. 1280, 17.

ἰσηγορία ὅτι παρὰ τὸ ἶσον ἀγορεύειν λέγεται. 78, 15.

ἴσης ἀτέμβεσθαι, παρ' Ὁμήρῳ ἐπακουομένου τοῦ μοίρας, τὸ γὰρ ἴση καθ' αὑτὸ ἀντὶ ἰσομοιρίας λαμβάνεται. 1614, 22.

ἴσθι ὅτι ἀντὶ τοῦ γίνωσκε ἀεὶ τίθεται παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον καὶ ἀντὶ τοῦ ὕπαρχε, ἀνθ' οὗ τῷ ἔσο Ὅμηρος χρῆται. 1680, 24.

ἴσθμιον, κόσμος ποιὸς περιτραχήλιος ὁμωνύμως μέρει τινὶ τοῦ τραχήλου οὕτω καλουμένῳ· καὶ ἴσθμιον, ποτηρίου εἶδος παρὰ Κυπρίοις, ἑρμηνεία διεξοδική. 1847, 44—50.

ἰσθμὸς ὁ τράχηλος, οἱονεὶ ἰθμὸς παρὰ τὸ ἰέναι δι' αὐτοῦ τὰ σιτία, καὶ ὅτι οὐκ ἔστιν ἐν χρήσει ἐπὶ τοιαύτης σημασίας ἡ λέξις. 1847, 44. καὶ ὅτι καὶ θηλυκῶς λέγεται ἡ ἰσθμὸς παρὰ Πινδάρῳ κατὰ γένους ἐναλλαγήν. 108, 22. [Apud Pind. Ol. 8, 64. Nem. 5, 69. est nom. pr. ἡ Ἰσθμός. In textu Eust. p. 108, 22. corr. Ἰσθμὸς et Τάρταρος.]

ἴσκειν ἀντὶ τοῦ λέγειν ἢ ἀντὶ τοῦ ἐΐσκειν, ὅ ἐστιν εἰκάζειν καὶ ἀπεικονίζειν ἐν τῷ, ἴσκε ψεύδεα πολλὰ, Ὀδ. τ', 203. 1044, 23. 1861, 50.

ἴσκεν, ἔλεγεν ἢ ὑπενόει, ἀντὶ τοῦ ἠΐσκεν, ὅ ἐστιν εἴκαζε. 1917, 53.

—ισκω λήγοντα ῥήματα ὅτι οὐ πέρα τοῦ παρατατικοῦ κλίνονται, οἷον ἐΐσκω. 1473, 35.

—ισκω λήγοντα ῥήματα ἐκ περισπωμένων γενόμενα, οἷον μολῶ μολίσκω, τελῶ τελίσκω. 883, 28. 1064, 5.

ἴσκω, ὅτι παρὰ τὸ εἴδω εἴσω γίνεται εἴσκω, καὶ διαλύσει ἐΐσκω, καὶ ἀφαιρέσει ἴσκω. 885, 1.

ἴσμα τὸ ἵδρυμα, δασυτόνως ἀπὸ τοῦ ἵζω. 607, 8.

ἴσμεν ὅτι ἐκ τοῦ ἴσαμεν συνεκόπη. 734, 58. 780, 35.

Ἰσμάρα, ἡ καὶ Ἴσμαρος παρ' Ὁμήρῳ, πόλις Κικόνων Θρακικοῦ ἔθνους ἐγγὺς Μαρωνείας. 1615, 9.

Ἰσμηνίας αὐλητὴς ὅτι ἐκ Θίσβης ἦν, πόλεως τῆς Βοιωτίας. 268, 9.

ἰσοδυναμία δύο τινῶν λέξεων ἐκ τῆς κατὰ παράθεσιν πρὸς ἀλλήλας συμπλοκῆς ὑπαγορευομένη. 109, 40. *implicite.*

ἰσόμορος ἀντὶ τοῦ ἰσόμοιρος, ὅ ἐστιν ἰσότιμος. 1013, 16.

ἶσον θυμὸν ἔχειν, περιφραστικῶς τὸ ἰσοψυχεῖν παρ' Ὁμήρῳ. 1124, 25.

ἶσον ἴσῳ κεκραμένη κύλιξ, ἤγουν ἀνὰ ἶσον οἴνῳ πρὸς ὕδωρ. 640, 55. 1470, 64. ζήτει τὸ Ἑρμαϊκὴ κύλιξ.

ἶσος λέξις ὅτι ἐμφαντικωτέρα ἐστὶ τῆς ὅμοιος κατὰ τὰς παραβολάς. 865, 54. καὶ ἶσος ἀντὶ τοῦ ὅμοιος πολλαχοῦ παρ' Ὁμήρῳ. 569, 21. 845, 22. καὶ ὅτι παρ' Ὁμήρῳ μὲν ἐκτείνεται ἡ τοῦ ἶσος παραλήγουσα, παρὰ δὲ τοῖς τραγικοῖς συστέλλεται. 569, 21. καὶ Ἴσος βραχυπαραλήκτως, ὄνομα τόπου τινός. 271, 13.

ἰσοφαρίζειν ἀντὶ τοῦ τὸ ἶσον φέρεσθαι, ὅτι ὅμοιόν τι δηλοῖ τῷ ἀντιφερίζειν, ὃ δηλοῖ τὸ ἀπεναντίας φέρεσθαι· ζήτει ἐν τῷ, ἀντὶ πρόθεσις. 156, 10. 1230, 61.

ἰσοφόροι οἱ εἰς ἶσον φερόμενοι καὶ ἰσοκίνητοι, ἢ οἱ ἶσον ἄχθος φέρειν δυνάμενοι. 1851, 60.

Ἴσσα, ὅτι οὕτως ἐκλήθη ποτὲ ἡ Λέσβος. 741, 34.

—ισσω ληγόντων ῥημάτων γραφὴ διὰ τοῦ ι, οἷον λίσσω, πτίσσω. 1086, 29.

ἱστᾶν μάχην, ἐν ἴσῳ τῷ ἐγείρειν παρ' Ὁμήρῳ ἐν τῷ, φυλόπιδα στήσειν πολυάϊκος πολέμοιο, Ὀδ. λ', 314. 1688, 7.

ἱστάναι βουλὴν τὸ εἰς βουλὴν κινεῖσθαι· καὶ ἵστασθαι ἡ βουλὴ λέγεται, ὅταν τις παίσηται τῆς βουλευτικῆς κινήσεως. 785, 60.

ἵστασθαι περὶ γούνατά τινος, περιφραστικῶς ἀντὶ τοῦ γουνάζεσθαι, ὅ ἐστιν ἱκετεύειν. 865, 58.

ἵστασθαι πρόσθεν τινὸς, παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ περιβαίνειν ἢ ἀμφιβαίνειν. 1062, 44.

ἵσταται ἀστὴρ, ἀντὶ τοῦ ἀνίσχει καὶ ἀνατέλλει παρ' Ὁμήρῳ. 1271, 27.

ἵστατο ἀειρόμενον, περὶ κύματος λεγόμενον παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀνίστατο καὶ ἠγείρετο. 1234, 49.

ἵστατο κόνις, ἀντὶ τοῦ ἀνίστατο καὶ ἀνυψοῦτο. 1306, 19.

—ιστατος λήγοντα ὑπερθετικὰ ἐκ τῶν

χθονίοις ᾠκείωται τὸ φυτὸν διὰ τὸ ὠλεσίκαρπον εἶναι καθ' Ὅμηρον. 652, 31. 1639, 3.

ἴτην, ἤγουν ἐπορεύθησαν, τὸ ι ἰῶτα ἀπὸ τοῦ διχρονογραφουμένου ἶμι. 782, 9.

ἴτης ὁ πτωχὸς παρ' Ὁμήρῳ. 868, 39. 1445, 56. καὶ ἴτης ἀντὶ τοῦ ἰταμὸς παρ' Ἀριστοφάνει. 1517, 8.

ιτον ληγόντων προσηγορικῶν ἀναλογία, οἷον ἄλφιτον, ἀκόνιτον. 868, 43.

ιτος ληγόντων κυρίων ἀναλογία καὶ γραφὴ παραληκτική, οἷον Δήϊτος, Μόνιτος, Ἐπίκτιτος, Θεοδώριτος. 264, 28. 868, 45.

ιτος ληγόντα ὀξύτονα ὁδοῦ ἐπίθετα, οἷον ἀτραπιτός, ἁμαξιτός. 1738, 55.

ιτος καὶ ιτον λήγοντα ὀνόματα ἀποβολὴν τοῦ σ παθόντα, οἷον εὔκτιτος ἀντὶ τοῦ εὔκτιστος, οἷον καὶ τὸ ἐπήριτος παρὰ τὸ ἐρίζω, καὶ τὸ νήριτον. 1962, 13.

ἰτρίδες Ῥοδιακαί, σκεύη ποιὰ κεραμεᾶ εὐώδη διὰ τὰ συνεψηθέντα τῇ γῇ ἀρώματα. 1632, 4.

ἴτριον, πέμμα λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον. 1139, 8.

Ἴτυλος, υἱὸς Ζήθου ἐξ Ἀηδόνος τῆς Πανδαρέου θυγατρός, ὅτι ὑπὸ τῆς μητρὸς ἀπεσφάγη, ἐφ' οἷς ἐκείνη εἰς ἀηδόνα τὸ ὀρνίθιον μετεμορφώθη, μῦθος διεξοδικός. 1875, 15.

Ἴτυς, υἱὸς Τηρέως τοῦ Θρᾳκὸς ἐκ Φιλομήλας τῆς Πανδίονος, καὶ περὶ τοῦ κατὰ τὴν Φιλομήλαν καὶ Πρόκνην τὴν ἀδελφὴν πάθους μῦθος διεξοδικός. 1875, 8.

ἴτυς ἡ περιφέρεια τοῦ ἁρματείου τροχοῦ καὶ τῆς ἀσπίδος, ὅτι παρὰ τὸ ἰέναι, ὅ ἐστι περιάγεσθαι λέγεται. 501, 33. 574, 29. 598, 8. 628, 27. 726, 16.

Ἰτών, ἡ καὶ Σιτὼν καὶ Ἰτώνη καὶ Ἴτωνος, πόλις ὅθεν Ἀθηνᾶ Ἰτωνία ἐπωνυμικῶς. 324, 24.

ἰυγμός, εἶδος συριγμοῦ, εἴτουν φωνὴ ἄσημος. 1096, 1. 1164, 29.

ἴυγξ ὅτι ἴυξ χωρὶς τοῦ γ φυσικώτερον λέγεται ὡς ἀπὸ τοῦ ἰύζω ἰύξω ἀποβολῇ τοῦ ω, ὅθεν καὶ ὁ ἰυγμός. 1096, 1. 1873, 39. 1778, 24.

ἰύζειν τὸ ποιὸν ἦχον ἄσημον ἀποτελεῖν, οἷον τὸ συρίττειν. 1095, 64. 1164, 29. 1778, 24.

Ἰφεὺς κύριον ὅτι παρὰ τὸ ἶφι λέγεται, ὅθεν καὶ Ἶφις. 1068, 4.

ἴφθιμος ὁ ἀνδρεῖος, ὅτι παρὰ τὸ ἶφι ἐπίῤῥημα λέγεται, οἱονεὶ ἰφίθυμος τροπῇ τοῦ υ εἰς ι, καὶ ὅτι ἐκτείνει τὴν παραλήγουσαν. 15, 11. 413, 11. 943, 56. καὶ ὅτι κοινόν ἐστι τῷ γένει τοὔνομα. 421, 5.

ἰφθίμη γυνὴ ἡ ἀνδρεία, ἢ καὶ δαΐφρων παρ' Ὁμήρῳ. 566, 21. 1175, 36. 1784, 29. 1939, 26.

ἶφι ἐπίῤῥημα ἀντὶ τοῦ ἰσχυρῶς, καὶ ὄνομα οὐδέτερον ὡς τὸ στίμμι κλινόμενον, ὅθεν ἴφια μῆλα ἐπιθετικῶς. 16, 12. 582, 11.

ἴφια μῆλα τὰ εὐτραφῆ καὶ λιπαρά, ἢ τὰ ἰσχυροποιὰ ἀπὸ τῆς ἶφι εὐθείας. 582, 9. ζήτει ἐν τῷ ἶφι ἐπίῤῥημα· ἀλλαχοῦ δὲ ὅτι ἀμφισβητεῖται ἡ ἴφια πληθυντικὴ εὐθεῖα πότερον ἐκ τῆς ἶφι ἢ τῆς ἴφιον εὐθείας κεκίνηται. 728, 35. 46. 764, 10. 1675, 17.

Ἰφιάνασσα κύριον, ὅτι παρὰ τὸ ἶφι καὶ τὸ ἀνάσσειν λέγεται. 742, 47.

Ἰφιγένεια ἡ ἐξ ἰσχυροῦ γένους γεννηθεῖσα. 1430, 3.

Ἰφιδάμας, υἱὸς Ἀντήνορος τοῦ Τρωικοῦ. 840, 59.

Ἴφικλος κύριον, οἱονεὶ Ἰφίκωλος, ὅ ἐστιν ἰσχυρόπους, καὶ περὶ τῆς ὠκύτητος αὐτοῦ ἱστορία· καὶ ὅτι δύο τινὲς Ἴφικλοι ἱστοροῦνται. 323, 44.

Ἴφικλος, ὁ καὶ Ἰφικλῆς, υἱὸς Φυλάκου τοῦ Δηιονέως, ὅτι ὑπὸ τοῦ πατρὸς ἀκουσίως εὐνουχίσθη· καὶ πῶς διὰ Μελάμποδος τοῦ μάντεως ἀνέλαβε τὴν γεννητικὴν δύναμιν, μεθ' ἣν ἔσχεν υἱοὺς Πρωτεσίλαον καὶ Ποδάρκην τοὺς παρ' Ὁμήρῳ, ἱστορία διεξοδική. 1685, 14—43.

Ἴφιτος ὁ Εὐρύτου τοῦ Οἰχαλιέως, ὅτι ὑφ' Ἡρακλέους ἔχοντος τὰς πατρῴας ἵππους αὐτοῦ ξενοδοχηθεὶς ἀνῃρέθη, κατὰ δέ τινας κατεκρημνίσθη. 1899, 38. 1900, 15. καὶ ὅτι ποτὲ μὲν ἐκτείνει, ποτὲ δὲ συστέλλει τὸ παραλῆγον δίχρονον. 273, 39.

ἰχθυάαν τὴν Σκύλλαν λέγει Ὅμηρος Ὀδ. μ', 95. ἀντὶ τοῦ ἁπλῶς ἁλιεύειν. 1715, 39.

ἰχθύες, ὅτι οὕτως ἐλέγετο παρὰ τοῖς Ἀττικοῖς καὶ ὁ τόπος, ἐν ᾧ ἐπωλοῦντο οἱ ἰχθύες. 1583, 29.

ἰχθύες διάφοροι διαφόροις θεοῖς ἀνακείμενοι διὰ τὸ ἔχειν πως ἕκαστον πρὸς ἕκαστον, ἀφήγησις διεξοδική. 87, 28.

ἰχθύες μεγάλοι, ὅτι τοὺς μεγάλους ἰχθῦς ἀνθρωποφάγους ὠνόμασέ τις ὡς ἐπιτρίβοντας τοὺς ὀψωνοῦντας, ἕτερος δέ τις θεοὺς διὰ τὸ πολύτιμον, ἄλλος δὲ φρονοῦντας μὲν εἶπε τοὺς μεγάλους ἰχθῦς, βρέφη δὲ τοὺς μικρούς. 1131, 25. 1720, 50.

ἰχθύες οὐρανόθεν κατενεχθέντες ὑετοῦ τρόπον, ἱστορία. 35, 16. καὶ ὅτι πολλαχοῦ εὑρίσκονται ἰχθύες ὀρυκτοὶ ζῶντες κατὰ τόπους τινάς. 1720, 37.

ἰχθύκεντρον, ἡ καὶ τρίαινα. 811, 41.

ἰχθῦν εἰς Ἑλλήσποντον, παροιμία ὁμοία τῇ, γλαῦκ' εἰς Ἀθήνας. 88, 3.

ἰχθυόεις πόντος καὶ ἰχθυόεντα κέλευθα ὅτι παρὰ τὸ περιέχειν ἰχθῦς λέγονται, ἰχθυόεις δὲ βίος ὁ ἐξ ἰχθύων ποριζόμενος. 732, 7.

ἰχθυόεσσα, ὅτι οὕτως ἐκλήθη ποτὲ Ἴκαρος ἡ νῆσος διὰ τὴν τῶν ἰχθύων φοράν. 306, 8.

ἰχθυομάντεις ἐν Λυκίᾳ, παρ' οἷς ὁ ἱερεὺς χρησμοὺς ἐδίδου κατὰ τὰς ἰχθύων τινῶν ἐπιφανείας, ἱστορία. 1720, 46.

ἰχθυοφάγοι βόες, ζήτει ἐν τῷ, βόες ἰχθυοφάγοι. 1720, 52.

ἰχθὺς ὅτι παρὰ τὸ ἴγμαι ἶξαι ἶκται, κατ' ἀντιστοιχίαν ψιλωθείσης τῆς ἀρχούσης διὰ τὴν τοῦ χ ἐπιφοράν. 437, 12. 928, 15. 1720, 42. καὶ ὅτι καὶ κύριον ὄνομά ἐστιν ὁ Ἰχθὺς ὁμωνύμως τῷ προσηγορικῷ. 1726, 36.

ἰχθῦς λιμναῖοι καὶ ποτάμιοι, περὶ τῆς ποιότητος τῶν ἐκ θαλάσσης εἰς λίμνας καὶ ποταμοὺς μετεμβαινόντων ἰχθύων ἱστορία φυσική. 1053, 5.

ἰχθῦς φθεγγόμενοι, ὅτι κατὰ μὲν Ἀριστοτέλην μόνος ὁ σκάρος καὶ

ὁ ποτάμιος χοῖρος φωνήν τινα ἀφιᾶσι· κατὰ δέ τινας καὶ οἱ ἐν Κλείτορι ποταμῷ τῆς Ἀρκαδίας ἰχθύες φθέγγονται· καὶ ὅτι καὶ ἐν Ἀόρνῳ καλουμένῳ ποταμῷ οἱ ποικίλαι καλούμενοι ἰχθύες φθέγγονται ὡς κίχλαι· καὶ ὅτι οἱ Πυθαγορισταὶ ἰχθύων ἀπείχοντο εἰς σύμβολον τοῦ ἐχεμυθεῖν. 1720, 33

ἰχθύς, παροιμία· οὐδεὶς σαπρὸς μέγας ἰχθύς· καὶ Στρατονίκου τοῦ κιθαρῳδοῦ παρῳδία καὶ κατάχρησις τῆς παροιμίας ταύτης κατά τινος φαύλου μουσικοῦ. 1634, 30.

ἰχνηλατεῖν ἐν ἴσῳ τῷ ἴχνια ἐρευνᾶν. 1145, 26.

ἴχνιον ὅτι καίπερ ἀπὸ τοῦ ἱκνῶ δασυνομένου παραγόμενον, ὅμως ψιλοῦται διὰ τὴν τοῦ χ ἐπιφοράν. 1328, 54.

ἴχνιον ὅτι προπαροξύνεται κανονικῶς ἡ λέξις. 233, 45.

ιχος ληγόντων ὀνομάτων ἀναλογία, οἷον κόψιχος, Φοίνιχος, Ἰόμβλιχος. 1555, 64.

ἰχῶ ἀντὶ τοῦ ἰχῶρα κατὰ ἀποκοπὴν ὅλης τῆς τελευταίας συλλαβῆς, ὡς καὶ ἐν τῷ ἱδρῶ. 566, 30.

ἰχὼρ θεῶν ἀνάλογον αἵματι ζῴων. 553, 33. 554, 10. καὶ ὅτι παρὰ τὸ ἴσχω λέγεται οἱονεὶ ἰσχὼρ, καὶ ὅτι μακρὸν ἔχει τὸ παραλῆγον δίχρονον. 56, 22. 518, 7.

ιψ λήγοντα σύνθετα ἐκ παθητικοῦ παρακειμένου διπλῷ κ γραφομένου βαρύνονται, οἷον τέτριμμαι τέτριψαι οἰκότριψ. 1401, 14.

ἶψ ἰπὸς, εἶδος σκώληκος, παρὰ τὸ ἴπτω, ὅ ἐστι βλάπτω. 16, 43.

ἰψάμην, ἔβλαψα, ἀπὸ τοῦ ἴπτω θέματος. 133, 37.

ἴψεται, βλάψει, ἀπὸ τοῦ ἴπτω θέματος. 199, 15.

ιω λήγουσαι γενικαὶ ἀπὸ τῶν διὰ τοῦ ιω Ἰωνικῶν συγκοπεῖσαι, οἷον Ἄσιος Ἀσίου καὶ Ἀσίεω καὶ Ἀσίω. 444, 27.

ιω λήγοντα περισπώμενα ῥήματα ἐκ προσλήψεως ἔχοντα τὸ παραλῆγον ι, οἷον βῶ βιῶ, μειδῶ μειδιῶ. 1090, 6.

ιω περισπώμενον λήγοντες μέλλοντες Ἀττικοὶ, οἷον ἐγγιῶ ἀντὶ τοῦ ἐγγίσω, καὶ βαδιῶ ἀντὶ τοῦ βαδίσω. 1790, 51.

ἴω τὸ πορεύομαι διὰ τοῦ ι ἐν ἴσῳ τῷ διὰ διφθόγγου. 1254, 13.

ἰωγὴ ταὐτὸ ὅπερ ἰωὴ, ὃ σημαίνει τὴν τοῦ ἀνέμου πνοήν. 472, 32. 846, 22. ἀλλαχοῦ δὲ ὅτι ἰωγὴ, ἔνθα ἡ τοῦ ἀνέμου ἰωὴ ἄγνυται. 794, 53. καὶ πάλιν ἰωγὴ λέγεται ἡ ἰωῆς, ὅ ἐστι φωνῆς, κλάσις καὶ ἀντανάκλασις ἐτυμολογικῶς. 1046, 47. καὶ ἰωγὴ ἀνέμου, ἔνθα ὁ ἄνεμος ἄγνυται. 1771, 38.

ἰωὴ ἡ τοῦ ἀνέμου πνοὴ, ὅτι παρὰ τὸ ἴω λέγεται. 472, 31. 846, 21. ἀλλαχοῦ δὲ ὅτι ἰωὴ ἡ φωνὴ, εἴτουν ὁ τοῦ στόματος προιὼν λόγος, καὶ ὁ ἁπλῶς ἦχος. 794, 52.

ἰῶκα τὴν ἐν μάχῃ δίωξιν λέγει Ὅμηρος ἐκ τοῦ ἰωκὴν κατὰ μεταπλασμόν. 865, 30.

ἰωκὴ ἡ δίωξις ἀπὸ τοῦ διώκω κατ' ἔλλειψιν τοῦ δ. 579, 25. 701, 16.

Ἰωλκὸς καὶ Ἰαωλκὸς, πόλις Θετταλικὴ ἑπτὰ σταδίους ὑπερκειμένη τῆς κατὰ Δημητριάδα θαλάσσης, ὅτι τῶν ἐξ Ὀρχομενοῦ Μινυῶν ἦν ἀποικία· καὶ ὅτι παρὰ τὴν ὦλκα δοκεῖ λέγεσθαι, ἢ καὶ διὰ τοῦ ω μεγάλου γράφεται. 327, 43. 1684, 55. 1685, 56.

ἴωμεν, αὐθυπότακτον τοῦ ἴον δευτέρου ἀορίστου τοῦ εἴω θέματος. 1254, 13.

ἰὼν ἀντὶ τοῦ ἐὼν, ὅ ἐστιν ὑπάρχων, Βοιωτικῶς. 1410, 59.

Ἰωνία, χώρα κατὰ τὴν Πελοπόννησον, Αἰγιάλεια πρότερον καλουμένη. 292, 15.

Ἰωνικὴ διάλεκτος ὅτι ἐπικοινωνεῖ τῇ Ἀττικῇ. 8, 39. 130, 43. καὶ ὅτι ψιλωτικὴ τῶν λέξεων ἐστὶν ἡ Ἰωνικὴ διάλεκτος. 515, 37.

Ἰωνικὸς, πούς τις μετρικὸς οὕτω καλούμενος. 1911, 5.

ἰωχμὸς ὁ διωγμὸς ἐλλείψει τοῦ δ καὶ τροπῇ τοῦ γ εἰς χ. 579, 26. 701, 15.

Ἀρχὴ τοῦ Κ στοιχείου.

κ ἐκ τοῦ ξ τραπὲν ἐν τῷ, ἑξκαίδεκα ἑκκαίδεκα. 450, 46.

καβαλῖνος, ὅτι οὕτως ἐπεκλήθη τις ὁ καὶ Κοπριώνυμος. 406, 11.

καβαλὶς ὅτι ἐκ τοῦ κάπη, ὅ ἐστι φάτνη, καὶ τοῦ ἅλις σύγκειται καὶ δηλοῖ περίττωμα ἀλόγων. 1406, 11.

καββαλεῖν ἀντὶ τοῦ καταβαλεῖν συγκοπῇ καὶ τροπῇ. 1172, 61. 1406, 10. καὶ κάββαλεν ἀντὶ τοῦ κατέβαλεν. 747, 28.

Κάβησα, πόλις Λυκίας. 937, 46. ζήτει τὸ Καβησσός.

Καβησσὸς, πόλις Θρᾴκης, οἱ δὲ ὅτι Καππαδοκίας, οἱ δὲ Λυκίας. 937, 44.

Κάβουροι ὅτι παρὰ τὸ κάμμοροι δοκεῖ λέγεσθαι, ὅ ἐστιν εἶδος καρίδων Ῥωμαϊκῶς οὕτω λεγόμενον. 1389, 26.

κάγκανα ξύλα τὰ ξηρὰ καὶ εἰς τὸ καίεσθαι ἐπιτήδεια. 871, 4. 1605, 5. ἀλλαχοῦ δὲ ὅτι κάγκανα ξύλα τὰ εἰς τὸ καίεσθαι καινόμενα, ὅ ἐστι κοπτόμενα. 1241, 46. 1848, 32.

καγχαλᾶν τὸ χαίρειν καὶ χαλᾶσθαι ὑφ' ἡδονῆς, καὶ ὅτι ἐπιτατικώτερόν τι τοῦ χαίρειν σημαίνει. 659, 39. 823, 59. 1936, 54. 1938, 17.

κὰδ δ' ἔβαλεν, ἀντὶ τοῦ κατέβαλε καὶ κατέῤῥιψε. 1326, 54.

κὰδ δ' ἔχειν, ἀντὶ τοῦ κατέχειν. 1502, 17.

κὰδ δὲ λοπὸς ἐσχίσθη, ἀντὶ τοῦ κατεσχίσθη δὲ ὁ λοπὸς, ὅτι καθ' ὑπερβατὸν εἴρηται. 1001, 39.

καδδῦσαι ἀντὶ τοῦ καταδῦσαι. 1169, 24.

Καδμεία νίκη, οὐ μόνον ἡ ἀκερδὴς, ἀλλὰ καὶ ἡ μεγάλη κατὰ παράχρησιν ἐννοίας. 361, 2. 490, 3. 1927, 12.

Καδμεῖοι οἱ Θηβαῖοι ἑτερωνύμως, καὶ περὶ τοῦ σχηματισμοῦ τῆς λέξεως. 805, 57.

Καδμείωνες παρ' Ὁμήρῳ ἀντὶ τοῦ Καδμεῖοι, ἤγουν Θηβαῖοι· καὶ περὶ τῆς παραγωγῆς καὶ τῆς παραληκτικῆς γραφῆς τῆς λέξεως. 487, 12. 30.

Κάδμος κύριον παρὰ τὸ κάζω, ὅ ἐστι κοσμῶ, καὶ Κάδμος Ἑρμῆς ἐπιθετικῶς, καὶ Κάδμος ὄνομα ὄρους τινός. 214, 22. 487, 33. καὶ ὅτι τὴν Εὐρώπην ζητῶν ὁ

Κάδμος καὶ βοῒ ὁδηγῷ χρησάμενος ἔκτισε τὰς Θήβας, ἱστορία. 269, 44. *καὶ ὅτι πρῶτος ὁ Κάδμος ἐκ Φοινίκης ἐκόμισε τὰ γράμματα, ἃ καὶ διὰ τοῦτο Φοινίκια λέγονται.* 1757, 56.

Κάδμου θυγατέρες, ὅτι τῶν Κάδμου θυγατέρων Σεμέλη μὲν ἐφλέχθη κεραυνῷ, Ἀγαυὴ δὲ μανεῖσα διεσπάσατο τὸν υἱὸν Ἀκταίωνα, Ἰνὼ δὲ, ἡ καὶ Λευκοθέα, εἰς θάλασσαν ἥλατο. 1543, 34.

καδῶ, δεύτερος μέλλων ἀνηγμένος εἰς ἐνεστῶτα. 1330, 17.

Κάειρα γυνὴ καὶ Κάειρα ἐσθὴς ἡ ἐκ Καρίας, ὅτι θηλυκόν ἐστιν ἐθνικὸν τοῦ Κὰρ ἀρσενικοῦ, καὶ περὶ τῆς παραληκτικῆς γραφῆς τῆς λέξεως, διαίτησις διεξοδική. 367, 19. 456, 10. 1160, 36.

κάζειν τὸ κοσμεῖν, ὅθεν τὸ ἐκέκαστο καὶ κεκασμένος. 741, 27.

καθαίρειν ὅτι σεμνὴ λέξις ἐστὶν, ὅθεν οἱ καθαρμοὶ λέγονται. 1057, 23.

καθαιρήσουσιν ἀντὶ τοῦ καθελοῦσιν, ἀπὸ τοῦ καθαιρῶ περισπωμένου θέματος. 855, 35.

καθάπαξ, ἤγουν εἰς τὸ παντελὲς, Ὀδ. φ', 349. 1912, 13.

καθάπτεσθαί τινα λόγοις, ἁπλῶς ἀντὶ τοῦ ἁπλῶς προσφθέγγεσθαί τινα, μετὰ δὲ προσθήκης τοῦ ποῖοι τινὲς οἱ λόγοι, διάφορα σημαίνει. 155, 21. 27. *καὶ καθάπτεσθαί τινα λόγοις, ἁπλῶς ἀντὶ τοῦ φιλοφρονεῖσθαι ἐνίοτε παρ' Ὁμήρῳ.* 1009, 6. 1471, 42. *ἀλλαχοῦ δὲ ὅτι καθάπτεσθαι μαλακοῖς ἔπεσιν, ἀντὶ τοῦ ἱκετεύειν παρ' Ὁμήρῳ, καὶ ἀντὶ τοῦ ἀποτείνεσθαι καὶ καθικνεῖσθαι.* 1647, 49. 60.

καθάπτεσθαί τινα, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀμείβεσθαι ἢ ἁπλῶς ἀποτείνεσθαι διὰ λόγου πρός τινα· καὶ καθάπτεσθαι φίλον ἦτορ λέγεταί τις παρ' Ὁμήρῳ ἀντὶ τοῦ πρὸς ἑαυτὸν λαλεῖν· παρὰ δὲ τοῖς ὕστερον καθάπτεσθαι, τὸ τραχύτερον προσφέρεσθαί τινι ἐν λόγοις, γενικῇ συντεταγμένον. 1432, 45. 1881, 29.

κάθαρμα, ὅτι δύσφημος ἐστὶ λέξις, καίπερ ἐκ τοῦ καθαίρω εὐφήμου καὶ σεμνοῦ ῥήματος παρηγμένη. 108, 39. *καὶ ὅτι καθ' ἑτέραν ἔννοιαν ἢ ὁ καθαρμὸς λέγεται.* 1057, 23. *ἀλλαχοῦ δὲ ὅτι καθάρματα λέγονται οἱ ῥυπαροὶ καὶ ἀπόβλητοι ἄνθρωποι κατὰ τὰ ἀποῤῥιπτόμενα καθάρσια.* 1935, 16.

καθαρμοὶ, ὅτι καὶ διὰ πυρὸς ἐγίνοντό τινες καθαρμοὶ παρὰ τοῖς ἀρχαίοις. 43, 6.

καθαρμὸς καὶ κάθαρμα ὅτι παρὰ τὸ καθαίρειν λέγονται κατὰ διάφορον ἔννοιαν. 1057, 23.

καθαρμοῦ τρόποι παρ' Ἕλλησι διὰ θείου καὶ πυρὸς καὶ δι' ἐπαοιδῶν καὶ ῥίψεως τινῶν καθαρσίων ἐν ταῖς ἀμφόδοις καὶ δι' αἵματος, ἑρμηνεία διεξοδική. 1934, 48. 1935, 1—19.

καθαρὸς θάνατος, ὅτι ὁ διὰ ξίφους θάνατος καθαρὸς ἐνομίζετο, ἀκάθαρτος δὲ ὁ δι' ἀγχόνης. 1934, 5.

καθαρύλλος ὁ καθαρὸς ὑποκοριστικῶς παρὰ τοῖς κωμικοῖς. 1817, 61.

καθεῖσεν ἀντὶ τοῦ ἐκάθισε μεταβατικῶς, ἀπὸ τοῦ ἕω θέματος, οὗ παρατατικὸς εἷον· καὶ ὅτι προπερισπᾶται ἡ λέξις ὡς τροχαϊκόν. 978, 58. 1149, 14.

καθειμένον γένειον τὸ βαθὺ, παρὰ τὸ καθίημι. 1561, 39.

καθελεῖν ἀντὶ τοῦ καταῤῥῖψαι καὶ καταβαλεῖν ἐν τῷ, ἐν ὁδῷ καθελεῖν. 1436, 11. *καὶ καθελεῖν ἱστίον νεὼς, τὸ καταγαγεῖν καὶ συστεῖλαι.* 1620, 21. *καθελεῖν δὲ ὀφθαλμοὺς νεκροῦ, τὸ συμμύσαι ποιῆσαι τὰ βλέφαρα.* 1961, 50.

καθέλκειν τὸ κάτω ῥέπειν. 81, 17.

καθέλκειν λέγονται τὰ σταθμώμενα, ἤγουν εἰς τὸ κάτω ῥέπειν. 699, 44. 912, 53. 1054, 48.

καθεῦδεν ἀντὶ τοῦ ἐκάθευδεν, ὅτι προπερισπᾶται ὡς τροχαϊκόν. 162, 39.

καθεύδειν τὸ ἀναπεσεῖν καὶ εἰς ὕπνον κατακλιθῆναι, καὶ ὅτι διαφέρει τοῦ ὑπνοῦν. 163, 40. 693, 7.

καθημαξευμένον ὅτι παρὰ τὸ ἅμαξα λέγεται, ὃ ἐδασύνετο πάλαι. 1156, 20. 1387, 9.

καθήρεον ἀντὶ τοῦ καθήρουν, ὃ ἐστι κατῆγον καὶ κατεβίβαζον. 1349, 60.

καθῆσθαι τόδε τι ποιοῦντα, ἀντὶ τοῦ ἐπιμένειν τῷ πράττειν τι. 490, 35.

καθῆσθαι ὅτι μέσον ἐστὶ τοῦ ἀνακεκλίσθαι καὶ ἵστασθαι. 797, 15. *καὶ ὅτι καθήμενοι ἐδείπνουν οἱ παρ' Ὁμήρῳ ἥρωες, οὐ μὴν κατακεκλιμένοι.* 1872, 58.

κάθησο προστακτικὸν ὅτι προπαροξύνεται κανονικῶς. 149, 42.

καθῆστο, τρίτον πρόσωπον ὑπερσυντελίκου ἀπὸ τοῦ ἕζω ἧσμαι ἥσμην ἧσο ἧστο, καὶ ὅτι προπαροξύνεται, τεχνολογία διεξοδική· καὶ ὅτι, εἰ ἀπὸ τοῦ ἥμην ἦν, προπαροξύνετ' ἄν. 149, 42—150, 9.

καθιέναι τι τοῦ λαιμοῦ, τὸ καταπίνειν. 1369, 20.

καθίζειν τινὰ ἀλλοπαθῶς, καὶ καθίζειν αὐτοπαθῶς, οἷον ἐν τῷ, ἐν μέσσῃ δ' ἐκάθιζε, Ὀδ. ε', 326. 384, 42. 398, 36. 647, 10. 1539, 3.

καθίζειν ἐπὶ κώπην, ἀντὶ τοῦ ἅψασθαι τῆς κώπης ἐπὶ τῷ ἐλαύνειν. 824, 49. 52.

καθίζειν λόχον, τὸ ἐνέδραν τιθέναι. 1159, 42.

καθίζειν ἀντὶ τοῦ καθῆσθαι, καὶ ἐκάθιζεν ἀντὶ τοῦ ἐκάθητο. 428, 24. *καὶ ὅτι ἐνεργητικῶς ἀεὶ ἐκφωνεῖται.* 348, 38.

καθικέσθαι ἀντὶ τοῦ ἅψασθαι Ὅμηρος μὲν αἰτιατικῇ, οἱ δὲ ὕστερον γενικῇ. 969, 53. *ἢ καὶ καθικέσθαι μὲν τινὰ πένθος λέγεται, ἤγουν ἱκέσθαι καὶ καταλαβεῖν, καθικέσθαι δὲ τινὸς ῥάβδῳ ἀντὶ τοῦ καθάψασθαι.* 1421, 39.

καθιμᾶσθαι τὸ ἄνωθεν κάτω καθίεσθαι. 1453, 5.

καθόλου συναγόμενόν ποτε πιθανῶς ἐκ μερικοῦ τινὸς παρ' Ὁμήρῳ. 90, 43.

καθοσίωσις καὶ καθωσιωμένος ὅτι μέσαι λέξεις εἰσί. 647, 32.

κάθου ἐκ τοῦ κάθεο, τοῦτο δὲ ἐκ τοῦ κάθησο ἐνδείᾳ καὶ συστολῇ. 1840, 3.

καθυποβάλλειν τινὰ βλάβην, ἀντὶ τοῦ λεληθότως βλάπτειν. 1406, 40.

καθυφέσεως δίκη, ζήτει ἐν τῷ καθυφιέναι. 131, 2.

καθυφιέναι τὸ ἀνίεσθαί τινος ἐνστάσεως, ὅθεν καθυφέσεως δίκη ἐγίνετο κατὰ τῶν προδιδόντων τὰς συνηγορίας ἐπὶ δώροις. 131, 1.

καθωσιωμένος πάλαι ὁ ὅσιος, ὕστερον δὲ ἐπίψογος ἡ λέξις. 29, 37. 1357, 2.

καὶ σύνδεσμος ὅτι προηγητικός ἐστι λέξεων ἐν τῇ συντάξει. 72, 32.

καὶ σύνδεσμος προτιθέμενος πτωτικοῦ συμπλέκων ἕτερόν τι νοούμενον ἔξωθεν, οἷον ἐν τῷ, ἤ τίς τοι καὶ πηὸς ἀπώλετο Ἰλιόθι πρό, Ὀδ. θ', 581. 1611, 23.

καὶ σύνδεσμος παρέλκων, οἷον ἐν τῷ, πρίν μιν καὶ γῆρας ἔπεισιν, Ἰλ. α', 29. καὶ ἐν τῷ, τὰ λαμπρὰ καὶ κατ' ὄμμα καὶ κατὰ φύσιν, ὅπου τὸ πρῶτον καὶ παρέλκει. 30, 12. 189, 8. 792, 20.

καὶ ἂν παρ' Ὁμήρῳ, ἐν ἴσῳ τῷ παρὰ τοῖς Ἀττικοῖς κἄν, οἷον παρὰ Σοφοκλεῖ ἐν τῷ, κἂν ἐξέπραξεν. 571, 8. 1564, 19. ζήτει τὸ κἄν.

καὶ μὲν ἀντὶ τοῦ καὶ μὴν πολλαχοῦ παρ' Ὁμήρῳ. 779, 39.

καιάτας ἢ καιέτας, δεσμωτήριον σπηλαιῶδες παρὰ Λακεδαιμονίοις, ὅτι παρὰ τὸ κῶ τὸ κεῖμαι, κεῖσθαι γὰρ δοκοῦσι τὰ κάτω καὶ χθαμαλά, ἑρμηνεία διεξοδική. 1478, 45—57.

καίειν ὅτι κέειν διὰ τοῦ ε ψιλοῦ ἐγράφετο πάλαι, ὅθεν τὸ διὰ διφθόγγου. 1766, 21.

καίειν τοὺς νεκροὺς τίνι λόγῳ εἰώθεσαν οἱ ἀρχαῖοι, καὶ τίς ὁ κατάρξας τοῦ ἔθους τούτου, ἀπαγγελία διεξοδική. 43, 5. 12.

καίεσθαι κυρίως λέγονται τὰ ξύλα, καταχρηστικῶς δὲ καὶ τὸ πῦρ καίεσθαι λέγεται ἀντὶ τοῦ ἐξάπτεσθαι. 748, 15. 1151, 40. ὁμοίως καὶ πυραὶ καίεσθαι λέγονται παρ' Ὁμήρῳ, ἤγουν ἀνῆφθαι. 43, 31. 1295, 41.

καιετάεντες ἵπποι ἐπιθετικῶς, καὶ καιετάεσσα γῆ ἢ χώρα ἡ καλαμινθώδης, ἢ πολλοὺς ἔχουσα καιετούς, ὅ ἐστι σχισμὰς καὶ ῥωχμοὺς ἀπὸ σεισμῶν. 294, 10. 1478, 36. 41.

καιέτας ἢ καιάτας, δεσμωτήριόν τι σπηλαιῶδες παρὰ Λακεδαιμονίοις, παρὰ τὸ κῶ, ὅ ἐστι κεῖμαι. 294, 12. 1478, 45. 53.

καιετός, σχισμαὶ γῆς ἢ ῥωχμοὶ ἀπὸ σεισμῶν. 294, 11. 1478, 42.

Καικίας ἄνεμος ὅτι παρὰ τὸ ἐκ Καΐκου ποταμοῦ πνεῖν οὕτω λέγεται. 890, 17.

Κάϊκος ποταμὸς ὅτι δώδεκα σταδίους διέχει Ἐλαίας Αἰολικῆς πόλεως. 1697, 14.

Καινεὺς ὅτι κάλλιστος γέγονε καὶ ἀνδρειότατος καὶ ἄτρωτος διέζησε Ποσειδῶνος αὐτῷ τοῦτο χαρισαμένου, καὶ ὅτι ἐκ παρθένου εἰς ἄνδρα μετεβλήθη, μῦθος καὶ ἐτυμολογία τοῦ ὀνόματος. 101, 9.

καίνυσθαι τὸ κόπτειν καὶ τὸ νικᾶν, ἀπὸ τοῦ καίνυμι θέματος. 1468, 1.

καίνω ὅτι παρὰ τὸ κνῶ γίνεται κναίνω, ἐξ οὗ τὸ καίνω, ἢ παρὰ τὸ κναίω κατὰ μετάθεσιν. 871, 62. 872, 4.

καιόμενα μέλη ὅτι οὐκ ἐκβάλλουσιν αἷμα διὰ τὸ φρύττεσθαι τὰς σάρκας. 1636, 3.

Καῖρα ἡ Καρικὴ γυνή, ὅτι ἐκ τοῦ Κάϊρα συνῄρηται. 456, 12. 648, 41.

Καῖρε, πόλις Ἰταλική, παρὰ τὸ χαῖρε οὕτως ὀνομασθεῖσα, ἱστορία. 1432, 29.

καιρία πληγὴ ἡ θανάσιμος παρὰ τὴν Κῆρα. 461, 45.

καίριον τὸ εὔκαιρον ἢ τὸ θανάσιμον, παρὰ τὴν Κῆρα. 701, 5.

καῖρος προπερισπωμένως, λέξις διαφόρως ἑρμηνευομένη διεξοδικῶς, καὶ ὅτι βαρύνεται πρὸς διαφορὰν τοῦ καιρός. 156, 44. 907, 13. 1571, 56. 58. ζήτει τὸ καίρωμα.

καιροσέων ὀθονέων, ἤγουν εὐυφῶν καὶ ἀγαθὸν καίρωμα ἐχουσῶν ὀθονῶν, ἢ ἀντὶ τοῦ κροσσωτῶν, ὅτι παρὰ τὸν καῖρον, ὃ δηλοῖ τὸν μίτον, λέγεται· καὶ ὅτι ἐκ τῆς καιροεσσῶν γενικῆς γέγονε κατὰ μετάθεσιν, ἢ ἀπὸ εὐθείας ἡ καίροσσα ὡς ἄτοσσα, ἧς πληθυντικὴ γενικὴ καιροσσῶν καὶ Ἰωνικῶς καιροσσέων. 1571, 55—64.

καίρωμα τὸ μίτωμα ἢ τὸ διάπλεγμα τὸ μὴ ἐῶν τοὺς στήμονας συγχέεσθαι, εἴτουν ἡ διαπλοκὴ τοῦ διάσματος, ἐν ᾗ οἱ στήμονες καθίενται. 1571, 56. 60.

καιρωστρίδες ἢ καιρώστριδες γυναῖκες ἀντὶ τοῦ ὑφάντριαι, παρὰ τὸν καῖρον, ὃ δηλοῖ τὸν μίτον. 1571, 57.

καίω, ὁ μέλλων καύσω τροπῇ τοῦ ι εἰς υ. 36, 11. καὶ ὅτι ἐκ τοῦ κέω κῶ παρῆκται. 684, 4. 737, 19. 1905, 27.

κακὰ φάρμακα ὅτι πρὸς διαστολὴν τῶν ἐσθλῶν φαρμάκων λέγονται. 1655, 24.

κακὰ φρονεῖν τινί, ἀντὶ τοῦ ἐγκοτεῖν παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον κακὰ φρονεῖν τὸ μωραίνειν. 1271, 43.

κακὰ φυτεύειν καὶ κακὰ ὑπορύττειν καὶ κακὰ ῥάπτειν, ἀντὶ τοῦ κατά τινος βουλεύεσθαι, τουτέστιν ἐπιβουλεύειν τινί. 1810, 64.

κακάβαι κατ' ὀνοματοποιίαν αἱ πέρδικες, αἳ καὶ κακκαβίζειν λέγονται, κακκάβη δὲ σκεῦος χαλκοῦν. 1290, 40.

κακάγγελος ὅτι παρὰ τὸ κακὰ ἀγγέλλειν λέγεται. 1123, 57.

κακάζειν, μίμημα φωνῆς ὀρνίθων. 1402, 53. 1786, 23.

κάκκαρον τὸ καρανίον κατὰ τὴν χυδαϊκὴν γλῶσσαν, καθ' ἣν καὶ ξηρόν τι ὡς τὸ κάκαρον εἶναι λέγεται. 1796, 58.

κάκη ἡ κακία καὶ ἡ δειλία. 950, 53.

κακὴ γλήνη, παρ' Ὁμήρῳ ἀντὶ τοῦ κακὴ θέα, καὶ λέγεται περί τινος κακοῦ τὸ εἶδος ἢ μηδὲ βλέπεσθαι ἀξίου. 705, 7.

κακὴ νόσος καὶ ἔρις καὶ πόλεμος κακὸς ἐπιθετικῶς, ὅτι κατὰ τὴν ἐκ τοῦ χάζεσθαι ἐτυμολογίαν λέγονται. 23, 19. καὶ κακὴ ὀδύνη ἡ κακωτική. 605, 43.

κακίζεσθαι ἐπὶ τοῦ δειλιᾶν. 930, 53.

κακκάβη καὶ κάκκαβος ταὐτὸ ὅπερ χύτρα. 872, 13. 1390, 51.

κακκάν, φωνὴ βρεφικὴ ἀπόπατον ὑπαγορεύουσα, παραγωγή. 950, 54.

κακκείειν, ῥῆμα ἐφετικὸν ἀντὶ τοῦ κοιμητικῶς ἔχειν, ὅτι ἐκ τοῦ κατακείειν γέγονε κατὰ συγκοπήν, ἑρμηνεία διεξοδική. 162, 8—16. 966, 4.

κακκῆαι ἀντὶ τοῦ κατακαῦσαι. 1673, 60.

κακοείμων, ὅτι ἐκ τοῦ κακὰ εἵμενος Ὁμηρικοῦ ῥητοῦ σύγκειται ἡ λέξις. 1866, 37.

κακοεργὸς γαστὴρ παρ' Ὁμήρῳ λέγεται ἐκ τοῦ δι' αὐτὴν τοὺς ἀνθρώπους ὡς ἐπιπολὺ κακουργεῖν. 1837, 19.

κακοηθέστατα κλειδία τὰ κρυπτὰ καὶ δυσεπιβούλευτα. 1108, 24.

κακοθημοσύνη ὅτι ἀντίκειται τῇ ἀγαθῇ ὑποθημοσύνῃ. 696, 22.

Κακοΐλιος ἢ Κακοΐλιον οὐδετέρως ἡ Τροία λέγεται παρ' Ὁμήρῳ διὰ τὰ κατ' αὐτὴν συμβάντα κακά. 1863, 25.

κακόξεινος ὁ κακῶν ξένων ὑποδοχεύς, Ὀδ. υ', 376. 1896, 20.

κακοξεινότερος ὅτι μεγεθύνει ποτὲ τὴν νō συλλαβὴν παραλόγως διὰ μέτρου ἀνάγκην. 1114, 45.

κακοπινέστατος ὅτι ἀναλόγως ἐκ τοῦ κακοπινὴς ἐσχημάτισται, ἑρμηνεία διεξοδική. 1441, 19.

κακοῤῥαφία ἡ δυστροπία καὶ κακοβουλία καὶ πανουργία, παρὰ τὸ κακὰ ῥάπτειν, ὅ ἐστι συντιθέναι. 1002, 47. 1147, 46. καὶ ὅτι οὐχ οὕτως ἐπίψογον τὸ κακὰ ῥάπτειν, ὡς ἡ κακοῤῥαφία. 1459, 53. κακοῤῥαφία λογισμοῦ ἢ ἀραιότης καὶ κακοσυνθεσία καὶ ἀναρμοστία, ἔτι δὲ καὶ ἡ κακοβουλία. 1443, 13.

Κάκος βαρυτόνως, ὄνομα λῃστοῦ, ὃς ἐπιβουλεύσας ταῖς τοῦ Ἡρακλέους βουσὶν ὑπ' ἐκείνου ἀνῃρέθη. 157, 1. 906, 45. 1817, 11.

κακὸς ὁ δειλὸς πολλαχοῦ παρ' Ὁμήρῳ, παρὰ τὸ χάζω τὸ ὑποχωρῶ. 23, 20. 931, 57. 853, 9. 950, 53. καὶ κακὸς ὁ δυσγενὴς ἐνίοτε παρ' Ὁμήρῳ. 1101, 41. 1558, 33. 1911, 42. καὶ κακὸς ὁ πένης καὶ ὁ εἰδεχθής, ὃς καὶ κακὸς τὸ εἶδος κατὰ συνθήκην λέγεται. 808, 22. 1750, 34. ἀλλαχοῦ δὲ ὅτι κακὸς γενικῶς ὁ δειλὸς καὶ ἀγεννὴς καὶ μηδεμίαν ἀρετὴν ἔχων. 1817, 10.

κακὸς κακὴ κακὸν, ὅτι ἀεὶ παρ' Ὁμήρῳ συστέλλει τὸ κᾶ, καλὸς δὲ καὶ τὰ σύστοιχα ἐκτείνουσι. 161, 42. 979, 9.

κακὸς ὅτι ἐκτείνει ἐνίοτε τὴν κōς συλλαβὴν διὰ μέτρου ἀνάγκην. 654, 48.

κακὸς ἡνίοχος ὁ δειλὸς ἢ ἄτεχνος. 1115, 37.

κακὸς θάνατος, ὅτι καθόλου ἢ πρὸς διαστολὴν ἡ ἐπίθεσις. 400, 22.

κακὸς τόδε τι ποιεῖν, ὅτι συνεκδοχικῶς λέγεται. 1589, 23.

κακοσσόμενος συνθέτως ἢ κάκ' ὀσσόμενος ἐν παραθέσει, Ἰλ. α', 105. ἑρμηνεία διεξοδική. 58, 26. 59, 32. 36.

κακοσχόλοι φράζειν λέγονται οἱ περίεργοι τῇ φράσει. 1638, 17.

κακότεχνος δόλος, πρὸς διαστολὴν τοῦ ἐπ' ἀγαθῷ γινομένου. 1002, 39.

κακότης ἡ κάκωσις παρ' Ὁμήρῳ καὶ ἡ κακία παρ' Ἡσιόδῳ. 1868, 1.

κακοφράδμων ὁ κακόβουλος. 1445, 30.

κακόφρων ὁ κακὰ φρονῶν, τὸ δὲ κακὰ φρονεῖν διττῶς νοεῖται. 1271, 45.

κάκτανε ἀντὶ τοῦ κατάκτανε προστακτικοῦ, ὅτι ἐκ τοῦ κατάκτανε συνεκόπη τροπῇ τοῦ τ̄ τῆς προθέσεως εἰς κ̄. 632, 13. 20.

κάκτος ἡ κινάρα ἢ ὁ παρὰ Ῥωμαίοις λεγόμενος κάρδος. 1822, 24. 28.

κακῶν Ἰλιὰς, καὶ ἀεὶ Ἰλίῳ κακὰ, παροιμίαι· ζήτει ἐν τῷ, Ἰλιὰς κακῶν. 444, 22. 24.

κακῶν δέ κε φέρτερον εἴη, Ἰλ. ρ', 105. ἤγουν ὡς ἐν κακοῖς κάλλιον, ἢ κακοῦ τὸ μεῖον· καὶ ὅτι παροιμιακόν ἐστιν, καὶ ὅτι παρὰ Σοφοκλεῖ, κακῶν κάλλος ὕπουλον, ἐκ τοῦ Ὁμηρικοῦ τούτου ῥητοῦ παρεξέσθη. 1097, 23.

κακῶς ἀντὶ τοῦ ἀτέχνως, οἷον ἐν τῷ, κακῶς ἀνδρῶν τοξάζεσθαι. 1917, 60.

κακώτερος ἀντὶ τοῦ κακὸς, ὅ ἐστι δυσγενής. 1563, 16.

κάλα τὰ ξύλα κατὰ γλῶσσαν. 896, 57.

καλὰ ἀντὶ τοῦ καλῶς πολλαχοῦ παρ' Ὁμήρῳ. 644, 62. 719, 63. 1824, 64.

καλὰ ἔπη οἱ ἐγκωμιαστικοὶ λόγοι, ὅτι ἀντίκειται τοῖς παρ' Ὁμήρῳ λεγομένοις, αἰσχροῖς ἔπεσιν, Ἰλ. γ', 38. 379, 33.

κάλαθος ὅτι παρὰ τὸ ἐκ κάλων, ὅ ἐστι ξύλων, κυκλοειδῶς θεόντων γίνεσθαι οὕτω λέγεται· καὶ ὅτι κάλαθοι ἰδίᾳ λέγονται τὰ εἰς τὴν τῶν Δημητρειακῶν καρπῶν συγκομιδὴν ἐπιτήδεια σκεύη. 726, 19. 1208, 37. 1488, 58. 1627, 48. καὶ ὅτι καὶ ὀρχήσασθαί ποτε οἱ κάλαθοι ἱστοροῦνται κατὰ τὴν ἑορτὴν τῆς Κολοηνῆς Ἀρτέμιδος. 366, 2. τὸ δ' αὐτὸ καὶ ἐν Δημητρειακῇ τινὶ ἑορτῇ συμβῆναι μνημονεύεται. 1627, 48.

Κάλαϊς, Βορέου παῖς, ὅτι παρὰ τὸ ἀκαλὸν, ὅ ἐστιν ἥσυχον, καὶ τὸ ἄειν, ὅ ἐστι πνέειν, λέγεται. 1547, 14.

καλαμαία ταὐτὸ ὅπερ καλάμη κατὰ παραγωγήν. 1758, 5. ζήτει τὸ καλάμη.

καλαμαῖον, τεττίγιον ἐλάχιστον, ὅτι παρὰ τὴν καλάμην λέγεται. 396, 2. 1181, 52.

καλαμᾶσθαι, τὸ τὴν καλάμην συλλέγειν, ἤγουν τὰ λείψανα τῶν τεθερισμένων. 1181, 51. 54. καὶ καλαμᾶσθαι τὸ λίαν ἀδικεῖν ἀπὸ μεταφορᾶς τῶν τὴν τοῦ σίτου καλάμην ἐκσπώντων. 1758, 59.

καλαμαύλης, ὁ καὶ μόναυλος λεγόμενος κάλαμος παρὰ Ἀλεξανδρεῦσι. 1157, 39.

καλάμη αἱ τῶν δραγμάτων ῥίζαι διὰ τὸ τοῖς καλάμοις ὁμοιοῦσθαι, καὶ καλαμαῖοι παραγώγως τὸ αὐτὸ, καὶ καλάμη μεταφορικῶς τὰ σώματα τῶν ἐν πολέμῳ πεσόντων καὶ τὰ ὑπὸ γήρως διεφθαρμένα. 1181, 47. καὶ παροιμία, ἐκ καλάμης τὸν ἄσταχυν, ἐπὶ τῶν ἐν γήρᾳ δεῖγμά τι φυλασσόντων τῆς κατὰ τὴν νεότητα εὐεξίας. 1758, 41.

καλαμίνθη ὅτι καὶ διαλελυμένως λέγεται καλὰ μίνθη. 1524, 12.

καλάμιον, κόσμος τις χρυσοῦς, ὅτι παρὰ τὸν κάλαμον λέγεται. 1181, 53.

κάλαμος, ὅτι ὁ κάλαμος τῇ ἁδρότητι μόνον διαφέρει τοῦ δόνακος. 1165, 24.

καλαμωτὴ ἰδιωτικῶς ὁ ἑκατέρωθεν περὶ τὰ χείλη τῶν πλοίων ἐκ καλάμων ἢ τοιαύτης ὕλης γινόμενος φραγμός. 1533, 51.

καλάσιρις, λινοῦς χιτὼν ἱερατικὸς ὅτι διχρόνῳ παραλήγεται κατὰ τὸ ξίρις, Σίρις, Ὄσιρις. 391, 37.

Καλαυρία, ὄνομα νήσου τινός. 287, 28.

καλαῦροψ, ξύλον ἐπικαμπὲς, ὅτι

ἐκ τοῦ κάλον καὶ τοῦ αὖ καὶ τοῦ ῥέπειν σύγκειται ἡ λέξις. 501, 21. 1332, 45. 1815, 12.

καλεῖν ἀντὶ τοῦ ἑστιᾶν ἐν τῷ, καὶ δαῖτας ἐΐσας δαίνυται, πάντες γὰρ καλέουσιν, Ὀδ. λ', 187. 1678, 61.

καλεῖν ὅτι συστέλλει τὴν παραλήγουσαν πολλαχοῦ παρ' Ὁμήρῳ. 161, 42. 979, 8.

καλεῖσθαι θανατόνδε ὑπὸ θεοῦ, φράσις Ὁμηρική. 1081, 52.

καλεῖσθαι τὸν δεῖνα ἀντὶ τοῦ ἐκκαλεῖσθαι εἰς δικαστήριον. 1366, 17.

καλεῦντο ἀντὶ τοῦ ἐκαλοῦντο. 321, 15.

Καλὴ Πεύκη, ὄνομα χωρίου τινός. 880, 59. 61.

Καλή, ὄνομα κύριον μιᾶς τῶν Χαρίτων, ἡ περὶ κάλλους ἐρίσασα τῇ Ἀφροδίτῃ ἐν τοῖς Θέτιδος γάμοις ἐνίκησε, καὶ τῷ Ἡφαίστῳ συνῴκησε. 1665, 58.

κάλη καὶ καλήτης ἀντὶ τοῦ κήλη καὶ κηλήτης τροπῇ Δωρικῇ τοῦ η εἰς ᾱ. 1481, 52.

καλήμεναι ἀπαρέμφατον ὅτι ἐκ τοῦ καλαίνω ἢ ἐκ τοῦ κάλημι θέματος κεκίνηται. 793, 49.

Καλήσιος ὅτι παρὰ τὸν καλήσω μέλλοντα λέγεται. 106, 43. 622, 4. 793, 10.

καλήτωρ, ἐπίθετον κήρυκος, ὅτι παρὰ τὸν καλήσω μέλλοντα λέγεται. 106, 40. 1366, 7.

καλλάϊνος χιτὼν ὅτι δοκεῖ παρὰ τὰ κάλλη, ὅ ἐστιν ἄνθη εἴτουν βάμματα, λέγεσθαι. 1278, 52.

Κάλλας, ὄνομα ποταμοῦ τινὸς ἐν Εὐβοίᾳ. 280, 26.

κάλλεα οἱ τῶν ἀλεκτρυόνων πώγωνες, καὶ τὰ ἐν ταῖς οὐραῖς αὐτῶν πτερά. 1278, 50.

κάλλη, ἄνθη ἢ βάμματα. 1278, 50.

καλλι ἀρχόμενα ὀνόματα ἐκ τῆς κάλλος φωνῆς συγκείμενα ὅτι διὰ τοῦ ἰῶτα ἔχουσι τὸ λι, οἷον καλλίκομος, καλλιπλόκαμος. 460, 27.

Καλλιάνασσα καὶ Καλλιάνειρα, κύρια Νηρηΐδων, ὅτι παρὰ τὸ ἰαίνειν λέγονται. 1130, 48. 64.

Καλλίαρος, πόλις Λοκρῶν, ἡ καὶ Καλλίαρα οὐδετέρως διὰ τὸ εὐήροτον τῆς γῆς οὕτω λεγομένη. 277, 28.

Καλλίας Ἀθηναῖος ὅτι πρῶτος εὗρε τὴν τοῦ μίλτου ἐργασίαν. 310, 31.

Καλλιγόλας, Ῥωμαίων αὐτοκράτωρ, ὅτι Διόνυσος ἐχρημάτιζε. 776, 28.

καλλιγύναικα τὴν Σπάρτην λέγει Ὅμηρος διὰ τὴν Ἑλένην. 1747, 19.

καλλιγύναιξ ἐπίθετον ὅτι διαφόροις χωρίοις ἐπετέθη παρὰ διαφόροις ποιηταῖς. 875, 52.

καλλιερεῖν ἐλέγοντο ὧν τὰ θύματα ὑπεδέχετο ὁ θεός. 250, 4. 788, 46.

καλλιερεῖν καὶ τὸ καλλιέρημα ἐκ τοῦ καλὰ λέγεσθαι τὰ ἱερὰ ἀφορμὴν τῆς συνθέσεως ἔλαβον. 1676, 32.

καλλίζωνος γυνή, ἡ καὶ εὔζωνος πολλαχοῦ παρ' Ὁμήρῳ. 672, 16.

Καλλικολώνη ἢ Καλλικόλωνος, λόφος τις ὑψηλὸς μεταξὺ τῆς Ἰλιέων καὶ Σιμουντίων κώμης, ἑρμηνεία διεξοδικὴ περὶ τῆς θέσεως τοῦ τόπου. 351, 2. 1195, 28. 40.

Καλλικῶν, ὅτι οὕτως ἐπεκλήθη Ἀχαιός τις καλούμενος ἄνθρωπος τῶν ἐπὶ πονηρίᾳ διαβοήτων· καὶ ὅτι παρὰ τὸ καλὰ κοεῖν, ὅ ἐστι νοεῖν, κατ' ἀντίφρασιν οὕτως ἐπεκλήθη. 1669, 58.

καλλίνικος, ὄνομα αὐλήσεως ποιᾶς. 1236, 56.

Καλλῖνος ἢ Φιλήτας, συγγραφεύς τις τῶν Ναξιακῶν. 1885, 51.

κάλλιον ἀντὶ τοῦ καλὸν ἐν τῷ, οὐ μέντοι τόδε κάλλιον, Ὀδ. η', 159. 1575, 62.

Καλλιόπη Μοῦσα, παρὰ τὸ καλὸν τῆς ὀπός, ὃ κοινόν ἐστι πασῶν τῶν Μουσῶν. 161, 33. καὶ ὅτι ἡ Καλλιόπη πάσας τὰς Μούσας παρίστησι κατὰ τὸ ἔτυμον τῆς φωνῆς. 10, 9.

καλλίουλοι, οἱ καὶ Δημητρίουλοι, ὕμνοι τινὲς εἰς Δήμητραν. 1162, 42.

καλλιπάρῃος ὅτι ἐκ τοῦ παρειὰ λέγεται τροπῇ τῆς ει εἰς τὴν η καταχρηστικήν. 67, 43.

καλλιπάρῃος θέμις, εὐπρόσωπος δικαιοσύνη, ὡς τῶν δικαίων τοιούτων ὄντων. 1007, 17.

καλλίροον ὅτι φύσει μὲν δι' ἑνὸς ρ γράφεται, Ἀττικῶς δὲ δυσί. 1545, 18.

Καλλιστὼ εἰς ἄρκτον μεταμορφωθεῖσα, μῦθος. 1156, 9.

καλλίσφυρος ἐπίθετον ὅτι περὶ γυναικῶν μόνον εἴρηται λεγόμενον, καλὰ δὲ σφυρὰ ἔχειν καὶ οἱ ἄνδρες λέγονται. 457, 4.

κάλλος, ὅτι ἐν δυσὶ λ γράφεται ἡ λέξις. 1347, 50.

κάλλος, ποιότης καθ' ἣν καλός τις εἶναι λέγεται· καὶ κάλλος τὸ τῶν ἀλεκτρυόνων ὁμωνύμως. 1205, 26. καὶ ὅτι τὸ κάλλος ἐν τῇ συμμετρίᾳ τοῦ ὅλου σώματος θεωρεῖται. 714, 52. καὶ κάλλους γυναικείου ἔκφρασίς τις ποιητική. 1558, 13.

κάλλος, ὅτι πολλοὺς κάλλει διαφέροντας ἤνεγκεν ἡ Τροία, οἷον τὸν Ἀγχίσην, τὸν Γανυμήδην, τὸν Πάριν, τὸν Βουκολίωνα. 826, 28.

κάλλος, ὅτι οἱ ἀθάνατοι καλούμενοι Αἰθίοπες τὸν ἀεὶ κάλλιστον παρ' αὐτοῖς βασιλέα ἐποίουν. 1375, 3.

κάλλος, μῦρόν τι καλλωπιστικὸν παρ' Ὁμήρῳ, ᾧ ἦν νίπτεσθαί τε καὶ χρίεσθαι. 1842, 25. 1843, 8.

καλλύνειν τὸ κοσμεῖν καὶ σαροῦν, παρὰ τὸ κάλλος, ὅ ἐστιν ἄνθος ἢ βάμμα. 1278, 50.

Κάλλων Ἀργεῖος, ᾧ συγγενέσθαι καὶ υἱὸν σχεῖν, Στράβωνα κληθέντα, λέγεται ὁ Τειρεσίας ὅτ' ἦν γυνή. 1665, 52.

κάλοι καὶ κάλωες, σχοινία τινὰ ἐν τοῖς πλοίοις, παρὰ τὸ χαλᾶν λεγόμενα, ἑρμηνεία διεξοδική. 1453, 2. 1534, 8.

καλὸν τὸ κόσμιον καὶ εὐειδές. 1257, 47.

καλόν, λέξις πᾶσι τοῖς εὐειδέσιν ἐπιτιθεμένη. 170, 13.

καλὸν ὅτι τῷ χρυσῷ ἐν πολλοῖς ἐπιτίθεται. 1347, 49.

καλὸν πρᾶγμα τὸ ἐπαίνου ἄξιον, τέλος γὰρ τοῦ ἐγκωμιαστικοῦ εἴδους τὸ καλόν. 1892, 60.

κάλος διὰ τοῦ ο μικροῦ ταὐτὸ ἔπερ κάλως διὰ τοῦ ω μεγάλου,

ὃ δηλοῖ τὸ σχοινίον. 136, 42. ζήτει τὸ κάλοι.

κάλος βαρυτόνως κατὰ διάλεκτον ὁ κοινῶς καλὸς ὀξυτόνως. 1534, 20.

καλὸς καλὴ καλὸν, ὅτι παρὰ τὸ καλεῖν λέγεται, καὶ ἔτι τὸ κᾶ μακρὸν ἔχει· ζήτει ἐν τῷ κακός. 161, 42. ἀλλαχοῦ δὲ ὅτι καλὸς, ὁ λαμπρὸς καὶ εὐειδὴς, ἐκ τοῦ κῶ καὶ τοῦ ἥλιος σύγκειται, καὶ ὅτι ἐκτείνει τὸ κᾶ ὡς ἐκ συναιρέσεως. 979, 9. 1401, 27.

καλοῦμαι σὲ, ἀντὶ τοῦ καλῶ Ἀττικῶς. 44, 29. καὶ ὅτι δικαστικὴ λέξις ἐστί. 398, 24.

καλοῦμαι τόδε τι, ἀντὶ τοῦ εἰμὶ ἐν τῷ, καὶ οὕνεκα σὴ παράκοιτις κέκλημαι, Ἰλ. δ', 61. 445, 7.

καλοφόροι οἱ ξυλοφόροι, παρὰ τὸ κάλον, ὃ δηλοῖ τὸ ξύλον. 1292, 61.

κάλπις ὅτι ὡς καλοῦσα πιεῖν οὕτω λέγεται. 1566, 19. καὶ ὅτι τοῖς πρὸ γάμου τελευτήσασι λουτροφόρος ἐπετίθετο κάλπις εἰς ἀγονίας σύμβολον. 1293, 3.

Καλύδναι νῆσοι, κατὰ μέν τινας αἱ Σποράδες καλούμεναι, κατὰ δὲ ἑτέρους μία τις νῆσος πληθυντικῶς οὕτως ἐκλήθη παρ' Ὁμήρῳ, καὶ ἄλλα τινὰ περὶ τῶν Καλύδνων. 319, 3. 12.

Καλύδνιον, χωρίον τι ᾧ ληστηρίῳ ἐχρήσατο Κλέων ὁ λήσταρχης ἐπὶ Ἀντωνίου Καίσαρος. 319, 7.

Καλυδὼν, πόλις Αἰτωλίας ἐνδοξοτάτη, Οἰνέως βασίλειον, καὶ ἄλλα τινὰ περὶ αὐτῆς. 311, 41. 312, 12.

Καλυδώνιος κάπρος, ἱστορία διεξοδικωτάτη περὶ τῶν κατὰ Μελέαγρον καὶ τῆς τοῦ Καλυδωνίου κάπρου θήρας. 770, 20.

κάλυκες, δακτύλιοι ἢ κόσμος ποιὸς συνεκτικὸς τῶν γυναικείων πλοκάμων. 1150, 21.

Καλύκη, Στησιχόρου ποιημάτιον ἐπὶ Καλύκῃ γυναικί τινι κατακρημνισθείσῃ δι' ἔρωτα. 1236, 61.

κάλυξ κάλυκος, ὅτι παρὰ τὸ καλίσσω καλίξω, ὃ δηλοῖ τὸ καλύπτω, λέγεται. 54, 12. 991, 5.

καλύπτειν ὀφθαλμοὺς καὶ ῥῖνας λέγεται ὁ θάνατος παρ' Ὁμήρῳ διὰ τὴν τοῦ ὁρᾶν καὶ τοῦ ἀναπνεῖν ἀποστέρησιν. 1072, 32.

καλύψαι ἀντὶ τοῦ ἐπιθεῖναι καὶ σκεπάσαι εἴτουν καταπετάσαι καὶ ἐπικαταστρέψαι ἐν τῷ, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι, Ὀδ. ν', 152. 1737, 47.

καλύψαι τινὰ ἰλύϊ, τὸ κρύψαι καὶ ἀφανίσαι· καλύψαι δὲ τινὶ ἰλὴν, τὸ ἐπιθεῖναι εἰς κάλυμμα. 1238, 3.

Καλυψοῦς νῆσός τις μυθικὴ παρ' Ὁμήρῳ, ὅτι ἦν ποτὲ νῆσός τις Ἀτλαντικὴ Καλυψοῦς νῆσος λεγομένη, ὕστερον δὲ ἠφανίσθη, ἱστορία καὶ ἀλληγορία. 1389, 51. 1390, 8.

Καλυψὼ, θεά τις μυθικὴ παρ' Ὁμήρῳ, ὅτι τὰς ἐν τοῖς φυτοῖς καὶ νάμασιν ἐμφύτους δυνάμεις δηλοῖ ἀλληγορικῶς. 1384, 32. ἀλλαχοῦ δὲ ὅτι εἰς τὸ ἀνθρώπινον σῶμα καὶ τὴν ἐν αὐτῷ ψυχὴν ἀλληγορεῖται ὁ τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς Ὁμηρικὸς μῦθος, ἑρμηνεία διεξοδική· καὶ διὰ τί Ἄτλαντος θυγάτηρ μυθεύεται. 1389, 40. 63.

καλχαίνειν ἀντὶ τοῦ πορφύρειν μεταληπτικῶς, ἐπεὶ καὶ κάλχη ἡ πορφύρα· ἢ τὸ μαντεύεσθαι, ἀπὸ τοῦ Κάλχας ὀνόματος. 51, 11.

Κάλχας κύριον ὅτι παρὰ τὴν κάλχην, ὃ δηλοῖ τὴν πορφύραν, λέγεται ἢ παρὰ τὸ καλχαίνειν· καὶ ὅτι ἀστοχήσας τινῶν προβλημάτων ὑπὸ λύπης ἀπέθανεν, ἱστορία διεξοδική. 51, 1. ἀλλαχοῦ δὲ ὅτι δόξας ἀδικεῖν Ἡρακλέα κατὰ τὸ μέτρημα τῶν ὀλυνθῶν ὑπ' ἐκείνου ἀνῃρέθη. 1900, 25. καὶ τίνι λόγῳ μάντις κακῶν ἀκούει ὁ Κάλχας, Ἰλ. α', 106. 59, 43.

κάλχη ἡ πορφύρα κατὰ γλῶσσαν. 51, 9.

κάλως διὰ τοῦ ω μεγάλου παρὰ τοῖς Ἀττικοῖς, παρὰ δὲ τοῖς πάλαι διὰ τοῦ ο μικροῦ· καὶ ὅτι περιττοσυλλάβως ὡς τὰ πολλὰ κλίνεται. 1534, 10. ἀλλαχοῦ δὲ ὅτι κάλως κάλωος, καὶ κάλως κάλω Ἀττικῶς, κάλος δὲ κάλου κοινῶς. 1271, 5.

κάμαξ παρὰ τὸ κάμνειν, ἢ ἐκ τοῦ καλάμαξ κατὰ συγκοπὴν, καὶ ὅτι καὶ δόρατος ξύλον σημαίνει. 1163, 16. 32.

καμασῆνες, ὅτι τοὺς ἰχθῦς ἅπαντας οὕτω λέγει ὁ Ἐμπεδοκλῆς. 1720, 45.

κάματος ἡ τῶν μελῶν ἔκλυσις ὁριστικῶς. 921, 39.

Καμβύσης, Λυδῶν βασιλεὺς, τὴν ἰδίαν γυναῖκα κατακρεουργήσας καὶ φαγὼν, ἱστορία. 1630, 15.

καμεῖν τι τὸ καμάτῳ κτήσασθαι ἐν τῷ, Τρωαὶ τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῷ, Ἰλ. σ', 341. 1146, 9.

καμεῖν τι τὸ καμόντα τεῦξαι πολλαχοῦ παρ' Ὁμήρῳ. 553, 9. 1167, 52. 1776, 8.

κάμινοι, ὅτι παρὰ ταῖς καμίνοις Ἡφαίστου ἀγάλματα ἱδρύοντο. 1827, 55.

καμινὼ γυνὴ ἡ καμινεύτρια, ἤγουν ἡ φρύγουσα τὰς κριθὰς, ἢ ἡ καμοῦσα τὰς ἶνας ἀπὸ τοῦ γήρως. 1835, 41.

Κάμιρος, πόλις Ῥόδου, τὸ μῖ ἰῶτα, Κάμειρος δὲ τὸ κύριον τοῦ οἰκιστοῦ διὰ διφθόγγου· καὶ ἄλλα τινὰ περί τε τῆς πόλεως καὶ τοῦ οἰκιστοῦ. 315, 23. 29.

καμμονία οὐχ ἡ ἁπλῶς νίκη, ἀλλ' ἡ ἐκ καταμονῆς καὶ διακαρτερήσεως, ἑρμηνεία διεξοδική. 1268, 45. 1322, 26.

κάμμορος ὁ κακόμοιρος ἢ κακοθάνατος, καί τι εἶδος κάριδος ὁμωνύμως παρὰ Ῥωμαίοις. 1389, 24.

καμμύω ῥῆμα ὅτι ἔξωθεν αὔξάνεται ὡς καθ' ἕξιν συγκείμενον τῇ προθέσει. 207, 36.

κάμνειν τὸ μετὰ πόνου ποιεῖν ἢ τὸ τελεῖν, καὶ ὅτι καὶ καμέσθαι τὸ αὐτὸ λέγεται κατὰ φωνὴν παθητικήν. 1619, 51.

καμόντες οἱ τεθνηκότες διὰ τὸ λυσιμελῆ εἶναι τὸν θάνατον ὡς καὶ τὸν κόπον. 624, 1. 921, 40.

κάμπτειν τινὰ τὸ πείθειν καὶ μετάγειν ἀπό τινος ἐπί τι. 150, 30.

κάμπτειν γόνυ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ καθεσθῆναι καὶ ἱκετευτικῶς γονυκλιτεῖν. 669, 28. 33. 50.

κἂν ἀντὶ τοῦ καὶ ἂν παρὰ τοῖς Ἀττικοῖς, οἷον, κἂν ἐξέπραξεν εἰ κατημέλησ' ἐγὼ, παρὰ Σοφοκλεῖ (Aj. 45.). 571, 8. 1564, 19.

κάναθρον τὸ ἐπὶ τῶν ἁμαξῶν

τετράγωνον πλινθίον, παρὰ τὸ κάννη, ὃ δηλοῖ τὴν ψίαθον. 1344, 44.

Καναστραῖον, ἀκρωτήριόν τι τῆς Παλληνικῆς χώρας. 776, 37.

κάναστρον, τρύβλιον, ὅτι παρὰ τὸ ἐγκανάσσειν, ὅ ἐστιν ἐγχέειν, λέγεται. 1402, 29.

κάνδαυλος, βρῶμα ποιὸν παρὰ Λυδοῖς, καὶ ἱστορία περὶ τῆς κατασκευῆς αὐτοῦ. 1144, 15.

κανδάων, vid. κανδάων.

κανδῆλαι, ὅτι παρ' Ἀθηναίῳ φέρεται ἡ λέξις ἐπὶ ταὐτοῦ σημαινομένου, ἐφ' οὗ καὶ καθ' ἡμᾶς κεῖται. 1571, 22.

κάνεα λέγονται παρά τισιν ἔθνεσι τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις ξύλινα σκεύη. 1402, 19.

Κάνη, ἀκρωτήριον ἀνταῖρον τῷ Λεκτῷ καὶ ποιοῦν τὸν Ἀδραμυττινὸν κόλπον. 1944, 11.

κάνθαρος ἀετὸν μαιεύεται, παροιμία καὶ μύθου ἀφήγησις διεξοδική. 1352, 44.

κανθήλια ὅτι οἱονεὶ ἀνθήλια λέγονται προσθήκῃ τοῦ κ. 734, 49. 1457, 43.

κανθήλιοι καὶ κάνθωνες, ὅτι οὕτω πολλάκις τοὺς ὄνους καλοῦσι. 1625, 40.

κανίσκιον ὅτι παρὰ τὸ κάνεον ὑποκοριστικῶς λέγεται. 869, 51.

κάννη ἡ ψίαθος. 1344, 45.

κανόνες ἀσπίδων, πολλαχοῦ παρ' Ὁμήρῳ ῥάβδοι τινὲς ἀναφορικοὶ τῶν ἀσπίδων, ἑρμηνεία διεξοδική. 707, 57.

κανόνες γραμματικοὶ ὅτι οὐκ ἀεὶ ἀντιστρέφουσιν. implicite. 541, 44.

Κάνωβος πόλις ὅτι ἐν τοῖς βορειοτάτοις μέρεσι τῆς Αἰγύπτου πρὸς τῇ θαλάσσῃ κεῖται. 1386, 12. 1509, 36. 1559, 60. ζήτει τὸ, ἐσχάτη χθονός.

κανών, ἐργαλεῖόν τι γυναικεῖον χρήσιμον εἰς τὸ κλώθειν, ἑρμηνεία διεξοδική. 1328, 42.

κὰπ φάλαρα, ἀντὶ τοῦ κατὰ φάλαρα, καὶ περὶ τοῦ σχηματισμοῦ τῆς λέξεως ἑρμηνεία διεξοδική. 1048, 25.

κὰπ φάλαρα, ὅτι ἐκ τοῦ κατὰ φάλαρα γέγονε συγκοπῇ καὶ τροπῇ. 900, 13.

κάπακτώσαμεν ἀντὶ τοῦ καὶ ἐπακτώσαμεν, ὅ ἐστι κατησφαλίσαμεν. 1532, 59.

καπάνη παρὰ Θεσσαλοῖς ἡ κοινῶς ἀπήνη, καὶ καπανικὰ τὰ ἁμαξιαῖα. 857, 27.

κάπετος, λάκκος ἐσκαμμένος, παρὰ τὸ σκάπτειν ἐλλείψει τοῦ σ. 1019, 62. 1376, 29. καὶ κάπετοι αἱ περὶ τὰς ἀμπέλους τάφροι. 1163, 33.

κάπη ἡ φάτνη, ὅτι παρὰ τὸ κάπτειν, ὅ ἐστι χανδὸν ἐσθίειν, λέγεται. 595, 21. 658, 51. 722, 4. 1481, 31. ἀλλαχοῦ δὲ ὅτι κάπη ἡ φάτνη, ἡ καταπνεομένη ὑπὸ τῶν ἵππων, παρὰ τὸ κάπος, ὃ δηλοῖ τὸ πνεῦμα. 1280, 38.

κάπνη, ἡ καὶ καπνοδόκη, ἥτις ἦν ὀπή τις κατὰ τὸ μέσον τῆς ὀροφῆς παρὰ τοῖς ἀρχαίοις. 1419, 26.

καπνίζειν πολλαχοῦ παρ' Ὁμήρῳ τὸ πῦρ ἀνάπτειν ἐπὶ θυσίᾳ ἢ ἁπλῶς εὐωχίᾳ ἐκ τοῦ παρακολουθοῦντος, ὅθεν καὶ κρέα καπνιστὰ λέγονται. 245, 5. 750, 42. 877, 1. 1391, 18.

καπνιστὰ κρέα, ζήτει τὸ καπνίζειν. 750, 42.

καπνοδόκη, ὀπὴ κατὰ τὸ μέσον τῆς ὀροφῆς, δι' ἧς ἐκφέρεται ὁ καπνός. 1419, 26.

καπνὸς ὅτι παρὰ τὸ κάπος, ὃ δηλοῖ τὸ πνεῦμα, λέγεται πλεονασμῷ τοῦ ν. 541, 46.

καπνὸς, καὶ παροιμίαι, ὑπὲρ καπνοῦ κρεμάσαι τι, καὶ ἐκ καπνοῦ καταθέσθαι· ζήτει ἐν τῷ, ὑπὲρ καπνοῦ, καὶ ἐν τῷ, ἐκ καπνοῦ. 1718, 54. 1802, 56.

καπνὸς ἀπὸ σύκων, ὅτι οὕτως αἰνίττεταί τις κωμικὸς τὰς συκοφαντικὰς διαβολάς. 1718, 8.

καπνὸς ὑδάτων ἐκ θειώδους ἀναθυμιάσεως καπνοῦ φαντασίαν παρεχομένης. 1263, 53.

καπνοσφράντης παροιμιακῶς ὁ φειδωλός. 750, 41.

κάπος τὸ πνεῦμα, ὅθεν καὶ ὁ κῆπος λέγεται. 1193, 18.

κάπος καὶ κάφος τὸ πνεῦμα. 541, 46. 1280, 34.

καππεδίον, κατὰ πεδίον, κατὰ συγκοπὴν τῆς προθέσεως. 636, 32.

κάπραινα γυνὴ ἡ ὀργῶσα πρὸς τὰς μίξεις. 1183, 20.

καπρᾶν τὸ ἀσελγαίνειν, ὅτι παρὰ τὸν κάπρον λέγεται. 853, 31. ἀλλαχοῦ δὲ ὅτι καπρᾶν κυρίως λέγεται ὗς ὀρεγομένη κάπρου, καταχρηστικῶς δὲ καπρᾶν λέγεται καὶ τὸ ἁπλῶς μίξεως ὀρέγεσθαι, ὅθεν καπρῶσα γυνὴ ἡ μίξεως ὀρεγομένη. 1183, 20. 1678, 35.

κάπριος σῦς λέγεται παρ' Ὁμήρῳ ὡς γένος καὶ εἶδος. 1107, 34.

κάπρος, ὅτι τῶν συῶν τὰ ἔνορχα καὶ τέλεια κάπροι λέγονται. 1752, 12. καὶ κάπρος ὁμωνύμως εἶδός τι ἰχθύος εὐδοκιμοῦντος παρ' Ἀργείοις. 853, 36.

καπρώζειν ταὐτὸ ὅπερ καπρᾶν, ὅθεν καὶ λέγεται. 853, 33. 1872, 7.

καπρῶσα γυνὴ ἡ ἀσελγὴς καὶ μίξεως ἐφιεμένη, παρὰ τὸν κάπρον, ὅπερ ἐστὶ ζῶον συνουσιαστικόν. 853, 32. 1676, 35.

κάπτειν τὸ χανδὸν ἐσθίειν. 658, 51. 722, 4. 1481, 31.

καπυρίδια, τὰ καὶ τρωκτὰ, ὅτι παρὰ τὸ καπυρὸν, ὃ ἐκ τοῦ καίειν καὶ πυροῦν σύγκειται. 1087, 63.

καπυρὸν, ἐτυμολογία. 437, 1. ζήτει ἐν τῷ καπυρίδια.

κάπω τὸ πνέω κατὰ γλῶσσαν, καὶ κάπος τὸ πνεῦμα. 541, 46.

Κὰρ, κύριον υἱοῦ Φορωνέως ὁμωνύμως τῷ ἐθνικῷ, ἀφ' οὗ Καρία ἐκλήθη ποτὲ ἡ ἐν Μεγάροις ἀκρόπολις. 367, 21.

Κὰρ ἐθνικὸν καὶ παροιμία, ἐν Καρὶ τὸν κίνδυνον. 368, 41. ζήτει ἐν τῷ Κᾶρες.

κάρα ἡ κεφαλὴ καὶ τὸ πρόσωπον παρὰ Σοφοκλεῖ ἐν τῷ, γέλωτι φαιδρὸν κάρα. 455, 44. καὶ ὅτι οἱονεὶ ἄκρα λέγεται· κατ' ἀναγραμματισμόν· καὶ ὅτι τὸ κάρα οὐδετέρως ἐλέγετο παρὰ τοῖς παλαιοῖς, ἡ κάρα δὲ θηλυκῶς τῶν νεωτέρων ἐστί. 46, 6. 700, 56. 1193, 11.

καραιβαρᾶν ἀντὶ τοῦ καρηβαρεῖν παρὰ Φερεκράτει. 1461, 25.

Κάραμβις, ὄνομα τόπου τινὸς περὶ Παφλαγονίαν. 362, 29.

κάρβανοι οἱ βάρβαροι, ὅτι παρὰ τὸ Κὰρ Καρὸς δοκεῖ λέγεσθαι. 368, 36.

Κάρδακες, ἔθνος τι ἐν τῇ Ἀσίᾳ μισθοῦ στρατευόμενον, ὅθεν Κάρ-

δακες ἁπλῶς πάντες οἱ πολεμικοὶ καὶ κλῶπες. 368, 37.

καρδαμύλη, μάζα ποιὰ ὁμωνύμως Καρδαμύλῃ πόλει τινί. 1414, 31.

Καρδαμύλη, πόλις τῆς Μεσσηνίας ἢ Λακωνικῆς, περὶ ἧς Ὅμηρος Ἰλ. ί, 150. 292. καὶ ὅτι καὶ ἄλλαι τινὲς Καρδαμύλαι. 743, 14. 17. 25.

καρδία ὅτι ἀγγεῖον ἐστὶ τῆς ψυχῆς. 1201, 6. καὶ ὅτι ἐκ τοῦ κῆρ καὶ τῆς διὰ προθέσεως λέγεται κατὰ ἀναστροφὴν τῆς προθέσεως. 951, 3. 1071, 50.

καρδία δένδρου τροπικῶς τὸ ἐντὸς τοῦ δένδρου. 309, 30.

καρδίαι τετριχωμέναι, ὅτι καρδίαι τινῶν ἀνατμηθεῖσαι λάσιαι εὑρέθησαν, ἱστορία. 78, 46.

καρδιακὸν πῦρ τὸ κατὰ διάθεσιν ζέον. 801, 36.

καρδίαν μὴ ἐσθίειν, συμβολικὴ γνωμολογία ἀντὶ τοῦ ἀλυπίαν ἀσκεῖν, ὅτι ἐκ τοῦ, σὴν ἔδεαι κραδίην, Ὁμηρικοῦ ῥητοῦ ἐπορίσθη, Ἰλ. ω΄, 129. 1342, 14.

Καρδιανὸς κόλπος ὅτι καὶ μέλας ποτὲ ἐκλήθη, ἑρμηνεία διεξοδική. 1340, 19.

καρδιώττειν τὸ ναυτιᾶν καὶ ἀλγεῖν τὴν καρδίαν. 1508, 52.

Κᾶρες ὅτι πολεμικὸν τὸ ἔθνος, καὶ ὅτι τοῖς τῶν ἀσπίδων ὀχάνοις πρῶτοι ἐχρήσαντο, καὶ ὅτι πολλαχοῦ τῆς Ἑλλάδος ἐμισθοφόρησαν, καὶ ὅτι βάρβαροι ἐκλήθησαν διὰ τὴν τραχυφωνίαν, καὶ ἄλλα τινὰ περὶ τοῦ ἔθνους. 367, 18. 24. 30. καὶ παροιμία, ἐν Καρὶ τὸν κίνδυνον, ἐπὶ τῶν ἐν τοῖς εὐτελέσι τὰς πείρας ποιουμένων. 368, 41.

κάρη ἡ κεφαλὴ σὺν τῷ αὐχένι ἐν τῷ, μηκέτ᾽ ἔπειτ᾽ Ὀδυσῆι κάρη ὤμοισιν ἐπείη, Ἰλ. β΄, 259. 215, 38. καὶ ὅτι ἄκλιτόν ἐστι τοὔνομα, καὶ ὅτι ἀπὸ τοῦ κάρηνον ἀπεκόπη. 700, 61. 730, 2. καὶ ὅτι οὐχ εἴρηται θηλυκῶς ἡ κάρη παρ᾽ Ὁμήρῳ. 818, 5. ἀλλαχοῦ δὲ ὅτι κάρη, οὐδέτερον βαρυτόνως, ἐκ τοῦ κάρηνον ἀπεκόπη, καὶ ὅτι καὶ καρὴ ὀξυτόνως κατὰ θηλυκὸν γένος λέγεται. 1257, 52. 55.

κάρηαρ καρήατος, ἡ κεφαλή. 1193, 12.

καρήατα ὅτι ἐκ τῆς κάρηαρ εὐθείας κεκίνηται. 846, 28.

καρηβαρειῶ ὅτι περισπωμένως λέγεται. 1635, 34. καὶ περὶ τῆς παραληκτικῆς γραφῆς ζήτει ἐν τῷ οἰνοβαρείω. 1911, 3.

καρηβοᾶν τὸ ἰλιγγιᾶν καὶ πεπληρῶσθαι κεφαλὴν ὑπὸ κραυγῶν. 1461, 26.

καρηκομᾶν, ὅτι καὶ τα δένδρα καρηκομᾶν λέγονται τροπικῶς. 1094, 46.

καρηκομόωντες οἱ κομῶντες τὰ κάρηνα, καὶ ὅτι καί, κάρη κομόωντες, ἐν παραθέσει ἀναγινώσκουσί τινες παρ᾽ Ὁμήρῳ. 164, 46.

κάρηνα πόλεων αἱ ἀκροπόλεις τροπικῶς. 189, 9. 18. καὶ κάρηνα, ὄρους ἐξοχαί. 38, 30. 1195, 52.

Καρησηνὴ, χώρα ἡ καὶ Κερασηνὴ, ὅτι ἀπὸ Καρήσου ποταμοῦ τινὸς ἐκλήθη, ζήτει τὸ Κάρησος. 890, 5.

Κάρησος, ὄνομα ποταμοῦ τινὸς Τρωικοῦ, ἀφ᾽ οὗ καὶ ἡ Καρασήνη χώρα ἐκλήθη, καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως ἑρμηνεία διεξοδική. 890, 1.

κάρητι, δοτικῆς πτώσεως, ὅτι ἐκ τοῦ καρήατι δοκεῖ συγκεκόφθαι. 700, 59.

κάρητος κάρητι, ἐκ τοῦ κάρηαρ καρήατος καρήατι κατὰ συγκοπὴν, ἢ ἐκ τοῦ κάρης κάρητος ἀρσενικοῦ. 1006, 35. 1561, 34.

Καρία, ὅτι οὕτως ἐκαλεῖτο ἡ ἐν Μεγάροις ἀκρόπολις ἀπὸ Καρὸς υἱοῦ Φορωνέως, καὶ ὅτι καὶ ἡ Κῶς Καρία ἐλέγετο. 367, 21.

καριδόω καριδῶ, τὸ ὡς εἰπεῖν σφαιρῶ. 1220, 48.

Καρικὰ μέλη, ὅτι μέλη τινὰ θρηνητήρια οὕτως ἐκαλοῦντο. 1372, 28.

καρὶς ὅτι παρὰ τὸ κάρη λέγεται διὰ τὸ μεγάλην ἔχειν κεφαλὴν, καὶ ὅτι ποτὲ μὲν συστέλλει τὸ λῆγον δίχρονον. 1220, 49. καὶ ὅτι οἱονεὶ ἀκρὶς λέγεται κατ᾽ ἀναγραμματισμόν. 46, 8.

καρκαίρειν ποσὶ λέγεται ἡ γῆ παρ᾽ Ὁμήρῳ, ἤγουν ποιὸν ἦχον ἀποτελεῖν. 1201, 30. 36. καὶ περὶ τοῦ σχηματισμοῦ τῆς λέξεως ζήτει ἐν τῷ, ἀναδιπλασιασμὸς τῆς αὐτῆς συλλαβῆς ἐν ἀρχῇ ῥημάτων. 80, 21.

καρκίνος χαλκευτικὸς ταὐτὸ ὅπερ πυράγρα. 1154, 28. 1475, 5.

Καρνάβας τὸν ἴδιον πατέρα τυραννοκτονήσας, ἱστορία. 448, 12.

Καρνίων ἑορτῆς διαγραφὴ ἱστορικὴ διεξοδικῶς ἑρμηνευομένη. 1376, 45.

κάρνυξ, εἶδος σάλπιγγος παρὰ Κέλταις, ἱστορία. 1139, 57.

καρὸς, ἤγουν κηρὸς, κατὰ γενικὴν πτῶσιν· καὶ καρὸς αἶσα, διεξοδικῶς ἑρμηνευόμενον, Ἰλ. ί, 378. 757, 18. 49.

Καρπάθιος τὸν λαγωὸν, παροιμία· ζήτει ἐν τῷ, ὁ Καρπάθιος κατὰ τὸ ō στοιχεῖον. 35, 31. 1821, 33.

Κάρπαθος, νῆσος τετράπολις, ἀφ᾽ ἧς καὶ παροιμία, ὁ καρπάθιος τὸν λαγωὸν, ἑρμηνεία διεξοδική. 318, 28.

Κάρπος, κύριον βαρυτόνως πρὸς διαστολὴν τοῦ καρπὸς προσηγορικοῦ. 907, 7.

καρπὸς ὅτι παρὰ τὸν κέκαρπα μέσον παρακείμενον τοῦ κάρφω θέματος λέγεται, καὶ καρπὸς ὁμωνύμως τὸ μεταξὺ τοῦ βραχίονος καὶ τοῦ θέναρος ἄρθρον. 553, 27. 576, 11. 1166, 37. 1572, 36. 1745, 54. ἀλλαχοῦ δὲ ὅτι ὁ τοῦ φυτοῦ καρπὸς πρὸς ὁμοιότητα εἴρηται τοῦ ἐν τῇ χειρὶ καρποῦ. 309, 24.

καρπόχειρ ὅτι παρὰ τὸν καρπὸν τῆς χειρὸς λέγεται. 1572, 38.

καῤῥέζειν τὸ καταψᾶν, ὅτι ἐκ τοῦ καταρέζειν λέγεται κατὰ συγκοπήν. 118, 7. 162, 16. 568, 3.

κάῤῥονες ἀντὶ τοῦ κρείσσονες κατὰ γλῶσσαν. 1930, 42.

κάρτα ἐπίῤῥημα ἀντὶ τοῦ λίαν. 101, 41.

καρτερὰ ἔργα τὰ βίαια, καὶ καρτερὸς λόγος ὁ σκληρὸς καὶ ἀπειλητικός. 605, 35. 616, 24.

καρτερεῖν ἐν ἴσῳ τῷ ἀναμένειν. 1175, 20.

καρτερία ἡ φερεπονία. 796, 24.

καρτερὸν ἕλκος τὸ βίαιον. 1074, 10.

καρτερὸς ἀντὶ τοῦ νικητὴς γενικῇ συντασσόμενον. 101, 43. καὶ καρ-

τερὸς ἀντὶ τοῦ δεσπότης καὶ ἄρχων ἢ ἐγκρατὴς ἐν τῷ, ἀλλ' ὑμεῖς καρτεροὶ ἐστέ, Ὀδυσσ. σ', 534. 1790, 7.

καρτερὸς ὅρκος ὁ ἰσχυρὸς καὶ παράμονος. 1175, 20.

κάρτιστος ὅτι παρὰ τὸ κάρτα ἐπίῤῥημα λέγεται, ἢ ἐκ τοῦ κράτιστος κατὰ μετάθεσιν. 101, 40.

καρτῦναι ἀντὶ τοῦ κρατῦναι, ὅ ἐστι πυκνῶσαι καὶ στερεῶσαι. 911, 37.

Καρύστιος οἶνος ὅτι ἀπὸ Καρύστου χωρίου τινὸς τῆς Ἀρκαδίας ἐλέγετο. 281, 9.

Κάρυστος, πόλις Εὐβοεικὴ ὑπὸ Ὄχῃ τῷ ὄρει κειμένη. 280, 41 — 281, 10.

καρφαλέον τὸ ξηρὸν καὶ ὑπέρισχνον, παρὰ τὸ κάρφω τὸ ξηραίνω καὶ συσπῶ. 1745, 38. 44. ἢ παρὰ τὸ κάρφος, ὃ δηλοῖ ξηρὸν ξυλήφιον. 939, 51. 1539, 16. 1745, 38. 44.

καρφαλέος ὁ κατάξηρος. 1250, 58 ζήτει τὸ καρφαλέον.

κάρφειν, ξηραίνειν καὶ τὸ συσπᾶν ἐν τῷ, κάρψαι μὲν χρόα καλὸν, Ὀδ. ν', 398. 576, 12. 1745, 38.

κάρφος τὸ ξηρὸν ξυλήφιον. 1539, 16.

καρχαλέος, οἱονεὶ καρφαλέος, ὅ ἐστι κατάξηρος. 1250, 58. ἀλλαχοῦ δὲ ὅτι καρχαλέος λέγεται, ᾧ ὑπὸ δίψους κεγχροειδῆ τραχίσματα περὶ τὴν γλῶσσαν καὶ τὸν φάρυγγα ἐξέφυσαν. implicite. 1423, 20.

καρχαρίας ἰχθὺς ὅτι καὶ σκύλλα καὶ λάμια λέγεται. 1714, 35.

καρχήσιον τὸ πρὸς τῷ ἄνω πέρατι τοῦ ἱστοῦ τῶν πλοίων μέρος, ᾧ ἐπίκειται τὸ καλούμενον θωράκιον· καὶ καρχήσιον, ποτήριον ποιὸν ὁμωνύμως, ἑρμηνεία διεξοδικὴ τοῦ εἴδους τοῦ ποτηρίου, καὶ ὅτι οἱονεὶ κερχήσιον λέγεται ἐκ τοῦ κεγχροειδῆ τραχύσματα ἔχειν. 1170, 57. 1423, 14 — 20.

Καρῶν διαλέκτου ἰδίωμα τὸ τὰ ἀρσενικὰ θηλυκῶς προφέρειν καὶ κατ' ἀνάπαλιν. 367, 41.

κασαλβάζειν τὸ λοιδορεῖν, παρὰ τὸ κασαλβάς. 741, 31.

κασαλβὰς ἡ πόρνη, παρὰ τὸ καλεῖν καὶ σοβεῖν. 741, 29.

κασίγνητος, οἱονεὶ κασιγέννητος κατὰ συγκοπὴν ἐκ τοῦ γεννῶ γεννήσω. 410, 41. 437, 4. 1019, 13. καὶ ὅτι κασίγνητοι λέγονταί ποτε οἱ ἀνεψιοὶ καὶ οἱ ἁπλῶς συγγενεῖς. 1030, 51.

Κασσάνδρα, Πριάμου θυγάτηρ, πῶς ἐτελέσθη τὴν μαντικὴν τέχνην. 663, 40. ζήτει ἐν τῷ Ἕλενος.

κασσίτερος λέγεται οἱονεὶ καυσίτερος διὰ τὸ ἐν τῇ καύσει ῥαδίως τείρεσθαι· καὶ ὅτι ἀναλογώτερον κασσίτερον λέγειν διὰ τοῦ ε ἢ κασσίτηρον διὰ τοῦ η· καὶ ὅτι τὸ καττίτερος Ἀττικῶς. 1154, 18. 1167, 57. καὶ ὅτι ὁ κασσίτερος εἰκάζεται τῷ ὕδατι ἐν τῇ Ὁμηρικῇ ἀσπιδοποιΐᾳ. 1154, 48.

κασσίτηρος διὰ τοῦ η παρὰ τοῖς μεθ' Ὅμηρον ταὐτὸ ὅπερ κασσίτερος. 829, 3.

κάσχεθε ἀντὶ τοῦ κατέσχε. 874, 50.

κασωρὶς καὶ κασωρῖτις ἡ πόρνη, ὅτι παρὰ τὸ κάσαι, ὅ ἐστι κοσμῆσαι, καὶ τὸ ὥρα λέγεται. 741, 27.

κατὰ πρόθεσις ἐν συνθέσει ἐναντιωματικὴν ἔννοιαν προστιθεῖσα τοῖς ῥήμασιν ἐνίοτε. 237, 20.

κατὰ πρόθεσις ἀποβαλοῦσα τὸ ληκτικὸν φωνῆεν συνεξομοιοῖ τὸ ἐναπολειφθὲν τ τῷ ἐπαγομένῳ συμφώνῳ, πλὴν εἰ μὴ δασὺ ᾖ, τότε γὰρ μεταβαίνει εἰς τὸ ἀντίστοιχον δασύ. 162, 12. 1048, 25.

κατὰ πρόθεσις πρὸ λέξεως ἀπὸ τοῦ ρ ἀρχομένης, κατὰ παράθεσιν κειμένη, ὅτι προσλαμβάνει τὸ ρ ἐνίοτε πρὸς μέτρου χρείαν, οἷον ἐν τῷ, κατὰρ ῥόον, παρ' Ὁμήρῳ. 1922, 5.

κατὰ πρόθεσις ὅτι γενικῇ συντάσσεται Ἀττικῶς, οἷον ὁρᾶν κατὰ γῆς, ὡς καὶ παρ' Ὁμήρῳ ἐν τῷ, εἰσὶ κατ' οὔρεος, Ὀδ. ζ', 102. καὶ ὅτι καὶ αἰτιατικῇ ἐπὶ τοῦ αὐτοῦ συντάσσεται, οἷον ἐν τῷ, ἢ κατὰ Τηΰγετον περιμήκετον, ib. 103. 407, 20. 1554, 7.

κατὰ πρόθεσις ἐν συνθέσει οὐδὲν προστιθεῖσα τῇ σημασίᾳ τοῦ ἁπλοῦ, οἷον ἐν τῷ, νεκύων κατατεθνειώτων. 1009, 51.

κατὰ πρόθεσις ἐμφατικὴ δαπάνης ἐν τῷ καταδαπανᾶν καὶ καταφαγεῖν. 1469, 56.

κατὰ πρόθεσις ὅτι ἐπιτείνει ἐν τῷ καταγηράσκειν. 1679, 18.

κατ' αἶσαν, ἀντὶ τοῦ κατὰ τὸ πρέπον ἢ ἀληθῶς. 817, 42.

κατ' ἄκρης, ἐν δυσὶ μέρεσιν, ὅτι ἐλλιπῶς λέγεται τοῦ πόλεως ἢ κεφαλῆς παρ' Ὁμήρῳ. 959, 33. 1276, 49. ἀλλαχοῦ δὲ ὅτι κατ' ἄκρης ἐπιῤῥηματικῶς λέγεται ἀντὶ τοῦ ὁλοτελῶς. 1031, 5. καὶ ἐλάσαι κατ' ἄκρης, τὸ κατὰ κεφαλῆς πλῆξαι. 1538, 46.

κατ' αὐτοὺς, ἀντὶ τοῦ κατὰ σφᾶς αὐτοὺς ἐν τῷ, δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς, Ἰλ. σ', 605. καὶ Ὀδ. δ', 18. 1480, 25.

κατ' ἐνῶπα ἰδεῖν, τὸ ἀντιβλέψαι παρ' Ὁμήρῳ. 1100, 41.

κατ' ἐξαίρετον, ἀντὶ τοῦ κατ' ἐξοχήν. 1712, 34.

κατ' οὐδοῦ βῆναι, τὸ ἐγγίσαι τῇ θύρᾳ ἢ εἰσελθεῖν. 1513, 53.

κατ' ὀφθαλμοὺς ἑλέειν, ἀντὶ τοῦ καθελεῖν καὶ συγκλεῖσαι τοὺς ὀφθαλμοὺς, Ὀδ. λ', 426. 1692, 28.

κατὰ γῆς, ζήτει ἐν τῷ, κατὰ πρόθεσις ὅτι γενικῇ συντάσσεται Ἀττικῶς. 407, 20.

κατὰ ἑκατὸν ἢ χιλίων εὔξασθαι, τὸ ἑκατὸν ἢ χίλια ἱερεῖα ὑποσχέσθαι θύσειν. 1454, 29.

κατὰ θνητῶν ἀνθρώπων, ὅτι παρέλκει ἡ πρόθεσις. 628, 57.

κατὰ κεφαλῆς ἐρύσαι τὴν χλαμύδα, τὸ καλύψαι τὴν κεφαλὴν, ἀπὸ κεφαλῆς δὲ ἑλέσθαι, τὸ ἐκκαλύψασθαι. 1586, 59.

κατὰ κόῤῥης ἢ ἐπὶ κόῤῥης πλῆξαι ἢ ῥαπίσαι, φράσις Ἀττικὴ διεξοδικῶς ἑρμηνευομένη. 947, 26.

κατὰ κόσμον, ἤγουν εὐκόσμως καὶ εὐτάκτως, καὶ οὐ κατὰ κόσμον, ἀντὶ τοῦ ἀτάκτως καὶ τεταραγμένως. 695, 29. 1102, 44. 1606, 48. ἀλλαχοῦ δὲ ὅτι τὸ κατὰ κόσμον ταὐτὸ δύναται τῷ κατὰ μοῖραν, ὁμοίως καὶ τὸ οὐ κατὰ κόσμον τῷ οὐ κατὰ μοῖραν. 1064, 45.

κατὰ λῖτα πετάσας, ἀντὶ τοῦ καταπετάσας λῖτα ὑπερβατῶς. 1399, 64.

κατὰ μοῖραν, ἐν ἴσῳ τῷ κατὰ κόσμον. 1607, 3.

κατὰ πάντα δάσονται, ἤγουν ὅλον καταμερίσονται. 1273, 47.

κατὰ πρῆξιν πλέειν λέγονταί τινες

παρ' Ὁμήρῳ πρὸς διαστολὴν τῶν ἐπὶ λῃστείᾳ. 1457, 51.
κατὰ ῥοῦν φέρεσθαι, παροιμιακῶς ἀντὶ τοῦ εὐτυχῶς πλέειν καὶ κατὰ τὸν βίον εὐροεῖν. 891, 10. 1539, 6. 1759, 55.
κατὰ συγκυρίαν, ἤγουν κατὰ τύχην. 376, 12.
κατὰ χειρὸς καὶ κατὰ χειρῶν λέγεται τὸ διδόμενον πρὸ τῆς τροφῆς, ἀπονίπτεσθαι δὲ μετὰ τὴν τροφὴν λέγεταί τις. 1401, 18. 43. καὶ ὅτι κατὰ χειρὸς καὶ κατὰ χειρῶν ὕδωρ διδόναι καὶ λαμβάνειν, ἔτι δὲ καὶ δίδοσθαι καὶ χεῖσθαι λέγεται, καὶ παρασίτου ἀπόφθεγμα ἐπὶ τῷ κατὰ χειρῶν ὕδατι. 740, 16. 745, 26. 1402, 45.
κατὰ χηνὸς καὶ κυνὸς ὀμνύναι, ὅτι Ῥαδάμανθυς τοῦτον κατῆρξε ἐπὶ τῷ μὴ θεὸν ἐφ' ἑκάστῳ ὀνομάζειν. 1871, 4.
κατὰ δὲ φρόνιν ἤγαγεν, Ὀδ. δ', 258. ἀντὶ τοῦ κατήγαγε φρόνησιν, ἢ ὑπερβατῶς, καταφρόνησιν ἤγαγε. 1495, 23.
κατὰ δ' ᾕρεε, ἀντὶ τοῦ καθήρει κατὰ διάλυσιν. 1234, 21.
καταβαίνειν ὑπερῷα, Ὀδ. ψ', 85. ἀντὶ τοῦ καταβαίνειν τῶν ὑπερῴων ἀντιπτωτικῶς. 1939, 9.
καταβάλλειν τὸ κάτω βάλλειν, τουτέστι ῥίπτειν. 1292, 3. 1404, 39. 1406, 10.
καταβάλλεσθαι ἀντὶ τοῦ κατατιθέναι καὶ ἀποδιδόναι. 1406, 13.
καταβῆναι τὸ ἀπὸ τοῦ οὐρανοῦ ἕως τῆς ἐπιφανείας τοῦ ὕδατος κατιέναι, ἀπὸ δὲ τούτου πρὸς τὸν βυθὸν καταδῦναι. 141, 1. καὶ καταβῆναι ἀντὶ τοῦ καταγαγέσθαι καὶ καταπλεῦσαι ἐνίοτε. 1408, 29. καὶ καταβῆναι ἀντὶ τοῦ ἁπλῶς βῆναι, ὅ ἐστι πορευθῆναι, ἐν τῷ, Κίρκης ἐς μέγαρον καταβήμεναι, Ὀδ. κ', 432. 1664, 21.
καταβολή, κατάθεσις ἢ ἀπόδοσις, καὶ καταβολὴ χάριτος ἢ χρέους κατὰ συνθήκην. 1292, 6. 1406, 11.
καταβρόξειε, καταπίῃ, παρὰ τὸν βρόχθον, ὃ δηλοῖ τὸν λαιμόν. 1493, 35.
καταβροχθίζειν ὅτι παρὰ τὸν βρόχθον λέγεται, ὃ δηλοῖ τὸν λαιμόν. 1493, 35.
κατάγειν τὸ ἀπὸ ὑψηλοῦ τινὸς τόπου ἄγειν κατὰ τὸ ἔτυμον τῆς φωνῆς. 1888, 6.
κατάγειν θρίαμβον, ἤγουν προελθεῖν μετὰ θριάμβου. 1495, 32.
κατάγεσθαι τὸ καταβαίνειν καὶ κατέρχεσθαι. 624, 40. καὶ κατάγεσθαι τὸ καταπλέειν καὶ προσορμίζεσθαι. 968, 35.
καταγηράσκειν τὸ ὑπὸ γήρως κατενεχθῆναι, ὅτι ἐπιτείνει τὸ σημαινόμενον ἡ πρόθεσις. 1679, 18.
καταγίνεον ὕλην, ἤγουν κατέφερον ἢ κατῆγον. 1650, 8. 23.
καταγλώττισμα, ὅτι εἶδός τι φιλήματος οὕτω λέγεται παρὰ τὴν γλῶσσαν. 96, 16.
κάταγμα καὶ ἄγμα τὸ σύντριμμα, καὶ τὸ κατειργασμένον ἔριον ὁμωνύμως, παρὰ τὸ ἄγειν, ὅ ἐστι κλᾶν. 1399, 64. 1414, 28.
κατάγραπτος ὁ κοινῶς γραμμιστὸς, ὅτι παρὰ τὸ γράφειν λέγεται. 852, 11.
καταγωγὴ, ὅτι ταὐτὸν εἴσδυσιν λιμένος εἰπεῖν καὶ καταγωγήν. 1519, 63.
καταδημοβορεῖν λέγεται ὁ δῆμος τὰ τῶν δυνατῶν ἐξ ἀντικειμένης ἐννοίας τῷ δημοβόρος βασιλεὺς παρ' Ὁμήρῳ. 1143, 46.
καταδύεσθαι ἀντικείμενον τῷ ἀναδύεσθαι, ζήτει τὸ ἀναδύεσθαι. 117, 20. καὶ καταδύεσθαι εἰς Ἅιδην, ἀντὶ τοῦ ἀποθνήσκειν. 1653, 49.
καταδῦναι τὸ ἀπὸ τῆς ἐπιφανείας τῆς θαλάσσης πρὸς τὸ βάθος ἰέναι. 141, 2. 823, 32.
καταδύσεο, προστακτικὸν ἐκ τοῦ καταδύσομαι μέλλοντος εἰς ἐνεστῶτα ἀνηγμένον. 1135, 7.
καταείμενον ὕλῃ ὄρος, τὸ ἐνδεδυμένον καὶ κεκαλυμμένον, ἀπὸ τοῦ ἕω τὸ ἐνδύω. 1743, 32. 1871, 36.
καταείνυον, ἤγουν ἐσκέπαζον καὶ κατεκάλυπτον, ὅτι παρὰ τὸ ἕω τὸ ἐνδύω καὶ καλύπτω γίνεται ἕνω καὶ εἵνω, ὅθεν εἱνίω, ὁ παρατατικὸς εἴνυον. 1292, 24. 1743, 24. 1871, 37.
καταείσατο, ἤγουν κατῆλθεν, ἀπὸ τοῦ εἴω θέματος. 849, 37.
καταζήνασκεν ἀντὶ τοῦ κατεξήραινεν, Ὀδ. λ', 587. ὅτι ἐκ τοῦ ἄζω τὸ ξηραίνω γίνεται ἀζαίνω, ὅθεν ἀζηνάσκω. 1701, 40.
καταθεῖναι εὐνὴν, ἀντὶ τοῦ στρῶσαι, Ὀδ. τ', 317. 1866, 21.
καταθείομαι ἀντὶ τοῦ καταθῶμαι. 1260, 62.
καταθέσθαι τὸ κάτω εἰς γῆν θεῖναι, καὶ τὸ ὁμολογητικῶς συγκαταθέσθαι. 1261, 19. 1853, 25.
καταθνητὸς καὶ καταθνητῶν, ὑφ' ἕν. 564, 15.
καταθύμιον ἐπιθετικῶς τὸ κατὰ νοῦν νόημα, Ὀδ. χ', 392. 1931, 56.
καταθύμιος παρ' Ὁμήρῳ ὁ ἐν θυμῷ λαμβανόμενος, παρὰ δὲ τοῖς ὕστερον ὁ ἐν ψυχῇ ὢν καὶ ὡς εἰπεῖν θυμήρης. 149, 32. 813, 8. 1101, 34. ζήτει ἐν τῷ, ἀπὸ θυμοῦ.
καταιβάτης Ζεὺς, καὶ καταιβάτης κεραυνὸς ἐπιθετικῶς, ὅτι παρὰ τὸ καταβαίνειν λέγεται. 173, 59.
καταιγίδες, ἀέρος πάθη ποιά. 602, 18. ζήτει τὸ καταιγίζειν.
καταιγίζειν καὶ ἐπαιγίζειν λέγεται ὁ ἄνεμος ἀντὶ τοῦ ἐφορμᾶν, παρὰ τὸ ἀΐσσειν, ὅθεν καὶ ἡ αἰγὶς καὶ ἡ καταιγίς. 193, 39.
καταίρειν τὸ ἐλλιμενίζειν καὶ καταπλέειν. 1408, 30.
καταΐσχεται ἀντὶ τοῦ κατέχεται. 1619, 43.
καταισχύνειν γένος, ζήτει ἐν τῷ αἰσχύνειν. 1969, 15.
καταῖτυξ, εἶδος περικεφαλαίας παρὰ τὸ κάτω τετύχθαι οὕτω λεγομένης. 803, 56.
κατακαχρῦσαι τὸ καταφρύξαι καὶ συντρῖψαι, ὅτι παρὰ τὸ κάχρυς λέγεται, ὃ δηλοῖ τὰς πεφρυγμένας κριθάς. 1835, 42.
κατακεῖσθαι ὅτι ἐπίτασιν δηλοῖ τοῦ κεῖσθαι. 1122, 61. καὶ ὅτι κατακεῖσθαι λέγονται οἱ εὐωχούμενοι, ἀνακεῖσθαι δὲ τὰ ἀναθήματα, καὶ ἑρμηνεία διεξοδικὴ τῆς διαφορᾶς τῶν λέξεων διὰ παραδειγμάτων. 1404, 6.
κατακεκαυμένη χώρα τις ἐκ τοῦ συμβεβηκότος οὕτω λεγομένη, ὅθεν ὁ κατακεκαυμενίτης προσηγορικῶς λεγόμενος οἶνος, ἱστορία. 346, 25. 28.
κατακεκλίσθαι, ὅτι οἱ ἥρωες καθήμενοι ἐδείπνουν, οὐ μὴν κατακεκλιμένοι· καὶ περὶ τοῦ τίσιν

ἑξῆν κατακεκλιμένοις δειπνεῖν παρὰ Μακεδόσιν, ἱστορία· ἐν οἷς καὶ περὶ Κασσάνδρου τινά. 1872, 56.

κατακλᾶσθαι τινὶ λέγεται ἡ καρδία πολλαχοῦ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ καταπίπτειν ἐκ μεταφορᾶς τῶν κλωμένων σωμάτων. 1721, 43.

κατακλεῖδες, αἱ καὶ κληῗδες παρ' Ὁμήρῳ, ὀπαί τινες ἐν τοῖς γυναικείοις περιβλήμασιν, εἰς ἃς αἱ περόναι καθίεντο. 1847, 35.

Κατακλῶθες βαρεῖαι αἱ Μοῖραι λέγονται παρ' Ὁμήρῳ διὰ τὸ καταφέρεσθαι ἀπὸ βάρους τὸν ἄτρακτον, δι' οὗ κλώθουσιν. 1200, 11. 1385, 4. καὶ ὅτι ἐκ τοῦ Κλωθοὶ, ὃ ἀπὸ τῆς Κλωθὼ εὐθείας κεκίνηται, μεταπέπλασται, καὶ δηλοῖ τὰς Μοίρας ἀπὸ μιᾶς αὐτῶν τῆς Κλωθοῦς· καὶ ἴσως οὐχ ἁπλῶς τὰς Μοίρας, ἀλλὰ τὰς μὴ εὐτυχεῖς διὰ τὴν τοῦ βαρεῖαι ἐπίθεσιν. 1576, 40.

κατακοιμηθῆναι, ὅτι ἡ κατὰ ἔχει ἔμφασιν καταφορικὴν ἐν τῷ, πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι, Ἰλ. β', 355. 237, 19.

κατακονὰν, κατ' αἰτιατικὴν πτῶσιν ἀντὶ τοῦ διαφθορὰν Δωρικῶς, κατακονᾶν δὲ ἀπαρέμφατον ἀντὶ τοῦ καταθήγειν. 381, 21.

κατακόπτειν, ὅτι κατακοπῆναι λέγονται οἱ ἐν πολέμῳ ἀνῃρημένοι. 1324, 33.

κατακορμίσαι τὸ εἰς μικρὰ τέμνειν τὰ ξύλα. 1291, 52.

κατάκρηθεν ἀντὶ τοῦ κατ' ἄκρης, κατακρῆθεν δὲ προπερισπωμένως ἐκ τοῦ καρὴ θηλυκοῦ ὀξυτόνου ἀντὶ τοῦ κατὰ κεφαλῆς, οἱονεὶ κατὰ κάρηθεν κατὰ συγκοπήν. 1257, 54. 1701, 41. 1075, 18.

καταλέγειν τὸ ἀπαριθμεῖν καὶ ἀπαγγέλλειν. 739, 29. 814, 45. καὶ ὅτι καὶ παρ' Ὁμήρῳ τὸ μετρεῖν, οὐ τὸ εἰπεῖν κατά τινας σημαίνει. 1179, 12.

καταλέουσιν ἀντὶ τοῦ ἀλήθουσιν. 1270, 13.

καταλλάσσειν καὶ καταλλάσσεσθαι ἐν ἴσῳ τῷ διαλλάττειν καὶ διαλλάττεσθαι, καὶ καταλλάκται ὁμωνύμως λέγονται οἱ ἔμποροι καὶ οἱ ἀργυραμοιβοί. 764, 43.

κατάλογος ἡ ἐξαρίθμησις, καὶ ὅτι οὕτως ἐπιγράφεται ἡ β' ῥαψῳδία τῆς Ἰλιάδος. 262, 26.

καταλοφάδια φέρειν τι, ἀντὶ τοῦ ἐπ' ἀμφοτέρων τῶν ὤμων βαστάζειν, Ὀδ. κ', 169. καὶ ὅτι διὰ τοῦ ι γράφεται τὸ δι. 1653, 3. 9.

καταλύειν ἁπλῶς τὸ ξενοδοχεῖσθαι, καταλύειν δὲ ἵππους τὸ ἀποζευγνύειν καὶ λύειν τοῦ ἅρματος. 1480, 52.

καταλύειν πόλιν, ὅτι ἀντίκειται τῷ οἰκοδομεῖν. 187, 21.

κατάλυμα ὁ τῆς ξενοδοχήσεως τόπος, ἐν ᾧ τὰ ὑποζύγια ἢ τὰ φορτία λύονται. 1480, 54.

καταλῦσαι τὸν βίον, τὸ ἀποθανεῖν. 661, 63.

καταμήσασθαι ἀντὶ τοῦ συναγαγεῖν κατὰ μίμησιν τῶν ἀμώντων. 1344, 3.

κατάνεται, καταδαπανᾶται καὶ εἰς ὄλεθρον ἀνύεται, ὅ ἐστι τελειοῦται, ἀπὸ τοῦ ἄνω, ὅθεν τὸ ἀνύω. 1153, 51. 1434, 18. 1478, 4.

κατάνευσις Διὸς ἀλληγορικῶς παρ' Ὁμήρῳ ἡ ἐκ Διοσημιῶν ἔκφανσις. 144, 21.

κατανεύσομαι ἀντὶ τοῦ κατανεύσω, ὅτι Ἀττικῶς εἴρηται, Ἰλ. α', 524. 144, 2.

κάταντα τὰ κατωφερῆ χωρία. 1291, 36.

κατάντηστιν ἀντὶ τοῦ ἀντικρὺ ἐν τῷ, ἡ δὲ κατάντηστιν θεμένη δίφρον, Ὀδ. υ', 387. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ. 1896, 60.

καταξέμεν, ἤγουν καταγαγεῖν. 624, 39.

καταπάσασθαι τῆς κεφαλῆς κόνιν ἢ τέφραν, φράσις Ὁμηρική. 1178, 12.

κατάπαστος ἐπίθετον ὅτι παρὰ τὸ πάσσειν λέγεται. 393, 13.

καταπέτασμα ἐν ἴσῳ τῷ παραπέτασμα, ὃ καὶ περιπέτασμα λέγοιτ' ἄν. 722, 32.

καταπέψῃ ὅτι ἐκ τοῦ πέπτω θέματος κεκίνηται. 774, 55.

καταπηδῆσαι ἵππου, τὸ σπουδαίως πεζεῦσαι. 833, 30.

καταπλαγῆναι καὶ ἐκπλαγῆναι λέγεταί τις τὴν ψυχὴν, πληγῆναι δὲ τὸ σῶμα. 374, 11.

κατάπλους ἡ εἰς τον λιμένα ἔλευσις. 1408, 33.

καταπρηνὴς χεὶρ ἡ κατεστραμμένη, καὶ χειρὶ καταπρηνεῖ πλῆξαι, παρ' Ὁμήρῳ τὸ τῷ θέναρι πατάξαι. 1737, 55.

καταπρηνεῖς χεῖρες, ὅτι πρηνέσι ταῖς χερσὶ ψηλαφῶμεν, ὑπτίαις δὲ δεχόμεθα. 1873, 32.

καταπροΐξεσθαι τὸ δωρεάν τι δοῦναι, μᾶλλον δὲ λαβεῖν, ὅτι παρὰ τὸ προΐκω προΐξω λέγεται· ἀλλαχοῦ δὲ ὅτι τὸ καταπροΐξασθαι ὁμοιόν τι δηλοῖ τῷ καταπροήσεσθαι, ὅ ἐστι προδοῦναι, καὶ ὅτι συστοιχεῖ τῷ προΐξ· καὶ ὅτι ἐκ τοῦ προΐξασθαι σύγκειται, ὃ δηλοῖ τὸ δωρεὰν δοῦναι καὶ τὸ καταπροδοῦναι. 1731, 51. 56. 1823, 24.

καταπτῆξαι πρὸς τῇ γῇ, ἀντὶ τοῦ κατακύψαι καὶ ὀκλάσαι διότι περὶ τῇ κεφαλῇ διά τι βέλος ἐπιφερόμενον. 1591, 31.

καταπτήτην ἀντὶ τοῦ κατεπτηξάτην, ὅτι κατὰ συγκοπὴν λέγεται ἐν τῷ, τὼ δ' ἵππω δείσαντε καταπτήτην ὑπ' ὄχεσφιν, Ἰλ. θ', 136. 703, 25. 50.

καταπύγων ὅτι βαρύτονον ὂν παραλόγως διὰ τοῦ ο μικροῦ καὶ τοῦ ν κλίνεται, καὶ ὅτι ἐκ τοῦ κατάπυγος παρωνύμως λέγεται. 1228, 16.

κατάρα ἡ κατά τινος ἀρὰ ἐτυμολογικῶς, καὶ κατάρατος ὁ καθ' οὗ ἀραὶ γίνονται. 1856, 13.

καταράκτης, ὅτι παρὰ τὸ ἀράσσειν λέγεται. 910, 35. 1053, 5.

καταρέζειν τὸ τῇ χειρὶ καταψᾶν κολακευτικῶς, ἐκ τοῦ ῥέζειν ἢ ἐκ τῆς κατὰ καὶ τοῦ ἔζειν ἐπενθέσει τοῦ ῥὰ συνδέσμου. 118, 3 — 11. 558, 25.

κατάρης ἄνεμος ὁ συνεστραμμένος καὶ καταῤῥάσσων. 603, 35.

καταῤῥάκτης χυδαϊκῶς ἡ ἐκ τῶν ἄνω καταῤῥάσσουσα θύρα. 1921, 18. καὶ ὅτι ὁμώνυμος ἡ φωνὴ, καὶ ἔκθεσις τῶν σημασιῶν αὐτῆς διεξοδικῶς. 1358, 36. 1887, 47. ζήτει ἐν τῷ ῥάσσω.

καταῤῥῶγες πέτραι αἱ ὑπὸ τῶν χειμάτων καταῤῥαγεῖσαι πέτραι. 335, 3.

καταρχειν ὅτι καὶ ὑπάρχειν λέγεται, καὶ ὅτι παρ' Ὁμήρῳ μὲν μετοχῇ εὕρηται συντεταγμένον, παρὰ δὲ τοῖς ὕστερον γενικῇ· καὶ ὅτι καὶ κατάρχεσθαι λέγεται ἐπὶ τοῦ αὐτοῦ παρ' Ὁμήρῳ μὲν αἰτιατικῇ συντεταγμένον, παρὰ δὲ τοῖς ὕστερον γενικῇ. 241,20. 1476, 42.

κατασκλῆναι ὅτι ἐκ τοῦ σκλαίνω θέματος κεκίνηται, ὃ ἐκ τοῦ σκλῶ παρῆκται, τοῦτο δὲ ἐκ τοῦ σκέλλω συγκέκοπται. 1508, 43.

καταστατικαὶ ἔννοιαι λέγονται αἱ ἀναπαύουσαι ἐπιλογικῶς τὰ προειρημένα. 1041, 20.

καταστῆσαι τινὰ εἴς τινα τόπον, ἤγουν ἀποκαταστῆσαι. 1741, 19.

κατάστησον ἀντὶ τοῦ ἁπλῶς στῆσον ἐν τῷ, νῆα κατάστησον, Ὀδ. μ', 185. 1707, 20.

κατασχεῖν εἰς ὅρμον, τὸ ἐλλιμενίσαι ἢ ἐλλιμενισθῆναι. 1629, 19.

κατασχέσθαι κρηδέμνῳ λέγεται γυνὴ, ἀντὶ τοῦ προκαλύψασθαι τὴν παρειάν. 431, 8.

κατατεθνάναι ὅτι ἡ κατὰ τὴν κάτω σχέσιν τοῦ κατ' Ἅιδην τόπου ὑπαγορεύει. 1278, 19.

κατατιθέναι νεκρὸν, ἐν ἴσῳ τῷ ἐνταφιάζειν. 1081, 12.

κατάτυρος, ὅτι ἐκ τοῦ τυρὸς σύγκειται τοὔνομα. 1626, 34.

καταῦσαι τὸ ἀφανίσαι καὶ κατακαῦσαι, παρὰ τὸ αὔω τὸ καίω· καὶ ὅτι τὸ μὲν αὖσαι δασύνεται παρὰ τοῖς Ἀττικοῖς, καταῦσαι δὲ ψιλῶς προφέρεται. 1547, 60.

καταφαγεῖν ἀντὶ τοῦ πάντα φαγεῖν. 1631, 59.

καταφέρεσθαι εἰς ὕπνον, ὅτι ἀντίκειται τῷ ἀναφέρειν· καὶ καταφέρεσθαι κατά τινος ὡς κατήγορος. 573, 16. 1788, 7.

καταφερὴς ὁ λάχνος, παρὰ τὸ καταφέρεσθαι. 1788, 7.

καταφορὰ καὶ καταφορικὸς λόγος ἡ ἐν κατηγορίᾳ τάσις. 1788, 7.

κατάφρακτοι στρατιῶται οἱ στεῤῥῶς τῇ πανοπλίᾳ πεπυκασμένοι καὶ καταπεφραγμένοι. 907,49. 924,19. καὶ ὅτι ἔκ τινος Ὁμηρικοῦ ῥητοῦ συνάγεται καὶ ἐπὶ τῶν Τρωικῶν γενέσθαι τὴν τῶν καταφράκτων ἵππων χρῆσιν. 1201, 33.

καταφυλαδὸν ἐπίῤῥημα ἀντὶ τοῦ κατὰ φῦλα. 314, 8.

καταχεύειν πέπλον, παρ' Ὁμήρῳ ἐπὶ ἐκδύσεως λεπτοῦ ἱματίου. 599, 43. καὶ καταχεύειν τεῖχος, τὸ ῥᾳδίως καταῤῥῖψαι. 691, 38. καὶ καταχεύειν τινὶ αἰσχύνην, δοτικῇ ἐκ δευτέρου καὶ αἰτιατικῇ ἐκ τρίτου παρ' Ὁμήρῳ Ὀδ. λ', 433. παρὰ δὲ τοῖς μεθ' Ὅμηρον γενικῇ ἐκ δευτέρου καὶ αἰτιατικῇ ἐκ τρίτου, οἷον καταχεύειν τινὸς ὀνείδη. 1693, 12. 1933, 58. καὶ καταχεύειν χάριν τινὶ, τὸ διὰ παντὸς τοῦ σώματος περιαγαγεῖν ἐν τῷ, θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη, Ὀδ. β', 12. 1431, 6.

καταχθῆναι τὸ ἐλλιμενίσαι καὶ καταπλεῦσαι. 1408, 30.

κατάχρεοι, κατὰ εὐθεῖαν πληθυντικὴν παρὰ Πολυβίῳ, ἀπὸ τῆς κατάχρεος κοινῶς λεγομένης εὐθείας. 1534, 13.

καταχρήσεις λέξεων τινῶν, οἷον βουκολεῖν ἵππους, καὶ οἰνοχοεῖν οἶνον, καὶ τὰ ὅμοια, ἑρμηνεία διεξοδική. 1205, 49.

κατεβήσετο, τρίτον πρόσωπον παρατατικοῦ ἀπὸ τοῦ καταβήσω θέματος, ἐκ μέλλοντος εἰς ἐνεστῶτα μεταχθέντος. 1650, 51.

κατείβεσθαι, κατατήκεσθαι ἐν τῷ, κατείβετο δὲ γλυκὺς αἰὼν, Ὀδ. ε', 152. 1528, 52.

κατεκλάσθη ἦτορ, ἤγουν κατεκάμφθη καὶ κατεάγη ἡ καρδία. 1654, 43.

κατέκτα, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι συστέλλει τὴν λήγουσαν ὡς ἀπὸ τοῦ κατέκτανε συγκοπέν. 316, 37.

κατέκταν ἀντὶ τοῦ ἐφόνευσα κατὰ πρῶτον πρόσωπον, Ἰλ. δ', 319. ὅτι ἐκ τοῦ ἔκτανον κατ' ἀποκοπὴν λέγεται. 477, 23. 37.

κατελάσαι ἀντὶ τοῦ βινῆσαι καὶ συνουσιάσαι. 237, 21.

κατέλεκτο, ἤγουν ἀνεκλίθη. 1771, 27.

κατελθεῖν τὸ ἁπλῶς κάτω που ἐλθεῖν, καὶ τὸ εἰς λιμένα ἐλθεῖν, καὶ τὸ τὸν φυγάδα εἰς τὴν πατρίδα ἐλθεῖν. 1408, 28. 38.

κατένωπα προπαροξυτόνως ἐκ τοῦ κατ' ἐνώπια συγκοπὲν, ἢ κατενῶπα προπερισπωμένως ἐκ τῆς ἐνοπὴν αἰτιατικῆς κατὰ μεταπλασμὸν, ἑρμηνεία διεξοδική. 1017, 59.

κατεξανίστασθαι ἐν ἴσῳ τῷ ἐπανίστασθαι, ζήτει ἐν τῷ ἐπανίστασθαι. 146, 13.

κατέξανται, τρίτον πρόσωπον ἑνικὸν ἀπὸ τοῦ ξαίνω θέματος. 189, 24. ζήτει τὸ, ανται λήγοντα τρίτα πρόσωπα ἑνικά.

κατεπλήγη ἀντὶ τοῦ κατεπλάγη ἐν τῷ, κατεπλήγη φίλον ἦτορ, Ἰλ. γ', 31. ἑρμηνεία διεξοδική. 374, 10.

κατεπτηχέναι, ἀπαρέμφατον, καὶ κατεπτηχὼς, μετοχὴ ἀπὸ τοῦ πτήσσω θέματος. 671, 3.

κατέρχεσθαι λέγονται εἰς τὴν πατρίδα οἱ φυγάδες ὡς εἴς τινα λιμένα. 1956, 35.

κατεσθίειν, ὅτι ἐπίτασιν τοῦ ἐσθίειν ὑπαγορεύει ἡ πρόθεσις. 229, 15.

κατεσκληκέναι ὅτι ἀπὸ τοῦ σκλῶ ἀῤῥήτου θέματος κεκίνηται, ὃ παρὰ τὸ σκέλλω λέγεται κατὰ συγκοπήν. 1295, 39. 1508, 22.

κατεσκληκὼς ὅτι παρὰ τὸ σκέλλω κεκίνηται, ὃ δηλοῖ τὸ ξηραίνω· 1392, 26. ζήτει τὸ κατεσκληκέναι.

κατέστυγεν ἀντὶ τοῦ ἐστύγνασεν ἐν τῷ, κατέστυγε μῦθον ἀκούσας, Ἰλ. ρ', 694. 1123. 29.

κατέχεσθαι θυμῷ, ἤγουν ὀργῇ συνέχεσθαι. 530, 36.

κατήλασεν ὅτι ἄσεμνόν τι δοκεῖ σημαίνειν. 1475, 9. ζήτει τὸ κατελάσαι.

κατημαξευμένον ὅτι καὶ διὰ τοῦ θ καθημαξευμένον λέγεται. 1156, 20.

κατηρεφὲς σπήλαιον τὸ κατεσκιασμένον οἱονεὶ ὀροφῇ τοῖς δένδροις, καὶ κατηρεφὲς κῦμα τὸ ὑψηλὸν καὶ καλύπτον δίκην ὀρόφου, κατηρεφὲς δὲ οἴκημα τὸ ταπεινὸν, καὶ κατηρεφὲς ὁ σκεπαστός. 1165, 52. 1539, 15. 1621, 39.

κατηφὴς ὅτι παρὰ τὸ κάτω τὰ φάη ἔχειν λέγεται. 1348, 43.

κατηφῆσαι ἀντὶ τοῦ κατηφιάσαι. 1270, 21. ζήτει τὸ κατηφής. 134, 8. 43.

κατηφιῶ ὅτι παρὰ τὸ κατηφῶ λέγεται προσλήψει τοῦ ἰ. 1090, 6.
κατηφόνες ἀντὶ τοῦ κατήφειαι προσηγορικῶς ἐν τῷ, σπεύσατέ μοι κακὰ τέκνα κατηφόνες, Ἰλ. ώ, 253. ἢ κατηφόνες οἱ ἐπονείδιστοι καὶ φόνου ἄξιοι, ἑρμηνεία διεξοδική. 1098, 15. 1348, 41. 1654, 34.
κατηφῶ κατηφήσω καὶ κατηφιῶ κατηφιάσω ἐπὶ τοῦ αὐτοῦ. 1804, 27.
κάτθανεν ὅτι ἐκ τοῦ κατέθανε γέγονε συγκοπῇ καὶ τροπῇ. 900, 14.
κατιέναι λέγεται ναῦς Ὀδ. π́, 472. ἀντὶ τοῦ κατάγεσθαι, ὅ ἐστιν ἐλλιμενίζεσθαι. 1809, 28.
κατιλλώπτειν τὸ καταμυκτηρίζειν, ὅτι παρὰ τοὺς ἴλλους, ὃ δηλοῖ τοὺς ὀφθαλμούς, λέγεται. 206, 33. ζήτει τὸ ἐνίλλειν καὶ ἐνιλλώπτειν.
κατίσχειν ἀντὶ τοῦ κατιέναι, ὅτι ἀντίκειται τῷ ἀνίσχειν περὶ ἄστρου λεγόμενον παρ' Ἡροδότῳ. 133, 34. καὶ κατίσχειν ναῦν ἔς τινα τόπον, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐλλιμενίζειν. 1693, 56. 1733, 29.
κάτοισθα ὅτι ἐκ τοῦ οἶσθα τροχαϊκοῦ συγκείμενον παραλόγως προπαροξύνεται. 150, 2.
κατόπισθεν ἀντὶ τοῦ εἰς τὸ μέλλον ἐν τῷ, ὅρκια δ' αὖ κατόπισθε μετ' ἀμφοτέροισιν ἔθηκεν, Ὀδ. ώ, 546. 1970, 4.
Κατοπτήριον, ὄνομα χωρίου τινὸς ὑπερκειμένου Ἀνεμωρείας Φωκικῆς πόλεως. 274, 42.
κατουλὰς νὺξ ἡ κατίλλουσα καὶ καθείργουσα, ἢ ἡ ὀλεθρία παρὰ τὸ οὖλον, ἢ ἡ ἔχουσα συστροφὰς ἀνέμων παρὰ τὸ ἴλλειν τὸ συστρέφειν, ἢ ἡ ζοφώδης καὶ ὕπουλος. 1769, 33.
κατουρίζειν τὸ κατ' οὖρον πλέειν, ἀπουρίζειν δὲ τὸ ἀφορίζειν καὶ ἀφαιρεῖσθαι. 1282, 17. 1452, 47.
κάτοχος λύπῃ λέγεται ὁ λυπούμενος, καὶ θυμῷ ὁ θυμούμενος, καὶ ἔρωτι ὁ ἐρῶν, καὶ μανίᾳ ὁ μαινόμενος. 843, 50. 1849, 7.
κάτω ἐπίρρημα ὅτι ἐκ τῆς κατὰ προθέσεως παρῆκται. 166, 31.
κάτω κάρα ἢ κατώκαρα συνθέτως κεῖσθαι λέγονται οἱ ἐπὶ κεφαλὴν κρεμάμενοι ἢ βυθιζόμενοι. 1960, 40.
κατωμάδιος δίσκος ὁ ἀπὸ χειρὸς ἄνω τεινομένης ἐπὶ τὸν ὦμον ἀφιέμενος. 1309, 37.
κατωμαδὸν φέρειν τι λέγεται ὁ ἐπ' ἀμφοτέρων τῶν ὤμων βαστάζων. 1653, 9. 12. καὶ κατωμαδὸν μάστιγι ἐλᾷν ἵππον, ἤγουν ἀνατείναντα τὴν μάστιγα ἕως ὤμων. 1019, 24. 1309, 38.
κατωρυχὴς λίθος ὁ κατορωρυγμένος καὶ εὖ τεθεμελιωμένος, Ὀδ. ζ́, 267. 1563, 2. ἀλλαχοῦ δὲ ὅτι κατωρυχεῖς λίθοι οἱ μεγάλοι καὶ ὧν μέρος τι κατορώρυκται εἰς τὴν γῆν. 1621, 45.
κατωμοσία, ὅτι οὕτω δοκεῖ λέγεσθαι ὁ τοῦ κατηγόρου ὅρκος, ὃς ἦν δικαίως κατηγορεῖν· Ἡρόδοτος δὲ (6, 65.) ἀντὶ ἀντωμοσίας χρῆται, ἥτις ἐστὶν ὁ ἐξ ἀμφοτέρων τῶν ἀντιδίκων ὅρκος, καὶ ζήτει ἐν τῷ ἀντωμοσία. 1660, 48. 50.
κατωμοτικὰ ἐπιῤῥήματα, οἷον νὴ τὸν, καὶ ναὶ μὰ τόν. 1450, 42.
κατωφέρεια ἡ περὶ μίξεις ἄσχετος ῥοπή. 1650, 64.
καυδάων Ἄρης ἐπιθετικῶς, ὅτι παρὰ τὸ καίειν καὶ δαίειν δύο ταὐτοδυνάμων λέξεων λέγεται διὰ τὸ τῆς μάχης καυστειρόν. 437, 12. [In textu καυδάων legitur.]
Καύκωνες, ἔθνος Παφλαγονικὸν τὴν Μαριανδυνῶν παραλίαν οἰκοῦν· καὶ Καύκωνες, ἔθνος Ἀρκαδικὸν μετοικῆσαν εἰς Λυκίαν, ἱστορία. 362, 36. 1210, 46. καὶ πάλιν ὅτι Καύκωνες οἱ Ἀρκαδικοὶ ἀπὸ Καύκωνος ἥρωος ἐκλήθησαν· καὶ Καύκων θηλυκῶς ποταμὸς ἐν τῇ Δυμαίᾳ χώρᾳ· καὶ ὅτι καὶ Καύκωνες ἄλλοι Παφλαγονικοὶ Τρωσὶ συμμαχήσαντες, καὶ ἄλλα τινὰ περὶ Καυκώνων. 301, 42. 1472, 34—41.
Καυκωνιᾶται, ἔθνος ὁμοροῦν Μαριανδυνοῖς, καὶ δοκεῖ ταὐτὸ ὅπερ οἱ Καύκωνες εἶναι. 362, 40. ζήτει τὸ Καύκωνες.
καυλὸς δόρατος τὸ ἐνιέμενον μέρος εἰς τὸ κοῖλον τῆς ἐπιδορατίδος. 926, 11. 1049, 13. ἀλλαχοῦ δὲ ὅτι καυλὸς δόρατος τὸ ἄκρον ξύλον, ὃ ἐνίεται τῇ αἰχμῇ. 949, 23.
καυλὸς ξίφους τὸ κατὰ τὴν λαβὴν στενὸν καὶ ἐπίμηκες. 1063, 6.
καυλωνία, οἱονεὶ αὐλωνία παρὰ τὸν αὐλῶνα προσθέσει τοῦ κ. 734, 48. 1457, 42.
καυσία, κάλυμμα ποιὸν κεφαλῆς τῶν Μακεδονικῶν βασιλέων. 255, 1. 1398, 3.
καυστειρὰ μάχη, πολλαχοῦ παρ' Ὁμήρῳ ἡ θερμὴ καὶ πυρόεσσα διὰ τὸ τῶν μαχομένων ἔνθερμον. 481, 12. 513, 24.
Καΰστρος, ὄνομα ἥρωος υἱοῦ Πενθεσιλείας· καὶ Κάϋστρος, ποταμὸς ὁμωνύμως τῷ ἥρωι, οἱονεὶ Καῦστρος παρὰ τὸ διὰ τῆς κατακεκαυμένης καλουμένης χώρας ῥέειν. 254, 25. 45.
κάφος καὶ κάπος τὸ πνεῦμα. 1280, 34.
καφῶ καφήσω τὸ ἐκπνέω, ὅτι παρὰ τὸ κάπτω κάψω κέκαφα λέγεται. 1546, 39.
καχλάζειν ὅτι ἐπίτασίς ἐστι τοῦ ζέειν, καὶ ὅτι καὶ παφλάζειν λέγεται. 1661, 64.
κάχρυς θηλυκῶς καὶ μακροκαταλήκτως αἱ πεφρυγμέναι κριθαὶ πρὸς τὸ εὐχερέστερον ἀλευροποιεῖσθαι. 1835, 42.
κὲ σύνδεσμος ἀντὶ τοῦ ἄν, ὅτι ὑποτακτικῷ ἢ εὐκτικῷ ἀεὶ συντάσσεται ῥήματι. 1907, 44. καὶ ὅτι ὁ κὲ παραπληρωματικὸς σύνδεσμος ἐφέλκεταί ποτε τὸ ν καὶ γίνεται κέν. 52, 23.
Κεάδης, ὄνομα πατρωνυμικὸν ἀπὸ τοῦ Κέας κυρίου. 359, 11. 21.
κεάζω τὸ κλῶ, ὅθεν κεάσαι ξύλα τὸ σχίσαι. 1018, 54.
κεάσαι τὸ σχίσαι, ἢ σκεδάσαι καὶ διατινάξαι ἐν τῷ, Ζεὺς ἔλσας ἐκέασσεν, Ὀδ. έ, 132. 1528, 41.
κεάσαι ξύλα, ἤγουν κόψαι καὶ σχίσαι. 1241, 48. 1523, 35.
κεάσθη, ἤγουν ἐκλάσθη ἢ ἐσχίσθη, ὅτι ἀπὸ τοῦ κεῶ κεάσω κεκίνηται. 1212, 26. 1214, 2.
κέαται Ἰωνικῶς ἀντὶ τοῦ κεῖνται. 1043, 56. 1837, 15.
κεδάζω ταὐτὸν τῷ σκεδάζω, ὅτι παρὰ τὸ χέειν ἢ παρὰ τὸ κεάσαι λέγεται· καὶ ὅτι κεδασθῆναι λέγεται μάχη παρ' Ὁμήρῳ ἀντὶ τοῦ σκεδασθῆναι, ὅ ἐστι λυθῆναι. 244, 45. 525, 44. 1018, 53.

κεδαίω τὸ σκεδάζω, ὅτι παρὰ τὸ κεδῶ παρῆκται. 140, 26. 1426, 43.
κεδάσαι ὅτι παρὰ τὸ κεάσαι, ὅ ἐστι σχίσαι, δοκεῖ λέγεσθαι πλεονασμῷ τοῦ δ. 1528, 41.
κεδνὴ ἀμφίπολος ἢ γυνὴ ἐπιθετικῶς ἡ συνετὴ καὶ κηδεμονική, οἱονεὶ κηδανὴ κατὰ συστολὴν καὶ συγκοπήν· καὶ κεδνότατοι φίλοι, οἱ καὶ κήδιστοι, ὁμοίως. 775, 31. 1421, 22.
κεδνότατος ὁ φροντιστικώτατος καὶ συνετώτατος, κήδιστος δὲ ὁ φίλτατος καὶ οὗ μάλιστα κήδεταί τις. 1652, 62.
κέδρος ὅτι παρὰ τὸ ῥαδίως κεάζεσθαι λέγεται πλεονασμῷ τοῦ δ. 1018, 54. 1214, 3. 1523, 35. ἀλλαχοῦ δὲ ὅτι κέδρον οὐδετέρως παρὰ τοῖς Ἀττικοῖς λέγεται. 1390, 57. ἀλλαχοῦ δὲ ὅτι κέδρος τὸ δένδρον θηλυκῶς, κέδρον δὲ οὐδετέρως ὁ καρπός. 1536, 14.
κεδῶ κεδάζω, ἴσον τῷ σκεδάζω. 140, 24. ζήτει τὸ κεδάζω.
κειάμενος, μετοχὴ τοῦ ψιλογραφουμένου κέω ῥήματος. 36, 12.
κείαντες ἀντὶ τοῦ καύσαντες, τὸ κι δίφθογγον, ὅτι ἐκ τοῦ κῶ γίνεται κείω, ὅθεν τὸ κείαντες. 737, 13. 1626, 45. 47.
κείειν τὸ ἐπιθυμεῖν καὶ θέλειν κεῖσθαι ἐν τῷ, οὐ μέν σφας ἔτ' ἔολπα μίνυνθά γε κειέμεν οὕτω, Ὀδ. θ', 315. 1599, 18.
κείθιον Ἰωνικῶς τὸ κοινῶς χείτιον, ὅτι παρὰ τὸ χεῖσθαι ἤγουν χωρεῖσθαι λέγεται. 1259, 36.
κειμήλια τὰ κείμενα κτήματα, τὰ λεγόμενα ἀκίνητα. 753, 39. 1434, 54. ἀλλαχοῦ δὲ κειμήλιον, κτῆμα ἀπόθετον, ὅτι παρὰ τὸ κέεμαι κεῖμαι λέγεται. 456, 18. 623, 61. 1261, 36.
κεῖνος ὅτι ἀναλογώτερόν ἐστι τοῦ ἐκεῖνος. 966, 31.
κείομεν ἀντὶ τοῦ καίομεν ἀπὸ τοῦ ψιλογραφουμένου κέω κῶ, ὅθεν τὸ διὰ διφθόγγου. 684, 2.
κεῖον ἀντὶ τοῦ καῦσον, ἐκ τοῦ κέω τὸ προστακτικὸν κίον καὶ πλεονασμῷ κεῖον. 1905, 25.
κείοντες, κοιμηθησόμενοι. 990, 9. ζήτει τὸ κείειν.
Κεῖος ὁ ἀπὸ Κέω τῆς νήσου, τὸ κι δίφθογγον. 1930, 29.
κείρειν καὶ κείρεσθαι τὸ τὰς τρίχας ἀφαιρεῖν, καὶ ὅτι ἐπὶ τοῖς νεκροῖς εἰώθεσαν κείρεσθαι οἱ παλαιοί. 1292, 26. καὶ κείρειν ὁμωνύμως τὸ ἀπλήστως ἐσθίειν, ὅθεν ὁ κόρος. 862, 52. 1231, 38. καὶ κείρειν τὸ εἰς κόρον δαπανᾶν. 1447, 1. καὶ κείρειν χώραν τροπικῶς τὸ λαφυραγωγεῖν. 364, 29.
κείρειν ἐν χρῷ, καὶ κουρὰ ἐν χρῷ, ὅθεν κουρίας ἐν χρῷ, ὁ ἐν χρῷ κεκαρμένος. 1450, 33.
κείρεσθαι ὅτι περὶ κεφαλῆς ἰδίως λέγεται. 189, 14. καὶ ὅτι κείρεσθαι εἰώθεσαν οἱ ἀρχαῖοι Ἕλληνες ἐν ἀκμῇ τῆς ἡλικίας καὶ ἐν πένθους καιρῷ. 165, 4.
κειρία, ἱμὰς ἐπὶ δεσμῷ κλίνης. 191, 30.
κείρω τὸ κουρεύω, τὸ κι δίφθογγον. 125, 45.
κεῖσθαι ἀντὶ τοῦ ἀργεῖν καὶ ἀπρακτεῖν πολλαχοῦ παρ' Ὁμήρῳ. 321, 46. 1144, 34. 1520, 41.
κεῖσθαι τὸ κεκλίσθαι, καὶ ὅτι καὶ τὸ ἵστασθαι ὑπὸ τὴν κεῖσθαι κατηγορίαν ἐστί. 420, 11. 556, 14. καὶ κεῖσθαι ἀντὶ τοῦ ἀποτεθεῖσθαι. 456, 17. καὶ ὅτι ἰσοδυναμεῖ τῷ τίθεσθαι. 233, 33. 1300, 22. ἀλλαχοῦ δὲ ὅτι κεῖσθαι παρ' Ὁμήρῳ τὸ πεπτωκέναι καὶ τὸ τεθάφθαι καὶ τὸ τεθνηκέναι καὶ νεκρὸν ἐῤῥῖφθαι, καὶ κεῖσθαι τὸ ἀπρακτεῖν, καὶ κεῖσθαι ἀντὶ τοῦ εἶναι, καὶ ἔκθεσις τῶν ἐφ' ἑκάστῳ παραδειγμάτων. 1002, 22.
κεῖσθαι ἐν ἄλγεσι λέγεται ὁ ἀπρακτῶν διὰ λύπην. 1902, 45.
κεῖσθαι λέγεται φόρμιγξ ἀντὶ τοῦ κρέμασθαι κατὰ γενικὴν κατηγόρησιν. 1594, 52. 1637, 63.
κείσομαι μέλλων ὅτι ἀπὸ τοῦ κῶ κείω θέματος κεκίνηται. 356, 23.
κείω ἀντὶ τοῦ κέω ἢ ἀντὶ τοῦ σχίζω, ἐκ τοῦ κέω ἐπενθέσει τοῦ ι ἐν τῷ, σχίζη δρυὸς ἣν λίπε κείων, Ὀδ. ξ', 425. καὶ κείω τὸ κεῖμαι. 1766, 20. 23.
κείων, κοιμηθησόμενος. 1771, 37.
κεκαδήσειν ἀντὶ τοῦ στερήσειν καὶ ἀντὶ τοῦ χάσασθαι ποιήσειν, ἀπὸ τοῦ χῶ χάζω ὁ δεύτερος ἀόριστος ἔχαδον, ὁ δεύτερος μέλλων χαδῶ, ὅθεν κεκαδῶ κεκαδήσω κατὰ διπλασιασμὸν καὶ τροπὴν τοῦ δασέος εἰς ψιλόν. 1905, 49.
κεκαδησώμεθα, κηδήσωμεν, φροντίσωμεν, σχηματισμός. 716, 44. ζήτει τὸ κεκαδήσειν.
κεκαδμένος ἀντὶ τοῦ κεκασμένος τροπῇ τοῦ σ εἰς δ. 214, 22.
κεκάδοντο ἀντὶ τοῦ ὑπεχώρησαν, ἀπὸ τοῦ χάζω χάσω ἔχαδον τὸ τρίτον τῶν πληθυντικῶν ἐχάδοντο καὶ Ἰωνικῶς κεκάδοντο. 502, 21.
κεκαδὼν ἀντὶ τοῦ ἀποστερήσας ἢ ἀποχωρῆσαι ποιήσας, ἐκ τοῦ χάζω ἔχαδον ἡ μετοχὴ ὁ χαδὼν καὶ Ἰωνικῶς κεκαδών. 847, 50.
κεκάμωσι ὅτι ἐκ τοῦ κάμωσι γέγονε κατ' ἀναδιπλασιασμόν. 1654, 31.
κεκαφηώς, μετοχὴ παρακειμένου, ὅτι παρὰ τὸ κάπτω κάψω κέκαφα, ὃ δηλοῖ τὸ πνέω, γίνεται ῥῆμα καφῶ καφήσω, ὁ παρακείμενος κεκάφηκα καὶ Ἰωνικῶς κεκάφηα, ἡ μετοχὴ ὁ κεκαφηώς. 561, 11. 595, 21—30. καὶ ὅτι τὸ, κεκαφηότα θυμόν, ἀντὶ τοῦ ἐκπεπνευκότα τὴν ψυχὴν περί τινος λειποθυμήσαντος λέγεται παρ' Ὁμήρῳ. 1546, 39.
κέκλεσθαι ἀντὶ τοῦ ἐγκελεύεσθαι, ὅτι παρὰ τὸ κέλω γίνεται κατὰ διπλασιασμὸν καὶ συγκοπήν. 1306, 10. 14.
κεκλήγειν λέγονται κυρίως τὰ ὄρνεα, μεταφορικῶς δὲ καὶ ἄνθρωποι καὶ κύνες, Ὀδ. ξ', 30. 838, 45. 1749, 40. καὶ ὅτι ἀπο τοῦ κλάζω θέματος κεκίνηται. 1068, 55. ἀλλαχοῦ δὲ ὅτι ἀπὸ τοῦ κεκλήγω. 1126, 41.
κεκλήμην εὐκτικὸν ὅτι ἀναλόγως ἐκ τοῦ κέκλημαι κεκίνηται, ὡς ἐκ τοῦ μέμνημαι τὸ μεμνήμην. 1373, 64.
κεκλίαται ἀντὶ τοῦ κέκλινται, ὅ ἐστι περιέχονται. 1046, 13.
κεκλιμένα φύλλα τὰ ἐπίτηδες κεκλαδευμένα ἐν τῷ, φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί, Ὀδ. λ', 194. 1679, 4.
κεκλιμένος, περιεχόμενος, κρυπτόμενος, οἷον ἐν τῷ, λίμνῃ κεκλιμένος, Ἰλ. ε', 709. καὶ ἐν τῷ, ἐπάλξεσι κεκλιμένοι, χ', 3. 597, 7. 1254, 3.

κεκλίσθαι ἀντὶ τοῦ κεῖσθαι καὶ ἀντὶ τοῦ ἵστασθαι καὶ ἀντὶ τοῦ περιέχεσθαι εἴτουν κρύπτεσθαι. 556, 12. 814, 3. 849, 43. 62. ἀλλαχοῦ δὲ ὅτι τὸ κεκλίσθαι οὐ μόνον ἀνάκλισίν τινα, ἀλλὰ καὶ περιοχὴν σημαίνει παρ' Ὁμήρῳ. 1564, 27. καὶ πάλιν ὅτι τὸ κεκλίσθαι ταὐτόν ἐστι τῷ ἀνακεῖσθαι, ὅθεν καὶ ταὐτόν ἐστι κλίματα ὀρῶν εἰπεῖν καὶ ἀνακειμένους τόπους. 1498, 45. 48.

κέκλοφα ὅτι μίγμα ἐστὶν ἐκ μέσου καὶ ἐνεργητικοῦ παρακειμένου, ὧν τοῦ μὲν τὸ παραλῆγον ο̄, τοῦ δὲ τὸ τῆς ληγούσης σύμφωνον ἐστὶ χαρακτηριστικόν. 1687, 8. ἀλλαχοῦ δὲ ὅτι ὁ κέκλοφα μέσος παρακείμενος τὸ μὲν ο̄ ἀναλόγως ἔχει, τὸ δὲ φ̄ οὔ. 1946, 48.

κέκλω ὅτι ἐκ τοῦ κέλω γέγονε κατὰ συγκοπὴν καὶ ἀναδιπλασιασμόν. 934, 60.

κεκμηὼς κεκμηῶτος, ὅτι ἐκ τοῦ κεκμηκὼς γέγονεν ἀποβολῇ τοῦ κ̄ καὶ ἐκτάσει τοῦ ο̄ κατὰ τὰς πλαγίας. 641, 2.

κεκονιαμένος μετοχὴ, ὅτι παρὰ τὸ κονία γίνεται τὸ κονιῶ κονιάσω, ὅθεν τὸ κεκονιαμένος. 382, 38.

κέκοπα μέσος παρακείμενος ὅτι καὶ κέκοφα λέγεται διὰ τοῦ φ̄. 1946, 51.

κεκοπὼς ἀντὶ τοῦ πλήξας ἐν τῷ, ἀμφὶ κάρη κεκοπώς, Ὀδ. σ', 335, 1849, 14.

κεκορυθμένα χαλκῷ δόρατα τροπικῶς λέγονται τὰ ἐπὶ τῆς οἱονεὶ κεφαλῆς φοροῦντα σίδηρον. 829, 33. καὶ ὅτι κεκορυθμένον μὲν δόρυ ἐλλιπῶς λέγεται, κεκορυθμένον δὲ χαλκῷ ἐντελῶς. 1088, 24. καὶ ὅτι ἀπὸ τοῦ κορίσσω κεκίνηται ἡ λέξις τροπῇ τοῦ σ̄ εἰς θ̄. 375, 15.

κέκοφα μέσος παρακείμενος ἐν ἴσῳ τῷ κέκοπα. 1946, 51. ζήτει τὸ κέκοπα.

κέκοφα ὅτι μίγμα ἐστὶν ἐκ μέσου καὶ ἐνεργητικοῦ παρακειμένου, ὧν τοῦ μὲν τὸ παραλῆγον ο̄, τοῦ δὲ τὸ τῆς ληγούσης σύμφωνον ἐστὶ χαρακτηριστικόν 1687, 8.

κεκράατο ἀντὶ τοῦ ἐκέκρατο ἢ ἀπήρτιστο καὶ ἐτετελείωτο, ἀπὸ τοῦ κραιαίνω. 1487, 59.

κέκρητο ἀντὶ τοῦ συνεκέκρατο, εἴτουν συνεμέμικτο. 1466, 36.

κεκριμένος οὖρος ὁ εὐκρινὴς ἄνεμος. 965, 3.

κεκριμένος ἀντὶ τοῦ ἐπίλεκτος ἐν τῷ, ταύρους κεκριμένους ἱερεύσομεν, Ὀδ. ν', 182 1737, 58.

Κέκροψ, βασιλεὺς Ἀθηναίων, διὰ λίθων βολῆς ἀπαριθμήσας τὸ κατὰ τὴν Ἀττικὴν πλῆθος τῶν ἐπ' αὐτοῦ ἀνθρώπων, ἱστορία. 23, 35. καὶ ὅτι ὁ Κέκροψ διφυὴς ἐνομίσθη διὰ τὸ πρῶτος τὸν νόμιμον γάμον ἐκ γυναικὸς καὶ ἀνδρὸς εἰσηγήσασθαι Ἀθηναίοις. 1156, 40. 1361, 28.

κεκρύφαλος, κόσμος γυναικεῖος δετὸς περὶ τὴν κεφαλὴν κροκύφαντος λεγόμενος. 976, 42. 1280, 59.

κεκύθωσιν, ἤγουν κρύψωσι, τρίτον τῶν πληθυντικῶν τοῦ κεκύθω ὑποτακτικοῦ τοῦ δευτέρου ἀορίστου, ἢ τοῦ μέσου παρακειμένου τοῦ κεύθω θέματος. 1564, 21.

κελαδεῖν τὸ θορυβεῖν, ὅτι καὶ κατὰ ὀρνίθων λέγεται ἐν ἴσῳ τῷ ᾄδειν. 728, 12. 1710, 64.

κελαδεινὴ Ἄρτεμις, μυθικῶς μὲν ἡ κῆλα, ὅ ἐστι βέλη, δεινὰ ἔχουσα, ἢ ἡ Ἐγκέλαδον ἀνελοῦσα, ἢ διὰ τοὺς ἐν τοῖς κυνηγεσίοις κελάδους· εἰς δὲ σελήνην ἀλληγορουμένη κελαδεινὴ λέγεται διὰ τὰς περὶ τὸν ἀέρα ἐξ αὐτῆς γινομένας ταραχάς. 774, 18. 1063, 52. 1249, 40. 1769, 21.

κελαίνειν ἐν ἴσῳ τῷ μελαίνειν, καὶ κελαινὸν τὸ μέλαν. 455, 9.

κελαινεφὴς ὁ κελαινὸς φαινόμενος, ἢ ὁ τὰ νέφη μελαίνων τῇ πυκνώσει οἱονεὶ κελαινονεφὴς, ἢ ὁ μέλας ἰδεῖν καὶ κελαινοφαὴς διὰ τὸ τοῦ νοῦ δυσόρατον, ἑρμηνεία διεξοδική. 122, 12. 455, 6. 1672, 5.

κελαινεφὲς αἷμα τὸ κελαινὸν φαινόμενον. 455, 4. 1672, 5.

κελαινὸν αἷμα τὸ μέλαν. 455, 4. καὶ κελαινὸν κῦμα ὁμοίως τὸ μέλαν, μὴ προσλογιζομένου τοῦ ἀφροῦ, δι' ὃν καὶ φαληριῶν, ὅ ἐστι λευκὸν, ἐνίοτε λέγεται. 732, 30.

κελαινὼψ θυμὸς ἡ βαθεῖα ψυχή. 72, 4.

κελαρύζειν λέγεται ὕδωρ τι ἠρέμα ῥοιζοῦν ἐν τῷ καταῤῥέειν. 1538, 63. καὶ κελαρύζειν ἐκ τραύματος τὸ αἷμα λέγεται, ἀντὶ τοῦ δαψιλῶς μετὰ καὶ ποιοῦ τινὸς ἤχου ῥεῖν. 885, 61.

κελέβη, ἀγγεῖόν τι παρὰ τὸ χέειν λοιβὴν λεγόμενον. 1476, 29.

κελέοντες οἱ ἱστόποδες, καὶ ἁπλῶς τὰ λεπτὰ καὶ μακρὰ ξύλα. 884, 15. 18.

κελεὸς ὅτι παρὰ τὸ κέλω δοκεῖ λέγεσθαι πλεονασμῷ τοῦ ε̄. 247, 33.

κελεύειν οὐ μόνον τὸ προστάσσειν, ἀλλὰ καὶ τὸ ἀξιοῦν καὶ ὀτρύνειν καὶ ἐπισπεύδειν καὶ ἐρεθίζειν. 831, 27. 838, 46 884, 10. καὶ τὸ ναυτικῶς παρακελεύεσθαι. 884, 14. 1083, 25. καὶ τὸ ἁπλῶς διὰ φωνῆς παρακελεύεσθαι. 838, 46.

κέλευθον οὐδετέρως ὅτι κατὰ γένους μεταπλασμὸν λέγεται ἐν τῷ, ὑγρὰ κέλευθα, πολλαχοῦ παρ' Ὁμήρῳ· καὶ ὅτι πρὸς διαστολὴν τῶν διὰ ξηρᾶς ὑγρὰ λέγονται κέλευθα. 108, 17. 1457, 40.

κέλευθος οὐ μόνον ἡ δι' ὑγρᾶς, ἀλλὰ καὶ ἡ διὰ ξηρᾶς ὁδός. 108, 17. 789, 56. 1734, 12. καὶ ὅτι παρὰ τὸ ἐλεύθω λέγεται πλεονασμῷ τοῦ κ̄. 734, 56. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κέλλειν, ὅ ἐστι τρέχειν ἢ βαδίζειν, λέγεται. 1038, 10.

κελευτιᾶν ἀντὶ τοῦ ὀτρύνειν δημηγορικῶς καὶ ἐγκελεύεσθαι, καὶ ὅτι ὤφειλεν ἔχειν τὸ σ̄ ὡς ἀπὸ τοῦ κελευστόν. 923, 22.

κελευτιόωντες, ἤγουν ἐγκελευόμενοι. 904, 26. ζήτει τὸ κελευτιᾶν.

κέλης ἵππος ὁ ἄζυξ καὶ κατὰ μόνας ἐλαυνόμενος, ὁ νῦν σελλάριος, ὅτι παρὰ τὸ κέλλειν, ὅ ἐστι τρέχειν ἢ βαδίζειν, λέγεται· καὶ κέλης ὁμωνύμως εἶδος πλοίου καὶ τὸ γυναικεῖον αἰδοῖον. 884, 14. 1038, 2—10. 1539, 19. 23. 34.

κελήσεται ὅτι ἀπὸ τοῦ κελῶ κελήσω κεκίνηται, ὡς ἀπὸ τοῦ μελᾶ τὸ μελήσω. 1659, 29.

κελητίζειν τὸ ἀζεύκτοις ἵπποις

ἐποχεῖσθαι, παρὰ τὸ κέλης. 102, 11. 1038, 10. ζήτει τὸ κέλης.

Κελκέας, τόπος τις ἐν τῇ μεσογείᾳ, ἐν ᾧ ἔφυγεν ὁ Ὀδυσσεὺς μετὰ τὴν μνηστηροφονίαν. 1675, 35.

κέλλειν τὸ κινεῖν ἐν συνθέσει ἐν τῷ μέκελλα καὶ δίκελλα. 1235, 56.

κέλλω ὅτι πρωτότυπόν ἐστι τοῦ ὀκέλλω. 1620, 1.

κέλσαι τὸ ἐλλιμενισθῆναι. 1620, 21.

Κελτῶν σκιαμαχία, ὅτι Κελτοὶ παρὰ τὰ δεῖπνα ἐσκιαμάχουν ἐν ὅπλοις, ἱστορία. 1324, 49.

κεμὰς, γέννημα ἐλάφου, ἐτυμολογία τῆς λέξεως· καὶ ὅτι καὶ δυσὶ μ̄ γράφεταί ποτε πρὸς μέτρον χρείαν. 811, 57. 812, 9. ἀλλαχοῦ δὲ ὅτι κεμὰς ἡ μήπω τελεία ἔλαφος. 711, 37.

κενεὼν, μέρος τι τοῦ σώματος, ὅτι παρὰ τὸ κενὸς ὀστῶν εἶναι οὕτω λέγεται, οἱονεὶ κενὼν καὶ πλεονασμῷ κενεών. 224, 3. 423, 38. 547, 42. 625, 15.

κένσαι ἀντὶ τοῦ κεντῆσαι κατὰ γλῶσσαν ποιητικήν. 627, 17. 22.

Κένταυροι ἔθνος, ζήτει ἐν τῷ, Κένταυρος υἱὸς Ἰξίονος. 102, 9. καὶ κένταυροι ἀλληγορικῶς τὰ μὴ ὑφεστῶτα νοήματα. 102, 26.

Κένταυρος, υἱὸς Ἰξίονος τοῦ αὔραν, ὅ ἐστιν ἀερίαν νεφέλην, κεντήσαντος, ὅτι ἀρχηγὸς τοῦ τῶν Κενταύρων φύλου ἐγένετο· καὶ περὶ Κενταύρων τοῦ ἔθνους ἱστορία καὶ μῦθος, καὶ ἐτυμολογίαι διάφοροι τῆς λέξεως. 102, 9—20. 527, 43.

κένταυρος, τὸ γυναικεῖον αἰδοῖον ὁμωνύμως, καὶ κένταυρος σκωπτικῶς ὁ κεντῶν τὸν ὄῤῥον. 1910, 10.

Κενταύρων πρὸς Λαπίθας πόλεμος ὅτι διὰ μῆνιν Ἄρεως καὶ τὴν τῶν Κενταύρων εἰς Λαπίθας ὕβριν καὶ παροινίαν ἐν τοῖς Πειριθόου γάμοις ἱστορεῖται γενέσθαι, ἱστορία διεξοδική. 103, 19. 1909, 48. 1910, 7.

κέντο ἀντὶ τοῦ κέλετο συγκοπῇ καὶ τροπῇ Δωρικῇ τοῦ λ̄ εἰς ν̄. 756, 32.

κέντορες ἵππων οἱ κεντηστικοὶ τῶν ἵππων. 487, 38. 527, 47.

κέντρον λέγεται πᾶν τὸ κεντοῦν, οἷον τὸ βούκεντρον καὶ τὸ περὶ πτέρναν σιδήριον, ᾧ νύσσονται ἵπποι· ὅθεν τὸ, πρὸς κέντρα λακτίζειν, παροιμιακῶς λέγεται· καὶ κέντρον ὁμωνύμως τὸ τοῦ ἀνδρὸς αἰδοῖον, καὶ ὅτι παρὰ τὸ κεντῶ λέγεται πλεονασμῷ τοῦ ρ̄. 413, 7. 1308, 59. 1564, 63.

κεντρηνεκὴς ἵππος ἐπιθετικῶς ὁ τοῖς κέντροις πειθόμενος, ὅτι ἐκ τοῦ ἐνεγκεῖν σύγκειται ἡ λέξις. 604, 16. 719, 40. 811, 39.

κέντρωνες μεταφορικῶς ἔπη τινὰ, ἃ καὶ Ὁμηρόκεντρα λέγονται, κυρίως δὲ κέντρωνες τὰ ἐκ διαφόρων χροιῶν συνεῤῥαμένα, ὅτι παρὰ τὸ κέντρον λέγονται. 1308, 62.

κέντω κένσω, κατὰ τὴν τρίτην συζυγίαν τῶν βαρυτόνων, ἐν ἴσῳ τῷ κεντῶ παρ' Ὁμήρῳ. 764, 27.

κέπφοι λέγονται οἱ εὐήθεις ἀπὸ κούφου καὶ εὐμεταχειρίστου τινὸς ὀρνιθαρίου. 1522, 55.

κέρα ἀγλαὲ, ἵφ' ἐν ἐν παραθέσει ἀναγινωσκόμενον Ἰλ. λ', 385. ἑρμηνεία διεξοδική. 851, 39. 51.

κεράδες, ὅτι οὕτω καλοῦνται τῶν θηλειῶν οἴων ὅσαι κέρατα ἔχουσιν, ὃ πολλάκις λέγεται συμβαίνειν. 1625, 45.

κεραΐδες, ζωΰφιά τινα κεράτων φθαρτικὰ, παρὰ τὸ κεραΐζειν οὕτω λεγόμενα. 1913, 58.

κεραΐζειν ὅτι περὶ κερασφόρων ζῴων κυρίως λέγεται, καὶ κεραΐζειν πόλιν τὸ ἀφανίζειν, παρὰ τὸ κείρειν. 364, 24. 582, 19. 1084, 63. ἀλλαχοῦ δὲ ὅτι κεραΐζειν τὸ τὰ κερασφόρα ζῷα φθείρειν καὶ τὸ πολιορκεῖν καὶ ληΐζεσθαι. 1608, 34.

κεραΐζεσθαι τὸ φθείρεσθαι καὶ βλάπτεσθαι, ὅτι παρὰ τὸ κέρας λέγεται. 1257, 5.

κεραΐπες οἱ ἐν τοῖς κέρασι φυόμενοι ἶπες πρὸς διαστολὴν τῶν ἐν τοῖς ξύλοις. 1913, 57.

κεραμεᾶ σκεύη ὅτι ἐπ' ἀτιμίᾳ παρετίθεντό τισι παρὰ Πέρσαις, καὶ ὅτι παρὰ τοῖς ὕστερον εἰς τοσαύτην προήχθησαν τιμὴν τὰ κεραμεᾶ, ὥστε καὶ ἀρώμασι συμφύρεσθαι τὴν γῆν, ἐξ ἧς ἐπλάττοντο. 1632, 1. καὶ ὅτι τὰ Ἀττικὰ καὶ τὰ Κνίδια καὶ τὰ Μεγαρικὰ κεράμια εὐδοκίμουν ποτὲ, καὶ ὅτι τὰ κεράμια γῆς καὶ πυρὸς τέκνα λέγονται αἰνιγματικῶς. 1167, 5. 8.

κέραμος ἀντὶ τοῦ λάγυνος ἢ πίθος. 764, 18. ἢ κέραμος τὸ δεσμοτήριον κατὰ Κυπρίους ἐν τῷ, χαλκέῳ ἐν κεράμῳ, Ἰλ. ε', 387. 560, 2. 1363, 39.

κερᾶν τὸ κιρνᾶν οἶνον ὕδατι παρὰ τὴν παλαιὰν χρῆσιν τῶν κερατίνων ἐκπωμάτων. 421, 22. 707, 44. καὶ κερᾶν ἀντὶ τοῦ ἁπλῶς ἐγχέειν χωρὶς κράματος. 1525, 39. καὶ κερᾶν οἶνον τὸ εἰς κρατῆρα ἐμβάλλειν. 1964, 38.

κέρας τὸ ζωικὸν ἔκφυμα τῆς κεφαλῆς, καὶ κέρας ὁμωνύμως ἐμπλοκὴ ποιὰ τῶν τῆς κεφαλῆς τριχῶν, καὶ ἁπλῶς ἡ τρίχωσις. 851, 49. καὶ κέρας ἡ τοπικὴ ἐξοχὴ, ὡς δῆλον ἐκ τοῦ, ὑψικέρατα πέτραν· καὶ κέρατα τὰ τῶν παρατάξεων ἔσχατα, καὶ κέρατα ποταμῶν αἱ καμπαὶ ἢ κλῶνες, καὶ κέρας συμποτικόν τι σκεῦος, ὅθεν καὶ ὁ κρατὴρ λέγεται. 309, 28. 917, 53.

κέρας Ἀμαλθείας, ποτήριον ποιὸν ἀπὸ τοῦ κατὰ τὴν μυθευομένην Ἀμάλθειαν αἶγα. 917, 58.

κέρας ἁπαλὸν μεταφορικῶς τὸ ἀνδρεῖον αἰδοῖον. 851, 53.

κέρας βοὸς, παρ' Ὁμήρῳ κεράτινον συρίγγιον προτιθέμενον τοῦ ἀγκίστρου πρὸς τὸ μὴ ἀποτράγεσθαι τὴν ὁρμιὰν ὑπὸ τῶν ἰχθύων· ἢ κέρας βοὸς τὸ ἐκ βοείων τριχῶν πλέγμα, τουτέστιν αὐτὴ ἡ ὁρμιά. 1340, 32. 1721, 1.

κεραὸς ἔλαφος ὁ τέλειος καὶ μέγας. 376, 22. 1015, 53. 1051, 59.

κεράσαι τὸ μῖξαι οἶνον ὕδατι, ὅτι παρὰ τὸ κέρας, ὃ ἦν σκεῦος συμποτικὸν, λέγεται. 917, 56. ζήτει τὸ κέρας· καὶ ὅτι καὶ κεράσασθαι λέγεται παρ' Ὁμήρῳ κατὰ φωνὴν παθητικήν. 1473, 54.

κερασβόλα ὄσπρια τὰ κατὰ κεράτων βληθέντα, ἤγουν κέρασι βοὸς ἐντυχόντα ἐν τῷ σπείρεσθαι. 1154, 16. 1405, 18. 1943, 3.

Κερασηνὴ χώρα ὅτι Καρησηνὴ ὀρθότερον λέγεται ἀπὸ τοῦ παραῤῥέοντος Καρήσου ποταμοῦ. 890, 6. ζήτει τὸ Κάρησος.

Κερασοῦς πόλις ὅτι παρὰ τὸ κε-

κευθμὸς κευθμοῦ, ταὐτὸ ὅπερ κευθμὼν κευθμῶνος. 918, 44.

κεφαλαὶ πολλαὶ ἐν ἑνὶ σώματι, ὅτι οἱ φίλαρχοι καὶ ἐν σκέμμασι πολύβουλοι καὶ ποικίλοι ἐν μηχαναῖς πολυκέφαλοι γεγονέναι ἐμυθεύθησαν, καὶ ὅτι καὶ οἱ μεθύοντες πολυκέφαλοι ἑαυτοῖς δοκοῦσιν εἶναι καὶ πολυόφθαλμοι. 1504, 58—64.

Κεφαλαὶ, δῆμός τις τῆς Ἀττικῆς. 309, 10.

κεφάλαια συμβουλευτικὰ, τὸ καλὸν, τὸ δυνατὸν, τὸ συμφέρον καὶ τὸ ἀναγκαῖον, ὧν τὸ καλὸν πρὸς δόξαν μόνην ἀφορᾷ. 1141, 49.

κεφαλὰς ἴσας ἔχειν ἐν μάχῃ, φράσις Ὁμηρικὴ ἀντὶ τοῦ ἰσοψύχως μάχεσθαι, κατὰ ἀλληγορίαν ῥητορικὴν ἐκ μεταφορᾶς τῶν ἰσομεγεθῶν ἀνθρώπων. 831,51. 832, 1. 23.

κεφαλὴ ὅτι καὶ κρανίον καὶ κάρα καὶ κρὰς κρατὸς καὶ κράας κράατος καὶ κάρηαρ καρήατος καὶ κόρηνον καὶ κάρη καὶ κόρη κατὰ πολυωνυμίαν λέγεται. 700, 53—701, 2.

κεφαλὴ ὅτι εἰς τύπον τοῦ οὐρανίου σφαιρώματος ἐπλάσθη κατὰ τοὺς Πλατωνικοὺς, καὶ ὅτι ἐξ Ὁμήρου ὥρμηται ἡ τοιαύτη δόξα. 81, 27. 82, 4. καὶ ὅτι ἱερόν τι ἐνομίζετο ἡ κεφαλή. 757, 47. καὶ ὅτι εἰς ὅρκον ποτὲ παραλαμβάνεται ἡ κεφαλὴ μετὰ καὶ τινῶν ἐπιθέτων, οἷον τὸ ἱερὰ ἢ τιμία ἢ θεία ἢ φίλη. 1005, 1. καὶ ὅτι ἀπὸ τοῦ τιμιωτάτου μέρους, τῆς κεφαλῆς, ὅλος ὁ ἄνθρωπος κεφαλὴ λέγεται, οἷον ἐν τῷ, Τεῦκρε φίλη κεφαλή, Ἰλ. θ', 281. καὶ κεφαλὴ ἀντὶ τοῦ ψυχὴ ἐν τῷ, κεφαλὰς Ἄϊδι προϊάψειν, παρ' Ὁμήρῳ. 830, 4. 1420, 3. 1421, 42. καὶ ὅτι καὶ κεφαλὴ ἀγγείου τροπικῶς λέγεται. 1475, 62.

κεφαλὴ, ὅτι ἀκάλυπτοι τὰς κεφαλὰς περιῄεσαν οἱ παλαιοί. 1399, 2. καὶ ὅτι τὸ τὴν κεφαλὴν καλύψαι τῇ ἐσθῆτι, κατὰ κεφαλῆς ἐρύσαι φᾶρος, λέγεται παρ' Ὁμήρῳ Ὀδ. θ', 85. τὸ δὲ ἐκκαλύψασθαι, ἀπὸ κεφαλῆς ἑλεῖν. 1586, 59.

Κεφαλλῆνες, ὅτι οὕτως ἐκαλοῦντο οὐ μόνον οἱ τὴν Κεφαλληνίαν οἰκοῦντες, ἀλλὰ καὶ οἱ ἄλλας τινὰς νήσους. 306, 40.

Κεφαλληνία νῆσος ὅτι ἀπὸ Κεφάλου ἥρωός τινος ἐκλήθη, καὶ ὅτι καὶ αὐτὴ καὶ τὸ ἐθνικὸν ὁ Κεφαλλὴν ἐν δυσὶ λ γράφονται. 707, 3. 41. 1396, 6. 11.

κεφαλίδες αἱ ἄκραι ἐξοχαὶ τῶν πύργων. 903, 6.

Κέφαλος ἥρως ὅτι πρόγονος τοῦ Ὀδυσσέως ἱστορεῖται, καὶ ὅτι ἀπὸ αὐτοῦ ἡ Κεφαλληνία ὠνομάσθη. 307, 4. 308, 13. 1396, 5. ἀλλαχοῦ δὲ ὅτι Κέφαλος ὁ Δηιονέως συνεστράτευσεν Ἀμφιτρύωνι κατὰ Τηλεβοῶν, καὶ ὅτι τὴν ἰδίαν γυναῖκα Πρόκριν τὴν Ἐρεχθέως ἀκουσίως κατηκόντισε, ζήτει ἐν τῷ Πρόκρις. 1396, 5. 1688, 19.

κεφαλωτὸν, τὸ καὶ πράσον, εἶδος λαχάνου. 1155, 20.

κέχαδε, τρίτον πρόσωπον μέσου παρακειμένου ἀπὸ τοῦ χάζω θέματος, ὡς ἀπὸ τοῦ φράζω τὸ πέφραδε· ἢ ἔχαδε ἀπὸ τοῦ ἔχαδον δευτέρου ἀορίστου τοῦ αὐτοῦ θέματος. 723, 49.

κεχανδὼς μετοχὴ ὅτι οὐ φύσει, ἀλλὰ διὰ μέτρου χρείαν ἔχει τὸ ν· οὐ γὰρ ἀπὸ τοῦ χαίνω, ἀλλ' ἀπὸ τοῦ χάζω. 1487, 4.

κεχαρησέμεν ὅτι ἐκ τοῦ χαρῶ χαρήσω κεκίνηται. 1007, 45.

κεχαρήσομαι, μετ' ὀλίγον μέλλων ἐκ τοῦ χαρῶ μέλλοντος αναδραμόντος εἰς ἐνεστῶτα. 1947, 64.

κεχαρηὼς ὅτι ἐκ τοῦ χαρῶ χαρήσω μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα κεκίνηται. 682, 35. 1211, 26.

Κεχηναῖοι οἱ Ἀθηναῖοι σκωπτικῶς παρ' Ἀριστοφάνει, παρὰ τὸ κεχηνέναι. 1909, 55.

κεχραμμένος, μετοχὴ ἀπὸ τοῦ χραίνω θέματος. 1570, 20.

κεχρημένος ἀντὶ τοῦ χρῄζων γενικῇ, καὶ ὅτι ἀπὸ χρῄζω θέματος κεκίνηται κατ' ἔλλειψιν τοῦ σ. 1384, 30.

κεχρώσμεθα ἀντὶ τοῦ κεχρωτίσμεθα, ὅ ἐστιν ἱκετεύθημεν, ἀπὸ τοῦ χράζειν, ὅ ἐστιν ἐν χρῷ ἅπτεσθαι. 467, 25.

κέω ὅτι πρωτότυπόν ἐστι τοῦ διὰ διφθόγγου γραφομένου καίω, καὶ τοῦ κεάζω, ὃ δηλοῖ τὸ σχίζω, καὶ τοῦ κεῖμαι. 1766, 22.

Κέως, νῆσός τις ἐγγίζουσα τῇ Ἑλένῃ νησίδι οὕτω καλουμένῃ· καὶ ὅτι καὶ ἡ Κῶς Κέως εὕρηται λεγομένη. 318, 41. 319, 2.

κη λήγοντα θηλυκὰ ὑπερδισύλλαβα, τῷ ῑ παραλήγοντα, ὅτι βαρύνεται πλὴν τοῦ ἀϊκή. 1039, 14.

Κηδαλίων, Νάξιος χαλκεὺς, ὅτι Ἡφαίστου διδάσκαλος ἱστορεῖται. 987, 8.

κήδεα αἱ βλάβαι, καὶ κήδεα λυγρὰ ἐπιθετικῶς τὸ αὐτὸ πρὸς διαστολὴν ἑτέρου κήδους ὁμωνύμου. 166, 39. 533, 41.

κήδειν τὸ βλάπτειν κατ' ἀντίφρασιν τοῦ κήδεσθαι, ὅ ἐστιν ἐπιμελεῖσθαι, καὶ κήδεα αἱ βλάβαι. 166, 39. 564, 20. καὶ ὅτι κήδειν μὲν ἀντὶ τοῦ βλάπτειν αἰτιατικῇ συντάσσεται, κήδεσθαι δὲ ἀντὶ τοῦ φροντίζειν γενικῇ. 778, 33. 856, 2.

κήδειοι οἱ κηδεσταὶ, ὅ ἐστι συγγενεῖς, ὧν κήδεταί τις. 1185, 24. 1697, 27.

κηδεμὼν ὁ ἐπιμελητὴς, ὅτι παρὰ τὸν κηδέσω μέλλοντα λέγεται. 624, 48. 1323, 18. ἀλλαχοῦ δὲ ὅτι κηδεμόνες οἱ τῆς κηδείας φροντισταί. 1293, 43.

κηδεὸς νεκρὸς ὁ κεκηδευμένος καὶ φροντίδος ἠξιωμένος, ὅτι παρὰ τὸ κηδείω λέγεται ἀποβολῇ τοῦ υ, καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως ἑρμηνεία διεξοδική. 717, 3. 779, 50. 1293, 41. 48.

κήδεσθαι ἀντὶ τοῦ φροντίζειν, ὅτι οὐδέποτε ἐνεργητικῶς λέγεται. 562, 31.

κηδεσταὶ οἱ συνοικειούμενοι ἀλλήλοις κατ' ἐπιγαμίαν, ὅτι παρὰ τὸν κηδέσω μέλλοντα παρῆκται ἡ λέξις. 573, 1. 624, 48. 779, 53. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κήδεσθαι λέγεται. 1611, 31.

κηδεύω τὸ θάπτω καὶ τὸ ἐπιγαμίαν ποιοῦμαι, ὅτι παρὰ τὸ κηδέω κηδῶ λέγεται ἐπενθέσει τοῦ υ. 717, 3. 779, 52. 1356, 42.

κήδιστος ὁ φίλτατος καὶ οὗ μάλιστα κήδεταί τις, κεδνότατος

δὲ ὁ φροντιστικώτατος καὶ συνετώτατος. 1611, 31. 1655, 61.

κῆδος ἡ λύπη καὶ ἡ βλάβη καὶ ἡ φροντὶς καὶ ἡ κηδεστικὴ οἰκειότης· 856, 3. 942, 34. 1925, 59.

κηδῶ ἀντὶ τοῦ φροντίζω, ὅτι ὁ μέλλων κηδήσω καὶ κηδέσω, καὶ ὅτι χρήσιμόν ἐστι τὸ ῥῆμα. 717, 2. 779, 55.

Κήιος ὁ ἀπὸ Κέω τῆς νήσου, ὅτι ἀπὸ τοῦ Κεῖος γίνεται διαλύσει καὶ ἐκτάσει. 318, 41.

κηκάζειν τὸ ὀνειδίζειν ἢ καταγελᾶν, παρὰ τὸ κὴξ κηκὸς, ὅ ἐστιν ὄρνεόν τι θαλάσσιον, ὅθεν ἐπικήκαστον τὸ ἐπονείδιστον καὶ καταγέλαστον. 1402, 53. 1786, 22.

κηκίειν τὸ ἀναπηδᾶν, παρὰ τὸ κίειν διπλασιασμῷ καὶ ἐκτάσει. 680, 20.

κηκὶς τὸ κοινῶς κηκίδιον, τὸ εἰς τὸ γραφικὸν μέλαν συντελοῦν, καὶ κηκὶς ὁμωνύμως παρὰ τὸ κηκίειν. 680, 25. 955, 64.

κῆλα τὰ βέλη, παρὰ τὸ κῆλον, ὃ δηλοῖ τὸ ξύλον. 1291, 61.

κήλεον πῦρ τὸ καυστικὸν, ὅτι ἐκ τοῦ κήλειον γίνεται ἡ λέξις ἀποβολῇ τοῦ ι, ὡς τὸ τέλεον ἐκ τοῦ τέλειον. 709, 33. 710, 37. 1605, 4.

κηλευμένη, θελγομένη, χαίρουσα. 1197, 39.

κήλη ὅτι παρὰ τὸ κηλεῖν δοκεῖ λέγεσθαι ἀντιφραστικῶς. 1689, 44.

Κηληδόνες παρὰ Πινδάρῳ (Fragm. 25.) ἐπιθετικῶς αἱ Σειρῆνες, παρὰ τὸ κηλεῖν, ἢ ᾠδικά τινα δαιμόνια προσηγορικῶς 1709, 57. ἀλλαχοῦ δὲ ὅτι κηληδόνες τὰ θέλγητρα, παρὰ τὸ κηλεῖν, ὅ ἐστι θέλγειν. 1689, 37.

κηληθμὸς ἡ ἐπιτεταμένη εὐφροσύνη. 1689, 33.

κῆλον τὸ βέλος, κυρίως δὲ ὁ τοῦ βέλους ἄτρακτος, παρὰ τὸ κάλον, ὃ δηλοῖ τὸ ξύλον. 864, 13.

κηλῶ ῥῆμα ὅτι ἐκ τοῦ κλῶ γίνεται πλεονασμῷ τοῦ η. 1660, 18.

κήλων ὁ ὀχευτὴς ὄνος καὶ μεταφορικῶς ὁ ὀχευτὴς ἄνθρωπος. 1597, 28. καὶ ὅτι παρὰ τὸ κηλεῖν δοκεῖ λέγεσθαι. 1689, 43.

Κήλωσσα, ὄρος τι ἐν Πελοποννήσῳ. 291, 21.

κηλωστὰ τὰ πορνεῖα, παρὰ τὸ κηλόω κηλώσω, ὃ διαφέρει τοῦ κηλῶ κηλήσω. 70, 27.

κημὸς, σιδηροῦν τι σκεῦος περιτιθέμενον τῷ στόματι τῶν ζῴων· καὶ κημὸς ὁμωνύμως λινοῦν τι περίβλημα, ὃ περιτίθενται οἱ ἀρτοποιοὶ περὶ τὸ στόμα καὶ τὰς ῥῖνας. 1960, 4.

κὴξ, ὄρνεόν τι θαλάσσιον χελιδόνι ὅμοιον, ἢ λάρος ἢ αἴθυια, καὶ κλίνεται κηκός. 1786, 20.

κήπιον ταὐτὸ ὅπερ κῆπος, ὅ ἐστι διάθεσις ποιὰ τῶν ἐν τῇ κεφαλῇ τριχῶν. 907, 40.

κῆποι Ἀδώνιδος, λέγονται φυτάριά τινα ταχὺ ἀναθάλλοντα καὶ ταχὺ ξηραινόμενα, διὰ τὸ καὶ τὸν Ἄδωνιν βραχύβιον γενέσθαι οὕτω λεγόμενα. 1701, 46.

κηποκόμας ὅτι παρὰ τὸ κῆπος, ὃ πολλά τινα ὁμωνύμως σημαίνει, λέγεται. 907, 41.

κῆπος, ὁμωνύμως πολλά τινα σημαίνει, καὶ ἔκθεσις τῶν σημαινομένων τῆς λέξεως. 907, 39.

κῆπος, κουρὰ ποιὰ φορτική. 1292, 62.

κῆπος ὅτι ἐκ τοῦ κάπτω, ὃ δηλοῖ τὸ καταπνέω, λέγεται διὰ τὸ ἀνέμοις καταπνεῖσθαι δεῖν τοὺς κήπους. 595, 21. 1546, 40. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κάπος, ὃ δηλοῖ τὸ πνεῦμα. 1193, 18.

κῆπος τὸ ἐπείσιον ὁμωνύμως, ὅθεν καὶ μανιόκηπος γυνὴ ἡ περὶ μίξεις μεμηνυῖα. 536, 23. 1572, 15.

κῆπος, ὅτι οὕτως προσηγορεύετο ἡ Πανορμῖτις, χώρα τῆς Σικελίας, διὰ τὸ πλήθειν ἡμέρων δένδρων. 1516, 19.

κὴρ κηρὸς, ἐν ἴσῳ τῷ ψυχὴ πολλαχοῦ παρ' Ὁμήρῳ, κὴρ δὲ ὁ θάνατος. 611, 8.

κὴρ εἴδεται, ἀντὶ τοῦ θανάτῳ εἰκάζεται, Ἰλ. α', 228. 90, 23.

κηραμύντης ἐν ἴσῳ τῷ ἀλεξίκακος, ὅτι ἐκ τοῦ, Κῆρας ἀμύνειν, Ὁμηρικοῦ ῥητοῦ σύγκειται ἡ λέξις. 439, 40. 1490, 12.

Κῆρες θανάτου παρ' Ὁμήρῳ, ὅτι πρὸς φράσεως ἐντέλειαν πρόσκειται τὸ θανάτου, ἢ πρὸς διαστολήν. 847, 49.

κηρεσσιφόρητος ὅτι διὰ τοῦ, οὓν Κῆρες φέρουσιν, ἑρμηνεύεται παρ' Ὁμήρῳ, καὶ ὅτι ἐκ τοῦ φορητὸς ὀνόματος συστοίχου τῷ φέρω ῥήματι σύγκειται ἡ λέξις. 230, 25. 727, 45. 804, 48.

κῆρι, δοτικῆς πτώσεως, ὅτι προπερισπᾶται διὰ τὸ ἐκ κράσεως παθεῖν τὴν δισυλλαβίαν. 1146, 51.

κηρίνη ὀπώρα, κατὰ συμπλοκὴν φράσεως λέγεται τὸ μέλι παρ' Ἀλκμᾶνι. 1735, 50.

Κήρινθος, πόλις Εὐβοϊκὴ, ὅτι καὶ Ἑλλοπία ἐκλήθη ποτὲ, καὶ ἄλλα τινὰ περὶ τῆς τοποθεσίας αὐτῆς. 280, 29.

κηρόθι μᾶλλον, ἐν βάθει ψυχῆς παρ' Ὁμήρῳ. 750, 54.

Κῆρος, ποταμός τις Ἀρμενίας οὕτω καλούμενος, ὅτι βαρύνεται πρὸς διαστολὴν τοῦ κηρός. 1710, 25.

κηρὸς διττῶς ἐτυμολογούμενον, καὶ ὅτι ὀξύνεται κανονικῶς καὶ πρὸς διαστολὴν τοῦ Κῆρος· καὶ ὅτι μελιηδὴς λέγεται ἐπιθετικῶς παρ' Ὁμήρῳ ὡς ποτὲ τοιοῦτος. 1710, 22.

κηρύκειον ἡ τῶν κηρύκων ῥάβδος. 184, 45.

κήρυκες, δημόσιοι ὑπηρέται, οἳ καὶ ταῖς θυσίαις ὑπούργουν. 1891, 37. καὶ διὰ τί Διὸς καὶ ἀνθρώπων ἄγγελοι καὶ Διὶ φίλοι λέγονται παρ' Ὁμήρῳ, ἑρμηνεία διεξοδική. 112, 29. 726, 62.

κήρυκος, εὐθεῖα ἰσοσυλλάβως κλινομένη ἀπὸ τῆς κήρυκος γενικῆς ἀναδραμούσης εἰς εὐθεῖαν. 100, 16.

κηρύκων τοῦ ἐπὶ Τροίαν Ἑλληνικοῦ στρατεύματος ὀνόματα καὶ ἀριθμός. 180, 22.

κήρυλλοι οἱ ἄῤῥενες τῶν ἀλκυόνων, ὅτι γηράσαντες ὑπὸ τῶν θηλειῶν βαστάζονται. 776, 39. καὶ ὅτι τὸ κήρυλλος διὰ τοῦ η ἔχει τὴν κι συλλαβὴν, καὶ ὅτι καὶ τὸν κουρέα αἰνίττεται ἡ λέξις παρ' Ἀριστοφάνει. 125, 43. [Cf. tamen Eust. 776, 40.]

κῆρυξ ὅτι παρὰ τὸ γηρύειν, ὅ ἐστι φωνεῖν, λέγεται, καὶ περὶ τῆς τῶν κηρύκων ἀσυλίας καὶ τῶν ἄλλων πρεσβείων. 110, 7. 14-28. 686, 21.

κῆρυξ, βασιλικὸς ὑπηρέτης καὶ θαλάσσιόν τι ὄστρεον ὁμωνύμως,

καὶ περὶ τοῦ παραληκτικοῦ χρόνου τῶν πλαγίων τῆς λέξεως. 1108, 42. καὶ ὅτι καὶ τοὺς μαγείρους καὶ τοὺς οἰνοχόους οὕτως ἐνόμισάν τινες λέγεσθαι. 1402, 38.

κῆρυξ ὁμωνύμως θαλάσσιόν τι ζῷον κογχυλοειδές, καὶ Στρατονίκου τοῦ κιθαρῳδοῦ αἴνιγμα ἀπὸ τῶν τοιούτων κηρύκων. 1108, 24. 1324, 23.

κηρύσσειν τινάς, ἀντὶ τοῦ συγκαλεῖν, αἰτιατικῇ παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον κηρύσσειν τισὶ λέγεται. 171, 21. 251, 7.

κήτειοι ἀντὶ τοῦ μεγάλοι, παρὰ τὸ κῆτος ἐν τῷ, κήτειοι κτείνοντο, Ὀδ. λ', 521. ἢ κήτειοι οἱ μισθοφόροι ὡς ἄπληστοι κατὰ τὰ κήτη· ἢ Κήτειοι, ἔθνος Μυσίας, οἱ ὕστερον Ἐλεᾶται, ἀπὸ Κητείου ποταμοῦ· ἕτεροι δὲ Κητείους τοὺς Περγαμηνοὺς ἐνόησαν. 1697, 19.

Κήτειος, ποταμὸς χειμαῤῥώδης ἐν τῇ Ἐλεάτιδι χώρᾳ, ὃς καὶ Κητώεις ἐλέγετο, ῥέων εἰς τὸν Κάϊκον, οὗ περὶ τὴν Ἴδην αἱ πηγαί. 1697, 25. 38.

κῆτος λέξις ὅτι μέγεθος ὑπαγορεύει, οἷον ἐν τῷ μεγακήτης καὶ ἐν τῷ κητώεσσα. 709, 38.

Κητώεις, ὄνομα ποταμοῦ τινός, ὃς καὶ Κήτειος λέγεται. 1697, 25. 38. ζήτει τὸ Κήτειος.

κητώεσσα ἡ μεγάλη κατὰ τὰ κήτη, περὶ πόλεως λεγόμενον, ἢ κητώεσσα ἡ κητοφόρος κατὰ θαλάσσης λεγόμενον, ὅτι παρὰ τὸ κῆτος λέγεται. 294, 8. 709, 39. 1478, 34.

Κῆϋξ καὶ Ἀλκυὼν εἰς ὄρνιθας τὰς καλουμένας ἀλκυόνας μεταβληθέντες, ἀφ' ὧν αἱ ἀλκυονίδες ἡμέραι, διήγησις διεξοδική. 776, 19.

Κηφισσὶς λίμνη, λίμνη τις Βοιωτική, ἣ καὶ Ὑλικὴ λέγεται παρωνύμως Ὕλῃ, πόλει τινὶ Βοιωτικῇ καὶ αὐτῇ. 267, 22. 275, 20.

Κηφισσόδωρος, ὄνομα πλάνου τινός. 1382, 40.

Κηφισσός, ποταμός τις Φωκικὸς παρ' Ὁμήρῳ, καὶ ὅτι πολλοί τινες ποταμοὶ τούτῳ τῷ ὀνόματι ἐχρήσαντο. 275, 17

κηώεις θάλαμος ὁ εὐώδης καὶ τεθυμιαμένος, καὶ κηώεις ναὸς ἢ βωμὸς ὁμοίως, ὅτι παρὰ τὸ κῆαι, ὅ ἐστι καῦσαι, λέγεται, καὶ ὅτι διὰ τοῦ ω μεγάλου ἔχει τὴν παραλήγουσαν. 427, 7. 11. 642, 50.

κήωμεν, ὑποτακτικὸν τοῦ κῆαι ἀορίστου πρώτου. 684, 5.

κίβδηλον νόμισμα ὅτι ἀπὸ τοῦ τῶν Χίων ὀνόματος λέγεται, οἱονεὶ χίβδηλον, ἑρμηνεία διεξοδική. 1462, 38.

κιβώριον, εἶδος φυτοῦ, ὃ καὶ κύαμος λέγεται, οὗ αἱ ῥίζαι κολοκάσια καλοῦνται. 948, 35. 999, 35.

κιβωτὸς ὅτι καὶ χηλὸς καὶ λάρναξ καὶ ζύγαστρον καὶ σωρὸς καὶ ἀντίπηξ κατὰ πολυωνυμίαν λέγεται. 1449, 2. 1604, 12.

κίδαρις, ὅτι εἶδός τι πίλου κατὰ γλῶσσαν οὕτω λέγεται. 381, 13.

κιδνῶ ὅτι ἐκ τοῦ κεδῶ γέγονε πλεονασμῷ τοῦ ν καὶ τροπῇ τοῦ ε εἰς ι· καὶ κίδνασθαι λέγεται ποτάμιον ὕδωρ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ πλατύνεσθαι ἢ μηκύνεσθαι. 140, 25. 360, 6. 691, 2. 6. 1551, 3.

κίθαρις ἡ κιθάρα κατὰ τὴν Αἰολικὴν παραγωγήν, καὶ ἔτι παρὰ τὸ κεύθειν ἔρωτας λέγεται, καὶ ὅτι προπαροξύνεται· καὶ κίθαρις ἡ κιθαρῳδικὴ ἐπιστήμη ὁμωνύμως τῷ ὀργάνῳ. 381, 4. 957, 48.

κίθαρος ἰχθὺς ὅτι Ἀπόλλωνι ἀφιέρωται διὰ τὴν πρὸς τὴν κιθάραν ὁμοιότητα τοῦ ὀνόματος. 87, 33.

κιθὼν ὁ χιτὼν Ἰωνικῶς κατὰ ἀντιστοιχίαν. 468, 32. 746, 15.

κικκαβάζειν, μίμημα φωνῆς ὀρνίθων τινῶν, ὅθεν τὸ κικκαβαῦ ἐπίῤῥημα παρ' Ἀριστοφάνει. 229, 29.

κικκαβαῦ ἐπίῤῥημα, ζήτει τὸ κικκαβάζειν.

κικλήσκειν τὸ καλεῖν, καὶ ἀντὶ τοῦ ἱκετικῶς καλεῖν ἐνίοτε. 732, 57. 775, 9.

Κίκονες, ἔθνος Θρᾳκικὸν περί που τὴν Μαρώνειαν· ὅτι οὐ κανονικῶς, ἀλλὰ πρὸς μέτρον χρείαν διὰ τοῦ ο μικροῦ γράφεται ἡ παραλήγουσα τῆς λέξεως παρ' Ὁμήρῳ, καὶ ὅτι βαρύνεται ἡ λέξις. 359, 11. 1096, 5. 1615, 11.

κικρῶ ἐν ἴσῳ τῷ κιρνῶ, ὅτι ἐκ τοῦ κερῶ γέγονε κατὰ συγκοπὴν καὶ ἀναδιπλασιασμόν. 234, 39.

κίκυς ἡ τοῦ κίειν, ὅ ἐστι πορεύεσθαι, δύναμις. 1691, 52.

Κίλικες ἑτερωνύμως παρ' Ὁμήρῳ οἱ τὸ Θήβης πεδίον οἰκοῦντες, ὅτι ἀπὸ Κίλλου ἡνιόχου Πέλοπος παρωνομάσθησαν. 33, 39. καὶ ὅτι οἱ κατὰ Παμφυλίαν Κίλικες ἀπὸ τούτων ᾠκίσθησαν. 119, 19.

κιλικίζειν τὸ πονηρεύεσθαι, ὅτι ἀπὸ τοῦ τῶν Κιλίκων ἔθνους λέγεται. 741, 21.

Κιλίκιοι ἄρτοι οἱ μεγάλοι μέν, μὴ καθαροὶ δέ, ἀλλὰ φαιοὶ τὴν χρόαν. 280, 12. 1817, 58.

Κίλλα, πόλις Τρωική, ἀπὸ Κίλλου ἡνιόχου Πέλοπος, καὶ ἄλλη Ἰουδαίας. 33, 31. 42.

Κίλλαιος ποταμὸς περὶ Κίλλαν πόλιν Τρωικήν, καὶ Κίλλαιον ὄρος περί που τὰ Γάργαρα τῆς Τρῳάδος. 33, 38. 34, 3.

Κίλλαντες οἱ Κίλλαν, πόλιν Τριωκήν, οἰκοῦντες. 33, 36.

Κίλλας, ἡνίοχος Πέλοπος, ἀφ' οὗ Κίλλα πόλις, οὗ καὶ μνῆμα ἦν ἐν τῷ ἱερῷ τοῦ Κιλλαίου Ἀπόλλωνος. 33, 32 — 44.

Κιλλικύριοι, ὄνομα προσηγορικὸν δούλων τινῶν παρὰ Κρησίν. 295, 31.

Κίλλος, ποταμὸς περὶ Κίλλαν, πόλιν Τρωικήν, ἐξ Ἴδης τοῦ ὄρους καταφερόμενος. 34, 2.

κιλλός, ὄνομα ποιοῦ χρώματος. 1057, 56.

κίμβιξ ὁ ῥυπαρὸς καὶ φειδωλός, καὶ λιμοκίμβιξ καὶ κυμινοκίμβιξ συνθέτως ἐπὶ τοῦ αὐτοῦ. 1828, 10.

Κιμμέριοι ἔθνος ὅτι τοῖς πρὸς τῷ Ἅιδῃ ἑσπερίοις τόποις παροικεῖν ὑφ' Ὁμήρου πλάττονται, τῇ δὲ ἀληθείᾳ ἔθνος εἰσὶ Σκυθικὸν ἑξάμηνον ἔχον νύκτα· καὶ ἔκφρασις Ὁμηρικὴ τῆς τοῦ κατ' αὐτοὺς περιέχοντος· οἱ δὲ ὅτι Εὐρωπαῖον τὸ ἔθνος ὑπογυίους ἔχον οἰκήσεις, ὅθεν καὶ παροικεῖν τῷ Ἅιδῃ μεμίθευται· οἱ δὲ περὶ τὸν Ἄορνον καλούμενον κόλπον οἰκεῖν τοὺς Κιμμερίους ἐνόμισαν· καὶ ὅτι παρὰ τὸ περὶ ἔρια ἢ ἔραν κεῖσθαι δοκοῦσιν οὕτω

λέγεσθαι· καὶ ὅτι τὰ πολλὰ τῆς Ἀσίας κατέδραμον οἱ Κιμμέριοι ἐπὶ Ἄρδυος τοῦ Γύγου, καὶ ἄλλα τινὰ τῶν ἱστορουμένων καὶ μυθευομένων περὶ Κιμμερίων. 1379, 29. 1667, 41. 51. 1670, 49-1671, 44.

Κιμμερίων νύκτες ὅτι μέγισται καὶ πολυχρόνιοι, ζήτει ἐν τῷ Κιμμέριοι. 1649, 35.

κιναιδία καὶ κιναίδισμα καὶ κιναιδολόγος ὅτι παρὰ τὴν αἰδῶ τὸ σωματικὸν μόριον λέγονται. 1784, 54.

κινάμυα διὰ τοῦ ῑ, ἡ συνεχῶς κινοῦσα τοὺς μύας τῶν ὀφθαλμῶν. 1243, 25.

κινάρα, ἡ καὶ κάκτος, φυτόν τι ἀκανθῶδες ἐδώδιμον. 1822, 23.

κινδαλισμός, παιδιά τις διὰ πασσάλων γινομένη, κίνδαλος γὰρ ὁ πάσσαλος κατὰ γλῶσσαν, καὶ κινδαλοπλίτης ὁ πασσαλίσκος. 540, 23.

κινεῖν ἀφ' ἱερᾶς, παροιμία ἐπὶ τῶν ἐν ἀπογνώσει δεομένων ἐσχάτης βοηθείας, ἀπὸ τῆς ἐν ταῖς πεττείαις ἱερᾶς καλουμένης γραμμῆς. 633, 59. ζήτει ἐν τῷ, ἱερὰ γραμμή.

κινῆσαι θύραν, τὸ διασαλεῦσαι ἐπὶ κλήσει τῶν ἔνδον. 1931, 57.

κίνησις θείων σωμάτων ὅτι τὰ ὑποκείμενα σώματα διασαλεύει κατὰ τερατολογίαν Ὁμηρικήν. 145, 23.

κινος ληγόντων ὀξυτόνων τῷ ᾱ προπαραληγόντων ἀναλογία, οἷον φυζακινός, λεπτακινός. 1643, 4.

κίνυγμα τὸ ἀέριον εἴδωλον, ὅτι παρὰ τὸ κινύσσω λέγεται. 472, 44. 805, 28.

κινύμενος ἀντὶ τοῦ κινούμενος, ἀπὸ τοῦ κινῶ κινύω κίνυμι. 805, 22. 27.

κίνυντο, ἤγουν ἐκινοῦντο, ἀπὸ τοῦ κινῶ κινύω κίνυμι. 472, 43.

Κινύρας, Κύπρου βασιλεύς, ἐπὶ τῶν Τρωικῶν παραλογισάμενος τοὺς Ἀτρείδας, καὶ περὶ τῆς ἀπωλείας αὐτοῦ καὶ τῶν θυγατέρων ἱστορία διεξοδική. 827, 33.

κινύρεσθαι τὸ ὑποκλαίειν. 116, 37. κυρίως δὲ κινύρεσθαι τὸ κινύρᾳ χρώμενον μέλπειν ἐπὶ τοῖς νεκροῖς ᾠδάς. 1091, 61.

κινυρὸς καὶ κινυρὰ ἀντὶ τοῦ οἰκτρόφωνος. 1091, 45.

κινύσσω παρὰ τὸ κινύω, ὃ ἐκ τοῦ κινῶ. 472, 44.

κινῶ ὅτι παρὰ τὸ κίω γίνεται προσλήψει τοῦ ν̄. 1507, 53.

κιοίτην, ἤγουν ἀπέλθοιεν, ἀπὸ τοῦ κίω. 1777, 29.

κίονες Ἄτλαντος παρ' Ὁμήρῳ, ὅτι Πλάτων μὲν κίονα τὸν κοσμικὸν ἄξονα καλεῖ, Ὅμηρος δὲ κίονας πληθυντικῶς διὰ τὸ εἰς δύο πόλους διαιρεῖσθαι τὸν ἄξονα· καὶ ἱστορία καὶ ἀλληγορία περὶ τῶν Ἀτλαντικῶν κιόνων. 1389, 61. 1390, 13. 16.

Κιρεὺς καὶ Νηλεύς, ποταμοὶ ἐν Εὐβοίᾳ, ὧν τοῦ μὲν τὸ ὕδωρ λευκά, τοῦ δὲ μέλανα τὰ πίνοντα θρέμματα ποιεῖ. 279, 5.

κίρις, εἶδος ὀρνέου, ὅτι ὡς τὸ σίρις καὶ τὸ ξίρις γράφεται ἡ λέξις. 391, 36.

Κιρκαῖον πεδίον ἐν Ἰταλίᾳ ὅτι παρωνύμως ἀπὸ τῆς Κίρκης λέγεται, οἱ δὲ καὶ πεδίον τι ἀνατολικὸν οὕτω καλεῖσθαι λέγουσι. 1651, 41.

Κίρκη, κύριον καὶ εἶδος ὄρνιθος ἄλλο τι παρὰ τὸν κίρκον. 1262, 51. 1613, 63.

Κίρκη ὅτι εἰς τὴν κατὰ τὰ γευστὰ ἡδονὴν καὶ ἁπλῶς εἰς τρυφὴν καὶ ἀλογίαν ἀλληγορεῖται. 1655, 12. 41. 55.

Κίρκη ὅτι εἰς ἡδονὴν ἀλληγορεῖται, καὶ ἀλληγορία διεξοδικὴ τῶν ἱστορουμένων Ὁμήρῳ περὶ τῆς διὰ τοῦ μώλυος πρὸς αὐτὴν ἐντεύξεως τοῦ Ὀδυσσέως. 1658, 33.

Κίρκης ξόανον, ὅτι ὑψηλοῦ ὄντος τοῦ Κιρκαίου τὸ ξόανον αὐτῆς ἡλίῳ τῆς νυκτὸς καταλάμπεται. 1705, 34.

κίρκος, εἶδος ἱέρακος, ὅτι παρὰ τὸ κρίζειν, ὅ ἐστι μίμημα τῆς τοῦ ὀρνέου φωνῆς, κατὰ μετάθεσιν λέγεται πρὸς ἀποφυγὴν τῆς πρὸς τὸ κρίκος συνεμπτώσεως. 1126, 46. 1262, 57. 1734, 18.

κιρνᾶν οἶνον ὕδατι, ἀντὶ τοῦ συμμίσγειν. 1751, 35. καὶ ὅτι τὸ κιρνᾶν περὶ πάντων τῶν ὑγρῶν λέγεται. 1402, 48.

κιρνάς, μετοχὴ ἀπὸ τοῦ κίρνημι θέματος, ὅθεν καὶ τὸ κιρνάμενος. 1792, 44.

Κίῤῥα ἐν δυσὶ ρ̄, πόλις Φωκίδος, ἣν Ὅμηρος Κρίσσαν· κατὰ δὲ Στράβωνα ἑτέρα μὲν ἡ Κρίσσα, ἑτέρα δὲ ἡ Κίῤῥα· καὶ ὅτι ἀπὸ τῆς Κίῤῥας καὶ ὁ Κιῤῥαῖος κόλπος ὠνόμασται. 273, 21—34.

Κιῤῥαῖος κόλπος, ζήτει ἐν τῷ Κίῤῥα. 273, 25.

Κιῤῥαίων πρὸς Φωκέας πόλεμος ὅτι διὰ Μεγιστὼ τὴν Πελάγοντος συνέστη ποτέ, ἱστορία. 1244, 45.

κὶς ὁ σκώληξ, ὅτι κιὸς ποιεῖ τὴν γενικήν. 113, 45.

Κισσῆς, ὅτι ἐκ τοῦ Κισσηίς, δηλοῖ Κισσέως θυγατέρα, συνήρηται ἡ λέξις. 840, 33.

κισσητὸς ὁ οἶνος, ὅτι παρὰ τὸν κισσὸν λέγεται. 87, 24. ζήτει τὸ κισσός.

κισσὸς ὅτι Διονύσῳ ἀφιέρωται, ὅθεν καὶ ὁ οἶνος κισσητὸς λέγεται. 87, 24.

κισσύβιον, ποιμενικὸν ποτήριον ἐκ κισσίνου ξύλου, ὅτι Αἰολικῶς ἔτρεψε τὸ ō τοῦ κισσὸς εἰς ῡ ἡ λέξις, καὶ ὅτι μόνωτα ἐγίνετο τὰ κισσίβια, ἑρμηνεία διεξοδική. 1631, 60—1632, 9. 1751, 48. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ χείω, ὃ δηλοῖ τὸ χωρῶ, λέγεται τὸ κισσίβιον τροπῇ τοῦ δασέος εἰς ψιλόν. 1835, 17.

κίστη ἡ ἐδεσματοθήκη παρὰ τοῖς Ἀττικοῖς, καὶ ὅτι παρὰ τὸ ἐγκεῖσθαί τι ἐν αὐτῇ δοκεῖ λέγεσθαι. 1552, 19.

Κίτιον, πόλις Κύπρου, καὶ ὅτι οἱ Κιτιεῖς κατακόρως ἐχρῶντο τῇ τῶν δύο τ̄ προφορᾷ. 813, 48.

κίτρα Ῥωμαϊκῶς τὰ κιτρία, ἃ καὶ ἑσπερικὰ μῆλα ἀπὸ τῶν Ἑσπερίδων λέγονται, τὰ δ' αὐτὰ καὶ χρύσεα διὰ τὴν χρόαν. 1572, 41.

κιχάνειν τὸ καταλαμβάνειν τὸ διωκόμενον, καὶ τὸ ἱκετεύειν ἐν τῷ, δέσποιναν μὲν πρῶτα κιχήσεαι, Ὀδ. η', 53. 199, 12. 1567, 41. καὶ ὅτι παρὰ τὸ κιχαίνω λέγεται, ὡς ἀπὸ τοῦ οἰδαίνω τὸ οἰδάνω. 1015, 63.

κιχάνω ἐν ἴσῳ τῷ ἱκάνω, ὃ δηλοῖ ποτὲ τὸ ἱκετεύω, τὸ χᾱ μακρόν, οἷον ἐν τῷ, ὦ φίλ' ἐπεί σε πρῶτα κιχάνω, Ὀδ. ν', 228. 1740, 2.

καὶ ὅτι κιγχάνω μετὰ τοῦ γ̄ ἀναλογώτερον λέγοιτ᾽ ἄν, ἵνα τὸ κίχω ὑποτακτικὸν τρισὶ γράμμασιν αὐτοῦ λίποιτο, ὡς τὸ μάθω τοῦ μανθάνω καὶ τὸ λάχω τοῦ λαγχάνω. 1525, 17.

κιχῆλαι παρὰ Συρακουσίοις αἱ κίχλαι. 1934, 15.

κιχήμεναι, ἀπαρέμφατον ἀπὸ τοῦ κίχημι ἢ ἀπὸ τοῦ κιχαίνω, ὅθεν τὸ κιχάνω. 1015, 62.

κιχήμενον βέλος, παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ ἐπελθὸν καὶ ἀψάμενον. 537, 8.

κιχῆναι, ἤγουν μεταλαβεῖν, ἀπὸ τοῦ κιχαίνω ἢ τοῦ κίχημι θέματος. 1805, 3.

κιχήτην, τρίτον πρόσωπον δυϊκοῦ ῥηματικοῦ, ὅτι ἐκ τοῦ ἐκιχησάτην συγκέκοπται, τὸ χῖ ἦτα, ἢ κιχείτην ὡς ποιείτην διὰ διφθόγγου. 812, 60.

κίχλα, ὄρνις καὶ ἰχθύς τις ὁμωνύμως. 1934, 23. καὶ ὅτι τῶν κιχλῶν τρία γένη ἱστοροῦνται, ἰλλὰς, τριχὰς καὶ ἰξοφάγος. 947, 8.

κίχλη Ἀττικῶς κατά τινας, κίχλα δὲ οὔ. 1934, 20.

κιχλίζειν, ζήτει ἐν τῷ κιχλισμός.

κιχλισμὸς, ὅτι οὕτως ἐλέγετο ὁ γυναικεῖος γέλως, ὅθεν καὶ ῥῆμα κιχλίζειν, ὅτι παρὰ τὴν κίχλαν τὸ ὀρνίθιον λέγεται. 1880, 60. 1934, 16.

Κίχυρος, πόλις Θεσπρωτικὴ ἡ πρότερον Ἐφύρα. 301, 3. 1448, 33.

κίων ἀγυιεὺς ἱερὸς Ἀπόλλωνος, ζήτει ἐν τῷ ἀγυιά. 166, 21.

κίων, ὅτι βαρύνεται ἡ λέξις πρὸς διαστολὴν τῆς κιὼν μετοχῆς. 32, 10. καὶ ὅτι ποτὲ μὲν ἀρσενικῶς, ποτὲ δὲ θηλυκῶς λέγεται παρ᾽ Ὁμήρῳ. 550, 13. 1811, 28. καὶ ὅτι Ἰωνικῶς καὶ Ἀττικῶς κατὰ θηλυκὸν γένος λέγεται. 1390, 48. 1399, 50. 1923, 57. καὶ περὶ τῶν Ἀτλαντικῶν κιόνων ζήτει ἐν τῷ, κίονες Ἄτλαντος.

κλ ἀρκτικὰ ὠνοματοπεποιημένων λέξεων ὅτι λειότερά εἰσι τῶν κρ, οἷον τὸ κλάζειν τοῦ κράζειν. 39, 45.

κλαγγὴ, ποιὸς ἦχος, ὅτι παρὰ τὸ κλάγγω λέγεται. 39, 44. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ν̄. 371, 34. καὶ ὅτι ἀκύρως ἐπὶ ἀνθρώπων κραυγῆς λέγεταί ποτε. 181, 13. 371, 3. καὶ ὅτι καὶ κλαγγὴ χοίρων ἡ ὀξεῖα βοὴ λέγεται. 1657, 8. 1765, 28.

κλάγξαι λέγεται ὄρνις ὀδυνηθεὶς, οἱονεὶ κλαῦσαι. 900, 5.

κλαδὶ, δοτικὴ ὀξύτονος μεταπεπλασμένη ἀπὸ τῆς κλάδῳ βαρυτόνου. 677, 13. 1400, 18.

κλάζειν ὅτι λειότερόν ἐστι τοῦ κράζειν κατὰ τὴν ἐκφώνησιν. 1106, 15. καὶ ὅτι κυρίως ἐπὶ ἤχου φωνῆς γεράνων, καὶ ἁπλῶς ὀρνίθων λέγεται, καταχρηστικῶς δὲ καὶ ἄνθρωποι καὶ χοῖροι, ἔτι δὲ καὶ τόξα κλάζειν λέγονται. 40, 1. 208, 22. ζήτει τὸ κλαγγή.

Κλαζομένιοι πρέσβεις ἐν Σπάρτῃ χρίσαντές ποτε ἀσβόλῳ τὰς τῶν ἐφόρων καθέδρας, ἱστορία. 1829, 15.

κλαίοισθα ἀντὶ τοῦ κλαίοις κατ᾽ εὐκτικὴν ἔγκλισιν, ὅτι ἐξ ἐπεκτάσεως ἔχει τὴν θᾰ συλλαβήν. 1368, 29.

κλαίω ὅτι παρὰ τὸ κλῶ λέγεται, ὡς ἐκ τοῦ ῥῶ μονοσυλλάβου ῥήματος τὸ ῥαίω. 688, 62. 900, 51. 1508, 26. καὶ ὅτι κλαύσω ποιεῖ τὸν μέλλοντα τροπῇ τοῦ ι̅ εἰς υ̅. 36, 11.

κλαρῶται, ὄνομα προσηγορικὸν δούλων τινῶν ἐν Κρήτῃ, παρὰ τὸ κληρωθῆναι λεγόμενον. 1024, 33.

κλὰς ὅτι ἀπὸ τῆς κλάσας μετοχῆς τοῦ κλῶ ῥήματος κατὰ συγκοπὴν λέγεται. 1654, 15.

κλᾶσθαι λέγεται ἡ καρδία μεταφορικῶς πολλαχοῦ παρ᾽ Ὁμήρῳ. 1508, 22.

κλαυθμυρίζεσθαι, ὅτι ἐκ τοῦ κλαίειν καὶ τοῦ μύρεσθαι σύγκειται ἡ λέξις. 586, 10.

κλαυσάσκω ὅτι ἐκ τοῦ ἔκλαυσα ἀορίστου παρῆκται τῷ τύπῳ τῶν διὰ τοῦ ασκω. 200, 5.

κλαυσιᾶν λέγεται θύρα, ἀντὶ τοῦ ὑποτρίζειν, τροπικῶς ἀπὸ τῶν νεογιλῶν σκυλακίων. 1901, 17.

Κλέαρχος, μαθητής τις Ἀριστοτέλους. 1908, 47.

κλεεννὴ ἀντὶ τοῦ κλεινὴ, ὅτι κατὰ πάθος λέγεται. 615, 46.

κληηδὼν παρὰ τὸ κλέω, ὃ ἐστι φημίζω, ὡς κληδὼν παρὰ τὸ κλήζω. 1840, 25.

κλεῖδες θύννου, μέρος τι τοῦ ἰχθύος ὁμωνύμως. 1108, 21.

κλειδία, ὀρφῶν μέρη ἰχθύων οὕτω καλουμένων μέρη τινά. 1108, 23.

κλείειν, τὸ καὶ κλεΐζειν, ὅ ἐστι δοξάζειν καὶ φημίζειν καὶ τιμᾶν, οἷον ἐν τῷ, ἐγὼ δ᾽ ἄν σε κλείω κατ᾽ ἀπείρονα γαῖαν, Ὀδ. ρ', 418. 449, 10. 1421, 35. 1826, 20. 30.

κλεῖθρη ἡ κατὰ τοὺς χυδαίους σκλῆθρα, ἔστι δὲ εἶδος δένδρου. 1523, 51.

κλεῖθρον, μοχλὸς θύρας. 1358, 59.

κλεινὸς, ὅτι κλεινοὺς προσηγορικῶς τοὺς ἐρωμένους ἐκάλουν οἱ Κρῆτες. 1300, 55.

κλεὶς, ὅτι τῶν νεωτέρων εὕρημα εἰσὶ τὰ κλειδία, οἱ δὲ ἀρχαῖοι δεσμοῖς κατησφάλιζον τάς τε θύρας καὶ τὰς κιβωτούς. 1603, 51. καὶ ὅτι δρεπανοειδεῖς ἐγίνοντο τὸ ἀρχαῖον αἱ κλεῖδες, καὶ δι᾽ ὀπῆς τῆς θύρας ἐνειρόμεναι μετῆγον τὴν ἔνδον σειρὰν ἐπὶ ἀνοίξει τῆς θύρας, διὸ καὶ εὐκαμπέα κλεῖδα λέγει Ὅμηρος Ὀδ. φ', 6. 1897, 41. 56. καὶ κλεὶς ὁμωνύμως τὸ μεσολαβοῦν μέρος μεταξὺ τοῦ αὐχένος καὶ τοῦ στήθους. 715, 47. καὶ ὅτι κλεῖδα θυρῶν λέγει Ὅμηρος Ἰλ. ω', 455. τὸν καὶ ἐπιβλῆτα, καὶ ὀχέα θυρῶν, ἤγουν τὸν μοχλόν. 1429, 7. καὶ ὅτι ἐπὶ μὲν τῆς εὐθείας ὀξύνεται ἡ λέξις, ἐπὶ δὲ τῆς αἰτιατικῆς περισπᾶται. 857, 39.

κλεισίαι, αὔλειοι πυλῶνες, ἤγουν πλατεῖαι θύραι ἀγροτικοῦ οἰκήματος, ὃ κλίσιον καὶ κλείσιον ἢ κλεισίον διὰ διφθόγγου λέγεται· ζήτει ἐν τῷ κλίσιον. 1957, 61.

κλείσιον ἢ κλεισίον, ζήτει ἐν τῷ κλίσιον καὶ ἐν τῷ κλεισίαι. 1957, 60.

Κλεῖτος, υἱὸς Μαντίου τοῦ Μελάμποδος, ὅτι κάλλιστος γέγονεν ἄνθρωπος, καὶ διὰ τοῦτο ὑπὸ τῆς Ἠοῦς ἁρπασθῆναι μυθεύεται. 1780, 49.

κλειτὸς ἐπίθετον ὅτι παρὰ τὸ κλείω, ὅ ἐστι φημίζω, λέγεται, καὶ ὅτι ὀξύνεται, Κλεῖτος δὲ τὸ

κλητὸς ὁ κληθεὶς ποθέν. 1825, 6. καὶ κλητὸς ἀντὶ τοῦ ἐπίλεκτος. 744, 28. 44.

Κλήτωρ, ποταμὸς Ἀρκαδίας περὶ τὸν Λάδωνα, ὅτι ἰχθῦς τινὰς φωνήεντας φέρει. 1720, 38.

κλιβανίκιος ἄρτος ὅτι παρωνύμως ἀπὸ τοῦ κλιβάνου λέγεται. 1088, 1.

κλίβανος ὅτι ἐκ τοῦ κρίβανος λέγεται τροπῇ τοῦ ρ̄ εἰς λ̄. 132, 34. 1511, 13. ζήτει τὸ κρίβανος.

κλιθῆναι ὅτι καὶ χωρὶς τοῦ ν̄ καὶ κλινθῆναι μετὰ τοῦ ν̄ παρ' Ὁμήρῳ λέγεται, καὶ ὅτι ἀναλογώτερόν ἐστι μετὰ τοῦ ν̄ λεγόμενον. 388, 24. 1917, 26.

κλιμακίδες, γυναῖκες τινὲς κολακίδες, ὅτι παρὰ τὸ κλιμάκων χρείαν παρέχεσθαι ταῖς πλουσίαις εἰς ἀνάβασιν καὶ κατάβασιν τῶν ὀχημάτων οὕτω λέγονται. 1669, 34.

κλιμακωτὸν σχῆμα λόγου, καὶ ὑπογραφὴ αὐτοῦ καὶ παραδείγματά τινα διεξοδικῶς. 181, 35.

κλῖμαξ ὅτι παρὰ τὸ κλῶ εἴτουν κλίνω λέγεται, καὶ ὅτι καὶ κολαστήριος ἦν κλῖμαξ καθὰ καὶ τροχὸς, καὶ ἔτι καὶ κλιμάκιον ὑποκοριστικῶς λέγεται. 1546, 50. 1669, 28. καὶ ὅτι παρὰ τὴν κλίμακα, καὶ τὸ ἐκ κλίμακος, παροιμιακῶς λέγεται ἐπὶ τῶν ἐν πόνοις ὄνεσίν τινα λαμβανόντων, ἑρμηνεία διεξοδική. 1324, 56. καὶ ὅτι τύχης ἐστὶ σύμβολον ἡ κλῖμαξ, διὸ καὶ ὁ Πιττακὸς τοῦτο αἰνιττόμενος ἀνετίθει κλίμακας ἐν τοῖς ἱεροῖς. 1669, 38.

κλίματα ὀρῶν, τόποι ἀνακείμενοι, ὅ ἐστι χθαμαλοὶ καὶ ταπεινοὶ καὶ κεκλιμένοι. 1498, 47.

κλῖναι ἀντὶ τοῦ κλεῖσαι, ἀνακλῖναι δὲ τὸ ἀνοῖξαι ἐνίοτε παρ' Ὁμήρῳ. 604, 31. 974, 44.

κλίνειν ἀσπίδας ὤμοις, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐγκλίνειν καὶ ἐρείδειν καὶ ἐπιτιθέναι καὶ πελάζειν. 864, 27. 943, 21.

κλίνειν πάλιν ὄσσε, ἀντὶ τοῦ ἀποστρέφειν τὼ ὀφθαλμὼ παρ' Ὁμήρῳ. 432, 8.

κλίνειν τὸ εἰς φυγὴν τρέπειν τινὰ, ὅθεν καὶ κλίνειν μάχην λέγεται ὁ Ποσειδῶν Ἰλ. ξ', 510. καὶ ἑτεροκλινὴς μάχη παρὰ τοῖς μεθ' Ὅμηρον. 999, 62. 1614, 45.

Κλίνη, ὄνομα γυναικὸς οἰνοχοούσης Πτολεμαίῳ τῷ βασιλεῖ, ἱστορία. 1402, 41.

κλινθῆναι ὅτι ἀναλογώτερόν ἐστι μετὰ τοῦ ν̄ λεγόμενον. 388, 24. ζήτει τὸ κλιθῆναι.

κλιντὴρ, θρόνου εἶδος, ἐφ' ᾧ ἔστιν ἀνακλινθῆναι. 1843, 7.

κλίνω ὅτι ἐκ τοῦ κλῶ παρήχθη, ὡς ἐκ τοῦ φθῶ τὸ φθίνω. 1689, 25. καὶ ὅτι τὰ παρὰ τὸ κλίνω ὕψος τι, ὅ ἐστιν ἀνάβασιν, δηλοῦσι, οἷον κλισμὸς, κλίνη, κλῖμαξ. 1546, 50.

κλισία συνήθως ἡ σκηνὴ εἴτουν αὐτοσχέδιος οἴκησις, καὶ κλισία εἶδος θρόνου ἔχον τι ἀνάκλιντον, ταὐτὸ δὲ καὶ κλισμὸς λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ. 77, 33. 1400, 28. 1488, 39. 1855, 23. καὶ ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῆς ἀρχούσης ἡ κλισία λέξις, ὡς καὶ τὸ κλεισίον. 1413, 34. καὶ κλισία ὁμωνύμως ὁ σταθμὸς εἴτουν ἡ ἀγροτικὴ κατοικία. 1797, 60.

κλισιὰς κλισιάδος, ταὐτὸ ὅπερ κλισία. 77, 46.

κλίσιον οὐδετέρως ταὐτὸ ὅπερ κλισία, ὅ ἐστιν οἴκημα εὐτελές· παρὰ δὲ τοῖς Ἀττικοῖς τὸ κοινῶς λεγόμενον σταῦλον, εἴτουν ὁ σταθμὸς τῶν προβάτων· καὶ ὅτι καὶ κλείσιον ἢ κλεισίον διὰ διφθόγγου γράφεται, καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως ἑρμηνεία διεξοδική. 78, 2. 1165, 11. 1957, 51 — 1958, 9.

κλίσις ταλάντων Διός, ἡ κατὰ πόλεμον ῥοπὴ ἀλληγορικῶς παρ' Ὁμήρῳ. 1181, 34. 56.

κλίσις ἢ μετάκλισις, σχῆμα λόγου. 15, 29. ἀλλαχοῦ δὲ κλίσις ἡ μετάληψις λέγεται, ὅταν πτῶσίς τις μὴ τὴν ἑαυτῆς ἀκολουθίαν φυλάξῃ, ἀλλ' εἰς ἑτέραν μεταπέσῃ, οἷον· μῆνιν ἣ μυρία ἄλγε' ἔθηκε. 103, 28.

κλισμὸς, εἶδος θρόνου, τὸ καὶ ἀνάκλιντον παρὰ τὸ ἀνάκλισίν τινα ἔχειν οὕτω λεγόμενον. 434, 13. 722, 40. 1400, 25. 1482, 5.

κλίτος καὶ κλίμα καὶ κλιτὺς ὅτι παρὰ τὸ κεκλίσθαι λέγονται, καὶ οὐκ ἂν σημαίνοιεν ἐξοχήν τινα. 1066, 22.

κλιτὺς κλιτύος, τόπος ὀρεινὸς ἐξέχων καὶ προνενευκώς, ὅτι παρὰ τὸ κεκλίσθαι λέγεται, καὶ ὅτι τῇ ει διφθόγγῳ γράφεται παρά τισιν ὡς ἀπὸ τοῦ κλέτας πλεονασμῷ τοῦ ι̅. 1066, 14 — 20. 23. ἀλλαχοῦ δὲ ὅτι ὑψηλὴ ὄρους πρόσβασις εἶναι δηλοῦται ἡ κλιτὺς διὰ τῆς παραθέσεως τοῦ ὀναβὰς ἐν τῷ, εἶ δέ κεν ἐς κλιτὺν ἀναβὰς, Ὀδ. ε', 470. 1546, 50. ζήτει τὸ κλίτος.

κλοιὸς ὅτι παρὰ τὸ κλείω λέγεται, καὶ ὅτι καὶ κλῳὸς ἐκτάσει τοῦ ο̅ μετὰ προσγραφῆς τοῦ ι̅ λέγεται. 154, 8.

κλονεῖσθαι ταὐτὸν τῷ ὀρίνεσθαι παρ' Ὁμήρῳ. 964, 41.

Κλονίος κύριον ὅτι πολεμικὸν ἄνθρωπον ὑπαγορεύει, παρὰ τὸ κλονεῖν, καὶ ὅτι παροξύνεται ὡς τρίβραχυ. 264, 32.

κλοπὰν ποδοῖν ἀρέσθαι, παρὰ Σοφοκλεῖ (Aj. 247.) ἀντὶ τοῦ λάθρα φυγεῖν. 66, 2. 1100, 27. 1464, 53. ζήτει τὸ κλέπτειν.

κλοπεὺς ὅτι παρὰ τὸ κλοπεύειν λέγεται. 1931, 7.

κλόπιοι μῦθοι οἱ δόλιοι, Ὀδ. ν', 295. 1742, 25.

κλοτοπεύειν, οἱονεὶ κλοπεύειν καὶ παρακλέπτειν τὸν καιρόν. 1177, 2.

κλύειν λέγεταί τις παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐξάκουστον γίνεσθαι, οἷον ἐν τῷ, μάλιστα δέ τ' ἔκλυον αὐτοί, Ὀδ. ζ', 185. 1556, 57.

κλύειν δοτικῇ ἀντὶ τοῦ ὑπακούειν ἐν τῷ, καί τ' ἔκλυες ᾧ κ' ἐθέλησθα, Ἰλ. ώ, 335. 1353, 10.

κλύζειν λέγονται τὰ κύματα, ἀντὶ τοῦ ἦχον ἀποτελεῖν. 1287, 30. κλύζεσθαι δὲ λέγεται ἡ θάλασσα, ἀντὶ τοῦ κλύδωνα πάσχειν. 993, 20.

κλῦθι προστακτικὸν ὅτι ἐκ τοῦ κλύε μεταπέπλασται. 33, 3. 58, 43.

Κλυμένη, θυγάτηρ Ἴφιος ἢ Μινύου, ὑπὸ Φυλάκῳ τῷ Δηιονέως Ἴφικλον τίκτει, ὃς ποδωκέστατος ἱστορεῖται γενέσθαι. 1688, 64.

Κλυμένη Νηρηίς τις λέγεται διὰ τοὺς θαλαττίους ἤχους κλυτοὺς ὄντας, ὅ ἐστιν ἐξακούστους. 1130, 50.

κλυτὰ μῆλα λέγει Ὅμηρος τὰ τοῦ Κύκλωπος ἐπιθετικῶς διά τινας·

προσοίσας αὐτοῖς ἀγαθὰς ποιότητας. 1630, 57.

Κλυταιμνήστρα, Ἀγαμέμνονος γυνὴ, ὅτι Ταντάλῳ τὸ πρῶτον ἦν γεγαμημένη, ὃν ἀνελὼν ὁ Ἀγαμέμνων ἔσχεν αὐτήν. 1697, 10.

κλῦτε, προστακτικὸν ἐκ τοῦ κλῦθι, ὡς ἐκ τοῦ δῦθι τὸ δῦτε. 1135, 45.

Κλυτίδης πατρωνυμικὸν ὅτι ἐκ τοῦ Κλυτιάδης συνεκόπη, ὃ ἀπὸ τοῦ Κλύτιος παρωνυμεῖται. 1790, 55.

κλυτὸν, ἐπίθετον καθόλου τοῦ ἀνθρωπείου εἴδους λεγόμενον πρὸς διαστολὴν τῶν τοῦ ἀλόγου ζῴου εἰδῶν. 992, 5.

κλυτὸν ὄνομα, παρ' Ὁμήρῳ τὸ κύριον, ὅπερ κλύει, ὃ ἐστιν ἀκούει τις ἐξ ἁπάντων. 1861, 34. ζήτει τὸ κλυτός.

κλυτόπωλος Ἅιδης λέγεται διὰ τὸ κλυτὴν εἶναι πανταχοῦ τῆς γῆς τὴν αὐτοῦ ἐπιπώλησιν, ἤγουν ἔφοδον· καὶ ὅτι προπαροξύνεται ἡ λέξις· 591, 34. 855, 28. 1668, 26.

κλυτὸς ὁ ἄξιος περιᾴδεσθαι, κλυτὸν δὲ ὄνομα τὸ ἐξάκουστον. 1649, 52. ζήτει τὸ, κλυτὸν ὄνομα.

κλυτὸς ἔγχεϊ, ὁ καὶ δουρὶ κλυτὸς παρ' Ὁμήρῳ. 1228, 40.

κλυτοτέχνης ὁ Ἥφαιστος λέγεται διὰ τὰς ἐκ τοῦ πυρὸς κλυτὰς τέχνας. 150, 38.

κλυτότοξος Ἀπόλλων ὁ κλυτὸς ἐν τῇ τοξικῇ τέχνῃ. 449, 7. 11.

κλύω ὅτι ἐκ τοῦ κυλίω γίνεται, ὃ παρὰ τὸ καλῶ. 536, 23. καὶ ὅτι οὐ κινεῖται εἰς παθητικὴν φωνὴν τὸ ῥῆμα. 89, 29.

κλωγμὸς, ποιὸς ἦχος τῶν θεωμένων ἐν τῷ ἀποσυρίττειν τινὰ, ὅς καὶ κλωγμὸν πάσχειν τότε λέγεται, κρωγμὸς δὲ ὁ τῆς κορώνης. 1504, 29

κλώζειν, ποιὸν ἦχον ἀποτελεῖν τῷ στόματι ἐν τῷ ἀποσυρίττειν τινά. 1504, 29. καὶ ὅτι λειότερόν ἐστι τοῦ κρώζειν. 1106, 14.

κλώζω ἀπὸ τοῦ κλῶ κλάζω καὶ κλώζω, καὶ ὅτι κλώζεσθαι καὶ κλωγμὸν πάσχειν λέγονται οἱ ἐν θεάτρῳ ἀποσυριττόμενοι. 154, 17.

Κλῶθες ὅτι ἐκ τοῦ Κλωθοῖ μετεπλάσθη καὶ δηλοῖ τὰς Μοίρας ἀπὸ μιᾶς αὐτῶν τῆς Κλωθοῦς ἐν τῷ, καταχλῶθές τε βαρεῖαι, Ὀδ. η, 197. 1576, 40.

Κλωθοῖ, εὐθεῖα πληθυντικὴ, ὅτι ἀπὸ τῆς Κλωθὼ εὐθείας κεκίνηται. 1576, 40.

κλώθω ῥῆμα ὅτι παρὰ τὸ κλῶ κλέγεται. 442, 19.

κλώμακες, τραχεῖαι καὶ πετρώδεις ἀναβάσεις κατακλῶσαι τοὺς ἀναβαίνοντας, ὅθεν καὶ κλωμακόεσσα πόλις λέγεται, καὶ κλωμακόεν χωρίον. 330, 37.

κλωμακόεν χωρίον, καὶ κλωμακόεσσα πόλις, ζήτει ἐν τῷ κλώμακες.

κλῳὸς, ζήτει ἐν τῷ κλοιός. 154, 8.

κμ, ὅτι τὸ κ̄ πρὸ τοῦ μ̄ ἐν ταῖς συγκοπτομέναις λέξεσιν εἰς γ̄ τρέπεται, οἷον ἐοίκαμεν ἔοιγμεν. 885, 8.

κναίω καὶ ἀποκναίω ὅτι παρὰ τὸ κνῶ λέγονται, τοῦτο δὲ παρὰ τὸ κῶ, ὃ δηλοῖ τὸ κεῖμαι. 872, 4. 1746, 11.

κνακὸν θρέμμα ὅτι ἐκ τοῦ νάκος, ὃ ἐστι κῴας, δοκεῖ λέγεσθαι. 1456, 25.

κνᾶμιν προπερισπωμένως ἀντὶ τοῦ κνημῖδα Αἰολικῶς. 265, 18.

κνάπτω ταὐτὸ ὅπερ γνάπτω, ὃ ἐστι βάπτω, ὅτι ἐκ τοῦ κνῶ παράγεται, καὶ ὅτι καὶ γνάπτω λέγεται διὰ τοῦ γ̄, καὶ γναφεὺς ταὐτὸ ὅπερ κναφεύς. 854, 3. 1746, 14. 16.

κναφεὺς, ὁ καὶ γναφεὺς διὰ τοῦ γ̄, παρὰ τὸ κνάπτω, ὃ καὶ γνάπτω λέγεται· καὶ κναφεὺς ὁμωνύμως εἶδος ἰχθύος, οὗ τὸ ἀφέψημα ῥυπτικόν ἐστι. 854, 4. 1746, 16.

κνάφος, φυτὸν ἀκανθῶδες, ᾧ τὰ ἄθικτα ἱμάτια ἐπισύροντες κατεργάζονται. 1746, 15.

κνάω κνῶ, τὸ κόπτω, ὅτι παρὰ τὸ κῶ, ὃ δηλοῖ τὸ κεῖμαι, λέγεται. 871, 61. 872, 4.

κνεῖν τὸ ξύειν καὶ τὸ κόπτειν. 1766, 33.

κνέφας ἡ βαθεῖα ἑσπέρα, ἡ γενικὴ τοῦ κνέφους, ὡς ἀπὸ τῆς κνέφος εὐθείας, καὶ ὅτι παρὰ τὸ κενὸν φάους εἶναι οὕτω λέγεται. 138, 29. 1354, 1. 1851, 46.

κνῆ, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι καὶ κνέε γράφεται, Ἰλ. λ', 639. ὅθεν δῆλον ὅτι κατὰ τὴν πρώτην συζυγίαν κλίνεται. 872, 18.

κνήθω ὅτι παρὰ τὸ κνῶ λέγεται. 871, 62. 1436, 64.

κνῆμαι τροχοῦ αἱ ἀπὸ τῶν χοινικίδων ἐς τὴν τοῦ τροχοῦ περιφέρειαν διήκουσαι ῥάβδοι. 598, 4.

κνημῖδες, ὁπλιτικὰ σκεπάσματα τῶν κνημῶν, καὶ ἁπλῶς σκεπάσματα, οἷα τὰ σκύτινα, αἳ καὶ ῥαπταὶ κνημῖδες λέγονται Ὀδ. ω', 229. πρὸς διαστολὴν τῶν σιδηρῶν. 420, 35. 1959, 51. 54.

κνημὶς, ὁπλιτικὸν σκέπασμα τῶν κνημῶν, καὶ κνημὶς ὄρους μεταφορικῶς τὸ περὶ τοὺς πρόποδας μέρος. 26, 25.

κνημοὶ ὄρους λέγονται τὰ κάτω μέρη τῶν ὀρῶν τὰ περὶ τοὺς πρόποδας. 265, 39. 353, 21. 834, 26. ἀλλαχοῦ δὲ ὅτι κνημοὶ ὄρους τὰ ὑψότερα μέρη τῆς ὑπωρείας οὕτω λέγονται. 1291, 49. καὶ πάλιν κνημοὶ, ὀρεινοὶ τόποι οἱ μετὰ τοὺς πρόποδας ἀνωτέρω. 1498, 42.

κνημὸς κατὰ γλῶσσαν ἡ ὀρίγανος. 265, 39.

κνῆν ἀντὶ τοῦ κνᾶν, ὃ ἐστι ξύειν ἢ κόπτειν. 872, 15.

κνησμὸς, ὄνομα αὐλήσεως ποιᾶς. 1236, 57.

κνηστὰ λάχανα τὰ συγκοπτὰ, καὶ κνηστὸς ἄρτος ποιὸς παρ' Ἴωσιν ὅτι παρὰ τὸ κναίω, ὃ δηλοῖ τὸ κόπτω, λέγεται. 872, 9.

κνῆστις ἡ διακοπτικὴ μάχαιρα, παρὰ τὸ κνῶ, ὃ δηλοῖ τὸ κόπτω. 836, 55. ἀλλαχοῦ δὲ ὅτι κνῆστις ἡ τυροτόμος μάχαιρα ἡ καὶ τυρόκνηστις ἐν συνθέσει, καὶ κνῆστις ἡ κνησμονή. 871, 60. 63.

κνῆστι, δοτικῆς πτώσεως, ὅτι ἐκ τοῦ κνήστει κέκραται, διὸ καὶ μακροκαταληκτεῖ. 871, 64.

κνίδη θαλασσία, ὅτι καὶ αὐτὴ κνησμὸν ἐμποιεῖ τοῖς ἁπτομένοις αὐτῆς. 1485, 44.

κνίζα ὅτι παρὰ τὸ κνίζω λέγεται, ὡς παρὰ τὸ σχίζω σχίζα, κνῦζα δὲ ἡ ψώρα διὰ τοῦ υ ψιλοῦ. 1746, 13. 23.

κνίζω τὸ ἐξ ἐπιπολῆς καὶ λεπτῶς ξύω, παρὰ τὸ κνῶ, ὃ ἐστι κόπτω. 871, 62. 1746, 13. 1766, 31. 33.

κνίσσα τὸ λῖπος, καὶ ἡ ἀπὸ τῶν ὀπτωμένων κρεῶν εἶτουν τῆς καιομένης πιμελῆς ἀνάδοσις, ὅτι κοινότερον μὲν ἐν δυσὶ σ̄ γράφεται, καθ' Ἡρωδιανὸν δὲ δι' ἑνὸς ὡς ἀπὸ τοῦ κνίζω κνίσω κατ' ἔκτασιν τῆς ἀρχούσης. 49, 31. 109, 26. 444, 29. 728, 60. 1241, 34. 1766, 32. 1819, 39.

κνισσάριον χυδαϊκῶς ἡ κνῖσα εἶτουν πιμελή. 134, 24.

κνισσῆεν δῶμα τὸ εὔοσμον ἢ τὸ κνίσης γέμον. 1645, 19.

κνισσολοιχὸς ὅτι καθ' ὁμοιότητα σύγκειται τοῦ ματιολοιχός. 1817, 38.

κνισσὸς ὁ λίχνος, παρὰ τὸ κνίσσος, ὃ ταὐτόν ἐστι τῇ κνίσσῃ. 1817, 3.

κνίσσος οὐδέτερον ὅτι ἐκ τοῦ κνίσσα θηλυκοῦ μεταπέπλασται. 668, 33. 1241, 34.

κνισσῶ κνισσώσω, ῥῆμα παρὰ τὴν κνίσσαν λεγόμενον. 1241, 35.

κνῦζα ἡ ψώρα διὰ τοῦ ῡ ψιλοῦ, κνίζα δὲ ὡς σχίζα ἄλλο τι δηλοῖ. 1746, 13.

κνυζηθμὸς, κλαυθμὸς ποιὸς, ὅτι περὶ βρεφῶν καὶ περὶ κυνῶν λέγεται, κατὰ δ' ἑτέρους κνυζηθμὸς ὁ ἐπὶ συστολῇ τῆς τῶν κυνῶν ὑλακῆς ποππυσμός. 773, 16. 1798, 17.

κνυζοῦν ἀντὶ τοῦ ῥυσοῦν ἐν τῷ, κνυζώσω δέ τοι ὄσσε, Ὀδ. ν', 401. ὅτι παρὰ τὸν κύνα δοκεῖ λέγεσθαι ἡ λέξις, ἢ παρὰ τὸ κνύω, ὅ ἐστι ξύω, ἀφ' οὗ κνύζω καὶ κνυζῶ περισπωμένως ἢ κνυζοῦν τὸ διὰ ψώρας διαφθείρειν, κνῦζα γὰρ ἡ ψώρα. 1745, 62 — 1746, 23. καὶ ὅτι τὸ περισπώμενον κνυζῶ κατά τε τὴν πρώτην κλίνεται κνυζῶ κνυζεῖς, καὶ κατὰ τὴν δευτέραν κνυζῶ κνυζᾷς, καὶ κνυζῶ κνυζοῖς κατὰ τὴν τρίτην. 1798, 23.

κνῦμα ὅτι παρὰ τὸ κνύω, ὅ ἐστι ξύω, λέγεται. 1746, 3. 7.

κνύος ἡ φθορὰ, παρὰ τὸ κνύω, ὃ δηλοῖ τὸ ξύω. 1746, 8.

κνύω τὸ ξύω, ὅτι Δωρικόν ἐστι, χρησιμεύει δὲ καὶ τοῖς Ἀττικοῖς· καὶ ὅτι παρὰ τὸ κνῶ, ὅθεν καὶ ἡ κόνις, λέγεται. 1746, 3. 11.

κνῶ τὸ κόπτω, ὅτι παρὰ τὸ καίνω κατὰ συγκοπὴν λέγεται. 836, 55. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κῶ, ὃ δηλοῖ τὸ κεῖμαι. 872, 4.

κνώδαλον τὸ χερσαῖον θηρίον, παρὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι· καὶ κνώδαλον τὸ θαλάσσιον θηρίον ὁμωνύμως, παρὰ τὸ κνώσσειν ἐν ἁλί· καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ δ̄ ἡ λέξις. 106, 25. 1822, 38.

κνώσσειν τὸ βαθέως ὑπνώττειν. 1518, 40.

Κνώσσια ὀρχήματα τὰ ὑπὸ Δαιδάλου ἐν Κνωσσῷ καταδειχθέντα. 1166, 19.

Κνωσσὸς, πόλις Κρήτης ἐπιφανεστάτη, καὶ περὶ τῆς τοποθεσίας καὶ τῆς δυνάμεως, ἣν εἶχε ποτὲ ἡ πόλις, ἱστορία. 312, 39. 43.

κοάλεμος, εὐήθης, ἐτυμολογία, καὶ ὅτι οὕτως ἐκαλεῖτο ὁ Κίμωνος τοῦ Ἀθηναίων στρατηγοῦ πρόπαππος. 636, 57. 59.

Κόδρος Ἀθηναῖος ἐπιδοὺς ἑαυτὸν θανάτῳ ὑπὲρ τῆς τῶν πολιτῶν νίκης, ἱστορία· καὶ ὅτι κόδροι προσηγορικῶς οἱ εὐήθεις ἐλέγοντο. 1391, 36.

κοεῖν τὸ νοεῖν κατὰ γλῶσσαν. 636, 57.

κοῖλαι νῆες ὅτι οὐ πρὸς διαστολὴν, ἀλλὰ κατ' ἰδίωμα λέγονται. 73, 30.

κοιλὰς κοιλάδος, ὅτι παρὰ τὴν κοιλίαν λέγεται. 309, 35.

κοίλη Λακεδαίμων ἐπιθετικῶς καὶ κοίλη Συρία, ὅτι διὰ τὸ ὄρεσι περιειλῆφθαι οὕτω λέγονται, καὶ ὅτι καὶ ἡ Ἦλις οὕτως ἐπεκλήθη ἐκ τοῦ αὐτοῦ συμβεβηκότος. 293, 29. 303, 42. 1478, 30.

κοίλη φλὲψ, ἡ καὶ νωτιαία, ὅτι ἀπὸ τοῦ ἥπατος ἄνεισιν ἐπὶ τὸν τράχηλον διὰ τῆς καρδίας καὶ τοῦ διαφράγματος. 946, 10.

κοιλία ὅτι παρὰ τὸ κόλον, ὃ δηλοῖ τὴν τροφὴν, λέγεται διὰ τὸ τῆς τροφῆς εἶναι δεκτική. 1817, 53.

κοῖλος αἰγιαλὸς ὁ ἁπλῶς βαθύς. 1931, 38.

κοιμᾶσθαι ὅτι διαφέρει τοῦ ὑπνοῦν. 163, 42.

κοιμηθῆναι τὸ ἀναπεσεῖν ἐπὶ ὕπνῳ καὶ κατακλιθῆναι κἂν μὴ ὕπνος ἐπακολουθήσῃ. 693, 6. 784, 43. 1809, 58. 1880, 17. 46.

κοιμῆσαι διὰ τοῦ η̄, ἀλλοπαθῶς παρ' Ὁμήρῳ ἐν τῷ, νεβροὺς κοιμήσασα, Ὀδ. δ', 336. 1498, 39.

κοίμησον, προστακτικὸν ἐκ τοῦ κοιμίζω κεκινημένον, ὅτι διὰ τοῦ η̄ γράφεται Αἰολικῶς. 981, 45.

κοιμῶ ἐν ἴσῳ τῷ κοιμίζω παρὰ τοῖς τραγικοῖς. 905, 5. 981, 49.

κοινὴ διάλεκτος ὅτι ταῖς πεπονθυίαις φωναῖς χρῆται μᾶλλον ἢ ταῖς ἐντελέσι, οἷον πατρὸς καὶ μητρὸς ἀντὶ τῶν πατέρος καὶ μητέρος. 9, 24.

κοινὴ συλλαβὴ, ὅτι διὰ πολλά τινα ἐκτείνεσθαι δύνανται τὰ βραχέα φωνήεντα λόγῳ κοινότητος, καὶ ὅτι κατὰ τέσσαρας μάλιστα τρόπους τοῦτο γίνεται. 81, 1. 625, 13. 1465, 4. καὶ ὅτι καὶ τὰ εω εἰς ἓν συνιζάνοντα ἀντὶ μιᾶς βραχείας λογίζονταί ποτε. 12, 17.

κοινολεχὴς ὁ κοινωνῶν ἢ κοινωνοῦσα λέχους τινί. 653, 34.

Κοῖνος, κύριον βαρυτόνως πρὸς διαστολὴν τοῦ ἐπιθέτου. 906, 44.

κοινὸς Ἐνυάλιος ὁ ἀδελφικὸς παρ' Εὐριπίδῃ, παρ' Ὁμήρῳ δὲ ὁ ἐπίσης μεριζόμενος, ἐπεὶ καὶ μερίζεσθαι ὁ πόλεμος παρ' Ὁμήρῳ λέγεται ἐν τῷ, μένος Ἄρεος δατέονται, Ἰλ. σ', 264. 612, 21. 1142. 21.

κοινωνικῶν συστημάτων ὀνόματα, δημόται, φράτορες, πολῖται, θιασῶται, φυλέται, λοχῖται, ἐθνῖται, δαιταλεῖς. 239, 41.

κοῖος ὁ ἀριθμὸς παρὰ Μακεδόσιν ὁμωνύμως Κοίῳ τῷ Τιτᾶνι. 1558, 4.

κοιρανέειν τὸ βασιλεύειν καὶ ἐπικρατεῖν καὶ τὸ ἀρχικῶς διατάττειν, οἷον ἐν τῷ, ὥς ὅγε κοιρανέων δίεπε στρατὸν, παρ' Ὁμήρῳ. 203, 9. 611, 20. 1414, 58.

κοίρανος ὁ πρὸς καιρὸν ἀνάσσων ἢ βασιλέως ἔργον ἐπιτελῶν. 203, 6. 1840, 5.

κοιταῖα χυδαϊκῶς αἱ ὀρειναὶ εὐναὶ τῶν θηρῶν. 1031, 44.

κοίτη, ἀνάκλισις δι' ἧς ὕπνος περιγίνεται. 1471, 34.

κοῖτος ἐν ἴσῳ τῷ κοίτῃ. 1471, 34. 1767, 29.

Κολώνηθεν, οὐ Κολωνόθεν λέγεται, ὁ ἐκ Κολωνοῦ δήμου τινὸς τῆς Ἀττικῆς οὕτω καλουμένου. 351, 11.

κολωνός, τόπος ὑψηλὸς, ὅτι ὀξύνεται τοὔνομα, καὶ ὅτι παρὰ τὸ κολούειν λέγεται, ζήτει τὸ κολῶναι· καὶ ὅτι καὶ δῆμός τις τῆς Ἀττικῆς Κολωνὸς λέγεται ὁμωνύμως τῷ προσηγορικῷ. 351, 4.

κολῳὸς ὁ θόρυβος, οἱονεὶ κολοιὸς ἐκτάσει τοῦ ο̄ καὶ προσγραφῇ τοῦ ῑ, καὶ κολῳῶ ῥῆμα ὁμοίως, ἑρμηνεία διεξοδική. 154, 2—12 ἀλλαχοῦ δὲ ὅτι κολωὸς παρὰ τὸ κόλος λέγεται πλεονασμῷ τοῦ παραληκτικοῦ ω. 811, 59.

κολῳῶ τὸ θορυβῶ, ὅτι κατά τε τὴν πρώτην καὶ κατὰ τὴν δευτέραν συζυγίαν κλίνεται. 205, 6. ζήτει τὸ κολῳός.

Κολώτης, ὄνομα ἀγαλματοποιοῦ τινὸς, οὐ Διονύσου ἐπίθετον ὡς οἴονταί τινες. 300, 42.

κόμαι δένδρων τὰ φύλλα τροπικῶς. 308, 33. ζήτει ἐν τῷ κομᾶν.

κομᾶν τὸ ἐπί τινι κατορθώματι ἐπαίρεσθαι ὁμωνύμως παρὰ τὴν κόμην. 165, 15. καὶ ὅτι καὶ τὰ δένδρα κομᾶν ἀντὶ τοῦ θάλλειν λέγονται τροπικῶς, ἐπεὶ καὶ κόμαι δένδρων τὰ φύλλα. 308, 34.

κομάρου ὁ καρπὸς ὅτι μιμαίκυλα λέγονται. 1657, 15.

κομέειν ἀντὶ τοῦ ἐπιμελεῖσθαι παρὰ τοῖς ποιηταῖς, ὅτι καὶ κομίζειν λέγεται. 1560, 5. 1821, 61.

κομεῖν καὶ κομίζειν τὸ ἐπιμελεῖσθαι καὶ κομιδῆς, ὅ ἐστιν ἐπιμελείας, ἀξιοῦν. 924, 30. 1682, 38.

κομείτην, ἤγουν ἐπεμελοῦντο, τρίτον τῶν δυϊκῶν παρατατικοῦ χρόνου, ἀπὸ τοῦ κομέω θέματος. 702, 26.

κομέω κομῶ τὸ ἐπιμελοῦμαι παρὰ τοῖς ποιηταῖς, ὅθεν ἱπποκόμος. 702, 25. ζήτει τὸ κομεῖν.

κόμη ὅτι παρὰ τὸ κοσμεῖν. 207, 18. καὶ ὅτι κόμη Ἑκτόρειος ἡ περικεχυμένη λέγεται. 1276, 29. καὶ ὅτι κόμη δένδρων τὰ φύλλα καὶ οἱ λεπτοὶ κλαδίσκοι τροπικῶς λέγονται διὰ τὸ κοσμεῖν τὰ φυτὰ ὡς ἡ κυρίως κόμη τοὺς ἀνθρώπους. 1944, 47.

κόμης ἐπίθετα, ξανθὴ, πυῤῥὰ, αἰθὴ, πυρσή. 83, 4. καὶ ὅτι κόμην ἔτρεφον οἱ Ἕλληνες οὐ μόνον πρὸς κάλλος, ἀλλὰ καὶ εἰς τὸ φοβερώτεροι φαίνεσθαι· καὶ ὅτι Θησεὺς πρῶτος κόμην ἀνατεθεικέναι ἱστορεῖται. 165, 1. 7. καὶ ὅτι τὸ ξανθὸν χρῶμα τῆς κόμης ἐσπουδάζετο παρὰ τοῖς παλαιοῖς. 432, 26.

κόμης, ἰδιωτικὴ λέξις, ὅτι ἴσόν τι τῷ ναύαρχος σημαίνει. 68, 5.

κομήτης λειμὼν ἐπιθετικῶς, ὅτι κατὰ μεταφορὰν λέγεται, ἐπεὶ καὶ κόμη δένδρων τὰ φύλλα. 308, 33.

κομιδὴ ἡ ἐπιμέλεια, παρὰ τὸ κομίζω, ὅ ἐστιν ἐπιμελοῦμαι. 158, 11. 557, 6. 1560, 5. καὶ κομιδὴν ἀποτίνειν, τὸ ὑπὲρ τῆς ἐπιμελείας χάριτας ἀποδιδόναι. 707, 3.

κομιδὴ κατὰ νῆα, ἡ διὰ νεὼς ἐπάνοδος, ἢ τὰ κατὰ τὴν ναῦν ἐφόδια ἐν τῷ, ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα ἦεν ἐπηετανός, Ὀδ. θ', 232. 1593, 20.

κομιδῇ ἐπίῤῥημα, ἤγουν λίαν καὶ σὺν ἐπιμελείᾳ. 181, 13. 881, 54.

κομίζειν καὶ κομέειν τὸ ἐπιμελεῖσθαι παρὰ ποιηταῖς, καὶ κομιδὴ ἡ ἐπιμέλεια. 881, 52. 1560, 5. καὶ κομίζειν ταὐτὸ ὅπερ φιλεῖν, ὅ ἐστι φιλοφρονεῖσθαι, πολλαχοῦ παρ' Ὁμήρῳ. 1813, 43.

κομίζειν καὶ κομίσασθαι ἔγχος λέγεται παρ' Ὁμήρῳ ὁ βληθεὶς ἔγχει, ὃ καὶ κομίσαι χροῒ σὺν δοτικῇ ἐκ τρίτου λέγεται. 997, 28. 998, 10.

κομίζεσθαι τὸ ἐπιμελῶς τρέφεσθαι, κομιζόμενος ὁ κομιδὴν, ὅ ἐστιν ἐπιμέλειαν, ἔχων. 1605, 16. 1685, 16.

κομίζω καὶ κομῶ τὸ ἐπιμελείας ἀξιῶ. 557, 6. 657, 38.

κομίσασθαι τὸ ἐπιμεληθῆναι. 158, 10.

κομίσατο ἀντὶ τοῦ ἐπιμελείας ἠξίωσε. 713, 28.

κομιῶ, ἤγουν ἐπιμελείας ἀξιώσω, ὅτι μέλλων ἐστὶν Ἀττικὸς ἀπὸ τοῦ κομίζω θέματος. 1790, 51.

κομματικὸς καὶ ἀσύνδετος λόγος ὅτι θυμουμένου καὶ ἐναγωνίου ἤθους ἐστὶ χαρακτηριστικός. 1074, 31. 1855, 55.

κομπάζειν τὸ ἀλαζονεύεσθαι, ὅ ἐστι καυχᾶσθαι καὶ περιαυτολογεῖν. 854, 8. 897, 1.

κομπεῖν λέγονται οἱ σύαγροι, ἤγουν ποιὸν ἦχον ἀποτελεῖν τοῖς ὀδοῦσι, ὃς καὶ κόμπος λέγεται· καὶ κομπεῖν ἐν ἴσῳ τῷ κομπάζειν, ὅ ἐστιν ἀλαζονεύεσθαι. 854, 8. 896, 38. 61. 897, 2.

κομπεῖν τὸ ἀλαζονεύεσθαι καὶ εἰς κενὸν πολλὰ στωμύλλεσθαι, ὅτι παρὰ τὸν κόμπον λέγεται, κόμπος δὲ ἦχου ποιοῦ ἐστὶ μίμημα. 854, 8. 1602, 14.

κόμπος, κρότος ποιὸς ἐκ τῶν ὀρχουμένων ἀποτελούμενος, Ὀδυσσ. θ', 380. κυρίως δὲ κόμπος ποιὸς ἦχος τῶν σιαγόνων ἀγρίου συὸς, ὅτε θυμούμενος θήγει τοὺς ὀδόντας, καὶ κόμπος ἡ ἀλαζονικὴ φλυαρία. 854, 7. 1602, 12.

κοναβεῖν καὶ κοναβίζειν τὸ ἠχεῖν, κόναβος γὰρ ἦχος ποιὸς ξηρῶν σωμάτων. 231, 22. 944, 10. 1059, 58.

κοναβίζειν, ζήτει τὸ κοναβεῖν.

κόναβος, ποιὸς ἦχος ξηρῶν σωμάτων. 231, 22. 1059, 58.

κόνδυ κόνδυος, ὅτι ὡς γόνυ γόνυος κλίνεται, καὶ κόνδα πληθυντικῶς παρ' Ἀθηναίῳ. 1224, 12.

κόνδυλος τὸ καμπτὸν τῶν δακτύλων, ὅ ἐστιν ὁ γρόνθος· καὶ κονδυλίζειν τὸ τῷ κονδύλῳ παίειν· καὶ παροιμία, δὸς ἄρτον καὶ κόνδυλον ὄψον ἐπ' αὐτῷ, καὶ ἑρμηνεία διεξοδικὴ τῆς παροιμίας. 469, 21. 1322, 40. ἀλλαχοῦ δὲ ὅτι κόνδυλος Ἀττικῶς ὁ κόλαφος, κόντυλος δὲ διὰ τοῦ τ̄ εἶδος ὀρνέου. 1817, 52.

κόνι, κατὰ δοτικὴν πτῶσιν, ὅτι ἐκ τοῦ κόνιι συνῄρηται. 1679, 1.

κονία ἑνικῶς καὶ κονίαι πληθυντικῶς ἐπὶ τοῦ αὐτοῦ παρ' Ὁμήρῳ. 1088, 5.

κονία, κόνις ἢ τίτανος. 194, 14. 382, 36. καὶ ἡ ποταμία λεπτοτάτη ἄμμος ἐνίοτε. 1234, 37. ὅτι παρὰ τὸ κνῶ, ὅ ἐστιν εἰς λεπτὰ κόπτω, λέγεται. 836, 55.

κονίειν πεδίον, παρ' Ὁμήρῳ ἀντὶ τοῦ διὰ τῆς πεδιάδος κόνιν ἐγείρειν. 961, 37. 1306, 29.

κονίεσθαι τὸ ἀθλεῖν εἴτουν ἀγω-

νίζεσθαι, ἐπεὶ καὶ κόνις ἰδίως ἡ ἀθλητική. 382, 32. 1113, 63.
κονίη, ζήτει τὸ κονία.
κονίησι μίγνυσθαι παρ' Ὁμήρῳ λέγονται οἱ ἐν πολέμῳ πεσόντες. 382, 31.
κόνιν ἀποψησάμενον ἀγωνίζεσθαι, παροιμία ἐπὶ τῶν ἀναπαλαιόντων ἐφ' οἷς ἔπταισαν. 1327, 27.
κονιορτός, ὅτι ἐκ τοῦ κονίη καὶ τοῦ ὄρνυσθαι σύγκειται ἡ λέξις. 194, 13. 373, 35. 836, 58. 1306, 20. καὶ ὅτι κονιορτὸς ἐπεκαλεῖτο πᾶς τις αὐχμῶν ἢ ῥυπῶν ἄνθρωπος. 1642, 61.
κόνις ὅτι παρὰ τὸ κνῶ, ὃ δηλοῖ τὸ κόπτω, λέγεται πλεονασμῷ τοῦ ο. 836, 55. 1575, 51. καὶ ὅτι κόνις μὲν κόνιος ὁ κονιορτὸς, κόνις δὲ κόνιδος ζωΐφιον φθειροποιόν. 501, 3. 935, 23.
κόνις ἡ κνωμένη γῆ. 1291, 54. ἰδίως δὲ ἡ ἀθλητική, ὅθεν κονίεσθαι τὸ ἀθλεῖν, καὶ κονίστρα ἡ παλαίστρα. 1113, 63. καὶ ὅτι κόνις μὲν ἡ κειμένη, κονιορτὸς δὲ ἡ ὀρνυμένη κόνις. 194, 13. ζήτει τὸ κονιορτός.
κονίσσαλος ὅτι ἀπὸ τοῦ κονίω κονίσω παρῆκται, ἢ ἐκ τοῦ κόνις καὶ τοῦ ἀελλῆς σύγκειται. 373, 28. 42.
κονίστρα ἡ παλαίστρα, καὶ κονίεσθαι τὸ ἀθλεῖν. 382, 32. 1113, 63.
κονιῶ κονιάσω, ὅτι κατὰ τὴν δευτέραν τῶν περισπωμένων κλίνεται, καὶ ὅτι παρὰ τὴν κονίαν λέγεται. 382, 38.
κοντάριον ὅτι ἐκ τοῦ κοντὸς λέγεται ὑποκοριστικῶς. 1641, 8.
κοντὸς συνήθως μὲν εἶδος δόρατος, παρ' Ὁμήρῳ δὲ ὅπλον ναυτικὸν, οὐ μὴν πολεμικόν· καὶ ὅτι παρὰ τὸ κεντεῖν λέγεται. 282, 19. 1640, 63.
κόντυλος διὰ τοῦ τ εἶδος ὀρνέου, κόνδυλος δὲ διὰ τοῦ δ ὁ κόλαφος. 1817, 52.
Κονώνιοι φιάλαι ὅτι ἀπό τινος Κόνωνος παρωνομάσθησαν. 907, 23.
Κόνωνος τοῦ Ἀθηναίου ἑκατόμβη ἐξ ἑκατὸν βοῶν κατὰ τὸ ἔτυμον τῆς φωνῆς, ἱστορία. 1454, 18.
κόον τὸ πρόβατον κατὰ γλῶσσαν. 318, 40.
Κόπαινα, ὄνομα κύριον ἀνδρός τινος. 1457, 23.
κόπανον, ὄργανον πληκτικὸν, ὅτι παρὰ τὸ κόπτω λέγεται. 152, 27. 1324, 32.
κοπετὸς ὁ θρῆνος, ὅτι παρὰ τὸ κόπτεσθαι λέγεται. 1324, 32.
κόπις ὁ φλύαρος. 1749, 28.
κόππα τὸ κάππα στοιχεῖον κατὰ γλῶσσαν. 785, 28.
κοππατίας ἵππος ὁ ἔχων ἐγκεχαραγμένον τὸ Κ στοιχεῖον. 785, 29.
Κοπρεὺς, ἱστορία καὶ ἐτυμολογία τοῦ ὀνόματος. 1035, 34. 55.
κοπρῆσαι ἀντὶ τοῦ κοπρεῦσαι, ὅ ἐστι κόπρον ἐπιβαλεῖν τοῖς χωρίοις. 1821, 43.
κόπρος βοῶν τὸ βουστάσιον ἐκ τοῦ παρακολουθοῦντος, καὶ ὅτι καὶ κοπρὸς ὀξυτόνως κατά τινας περιεκτικῶς λέγεται. 1165, 15. 1663, 35.
κόπρος τὸ τῶν ἄλλων ζῴων περίττωμα, ὑπέλεθρος δὲ τὸ τῶν συῶν. 1821, 40.
κόπτειν κοινῶς μὲν τὸ διαιρεῖν, παρ' Ἀττικοῖς δὲ τὸ κρούειν καὶ πλήττειν, οἷον ἐν τῷ, τίς ἐσθ' ὁ κόπτων τὴν θύραν. 899, 62. 920, 38. 1256, 8. καὶ κόπτειν ἀντὶ τοῦ ἐλαύνειν καὶ σφυροκοπεῖν. 1148, 39. καὶ κόπτειν ξύλῳ μετάφρενόν τινος, ἀντὶ τοῦ πλήττειν· καὶ κόπτειν τι πρὸς τῇ γῇ, ἀντὶ τοῦ κρούειν καὶ προσαράσσειν, οἷον ἐν τῷ, ὥστε σκύλακας ποτὶ γαίῃ κόπτεν, Ὀδ. ι', 290. 1608, 60. 1629, 28. 1631, 41.
κόπτεσθαι λέγονται τὰ ξύλα, κατακόπτεσθαι δὲ οἱ ἐν πολέμῳ κτεινόμενοι. 1078, 7.
κόπτεσθαι κεφαλὴν χερσὶν, ὅτι ἐντελῶς λέγεται, κόπτεσθαι δὲ κατὰ μόνας ἀτελῶς· καὶ κόπτεσθαι τὸ πενθεῖν, ὅθεν ὁ κοπετός· καὶ κόπτεσθαι ἀντὶ τοῦ περαίνεσθαι παρὰ τοῖς κωμικοῖς. 1256, 7. 1324, 31.
κόραι αἱ ναῦς παρὰ Λυκόφρονι τροπικῶς. 308, 22.
κόρακες, ὅτι περὶ τὴν Κραννωνίαν χώραν οὐδέποτε πλείους δυοῖν κοράκων εὑρίσκονται, ἱστορία. 933, 22.
Κορακήσιον, τόπος τις ἐν Κιλικίᾳ, οὗ οἱ ἐγχώριοι πονηροὶ ἱστοροῦνται. 1746, 62.
Κόρακος πέτρα, τόπος τις οὕτω καλούμενος ἐν Ἰθάκῃ, ὅτι ὑφ' ἓν, ὅ ἐστι κατὰ συμπλοκὴν, λέγεται· τὸ ἐθνικὸν Κορακοπετρίτης συνθέτως· καὶ ὅτι ἀπό τινος ἀνθρώπου καλουμένου Κόρακος οὕτως ἐκλήθη· ζήτει ἐν τῷ, Κόραξ Ἰθακήσιος. 1746, 53.
κόραξ ὄρνεον ὅτι τῷ Ἀπόλλωνι ὡς ἡλίῳ ἀφιέρωτο διὰ τὴν νυκτερινὴν μελανίαν. 449, 3. καὶ κόραξ ὁμωνύμως τὸ κοράκιον τῆς θύρας. 73, 21.
Κόραξ, Ἰθακήσιος ἄνθρωπος, ὅτι διώκων λαγωὸν καὶ κατακρημνισθεὶς τὴν πέτραν, ἀφ' ἧς κατηνέχθη, Κόρακος πέτραν ἐποίησε κληθῆναι· καὶ περὶ Ἀρεθούσης τῆς μητρὸς αὐτοῦ ἱστορία. 1746, 53.
κόρδαν οἱ χυδαῖοι τὴν χορδήν. 1915, 23.
κόρδαξ, ὄνομα ὀρχήσεως κωμικῆς. 1167, 21.
κορέειν ἀντὶ τοῦ κορέσειν, ἐνεστὼς ἀντὶ μέλλοντος. 719, 4. 962, 59.
κορεῖν τὸ σαροῦν, ὅθεν κόρημα τὸ σάρον. 951, 42. 1887, 32.
κορέννυσθαι ὅτι περὶ ζῴων λέγεται κυρίως. 1851, 57. καὶ ὅτι τὸ κορέννυσθαι τὰς χεῖρας ἐλλιπῶς τοῦ τίνος λέγεται ἐν τῷ, ἐπεί τ' ἐκορέσσατο χεῖρας, Ἰλ. λ', 87. 833, 7.
κορέω κορῶ, ὅτι κορήσω καὶ κορέσω ποιεῖ τὸν μέλλοντα. 669, 38.
κόρη ἡ ἀπ' ἀνδρὸς καθαρὰ γυνὴ, καὶ τὸ τῆς ὄψεως διειδὲς ὁμωνύμως, ὅτι παρὰ τὸ κορεῖν, ὅ ἐστι σαροῦν, λέγεται. 1887, 33. καὶ κόρη ἡ ἁπλῶς νεᾶνις. 57, 3. 112, 43. 322, 11. 639, 50. καὶ ὅτι παρὰ τὸ κόρος, ὃ δηλοῖ τὸν νέον, λέγεται καὶ παραλόγως βαρύνεται. 639, 50. καὶ ὅτι κόρη τοῦ δεῖνος ἀντὶ τοῦ θυγάτηρ λέγεται. 431, 14. καὶ ὅτι καὶ μετὰ γάμον κόραι λέγονται αἱ νεάζουσαι τῇ ἡλικίᾳ γυναῖκες. 652, 39.

κόρημα τὸ σάρον, παρὰ τὸ κορεῖν, ὅ ἐστι σαροῦν. 1887, 32.
κορθύεσθαι ταὐτὸ ὅπερ κορύσσεσθαι. 732, 31.
Κορινθιάζεσθαι τὸ μαστροπεύειν ἢ ἑταιρεῖν. 290, 23.
Κόρινθος, πόλις ἐπὶ τῷ Ἰσθμῷ τῆς Πελοποννήσου, ὅτι διάφορα ὀνόματα ἔσχε κατὰ διαφόρους χρόνους, καὶ ἄλλα πολλὰ περὶ τῆς πόλεως διεξοδικῶς, καὶ παροιμίαι τινὲς ἀπὸ τοῦ ὀνόματος τῆς πόλεως διεξοδικῶς ἑρμηνευόμεναι. 290, 19—45.
Κόρινθος, κύριον υἱοῦ Ἑλένης καὶ Πάριδος. 1479, 7.
Κόριννα, ὅτι ἐν δυσὶ νν γράφεται τοὔνομα. 351, 41.
κορμὸς τὸ ἀνθρώπειον σῶμα χωρὶς χειρῶν καὶ ποδῶν. 835, 52. καὶ κορμὸς ὁμωνύμως ὁ καὶ φιτρὸς κοινότερον λεγόμενος. 890, 64. καὶ ὅτι παρὰ τὸ κείρειν λέγεται. 1358, 49. 1847, 40.
Κορνοπίων Ἡρακλῆς παρ' Οἰταίοις καὶ Τραχινίοις πάλαι τιμώμενος ἐπὶ ἀπαλλαγῇ κορνόπων ἤγουν ἀκρίδων. 34, 26.
κόρνωψ κόρνοπος, ὁ καὶ πάρνωψ, εἶδος ἀκρίδος. 34, 27.
Κόροιβος, μάγειρος Ἠλεῖος Ὀλύμπια νικήσας, ἱστορία. 879, 40. καὶ ὅτι Κόροιβος ἐλέγετο πᾶς τις μωρὸς ἄνθρωπος ἀπό τινος Κοροίβου συμμαχήσαντος ὕστατα τῷ Πριάμῳ. 1669, 46.
κόρος ἡ πλησμονή, ὅτι οἱονεὶ κόπος λέγεται, καὶ ὅτι οὐ μόνον βρωμάτων κόρος λέγεται, ἀλλὰ καὶ παντὸς ἔργου. 833, 8. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κείρειν, ὃ δηλοῖ τὸ ἀπλήστως ἐσθίειν, λέγεται. 582, 20. 862, 52. 1231, 39.
κόῤῥη ὅτι ἐκ τοῦ κόρση, ὃ δηλοῖ τὸν κρόταφον, γέγονε τροπῇ τοῦ ρ̄ εἰς σ̄, καὶ ὅτι κόῤῥη τὴν γνάθον σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ὅθεν τὸ κατὰ κόῤῥης τύψαι, ἤγουν κατὰ κροτάφου ἢ γνάθου. 492, 37.
Κορσέα, πόλις Περῤαιβίας ἢ Θεσσαλίας, ἡ καὶ Ὀρθή, ὅτι παρὰ τὴν κόρσην λέγεται διὰ τὸ ἀκρόπολις εἶναι. 333, 28.
κόρση καὶ κόῤῥη ἡ ὅλη κεφαλὴ σὺν τῷ αὐχένι. 701, 1. 947, 26. ἀλλαχοῦ δὲ ὅτι κόρση ὁ κρόταφος. 492, 29. καὶ ὅτι ἀπὸ τοῦ κείρω κέρσω λέγεται τροπῇ τοῦ ε̄ εἰς ō, καὶ ὅτι οὕτως ἐπεκλήθη ὁ πρῶτος κειράμενος Ἀθήνησι. 1910, 4.
κορυθάϊξ ὅτι παραπλήσιόν τι τῷ κορυθαιόλος σημαίνει. 352, 32. ζήτει τὸ κορυθαιόλος.
κορυθαιόλος ὁ αἰόλην εἴτουν ποικίλην ἔχων κόρυθα, ἢ ὁ αἰόλλων ἤγουν κινῶν τὴν κόρυθα, καὶ ὅτι παροξύνεται ἡ λέξις. 352, 28.
κόρυμβος, κόσμος κεφαλῆς, παρὰ τὴν κάραν ἢ τὴν κόρυν. 1282, 36. καὶ ὅτι καὶ κόρυμβον οὐδετέρως λέγεται, καὶ ὅτι καὶ ὄρους κόρυμβος καὶ νεῶν κόρυμβα τροπικῶς λέγονται. 750, 34.
κορύνη, ξύλον κεφαλωτόν, ὅτι παρὰ τὴν κάραν λέγεται. 672, 10.
κορυνήτης, ἐπίθετον ἀνδρός τινος Βοιωτοῦ κορύνῃ χρωμένου ἐν ταῖς μάχαις, ἱστορία. 661, 50. ζήτει τὸ κορύνη.
κόρυς ὅτι παρὰ τὴν κάραν λέγεται. 672, 11. 924, 27.
κορύσσειν πόλεμον, ὅτι ἐλλιπῶς λέγεται, κορύσσειν δὲ τινὰς εἰς πόλεμον, ἐντελῶς. 219, 32.
κορύσσεσθαι λέγεται κῦμα μεταφορικῶς ἀντὶ τοῦ κορυφοῦσθαι. 732, 32. 1234, 39.
κορυστὴς ὁ κόρυν ἔχων, εἴτουν ὡπλισμένος ἀπὸ μέρους. 375, 16.
κορυφαία, κόσμος ποιὸς γυναικεῖος, ὃς καὶ πλοκαμὶς ἐλέγετο. 1528, 18.
κορυφαῖος ὅτι διὰ τὴν ἐμφαινομένην ὑπεροχὴν διὰ τοῦ ὀνόματος κατὰ τὰ ὑπερθετικὰ ὀνόματα συντάσσεται. 258, 42.
κορυφαιότατος ὅτι ἐκ τοῦ κορυφαῖος κατ' ἐπίτασιν ὑπερθέσεως λέγεται. 215, 13.
κορυφὴ ὄρους ὅτι τροπικῶς λέγεται. 1653, 7.
Κορώνεια, πόλις Βοιωτικὴ ἐγγὺς Ἑλικῶνος, ὅτι ἀπὸ Κορώνου υἱοῦ Θερσάνδρου ἐκλήθη, καὶ ἄλλα τινὰ περὶ τῆς πόλεως. 268, 16. ζήτει τὸ Κορώνη.
Κορώνη, πόλις τῆς Μεσσηνίας, τὸ ἐθνικὸν Κορωνεύς· Κορώνεια δὲ πόλις τῆς Βοιωτίας, τὸ ἐθνικὸν Κορώνιος. 268, 16. καὶ ὅτι ἡ Μεσσηνιακὴ Κορώνη καὶ Πήδασος ἐκλήθη ποτέ. 623, 27. 743, 29. καὶ ὅτι πολλά τινα ὁμωνύμως σημαίνει ἡ κορώνη λέξις. 73, 20. 24.
κορώνη τὸ κρικίον, ᾧ ἐπισπᾶταί τις τὴν θύραν, καὶ ὅτι κορώνη καί τι μέρος τῆς τῶν νεῶν πρύμνης λέγεται ὁμωνύμως τῷ ζῴῳ, καὶ μέρος τι τοῦ ἀνθρωπίνου ἀγκῶνος. 1570, 31. 36. 1900, 52. ἀλλαχοῦ δὲ ὅτι κορώνη τὸ κοράκιον ἢ ὁ κρίκος, ᾧ ἔστι τὴν θύραν ἑλκύσαι· καὶ κορώνη τὸ τοῦ τόξου ἄκρον, εἰς ὃ ἐνίεται ἡ νευρά, καὶ γένος ἐμπλοκῆς καὶ πᾶν τὸ ἐπικεκαμμένον. 451, 8. 1429, 1-5. 1904, 41. καὶ ὅτι κορώνη χρυσῇ τὸ ἀγαθὸν τέλος τῶν πράξεων παροιμιακῶς λέγεται. 73, 25.
κορωνιδεῖς οἱ τῶν κορωνῶν νεοσσοί. 753, 56.
κορωνίδες νῆες, αἱ μέλαιναι ὡς κορῶναι ἢ ἐπικεκαμμέναι τὰ ἄκρα. 73, 22. 1429, 5.
κορωνίσματα καὶ κορωνισταί, ζήτει ἐν τῷ χελιδονίζειν. 1914, 49.
—κος λήγοντα δισύλλαβα ἀπαρασχημάτιστα εἰς θηλυκὸν γένος, φύσει μακρᾷ παραλήγοντα ὅτι βαρύνονται, οἷον, φῶκος, θῶκος, πλὴν τοῦ σηκός. 1197, 40.
—κος ληγόντων τρισυλλάβων ἐχόντων τὴν πρώτην συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν προσῳδία, οἷον Λάμψακος, Ὕρτακος, Ῥύνδακος. 959, 30.
—κος λήγοντα ἐπιθετικὰ ὑπερδισύλλαβα τῷ ᾱ παραληγόμενα ὅτι ὀξύνονται, οἷον φαρμακός, θαυμακός. 1365, 45.
κοσμεῖν ἀντὶ τοῦ στρατηγικῶς τάττειν, ὅθεν κοσμήτορες λαῶν λέγονται οἱ ἡγεμόνες. 257, 30. 993, 8.
κοσμηθεῖμεν κοσμηθεῖτε κοσμηθεῖεν, ὅτι ἐκ τῶν κοσμηθείημεν, κοσμηθείητε, κοσμηθείησαν συγκεκόφαται. 190, 24.
κοσμητὸς ὁ εὔτακτος, οἷον ἐν τῷ, κοσμηταὶ πρασιαί, ὅ ἐστιν εὔτακτοι, Ὀδ. η', 127. 1569, 48.

κατὰ σκάμμα λέγονταί ποτε. 1084, 32.

κουφότερον φθέγγεσθαι, ἀντὶ τοῦ ἐπηρμένου καὶ θρασύτερον, οἷον ἐν τῷ, καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσιν, Ὀδ. θ', 201. 1591, 62.

κόχλον, ἡ γυναικεία γλῶσσα καλεῖ τὸ στίμμι, ὃ δηλοῖ τὸν καὶ χολᾶν λεγόμενον. 728, 48.

κοχυδεῖν λέγεται ὕδωρ, ἤγουν ποιὸν ἦχον ἀποτελεῖν ἐν τῷ ἀναβλύζειν. 1095, 18.

κοχύδεσκεν, τρίτον πρόσωπον ῥηματικὸν ἀπὸ τοῦ κοχυδεῖν θέματος. 1095, 22.

κόψιχος κατὰ γλῶσσαν ὁ κοινῶς κόσσυφος. 1555, 64. 1951, 41.

κράας κράατος, καὶ κρὰς κρατὸς, ἡ κεφαλή. 700, 58.

κράββατος, ζήτει ἐν τῷ ἀσκάντης. 1944, 19.

Κράγος, ὄρος καὶ πόλις τῆς Λυκίας. 635, 17.

κραδάειν ὅτι πρωτότυπόν ἐστι τοῦ κραδαίνειν· καὶ ὅτι παρὰ τὴν κράδην, ὃ δηλοῖ φύλλον συκῆς, λέγονται. 677, 33. 1872, 1.

κραδαλὸς, ἤγουν εὐκράδαντος. 1165, 20.

κράδη, φύλλον συκῆς. 677, 34.

κραδοφάγοι καὶ κραδοπῶλαι λέγονται οἱ ἄγροικοι ὡς ἀπὸ φύλλων καὶ δένδρων τὸν βίον πορίζόμενοι. 1409, 63.

Κρᾶθις ποταμὸς, ὅτι χρωματίζονταί πως τὰ πίνοντα ἐξ αὐτοῦ βοσκήματα. 279, 6.

κραιπάλη, οἱονεὶ καραπάλη, ἐκ τοῦ κάρα καὶ τοῦ πάλλειν, ὅ ἐστι δινεῖν. 84, 38. 542, 3.

κραιπνὸς ὅτι ἐκ τοῦ καπνὸς πλεονασμῷ τοῦ ρ̄ καὶ ῑ λέγεται, ἢ ἐκ τοῦ κάρα καὶ τοῦ πνέειν. 541, 45.

κραῖρα, ὀρθία κεφαλὴ, οἱονεὶ κάρη αἰρόμενον. 710, 49. 1127, 32. 1725, 26.

κράμβης σπέρμα ὅτι πρὸς μέθην ἐστὶν ἀντιφάρμακον. 1623, 40.

Κραναὴ, ὄνομα νήσου τινός. 433, 18. καὶ κραναὴ χώρα ἐπιθετικῶς ἡ τραχεῖα. 1796, 56. καὶ ὅτι κραναὴ ἡ Ἰθάκη ἐπιθετικῶς λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ διὰ τὴν αὐτῆς τραχύτητα. 1414, 58.

κραναὸν ὅτι παρὰ τὸ κρανίον λέγεται. 701, 1.

κράνεια προπαροξυτόνως, εἶδος φυτοῦ, οὗ ὁ καρπὸς πίτταξις ἢ βάρβιλον ἢ μάραον. 1657, 18.

κρανίον ὅτι ἐκ τοῦ κάρηνον λέγεται συστολῇ καὶ συγκοπῇ καὶ παραγωγῇ. 700, 64.

Κραννὼν, πόλις Θεσσαλικὴ ἢ Πεῤῥαιβικὴ, ἐν ᾗ δύο μόνους κόρακας ἑκάστοτε εὑρίσκεσθαι συμβαίνει, ἱστορία. 933, 23.

κράνος, ὅτι παρὰ τὸ κρανίον λέγεται. 701, 1. 924, 27.

Κράπαθος ἡ Κάρπαθος μεταθέσει τοῦ ρ̄, καὶ ζήτει τὸ Κάρπαθος. 318, 23.

κρὰς κρατὸς, ἡ κεφαλὴ, ὅτι καὶ κράας κράατος λέγεται. 700, 57.

κράσεις οἴνου διάφοροι, καὶ ὅτι ἡ μέν τις τρία καλεῖται, ἤγουν ἓν οἴνου καὶ δύο ὕδατος, ἡ δὲ πέντε, δύο οἴνου καὶ τρία ὕδατος, ἡ δὲ τέσσαρα, ἡ καὶ ἴσον ἴσῳ λεγομένη, καὶ ὑδαροῦς, ὅ ἐστιν ὑδατώδους, κράσεως σκώμματα κωμικά. 1624, 32 — 55.

κραστίζεσθαι ὅτι παρὰ τὴν κράστιν, ὅ ἐστιν ὁ ἡμίξηρος χόρτος, λέγεται. 633, 48.

κράστις ὁ ἡμίξηρος χόρτος, ὅτι καὶ γράστις λέγεται παρὰ τὸ γρῶ, ὃ παρὰ τὸ ῥῶ, ὃ δηλοῖ τὸ φθείρω. 633, 47. ἀλλαχοῦ δὲ ὅτι κράστις, εἶδος πόας, διὰ τοῦ κ̄ λέγεται, οὐ μὴν γράστις διὰ τοῦ γ̄. 1220, 46.

κρᾶτα τὴν κεφαλὴν Σοφοκλῆς (Phil. 1001. 1457.). 700, 62. καὶ ὅτι πληθυντικῶς κατ' οὐδέτερον γένος λέγεται ἡ κρᾶτα φωνὴ παρὰ Πινδάρῳ ἐν τῷ, τρία κρᾶτα. 1715, 63.

κρατεγύαλοι θώρακες οἱ κρατύνοντες τὰ γυῖα ἢ οἱ κρατερὰ γύαλα ἔχοντες. 1188, 41.

κραταιὴ Μοῖρα ὅτι οὐ πρὸς ἔπαινον λέγεται. 1063, 3.

κραταιὶς ἐπίῤῥημα, ὡς λικριφὶς, ἀντὶ τοῦ κραταιῶς ἐν τῷ, τότ' ἀποστρέψασκε κραταιίς, Ὀδ. λ', 597. ἢ κραταί' ἲς ἐν δυσὶ μέρεσσιν, ἤγουν ἡ κραταιὰ ἴς, ὅ ἐστιν ἰσχύς· Κραταιῒς δὲ κατά τινας ὄνομα δαίμονός τινος. 1702, 28-38.

κραταιὸς, ἤγουν κρατερὸς, ὅτι παρὰ τὸ κρᾶτα, ὃ δηλοῖ τὴν κεφαλὴν, λέγεται ἢ παρὰ τὸ κρατὺς κρατέος κρατειὸς καὶ κραταιός. 29, 19. καὶ ὅτι κραταιὸς θὴρ ὁ λέων λέγεται κατ' ἐξοχὴν παρ' Ὁμήρῳ. 835, 14.

κραταίπεδον οἶδας τὸ στερεὸν καὶ λιθόστρωτον ἢ πεπηλημένον ἔδαφος, καὶ ὅτι ἀναλογεῖ ἡ λέξις κατὰ τὴν σύνθεσιν τῷ κραταίβιος καὶ κραταίπιλος. 1887, 39. 1927, 62. 1937, 63.

κραταίποδες οἱ στεῤῥοὶ καὶ ἰσχυροὶ, ὅτι καθ' ὁμοιότητα τοῦ χαλκόποδες λέγεται. 1887, 40.

κρατεῖν τὸ κρατερὸν εἶναι, ὅτι ἐπὶ ψόγου κεῖται ἐν τῷ, ὦ Ἀχιλεῦ περὶ μὲν κρατέεις περὶ δ' αἴσυλα ῥέζεις, Ἰλ. φ', 214. 1231, 5.

κρατερὰ ἀμφίβασις ἡ γενναία ἢ βιαία καὶ ἀναγκαστικὴ ἀπέλευσις ἢ ὑπερμάχησις. 588, 18.

κρατερὰ ἀνάγκη ἡ ἐκ τῶν δεσποτῶν ἐπικειμένη τοῖς δούλοις, Ἰλ. ζ', 458. 654, 20.

κρατερὸς ὁ ἰσχυρὸς καὶ ἀνδρεῖος, καὶ κρατερὸς ὁ βίαιος καὶ σφοδρός. 272, 3. 401, 3. 562, 31. 1102, 43. 1346, 1. καὶ κρατερὸς ἀντὶ τοῦ νικητὴς ἐνίοτε, καὶ Κρατερὸς κύριον ὁμωνύμως τῷ ἐπιθέτῳ. 29, 15.

κρατερὸς δεσμὸς ὁ χαλεπός. 559, 38.

κρατερὸς μῦθος ὁ γενναῖος καὶ δυσαπάντητος, ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ χαλεποῦ καὶ ἀπειλητικός. 29, 15. 1054, 28.

κρατερώνυχες ἵπποι καὶ ἡμίονοι ἐπιθετικῶς, καὶ ὅτι καὶ λύκοι κρατερώνυχες λέγονται Ὀδ. κ', 218. 1562, 10. 1655, 45.

κρατερῶς, ἤγουν γενναίως καὶ στεῤῥῶς. 1036, 38. καὶ κρατερῶς ἀντὶ τοῦ κατὰ κράτος, οὐκ ἐκ μηχανῆς ἐν τῷ, κὰδ δ' ἔβαλε κρατερῶς, Ὀδ. δ', 344. 1498, 51.

κρατερῶς ἀγορεύειν, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀποτόμως λαλεῖν. 696, 1.

κράτεσφι, δοτικὴ τῶν πληθυντικῶν, ὅτι περὶ τῆς κεφαλῆς ἑνός τινος λέγεται ἐν τῷ, αὐτὰρ ὑπὸ

κράτεσφι τάπης ὑπέκειτο φαεινός, Ἰλ. κ', 156. 795, 52.

κρατευταὶ αἱ τῶν ὀβελίσκων λαβαί, ἢ κρατευταί, λίθοι ἢ σιδήριά τινα, οἷς οἱ ὀβελοὶ ἐπιτίθενται, ὅτι παρὰ τὸ κρατέω καὶ κρατεύω λέγεται ἡ λέξις. 749, 3.

κρατήρ, εἶδος ἀγγείου παρὰ τὸ ἐν αὐτῷ συγκεράσθαι οἶνον ὕδατι λεγόμενον, οἱονεὶ κερατήρ. 234, 37. 470, 9. 917, 56. 1398, 11. καὶ ὅτι καὶ εἶδός τι τριπόδων κρατῆρες λέγονται. 740, 10. ζήτει ἐν τῷ τρίποδες· καὶ κρατὴρ περιεκτικῶς ὁ τόπος, ἐν ᾧ οἱ κρατῆρες, ἢ κρατὴρ προσηγορικῶς οἱ πολλοὶ κρατῆρες, Ὀδ. φ', 145. 1904, 56.

κρατηρίζειν τὸ συμπίνειν, ὅτι παρὰ τὸν κρατῆρα λέγεται. 1403, 4.

κρατῆρος κεφαλή, τροπικῶς τὸ ἄνω μέρος τοῦ κρατῆρος. 710, 20.

κρατὶ ἑκάστῳ παρ' Ὁμήρῳ, ὅτι ἡ τοῦ ἑκάστῳ ἐπίθεσις ἐμφαίνει μὴ θηλυκῶς λέγεσθαι τὸ κρατί, οὐδετέρως οὖν ὡς δῆλον ἐκ τοῦ, τρία κρᾶτα, παρὰ Πινδάρῳ· καὶ ὅτι εἰ ἐκ τοῦ κράατι συνῄρητο τὸ κρατί, ἔδει προπερισπωμένως κρᾶτι λέγεσθαι, ὡς κέαρι κῆρι, ἔαρι ἦρι. 1715, 57. ζήτει τὸ κρατός.

Κρατισθένης Φλιάσιος ὅτι θαυματοποιὸς ἦν δεξιώτατος. 1503, 30.

κρατὸς ἀπαλαλκεῖν παρ' Ὁμήρῳ, ὅτι διὰ τοῦ κρατὸς ὁ πᾶς δηλοῦται ἄνθρωπος. 1659, 19.

κρατὸς κρατὶ κρᾶτα, κατὰ θηλυκὸν γένος, καὶ τὸ κρᾶς τοῦ κρατὸς οὐδετέρως, ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ κρᾶτα. 1193, 9. ζήτει τὸ κρατί.

κράτος ἐπὶ βασιλείας. 901, 29.

κρατὺς ἐπίθετον ὅτι ὡς τὸ ἡδὺς κλίνεται. 1353, 41.

κράτων κατὰ γενικὴν πληθυντικὴν ἀντὶ τοῦ κεφαλῶν, ὅτι βαρύνεται ἡ λέξις, καὶ ὅτι ἐκ τοῦ κραάτων συνῄρηται, καὶ ὅτι οὐ κατὰ θηλυκὸν γένος λέγεται. 976, 5. 1928, 37.

κρέα, ὅτι εἰ μὲν ἐκ τοῦ κρέαα ἀποκέκοπται ἡ λέξις, βραχυκαταληκτεῖ, εἰ δὲ συνῄρηται, μακροκαταληκτεῖ, ὅτε καὶ εἰς μίαν συλλαβὴν συνιζάνει ἐνίοτε, οἷον ἐν τῷ, πὰρ δὲ Βοηθοΐδης κρέα δαίετο, Ὀδ. ο', 140. 1777, 19.

κρέα αἴγεια καὶ ἄρνεια καὶ ὕεια, ὅτι ἐκ τῆς τροφῆς τῶν αἰγείων κρεῶν εὔτονοι καὶ γλίσχροι γίνονται χυμοί, καὶ ὅτι τὰ ὕεια καὶ ἄρνεια ῥᾷον φθείρεται διὰ τὴν πιμελήν. 1753, 17.

κρέα ἑφθά, ὅτι καὶ ἑφθὰ κρέα ἤσθιον οἱ ἥρωες. 1893, 1. καὶ ὅτι τὰ ἑφθὰ κρέα εὐπεπτότερά εἰσι τῶν ὀπτῶν. 1752, 5.

κρεανόμος ὅτι παρὰ τὸ κρέα νέμειν λέγεται. 749, 8. 1777, 17.

κρέας ὅτι παρὰ τὸ κρατύνειν διὰ τῆς ἐξ αὐτοῦ τροφῆς λέγεται. 582, 10. 728, 36.

κρεῖοι, εἶδός τι ἐρεβίνθων. 948, 46.

κρεῖον τὸ κρέας ἢ τὸ κρεωδόχον ἀγγεῖον. 747, 15. 33. 1899, 4.

κρείοντες παῖδες, ἤγουν βασιλεύοντες, ἢ ἀντὶ τοῦ κρατοῦντες τῷ πλήθει, τουτέστι πολλοί. 1364, 24.

κρεισσῶ, ῥῆμα σύστοιχον τῷ κρείσσων ὀνόματι. 55, 19.

κρείσσων ἀντὶ τοῦ ὑπέρτερος καὶ ἰσχυρότερος καὶ κατὰ βίαν ἐπικρατέστερος, ὅτι κατὰ δεύτερον τύπον συγκριτικὸν λέγεται κρέσσων καὶ κρείσσων. 55, 15. 385, 25. 1181, 18. 1210, 61. καὶ κρείσσων ἀντὶ τοῦ ἐγκρατὴς καὶ ἐξουσίαν ἔχων. 1912, 4.

κρείων προσηγορικόν, καὶ Κρείων κύριον παρ' Ὁμήρῳ ἀντὶ τοῦ Κρέων, ὅτι ἀπὸ τοῦ κρῶ μονοσυλλάβου λέγεται, ὅθεν καὶ τὸ κραίνω. 1603, 10. 1683, 53. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κρατείω λέγεται. 1480, 43.

κρείων Ἀχελῷος ἐπιθετικῶς λέγεται, διὰ τὸ μέγιστος τῶν καθ' Ἑλλάδα ποταμῶν εἶναι. 1231, 16. καὶ ὅτι καὶ θεράπων τις κρείων λέγεται ἐπιθετικῶς παρ' Ὁμήρῳ, διὰ τὸ τῶν συνθεραπόντων ὑπερέχειν. 1480, 43.

κρίκα, κόσμος ποιὸς γυναικεῖος, ὃς καὶ πλοκαμὶς καὶ κορυφαία λέγεται. 1528, 18.

κρίκω τὸ ἠχῶ. 1279, 46.

κρεμαστὴρ ταρρὸς ἐλέγετο, ἐφ' οὗ τοὺς τυροὺς ἔτερσον. 1625, 14.

Κρεμισσὸς ποταμός, ὅτι ἐμοιωθεὶς κυνὶ συνεγένετο θυγατρὶ Φοινοδάμαντος Τρωικοῦ τινὸς ἀνθρώπου. 384, 19.

κρεμόω ὅτι ἐκ τοῦ κρεμῶ πλεονασμῷ τοῦ ο λέγεται, καὶ ὅτι καὶ ἀντὶ τοῦ κρεμάσω μέλλοντος λαμβάνεται ἐν τῷ, καὶ κρεμόω ποτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο, Ἰλ. η', 83. 666, 34.

κρὲξ ὄρνεον, παρὰ τὸ κρέκω, ὃ δηλοῖ τὸ ἠχῶ. 1126, 45. 1279, 46. ἀλλαχοῦ δὲ ὅτι ὠνοματοπεποίηται ἡ λέξις. 1523, 51.

Κρέουσα, ἐπίνειον Θεσπιέων πρὸς τῷ Κρισαίῳ κόλπῳ. 271, 7.

κρέσσων ἀντὶ τοῦ κρείσσων, Ὀδ. χ', 353. ζήτει ἐν τῷ κρείσσων. 1930, 41.

κρείων ἐπίθετον ἴσον τῷ κρείων, καὶ Κρέων κύριον. 401, 10. ζήτει τὸ κρείων· καὶ ὅτι Κρέων ἠγωνοθέτησε τὸν ἐνναετηρικὸν ἀγῶνα τῶν Πυθίων ὀλίγῳ πρὸ τῶν Τρωικῶν, ἱστορία. 1466, 55.

Κρεώφυλος, Σάμιος ποιητής, Ὅμηρον ξενίσας ποτέ, ἱστορία. 330, 44.

κρήγυον τὸ ἀγαθόν, οἱονεὶ κηρήδυον, ὅ ἐστιν ἡδῦνον τὸ κῆρ. 59, 18. 60, 23. 1268, 11.

κρήδεμνον τὸ μαφόριον καλούμενον, τουτέστι καταπέτασμα τῆς κεφαλῆς γυναικεῖον παρειμένον μέχρι τῶν ὤμων, παρὰ τὸ κάρη καὶ τὸ δέμα πλεονασμῷ τοῦ ν λεγόμενον. 976, 41. 1280, 10. 1421, 10. ἀλλαχοῦ δὲ ὅτι κρήδεμνον κεφαλῆς δέμα ἢ δέμνιον, καὶ πίθου κρήδεμνον τὸ πῶμα, καὶ τείχους κρήδεμνα αἱ περὶ αὐτὸ στεφάναι καὶ αἱ λοιπαὶ ἐξοχαί. 189, 11. 1047, 54. 1421, 17. 1743, 58. καὶ πάλιν ὅτι κρήδεμνον πίθου τὸ σκέπασμα μεταφορικῶς, ἐπεὶ καὶ κεφαλὴ ἀγγείου λέγεται. 1473, 58. 62.

κρηῆναι ἀντὶ τοῦ τελέσαι, τὸ θέμα κραιαίνω, ὅθεν καὶ κρήηνον προστακτικὸν ἀντὶ τοῦ τελείωσον. 36, 35. 737, 50.

κρῆθεν ἀντὶ τοῦ κάρηθεν, ὅ ἐστιν ἐκ κεφαλῆς. 959, 34.

Κρηθεὺς καὶ Σαλμωνεύς, υἱοὶ Αἰόλου καὶ Λαοδίκης τῆς Ἀλωέως, ὅτι ὁ Κρηθεὺς ἐκ Τυροῦς τῆς τοῦ ἀδελφοῦ Σαλμωνέως ἔσχεν Αἴσο-

να, Ἀμυθάονα καὶ Φέρητα. 1680, 61. 1681, 61.

κρῆθμος, λέξις βαρυτονουμένη παρὰ τὸν κανόνα τῶν εἰς μος ληγόντων, κατὰ δ' ἑτέρους καὶ αὐτὴ ὀξυνομένη. 582, 17.

Κρήθων καὶ Κρηθεὺς καὶ Κρηθηὶς κύρια ὅτι διὰ τοῦ η ἔχουσι τὴν κρῆ συλλαβήν. 581, 24.

κρήμνασθαι τὸ κρημνίζεσθαι. 1003, 23. ὅτι παρὰ τὸ κρεμῶ λέγεται τροπῇ τοῦ ε εἰς η καὶ πλεονασμῷ τοῦ ν. 695, 43.

κρήμνη, προστακτικὸν ἀντὶ τοῦ κρήμνιζε, ἀπὸ τοῦ κρήμνημι θέματος, ὡς ἀπὸ τοῦ ἵστημι τὸ ἵστη. 1003, 24.

κρημνὸς ὅτι παρὰ τὸ κρεμῶ λέγεται τροπῇ τοῦ ε εἰς η καὶ πλεονασμῷ τοῦ ν, καὶ ὅτι ἐν ἴσῳ τῷ ὄχθη λέγεται ὁ κρημνὸς ἐν τῷ, ὡς Τρῶες ποταμοῖο πτῶσσον ὑπὸ κρημνούς, Ἰλ. φ', 26. 1221, 8.

κρῆναι ἀντὶ τοῦ τελειῶσαι, οἷον ἐν τῷ, οἵ μου φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε, Ὀδ. ε', 170. 1528, 64. καὶ ὅτι ἀπὸ τοῦ κραίνω θέματος κεκίνηται. 36, 36. ζήτει τὸ κρῆνον.

κρῆναι Ὡρῶν, ὅτι πλυθῆναί τι πρὸς κρήναις Ὡρῶν λέγεται παρὰ Θεοκρίτῳ διὰ τὸ καλῶς πεπλύσθαι. 1349, 5.

κρῆνον, προστακτικὸν ἀντὶ τοῦ κρήηνον, καὶ κρῆναι ἀπαρέμφατον ἀντὶ τοῦ κρηῆναι. 1885, 62.

κρηπὶς κρηπῖδος, ὅτι παρὰ τὸ ῥάπις ῥάπιδος δοκεῖ λέγεσθαι, ὃ καὶ αὐτὸ ὑπόδημα σημαίνει, ὅθεν χρυσόῤῥαπις ὁ Ἑρμῆς ἐπιθετικῶς λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ. 1658, 59.

Κρὴς ἐθνικὸν, καὶ παροιμία, ὁ Κρὴς τὴν θάλασσαν, ἐπὶ τῶν προσποιουμένων ἀγνοεῖν ἃ ἀκριβῶς ἐπίστανται· καὶ ἑτέρα, πρὸς Κρῆτα Κρητίζειν, ἀντὶ τοῦ πρὸς πανοῦργον πανουργεύεσθαι, ἑρμηνεία διεξοδική. 313, 41.

κρησφύγετα, ὅτι τὰ ἐπὶ ἀποφυγῇ τοῦ Κρητὸς Μίνωος κατασκευασθέντα ὑπὸ τῶν διωχθέντων ὑπ' αὐτοῦ λῃστῶν φρούρια οὕτως ἐκλήθη ἐτυμολογικῶς. 1688, 55. 1861, 27.

Κρῆται πληθυντικῶς ἡ Κρήτη. 490, 11. ζήτει ἐν τῷ Κρήτη.

Κρήτας, ὅτι οὕτως ἐκαλεῖτο κατὰ Δωρικὴν φωνὴν Κρητικός τις τρόπος ὀρχήσεως, ἑρμηνεία διεξοδική. 1166, 49.

Κρῆτες ὅτι ὀρχηστικοὶ ἦσαν. 1166, 47. καὶ ὅτι μετὰ λύρας ἐστρατεύοντο. 1320, 3.

Κρήτη ἡ νῆσος ὅτι καὶ Κρῆται λέγεται πληθυντικῶς πρὸς ἔμφασιν τοῦ μεγέθους τῆς νήσου. 119, 3. 1757, 27. καὶ ὅτι δυσλίμενός ἐστι τὰ πρὸς βοῤῥᾶν ἄνεμον ἡ νῆσος. 1861, 43. καὶ πῶς ἐν μὲν τῇ Ἰλιάδι ἑκατόμπολις λέγεται, ἐν Ὀδυσσείᾳ δὲ ἐννενήκοντα πόλεις ἔχειν, ἱστορία διεξοδική. 313, 30. 1860, 55. ζήτει ἐν τῷ Λεῦκος.

Κρήτη καὶ Κρὴς ὅτι τῷ ἐπικρῆσαι ῥήματι συστοιχοῦσιν, ὃ δηλοῖ τὸ ἐπικεράσαι. 1403, 5.

κρητὴρ Ἰωνικῶς ὁ κρατὴρ, ὅτι παρὰ τὸ κρῶ κρήσω λέγεται. 1403, 3.

Κρητίζειν τὸ ψεύδεσθαι, ὅτι ἀπὸ τῶν Κρητῶν λέγεται, ὡς ἀπὸ Κιλίκων καὶ Αἰγυπτίων τὸ Κιλικίζειν καὶ Αἰγυπτιάζειν. 741, 21.

Κρητῶν συσσίτια, ὅτι καὶ ξενικαί τινες ἦσαν τράπεζαι ἐν τοῖς Κρητικοῖς συσσιτίοις, ἐν αἷς ἐκαθέζοντο οἱ ξένοι· καὶ ὅτι τοῖς νέοις ἰδίᾳ κρατὴρ ἐκέκρατο, τοῖς δὲ πρεσβυτέροις ἐξῆν πιεῖν ὅσον ἐβούλοντο· καὶ ὅτι ἀπὸ δείπνου ἐβουλεύοντο περὶ τῶν δημοσίων· καὶ ὅτι γυνή τις ἐφεστήκει τοῖς συσσιτίοις, ἣ τοῖς συνετοῖς καὶ τοῖς ἀνδρείοις παρετίθει τῶν ὄψων τὰ βέλτιστα. 1860, 45.

κρῖ ὅτι ἐκ τοῦ κρῖμνον ἀπεκόπη, καὶ ὅτι οὐδετέρου γένους ἐστὶ, καὶ ὅτι κρῖ λευκὸν λέγεται πρὸς διαστολὴν τοῦ μὴ τοιούτου. 187, 29. 294, 4. 538, 14. 730, 1. 1218, 29. 1407, 22.

κρίβανος, οἱονεὶ κριθῆς βαῦνος, ὅ ἐστι κάμινος· καὶ κριβανωτοὶ ἄρτοι οἱ ἐν κριβάνῳ ὀπτηθέντες· καὶ ὅτι καὶ κλίβανος λέγεται τροπῇ τοῦ ρ εἰς λ. 132, 31. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ κρῖ καὶ τοῦ βαῦνος σύγκειται ἡ λέξις. 1511, 12.

κριβανωτὰ καὶ κλιβανωτὰ ζῷα τὰ ἀκέραια ἐν κριβάνῳ ὀπτώμενα. 1286, 20.

κριβανωτοὶ ἄρτοι, ζήτει ἐν τῷ κρίβανος. 132, 33.

κρίγε, τρίτον πρόσωπον δευτέρου ἀορίστου ἀπὸ τοῦ κρίζω θέματος. 1350, 14. ζήτει τὸ κρίκε.

κρίζειν, ὅτι ὠνοματοπεποίηται ἡ λέξις καὶ δηλοῖ τὸ ποιόν τινα ἦχον ἀποτελεῖν. 1350, 13.

κριθαὶ, ὅτι αἱ κριθαὶ πρῶτον τῶν σπορίμων εἰς χρῆσιν ἦλθον τοῖς ἀνθρώποις· καὶ ὅτι παρὰ τὸ ἐκ τῆς χρήσεως αὐτῶν διακριθῆναι τῶν ἀλόγων τοὺς ἀνθρώπους οὕτως ἐκλήθησαν. 132, 31.

κριθὴ ἄφλοιος κατὰ συμπλοκὴν, ἡ πτισσάνη. 1218, 30.

κριθὴ τὸ γυναικεῖον αἰδοῖον παρὰ τοῖς κωμικοῖς ὁμωνύμως. 134, 22. 948, 48.

κρίθινος οἶνος, ὅτι οἱ τὸν κρίθινον πεπωκότες ὕπτιοι κατακλίνονται. 1270, 11.

κρίκε ἢ κρίγε ζυγὸς, ἀντὶ τοῦ ἔτριζεν, ὅτι ἀπὸ σεσιγημένου ἐνεστῶτος κεκίνηται ἡ φωνή. 1071, 34. 1119, 60.

κρίκος ὅτι παρὰ τὸ κρίζειν ὠνοματοπεποιημένον ῥῆμα λέγεται. 1262, 58.

κρικόω κρικῶ, ῥῆμα τῷ κρίκος ὀνόματι συστοιχοῦν. 1279, 48. 1734, 22.

κριμνίτης πλακοῦς ὁ ἐκ κρίμνου πεποιημένος. 1407, 24.

κρινάμενος, ἤγουν ἐπιλεξάμενος. 1179, 28.

κρίνειν τὸ δικάζειν καὶ τὸ χωρίζειν καὶ τὸ ἐπιλέγειν εἴτουν ἐκλέγεσθαι. 108, 12. 635, 59. 1584, 35. καὶ τὸ διακρίνειν καὶ διαχωρίζειν, οἷον κρῖν' ἄνδρας κατὰ φῦλα. 576, 9. 687, 19. 1625, 51. καὶ ὅτι ἐκ τοῦ κρίνειν τό τε συγκρίνειν καὶ τὸ διακρίνειν ἀντικειμένως λέγονται. 243, 17. καὶ ὅτι καὶ κρίνεσθαι ἀντὶ τοῦ κρίνειν λέγεται, ζήτει τὸ κρίνεσθαι.

κρίνειν ὅτι αἰτιατικὴν ἀπαιτεῖ μεθ' ἑαυτὸ, οἷον κρίνειν θέμιστας, Ἰλ. π', 387. καὶ κρίνειν νείκεα, ἀντὶ τοῦ τὰς φιλονεικίας διαχωρίζειν, Ὀδ. μ', 440. καὶ ὅτι τὸ κρίνειν

καθ' αὑτὸ λεγόμενον ἀτελῶς λέγεται. 1066, 8. 1729, 62.

κρίνειν ὀνείρους, τὸ καὶ λύειν λεγόμενον, ὅτι ἐντεῦθεν τὸ ὀνειροκρίτης σύγκειται, ἑρμηνεία διεξοδική. 532, 41.

κρίνεσθαι ἀντὶ τοῦ κρίνειν, οἷον ἐν τῷ, ἐκρίνατο ὀνείρους, Ἰλ. ε', 150. καὶ ἐν τῷ, ἐκρίνατο εἴκοσι φῶτας, Ὀδ. δ', 778. 532, 41. 1517, 43. 1584, 35. 1801, 55.

κρίνεσθαι Ἄρεϊ, ἀντὶ τοῦ ὁμιλεῖν, συνεῖναι καὶ συμπεπλέχθαι κατὰ πόλεμον. 243, 23. 686, 12. ἀλλαχοῦ δὲ ὅτι κρίνεσθαι Ἄρεϊ τὸ εἰς τὴν διὰ πολέμου διάκρισιν σπεύδειν. 1138, 63.

κρίνεσθαι μένος Ἄρεος λέγεται, ὅταν σύμμιξις πολέμου γένηται, τότε γὰρ διακρίνεται τὸ τῶν μερῶν μένος τῷ τέλει τῆς μάχης. 1801, 55.

κρινθῆναι μετὰ τοῦ ν̄ ὅτι ποιητικώτερον μέν, ἀναλογώτερον δὲ ἢ τὸ χωρὶς τοῦ ν̄ κοινῶς τε καὶ Ἀττικῶς λεγόμενον. 388, 23.

κρῖνον, εἶδος μάζης καὶ σχῆμα ὀρχήσεως ὁμωνύμως. 1018, 18.

κριὸς Φρίξου καὶ Ἕλλης, ἱστορία. 667, 8. 15. ζήτει ἐν τῷ Ἕλλη.

Κρίσσα, πόλις Φωκίδος, ὅτι καὶ Κίῤῥα καὶ Κρῖσα δι' ἑνὸς σ̄ καὶ προπερισπωμένως λέγεται· κατὰ δέ τινας ἄλλη μὲν ἡ Κρίσσα, ἀφ' ἧς ὁ Κρισσαῖος κόλπος λέγεται, ἄλλη δὲ ἡ Κίῤῥα, ἀφ' ἧς τὸ Κιῤῥαῖον καλούμενον πεδίον· καὶ ἄλλα πολλὰ περί τε Κρίσσης καὶ Κίῤῥας διεξοδικῶς. 273, 21—35. 274, 20. ζήτει τὸ Κίῤῥα.

Κρισσαῖος κόλπος καὶ Κιῤῥαῖον πεδίον. 273, 23. 32. ζήτει τὸ Κίῤῥα.

κριτῆς λήγοντα ὀνόματα ὅτι καίπερ ἐκ τοῦ κριτὴς ὀξυτόνου συγκείμενα, ὅμως βαρύνονται, οἷον ξενοκρίτης, ὀνειροκρίτης. 897, 41.

κριτικοὶ οἱ κατὰ τὴν γραμματικὴν παράδοσιν κρίνοντες τὰ ποιήματα. 285, 9. ἀλλαχοῦ δὲ ὅτι κριτικοὶ λέγονται τῶν γραμματικῶν οἱ ἀκριβέστεροι. 773, 29.

κριτὸς λαὸς οὐχ ὁ ἔκκριτος, ἀλλ' ἁπλῶς ὁ προκεκριμένος εἴς τι ἔργον. 689, 25.

κροαίνειν ἀντὶ τοῦ κρούειν εἴτουν κροτεῖν, περὶ ἵππων λεγόμενον παρ' Ὁμήρῳ. 658, 54. καὶ ὅτι παρὰ τὸ κρούω λέγεται ἀπελεύσει τοῦ ῡ. 792, 35. ἀλλαχοῦ δὲ ὅτι ὠνοματοπεποίηται ἡ λέξις καὶ ἐστὶ μίμημα ἤχου ποιοῦ. 1602, 17.

κρόκαι καὶ κροκάλαι αἱ αἰγιαλίτιδες ἄμμοι. 855, 51.

κροκάλαι, ζήτει τὸ κρόκαι.

κροκόδειλος ὅτι παρὰ τὸ δεδιέναι τὸν κρόκον ἢ τὰς κρόκας λέγεται. 855, 50.

Κροκοδίκη, γυνή τις γοητεύτρια εἴτουν φαρμακίς. 881, 60. 1657, 52. καὶ ὅτι ἡ Κροκοδίκη φαρμάξασα τοὺς τοῦ πατρὸς στρατιώτας ὑποχειρίους τοῖς πολεμίοις ἐποίησε δι' ἔρωτα τινὸς τῶν πολεμίων, ἱστορία. 1493, 48.

κροκόπεπλος Ἠὼς λέγεται, ἢ τὸ κροκωτὸν εἴτουν χρυσοφαὲς ἐκ τῶν ἡλιακῶν ἀκτίνων ἐμφαίνεται. 693, 46. ἀλλαχοῦ δὲ ὅτι ἐν τῷ, κροκόπεπλος Ἠώς, διὰ τοῦ κρόκου τὸ πολὺ μὲν τῆς νυκτὸς, ὀλίγον δὲ τοῦ φωτὸς αἰνίττεται ὁ ποιητής. 1429, 45.

κρόκος, ἐν ᾧ ἐπωλεῖτο ὁ κρόκος Ἀθήνησιν ὁμωνύμως τῷ πωλουμένῳ. 1698, 30.

κροκύδειλος ἢ κροκυδειλὸς, ζωΰφιόν τι ἀλλοῖον παρὰ τὸν κροκόδειλον. 855, 52.

Κροκύλεια οὐδετέρως, καὶ Κροκύλειον ἑνικῶς, νῆσος τῆς Ἀκαρνανίας καὶ μέρος τι τῆς Ἰθάκης ὁμωνύμως. 306, 43. 307, 19.

κροκύφαντος, κόσμος τις γυναικεῖος περὶ τὴν κεφαλὴν, ὃς κεκρύφαλος παρ' Ὁμήρῳ λέγεται. 1280, 59.

κρόμμυον ὅτι παρὰ τὸ τὰς κόρας μύειν τοὺς ὀσφραινομένους αὐτοῦ λέγεται. 1061, 4. καὶ ὅτι τὸ κρόμμυον διουρητικόν ἐστι, καὶ περί τινων ἑτέρων αὐτοῦ δυνάμεων. 872, 35.

Κρομυὼν πόλις, καὶ ὅτι περιεκτικοῦ τύπου ἐστὶν ἡ κρομυὼν φωνὴ καὶ δηλοῖ τόπον κρομμύων περιεκτικόν. 1302, 20.

Κρόνιος, ὅτι προπαροξύνεται ἡ λέξις παρὰ τὸν κανόνα τῶν διὰ τοῦ ιος τριβραχέων. 264, 37.

Κρονίων Κρονίωνος, ὅτι φύσει μὲν συστέλλει τὴν νῖ συλλαβὴν, φυλάσσει δὲ τὸ ω̄ ἐν ταῖς πλαγίαις· παρ' Ὁμήρῳ δὲ τοὐναντίον, ἐκτείνεται μὲν ὡς ἐπιπολὺ ἡ νῖ συλλαβὴ, συστέλλεται δὲ τὸ παραληκτικὸν ὃ τῶν πλαγίων κατὰ χρόνου μετάθεσιν. 32, 20. 144, 39. 193, 12. 943, 50. 983, 14. 1704, 7.

Κρόνος, οἱονεὶ κόρος ὅ ἐστι νέος καὶ καθαρὸς νοῦς ἀλληγορικῶς, καὶ διὰ τί ἀγκυλομήτης ἐπιθετικῶς λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ. 203, 20. 1012, 27. καὶ πῶς τὰ ἑαυτοῦ τέκνα κατεδηδοκέναι λέγεται πλὴν τοῦ Διὸς, ἀλληγορία. 203, 23. καὶ ὅτι ὑπὸ γῆν διάγειν μυθεύεται, ἀλληγορία διεξοδική. 724, 28. καὶ ὅτι Κρόνος μέγας ἐπιθετικῶς λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ διὰ τὸ τοῦ ἀστέρος μέγεθος. 719, 45.

κρόσσαι, λέξις διαφόρως ἑρμηνευομένη καὶ ἐτυμολογουμένη ἐν τῷ, κρόσσας μὲν πύργων ἔρυον καὶ ἔρειπον ἐπάλξεις, Ἰλ. μ', 258. 903, 4—33.

κροσσοὶ, οἱ καὶ θύσανοι, τὸ κρῦ μικρὸν, ὅτι παρὰ τὸ κατὰ τὸ ἄκρον σείεσθαι οὕτω λέγονται. 600, 23. 603, 21. 976, 28. καὶ ὅτι παραλόγως ὀξύνεταί τε καὶ δυσὶ σ̄ γράφεται. 1746, 31.

κρόσφος ἢ γρόσφος ὁ τοῦ δόρατος σαυρωτὴρ ἢ εἶδος ἑλεπόλεως. 795, 35.

κροταλίζειν, ῥῆμα σύστοιχον τῷ κρόταλον ὀνόματι. 838, 21.

κρόταλον, σκεῦός τι ἐξ ὀστράκου ἢ ξύλου ἢ χαλκοῦ, ποιὸν ἦχον ἀποτελοῦν, καὶ κρόταλον μεταφορικῶς ὁ λάλος ἄνθρωπος, καὶ ὅτι παρὰ τὸν κρότον λέγεται ἐπενθέσει τῆς αλ συλλαβῆς. 838, 23. 1327, 24.

κρόταφος ὅτι παρὰ τὸ κροτεῖν ἢ τὸν κρότον λέγεται. 492, 33. 39. 727, 26. 1532, 63.

κροτεῖν, ὅτι ὠνοματοπεποίηται ἡ λέξις καὶ ἔστι μίμημα ἤχου ποιοῦ. 1602, 16.

κρότωνες, οἱ καὶ κυνοραῖσται, ὅθεν καὶ παροιμιακῶς λέγεται, κρότωνος ὑγιέστερος. 1821, 46.

κρουνοὶ λέγονται αἱ ἀρχαὶ τῶν

χειμάῤῥων ποταμῶν, πηγαὶ δὲ αἱ τῶν ἀεννάων. 497, 12. 28. ἀλλαχοῦ δὲ ὅτι κρουνοὶ πηγαὶ ὑδάτων ἐξ ὀρέων καταῤῥέουσαι μετὰ κρούσεως. 1263, 50.

κρούπεζαι, ξύλινα ὑποδήματα Βοιώτια. 867, 29.

κρουσίθυρον, ὄνομα αὐλήσεως ποιᾶς. 1236, 57.

κρύβδα, ἐπίῤῥημα ἴσον τῷ κρύβδην. 722, 20.

κρυερὸν τὸ λυπηρὸν καὶ φοβερόν. 1559, 48.

κρυόεις φόβος ἐπιθετικῶς, ὅτι παρὰ τὸ κρύος λέγεται. 731, 35.

κρυπταδία φιλότης ἡ κατὰ μοιχείαν μῖξις, καὶ κρυπτάδια φρονεῖν ἀντὶ τοῦ κρύφα βουλεύεσθαι παρ' Ὁμήρῳ. 631, 58.

κρυπτὴ κλεὶς ἡ ἔνδοθεν κλείουσα ἢ ἡ δυσεπιχείρητος τοῖς ἐπιβουλεύουσι. 974, 35.

κρύσταλλος ὅτι παχύτερόν τι χιόνος καὶ πάχνης δηλοῖ, Ὀδ. ξ', 477. καὶ ὅτι διὰ δυσὶ λ̄ γράφεται. 1263, 57. 1770, 21.

κρυφηδὸν ἐν ἴσῳ τῷ κρύβδην παρ' Ὁμήρῳ. 1760, 59.

κρύψαι ἀντὶ τοῦ καλύψαι ἐν τῷ, ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ, Ὀδ. ε', 488. 1548, 1.

Κρωβίαλος, πολίχνιον Παφλαγονικὸν πρὸς τῇ Ποντικῇ χώρᾳ. 362, 32.

κρωβύλος, κόμης πλέγμα ποιὸν παρ' Ἀθηναίοις, ὃ τῶν εὐγενῶν καὶ αὐτοχθόνων ἦν δεῖγμα. 851, 46.

κρωγμὸς, μίμημα τῆς τῶν κοράκων φωνῆς, κλωγμὸς δὲ ὁ ἐν τῷ θεάτρῳ γινόμενος ἀποσυριγμός. 1504, 29.

κρώζειν καὶ κράζειν λέγονται οἱ κόρακες. 39, 46.

κρωμακωτοὶ τόποι παρὰ Παφλαγόσιν οἱ πετρώδεις καὶ δυσανάβατοι. 330, 40.

Κρῶμνα, πόλις Παφλαγονίας καὶ ἑτέρα Πελοποννήσου. 362, 14.

κρωσσὸς, κεράμιον ἢ κρατὴρ ὕδατος, ὅ ἐστιν ὑδρία, τὸ κρὸ μέγα, ὅτι παρὰ τὸ κρῶ, ὃ ἐκ τοῦ κερῶ συγκέκοπται καὶ δηλοῖ τὸ σταλάσσω καὶ ἐπιχέω, λέγεται. 600, 23. 603, 22. 976, 28.

κτάμενος μετοχὴ, ὅτι ἀπὸ τοῦ κτῶ κτῆμι, ὃ δηλοῖ τὸ κτείνω, γίνεται μετοχὴ ὁ κτὰς τοῦ κτάντος, τὸ παθητικὸν ὁ κτάμενος. 517, 23.

κτανέοντα κατέκτα, παρ' Ὁμήρῳ ἀντὶ τοῦ τὸν ἐλπίζοντα κτεῖναι κατέκτεινε. 1144, 44.

κτάρας, ὅτι οὕτω καλοῦσιν οἱ κατὰ Βυζάντιον χυδαῖοι ἰχθύδιά τινα ἀπὸ τοῦ ἴκταρ ἴκταρος κατὰ παραφθοράν. 1936, 22.

κτᾶσθαι, ὅτι γενική ἐστιν ἡ λέξις, ἐπεὶ καὶ πολλαχῶς ἔστι κτᾶσθαί τι. 760, 6.

κτάσθαι ἀντὶ τοῦ πεφονεῦσθαι, ὅτι θέσει μακρὰν ἔχει τὴν παραλήγουσαν, διὸ καὶ παροξύνεται, κτᾶσθαι δὲ ἀπὸ τοῦ κτάομαι κτῶμαι προπερισπᾶται. 1031, 6.

κτέανον τὸ κτῆμα. 63, 33.

κτεάτεσσι δοτικὴ ὅτι ἀπὸ τοῦ κτέασσι γέγονεν ἐπενθέσει τῆς τε̄ συλλαβῆς. 766, 19.

κτεατίσαι ἀντὶ τοῦ κτήσασθαι. 1436, 15.

κτείνω ὅτι παρὰ τὸ κτέω κτῶ λέγεται προσθέσει τοῦ ῑ καὶ τοῦ γ̄. 517, 24. 1925, 26.

κτείνωμι ἀντὶ τοῦ κτείνοιμι κατ' ἔκτασιν τοῦ ō τῆς διφθόγγου. 1873, 9.

κτεὶς κτενὸς, ὅτι παρὰ τὸ ἐκτείνειν τὰς τρίχας λέγεται. 82, 36.

κτεὶς ὁμωνύμως μόριόν τι τῶν κρυπτομένων τοῦ ἀνθρωπείου σώματος, διὰ τὰ περὶ αὐτὸ ῥαβδώματα οὕτω καλούμενον. 1485, 47.

κτέννω ὅτι ἐκ τοῦ κτείνω γέγονε τροπῇ τοῦ ῑ εἰς ν̄. 1604, 11. 1648, 6.

κτέρεα καὶ κτέατα τὰ κτήματα, κυρίως δὲ τὰ τοῖς κτεινομένοις προσήκοντα. 1418, 32.

κτερεΐζειν νεκρὸν, τὸ κτέρεα ἤγουν κτήματα νεκρικὰ διδόναι τῷ νεκρῷ, τουτέστιν ἐνταφιάζειν. 1321, 53. 64.

κτέωμεν ἀντὶ τοῦ κτῶμεν ἤγουν φονεύσωμεν, ὡς ἀφέωμεν ἀντὶ τοῦ ἀφῶμεν. 1925, 23.

κτῆμα καὶ κτῆσις ὅτι παρὰ τὸ κτῶμαι λέγονται, ὃ ἐκ τοῦ κέω κιῶ γίνεται πλεονασμῷ τοῦ τ̄. 1261, 37. καὶ ὅτι Ὅμηρος μὲν κτήματα καλεῖ πάντα τὰ ὑπάρχοντά τινι, οἱ δὲ ὕστερον τοὺς ἀγροὺς καὶ τὰς οἰκίας ἰδίως. 685, 31. ἀλλαχοῦ δὲ ὅτι κτήματα ἡ ἐν ζῴοις περιουσία. 999, 17. καὶ πάλιν ὅτι κτήματα οὐ μόνον τὰ ἐν τῷ οἴκῳ, ἀλλὰ καὶ ὁ πᾶς βίοτος. 1447, 6. καὶ ὅτι χυδαϊκῶς κτήματα τὰ τετράποδα λέγονται. 494, 4.

κτῆνος ὅτι παρὰ τὴν κτῆσιν λέγεται. 999, 17.

Κτησίβιος, Χαλκιδεὺς φιλόσοφος, ὅτι καὶ σφαιριστὴς ἦν δεξιός. 1601, 53.

Κτησίβιος, κουρεὺς Ἀλεξανδρεὺς, εὑρετὴς τοῦ ὑδραυλικοῦ ὀργάνου. 1157, 46.

κτῆσις παρ' Ὁμήρῳ τὰ ἀπόθετα κτήματα. 1261, 34. ζήτει ἐν τῷ κτῆμα.

κτητικὰ διὰ τοῦ ειος ἀποβάλλοντά ποτε τὸ ε̄ τῆς παραληκτικῆς διφθόγγου διὰ μέτρου χρείαν, οἷον ἐν τῷ Αἰπύτιος τύμβος, καὶ Ποιάντιος υἱός. 301, 7. 1463, 39.

κτητικὰ διὰ τοῦ ωνιος ἐκ γενικῶν πληθυντικῶν ἐσχηματισμένα, οἷον ἄνεμοι ἀνέμων ἀνεμώνιος, Ἑλίκαι Ἑλικῶν Ἑλικώνιος. 1214, 27.

κτητικὰ ταὐτὸ τοῖς ἰδίοις πρωτοτύποις σημαίνοντα ὅτι προπαροξύνονται, οἷον κάπρος κάπριος, ὅρκος ὅρκιος, αἶζηὸς αἰζήιος. 233, 42.

κτητικὰ ἀντὶ τῆς αὐτῶν πρωτοθέτου γενικῆς λαμβανόμενα, καὶ ταῖς ἐκείνῃ ὀφειλομέναις ἐπιθετικαῖς γενικαῖς συντασσόμενα, οἷον Νεστορέῃ παρὰ νηὶ Πυληγενέος βασιλῆος, Ἰλ. β', 54. 172, 24. 601, 31.

κτητικὰ, ὅτι τοῖς κτητικοῖς ὀνόμασιν ἐξ ἀνάγκης προστίθενται τὰ τῶν ὑποκειμένων τῇ κτήσει πραγμάτων ὀνόματα πρὸς ἐντέλειαν τοῦ λόγου, οἷον Πλατωνικὸν βιβλίον· τοῖς δὲ πατρωνυμικοῖς περισσὸν τὸ προστιθέναι τι, ἔγκειται γὰρ αὐτοῖς τὸ εἰς ὃ ἀναλύονται. 858, 1. καὶ ὅτι οἱ Ἀττικοὶ τοῖς πρωτοθέτοις προσηγορικοῖς χρῶνται ἀντὶ τῶν ἐξ αὐτῶν κτητικῶν, οἷον Ἕλλην στρατὸς, ἀντὶ τοῦ Ἑλληνικός. 1339, 7.

κτητικαὶ ἀντωνυμίαι ἀντὶ γενικῶν τῶν συστοίχων πρωτοτύπων

λαμβανόμεναι καὶ τὰ ἐκείναις ἐπιβάλλοντα ἐπίθετα ἀναδεχόμεναι, οἷον ἐν τῷ, δαιρ αὐτ' ἐμὸς ἔσκε κυνώπιδος, 'Ιλ. γ', 180. 401, 16.

κτιδέη κυνῆ ἢ ἰκτιδέη τετρασυλλάβως. 809, 55. 810, 1. ζήτει τὸ ἴκτις καὶ ἰκτιδέη.

κτιδόνες αἱ ἐν τοῖς ξύλοις διαφύσεις εἴτουν ἶνες. 1229, 42.

κτίζω ὅτι παρὰ τὸ κτῶ λέγεται. 1175, 15.

κτίλος ὅτι παρὰ τὸ κίω λέγεται, ὃ δηλοῖ τὸ πορεύομαι. 403, 35. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κτῶ, ὅθεν κτίω. 1175, 14. καὶ Κτίλος κύριον ὄνομά τινος τῶν τοῦ Διὸς ἀπογόνων. 403, 38.

κτιλῶσαι τὸ πραῧναι καὶ χειροήθη ποιῆσαι, ὅτι παρὰ τὸν κτίλον λέγεται. 403, 38.

Κτιμένη κύριον ὅτι παρὰ τὸ κτῶ λέγεται, ὅθεν κτίω. 328, 5. 1175, 14.

κτίσαι ἀντὶ τοῦ οἰκίσαι, πυργῶσαι δὲ ἀντὶ τοῦ τειχίσαι ἐν τῷ, οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν πύργωσάν τε, 'Οδ. λ', 263. 1686, 8.

κτιστὺς ἡ κτιζομένου τινὸς οἰκοδομήματος κατασκευή, οἷον κτιστὺς Μιλήτου, παρ' Ἡροδότῳ. 1180, 7.

κτίτης ἐν ἴσῳ τῷ κτίστης ἐλλείψει τοῦ σ. 283, 7. 328, 5.

κτυπεῖν λέγεται ὁ Ζεὺς παρ' Ὁμήρῳ ἀντὶ τοῦ βροντᾶν. 700, 25. ὅθεν καὶ κτύπος Διὸς ἡ βροντὴ παρὰ τῷ αὐτῷ. 1021, 2.

κτω λήγοντα ῥήματα ἀπὸ ληγόντων εἰς δισίγματον σσω γενόμενα, οἷον ὑλάσσω ὑλακτῶ, τάσσω ἀτακτῶ. 1881, 17.

κτῶ καὶ κτῶμαι ὅτι παρὰ τὸ κίω κῶ λέγεται πλεονασμῷ τοῦ τ. 1261, 37.

κύαμοι ὅτι παρὰ τὸ κύειν αἷμα λέγονται, καὶ περὶ τῶν ἀγρίων κυάμων ἱστορία. 948, 29. καὶ διὰ τί κυάμων ἀπείχοντο οἱ ἱερεῖς, ἱστορία. 948, 23. καὶ ὅτι καὶ μέρος τι τοῦ ζωικοῦ μαστοῦ κύαμος λέγεται ὁμωνύμως. 749, 21.

κύαμος Αἰγύπτιος, φυτόν τι οὗ αἱ μὲν ῥίζαι κολοκάσια λέγονται. 948, 34. τὸ δὲ ἄνθος στεφανωτικὸν ὃν λωτὸς ἐκαλεῖτο παρά τισι τῶν Αἰγυπτίων, παρ' ἑτέροις δὲ μελίλωτον· καὶ περὶ τοῦ μήκους καὶ πάχους τοῦ καυλοῦ αὐτοῦ ἱστορία. 1616, 47.

κυανεάων ἀντὶ τοῦ κυανέων κατὰ πλεονασμὸν τοῦ ᾱ παρ' Ἡσιόδῳ. 1363, 54.

κυάνεον ὅτι τῆς τοῦ θαλασσίου ὕδατος μελανίας ἐστὶ διαφορά. 116, 14.

Κύανθος ὅτι οἰνοχοῶν Ἡρακλεῖ ὑπ' ἐκείνου ἀκουσίως ἀνῃρέθη, διὸ καὶ τέμενος ἐκείνῳ ὁ Ἡρακλῆς ἀνῆκεν Οἰνοχόου λεγόμενον. 1900, 26.

κυανόπεζα τράπεζα ἐπιθετικῶς ἡ ἔχουσα κυανέαν πέζαν. 867, 27.

κυανοπρώρειος ναῦς ὅτι ἐκ πλεονασμοῦ ἔχει τὴν παραλήγουσαν δίφθογγον, ἢ κατὰ κτητικὸν τύπον εἴρηται, ὡς καὶ τὸ ἡμετέρειος. 1468, 35.

κύανος, χρῶμά τι μέλαν, μᾶλλον δὲ μεταλλόν τι μελανίζον, ἐξ οὗ τὸ κυάνειον καὶ κυάνεον μετουσιαστικῶς λέγεται, καὶ ἐν συναιρέσει κυανοῦν. 828, 19. 1570, 28.

κυανοῦν χρῶμα, ζήτει ἐν τῷ κύανος.

κυβάλης ὁ κυφὸς, ὅτι παρὰ τὸν κέκυφα παρακείμενον λέγεται τροπῇ τοῦ φ εἰς β. 1431, 46.

κυβερνήτης ὁ κατὰ τὴν πρύμναν τῶν νεῶν προϊστάμενος, πρωρεὺς δὲ ὁ τὰ κατὰ τὴν πρῶραν διοικῶν. 1729, 5. καὶ ὅτι παρὰ τὸν κανόνα τῶν εἰς της ῥηματικῶν βαρύνεται τοὔνομα. 533, 38.

Κυβήβα ἢ Κυβήβη ἡ Ῥέα· καὶ Κύβηβος ὁ κατεχόμενος αὐτῇ ἢ ἄλλῳ τινὶ δαιμονίῳ, καὶ ὅτι παρὰ τὸ κυφὸς λέγονται. 1431, 47.

κυβιστᾶν τὸ ἐπὶ κεφαλὴν ἑαυτὸν βάλλειν, παρὰ τὸ κύμβη, ὃ δηλοῖ τὴν κεφαλήν· καὶ ὅτι κυβιστᾶν λέγονται οἱ ἰχθύες, ἤγουν σὺν ταράχῳ καταδύεσθαι. 584, 18. 1030, 42. 1239, 63.

κυβιστητὴρ ὁ ἐπὶ κύμβην, ὅ ἐστι κεφαλὴν, ἢ κατὰ κύβον καταβάλλων ἑαυτὸν, καὶ κυβιστητὴρ ὁ ὀρχηστής. 1083, 60. 1084, 46.

κύβιτον Ῥωμαϊκῶς τὸ ὄγκωμα ἢ ὁ ἀγκών. 1397, 5.

κύβοι οἱ καταῤῥιπτόμενοι ἑξάπλευροι βόλοι, καὶ οἷον καταβιστῶντες ἐν τῷ βάλλεσθαι· καὶ κύβος ἐκ μέρους ἡ ὅλη διάθεσις τῆς διὰ κύβων παιδιᾶς· καὶ ὅτι κύβος λέγεται πᾶσα ψῆφος τετράγωνος. 1396, 55 — 64. καὶ ὅτι κατὰ μὲν Πλάτωνα Αἰγυπτίων ἐστὶν εὕρεμα ἡ κυβεία, κατὰ δὲ ἑτέρους Παλαμήδους τοῦ Ναυπλίου. 228, 1. 1397, 10. καὶ ὅτι κύβος παρὰ τὸ κύκλωθεν βάσιν ἔχειν λέγεται· καὶ ὅτι τρισὶ κύβοις ἐχρῶντο οἱ παλαιοί· καὶ ὅτι κύβος καὶ ἡ ἐν τοῖς κύβοις μονὰς, ὅθεν παροιμία, ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους· καὶ ὅτι ἐσπουδάζετο ἡ κυβεία παρ' Ἀθηναίοις, καὶ ὅτι κυβείας προστάται ὁ Ἑρμῆς καὶ ὁ Πὰν ἐνομίζοντο. 1083, 61. 1397, 4. 15—27. καὶ περὶ τῆς διὰ πεσσῶν καὶ κύβων καὶ ἀστραγάλων παιδιᾶς καὶ τῶν ὀνομασιῶν τῶν βόλων αὐτῶν ἑρμηνεία διεξοδικωτάτη. 1289, 55.

κυδάζειν τὸ ὑβρίζειν, καὶ κυδάζεσθαι τὸ λοιδορεῖσθαι, παρά τι κῦδος, ὃ δηλοῖ τὴν λοιδορίαν ἀρσενικῶς λεγόμενον παρὰ τοῖς μεθ' Ὅμηρον. 64, 32. 790, 40.

κυδάζεσθαι ἀντὶ τοῦ λοιδορεῖσθαι. 64, 32. ζήτει τὸ κυδάζειν.

κυδαίνειν τὸ τιμᾶν, κυδάζειν δὲ τὸ ὑβρίζειν. 790, 40. ζήτει τὸ κυδάζειν.

κίδαρις ὅτι καὶ κύταρις λέγεται διὰ τὴν τοῦ τ πρὸς τὸ δ συγγένειαν. 1618, 40.

κυδιᾶν τὸ γαυριᾶν καὶ ὑψαυχενεῖν, ὅτι παρὰ τὸ κῦδος λέγεται, τοῦτο δὲ παρὰ τὸ κύω, ὃ δηλοῖ τὸ φιλῶ. 292, 34. καὶ ὅτι κυδιᾶν καὶ περὶ ἵππων λέγεται. 658, 62.

κυδιόων, γαυριῶν, ὑψαυχενῶν. 292, 34.

κυδίστατος ὅτι ἐκ τοῦ κύδιστος ὑπερθετικοῦ κατ' ἐπίτασιν ὑπερθέτως λέγεται. 215, 12.

κῦδος ἡ εὔκλεια. 448, 34. κῦδος δὲ ἀρσενικῶς ἡ λοιδορία κατά τινας παρὰ τοῖς μεθ' Ὅμηρον. 64, 31. καὶ ὅτι τὸ κῦδος ἐπὶ εὐκλείας παρὰ τὸ κύω, ὅ ἐστι φιλῶ, λέγεται. 658, 63.

κυδροῦσθαι ἀντὶ τοῦ γαυριᾶν καὶ

ἐπαίρεσθαι, ὅτι περὶ ἵππων λέγεται. 658, 62.

Κύδων, ὄνομα ἀνθρώπου τινὸς φιλοξένου, ὅθεν παροιμία, ἀεί τις ἐν Κύδωνος. 1468, 28. ἀλλαχοῦ δὲ ὅτι Κύδων υἱὸς Ἀπόλλωνος, ἀφ' οὗ Κύδωνες τὸ ἐν Κρήτῃ ἔθνος. 1861, 9.

Κύδωνες, ἔθνος Κρητικὸν, καὶ Κυδωνὶς πόλις ἡ καὶ Κυδωνία, ἀφ' ἧς τὸ ἐθνικὸν Κυδωνιάτης, ὅθεν τὸ Κύδων λέγεται κατὰ συγκοπήν. 293, 46. 1468, 25.

Κύδωνες τοὺς ἰδίους δούλους τιμῶντες, ὅτι παρὰ Κύδωσι κατά τινας ἑορτὰς οἱ δοῦλοι κρατοῦσι τῆς πόλεως καὶ τοὺς ἐλευθέρους μαστιγοῦσι. 1885, 33.

Κυδωνία, πόλις Κρήτης δυνατωτάτη ποτὲ μετὰ Κνωσσὸν καὶ Γόρτυνα. 312, 46.

Κυδώνια μῆλα ὅτι ἐκ Κυδωνίας Κρητικῆς χώρας δοκοῦσι παρονομασθῆναι. 1468, 26.

κύειν τὸ φιλεῖν καὶ τὸ κατὰ γαστρὸς φέρειν παρὰ τοῖς παλαιοῖς, τίκτειν δὲ τὸ ἀπαλλαγῆναι τοῦ κύειν, παρὰ δὲ τοῖς μεταγενεστέροις καὶ αὐτὸ τὸ τίκτειν κύειν λέγεται. 656, 56. 1174, 19. 1799, 53. καὶ ὅτι τὰ θήλεα μόνα κύειν λέγονται, γεννᾶν δὲ καὶ τίκτειν οὐ μόνον τὰ θήλεα, ἀλλὰ καὶ τὰ ἄῤῥενα, ὅθεν καὶ τοκῆες καὶ γεννήτορες λέγονται. 1568, 2.

κυήμεναι ἀπαρέμφατον ὅτι ἐκ τοῦ κυῶ περισπωμένου θέματος κεκίνηται. 1407, 61.

κύησις ὅτι ἀπὸ τοῦ κυῶ κυήσω περισπωμένου ῥήματος παρήχθη. 1546, 23.

κυήτωρ κυήτορος, ὅτι ἀπὸ τοῦ κυέω κυῶ περισπωμένου ῥήματος παρήχθη. 1546, 21.

κύθεν ἀντὶ τοῦ ἔκρυψεν, ἀπὸ τοῦ κεύθω, ὁ ἀόριστος δεύτερος ἔκυθον. 1455, 12.

Κυθέρεια ἡ Ἀφροδίτη, ὅτι διὰ τὸ περὶ Κύθηρα τὴν νῆσον ἀναφανῆναι οὕτω λέγεται, ἢ παρὰ τὸ κεύθειν ἔρωτας. 1598, 50.

Κύθηρα οὐδετέρως, νῆσος πρὸς τῇ Κρήτῃ, ἡ καὶ Πορφυροῦσα ποτὲ κληθεῖσα, ἐν ᾗ μυθεύεται γεννηθῆναι ἡ Ἀφροδίτη, διὸ καὶ τὸ ζάθεον αὐτῇ ἐπιτίθησιν Ὅμηρος. 433, 20. 804, 33. 1024, 47.

κύθρα ἡ χύτρα Ἰωνικῶς κατὰ στοιχείων ἐναλλαγήν. 746, 16.

κυκᾶν, στρέφειν, ταράττειν, ὅτι περὶ ὑγρῶν λέγεται. 620, 5. 12. 836, 20. ἀλλαχοῦ δὲ ὅτι κυκᾶν τὸ κυκεῶνα ποιεῖν κυρίως, τροπικῶς δὲ τὸ ταράσσειν καὶ τὸ μαγειρικῶς πραγματεύεσθαι. 870, 57. 63. καὶ ὅτι τὸ κυκᾶν καὶ ἐπὶ πτυρμοῦ καὶ συγχύσεως ἵππων καὶ ἐπὶ ταράχου πραγμάτων τίθεται. 1213, 49.

κυκειῶ κατ' αἰτιατικὴν ἀντὶ τοῦ κυκεῶνα ἀποκοπῇ καὶ ἐπενθέσει τοῦ ι. 866, 51.

κυκεὼν ὅτι ὡς ὑγρόν τι ἐστὶ καὶ πόσιμον καὶ οἷον ζωμὸς ῥοφητὸς ὑπόκειται παρ' Ὁμήρῳ, καὶ ὅτι παρὰ τὸ χέειν ἢ χύειν λέγεται, καὶ κυκεὼν ἄνθρωπος μεταφορικῶς. 437, 7. 620, 6. 12. 870, 64. ἀλλαχοῦ δὲ ὅτι κυκεὼν βρῶμα ἐκ ξηρῶν τινῶν καὶ ὑγρῶν εἰδῶν κεκραμένον. 607, 6. καὶ ὅτι παρὰ τὸ κυκᾶν λέγεται. 866, 49. 1656, 58.

κυκηθήτην, ἤγουν ἐταράχθησαν. 836, 19. ζήτει τὸ κυκᾶν.

κύκλα οἱ τροχοὶ τῶν ἁμαξῶν καὶ τῶν ἁρμάτων παρ' Ὁμήρῳ. 597, 41. 1550, 23. καὶ ὅτι κατὰ γένους μεταπλασμὸν κύκλα λέγονται οἱ κύκλοι. 1148, 24.

κυκλέω κυκλῶ κυκλήσω, τὸ δι' ἁμάξης ἄγω. 412, 30. 683, 57. ὅτι παρὰ τὰ κύκλα λέγεται, ὃ δηλοῖ τοὺς τροχούς. 1148, 24.

κυκληδὸν ἐπίῤῥημα, ὅτι χρήσιμός ἐστι λέξις. 706, 23. 881, 20.

Κυκλόβορος, χείμαῤῥός τις τῆς Ἀττικῆς μετὰ ψόφου φερόμενος. 213, 37.

κύκλος, ὅτι τὰ κυκλοτερῆ σχήματα ἐπιτήδευον οἱ παλαιοὶ ἐπί τε οἰκοδομημάτων καὶ τοπικῶν διαστημάτων, οἷον τοῦ τῆς ἀγορᾶς καὶ τοῦ τῆς ἅλω, καὶ ἐπί τινων σκευῶν, οἷον τραπεζῶν καὶ ποτηρίων καὶ ἄλλων τινῶν, εἰς σύμβολον τοῦ κατὰ τὸν κόσμον σφαιροειδοῦς. 1816, 24.

κύκλος ὁ ἁρμάτειος τροχὸς πολλαχοῦ παρ' Ὁμήρῳ, ὅς καὶ ποιητὸς λέγεταί ποτε ἐπιθετικῶς ὑπακουομένου τοῦ εὖ, ἢ πρὸς διαστολὴν τοῦ νοητοῦ κύκλου. 574, 28. 1304, 41.

κύκλος, σχῆμα ῥητορικόν. 945, 55. καὶ παραδείγματά τινα τοῦ σχήματος. 818, 45. 1045, 56.

κύκλος ἱερὸς παρ' Ὁμήρῳ λέγεται ὁ τοῦ δικαστηρίου τόπος διὰ τὴν ἐν αὐτῷ θέμιν καὶ δίκην. 1158, 2. 26.

κύκλος κηροῦ ἢ τυροῦ οὐχ οὕτως ἀκριβῶς λέγεται ὡς τροχὸς διὰ τὸ τὸν κύκλον σχῆμα ἐπίπεδον εἶναι καὶ ὀβαθὲς, τὸν δὲ τροχὸν τριχῇ διαστατόν. 1710, 44.

κυκλοτερὲς τόξον, οὐ τὸ φύσει τοιοῦτον, ἀλλὰ τῷ ἑλκυσμῷ τῆς νευρᾶς τοιοῦτον γινόμενον. 452, 23.

κύκλωμα Ἰξίονος ἡ ἐπὶ τοῦ τροχοῦ μυθικὴ περιδίνησις τοῦ Ἰξίονος παρ' Εὐριπίδῃ. 689, 60.

Κυκλώπεια οἰκοδομήματα, σπήλαιά τινα καὶ λαβύρινθοι οἰκοδομητοὶ ἐν Ναυπλίᾳ ἀπὸ τῶν οἰκοδομησάντων Κυκλώπων οὕτω κληθέντες, ἱστορία. ζήτει ἐν τῷ, Κύκλωπες ἐγχειρογάστορες. 1622, 55.

Κυκλώπειος δωρεὰ, παροιμιακὸν ἐπὶ τῶν πρὸς καιρὸν μὲν μὴ ἐπεξιόντων, ὕστερον δὲ ἀπολλύντων τινά. 1634, 35. 1926, 64.

Κύκλωπες παρ' Ὁμήρῳ, οἱ ὕστερον Λεοντῖνοι, ἔθνος Σικελικὸν, ὅτι λησταὶ ἦσαν καὶ πίονα χώραν οἰκοῦντες. 1618, 2. 1644, 41. καὶ ὅτι οὐ πάντες οἱ Κύκλωπες ἀσεβεῖς κατὰ τὸν Πολύφημον ἱστοροῦνται. 1636, 46.

Κύκλωπες γαστερόχειρες ἢ ἐγχειρογάστορες καλούμενοι παρὰ τὸ ἐκ τοῦ ἑαυτῶν τέχνης τρέφεσθαι, ὧν ἔργα τὰ Κυκλώπεια κληθέντα οἰκοδομήματα, ἱστορία. 285, 20. 1622, 53. ζήτει τὸ Κυκλώπεια οἰκοδομήματα.

Κύκλωπες μονόφθαλμοι τρεῖς, χαλκεῖς τῶν τοῦ Διὸς κεραυνῶν, καὶ ὅτι οἱ παρ' Ὁμήρῳ Κύκλωπες τὸ ἔθνος δύο ἔχειν ὀφθαλμοὺς ὑπόκεινται, καὶ ὅτι καὶ ὁ Πολύφημος δύο σχὼν κατὰ φύσιν ἐκ περιπετείας τινὸς θάτερον ἦν ἀπολωλεκὼς πρὸ τοῦ ὑπ' Ὀδυσσέως καὶ τοῦ λοιποῦ στερηθῆναι. 1622, 45–33. ἀλλαχοῦ δὲ ὅτι ἕνα εἶχεν ἕκαστος ὀφθαλμὸν

κύμινδις ὄρνεον, καὶ περὶ τινῶν ἰδιωμάτων αὐτοῦ, καὶ ἐτυμολογία καὶ γένος τοῦ ὀνόματος. 986, 26.
κυμινοκίμβιξ, ζήτει ἐν τῷ κίμβιξ. 1828, 10.
κυνάδες ὅτι παρὰ τοὺς κύνας λέγονται, κύνες δὲ ἧλοι τινὲς λέγονται ὁμωνύμως τῷ ζώῳ. 1570, 48.
Κυνάδρα, κρήνη ἐν Ἄργει, ἐξ ἧς ἔπινον οἱ ἐλευθερούμενοι, ὅθεν τὸ, ἐν Κυνάδρᾳ ὕδωρ, παροιμιακῶς λέγεται ἐπὶ τῆς κατ' ἐλευθερίαν ζωῆς, ὅτι παρὰ τὸ ἐκεῖθεν κίνα διαδρᾶναι οὕτως ἐκλήθη. 1747, 10.
Κύναιθος Χῖος ὅτι πρῶτος ἤρξατο ἀπαγγέλλειν τὴν Ὁμήρου ποίησιν. 6, 39.
κυνάμυια ἡ ἀναιδὴς καὶ θρασεῖα γυνή, ὅτι παρὰ τὸν κύνα καὶ τὴν μυῖαν λέγεται, καὶ ὅτι ἐκ τοῦ κυνόμυια γέγονε τροπῇ τοῦ ο εἰς ᾱ. 1243, 20. 1822, 9.
κυνάρα καὶ κύναρος διὰ τοῦ υ ψιλοῦ, εἶδος ἀκάνθης, ἣν ἡ κοινὴ γλῶσσα κυνόσβατον ἢ κυνὸς βάτον ὀνομάζει, ὅτι παρὰ τὸ κυνὸς ἀρὰν, ὅ ἐστι βλάβην, ἐνιέναι τοῖς ὑπ' αὐτῆς ἀμυχθεῖσιν οὕτω λέγεται. 1822, 17. 23.
κύναστρον χυδαϊκῶς ὁ κύων τὸ ἄστρον. 514, 27.
κυνεῖν τὸ φιλεῖν, ὅτι παρὰ τὸ κύειν λέγεται προσλήψει τοῦ ν, καὶ κυνεῖν τὸ προσκυνεῖν ὁμωνύμως. 1681, 43. 1811, 26.
κύνειρα γυνὴ ἡ τὸν κύνα, ὅ ἐστι τὸ ἑαυτῆς μόριον, εἰρύουσα, ὅ ἐστιν ἐφελκομένη· κύων γὰρ τὸ γυναικεῖον μόριον ὁμωνύμως. 1822, 14.
κυνέη ἡ τοῦ κυνὸς δορὰ, καὶ κυνέη ἡ ἐκ κυνείου δέρματος περικεφαλαία, καὶ ἁπλῶς ἡ περικεφαλαία διὰ τὴν τοῦ τοιούτου δέρματος ἀρχαίαν χρῆσιν. 421, 6. καὶ κυνέη αἰγείη, καταχρηστικῶς τὸ ἐξ αἰγείου δέρματος κάλυμμα τῆς κεφαλῆς, Ὀδ. ω', 231. 1959, 52.
κύνεον ἦθος τὸ ἀναιδές. 1822, 9.
κύνες ὅτι σαίνοντες καταβάλλουσι τὰ ὦτα, καὶ ἔστι τοῦτο φιλοφροσύνης χαρακτήρ. 1820, 47. καὶ ὅτι κύνας ἀγριαίνοντας πραΰνει τὸ τὸν ἄνθρωπον ὀκλάσαι καὶ προέσθαι τὸ ἐν τῇ χειρὶ βέλος. 1749, 42. καὶ ὅτι οἱ Ἰνδικοὶ καὶ Ὑρκανοὶ καὶ Μολοσσοὶ καὶ Λακωνικοὶ κύνες περιᾴδονται ὡς ἀγαθοί. 1822, 5. καὶ ὅτι οἱ Ἰνδικοὶ κύνες λύκων μὲν καὶ ἀλωπέκων καταφρονοῦσι, λέουσι δὲ καὶ παρδάλεσιν ἀντεπεξίασι. 797, 33. καὶ ὅτι μέχρι καὶ εἰκοσιτεσσάρων ἐτῶν ζῶσιν οἱ κύνες. 1821, 7. καὶ ὅτι κυνός τινος τῶν τοῦ Ἀλεξάνδρου ἡ καρδία ἀνατμηθεῖσα τετριχωμένη εὑρέθη. 79, 1. καὶ ὅτι κύνες ὁμωνύμως ἐκαλοῦντο αἱ ἀντεπιβουλεύουσαι ἀλλήλαις ψῆφοι ἐν τῇ διὰ κύβων παιδιᾷ, ἑρμηνεία διεξοδική. 1397, 45. καὶ κύνες Ἡφαίστου οἱ ἐκ τοῦ πυρὸς σπινθῆρες παρὰ Ἀλέξιδι τῷ κωμικῷ. 1151, 41. καὶ κύνες ἧλοι ποιοὶ ὁμωνύμως τῷ ζώῳ. 1570, 47.
κυνῆ γενικῶς πᾶν εἶδος περικεφαλαίας, ἀπὸ ἑνὸς εἴδους τῶν ἐκ κυνείου δέρματος πάλαι γινομένων, καὶ ὅτι κυνῆ ταυρείη ἢ αἰγείη καταχρηστικῶς ἐλέγετο. 803, 46. 1959, 52. καὶ κυνῆ τὸ κοινῶς λεγόμενον σκιάδιον, ὅπερ ὁ Ἡσίοδος ἔργ. 544. πῖλον ἀσκητὸν ὀνομάζει. 613, 43.
κυνῆ Ἄιδου, ἀέριόν τι κάλυμμα τῆς κεφαλῆς, εἴτουν νέφος πυκνότατον, δι' οὗ καὶ οἱ μυθικοὶ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται· καὶ πῶς ἡ Ἀθηνᾶ φορέσαι ποτὲ τὴν τοιαύτην κυνῆν λέγεται παρ' Ὁμήρῳ, καὶ ὅτι καὶ πᾶς ὁ δολίως καὶ οἷον ὑπὸ σκότῳ τι πράττων κυνῆν Ἄιδου φορεῖν παροιμιακῶς λέγεται. 613, 24—42.
Κυνικοὶ φιλόσοφοι ὅτι διὰ τὸ κατὰ τοὺς κύνας σαίνειν μὲν τοὺς πεπαιδευμένους, ὑλακτεῖν δὲ κατὰ τῶν ἀπαιδεύτων οὕτως ἐλέχθησαν. 1822, 10. καὶ ὅτι ὡς κακολόγοι καὶ βοροὶ ἐκωμῳδοῦντο οἱ Κυνικοὶ φιλόσοφοι. 1817, 23.
κυνοκαύματα τὰ περὶ τὴν τοῦ κυνὸς τοῦ ἄστρου ἐπιτολὴν γινόμενα καύματα. 1255, 24.
κυνοραϊστής, ὅτι ἐκ τοῦ ῥαίω τὸ φθείρω γίνεται ῥαΐζω, ὅθεν κυνοραϊστής· καὶ ὅτι κοινῶς μὲν ἐνὶ ρ, Ἀττικῶς δὲ δυσὶ γράφονται τὰ τοιαῦτα. 773, 20. 945, 51. 1076, 20. 1821, 44.
Κῦνος, ἐπίνειον Ὀπούντος πόλεως τῶν Ἐπικνημιδίων Λοκρῶν, ἔστι δὲ ἄκρα τις τερματίζουσα τὸν Ὀπούντιον κόλπον. 277, 9.
Κυνόσαργες προπαροξυτόνως, γυμνάσιον Ἀθηναίων ἔξω τοῦ ἄστεος· καὶ ὅτι ἀπὸ κυνὸς ἀργοῦ, ὅ ἐστι λευκοῦ, κρέας ἁρπάσαντος ἐκ θυσίας τινὸς κἀκεῖ καταφυγόντος ὠνομάσθη· καὶ, ἐς κυνόσαργες, παροιμία ἐν ἴσῳ τῷ, ἐς κόρακας. 1430, 56 1747, 8. 12.
κυνόσβατος, εἶδος βάτου, ἡ καὶ κυνάρα καὶ κίναρος. 1822, 17. 20. ζήτει τὸ κυνάρα.
κυνόσουρα ἡ μικρὰ ἄρκτος, ἀστροθέτημά τι ἐξ ἑπτὰ ἄστρων συγκείμενον, ὅτι ὑπὸ Θαλοῦ τοῦ Μιλησίου κατεδείχθη, καὶ ὅτι Φοίνικες πρὸς αὐτὴν ἔπλεον. 1155, 31. ἀλλαχοῦ δὲ ὅτι ἐφ' Ὁμήρου μὲν οὐκ ἔγνωστο, ὕστερον δὲ ὑπὸ Φοινίκων παρετηρήθη. 1535, 10.
κυνοῦχος, μάρσιππος εἴτουν θύλακος. 1534, 50.
κύντερον ἔργον τὸ ἀναιδὲς καὶ δεινὸν καὶ θρασὺ, οἱονεὶ κυνεώτερον, ὅ ἐστιν ἀναιδέστερον. 724, 22. 821, 44. 1577, 62.
κυνυλαγμὸς συνθέτως ὁ τῶν κυνῶν ὑλαγμός. 1251, 60.
κυνῶ ὅτι παρὰ τὸ κύω παρήχθη, καὶ ὅτι βαρύνεσθαι ὤφειλεν, ὡς τὸ δύω δύνω, θύω θίνω. 1507, 50.
κυνῶπα καὶ κύνεον καὶ κυνὸς ὄμματα ἔχειν λέγει Ὅμηρος τὸν θυμούμενον ἢ μᾶλλον τὸν ἀναιδῆ. 1392, 55.
κυνῶπις, ὅτι κατὰ ψόγον ὀφθαλμῶν λέγεται τὸ ἐπίθετον, ὥσπερ τὸ κυανῶπις κατ' ἔπαινον. 1599, 19.
κύξ, μίμημα ἤχου ποιοῦ, οἷον ψήφου καταπεσούσης. 768, 12.
κύπαιρον Δωρικῶς τὸ κοινῶς κύπειρον. 969, 7. 1648, 7.
κυπάρισσος φυτὸν ὅτι παρὰ τὸ κύειν παρίσους τοὺς κλάδους δοκεῖ λέγεσθαι. 247, 7. καὶ Κυπάρισσος, πόλις Φωκίδος, ἀπὸ Κυπαρίσσου τινὸς ἥρωος ἢ παρὰ τὸ πλῆθος τῶν περὶ αὐτὴν Κυπαρίσ-

σων. 273, 15. 274, 5. 297, 20. Κυπαρισσήεις δὲ πόλις τῆς Μεσσηνίας καὶ ποταμὸς ὁμώνυμος. 297, 19. καὶ Κυπαρισσία ἄλλη πόλις, Μεσσηνιακὴ καὶ αὐτή. 297, 22.

κύπειρον ὅτι καὶ κύπαιρον λέγεται κατὰ γλῶσσαν. 1239, 61.

κύπελλα, ποτήρια ἐπὶ τὰ ἔσω κύπτοντα, εἴτουν νεύοντα τοῖς χείλεσιν, ὅτι παρὰ τὸ κυφὰ εἶναι οὕτω λέγονται ἀπὸ τοῦ ἔκυπον δευτέρου ἀορίστου, καὶ ὅτι καὶ ἀμφικύπελλα λέγονται, ἑρμηνεία διεξοδική. 158, 41—159, 7. 1402, 27. 1776, 30 — 40. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ κίφος δοκεῖ λέγεσθαι, ὅθεν καὶ ὁ σκύφος. 1775, 24.

Κύπριοι ὅτι ἄριστοι τεχνῖται ποικίλων ὑφασμάτων ἱστοροῦνται. 1400, 11.

κυπρισμὸς ἐλαίας τὸ ἄνθος. 1095, 24.

Κύπρος ἡ νῆσος ὅτι διὰ τὸ κατὰ τὴν φωνὴν ὁμοιοῦσθαι πρὸς τὸ κύειν πόρεσθαι, ἤγουν πορίζεσθαι, ὅπερ Ἀφροδίτης ἐστὶν ἴδιον, ἀνεῖσθαι τῇ Ἀφροδίτῃ λέγεται. 1600, 63.

κῦρε ἀντὶ τοῦ ἔκυρε, ζήτει τὸ κύρειν.

κύρειν τὸ ἐπιτυγχάνειν καὶ κατευστοχεῖν ἐν τῷ, αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ, Ἰλ. ψ', 821. 1331, 21. 27.

κύρειν τὸ ἐντυγχάνειν, ὅτι καὶ κυρεῖν περισπωμένως λέγεται. 1363, 56.

κυρηβάσαι πρὸς σκέλος παρ' Ἀριστοφάνει, ὅτι ὅμοιόν ἐστι τῷ παρ' Ὁμήρῳ κόψαι κώληπα εἴτουν ἰγνύαν, Ἰλ. ψ', 726. 1326, 54.

Κυρηναῖοι ἄκλητοι παριόντες εἰς τὰ συμπόσια, ἱστορία. 1148, 32.

κύρια ὀνόματα ἀνθρώπων τινῶν διωνύμως καλουμένων παρ' Ὁμήρῳ, οἷον Αἰγαίων ὁ καὶ Βριάρεως· καὶ ὅτι τὸ μὲν τῶν ὀνομάτων τῆς τῶν ἀνθρώπων, τὸ δὲ τῆς τῶν θεῶν ἐστὶ διαλέκτου. 124, 24.

κύρια ὀνόματα οἰκείως ταῖς τῶν προσώπων ἐνεργείαις φερωνύμως τεθέντα, οἷον Ταλθύβιος καὶ Εὐρυβάτης ἐπὶ κηρύκων τινῶν, τὸ μὲν παρὰ τὸ θάλλειν τὴν βοὴν, τὸ δὲ παρὰ τὸ εὐρυβάζειν. 109, 46.

κύρια ὀνόματα ἐθνικοῖς ὁμωνυμοῦντα, οἷον Ἐπειὸς, Ἀχαιὸς, Αἰγύπτιος. 325, 42. 1431, 16.

κύρια ὀνόματα ἐκ προθέσεων παρηγμένα, οἷον Ἄνιος ἐκ τῆς ἀνὰ, καὶ Ἄμφιος ἐκ τῆς ἀμφὶ, καὶ Ὕπιος ἐκ τῆς ὑπό. 75, 11.

κύρια ὀνόματα ἐν συνθέσει ὑποτεταγμένα ταῖς δὺς καὶ αἰνὸν καὶ κακὸν λέξεσιν, οἷον Δύσπαρις, Αἰνελένη, Κακοΐλιον. 379, 36.

κύριον ὄνομα, ὅτι αἱ κατὰ τὸ κύριόν τινος ὄνομα γινόμεναι προσφωνήσεις ἢ κατὰ ἀφέλειαν ἢ περιπάθειαν ἢ κατὰ βαρύτητα γίνονται. 653, 29. καὶ ὅτι τὰ κύρια ὀνόματα ὑπ' αὐτῶν τῶν προσώπων, ὧν εἰσὶν ὀνόματα, προφερόμενα ἀντὶ ἀντωνυμιῶν πρωτοπροσώπων ἀκούονται κατὰ ἔμφασίν τινα. 1072, 53.

κύριος, ὅτι τῆς γυναικὸς μὲν καὶ τῶν παίδων λέγεταί τις εἶναι κύριος, δεσπότης δὲ τῶν δούλων. 1185, 20. 1754, 61. 64.

κυρκανᾶν ἐν ἴσῳ τῷ κυκᾶν, ὃ ἐπὶ συγχύσεως πραγμάτων τίθεται. 1213, 49. ζήτει τὸ κυκᾶν.

κύρμα τὸ κατὰ συγκυρίαν εὕρημα εἴτουν εὐτυχία. 1467, 22.

κύρσαι καὶ συγκύρσαι, τὸ κατὰ συγκυρίαν εἰς ἓν ἐλθεῖν, καὶ τὸ προσκροῦσαι. 1309, 22.

κύρσας καὶ ἐπικύρσας, ἤγουν συγκυρήσας, εἴτουν ἐπιτυχών. 376, 11.

κυρτὸν κῦμα ἐπιθετικῶς, παρὰ τὸ κύπτειν ἢ κρύπτειν, ὅτι διὰ τὸ πολὺ τοῦ ὄγκου οὕτω λέγεται. 492, 20. 960, 53.

κύρτος προσηγορικὸν, κυρτὸς δὲ ἐπίθετον, διαφέροντα τῇ τε σημασίᾳ καὶ τῇ προσῳδίᾳ. 638, 60. 907, 4.

κύσαι γόνατα, ἀντὶ τοῦ ἱκετεῦσαι ἐκ τοῦ παρακολουθοῦντος τοῖς ἱκετεύουσι. 718, 42. 1763, 8.

κύσεν ἀντὶ τοῦ ἐφίλησεν, ὅτι ποτὲ ἐκτείνει τὸ κυ, ποτὲ δὲ συστέλλει κατὰ τὴν τοῦ μέτρου χρείαν. 1792, 41.

κύσθος, οἱονεὶ χύσθος παρὰ τὴν ἐκεῖθεν γενομένην φυσικὴν χύσιν. 468, 34. 746, 16.

κυσολέσχης, ζήτει ἐν τῷ κύσος. 746, 18.

κύσος ὁ κύσθος ἐλλείψει τοῦ θ, ὅθεν κυσολέσχης ὁ περὶ κύσου διαλεγόμενος, τουτέστιν αἰσχρολόγος. 746, 18.

κύστις ἡ ἐν ἑαυτῇ κεύθουσα ὑγρὸν φυσικὸν, ὅτι παρὰ τὸ κεύθω λέγεται ἀποβολῇ τοῦ ε πρὸς τὸ εὐφωνότερον. 421, 34. 522, 35. 947, 52. 1385, 11.

Κυταῒς ἡ ἐκ Κυταίας πόλεως γυνή. 1493, 46.

Κύτωρος ἢ Κύτωρον οὐδετέρως, πόλις Παφλαγονίας Σινωπέων ἐμπόριον, περὶ ἣν πλείστη καὶ ἀρίστη πύξος φύεται. 361, 40.

Κύφος, πόλις Περραιβικὴ καὶ Θετταλικὴ καὶ ποταμὸς ὁμώνυμος. 335, 7.

κυφὸς ὁ διὰ γῆρας ἢ πάθος κεκυφὼς, γυρὸς δὲ ὁ φύσει τοιοῦτος. 1431, 36. 44.

κύω ὅτι συμβολὴν χειλέων δηλοῖ, καὶ διάθεσιν δὲ ψυχικὴν, ὡς καὶ τὸ φιλῶ· καὶ ὅτι καὶ τὸ γεννᾶν σημαίνει τὸ κύω καταχρηστικῶς λόγῳ ἀποτελέσματος, καὶ τὸ κατὰ γαστρὸς ἔχειν, ὅθεν ἡ ἔγκυος καὶ τὸ ἐγκυμονεῖν· καὶ ὅτι καὶ κυεῖν περισπωμένως λέγεται ἀντὶ τοῦ γεννᾶν. 507, 49. 1546, 11—21. 1681, 36.

κύων τὸ ζῶον ὅτι παρὰ τὸ κύω, ὃ δηλοῖ τὸ φιλῶ, λέγεται, καὶ ὅτι τρισυλλάβως ὀφεῖλον κλίνεσθαι τοὔνομα ἐξώθησε τὸ παραληκτικὸν ο τῶν πλαγίων διὰ δύο κανόνων ἐναντιότητα, ἑρμηνεία διεξοδική. 10, 29. 1546, 14. 1822, 7. καὶ κύων ἐπὶ φάτνης, παροιμία ἐπὶ τῶν μήτε αὐτῶν ἀπολαυόντων τινὸς μήτε ἄλλοις συγχωρούντων. 950, 57. καὶ ὅτι καὶ γυνή τις κυνός τινος ἐρασθῆναι κἀκείνῳ συγγίνεσθαι ἱστορεῖται. 1166, 27. καὶ ὅτι κύων καὶ τὸ γυναικεῖον μόριον λέγεται ὁμωνύμως. 1821, 53. καὶ κύων παρὰ Διοσκουρίδῃ τὸ τοῖς κυσὶ ῥιπτόμενον ἀπόμαγμα τῶν χειρῶν, ὃ καὶ ἀπομαγδαλιὰ λέγεται. 1857, 19.

κύων καὶ χῖος ὁ τὸ ἓν δυνάμενος

βόλος ἐν τῇ δι' ἀστραγάλων παιδιᾷ, καὶ ὅτι καὶ κύνες ἐλέγοντο αἱ ἀντεπιβουλεύουσαι ἀλλήλαις ψῆφοι ἐν τοιαύτῃ τινὶ παιδιᾷ. 1289, 63—1290, 2. 1397, 40.

κύων Ὠρίωνος, ἐπίκλησις ἄστρου τινός, οὗ περὶ τὰς ἐπιτολὰς πολλοὶ γίνονται καύσωνες. 1255, 19.

κύων ξυλίνη αἰνιγματικῶς ἡ κυνόςβατος καλουμένη ἄκανθα, καὶ δηχθῆναι ὑπὸ ξυλίνης κυνὸς ἐλέχθη τις ὑπὸ τοιαύτης ἀκάνθης ἀμυχθείς. 1822, 19.

Κωακὸς Κωακὴ Κωακὸν, κτητικὰ ἀπὸ τοῦ Κῶς ὀνόματος νήσου. 318, 43.

κῶας, δέρμα ἐν ᾧ κοιμᾶταί τις, παρὰ τὸ κῶ, ὃ δηλοῖ τὸ κεῖμαι. 1749, 26. καὶ ὅτι καὶ κῴος κῴεος λέγεται κατὰ τὴν πρώτην τῶν συνηρημένων ἐπὶ τοῦ αὐτοῦ. 782, 14.

κώδεια διὰ τοῦ ει διφθόγγου, μήκωνος κεφαλὴ, κωδύα δὲ διὰ τοῦ υ ψιλοῦ, ἢ τοῦ κολοκασίου. 715, 7. 999, 31. 36. 1616, 52. ἀλλαχοῦ δὲ εἰς ταὐτὸ ἄγειν δοκεῖ τό τε διὰ διφθόγγου καὶ τὸ διὰ τοῦ υ ψιλοῦ. 1635, 9.

κωδύα διὰ τοῦ υ ψιλοῦ, ζήτει ἐν τῷ κώδεια.

κωδωναῖα σῦκα χειμερινὰ παρ' Ἀχαιοῖς οὕτω καλούμενα. 1964, 10.

κῶες ἐλέγοντο οἱ ἐν τῷ δεσμωτηρίῳ οὕτω καλουμένῳ παρὰ Κορινθίοις τραφέντες δεσμῶται. 318, 46. 1478, 50.

κώεσι, δοτικὴ τῶν πληθυντικῶν, ὅτι ἐκ τῆς κῶος εὐθείας κεκίνηται. 1456, 21.

κώθων, εἶδος ποτηρίου, καὶ κώθων τὸ συμπόσιον ὁμωνύμως. 1224, 50.

Κώκαλος Κρὴς, οὗ αἱ θυγατέρες τὸν Δαίδαλον ὤλεσαν, τὸ κō μέγα. 1817, 40.

κωκυτὸς ὁ θρῆνος, παρὰ τὸ κωκύειν, ὃ δηλοῖ τὸ θρηνεῖν. 643, 39. καὶ Κωκυτὸς ποταμὸς ἐν Ἅιδου μυθευόμενος, παρὰ τὸ κωκύειν καὶ αὐτὸς λεγόμενος, καὶ ὅτι καὶ Ἰταλικός τις ποταμὸς οὕτως ἐκαλεῖτο. 1667, 39.

κῶλα τὰ μέλη, ἰδίως δὲ οἱ πόδες. 324, 3.

κωλεὸς ταὐτὸ ὅπερ κωλὴν, ὅς ἐστι ζῴου μέρος, ὅτι παρ' Ἀθηναίοις μὲν θηλυκῶς, παρ' ἑτέροις δὲ ἀρσενικῶς ἐλέγετο. 1182, 3.

κωλῆ, σωματικόν τι μόριον, ὅτι παρὰ τὸ κῶλον λέγεται. 1326, 52. καὶ ὅτι ἐκ τοῦ κωλέα συνήρηται, ὡς ἐκ τοῦ συκέα ἡ συκῆ· δηλοῖ δὲ τὸν κωλῆνα, ὅς ἐστι ζῴου μέρος. 1183, 4.

Κωλὴν, ὄνομα στρατηγοῦ τινὸς, ὃς παρὰ τὸ στερεὸς τὰ κῶλα γεγονέναι οὕτως ἐκλήθη. 1326, 53.

κώληψ κώληπος, ἡ περὶ τὴν ἰγνύαν ἀγκύλη, ὅτι παρὰ τὸ κῶλον λέγεται, καὶ ὅτι ἀμφισβητεῖται κατὰ τὸ γένος ἡ λέξις. 1326, 50. 1327, 6.

κωλιὰς Ἀφροδίτη ἐπωνυμικῶς ὅτι παρὰ τὰ κῶλα, ὃ δηλοῖ τοὺς πόδας, λέγεται, ὡς τοιαῦτα κῶλα ἐκλίσασά ποτε δεσμοῦ καθ' ἱστορίαν τινά. 324, 4.

κῶμα ὁ ἐκ τοῦ ὕπνου κάρος, οἱονεὶ κοίκημα ἐκτάσει καὶ συγκοπῇ, ὅτι παρὰ τὸ κῶ, ὃ δηλοῖ τὸ κεῖμαι, λέγεται. 991, 54. 1056, 54.

κωμάζειν καὶ εἰσκωμάζειν, ζήτει ἐν τῷ κῶμος. 1843, 48.

κῶμαξ ὁ φλύαρος, ὅτι παρὰ τὸ κωμάζειν λέγεται. 1749, 28.

κώμη ὅτι παρὰ τὸ κῶ μονοσύλλαβον ῥῆμα, ὃ δηλοῖ τὸ κεῖμαι, λέγεται. 991, 60. 1749, 27.

κώμιον, κώμης ὑποκόρισμα, ὅτι προπαροξύνεται ἡ λέξις. 268, 8.

κῶμος ὁ ἐν συμποσίῳ κάρος, δι' οὗ καταφέρεταί τις εἰς κῶμα, ὅ ἐστιν ὕπνον, ὅθεν κωμάζειν καὶ εἰσκωμάζειν τὸ κατὰ τοὺς μεθύοντας ἐπέρχεσθαι αὐθαδέστερον. 1843, 48. ἀλλαχοῦ δὲ ὅτι κῶμος καὶ κωμάζειν παρὰ τὸ κῶ, ὃ δηλοῖ τὸ κεῖμαι, λέγονται. 1749, 26. καὶ κῶμος ὁμωνύμως ὄνομα αὐλήσεως ποιᾶς. 1236, 56.

κωμῳδεῖν, ὅτι παρὰ τὸ τοὺς ἀρχαίους ἀνθρώπους τιμῶντας τὴν εὕρεσιν τοῦ οἴνου ᾄδειν καὶ τοὺς κωμήτας κακολογεῖν εἴρηται τὸ κωμῳδεῖν. 1769, 45.

κωμῳδία ὅτι ψόγος καὶ περίσυρμα ὁριστικῶς εἶναι λέγεται. 1816, 44.

κώνιον, ὑποκοριστικὸν τοῦ κῶνος. 1196, 15.

κῶνος ὅτι ταὐτόν ποτε δηλοῖ, ὅπερ δῖνος καὶ ῥόμβος. 1635, 61.

Κῷοι οἱ τῆς Κῶ τῆς νήσου ἐγχώριοι, ὅτι τοὺς ἰδίους δούλους ἀπείργουσι τῶν τῇ Ἥρᾳ τελουμένων ἱερῶν καὶ τῆς τῶν θυμάτων ἐκείνων γεύσεως. 1885, 34.

κῶος ἀρσενικῶς, κοίλωμα γῆς εἴτουν ὄρυγμα ἢ σπήλαιον, ὅτι παρὰ τὸ κῶ, ὅ ἐστι κεῖμαι, κατὰ πρόσληψιν τῆς ληγούσης λέγεται. 294, 12. 319, 1. 1478, 45. 50.

κῷος ἐλέγετο ὁ τὰ ἓξ δυνάμενος βόλος ἐν τῇ δι' ἀστραγάλων παιδιᾷ. 1289, 62.

κῷος ὁ τὰ ἓξ δυνάμενος βόλος ἐν τῇ δι' ἀστραγάλων παιδιᾷ, ὅθεν παροιμία, κῷος παραστὰς χῖον οὐκ ἐᾷ λέγειν, ἑρμηνεία διεξοδική. 1397, 39.

Κῶπαι, πόλις Βοιωτίας, ἀπὸ Κωπέως τινὸς ἥρωος ἢ παρὰ τὰς κώπας, αἷς ἐχρῶντο οἱ ἐγχώριοι πλέοντες πρὸς ἀλλήλους διὰ τὸ ἀπολιμνωθῆναι ποτὲ τὴν χώραν ἐκείνην, ὅθεν καὶ ἡ Πλαταιὰ καὶ ἡ Ἐλάτεια πόλεις καὶ αὐταὶ τῆς Βοιωτίας ἐκλήθησαν, ἑρμηνεία διεξοδική. 266, 31—267, 2. ζήτει τὸ, Κωπαῒς λίμνη.

Κωπαῒς λίμνη περὶ Κώπας πόλιν τῆς Βοιωτίας, εἰς ἣν εἰσβάλλων ὁ Κηφισσὸς ποταμὸς πλημμυρεῖν ἐποίει τὴν λίμνην μέχρις οὗ ὑπὸ χάσματος, αὐτομάτως γενομένου ἀνεπόθη τὸ ὕδωρ, ἱστορία διεξοδική. 267, 33—46. ζήτει τὸ Κῶπαι.

κώπη ἡ λαβὴ ὁμωνύμως τῷ ἐρετμῷ, καὶ ὅτι ἡ κώπη ἐπὶ ἐρετμοῦ ἀκουομένη καὶ πλάτη καὶ ἐλάτη συνωνύμως λέγεται. 89, 29. καὶ ὅτι κώπη ἀντὶ τοῦ λαβὴ οὐ μόνον ξίφους λέγεται, ἀλλὰ καὶ κλειδός. 1897, 52. διὸ καὶ κώπη ξίφους λέγεται παρ' Ὁμήρῳ πρὸς διαστολήν. 1698, 16.

κωπῆεν ξίφος τὸ ἔχον κώπην, ἤγουν λαβὴν, ὃ παρακολουθεῖ πᾶσι τοῖς ξίφεσι. 1039, 25. 1217, 45.

κωπηλατεῖν, ὅτι ἐκ τοῦ κώπη καὶ τοῦ ἐλᾶν σύγκειται ἡ λέξις. 267, 42.

κῶρος Αἰολικῶς καὶ Δωρικῶς ὁ κοινῶς κόρος, ὅ ἐστι νέος, Ἰωνικῶς δὲ κοῦρος. 1535, 49.

κωρυκὶς, θύλακος ἐκ δερμάτων συνεῤῥαμμένος, ὃς καὶ κώρυκος λέγεται. 1534, 48.

κώρυκος, θύλακος συνεῤῥαμμένος, ὅτι παρὰ τὸ χωρεῖν Ἰωνικῶς λέγεται. 1446, 4. 1534, 47. 53. καὶ Κώρυκος αἰγιαλὸς περὶ Λυκίαν ὁμωνύμως τῷ προσηγορικῷ. 635, 34.

Κῶς ἡ νῆσος ὅτι καὶ Κόος καὶ Κόως καὶ Κώως λέγεται, καὶ ὅτι ἡ Κῶς φωνὴ ἐκ τῆς Κόος ἔοικε συνῃρῆσθαι, καὶ ὅτι καὶ Μεροπηὶς ἐκλήθη ποτὲ ἡ Κῶς· καὶ ὅτι παρὰ τὸ κόον, ὃ δηλοῖ τὸ πρόβατον κατὰ γλῶσσαν, νομίζουσί τινες κληθῆναι τὴν Κῶν, καὶ ὅτι Κέως εὕρηται λεγομένη. 97, 40. 318, 30. καὶ ἄλλα τινὰ περὶ τῆς νήσου καὶ περὶ τῆς εὐδαιμονίας αὐτῆς. 983, 32. καὶ κῶς ὁμωνύμως ὄρυγμά τι ἐν Κορίνθῳ, ἐν ᾧ τοὺς φῶρας καὶ τοὺς δραπέτας καθείργνυον, ἐν ᾧ οἱ χρονίως διατρίψαντες κῶες ἐλέγοντο. 318, 43. 1478, 48.

κώταλις, τορύνη εἴτουν δοῖδυξ. 1675, 56.

κωτυλὰς ἡ ὡς εἰπεῖν στωμύλος καὶ κωτίλλουσα, καὶ ὅτι οὕτως ἐκάλουν τινὲς τὰς χελιδόνας. 1818, 3.

κωφὴ γῆ ἡ ἀναίσθητος, καὶ ὅτι οὕτω λέγεται τὸ νεκρὸν σῶμα ἐν τῷ, κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων, Ἰλ. ω', 54. 1338, 45.

κωφὸν βέλος τὸ ἄπρακτον, καὶ κωφὸν κῦμα τὸ μὴ ἐξακούστως ἠχοῦν καὶ χωρὶς ἀνέμου ἐγειρόμενον· καὶ ὅτι κατὰ ἀψύχων ἀεὶ λέγεται παρ' Ὁμήρῳ ἡ κωφὸν λέξις. 852, 18. 1021, 17. 1539, 52. ἀλλαχοῦ δὲ ὅτι κωφὸν λέγεται πᾶν τὸ μὴ ἐνεργοῦν εἰς ἀκοήν. 964, 49.

κωφὸς ὁ ἄλαλος ἄνθρωπος, παρὰ δὲ τοῖς ἰστιυρον ὁ βεβλαμμένος τὴν ἀκοήν. 1539, 56.

κωφότης, εἴτουν σιγὴ προσώπων τινῶν κατά τινας καιροὺς δι' εὔλογον αἴτιον, παρ' Ὁμήρῳ. 111, 46.

Ἀρχὴ τοῦ Λ στοιχείου.

λ̄ τὸ στοιχεῖον ὅτι πλεονάζει ἐνίοτε δι' εὐφωνίαν, οἷον ἐν τῷ ἀλλὰ συνδέσμῳ. 14, 15. καὶ ὅτι συγγενῶς ἔχει πρὸς τὸ ν̄, ὅθεν τὸ μὲν λ̄ εἰς ν̄ τρέπεται Δωρικῶς, οἷον φίντατος ἀντὶ τοῦ φίλτατος, καὶ ἀνάπαλιν τὸ ν̄ εἰς λ̄ παρὰ τοῖς Ἀττικοῖς, οἷον λίτρον ἀντὶ τοῦ νίτρον. 312, 35. 483, 9. 918, 27. 31. καὶ ὅτι ἐν ταῖς ὠνοματοπεποιημέναις φωναῖς λείας κινήσεώς ἐστι μιμητικὸν καὶ λεῖον ἦχον ἀποτελεῖ. 1119, 63. 1150, 30. καὶ ὅτι οἱ Λάκωνες τὸ λ̄ στοιχεῖον ἐπίσημον εἶχον ἐπὶ τῶν ἀσπίδων. 293, 39.

λλ̄ δύο ληκτικὰ θηλυκῶν ὀνομάτων ὅτι μετὰ τοῦ ᾱ συλλαβίζονται, οἷον Ἀνθύλλα, Σιβύλλα. 117, 46.

λλ̄ δύο μέσα λέξεων, οἷον ἐν τῷ πάλλευκον καὶ παλίλλογον, τὸ πρότερον τῶν δύο λλ̄ ἐκ τοῦ ν̄ ἐτράπη. 65, 5.

λα̅ ἢ λη̅ συλλαβὴ ληκτικὴ θηλυκῶν ὀνομάτων, ὅτι τὰ πρὸ τοῦ λήγοντος λ̄ ἔχοντα καὶ ἕτερον λ̄ μετὰ τοῦ ᾱ συλλαβίζονται, οἷον Ἀνθύλλα, Σιβύλλα· τὰ δὲ ἔχοντα τὸ γ̄ ἢ τὸ χ̄ μετὰ τοῦ η̄, οἷον ζεύγλη, ὁμίχλη. 117, 44.

λα̅ λήγοντα θηλυκὰ ὅτι πρὸ τοῦ λ̄ καὶ ἕτερον λ̄ ἔχουσιν, οἷον Σκύλλα, κόλλα, βδέλλα, ἅμιλλα. 1934, 21.

Λᾶ ἢ **Λᾶς** μονοσύλλαβον, ὄνομα πόλεως Λακωνικῆς τραχείας, παρὰ τὸν λᾶν, ὃ δηλοῖ τὸν λίθον, δοκούσης λέγεσθαι· καὶ ὅτι ταύτην τὴν Λᾶν οἱ Διόσκουροι πορθήσαντες Λαπέρσαι ἐκλήθησαν. 230, 2. καὶ ὅτι καὶ Λᾶς ἀρσενικῶς λέγεται ἡ αὐτὴ πόλις, καὶ ὅτι τὴν Λᾶν ταύτην Λάαν δισυλλάβως λέγει ὁ Ὅμηρος. 295, 34.

λᾶας ὁ λίθος, ἡ γενικὴ τοῦ λάαος καὶ κατὰ κρᾶσιν λᾶος, ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ λάαες καὶ λᾶες· καὶ ὅτι τὸ λᾶας ἐκτείνει τὴν παραλήγουσαν ἐν τῷ, λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς Ἰλ. β', 319. 229, 46. 387, 20. 1702, 22. καὶ Λάας πόλις Ἠλείων ἐπίνειον, περὶ ἧς Ὅμηρος ἐν τῷ τῶν Λακωνικῶν πόλεων καταλόγῳ. 295, 34. 1702, 22. ζήτει ἐν τῷ, Λᾶ ἢ Λᾶς μονοσύλλαβον.

λαβάργυρος ὡρολογητὴς ὁ ἐπὶ μισθῷ ὡρολογῶν. 1349, 10.

λαβεῖν τὸ ἀνελέσθαι τι καὶ μὴ διδόντος τινός, δέξασθαι δὲ τὸ τὸ διδόμενον χειρίσαθαι. 1399, 11.

λαβεῖν γενικῇ συντεταγμένον πολλαχοῦ παρ' Ὁμήρῳ ἀντὶ τοῦ λαβέσθαι ἤγουν ἅπτεσθαι ἢ ἔχεσθαι. 149, 17. 1539, 2.

λαβεῖν γούνων τὸ ἅψασθαι καὶ ἔχεσθαι ἱκετευτικῶς. 141, 40. καὶ παρ' Ὁμήρῳ μὲν λαβεῖν γονάτων καὶ λαβεῖν γόνατα λέγεται, οἱ δὲ μεθ' Ὅμηρον λαβέσθαι φασὶ μετὰ γενικῆς. 1359, 30. 1555, 61.

λαβεῖν χειρὶ γενείου, ἀντὶ τοῦ ἅψασθαι ἱκετευτικῶς· καὶ ὅτι καὶ ὑπ' ἀνθερεῶνος ἑλεῖν καὶ ποτὶ στόμα χεῖρα ὀρέξαι ἐπὶ τοῦ αὐτοῦ λέγεται παρ' Ὁμήρῳ. 718, 43.

λαβὴ λέγεται ὅταν οἱ παλαίοντες ἀντιδιδῶσιν ἀλλήλοις ἢ νῶτον ἢ αὐχένα ἢ πόδα πρὸς λύσιν τοῦ ἀγῶνος. 1327, 2.

λαβραγόρας ὁ λάβρος ἐν τῷ ἀγορεύειν. 1312, 1.

λάβραξ ὁ ἰχθὺς ὅτι παρὰ τὸ λίαν βορὸς εἶναι οὕτω λέγεται, καὶ ὅτι διὰ τοῦ β̄ γράφεται τοὔνομα. 1033, 60. 1053, 17.

λαβρεύειν καὶ λαβρεύεσθαι τὸ λάβρως καὶ ἀσκέπτως λαλεῖν, ἢ στωμύλλεσθαι καὶ λίαν βαρύνειν τὸν ἀκούοντα. 1311, 64. 1312, 3.

λάβρος διὰ τοῦ β̄ ὁ λίαν βαρὺς ἢ λίαν βορὸς, λαῦρος δὲ διὰ τῆς αυ̅ διφθόγγου παρὰ τὴν αὔραν λέγοιτο ἄν. 1033, 57. 1066, 1. 1781, 50.

λαβροστομεῖν διὰ τοῦ β̄ ὅτι παρὰ τὸ λάβρον λέγεται, ὃ δηλοῖ τὸ λίαν βορὸν ἢ βαρύ. 1066, 2.

λαβρωνία εἶδος ἐκπώματος, ὅτι παρὰ τὴν ἐν τῷ πίνειν λαβρότητα λέγεται. 1066, 3.

λαβύρινθος, σπήλαιον Κρητικὸν ὑπόγεών τε καὶ πολυέλικτον, ἐν ᾧ ὁ Μινώταυρος καθείρκτο· καὶ ὅτι καὶ περὶ Ναυπλίαν ἦσαν λαβύρινθοι οἰκοδομηθέντες ὑπὸ Κυκλώπων, καὶ ὅτι ὑπονόμου εἶδος

ὁ λαβύρινθος. 284, 36. 1688, 34. 51.

λαγαρόκυκλος λύρα, ὅτι κοιλότης ποιὰ σημαίνεται διὰ τῆς λαγαρὸν λέξεως. 1464, 64.

λαγαρὸν ἔπος ὅτι παρὰ τὴν λαγόνα λέγεται, γίνεται δὲ ὅταν βραχεῖα συλλαβὴ ἄρχεται δακτύλου ἐν μέσῳ ἔπους, καὶ παραδείγματά τινα τοῦ πάθους τούτου, καὶ ὅτι κοιλότης τις σημαίνεται διὰ τῆς λαγαρὸν λέξεως. 641, 32. 1464, 63.

λαγέτας ὁ στρατηγὸς εἴτουν ἡγεμών, παρὰ τὸ λαὸν ἄγειν. 453, 21. 790, 60.

λαγνίστατος ὅτι ἐκ τοῦ λάγνιστος ὑπερθετικοῦ Ἀττικῶς ἐσχημάτισται. 1441, 24.

λάγνος ὅτι καὶ λάγνης λέγεται παρὰ τὴν γονὴν ὁ λίαν πολύγονος, ἢ παρὰ τὸ λᾶ καὶ τὸ γυνή, οἱονεὶ λαγίνης. 1412, 29. καὶ ὅτι καὶ οἰφώλης καὶ τιτὰν καὶ μάχλος καὶ κήλων ὁ λάγνος κατὰ πολυωνυμίαν λέγεται. 1597, 27. 30.

λαγοὶ καὶ λαγῴ ἐπὶ εὐθείας πληθυντικῆς ὅτι ἀμφότερά εἰσιν ἐν χρήσει. 1534, 14. ζήτει τὸ λαγώς. καὶ ὅτι λαγοὶ καὶ δασύποδες ἐν Ἰθάκῃ τῇ νήσῳ οὐ δύνανται ζῆν, ἱστορία· καὶ ὅτι ἐν Καρπάθῳ καὶ Ἀστυπαλαίᾳ ταῖς νήσοις ἐπλεόνασάν ποτε ἐπὶ κακῷ τῶν ἐνοικούντων, ὅθεν καὶ παροιμία, ὁ Καρπάθιος τὸν λαγωόν. 35, 28. 1821, 30.

λαγὸς διὰ τοῦ ο̄ μικροῦ καὶ λαγὼς διὰ τοῦ ω̄ μεγάλου, ζήτει τὸ λαγὼς καὶ τὸ λαγωός.

Λάγος κύριον ἐκ τοῦ λαγὸς προσηγορικοῦ γενόμενον, ὡς ἐκ τοῦ ἀργὸς τὸ Ἄργος. 906, 45. 1821, 27.

λαγοὺς τοὺς λαγωοὺς οἱ μεταγενέστεροι λέγουσι. 1453, 3.

Λαγοῦσσαι νῆσοι τινὲς ἀπὸ τοῦ πλήθους τῶν ἐν αὐταῖς λαγωῶν ὀνομασθεῖσαι, καὶ ὅτι ἐκ τοῦ Λαγόεσσαι συνῄρηται τοὔνομα. 306, 11.

λαγχάνειν τὸ κατὰ δικαιοσύνην καὶ ἰσότητα ἔχειν τι, οἷον ἐν τῷ, τὸ γὰρ λάχομεν γέρας ἡμεῖς, Ἰλ. δ', 49. 444, 33. καὶ ὅτι κυρίως μὲν τὸ λαγχάνειν ἀποτέλεσμά ἐστι τοῦ κληροῦσθαι, ἄλλως δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται· καὶ ὅτι καὶ λαχεῖν ἀπὸ κλήρου καὶ ἀπὸ ψήφου κατὰ συνθήκην λέγεται παρὰ τοῖς Ἀττικοῖς. 674, 18. ἀλλαχοῦ δὲ ὅτι τὸ λαγχάνειν διαφέρει τοῦ κληροῦσθαι, ᾗ κληροῦνται μὲν πολλοί, λαγχάνει δὲ εἷς ὁ ἐπιτυχών. 1751, 4.

λαγῶ κατ' αἰτιατικὴν παρὰ Ξενοφῶντι ὅτι παραλόγως περισπᾶται καὶ χωρὶς τοῦ ν̄ γράφεται. 1534, 16.

λαγῷα κρέα ὅτι παρὰ τὸ μακροκατάληκτοῦν λαγὼς ὄνομα λέγονται, λάγεια δὲ παρὰ τὸ λαγὸς τὸ βραχυκαταληκτοῦν. 1821, 28.

λαγών, ἡ καὶ λαπάρα καὶ κενεών, ὁ ὑπὸ τὰς πλευρὰς τόπος παρὰ τὸ λήγειν ἐκεῖ τὰ ὀστᾶ οὕτω λεγόμενος. 625, 15.

λαγωὸς ὅτι, εἰ μὲν ἐκ τοῦ λαγὸς λέγεται, πλεονασμὸν ἔχει τοῦ παραλήγοντος ω̄ μεγάλου, εἰ δὲ ἐκ τοῦ λαγώς, τοῦ λήγοντος ο̄ μικροῦ. 1271, 63. 1534, 14. 1821, 23. καὶ ὅτι ὀξύνεται ἡ λέξις καὶ παρὰ τὸ λάειν, ὅ ἐστι βλέπειν, λέγεται· καὶ ὅτι, εἰ ἐκ τοῦ λᾶ ἐπιτατικοῦ καὶ τοῦ ὧς ὠτὸς συνέκειτο ὡς ἐνόμισάν τινες, ἐβαρύνετ' ἂν ἡ λέξις. 87, 38. 811, 58. 61. 857, 43.

λαγὼς λαγὼ Ἀττικῶς, λαγὸς δὲ λαγοῦ κοινῶς κατὰ τὴν ἀρχαίαν χρῆσιν. 811, 61. 1271, 4 ἀλλαχοῦ δὲ ὅτι Ἰωνικῶς μὲν διὰ τοῦ ω̄ μεγάλου λέγεται, κοινῶς δὲ διὰ τοῦ ο̄ μικροῦ· καὶ ὅτι παρὰ τὸ λάω τὸ βλέπω λέγεται, καὶ ὅτι καὶ εἰς πληθυντικὰ κινεῖται ἡ λέξις. 1821, 25. καὶ ὅτι ὁ λαγὼς καὶ πτὼξ καὶ δασύπους καὶ ταχίνας κατὰ πολυωνυμίαν λέγεται. 1821, 34. καὶ περὶ λαγῶν ἱστορία, ζήτει τὸ λαγοί· καὶ ὅτι ὁ λαγὼς Ἔρωτι ἀφιέρωτο παρὰ τοῖς Ἕλλησι διὰ τὴν τῆς εἰνμολογίας συνωνυμίαν. 87, 37.

Λάδανον ὅτι ἐθνικόν ἐστιν ὄνομα. 1147, 3.

λάδος Δωρικῶς τὸ κοινῶς λῆδος, ὅ ἐστιν εἶδος ἱματίου. 1147, 1.

λάειν τὸ ἀπολαύειν καὶ τὸ βλέπειν ὁμωνύμως. 649, 19. 811, 61. 1863, 41. καὶ ὅτι λάειν μὲν τὸ βλέπειν, ἀλαοῦν δὲ τὸ τυφλοῦν. 1585, 64.

Λαέρκης κύριον, ὅτι ἐκ τοῦ λαὸς καὶ τοῦ ἀρκεῖν σύγκειται τοὔνομα καὶ ὅτι βαρύνεται, λαερκὴς δὲ ἐπίθετον ὀξύνεται. 1475, 18.

Λαέρτης κύριον ὅτι καὶ Λαέρτιος λέγεται. 13, 35. καὶ ὅτι παρὰ τὸ λαὸν ἀείρειν ἢ παρὰ τὸ λᾶας, ὅ ἐστι λίθους, ἀερτάζειν ἤγουν αἴρειν καὶ κουφίζειν λέγεται. 1475, 25. καὶ ὅτι Λαέρτης ὁ τοῦ Ὀδυσσέως πατὴρ Χαλκομεδούσης γέγονεν υἱὸς καὶ Ἀρκεισίου τοῦ Διός. 1796, 36.

Λαερτιάδης πατρωνυμικῶς λέγεται ὁ Ὀδυσσεὺς παρὰ τὸ Λαέρτιος, ὅπερ ἐν ἴσῳ τῷ Λαέρτης εὕρηται λεγόμενον. 13, 35.

λάεσσι, δοτικὴ πληθυντικὴ τῆς λᾶας περιττοσυλλάβως κλινομένης εὐθείας. 387, 20.

λάζεσθαι τὸ λαμβάνειν αἰτιατικῇ παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς τραγικοῖς καὶ γενικῇ ἐν συνθέσει, οἷον ἀντιλάζου πόνων, καὶ γηραιᾶς χειρὸς προσλαζύμεναι, παρ' Εὐριπίδῃ. 249, 37. 480, 18. 603, 46.

λαζύω καὶ λάζυμι ὅτι παρὰ τὸ λάζω, ὃ δηλοῖ τὸ λαμβάνω, παραγώγως λέγονται. 249, 39. 603, 40. ζήτει τὸ λάζεσθαι.

λαζω λήγοντα ῥήματα τῷ ᾱ προπαραλήγοντα ἐκ πλεονασμοῦ τῆς αλ συλλαβῆς γενόμενα, οἷον στάζω σταλάζω. 672, 4.

λαθεῖν ἀντὶ τοῦ ἐκ προαιρέσεως ἀμελεῖν ἐν τῷ, Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή, Ἰλ. ξ', 1. 963, 26.

λαθέσθαι τὸ ἑκουσίως ἀμνημονῆσαι παρ' Ὁμήρῳ ἐν τῷ, ἢ λάθετ' ἢ οὐκ ἐνόησεν, Ἰλ. ι', 537. καὶ ἐν τῷ, καὶ τότε δὴ Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς λανθανόμην, Ὀδ. μ', 226. 1719, 25.

λαθικηδὴς ὁ λήθην παντὸς κήδους ἤγουν λύπης ἐμποιῶν. 1258, 53. καὶ ὅτι παρὰ τὸ κήδω ῥῆμα λέγεται, διὸ καὶ ὀξύνεται· εἰ γὰρ παρὰ τὸ κῆδος, ἐβαρύνετ' ἄν. 920, 47.

λάθρα ὅτι ἐκ τοῦ λήθω γέγονε τροπῇ τοῦ η̄ εἰς ᾱ. 1493, 3.

λάθυρος, εἶδός τι ὀσπρίου. 948, 42.

λάϊγγες τὰ μικρὰ λιθάρια τὰ ἐν τοῖς αἰγιαλοῖς. 1553, 44.

λαίθαργος κύων ὁ λάθρα δάκνων, καὶ τροπικῶς λαίθαργος ἄνθρωπος ὁ ἐπίβουλος, ὅτι ἀπὸ τοῦ ἔλαθον δευτέρου ἀορίστου ἔχει τὸ ἐν τῇ διφθόγγῳ ᾰ, τὸ δὲ ῐ ἐκ πλεονασμοῦ. 1493, 32.

λαικάζειν τὸ πορνεύειν ὅτι παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ κάζειν, ὃ δηλοῖ τὸ κοσμεῖν, λέγεται· ὅθεν λαικάστρια ἡ πόρνη. 741, 26.

λαικάστρια ἡ πόρνη, ζήτει τὸ λαικάζειν.

λαῖλαψ, κίνησις νεφῶν καὶ ταραχὴ μετὰ εὐδίαν γινομένη. 1064, 42.

λαιμός, μέρος τοῦ σώματος, καὶ λαιμὸς ὁμωνύμως τὸ παρὰ τοῖς ζωγράφοις λαιμίον ἰδιωτικῶς λεγόμενον· καὶ περὶ τοῦ ἐν Μεγαλοπόλει γυναικομόρφου λαιμοῦ ἱστορία. 938, 56. καὶ ὅτι τὸ σωματικὸν μέρος ὁ λαιμὸς παρὰ τὸ λάω, ὅθεν τὸ λαίω καὶ τὸ ἀπολαύω, λέγεται διὰ τὸ ἀπολαυστικὸν τοῦ τόπου. 1271, 58.

λάϊνον χιτῶνα ἕσασθαι, ἀντὶ τοῦ λιθασθῆναι παρ' Ὁμήρῳ. 1197, 64.

λαῖον τὸ λήιον Δωρικῶς κατὰ τροπὴν καὶ συναίρεσιν. 193, 35. 862, 55.

λάϊον πῦρ ἐπιθετικῶς τὸ ἐκ λίθων ὑποπαλλόμενον. 898, 50.

Λάϊος κύριον ὅτι παρὰ τὸ λήιον δοκεῖ λέγεσθαι. 862, 56.

λαισήιον εἶδος ἀσπίδος θυρεοειδὲς ἐκ λασίων βυρσῶν ἀκατεργάστων γινόμενον, ὅθεν καὶ λέγεται, ἑρμηνεία διεξοδική. 570, 17. ἀλλαχοῦ δὲ ὅτι λαισήια τὰ ἐν τῇ λαιᾷ φερόμενα Ἀμαζονικὰ ἀσπιδίσκια. 911, 60.

Λαιστρυγόνες, ἔθνος Σικελικὸν περὶ τὴν Αἴτνην κατοικῆσαν ἄξενον καὶ ληστρικόν. 1618, 7. καὶ περὶ τοῦ κλίματος τῆς τῶν Λαιστρυγόνων χώρας, καὶ ὅτι βραχύταται μὲν αἱ νύκτες παρ' αὐτοῖς, μέγισται δὲ αἱ ἡμέραι. 1649, 33.

λαῖφος, πτωχικὸν παχὺ ἔνδυμα, Ὀδ. υ', 206. κυρίως δὲ λαίφεα αἱ τῶν πλοίων ὀθόναι, ὅθεν κοινῶς τὰ σαγολαίφεα ἐκ τοῦ σάγος καὶ τοῦ λαῖφος. 1745, 61. 1890, 7.

λαιψηρὰ βέλη καὶ λαιψηρὰ γόνατα τὰ ταχέως φερόμενα. 1236, 42.

Λακεδαιμόνιοι ὅτι τὸ Λ στοιχεῖον ἐπίσημον εἶχον ἐπὶ ταῖς ἑαυτῶν ἀσπίσιν. 293, 39. καὶ μετὰ αὐλῶν ἐστρατεύοντο. 1320, 3. καὶ ὅτι καὶ παρ' Αἰγυπτίοις ἐτιμῶντο, ἱστορία. 1484, 37. καὶ πῶς ἡ Λακεδαιμονίων βασιλεία περιῆλθεν εἰς Μενέλαον κατὰ τὰ Τρωικά, ἱστορία διεξοδική. 293, 11.

Λακεδαίμων, υἱὸς Διὸς ἐξ Ἠλέκτρας τῆς Ἀτλαντίδος. 1155, 51.

Λακεδαίμων, πόλις ἡ καὶ Σπάρτη, καὶ Λακεδαίμων ὁμωνύμως ἡ περὶ αὐτὴν χώρα ἤγουν ἡ Λακωνική. 293, 30. 294, 27. 41. καὶ ὅτι ἀπὸ Λακεδαίμονος ἥρωος ὠνομάσθη, ἢ διότι κληρουμένοις τοῖς Ἡρακλείδαις δαιμονίως ἔλαχεν ἐνί τινι αὐτῶν. 293, 25. καὶ ὅτι κοίλη ἐπιθετικῶς λέγεται παρ' Ὁμήρῳ ἡ Λακεδαίμων διὰ τὸ ὀρέων περιέχεσθαι. 293, 20. καὶ ὅτι καὶ ἐν Κύπρῳ ἦν τις πόλις Λακεδαίμων καλουμένη, ἑρμηνεία διεξοδική. 293, 25 — 294, 43. ζήτει τὸ, Λακωνικὴ χώρα.

λακεῖν τὸ ποιὸν ἦχον καὶ φωνὴν ἄναρθρον ἀποτελεῖν, τίθεται δὲ καὶ ἐπὶ ἐνάρθρου καὶ ἀνθρωπίνης φωνῆς τραγικώτερον. 1208, 38. 1602, 10. 1714, 50. ἀλλαχοῦ δὲ ὅτι λακεῖν ἐπὶ τοῦ φωνεῖν ἢ λαλεῖν παρὰ τοῖς τραγικοῖς, ἁπλῶς δὲ τὸ ποιόν τινα ἦχον ἀποτελεῖν, ἐπὶ ἀψύχων σωμάτων λεγόμενον. 950, 10. 965, 9.

λακέρυζα κορώνη ἐπιθετικῶς, οἱονεὶ κελάρυζα παρὰ τὸ κελαρύζειν. 488, 19.

λακὶς ἡ ἐν ἱματίοις ἢ σαρκίοις διακοπή, ὅτι παρὰ τὸ λακεῖν λέγεται. 950, 12. 1208, 39.

Λακωνικὴ χώρα ὅτι ἑκατόμπολις τὸ ἀρχαῖον, καὶ διὰ τί κοίλη λέγεται παρ' Ὁμήρῳ. 293, 19. 33. καὶ ῥωχμοὺς εἴτουν σχισμὰς ἀπὸ σεισμῶν ἔχουσα, ὅθεν καιετάεσσα λέγεται παρ' Ὁμήρῳ. 294, 10. 1478, 43. ζήτει τὸ Λακεδαίμων. καὶ ὅτι ἀπὸ τῆς Λακωνικῆς πολλά τινα παρωνύμως λέγονται. 294, 2.

λακπάτητος ἢ λαξπάτητος ἐπίθετον ὅτι παρὰ τὸ λὰξ ἐπίρρημα καὶ τὸ πατῆσαι λέγεται. 625, 21. 796, 5.

Λάκων ἐθνικὸν ὅτι ἐκ τοῦ Λακεδαιμόνιος συγκέκοπται κατά τινας, κατὰ δὲ ἑτέρους ὑποκεκόρισται. 293, 45.

Λακωνικὸν στόμωμα σιδήρου ὅτι εἰς ῥίνας καὶ σιδηροτρύπανα καὶ τοιαῦτα τινὰ ἐχρησίμευε πάλαι. 294, 5.

λαλητὸν ζῶον λέγεται ὁ ἄνθρωπος ὡς λαλοῦν κατ' ἐνεργητικὴν ἔννοιαν. 873, 19.

λαλίστατος ὅτι ἐκ τοῦ λάλιστος ὑπερθετικοῦ γέγονε κατ' ἐπίτασιν ὑπερθέσεως, καὶ λαλίστερος συγκριτικόν. 215, 12.

λαλῶ σοι, δοτικῇ ὡς λέγω σοι καὶ φωνῶ σοι. 85, 33.

Λάμια, δαιμόνιόν τι μυθικόν, οὗ καὶ λαγνείαν κατηγορεῖ ὁ κωμικός· καὶ ὅτι καὶ ἰχθύς τις λάμια ὁμωνύμως λέγεται. 1714, 33. καὶ ὅτι ἐκ τοῦ λάπτω λέλαφα λέλαμμαι παρῆκται. 838, 61. καὶ ὅτι τὸ μι διὰ τοῦ ἰῶτα γράφεται. 265, 43.

Λάμος, υἱὸς Ποσειδῶνος, Λαιστρυγόνων βασιλεύς. 1649, 10.

λαμπαδηφόρος ὅτι ἐκ τοῦ λαμπαδοφόρος γέγονε τροπῇ τοῦ ο εἰς η. 521, 5.

λάμπειν λέγεται τὸ πῦρ, καὶ πῶς πυρὶ λάμποντι εἰκάζονται οἱ τοῦ θυμουμένου ὀφθαλμοὶ παρ' Ὁμήρῳ. 58, 12.

Λαμπετίδης πατρωνυμικὸν ὅτι ἐκ τοῦ Λάμπετος δοκεῖ παρῆχθαι, εἰ δὲ ἐκ τοῦ Λάμπος, πλεονασμὸν πέπονθε. 1030, 22.

Λαμπετίη καὶ Φαέθουσα, θυγατέρες Ἡλίου ἐκ Νεαίρας, μυθευόμεναι ποιμαίνειν τὰ ἐν Σικελίᾳ θρέμματα τοῦ Ἡλίου, καὶ ἀλληγορία τοῦ μύθου. 1717, 27. 34.

Λάμπος καὶ Φαέθων, Ἠοῦς ἵππων ὀνόματα. 826, 26.

λαμπτὴρ ταὐτὸ ὅπερ φανός.

1189, 24. ἀλλαχοῦ δὲ ὅτι λαμπτῆρες λυχνίαι ἢ ἐσχάραι μετέωροι, ἐφ' ὧν δᾷδες ἀνημμέναι ἐτίθεντο. 1848, 26. 32.

λαμυρὸς, εὔλαλος, εὐτράπελος, οἱονεὶ ἁλμυρός. 1546, 3.

Λᾶν, αἰτιατικὴ τοῦ Λᾶ ἢ Λᾶς μονοσυλλάβου ὀνόματος. 1702, 24. ζήτει τὸ, Λᾶ ἢ Λᾶς μονοσύλλαβον.

λανθάνειν ἀντὶ τοῦ δυνάμει εἶναι μεταληπτικῶς ἐνίοτε παρ' Ὁμήρῳ. 987, 5.

λὰξ ἐνθορεῖν τινὶ, καὶ λὰξ ἐμβῆναι εἴτουν ἐμπηδῆσαι, ἤγουν λήγοντι μέρει τοῦ ποδὸς παίειν· καὶ ὅτι τὸ λὰξ ἐπίρρημα ἀπὸ τοῦ λήξω μέλλοντος τοῦ λήγω ῥήματος γέγονεν ἀποκοπῇ καὶ συστολῇ. 249, 35. 625, 20. 23. 796, 1. 1818, 55.

λαξεύειν τὸ λίθους ξέειν. 230, 3.

λαξπάτητος καὶ λακπάτητος ἐπίθετον ὅτι ἐκ τοῦ λὰξ ἐπιρρήματος καὶ τοῦ πατεῖν σύγκειται. 625, 21. 796, 5.

Λαόγονος κύριον, ὃ προπαροξύνεται ὡς τὸ χρυσόγονος. 1213, 41.

Λαοδάμας κύριον, ὅτι βασιλέα ᾧ λαοὶ δέδμηνται ὑπαγορεύει τοὔνομα, καὶ Λαοδάμεια θηλυκὸν ὁμοίως. 637, 21.

Λαοδάμεια, Ἀκάστου θυγάτηρ, Πρωτεσιλάου τοῦ Ἰφίκλου γυνὴ, ὅτι φίλανδρος σφόδρα γέγονεν, ὥστε καὶ τῷ πόθῳ τοῦ ἀνδρὸς ἀποθανόντος ἐν Τροίᾳ ἐκλιπεῖν, ἱστορία καὶ μῦθος διεξοδικῶς. 325, 22.

Λαοδάμεια, Βελλεροφόντου θυγάτηρ καὶ Σαρπηδόνος τοῦ παρ' Ὁμήρῳ μήτηρ, διαλλάξασα τοὺς ἰδίους ἀδελφοὺς περὶ τῆς βασιλείας ἀμφισβητοῦντας, ἱστορία. 894, 38.

Λαοδίκη, παρ' Ὁμήρῳ μία τῶν Ἀγαμέμνονος θυγατέρων ἡ παρὰ τοῖς ὕστερον Ἠλέκτρα, ὅτι παρὰ τὸ τοῖς λαοῖς δικάζειν λέγεται. 742, 47.

Λαοδόκος, υἱὸς Ἀντήνορος παρ' Ὁμήρῳ, ὅτι φιλόξενον ἄνθρωπον ὑπαγορεύει, οἱονεὶ γὰρ λαοδόχος λέγεται. 447, 29.

Λαοθόη κύριον ὅτι παρὰ τὸ λαὸν θέειν ἐπ' αὐτὴν διὰ τὸ κάλλος οὕτω λέγεται. 1256, 34.

λαὸς ὅτι παρὰ τὸ λίαν αὔειν, ὅ ἐστι φωνεῖν, λέγεται· κατὰ δέ τινας ἐκ τῆς διὰ λάων ἤγουν λίθων ἀπαριθμήσεως τῶν ἐπὶ Κέκροπος ἀνθρώπων, ἱστορία· ἄλλοι δὲ παρὰ τὴν ἐκ λάων ἤγουν λίθων μυθικὴν γένεσιν τῶν ἀνθρώπων μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν, μῦθος. 23, 32. 682, 39.

λᾶος γενικὴ ὅτι ἐκ τοῦ λάαος κέκραται. 1591, 41.

λαοσσόος Ἀθηνᾶ καὶ Ἀπόλλων λέγονται ὡς λαοὺς σώοντες, ὅ ἐστι σώζοντες· Ἔρις δὲ λαοσσόος ἡ λαοὺς σέουσα, ὅ ἐστι κινοῦσα καὶ παρορμῶσα εἰς πόλεμον· κατὰ δὲ ταύτην τὴν ἔννοιαν καὶ Ἄρης λαοσσόος λέγεται ὁ λαοὺς παρορμῶν ἢ ὁ λαοὺς διώκων. 1111, 60. 1112, 2. 1195, 16. 1780, 48. καὶ ὅτι τὸ σῶ διὰ τοῦ ο μικροῦ γράφεται ὡς ἀπὸ τοῦ σέω ῥήματος, ὃ δηλοῖ τὸ ὁρμῶ. 62, 44. 758, 51.

λαπάζειν τὸ ἐκκενοῦν, παρὰ τὸ λάπτειν, ὃ δηλοῖ τὸ ῥοφεῖν. 65, 31. καὶ ὅτι καὶ ἀλαπάζειν λέγεται. 1413, 4.

λάπαθον, λάχανόν τι γαστρὸς ὑπαγωγὸν, ὅτι παρὰ τὸ λάπτειν, ὃ δηλοῖ τὸ κενοῦν, λέγεται. 423, 41. 1413, 7.

λάπαθος, βόθρος εἴτουν ὄρυγμα, ὅτι διὰ τὸ κεκενῶσθαι οὕτω λέγεται. 1490, 62.

λαπάρα ὁ ὑπὸ τὰς πλευρὰς τόπος τοῦ σώματος, ὁ καὶ κενεὼν, ὅτι ἐκ τοῦ λέλαπα μέσου παρακειμένου ἢ τοῦ ἔλαπον δευτέρου ἀορίστου τοῦ λάπτω ῥήματος, ὃ δηλοῖ τὸ κενῶ, οὕτω λέγεται. 65, 27. 423, 37. 625, 18. 838, 60. 1413, 7.

Λαπέρσαι οἱ Διόσκουροι, ὅτι διὰ τὸ Λᾶν πόλιν τινὰ πέρσαι, ὅ ἐστι πορθῆσαι, οὕτως ἐπεκλήθησαν. 230, 2. 295, 38. ζήτει τὸ, Λᾶ ἢ Λᾶς μονοσύλλαβον.

λαπίζειν τὸ συρίζειν κατὰ γλῶσσαν. 1761, 27.

Λαπίθαι, γένος τι ἔνδοξον Θετταλικὸν, Κενταύροις πολέμιον. 100, 43.

Λαπίθης ἐθνικόν, καὶ λαπίθης ὁ λαοὺς πείθων, καὶ λαπίθης ὁ καυχηματίας. 336, 43. 537, 42. 1909, 55. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ λᾶ ἐπιτατικοῦ καὶ τοῦ ἔπιθον ἀορίστου δευτέρου σύγκειται τοὔνομα. 895, 63.

Λαπιθῶν πρὸς Κενταύρους πόλεμος ὅτι διὰ μῆνιν Ἄρεως καὶ τὴν τῶν Κενταύρων εἰς Λαπίθας ὕβριν καὶ παροινίαν ἐν τοῖς Πειριθόου γάμοις ἱστορεῖται γενέσθαι. 103, 19. 1909, 48. 1910, 7.

λάπτειν τὸ ῥοφεῖν ὅτι περὶ κυνῶν καὶ λύκων καὶ ἁπλῶς τῶν καρχάρων λέγεται, καὶ λάπτειν τὸ ἐκκενοῦν καὶ ἀναλίσκειν, ὅθεν καὶ τὸ λαπάζειν. 65, 32. 423, 38. 625, 18. 1052, 4. 1413, 6.

λαρινεύεσθαι τὸ σιτίζεσθαι ὅτι παρὰ τὸν λάρον τὸ ὄρνεον δοκεῖ λέγεσθαι. 1382, 64.

λαρινοὶ βόες καὶ σύες οἱ μεγάλοι καὶ παχύδερμοι παρὰ τὸ λαρινεύεσθαι, ὃ δηλοῖ τὸ σιτίζεσθαι, ἢ ἀπὸ Λαρίνης κώμης Ἠπειρωτικῆς, ἢ ἀπό τινος Λαρίνου βόσκοντος αὐτούς. 1243, 11. 1383, 1.

Λάρισσα, Πιάσου ἄρχοντος θυγάτηρ, τὸν πατέρα εἰς πίθον οἴνου καταποντίσασα, ἱστορία. 357, 44. καὶ ὅτι ἡ Λάρισσα σφαιρίζουσα παρὰ τὸν Πηνειὸν ὠλίσθεν εἰς τὸν ποταμόν. 1554, 33.

Λάρισσα πόλις, καὶ ὅτι ἕνδεκα Λάρισσαι πόλεις ἀριθμοῦνται, ὧν αἱ πλείους Εὐρωπαῖαι, ὧν μία καὶ ἡ Θετταλικὴ, καὶ ἑτέρα περὶ Κύμην τὴν Αἰολικὴν Φρικωνίς ποτε κληθεῖσα, αἷς καὶ ἰδίως συνέβη ἐν ποταμοχώστῳ χώρᾳ ᾠκίσθαι· καὶ διαφορὰ Στράβωνος καὶ τοῦ ἐθνογράφου περὶ τοῦ ποίας Λαρίσσης μέμνηται Ὅμηρος. 357, 34. 41—358. 13.

λάρναξ ἡ κιβωτὸς κατὰ γλῶσσαν. 1056, 46.

λαρὸν τὸ ἄγαν ἀρηρὸν τῇ ψυχῇ, παρὰ τὸ λᾶ καὶ τὸ ἀρῶ, ὅ ἐστιν ἁρμόσω, κράσει τῶν δύο αα εἰς ᾱ μακρόν. 1186, 50.

λαρὸν τὸ γλυκὺ, τὸ λᾶ μακρὸν ἐν τῷ, νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον. Ὀδ. μ', 283. 1722, 2.

λαρὸς ὀξυτόνως ὁ ἡδὺς πρὸς διαστολὴν τοῦ λάρος προσηγορικοῦ, καὶ μακρὰν ἔχει τὴν λᾶ συλλαβήν. 87, 20. 906, 47. 1118, 52.

λάρος ὄρνεον, ὅτι λάρῳ ὁ Ἑρμῆς εἰκάζεται διὰ τὸ λευκὸν, ὅ ἐστιν ἐναργὲς, τοῦ λόγου, ἢ παρὰ τὸ λαρὸν, ὅ ἐστιν ἡδύ. 87, 18. 1522, 52. καὶ ὅτι καὶ οἱ παράσιτοι λάροις εἰκάζονται διὰ τὴν κατὰ λιχνείαν ὁμοιότητα πρὸς τὸ ὄρνεον. 1382, 64. καὶ ὅτι Ἡρακλεῖ ᾠκείωται ὁ λάρος διὰ τὸ πολυφάγον. 1523, 3. καὶ ὅτι καὶ πᾶς εὐήθης λάρος λέγεται σκωπτικῶς. 1522, 54.

λαρώτατος, ὑπερθετικὸν τοῦ λαρὸς, ὅτι ἐκτείνει τὴν λᾶ καὶ τὴν ρω συλλαβὴν παρ' Ὁμήρῳ παρὰ τὸν κανόνα τῶν τοῦ ωτατος, ἑρμηνεία διεξοδική. 1114, 45. 1449, 37.

Λᾶς μονοσύλλαβον, ζήτει τὸ Λᾶ μονοσύλλαβον.

λάσιον ὅτι ἐκ τοῦ λᾶ ἐπιτατικοῦ καὶ τοῦ σῶ ῥήματος, ὃ δηλοῖ τὸ ὁρμῶ, λέγεται. 79, 5. καὶ λάσιον στῆθος καὶ λάσιον κῆρ τὸ φρόνιμον μεταληπτικῶς πολλαχοῦ παρ' Ὁμήρῳ· καὶ ὅτι τὰ λάσια στήθη πανοῦργον ἦθος χαρακτηρίζουσι· καὶ ὅτι καρδίαι τινῶν ἀνατμηθεῖσαι τετριχωμέναι εὑρέθησαν, ἱστορία. 78, 39. 79, 2. καὶ ὅτι τὸ μὲν λάσιον κῆρ ἐπὶ ἐπαίνου τίθεται, τὸ δὲ λασίας λόχμας ἔχειν περὶ τὰς φρένας ἐπὶ ψόγου. 360, 35.

λασσω λήγοντα ῥήματα τῷ ᾶ προπαραλήγοντα, ἐκ πλεονασμοῦ τῆς αλ συλλαβῆς γενόμενα, οἷον μάσσω, μαλάσσω. 672, 4.

λασταυροκάκκαβον, ἔδεσμα ποιὸν οὕτω καλούμενον. 1724, 53.

λάσταυρος ὁ λάσιος τὸν ταῦρον, οἱονεὶ λασιόταυρος, ταῦρος δὲ ὁμωνύμως σωματικόν τι μόριον. 259, 4. 361, 7. 527, 45. 881, 24.

λατάγη, ζήτει τὸ λάταξ. 1170, 55.

λάταξ καὶ λατάγη, ἀγγεῖόν τι συντελοῦν εἰς τὴν κότταβον καλουμένην παιδιὰν, ὅτι παρὰ τὸ λᾶ καὶ τὸ στάζειν λέγεται ἀπελεύσει τοῦ σ. 1170, 52 — 58.

Λατῖνος καὶ Ἄγριος, Ὀδυσσέως υἱοὶ ἐκ Κίρκης· ζήτει ἐν τῷ, Ὀδυσσέως υἱοί. 1375, 20. 1796, 46.

Λατόρεια, κώμη τις τῆς Ἐφεσίων χώρας, ἐν ᾗ ἐγίνετο ὁ Πράμνειος οἶνος, ἀπὸ Λατορείας Ἀμαζόνος κληθεῖσα. 871, 25.

λάτρις ὁ ἁπλῶς θεράπων, κατὰ δέ τινας ὁ ἐν πολέμῳ ἁλοὺς καὶ εἰς δουλείαν ἀπαχθείς. 1246, 9. 1750, 63.

λάτρον ὁ τῶν θητευόντων μισθὸς, ὅτι παρὰ τὸ λάτρις, ὃ δηλοῖ τὸν δοῦλον, λέγεται. 1246, 9.

λατύπος, ὁ καὶ λατόμος ἤγουν λιθοξόος, καὶ λατύπη θηλυκῶς, λίθου ἀπόξεσμα. 230, 4.

λαυκανία ὁ λαιμὸς, παρὰ τὸ λαίω, ὅθεν τὸ ἀπολαύω, ὅτι διὰ τὸ τοῦ τόπου ἀπολαυστικὸν οὕτω λέγεται. 531, 13. 1271, 58.

λαῦρα ἡ δημοσία ὁδὸς, παρὰ τὸ λαοὺς ῥέειν δι' αὐτῆς ἐπενθέσει τοῦ ῦ οὕτω λεγομένη· εἶεν δ' ἂν λαῦραι καὶ οἱ ἐν ταῖς πόλεσι λεγόμενοι ἔμβολοι, ἑρμηνεῖαι διάφοροι τῆς λαῦρα φωνῆς. 1033, 60. 1065, 64. 1921, 56. 1922, 3. καὶ λαῦρα πορνεῖον ὑπὸ τοῦ τυράννου Πολυκράτους κατασταθὲν ἐν Σάμῳ, ἱστορία. 1082, 37.

λαῦρον ὕδωρ ὅτι παρὰ τὸ λᾶ ἐπιτατικὸν καὶ τὸ ῥέειν λέγεται ἐπενθέσει τοῦ ῦ. 1065, 63

λαφύκται οἱ μέθυσοι, παρὰ τὸ λάπτειν ἢ λαφύσσειν. 1246, 33.

λάφυρα παρὰ τὸ λαφύσσεσθαι, ὅ ἐστιν ἐκκενοῦσθαι καὶ ἀναλίσκεσθαι, τὰ διαρπαζόμενα ἐν πορθήσει πόλεως οὕτω λέγονται, ἀπὸ τοῦ λέλαφα παρακειμένου τοῦ λάπτω ῥήματος. 625, 18. 838, 59. 1413, 6.

λαφύσσειν τὸ ἐκκενοῦν καὶ ἀναλίσκειν. 1413, 4. ὅτι παρὰ τὸ ἀφύσσειν λέγεται. 944, 30. καὶ ὅτι συστοιχεῖ τῷ λαπάζω, ὃ δηλοῖ τὸ κενῶ. 65, 27. ἀλλαχοῦ δὲ ὅτι λαφύσσειν τὸ ῥαγδαίως καταπίνειν, ἐκ τοῦ λάπτω λέλαφα. 838, 58.

λαχαίνειν καὶ ἀμφιλαχαίνειν φυτὸν τὸ περισκάπτειν, ὅτι παρὰ τὸ λίαν χαίνειν τὴν γῆν ἐκ τοῦ ὀρύσσεσθαι λέγεται τὸ ῥῆμα. 207, 25. 333, 12. 1619, 32. 1959, 48.

λάχανον ὅτι παρὰ τὸ λαχαίνεσθαι, ὅ ἐστι σκάπτεσθαι, τὴν γῆν ἐπὶ φυτεύσει τῶν λαχάνων οὕτω λέγεται. 207, 27. 1619, 32.

λάχεια νῆσος, Ὀδ. ί, 116. ὅτι οἱ μὲν ὡς κύριον τῆς νήσου ἐκείνης ἀκούουσι τὸ λάχεια, οἱ δὲ ὡς ἐπίθετον ἀντὶ τοῦ εὔγεων παρὰ τὸ λαχαίνεσθαι ἤτοι σκάπτεσθαι, καὶ ἐν τῷ, ἀκτή τε λάχεια, ὁμοίως. 1619, 31.

λάχεια ἀκτὴ, οἱονεὶ ἐλάχεια ἤγουν ἐλαχίστη ἐν τῷ, ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης, Ὀδ. κ', 509. οἱ δὲ ὅτι ὄνομα τῆς ἀκτῆς ἐκείνης ἡ Λαχεία. 1667, 13.

λαχεῖν τὸ ἀπὸ λαχμοῦ κτήσασθαι καὶ τὸ ἁπλῶς τυχεῖν, ὅτι παρ' Ὁμήρῳ ποτὲ μὲν αἰτιατικῇ συντάσσεται, οἷον ἐν τῷ, τὸ γὰρ λάχομεν γέρας ἡμεῖς, ποτὲ δὲ γενικῇ, οἷον ἐν τῷ, δώρων ἐκ Πριάμοιο λάχη, Ἰλ. ώ, 76. 1340, 7. 1521, 48. 1542, 56. καὶ ὅτι καὶ λαχεῖν ἀπὸ ψήφου, καὶ λαχεῖν ἀπὸ κλήρου, κατὰ συνθήκην λέγεται. 674, 18. καὶ ὅτι λαχεῖν τις λέγεται τόδε αἰτιατικῇ ἀντὶ τοῦ ὡς λάχος λαβεῖν, λαχεῖν δέ τινα τοῦδε γενικῇ ἀντὶ τοῦ ὡς λάχος δοῦναι, οἷον τὸ λαχεῖν πυρὸς τοὺς θανόντας παρ' Ὁμήρῳ. 666, 31. 1019, 8. 1288, 52.

λαχμητήριον ὅτι παρὰ τὸ λαχεῖν λέγεται, ὡς καὶ ὁ λαχμός. 674, 24.

λαχμὸς ἡ ἐκ τῆς λάχνης λασιότης καὶ ὁ κλῆρος ὁμωνύμως. 674, 24. 1638, 39.

λάχνη ἡ τρίχωσις καὶ ἡ δασύτης, ὅτι παρὰ τὸ λαχαίνειν, ὃ δηλοῖ τὸ σκάπτειν, λέγεται, ἢ παρὰ τὸ λᾶ καὶ τὸ χνοῦς. 207, 25. 774, 17. καὶ ὅτι περὶ ἀνθρώπων καὶ ἀλόγων καὶ φυτῶν λέγεται. 333, 10. 774, 15. 1638, 41.

λαχνῆεν δέρμα τὸ τετριχωμένον καὶ λάσιον, ὅτι παρὰ τὴν λάχνην λέγεται, καὶ λαχνήεις θὴρ καὶ λαχνήεις ὄροφος ὁμοίως. 333, 9. 774, 17. 1151, 20.

λάων, εὐθεῖα μετοχικὴ ἀπὸ τοῦ λάω θέματος, ὃ δηλοῖ τὸ βλέπω, οὗ χρῆσις ἐν τῷ, ἀσπαίροντα λάων. 531, 12. καὶ λάων γενικὴ

πληθυντικὴ ἀπὸ τοῦ λαάων κεκραμένη. 891, 3.

λέαινα ὅτι δύο τίκτει, ὑφ᾽ ὧν ἀμυχθεῖσα τὴν μήτραν στεῖρα τοῦ λοιποῦ διαμένει, ἱστορία φυσική. 581, 44.

λέβης, ἀγγεῖον ὑποκείμενον τοῖς νιπτομένοις, καὶ λέβης ἀγγεῖον τριποδοειδὲς πρὸς βρασμὸν ἐπιτήδειον. 1312, 25. 28. ἀλλαχοῦ δὲ ὅτι λέβης τὸ κοινῶς χερνίβιον, καθ᾽ οὗ νιπτόμεθα, καὶ ὅτι παρὰ τὴν λαβὴν λέγεται ἢ διὰ τὸ λείβεσθαι ὕδωρ εἰς αὐτό. 1401, 32. καὶ πάλιν λέβης παρ᾽ Ὁμήρῳ τὸ τοῦ κατὰ χειρῶν διδομένου ὕδατος ὑποδεκτικὸν ἀγγεῖον, πρόχοος δὲ τὸ προχέον τὸ τοιοῦτον ὕδωρ ἀγγεῖον. 1351, 54. 1475, 9.

λέγειν τὸ ἁπλῶς καὶ χωρὶς μέλους φθέγγεσθαι. 9, 4. καὶ λέγειν λόγον κατὰ συνθήκην. 147, 10. καὶ λέγειν ταὐτὸ ὅπερ ἐπιλέγειν, ὅθεν ὁ ἐπίλεκτος· καὶ ὅτι καὶ παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ λαλεῖν καὶ φθέγγεσθαι κεῖται. 814, 34. καὶ λέγειν τὸ ἀναλέγεσθαι. 885, 39. καὶ λέγειν τὸ ἀριθμεῖν καὶ τὸ εὐνάζειν. 1505, 20.

λέγεσθαι ἀντὶ τοῦ διαλέγεσθαι παρ᾽ Ὁμήρῳ ἐν τῷ, ἀλλ᾽ ἄγε μηκέτι ταῦτα λεγώμεθα. 930, 62. 931, 3. 1206, 38.

λέγεσθαι ἀντὶ τοῦ μετρεῖν καὶ ἀριθμεῖν. 736, 13. 930, 62. 931, 3.

λέγεσθαι ἀντὶ τοῦ συνάγειν. 726, 37. 728, 57.

λέγεσθαι ἀντὶ τοῦ κεῖσθαι ἢ κάθησθαι. 250, 34. 850, 46.

λέγεσθαι τὸ ἐπὶ ὕπνῳ ἀνακλίνεσθαι, καὶ τὸ κοιμᾶσθαι εἴτουν καθεύδειν. 321, 40. 1189, 62. 1497, 30. 1879, 50.

λέγω σοι, δοτικῇ. 85, 33. καὶ λέγω λόγον, αἰτιατικῇ. 147, 10.

λεία ὁδὸς ἡ ἁμαξιτός, Ὀδ. κ', 103. 1650, 40.

λειᾶναι ἀντὶ τοῦ ξέσαι καὶ ῥινῆσαι. 451, 14.

λείβειν ταὐτὸ ὅπερ σπένδειν. 640, 49. 1351, 11. 1471, 26. καὶ ὅτι λείβειν οἶνον ἐντελῶς λέγεται, λείβειν δὲ κατὰ μόνας ἀτελῶς. 1057, 33.

λείβεσθαι δάκρυσι λέγεταί τις, οὐ μὴν σπένδεσθαι, ὁμοίως καὶ ὕδατα λείβεσθαι ποθὲν λέγονται, οὐ μὴν σπένδεσθαι. 1476, 27.

Λείβηθρα, ὄνομα τόπου τινός, οὗ οἱ ἐγχώριοι Λειβήθριοι λέγονται, ὅτι παρὰ τὸ κατάῤῥυτος εἶναι καὶ ὕδατι λείβεσθαι οὕτως ἐκλήθη. 1471, 29. 1476, 28.

λείβηθρον, ὀχετὸς ὑδραγωγός, καὶ λείβηθρα τὰ ἔφυδρα χωρία καὶ διαῤῥύσεις ὑδάτων ἔχοντα· καὶ Λείβηθρα, ὄρος Μακεδονικόν, οὗ τοπικὸν Λειβήθριος· καὶ ὅτι τινὲς διὰ τοῦ ἰῶτα γράφουσι τὴν λέξιν. 1235, 58.

Λειμηρά, τὸ λι δίφθογγον, ὅτι οὕτως ἐκλήθη ποτὲ Ἐπίδαυρος ἡ πόλις διὰ τοὺς περὶ αὐτὴν λειμῶνας, ἢ Λιμηρὰ διὰ τοῦ ἰῶτα, οἱονεὶ λιμενηρά, ὡς πολυλίμενος. 287, 37.

λειμὼν τὸ κοινῶς λιβάδιον εἰς ὃν ὕδωρ λείβεται, ὅτι ἀπὸ τοῦ λέλειμμαι παρακειμένου λέγεται. 254. 43. 1358, 53. 1511, 6. καὶ λειμὼν Ἄσιος ἢ Ἀσίου, τόπος τις περὶ τὸν Καΰστρον ποταμὸν ἐπωνυμικῶς ἢ ἐπιθετικῶς οὕτω καλούμενος, ἑρμηνεία διεξοδική. 254, 9 — 28.

Λειμωνιάδες Νύμφαι αἱ αὐξητικαὶ τῶν ἐν τοῖς λειμῶσι φυομένων φυσικαὶ δυνάμεις. 652, 35.

λεῖος ἱππόδρομος ὁ περὶ τὸν καμπτῆρα τόπος, Ἰλ. ψ', 330. 1304, 21.

λειότης λόγου, ὅτι λειότης ἐμφαίνεται ἐν ταῖς ὠνοματοπεποιημέναις φωναῖς, αἷς ἔγκειται τὸ λ στοιχεῖον, οἷον ἐν τῷ, λίγξε βιός, καὶ ἔκλαγξαν ὀϊστοί. 1119, 63.

λείπειν τι λέγεταί τις θνήσκων, ὅταν μὴ κατὰ θέλημα καὶ διαθήκην ἀποκληροῖ τί τινι, ἀλλ᾽ ἀνάγκῃ θανάτου ἐξίσταται. 184, 34.

λείπειν ἱστία θυμὸς ὅτι περὶ τῶν ἀποθνησκόντων λέγεται παρ᾽ Ὁμήρῳ πρὸς διαστολὴν τῶν λειποθυμούντων. 1213, 52.

λείπεσθαι τὸ ἡττᾶσθαι, καὶ λειφθῆναι τὸ ἡττηθῆναι. 1314, 12. 1588, 53. καὶ λείπεσθαί τι λέγεται ἀντὶ τοῦ ἐπίλοιπον εἶναι καὶ ἐν ὑστέρῳ μένειν, οἷον ἐν τῷ, πέμπτον δ᾽ ὑπελείπετ᾽ ἄεθλον, Ἰλ. ψ', 615. 1320, 23.

λειπογνώμονα ζῷα λέγονται τὰ τέλεια καὶ μηκέτι ἔχοντα τοὺς γνώμονας καλουμένους ὀδόντας, ὅθεν καὶ θυσία λειπογνώμων ἡ τελεία. 1404, 59.

λειπογνώμονες ὄϊες τὰ τῆς τετάρτης ἡλικίας πρόβατα, καὶ ἵππος λειπογνώμων ὁ μηκέτι ἀπὸ τῶν ὀδόντων γνωσθῆναι δυνάμενος. 1627, 12. ζήτει τὸ γνώμονες.

λειποτακτῶν ἐπιτίμιον, ὅτι πάλαι τοῖς λειποτακτοῦσιν ἐπέκειτο τὸ μετὰ θάνατον ἀτάφους ῥίπτεσθαι. 1019, 15.

λειριόεις χροῦς ὁ οἷον ἀνθηρός, καὶ φωνὴ λειριόεσσα ὁμοίως, ὅτι παρὰ τὸ λείριον, ὃ δηλοῖ τὸ ἄνθος, λέγονται. 395, 31. 962, 55.

λείριον, εἶδος ἄνθους, οἱ μὲν ὅτι τὸ ἴον, οἱ δὲ ὅτι τὸ κρίνον. 395, 31. 1295, 25. καὶ ὅτι προπαροξύνεται τὸ λείριον, ὡς καὶ τὸ εἴριον παρ᾽ Ὁμήρῳ. 428, 4.

λεϊστὸς καὶ λεϊστὴ ἀντὶ τοῦ ληιστὸς καὶ ληιστὴ ὅτι ἐκ τοῦ λεία κατὰ διάλυσιν λέγονται, οἷον ἐν τῷ, ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστή, Ἰλ. ι', 408. 760, 3.

Λειψύδριον, ὄνομα τόπου τινός, ἱστορία· καὶ σκολιὸν μέλος ᾀδόμενον ἐπὶ τοῖς ἐν αὐτῷ ληφθεῖσιν Ἀθηναίοις. 461, 19.

Λειώκριτος κύριον ὅτι ἐκ τοῦ λεὼς Ἀττικοῦ καὶ τοῦ κριτός, ὅ ἐστιν ἔκκριτος, λέγεται· καὶ ὅτι τὸ μὲν λι διὰ διφθόγγου, τὸ δὲ ω διὰ τοῦ ω μεγάλου γράφεται, ἑρμηνεία διεξοδική. 1443, 16.

λεκάνη ὅτι παρὰ τὸ λευκαίνειν λέγεται. 1524, 37.

λεκιθίτης πλακοῦς λέγεται, ᾧ καὶ ᾠοῦ λέκιθος παραμέμικται. 1914, 51.

λέκιθος ἀρσενικῶς, εἶδος ὀσπρίου, ὁμωνύμως τῷ ἐν τοῖς ᾠοῖς κροκοειδεῖ. 1572, 53.

λέκτο, τρίτον πρόσωπον ῥηματικὸν ἀντὶ τοῦ ἠρίθμησε καὶ ἀντὶ τοῦ εὐνάσθη ὁμωνύμως. 1505, 20.

Λεκτόν, ἀκρωτήριον εἰς ὃ λήγει ἡ Τρωικὴ Ἴδη τὸ ὄρος. 319, 12. 353, 19.

λέκτρον ἡ κοίτη, παρὰ τὸ λέγω,

ὃ δηλοῖ τὸ κεῖμαι καὶ κατακλίνομαι. 250, 35.
λελάβῃ, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ λάβῃ γέγονε κατ' ἀναδιπλασιασμόν. 1654, 31.
λέλαθα, μέσος παρακείμενος ἀντὶ τοῦ ἐλαθόμην παρὰ Πινδάρῳ, παρ' Ὁμήρῳ δὲ ἀλλοπαθῶς ἀντὶ τοῦ ἐπιλησθῆναι ποιεῖν, οἷον ἐν τῷ, λελάθῃ δ' ὀδυνάων, Ἰλ. ο', 60. 1006, 24.
λελάθω ὅτι ἐκ τοῦ λέλαθα παρακειμένου εἰς ἐνεστῶτα θεματικὸν ἀνήχθη. 1596, 4.
λελακυῖα, μετοχὴ τοῦ λέληκα παρακειμένου, ὅτι κατὰ συστολὴν τοῦ η λέγεται Ἰωνικῶς. 1714, 49.
λελασμένος, ἤγουν ἐπιλελησμένος, τινὸς λέγεται παρ' Ὁμήρῳ ὅ τε βαθέως κοιμώμενος καὶ ὁ τεθνηκὼς, οἷον ἐν τῷ, λελασμένος ἱπποσυνάων, καὶ λελασμένος ὅσσ' ἐπεπόνθει. 1734, 27. 31.
λέλαφα, παρακείμενος ἀπὸ τοῦ λάπτω θέματος. 1246, 36.
λελαχεῖν πυρὸς τὸν τεθνηκότα λέγονται οἱ ζῶντες ἀντὶ τοῦ πυρὸς ἀξιῶσαι. 1019, 7.
λελάχητε, ἤγουν ἀξιώσητε καὶ λαχεῖν ποιήσητε. 1288, 34.
Λέλεγες οἱ Κᾶρες, καὶ Λελέγων πόλις ἡ τῆς Καρίας μητρόπολις, καὶ ἱστορία περὶ τοῦ μετοικισμοῦ τῶν Λελέγων, καὶ ἄλλα τινὰ περὶ τοῦ ἔθνους. 623, 22. 816, 32. 1198, 55. 1225, 42. καὶ ὅτι Καρσὶν ἐδούλευσάν ποτε οἱ Λέλεγες. 1090, 59. καὶ ὅτι διὰ τὸ σύλλεκτοι καὶ μιγάδες γεγονέναι οὕτως ἐκλήθησαν. 1198, 56. 1472, 37.
λέληκα ὅτι ἐκ τοῦ λελάληκα γέγονε κατὰ συγκοπήν. 1403, 51.
λεληκὼς καὶ λεληκυῖα ὅτι ἐκ τοῦ ληκῶ ἀχρήστου θέματος κεκίνηνται ἢ ἐκ τοῦ λελαληκὼς καὶ λελαληκυῖα συνεκόπησαν. 1263, 2. ἀλλαχοῦ δὲ ὅτι λεληκὼς λεληκυῖα ἐκ τοῦ λεληκηκὼς καὶ λεληκηκυῖα συνεκόπησαν Ἰωνικῶς. 1700, 48
λελῆσθαι ἐκ τοῦ λελιῆσθαι κατὰ συναίρεσιν. 193, 36.
λελησμένος ἐκ τοῦ λελιησμένος κατὰ συναίρεσιν. 264, 26.
λελιημένος, θέλων καὶ ἐπιθυμῶν, ὅτι ἐκ τοῦ λῶ τὸ θέλω γίνεται λιῶ λιήσω, ὅθεν τὸ λελιημένος. 722, 57. 1090, 7. καὶ ὅτι γενικῇ συντάσσεται. 1077, 41. καὶ ὅτι καὶ χωρὶς πτωτικῆς συναρτήσεως ἐνίοτε λέγεται, οἷον ἐν τῷ, βάν ῥ' ἰθὺς Δαναῶν λελιημένοι, Ἰλ. μ', 106. 894, 63.
λέλογχα ἀντὶ τοῦ ἔλαχον ἢ ἐξαιρέτως ἔσχον, ὡς ἀπὸ τοῦ λέγω, οἷον ἐν τῷ, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν, Ὀδ. λ', 304. καὶ ὅτι πρὸς εὐφωνίαν προσείληφε τὸ ν, καὶ ὅτι μίγμα ἐστὶ μέσου καὶ ἐνεργητικοῦ παρακειμένου, ὧν τὸν μὲν τὸ χ, τὸν δὲ τὸ ο χαρακτηρίζει· εἰ δὲ ἐκ τοῦ λήχω, ὅ ἐστι λαγχάνω, κεκίνηται, τροπὴν ἔπαθε τοῦ η καὶ πρόσληψιν τοῦ ν. 790, 14. 1663, 12. 1687, 6.
λέλοιπα, δέδοικα, οἶδα, πέποιθα παρακείμενοι ὅτι Αἰολικῶς διὰ τοῦ οι γράφονται, κοινῶς δὲ διὰ τοῦ ει γράφοιντ' ἄν. 853, 6. 1618, 49.
λελύσθαι καὶ ὑπολελύσθαι γυῖα καμάτῳ λέγονται παρ' Ὁμήρῳ οἱ ἐπιτεταμένως κοπιάσαντες, λῦσαι δὲ γυῖα τινὸς ἀντὶ τοῦ ἀνελεῖν. 661, 60.
λέλυτο ἀντὶ τοῦ λυθείεν ἐν τῷ, νεύοιεν κεφαλὰς-λέλυτο δὲ γυῖα ἑκάστου, Ὀδ. σ', 238. ὅτι ὁριστικὸν ὂν ἀντὶ εὐκτικοῦ τίθεται ἢ ἀπὸ τοῦ λελύοιτο συγκέκοπται. 1845, 6.
λέμβος ταὐτὸ ὅπερ ἐφόλκιον εἴτουν ἀκάτιον, καὶ ὅτι οὕτως ἐπεκαλεῖτο πᾶς ὁ ἐπακολουθῶν τινὶ κολακικῶς. 1642, 61. 63. 1761, 14. 48.
λέμμα ὅτι παρὰ τὸ λέπειν λέγεται. 1863, 53.
λέμφος ἡ πεπηγυῖα μύξα ἐκ τῶν μυκτήρων, καὶ λέμφος ὁμωνύμως ὁ εὐήθης, καὶ ὅτι καὶ τὰ μυξώδη κρέα λέμφοι ἐκαλοῦντο. 1761, 16.
λέξαι ἢ λέξο ἀντὶ τοῦ ἀριθμήθητι ἢ εὐνάσθητι ἐν τῷ, μετ' ἄλλων λέξαι ἑταίρων, Ὀδ. κ', 320. 1660, 7. ζήτει τὸ λέξεο καὶ τὸ λέξο.
λέξασθαι τὸ κρῖναι καὶ ἐπιλέξασθαι. 190, 3. 1956, 33. καὶ λέξασθαι τὸ συναχθῆναι. 727, 3.
λέξεο, προστακτικὸν ἀπὸ τοῦ λέξω μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα, τὸ παθητικὸν λέξομαι, ὁ παρατατικὸς ἐλεξόμην, τὸ προστακτικὸν λέξεο. 778, 37. 1879, 51.
λέξο προστακτικὸν ἀντὶ τοῦ κοιμήθητι, ὅτι ἐκ τοῦ ἐλελέγμην ἐλέλεξο γέγονεν ἀφαιρέσει τῶν δύο αὐξήσεων. 1369, 53.
λέξον ἀντὶ τοῦ κοίμισον. 1369, 11.
λέξεων Ὁμηρικῶν ἀρετὴ κατὰ τὸ τραχὺ ἢ λεῖον τῆς ἐκφωνήσεως. 145, 31.
λέοντα ξυρεῖν, παροιμία ἐπὶ τῶν ἀδυνάτοις καὶ κινδυνώδεσιν ἐπιχειρούντων. 787, 8.
Λεοντάρνη, κώμη τις ἢ κρήνη, καθ' ἣν Ἀδράστου θύοντος λέων τις τὸν θυόμενον ἄρνα ἥρπασε. 270, 36.
λεοντέη καὶ λεοντῆ ἡ τοῦ λέοντος δορὰ ὑπακουομένου τοῦ δορὰ, καὶ ὅτι ἐκ τοῦ λεοντείη λέγεται ἐξωθήσει τοῦ ι· καὶ λεοντῆν ἐνῆφθαι παροιμιακῶς λέγεται πᾶς ὁ ἀνδρεῖος. 374, 34. 39. 375, 2.
λεοντιδεῖς οἱ τῶν λεόντων σκύμνοι. 1625, 45.
λέοντος οὐρὰ, ὅτι κέντρον τι ἔνεστι τῇ τῶν λεόντων οὐρᾷ, ἱστορία φυσική. 1201, 61.
Λεοντόφρων ἢ Δόρυκλος, υἱὸς Ὀδυσσέως ἐξ Εὐίππης τῆς Θεσπρωτίδος. 1796, 51.
λεόντων ἔκγονα ὅτι σκύμνοι καὶ λεοντιδεῖς λέγονται. 1625, 45.
λεόντων ἰδιώματα, ὅτι οὐ συμμαχοῦσιν ἀλλήλοις οἱ λέοντες. 927, 33. καὶ ὅτι τοῖς κερασφόροις ζώοις ἐπιτιθέμενος ὁ λέων τὸν αὐχένα πρῶτον αὐτῶν ἄγνυσι. 534, 24. καὶ ὅτι οὐ προτροπάδην φεύγει ὁ λέων, ἀλλὰ συχνὰ μεταστρεφόμενος. 1097, 41.
—λεος λήγοντα ὀνόματα, τῷ α προπαραλήγοντα, ὅτι ἐξ ἐπενθέσεως ἔχουσι τὴν αλ συλλαβὴν, οἷον διψαλέος. 672, 4.
λέπαδνα οἱ ἀναδεσμοῦντες πρὸς τὸν ζυγὸν τὰς ἵππους πλατεῖς ἱμάντες, τινὲς δὲ τοὺς τῶν ἵππων μασχαλιστῆρας, ὅτι παρὰ τὸ λέπω γίνεται λέπανον καὶ πλεονασμῷ τοῦ δ λέπαδνον. 599, 2. 1189, 53.
λέπαργος βοῦς ὁ ἀργὸς, ἤγουν

ὁ λευκὸς κατὰ τὸ λεπιζόμενον ἐξ αὐτοῦ, ὅ ἐστι τὸ δέρμα· καὶ παροιμία, ἀνὰ σοὶ τάδε πάντα λέπαργε, ἐπὶ τῶν μηδὲ μετὰ κάματον ἀνιεμένων. 1676, 5. ἀλλαχοῦ δὲ ὅτι λέπαργος βοῦς ὁ τὰς λαπάρας λευκὸς, καὶ λέπαργος χιὼν ἡ τὸ λέπας λευκαίνουσα. 1430, 59.

λέπας ἡ ὀρεινὴ τραχύτης, καὶ λεπαία χθὼν ἡ ὀρεινή. 488, 18.

λεπὰς καὶ λεπὶς ὅτι παρὰ τὸ λέπειν λέγονται. 1246, 28. 1863, 53.

λεπαστὴ κύλιξ, ἢ λεπάστη βαρυτόνως, ἡ λεπτὴ καὶ ἐκπέταλος κατὰ τὰς λεπάδας, ἢ ἡ μεγάλη καὶ ἐξ ἧς ἔστι λάπτειν, ὅ ἐστιν ἀθρόον πίνειν, ἑρμηνεία διεξοδική. 1246, 31.

λέπεσθαι παρὰ τοῖς Ἀττικοῖς ἐπὶ ἀσελγοῦς καὶ φορτικῆς ἀφροδισίων ἡδονῆς, ὁποῖόν τι καὶ τὸ δέφεσθαι. 1752, 3.

λεπρὰς πέτρα λέγεται, ἐφ' ἧς λεπάδες πεφύκασι. 1246, 28.

Λεπρεὺς, ἄνθρωπός τις οὕτω καλούμενος, ὃς πρὸς Ἡρακλέα ἐρίσας δίσκῳ καὶ θοίνῃ, καὶ πάντα ἡττηθεὶς, καὶ τὸ τελευταῖον πρὸς ἐκεῖνον μονομαχήσας ἀνῃρέθη. 1527, 4.

λεπρὸς, οἱονεὶ λεπηρὸς, παρὰ τὸ λέπειν κατὰ συγκοπήν. 1863, 53.

λεπτακινὸς, ὅτι παρὰ τὸ λεπτὸς γίνεται λεπτινὸς καὶ λεπτακινὸς ὡς φυζακινός. 1642, 4.

λεπτὴ εἰσίθμη, στενὴ δίοδος, Ὀδ. ζ, 264. 1562, 29.

λεπτὴ μῆτις ἡ ἰσχνὴ καὶ εὐδιάλυτος βουλή. 800, 15. 1317, 54.

λεπτὴ χιὼν ἡ ἀραιά. 1770, 21.

λεπτὸν ὅτι παρὰ τὸ λέπειν λέγεται, οἱονεὶ λεπιστόν. 1246, 28. 1863, 56.

λεπτοσώμων εἴτουν ἰσχνῶν ἀνθρώπων κατάλογος, καὶ ἱστορίαι διάφοροι περὶ αὐτῶν. 1288, 40.

λεπύχανον, κρομμύου τὸ λέπυρον παρὰ τοῖς κωμικοῖς. 1863, 49.

λέπω ῥῆμα ὅτι πῆ μὲν φυλάσσει τὸ ε κατὰ τὰς παραγωγὰς, οἷον ἐν τῷ λέπας καὶ λεπὶς, πῆ δὲ εἰς ο αὐτὸ τρέπει, οἷον ἐν τῷ λοπὸς καὶ λοπάς. 1246, 27. 1406, 55. 1863, 57.

Λεσβιάζειν τὸ αἰσχροποιεῖν καὶ αἰσχρῶς μολύνειν τὸ στόμα, ἐφ' ᾧ οἱ Λέσβιοι ἐκωμῳδοῦντο· καὶ ὅτι καὶ αἱ Λέσβιαι γυναῖκες ἐπὶ ἀσελγείᾳ ἐκωμῳδοῦντο. 741, 15—24.

Λέσβιος ᾠδὸς, ὅτι παροιμιακῶς λέγεται τὸ μετὰ Λέσβιον ᾠδὸν, ὃ περὶ Τερπάνδρου ἢ Εὐαινετίδου ἢ Ἀριστοκλείδου λέγεται εἰρῆσθαι. 741, 13.

Λέσβος ἡ νῆσος, ἡ νῦν Μιτυλήνη, ὅτι ἀπὸ Λέσβου μιᾶς τῶν ἐν αὐτῇ πόλεων οὕτως ἐκλήθη, καὶ Ἴσσα ἀπὸ ἑτέρας, καὶ Μιτυλήνη ἀπὸ ἄλλης· καὶ ὅτι καὶ Ἱμερτὴ καὶ Πελασγία ἡ αὐτὴ ἐκλήθη ποτὲ, καὶ ἄλλα τινὰ περὶ τῆς νήσου καὶ τῶν αὐτῆς οἰκητόρων· καὶ ὅτι ἀπὸ τῆς Λέσβου πολλά τινα παρωνύμως λέγονται, οἷον Λέσβιον ποτήριον καὶ Λέσβιον λουτρόν· καὶ ὅτι Λέσβου πόλεις Ἄντισσα, Πύῤῥα, Μέθυμνα, Λέσβος καὶ Μιτυλήνη. 741, 12—34. 1462, 26.

λέσχη, δημόσιον οἴκημα εἰς λέχος καὶ διατριβὴν τοῖς πτωχοῖς, καὶ λεσχαίνειν τὸ συνομιλεῖν, καὶ λογολεσχεῖν τὸ αὐτό. 437, 25. 1849, 1.

λευγαλέος ὁ εἰς λοιγὸν, ὅ ἐστιν ὄλεθρον, πρόχειρος, ἢ εἰς τὸ λέγεσθαι, ὅ ἐστι κοιμᾶσθαι, ἢ ὁ φεύγειν ἕτοιμος. 1434, 25. ἀλλαχοῦ δὲ ὅτι λευγαλέος ὁ ὀλέθριος παρὰ τὸν λοιγὸν, ἢ θανάσιμος παρὰ τὸ λέγω, ὃ δηλοῖ τὸ κοιμίζω. 1542, 10. καὶ πάλιν λευγαλέον τὸ ὀλέθριον, ὅτι παρὰ τὸν λύγον, φυτὸν ψυχρὸν καὶ ἄγονον, ἐνδέχεται λέγεσθαι, οἱονεὶ λυγαλέον καὶ πλεονασμῷ λευγαλέον. 1639, 4.

λευκὰ ἱστία ὅτι κατὰ κοινὸν ἐπίθετον λέγονται. 139, 35.

λευκὰ ὀστᾶ ὅτι κατὰ κοινὸν ἐπίθετον λέγονται, καὶ οὐ πρὸς διαστολὴν ὀστῶν τινῶν μελάνων, ὥς τινες ἐνόμισαν. 1407, 16.

λευκὰ σώματα ὅτι φύσει εὐπαθέστερά εἰσι τῶν μελάνων. 1799, 15.

λευκάλφιτος Ἐρέτρια ἐπιθετικῶς λέγεται παρὰ τὸ λευκὰ φέρειν ἄλφιτα. 280, 6. ζήτει τὸ Ἐρέτρια.

Λευκὰς ἡ νῆσος ὅτι χεῤῥόννησος ἦν ποτὲ, Κορινθίων δὲ διακοψάντων τὸν ἰσθμὸν ἐγένετο νῆσος ἀπὸ Λευκαδίου τοῦ Ἰκαρίου οὕτω κληθεῖσα. 306, 44. 1964, 48.

Λευκὰς πέτρα, παρ' Ὁμήρῳ μυθευομένη πρὸς τὰ πέρατα τοῦ Ὠκεανοῦ, ὁμοροῦσα ταῖς τοῦ Ἅιδου πύλαις, ἐτυμολογία. 1951, 51.

λεύκασπις ὁ κατά τι ἐπίσημον ἔχων λευκὴν ἀσπίδα. 1270, 21.

λευκέα ὁ τῆς λεύκης φλοιός. 1453, 10.

λευκερινεὸς, εἶδός τι συκῆς παρὰ τὸ λευκὰ ἴσως φέρειν σῦκα οὕτω λεγόμενον. 1205, 5.

λευκὴ νῆσος, νῆσός τις οὕτω καλουμένη, ἐν ᾗ Ὀρέστης Ἀχιλλέα ἐξιλεώσατο τοῦ φόνου τοῦ Νεοπτολέμου, ἱστορία. 1696, 46.

λευκὴ στάθμη, παροιμία ἐπὶ τῶν μηδὲν διακρινόντων, ἑρμηνεία διεξοδική. 1531, 63.

λευκὴ ψῆφος, παροιμία ἐπὶ τῶν δωροδοκούντων δικαστῶν. 917, 46.

λεύκη, φυτὸν καὶ πάθος τι σωματικὸν ὁμωνύμως. 1335, 29. καὶ ὅτι βαρύνεται τοὔνομα πρὸς διαστολὴν τοῦ λευκὴ θηλυκοῦ ἐπιθέτου. 907, 11.

Λεύκιππος, κύριον καὶ ἐπίθετον, ὅτι ὤφειλε Λεύχιππος λέγεσθαι διὰ τὴν ἐπὶ τοῦ ἵππος δασεῖαν, Ἰωνικῶς δὲ οὕτω λέγεται. 83, 2. 524, 28. 1562, 37.

λευκίσκοι γενικῶς λέγονται οἱ μυξῖνοι καλούμενοι κέφαλοι, ὡς οἷα λευκοὶ, καὶ ὅτι τῶν λευκίσκων πολλά τινα εἰσὶν εἴδη. 950, 8.

Λευκοθέα ὅτι οὕτω μετωνομάσθη παρὰ τὸ διὰ τοῦ λευκοῦ πεδίου θεῦσαι, ὅ ἐστι δραμεῖν, φεύγουσαν τὸν ἄνδρα Ἀθάμαντα, καὶ μύθου τοῦ κατ' αὐτὴν ἀπαγγελία διεξοδική. 1543, 26.

λευκὸν ὅτι παρὰ τὸ λεύσσειν λέγεται. 87, 13. καὶ ὅτι τὸ λευκὸν χρῶμα ἐν σώμασιν ἀνδρῶν δειλίας ἦν ἔλεγχος, ὅθεν καὶ παροιμιακῶς λέγεται, οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος. 455, 36.

λευκὸν ἐπίθετον ὅτι κατ' ἰδιότητα ἐπιλέγεται ὀδοῦσιν, ὀστέοις, γάλακτι, κριθαῖς καὶ χιόνι. 547, 44.

λευκὸν κρῖ αἱ λευκαὶ κριθαί. 576, 14. ζήτει τὸ κρῖ.

λευκὸν ὕδωρ τὸ διαυγὲς καὶ τὸ

ἀβαθὲς παρ' Ὁμήρῳ. 1524, 36. 1553, 22.

Λευκόνοτος, ὄνομα ἀνέμου, ὃν Ὅμηρος ἀργέστην Νότον καλεῖ. 845, 62. 1238, 38. 54. 64.

λευκόπυγος λέγεται ὁ ἄνανδρος, μελάμπυγος δὲ ὁ ἀνδρεῖος. 863, 29. ζήτει τὸ λευκόν.

λευκὸς ὀδοὺς, ὅτι οὐ πρὸς διαστολὴν ἡ ἐπίθεσις, ἀλλ' ὡς ἴδιον ἀπαθοῦς ὀδόντος. 853, 43.

Λεῦκος κύριον, λευκὸς δὲ ἐπίθετον. 499, 29. 907, 10. καὶ ὅτι Λεῦκος ὁ Κρὴς, ἀποστὰς τοῦ Ἰδομενέως κἀκείνῳ ἐπαναστὰς, δέκα Κρητικὰς πόλεις ἐπόρθησεν. 313, 32. ἀλλαχοῦ δὲ ὅτι ὁ Λεῦκος, εἰσποιηθεὶς ὑπὸ Ἰδομενέως καὶ φύλαξ τῆς βασιλείας καταλειφθεὶς, ἐπεχείρησεν ἀπελαύνειν τὸν Ἰδομενέα ἐκ Τροίας ἐπανελθόντα, ᾧ πολεμῶν ὁ Ἰδομενεὺς δέκα πόλεις ἀναστάτους ἐποίησε. 1860, 56.

Λευκοσία, ὄνομα μιᾶς τῶν Σειρήνων. 1709, 46.

Λεύκοφρυς, ὅτι οὕτως ἐπεκλήθη ποτὲ ἡ Τένεδος διὰ τὸ λευκὰς ὀφρύας, εἴτουν ὀρεινὰς ἐξοχὰς, ἔχειν περὶ τὸν αἰγιαλόν. 33, 23. 308, 25.

λεύκωμα, πάθος τι τῶν ὀφθαλμῶν, τὸ καὶ ἐπάργεμον λεγόμενον. 427, 38.

Λευκωνία, ὅτι οὕτως ἐκαλεῖτο πάλαι ἡ Σαμοθράκη. 1340, 14.

λευκώπιοι καὶ λευκοὶ ἐλέγοντο οἱ δειλοὶ διὰ τὸ μαλακίας χαρακτηριστικὸν εἶναι τὸ λευκὸν χρῶμα. 455, 37.

λευρὸς τόπος ὁ ὁμαλός. 1573, 31.

λεύσσω, ὅτι ἐκ τοῦ βλέπω γίνεται βλέσσω Αἰολικῶς καὶ παρενθέσει τοῦ ῡ καὶ παρέσει τοῦ β λεύσσω. 1398, 34. καὶ ὅτι κατὰ μὲν τὸν ἐνεστῶτα ἐν δυσὶ σσ γράφεται, ἐνὶ δὲ κατὰ τὸν μέλλοντα. 64, 12.

λευχείμων ὅτι παρὰ τὸ εἶμα, ὃ δηλοῖ τὸ ἔνδυμα, λέγεται, καὶ ὅτι διὰ τὴν ἐπὶ τοῦ εἶ δασεῖαν ἔχει τὸ χ. 524, 32.

λεχεποίης ποταμὸς ἐπιθετικῶς λέγεται, οὗ ἐπιτήδειος ἡ πόα εἰς λέχος εἴτουν κοίτην. 324, 39. 487, 9. 990, 61.

λέχος ἡ κλίνη παρ' Ὁμήρῳ, εὐνὴ δὲ ἡ ἐπ' αὐτῆς στρωμνή. 1793, 50. 1943, 12.

λέχριος ὁ πλάγιος καὶ λίαν χρίμψας ἤγουν πλησιάσας τῇ γῇ. 998, 8.

λέων τὸ ζῶον ὅτι ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς καθεύδει. 857, 42. καὶ ὅτι λέων ὁ ἄῤῥην οὐ σκυμναγωγεῖ. 1098, 48. καὶ ὅτι στένει θυμούμενος διὰ τὸ ὑπέρθερμον. 1201, 6. καὶ περὶ ἄλλων τινῶν ἰδιωμάτων τοῦ λέοντος ζήτει ἐν τῷ, λεόντων ἰδιώματα.

λέων, ὅτι λέων παρ' Ὁμήρῳ λέγεται καὶ ἡ θήλεια, ἀγνοοῦντι τὴν λέαινα φωνήν. 1098, 48. 1248, 15.

Λεωνίδας ζωγράφος, μαθητὴς Εὐφράνορος, ὅτι ἐξ Ἀνθηδόνος ἦν Βοιωτικῆς πόλεως. 271, 34.

λεωφόροι γυναῖκες αἱ δημόσιαι πόρναι. 1082, 40.

λεωφόρον ὁδὸν μὴ στείχειν, συμβολικὸν παράγγελμα ἀντὶ τοῦ τῇ τῶν πολλῶν γνώμῃ μὴ ἀκολουθεῖν. 1317, 16.

λη λήγοντα θηλυκὰ προσηγορικὰ, ὅτι τὰ μετ' ἐπιπλοκῆς τοῦ γ̄ τὸ λ̄ ἔχοντα θηλυκὰ τὸ η̄ ἔχουσι ληκτικὸν, οἷον τρίγλη, ζεύγλη, αἴγλη. 1934, 22. 25.

λη λήγοντα θηλυκὰ μονογενῆ διφθόγγῳ παραλήγοντα ὀξύνεται, οἷον αὐλὴ, οὐλὴ, ὠτειλὴ, εἰ μὴ ἔννοιαν ἔχει συνθέσεως, ὡς τὸ δείλη. 1169, 34.

λη ληγόντων θηλυκῶν τῷ η̄ παραληγόντων ἀναλογία, οἷον χηλὴ, θυηλὴ, γαμφηλή. 872, 17.

λη ληγόντων θηλυκῶν τῷ ῡ παραληγόντων προσῳδία, οἷον κοτύλη, σταφυλὴ, ἑρμηνεία διεξοδική. 341, 35.

λήγειν ὅτι καὶ καθ' αὑτὸ ἀπολύτως λέγεται, συντασσόμενον δὲ ποτὲ μὲν γενικὴν, ποτὲ δὲ αἰτιατικὴν ἐφέλκεται. 1237, 45.

λήγειν μένος τὸ παύειν τὴν ὁρμὴν παρ' Ὁμήρῳ, λήγειν δὲ μένους τὸ παύεσθαι τῆς ὁρμῆς παρὰ τοῖς μεθ' Ὅμηρον. 940, 39.

Λήδα, Θεστίου τοῦ Πλευρωνίων δυνάστου θυγάτηρ, ἧς καὶ Τυνδαρέου Κάστωρ καὶ Πολυδεύκης καὶ Ἑλένη, ὅτι παρὰ τὸ λῆδος λέγεται τοὔνομα. 1147, 3. 1417, 26. 1686, 18. 40. καὶ ὅτι Δωρικῶς εἰς ᾱ καταλήγει, κοινῶς δ' ἂν Λήδη λέγοιτο. 1687, 16.

λήδανον τὸ κοινῶς λάδανον, ὅτι ἐθνικόν ἐστι τοὔνομα. 1147, 3.

λήδιον, λεῖον περιβόλαιον, ὅτι ἐκ τοῦ λεῖον γέγονε ληΐδιον διαλύσει καὶ τροπῇ τοῦ ε̄ εἰς η̄, εἶτα συναιρέσει λήδιον. 193, 35. 1686, 52. ζήτει τὸ ληΐδιον.

λῆδος, ὄνομα οὐδέτερον πρωτότυπον τοῦ λήδιον, ὅ ἐστι τριβώνιον. 1146, 64.

ληθάνειν ἀντὶ τοῦ λανθάνειν εἴτουν λανθάνεσθαι ποιεῖν ἐν τῷ, ἐκ δέ με πάντων ληθάνει ὅσσ' ἔπαθον, Ὀδ. η', 221. 1578, 1.

λήθω, ὅτι τῶν παρὰ τὸ λήθω τινὰ μὲν φυλάσσει τὸ η̄, οἷον λήθη, τινὰ δὲ αὐτὸ εἰς ᾱ τρέπει ὡς ἀπὸ τοῦ ἔλαθον δευτέρου ἀορίστου γενόμενα, οἷον τὸ λαθικηδής. 1493, 30.

Λήθων, ποταμός τις περὶ Βερενίκην τῆς Λιβύης, περὶ ὃν πολλαὶ κινάραι φύονται. 1822, 26.

ληιάδες γυναῖκες ποιητικῶς ἀντὶ τοῦ λῃσταὶ καὶ αἰχμάλωτοι. 1203, 23.

ληιβότειρα σῦς ἡ τὰ λήια διαβοσκομένη, ἣν νόμος παρὰ Κυπρίοις ἐξοδοντίζεσθαι. 1835, 45.

ληιδίη γυνὴ ἡ αἰχμάλωτος. 877, 45.

ληίδιον, εὐτελὲς τριβώνιον, ὅτι ἐκ τοῦ λεῖον λείου γίνεται λείδιον καὶ ἐκτάσει τοῦ ε̄ εἰς η̄ λήδιον μετὰ τοῦ ῑ προσγεγραμμένου, καὶ Ἀττικῶς ληίδιον τετρασυλλάβως, καὶ περὶ τῆς προσῳδίας αὐτοῦ διεξοδικῶς. 193, 35. 1146, 56 60.

λήιον οἱ τῶν σιτωδῶν σπορίμων στάχυες καὶ αὐτὸ τὸ φέρον τὰ σπόριμα χωρίον, ὅθεν παρὰ τὴν γῆν ἐτυμολογοῦσι τινὲς τὸ λήιον, οἱονεὶ γήιον. 193, 32. 43.

ληὶς ληίδος, ἡ λεία καὶ λαφυραγωγία, καὶ ὅτι οὐ ταὐτόν τι ἐστὶ τῇ λῃστείᾳ. 877, 44. 1458, 5.

ληιστὴρ καὶ λῃστὴς ὅτι ἐνεργητικῆς εἰσὶ διαθέσεως, λῃστὸς δὲ λῃστὴ λῃστὸν ἐπίθετα παθητικῆς· καὶ ὅτι παρὰ τὸ ληΐζω λέ-

γονται ἢ ἀπὸ τοῦ λεία διαλύσει καὶ ἐκτάσει τοῦ ε. 760, 3.

ληῖτις γυνὴ ἡ αἰχμάλωτος. 877, 45. καὶ ληῖτις Ἀθηνᾶ ἐπωνυμικῶς ἡ συνεφαπτομένη τοῦ ληίζεσθαι, ὅτι παρὰ τὸ ληὶς ληίδος, ὃ δηλοῖ τὴν λαφυραγωγίαν, λέγονται. 818, 26. 1458, 4.

Λήιτος, κύριον ὄνομα στρατιωτῇ ἀνθρώπῳ πρέπον, ὅτι παρὰ τὸ ληίζεσθαι λέγεται, καὶ ὅτι τῷ ἰῶτα παραλήγεται, οὐ μόνον ὡς ἀπὸ τοῦ πρωτοτύπου ῥήματος, ἀλλὰ καὶ τῷ λόγῳ τῶν διὰ τοῦ ιτος. 264, 27.

ληκτηρία νῆσος ἐπιθετικῶς παρὰ Λυκόφρονι ἡ εὐκατάληκτος καὶ εὐπεριόριστος 1623, 34.

λήκυθος, ἐλαιοδόχον ἀγγεῖον, οἱονεὶ ἐλαιόκυθος παρὰ τὸ κεύθειν τὸ ἔλαιον. 1552, 23.

Λημηρά, ὅτι οὕτως ἐπεκλήθη Ἐπίδαυρος ἡ πόλις, ζήτει τὸ Λειμηρὰ διὰ διφθόγγου. 287, 34.

Λήμνια κακὰ τὰ μεγάλα παροιμιακῶς, καὶ Λημνία χεὶρ ἡ ἀπαραίτητος, καὶ Λήμνιον βλέπειν ἀντὶ τοῦ δεινὸν καὶ πυρῶδες. 158, 12—18. 980, 61. καὶ ὅτι οἱ Λήμνιοι αὐτόχθονες ἦσαν καὶ ἐργατικοὶ σιδήρου, καὶ ὅτι καὶ ληστρικοί ποτε ἐγένοντο. 1598, 52.

Λῆμνος ἡ νῆσος ὅτι Ἡφαίστῳ ἀφιέρωτο, ἀφ' οὗ καὶ Ἡφαιστία πόλις ἐν αὐτῇ. 157, 27.

Ληναιών, μὴν χειμερινὸς ἀφωρισμένος τῇ ἀπὸ τῶν ἔργων ἀναπαύσει παρ' Ἡσιόδῳ. 1117, 55.

Ληνίδες, αἱ καὶ Βάκχαι, Διονύσου τροφοὶ μυθευόμεναι, ὅτι παρὰ τὸν ληνὸν λέγονται. 629, 30.

ληνός, μέρος τοῦ ἁρματείου δίφρου ὁμωνύμως τῷ τοῦ οἴνου ὑποδεκτικῷ ληνῷ. 1307, 24.

λῆξαι χεῖρας ἔργου τινός, ἐντελῶς λέγεται, λῆξαι δὲ ἔργου τινός, ἐλλιπῶς. 1919, 28.

λῆον τὸ λήιον κατὰ συναίρεσιν, καὶ ὅτι καὶ λαῖον λέγεται Δωρικῶς. 193, 35. 862, 55.

ληρεῖν ὅτι παρὰ τὸ λᾶ ἐπιτατικὸν καὶ τὸ ῥεῖν ῥῆμα λέγεται. 1078, 51.

λῇς ἀντὶ τοῦ θέλεις, ὅτι ἀπὸ τοῦ λῶ λᾷς γίνεται τροπῇ τοῦ ᾱ εἰς η. 1090, 7.

λησάμενος ἀντὶ τοῦ ἐκλαθόμενος ἐν ἐπιγράμματι. 1917, 40.

λῃστεία ὅτι οὐκ ἄτιμον ἐνομίζετο παρὰ τοῖς ἀρχαίοις. 1457, 58.

λῃστὴς ὅτι ἐκ τοῦ ληιστὴς συνῃρέθη. 193, 36 760, 5.

λῆστις παρὰ τὸ λήθω, τὸ λι ῆτα. 1493, 30. καὶ ὅτι ἐκ τοῦ λέλησται γενόμενον ἐκ κλίσεως ἔχει τὸ σ καὶ οὐκ ἐκ πλεονασμοῦ ὡς τὸ μνῆστις, ὃ ἐκ τοῦ μέμνηται. 1741, 44.

Λητὼ ὅτι εἰς νύκτα καὶ λήθην ἀλληγορεῖται. 22, 29. 989, 51. 1194, 27. καὶ ὅτι ὡς λήθῃ στασιάζειν πρὸς Ἑρμῆν τὸν εἰς λόγον ἀλληγορούμενον μυθεύεται, ἀλληγορία διεξοδική. 1197, 14.

λιάζεσθαι τὸ ἐκφεύγειν καὶ τὸ πίπτειν καὶ κατακλίνεσθαι. 347, 36. 1030, 21. 1215, 12. καὶ λιάζεσθαι τὸ χωρίζεσθαι καὶ διίστασθαι. 1341, 9.

λίαν ἐπίῤῥημα ὅτι βραχυκαταληκτεῖ. 1433, 64.

λίαν πάνυ, ὅτι ἐκ παραλλήλου Ἀττικῶς παρατίθενται τὸ λίαν καὶ τὸ πάνυ. 1817, 10.

λίαν τόσον, ὅτι κατὰ διπλὴν ἐπίτασιν λέγεται, ὡς καὶ τὸ λίαν πάνυ. 1500, 52.

λιαρὸν τὸ θερμόν, οἷον ἐν τῷ, ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς γίνεται ὡσεὶ πυρός, Ἰλ. χ', 149. 1263, 42.

λιαρὸν ὕδωρ τὸ εὔκρατον, ὅ ἐστι χλιαρόν. 244, 44. 887, 29.

λιαρὸς ὅτι οἱονεὶ ἱλαρὸς λέγεται κατὰ ἀναγραμματισμόν. 46, 5.

λιαρὸς ἄνεμος ὁ Νότος, οἱονεὶ χλιαρός. 1534, 57.

λιαρὸς ὕπνος ὁ θερμὸς εἴτουν θερμαντικὸς τοῦ σώματος, οἱονεὶ χλιαρός, ἢ ὁ ἡδὺς καὶ λίαν προσαρηρώς. 974, 27.

λιασθῆναι ἀντὶ τοῦ παρεκκλῖναι καὶ ἐκτραπῆναι τῆς ὁδοῦ ἐν τῷ, σὺ δὲ δεῦρο λιάσθης, Ἰλ. χ', 12. 1254, 35.

λιβάδιον ὅτι παρὰ τὸν ἔλιβον ἀόριστον δεύτερον τοῦ λείβω ῥήματος λέγεται. 1358, 54.

λιβανομάντεις οἱ διὰ θυμιαμάτων μαντευόμενοι. 1346, 38.

λίβηθρα, ἔφυδρα χωρία καὶ διαῤῥύσεις ὑδάτων ἔχοντα, καὶ ὅτι καὶ διὰ διφθόγγου γράφεται ἡ ἄρχουσα τῆς λέξεως. 1235, 60.

Λιβύα χώρα ὅτι ἀπὸ γυναικός τινος ὁμωνύμως ἐκλήθη, ἢ παρὰ τὸ λείπεσθαι ὑετοῦ ἢ παρὰ τὸν Λίβα ἄνεμον. 1485, 7.

Λίβυς, κύριον ὁμωνύμως τῷ ἐθνικῷ. 325, 44.

λίβυς ὁ αὐλὸς παρὰ τοῖς ποιηταῖς, ἐπεὶ Λίβυς τις νομὰς τὴν αὐλητικὴν πρῶτος εὗρε. 1236, 55.

λίγα ἐπίῤῥημα ὅτι ἐκ τοῦ λιγέα συγκέκοπται, ὡς ἐκ τοῦ ταχέα τὸ τάχα καὶ τοῦ σαφέα τὸ σάφα. 86, 31. 1184, 40.

λιγαίνειν τὸ ὀξέως φωνεῖν καὶ τὸ ῥητορικῶς ὑμνεῖν ἐνίοτε. 878, 11. 1033, 38. καὶ ὅτι καὶ ἀντὶ τοῦ τύπτειν τίθεται. 860, 44.

λίγδην ἐπίῤῥημα, ἤγουν ξεστικῶς ἐπιπολῆς, παρὰ τὸ λίζειν, ὃ δηλοῖ τὸ ὑέλῳ ἢ σιδήρῳ ξέειν. 1926, 31. 41.

λίγδος, κονία, ἀλοιφή, καὶ λίγδοι χόανα εἴτουν χωνευτήρια, ἑρμηνεία διεξοδική. 1229, 27. καὶ ἀλλαχοῦ λίγδος χωνευτήριον εἰς νομισμάτων διατύπωσιν, λέξις διαφόρως ἑρμηνευομένη. 1926, 52.

Λίγεια προπαροξυτόνως ὄνομα μιᾶς τῶν Σειρήνων, καὶ λίγεια φόρμιγξ ἐπιθετικῶς. 1586, 13. 1709, 46.

λιγέως κλαίειν τὸ ὀξέως θρηνεῖν. 1168, 47.

λίγξε, τρίτον πρόσωπον ῥηματικὸν ἀπὸ τοῦ λίγγω σεσιγημένου ἐνεστῶτος. 1119, 59. καὶ ὅτι λίγξαι λέγεται τόξου νευρά, ἀφεθέντος τοῦ ὀϊστοῦ. 452, 25.

λιγυρὰ πνοὴ καὶ μάστιξ ἡ μετὰ ἤχου ποιοῦ ψοφοῦσα. 579, 16. 860, 40. 48. καὶ λιγυρὰ ἢ λιγυρὸς ὄρνις ὁ λιγύφθογγος. 986, 21.

λιγὺς λέγεταί τις διὰ φωνῆς ἀρετήν. 96, 4

λιγὺς ῥήτωρ, ὅτι λιγὺς λέγεταί τις διὰ φωνῆς ἀρετήν, καὶ λιγὺς ἄνεμος ὁ ὀξὺς τὸν ἦχον, καὶ ἁπλῶς πᾶν, οὗ ἡ φωνὴ ὀξεία, λιγὺ λέγεται· καὶ ὅτι τὸ λιγὺς ἐπίθετον ὀξύνεται πρὸς διαστο-

λην τοῦ Λίγυς ἐθνικοῦ. 96, 4. 1033, 37. 1462, 53. καὶ λιγὺς ὁ ὀξὺς καὶ θυμικὸς κατὰ μετάληψιν. 213, 33.

λιθάδες ὅτι μικρότερόν τι εἰσὶν ἢ οἱ λίθακες. 1749, 50. καὶ λιθάδες ἀντὶ τοῦ ἁπλῶς λίθοι ἐνίοτε. 1944, 43.

λίθαξ πέτρα παρ' Ὁμήρῳ ἡ πολλὰς προβολὰς ὀξείας εἴτουν λιθιδίων ἐκφύματα περὶ αὐτὴν ἔχουσα, καὶ ὅτι ὑποκοριστικοῦ τύπου ἐστὶ τοὔνομα. 1540, 52. 55.

λιθοβόλος παροξυτόνως ὁ λίθον βάλλων, λιθόβολος δὲ προπαροξυτόνως ὁ λίθῳ βεβλημένος. 423, 23.

λίθος ὅτι παρὰ τὸ λίαν τεθεῖσθαι λέγεται ἐτυμολογικῶς. 925, 27. καὶ ὅτι οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς λέγεται. 550, 15. 904, 56.

λίθος ἐπὶ δίσκου παρὰ τὸ λίαν θέειν, ἐπὶ δὲ τοῦ ἁπλῶς παρὰ τὸ λίαν τεθεῖσθαι. 1591, 18.

λίθος ἡ ἄγκυρα διὰ τὸ τοὺς ἀρχαίους λίθοις ἀντὶ ἀγκυρῶν χρῆσθαι. 1164, 1.

λιθωδία ἡ σκληρότης, παρὰ τὸ λίθος. 24, 7.

Λικίνιοι ἰδιωτικῶς λέγονται πάντες οἱ ἀγρίως κολάζοντες, ἀπό τινος Λικινίου. 1834, 29.

λικμᾶν ὅτι παρὰ τὸ λίαν καμεῖν δοκεῖ λέγεσθαι κατὰ συγκοπήν. 575, 44.

λικριφὶς ἐπίῤῥημα ἀντὶ τοῦ πλαγίως. 998, 8.

Λίλαια, πόλις Φωκικὴ παρὰ τὸν Παρνασσὸν, ἀπὸ Λιλαίας τῆς Κηφισσοῦ τοῦ ποταμοῦ, ὃς ἀπὸ Λιλαίας τῆς πόλεως τὴν ἀρχὴν λαμβάνει. 275, 11.

λιλαίω, ὅτι παρὰ τὸ λῶ, ὃ δηλοῖ τὸ θέλω, γίνεται λαίω, ὅθεν τὸ λιλαίω. 1198, 3. 1426, 43. καὶ ὅτι λιλαίεσθαι ὁδοῦ, ὡς καὶ ἐπείγεσθαι ὁδοῦ, μετὰ γενικῆς παρ' Ὁμήρῳ λέγεται. 1419, 7.

Λίλας ὄρος, ἀφ' οὗ τὸ Λιλάντειον πεδίον, ὅτι παρὰ τὸ λιλῶ, ὅ ἐστιν ἐπιθυμῶ, δοκεῖ λέγεσθαι. 1198, 3.

λιμὴν ὅτι παρὰ τὸ λίαν μένειν ἐν αὐτῷ τὸ ὕδωρ οὕτω λέγεται πρὸς διαστολὴν τοῦ κυμαίνοντος πελάγους. 919, 15. 1519, 63.

Λίμναι, τόπος τις τῆς Ἀττικῆς, ὅθεν Λιμναῖος ὁ Διόνυσος ἐπωνυμικῶς λέγεται. 871, 42.

λιμναία ἀντὶ τοῦ λίμνη, ὅτι κατὰ παραγωγὴν λέγεται. 1758, 57.

Λιμναῖος Διόνυσος ὁ ἐν Λίμναις χωρίῳ τινὶ τῆς Ἀττικῆς τιμώμενος εἰς σύμβολον τοῦ δεῖν ὕδατι κεκρᾶσθαι τὸν οἶνον, ἑρμηνεία διεξοδική. 871, 42.

λίμνη, ὅτι καὶ ἡ θάλασσα λίμνη ἐνίοτε λέγεται παρ' Ὁμήρῳ, καὶ παρὰ τὸ λίαν μένειν λέγεται τοὔνομα. 919, 14. καὶ ὅτι τὸ λιμνάζον τοῦ ποταμείου ὕδατος λίμνη λέγεται παρ' Ὁμήρῳ. 1235, 24.

λίμνη θαλαττίου ὕδατος, ἧς τὸ ὕδωρ χρήσιμον εἰς ἄρδευσιν ἀμπέλων παρὰ Θρᾳξὶν, ἱστορία. 1130, 43.

Λιμνώρεια, κύριον Νηρηΐδος, ὅτι ἐκ τοῦ λίμνη καὶ ὄρος σύγκειται τοὔνομα. 1130, 60.

λιμοκίμβιξ, ζήτει ἐν τῷ κίμβιξ. 1828, 10.

λιμὸς διὰ τοῦ ἰῶτα ἐκ τοῦ λέλειμμαι ἀπελεύσει τοῦ ε τῆς παραληγούσης διφθόγγου, καὶ ὅτι κατὰ θηλυκὸν γένος λέγεται παρά τισι. 194, 41. 1504, 37. 1562, 64. 1631, 3.

λῖν ἐπὶ αἰτιατικῆς ὅτι περισπᾶται κατά τινας καίπερ τῆς λὶς εὐθείας ὀξυνομένης. 857, 37.

λίνα τὰ ἱστία καὶ τὰ δίκτυα. 1452, 60. καὶ λίνα αἱ κιθαριστικαὶ χορδαὶ διὰ τὸ τοὺς ἀρχαίους λίνῳ ἀντὶ χορδῶν χρῆσθαι. 1163, 64. 1164, 13.

λινάρια τὰ θηρατικὰ δίκτυα παρὰ Παμφυλίοις. 1452, 61.

Λίνδος, πόλις Ῥόδου ἐπὶ ὄρους ἱδρυμένη, ἀνατείνουσα πρὸς μεσημβρίαν, ἀπὸ Λίνδου ἥρωος ἢ ἡρωΐδος· καὶ Λίνδος πόλις Σικελικὴ ὁμωνύμως, καὶ ὅτι ἐν τῇ Ῥοδιακῇ Λίνδῳ ἦν ἱερὸν Ἀθηνᾶς ἐπιφανέστατον Δαναΐδων ἵδρυμα, καὶ ἄλλα τινὰ περὶ τῆς πόλεως, ἑρμηνεία διεξοδική. 315, 11 — 21.

λίνδος, ἀνθηρόν τι ἀρωματικὸν εἶδος ὁμωνύμως Λίνδῳ τῇ Ῥοδιακῇ πόλει. 315, 18. 1524, 11.

λινίσκος ὑποκοριστικῶς, τὸ λεπτότατον λίνον. 1164, 16.

λίνον ἡ χορδὴ διὰ τὸ ἐκ λίνου πάλαι γίνεσθαι τὰς χορδάς. 421, 27.

λίνον ἡ ὁρμιὰ κατὰ συστολὴν τῆς ἀρχούσης ἐν τῷ, ἐκ πόντοιο θύραζε λίνῳ καὶ οἴνοπι χαλκῷ, Ἰλ. π', 408. καὶ ὅτι λίνον ὡς ἐπιπολὺ ἐπὶ δικτύου ἀκούεται. 1067, 54.

λίνον τὸ λινοῦν ὕφασμα ἐν τῷ, αὐτῷ σύν τε λίνῳ καὶ ῥήγεϊ σιγαλόεντι, Ὀδ. ν', 118. 1736, 19.

λίνον μοιρῶν, ὅτι διὰ τοῦ λίνου ἡ τῶν ἀνθρωπίνων πραγμάτων ἐν λεπτῷ στροφὴ καὶ ὁ ἐν αὐτοῖς εἱρμὸς δηλοῦται συμβολικῶς. 1200, 10. 1576, 53.

Λίνος ὁ ἱστορικὸς ὅτι ἐξ Οἰχαλίας πόλεως ἦν. 298, 37.

Λίνος ὁ ποιητὴς ὅτι Τερψιχόρης υἱὸς γεγονέναι ἱστορεῖται. 817, 31. ἀλλαχοῦ δὲ ὅτι Οὐρανίας υἱὸς ὁ Λίνος καθ' Ἡσίοδον. 1163, 60. ζήτει τὸ, λίνος ᾠδή.

λίνος, ᾠδὴ ἢ ὕμνος ποιὸς ἐπὶ Λίνῳ τῷ ποιητῇ, ὃς ὑπὸ Ἀπόλλωνος ἀνῃρέθη, ἱστορία· καὶ ἕτερος Λίνος Ἡρακλέους διδάσκαλος, ὃς καὶ ὑπ' ἐκείνου ἀνῃρέθη· καὶ τρίτος, ὁ καὶ Νάρκισσος κληθεὶς, υἱὸς Χαλκιόπης, ἑρμηνεία διεξοδική. 1163, 54 — 1164, 14. 1900, 3.

λινόσαρκοι τροφαλίδες αἱ λεπταὶ καὶ ἁπαλαί. 1339, 18.

λινοστατεῖσθαι ὑπὸ ἔρωτος ὅτι παρὰ τὰ λίνα λέγεται, ὃ δηλοῖ τὰ δίκτυα. 1164, 21.

λίπα ὅτι ἐκ τοῦ λιπαρὸν κατὰ ἀποκοπὴν λέγεται. 824, 46. ἀλλαχοῦ δὲ ὅτι κατὰ τὸν Ἡρωδιανὸν ἐκ τοῦ λίπος λίπας γέγονε κατὰ μεταπλασμὸν, καὶ ἀποβολῇ τοῦ σ λίπα. 1560, 27.

Λιπάρα ὅτι μεγίστη ἐστὶ τῶν ἑπτὰ Αἰόλου νήσων καὶ ἐγγίστη τῇ Σικελίᾳ, Κνιδίων ἄποικος, ἐν ᾗ ἀναφυσῶνται πυρὰ, ὅθεν καὶ Λιπαραῖον σέλας λέγεται. 1644, 34. 36.

λιπαρὰ καλύπτρα ἡ λευκὴ καὶ λεία. 1276, 57.

λιπαρὰ κρήδεμνα τὰ ἔκδηλα καὶ λαμπρὰ, ἢ τὰ εὐδαίμονά ποτε

ἐν τῷ, Τροίης λιπαρὰ κρήδεμνα, παρ' Ὁμήρῳ. 1743, 57.
λιπαραὶ θέμιστες αἱ λιπαροποιοὶ καὶ εὐδαιμονεῖν ποιοῦσαι. 743, 34.
Λιπαραίων νῆσοι, ὅτι ἀπὸ μιᾶς τῶν Αἰόλου νήσων Λιπάρας καλουμένης Λιπαραίων νῆσοι λέγονται πᾶσαι αἱ τοῦ Αἰόλου νῆσοι διὰ τὸ τῆς Λιπάρας ἐπίσημον. 1644, 36.
Λιπαραῖον σέλας λέγεται τὸ ἐν Λιπάρᾳ τῇ νήσῳ ἀναφυσώμενον ἐκ τῶν πυρῶν, καὶ Λιπαραίων νῆσοι αἱ καὶ Αἰόλου νῆσοι. 1644, 34.
λιπαρεῖν τὸ παραμόνως ἱκετεύειν, ὅτι παρὰ τὸ λίαν παρεῖναι λέγεται. 1599, 52.
λιπαροὶ ἄνθρωποι, ὅτι πᾶς τις λιπαρὸς ἄνθρωπος ζωμὸς ἐπεκαλεῖτο κατὰ σκῶμμα. 1642, 60.
λιπαροὶ πόδες οἱ εὔσαρκοι, καὶ λιπαρὸν κρήδεμνον τὸ λεῖον καὶ στιλπνόν. 170, 21.
λιπαρὸν γῆρας τὸ δίχα νόσου καὶ τῆς ἐκεῖθεν τηκεδόνος, ἢ τὸ εὔδαιμον. 1676, 58.
λιπαρὸν ἔλαιον, ὅτι καθόλου ἐπιτίθεται τῷ ἐλαίῳ τὸ λιπαρὸν καὶ οὐ πρὸς διαστολήν τινα. 1560, 24.
λιπαρὸν ἱμάτιον τὸ λευκὸν καὶ λεῖον καὶ εὐαφὲς ὡς τὸ λίπος, ἢ ὁποῖον ἂν φοροῖεν τρυφῶντες ἄνθρωποι, οἳ καὶ λιπαροὶ λέγονται. 1421, 15. καὶ λιπαρὸν κρήδεμνον ὁμοίως. 1454, 7.
λιπαροπλόκαμος Ἄτη, ὅτι οὐ κατὰ παρακολούθημα τῶν βλαπτομένων, ἀλλ' ὡς μυθικὴ δαίμων οὕτω λέγεται. 1175, 55.
λιπαρὸς οἶνος, ὅτι καὶ λιπαρός τις οἶνος ἐπιθετικῶς ἐλέγετο, καὶ ἀλιπὴς ἑτεροῖός τις. 871, 32.
λιπαρῶς γηράσκειν τὸ εὐδαιμόνως καὶ τρυφερῶς, καθ' ὁμοιότητα τῶν λιπώντων ζώων. 1492, 26.
λιπεῖν τινὰ τόπον, ἀντὶ τοῦ μακρὰν αὐτοῦ γενέσθαι καὶ ἀναχωρῆσαι. 1804, 21.
λίπτω τὸ ἐπιθυμῶ, ὅθεν τὸ λίσσω δοκεῖ λέγεσθαι, ὃ δηλοῖ τὸ λιπαρῶ. 1398, 34.
λίρος ὁ ἀναιδὴς καὶ πολυλόγος καὶ ἀκαιροπαῤῥησιαστής, ὅτι ἐκ τοῦ λίαν καὶ τοῦ ῥῶ, ὅ ἐστι λέγω, σύγκειται ἡ λέξις. 1856, 64.
λὶς ὁ λέων, ὅτι ἐπὶ μὲν τῆς εὐθείας ὀξύνεται, λῖν δὲ ἐπὶ τῆς αἰτιατικῆς περισπᾶται κανονικῶς· καὶ ὅτι δικατάληκτόν ἐστι τοὔνομα κατά τινας, ἑρμηνεία διεξοδική. 841, 22. 857, 41. ζήτει τὸ, λὶς πέτρα.
λὶς πέτρα ἐπιθετικῶς, ὅτι ἐκ τοῦ λισσὴ κατ' ἀποκοπὴν λέγεται, διὸ καὶ ὀξύνεται καὶ ἄκλιτον διαμένει τοὔνομα· καὶ ὅτι λὶς, ὃ δηλοῖ τὸν λέοντα, περισπᾶται κατά τινας πρὸς τὴν ἀπὸ τούτου διαστολήν. 841, 26. 1713, 25.
λίσπος, ἰσχνός. 1088, 34.
λίσσεσθαι ὅτι ἱκετείαν δηλοῖ παράμονον παρ' Ὁμήρῳ. 1599, 52. καὶ ὅτι καὶ λίσσεσθαι γούνων εἴτουν γονάτων λέγεται ἐλλιπῶς τῆς ὑπὲρ ἢ διὰ προθέσεως, ἢ μάλιστα τῆς ἁπτόμενος μετοχῆς. 762, 59.
λισσὴ πέτρα συνήθως μὲν ἡ λεία, ἐπιθετικῶς πολλαχοῦ παρ' Ὁμήρῳ· ἐν δὲ τῷ, ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη ἐσχατιῇ Γόρτυνος, Ὀδ. γ', 293. τὸ λισσὴ ὄνομα τῆς πέτρας ἐκείνης ἔοικεν εἶναι, ἣν οἱ Κρῆτες Βλισσὴν λέγουσι· καὶ ὅτι τὸ λι διὰ τοῦ ἰῶτα γράφεται. 883, 56. 1468, 47.
λίσσομαι ὅτι δυσὶ μὲν σσ γραφόμενον ἐνεστῶτα χαρακτηρίζει, ἑνὶ δὲ μέλλοντα· καὶ ὅτι τὸ μὲν λίσσομαι ἐν δυσὶ σσ γράφεται, τὸ δὲ λίτω καὶ λίτομαι ἐνὶ τ. 25, 46. 764, 21.
λισσὸν τὸ λεῖον, τὸ λι ἰῶτα. 883, 56. 1357, 43.
λίσσω, ὃ καὶ λίσσομαι, ὅτι παρὰ τὸ λίπτω δοκεῖ λέγεσθαι τροπῇ Αἰολικῇ τοῦ πτω εἰς σσω. 1390, 34.
λιστρεύειν φυτὸν τὸ περιξύειν, παρὰ τὸ λίστρον, ὃ δηλοῖ τὸ ξύστρον. 1959, 46.
λίστρον ξύστρον, ἀπὸ τοῦ λίζω ὠνοματοπεποιημένου ῥήματος, ὃ δηλοῖ τὸ ξύω. 1119, 55. 1926, 38. καὶ ἀλλαχοῦ, λίστρον πτύον σεσιδηρωμένον, εἴτουν ξυστήρ· καὶ ὅτι ὠνοματοπεποίηται ἡ λέξις. 1229, 25.
λιστρῶσαι τὸ ξύσαι καὶ ὁμαλίσαι, ὅτι παρὰ τὸ λίστρον λέγεται, καὶ ζήτει τὸ λίστρον. 1229, 26.
λῖτα, παρ' Ὁμήρῳ πτώσεως αἰτιατικῆς ἑνικῆς, ὅτι ἐκ τοῦ λιτὸν μεταπέπλασται, ὡς καὶ ἡ λιτὶ δοτικὴ ἐκ τοῦ λιτῷ· καὶ ὅτι ὕφασμά τι σημαίνει λεπτὸν, καὶ ὅτι ἐκτείνεται τὸ λι ἐν τῷ λιτὶ καὶ λῖτα, καὶ ὅτι ἐπὶ πληθυντικῆς εὐθείας ἀκούουσί τινες τὸ λῖτα πολλαχοῦ παρ' Ὁμήρῳ. 722, 33. 1400, 3—15. 1661, 55.
Λιταὶ, μυθικαί τινες δαίμονες, Διὸς θυγατέρες ταῖς ἱκετείαις ἐπιστατοῦσαι, ὅτι χωλαὶ καὶ ῥυσσαὶ καὶ στραβαὶ πλάττονται, καὶ ἀλληγορία διεξοδικὴ περὶ τῶν τοιούτων Λιτῶν. 768, 2—33.
λιτανεύω, ὅτι ἐκ τοῦ λίτω γίνεται λιτάνω, ἐξ οὗ τὸ λιτανεύω. 1354, 34. καὶ ὅτι καὶ παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ ἱκετεύειν κεῖται. 1575, 13.
λιτέσθαι ἀπαρέμφατον, ἤγουν λιτανεῦσαι, ὅτι ὀφεῖλον προπαροξύνεσθαι ὡς συστοιχοῦν τῷ λίτομαι ἐνεστῶτι, ὅμως συνεξακολουθῆσαν τῷ ἱκέσθαι καὶ πιθέσθαι καὶ λιπέσθαι ὁμοίως ἐκείνοις παρωξύνθη, ἑρμηνεία διεξοδική. 1044, 64—1045, 17.
λιτὴ ἡ ἱκετεία, παρὰ τὸ λίσσεσθαι ἢ παρὰ τὸ λίτω λέγεται. 725, 14.
λιτὶ, δοτικῆς πτώσεως, ὅτι λῖτι προπερισπωμένως ἠξίουν τινὲς λέγεσθαι, καὶ ὅτι κάλλιον ὀξύνειν, καὶ ὅτι ἀπὸ τῆς λὶς εὐθείας κεκινῆσθαι τινὲς αὐτὸ ᾠήθησαν. 2146, 49—55. ἀλλαχοῦ δὲ ὅτι ἡ λιτὶ δοτικὴ ἀπὸ τῆς λιτῷ μεταπέπλασται, καὶ ὅτι δοκεῖ παραλόγως ὀξύνεσθαι. 677, 13. 722, 33. 1400, 3. 10.
λίτομαι τὸ εὔχομαι, ἀλίτομαι δὲ τὸ ἁμαρτάνω. 1765, 20. καὶ ὅτι τῆς τρίτης ὂν συζυγίας τῶν βαρυτόνων εἰκότως δι' ἑνὸς τ γράφεται. 764, 24.
λίτρον Ἀττικῶς τὸ κοινῶς νίτρον. 483, 9. 918, 31.
Λιτυέρσης, ᾠδὴ θεριστῶν οὕτω καλουμένη. 1164, 10. 1236, 60.
λίτω καὶ λίτομαι, ὅτι τὸ μὲν λίσσομαι ἐν δυσὶ σσ γράφεται, τὸ δὲ λίτω καὶ λίτομαι ὡς τρίτης

λῶπος καὶ λώπιον λέγεται, ὅθεν ὁ λωποδύτης. 1001, 39. 1421, 64.

λορδοῦν παρὰ τοῖς κωμικοῖς ἀντὶ τοῦ ἀσέμνως πως σχηματίζειν τὸ σῶμα. 1524, 10.

λος λήγοντα ὀνόματα, τῷ η παραλήγοντα, κύρια μὲν ὄντα βαρύνονται, οἷον Τῆλος, Βῆλος, Σφῆλος· ἐπιθετικὰ δὲ ἢ προσηγορικὰ ποτὲ μὲν ὀξύνονται, οἷον πηλὸς, χηλὸς, βηλὸς, ποτὲ δὲ βαρύνονται, οἷον δῆλος, ζῆλος, ἦλος. 1018, 61.

λος λήγοντα δισύλλαβα, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, τῷ δὲ ο παραλήγοντα ἢ μόνῳ ἢ ἐν διφθόγγῳ, ὅτι βαρύνονται, οἷον πόλος, δοῦλος, κοῖλος. 794, 26.

λος λήγοντα, ἑτέρῳ λ παραλήγοντα, οὗ τὸ α μὴ προηγεῖται, ὀξύνονται, οἷον κιλλὸς, πολλὸς, σελλὸς, φελλός. 1057, 56.

λόταξ ὁ περὶ λοτὸν πονούμενος, ἤγουν ὁ αὐλητής. 344, 37. 905, 19. ζήτει τὸ λοτός.

λοτὸς, εἶδος καλαμίσκου, τὸ λο μικρόν· λωτὸς δὲ βοτάνη, τὸ λω μέγα. 344, 35. ἀλλαχοῦ δὲ ὅτι λοτὸς ὁ αὐλὸς διὰ τοῦ ο μικροῦ κατά τινας, συνήθως δὲ διὰ τοῦ ω μεγάλου. 905, 19.

λούεσθαι ποταμοῦ, παρ' Ὁμήρῳ φράσις ἐλλειπτικὴ τῆς ἐπὶ, ἵν' ᾖ ἐπὶ ποταμοῦ. 1251, 28.

λούεσθαι τὰ ἄστρα ἐν τῷ Ὠκεανῷ λέγονται παρ' Ὁμήρῳ, ἤγουν δύνειν καὶ ἀνατέλλειν, μὴ λούεσθαι δὲ τὸ μὴ δύνειν. 1155, 39.

λούμενος Ἀττικῶς ἀντὶ τοῦ λουόμενος. 1560, 28.

λοῦπα Ῥωμαϊκῶς ἡ λύκαινα καὶ ἡ πόρνη διὰ τὴν τοῦ ἤθους ὁμοιότητα. 1921, 63. 1961, 16.

λοῦσθαι ὅτι ἀπὸ τοῦ λόεσθαι συνῄρηται, καὶ ὅτι λοῖσθαι καὶ λούμενος λέγουσιν οἱ Ἀττικοὶ ἀντὶ τοῦ λούεσθαι καὶ λουόμενος. 1560, 28.

λοῦσον τὸ κολοβὸν κατὰ γλῶσσαν. 1246, 38.

λουτρὸν, ὅτι ἐκ τοῦ λοετρὸν συνῄρηται τοὔνομα. 1560, 31.

λοῦτρον τὸ ἀπόλουμα προπερισπωμένως πρὸς διαφορὰν τοῦ λουτρὸν ὀξυτόνου. 1037, 40. 1560, 31.

λουτρῶν χρῆσις καὶ ὠφέλεια, ἑρμηνεία διεξοδική. 1481, 57. καὶ ὅτι τοῖς θερμοῖς λουτροῖς ἐχρῶντο οἱ ἀρχαῖοι πρὸς καμάτου τὸ πλέον ἐξαίρεσιν. 1660, 39. καὶ ὅτι ἐν τοῖς λουτροῖς οὐ ψυχρὸν ὕδωρ τῷ θερμῷ ἐπηντλεῖτο, ἀλλ' ἀνάπαλιν, ὡς Ὅμηρος ὑποδηλοῖ. 1869, 62.

λουτρῶν λουτρῶνος, τὸ βαλανεῖον τύπῳ περιεκτικῷ. 1481, 64.

λοφεῖον, λόφου περικεφαλαίας θήκη, ὅτι κατὰ περιεκτικὸν τύπον λέγεται. 949, 64. 1271, 30.

λοφιὰ ἡ περὶ τὸν καλούμενον λόφον τῶν ζώων τρίχωσις. 1313, 22. 1872, 23.

λοφνία καὶ λοφνὶς, ἤγουν λαμπὰς ποιὰ, ὅτι παρὰ τὸ ἐκ τῶν ὀρεινῶν λόφων συνάγεσθαι τὰ φρύγανα οὕτω λέγεται. 1653, 17.

λοφνίδες αἱ ἐξ ὄρους μονόξυλοι λαμπάδες παρὰ Λυκόφρονι. 421, 42. 1313, 37. 1653, 7. 16. ζήτει τὸ λοφνία.

λόφος τὸ μετὰ τὴν κεφαλὴν μέρος τῶν ἀλόγων ζώων, κυρίως ὅπου ὁ ζυγὸς ἐπιτίθεται· καὶ λόφος ὁμωνύμως τὸ ὀρεινὸν ἐπανάστημα· καὶ ὅτι παρὰ τὸ λέπεσθαι, ὅ ἐστιν ἐκδέρεσθαι, λέγεται ὁ τῶν ζώων λόφος. 824, 31. 1246, 29. 1653, 4. 7. 13. καὶ ὅτι καὶ τὸν ἁπλῶς τράχηλον σημαίνει. 1313, 31. 39.

λόφος τὸ τῆς περικεφαλαίας ἄκρον, καὶ ὅτι οὐραὶ καὶ χαῖται ἵππων ἐχρησίμευον εἰς λόφους τοῖς καθ' Ὅμηρον. 421, 46. καὶ ὅτι Καρῶν ἐστὶν εὕρεμα ὁ λόφος, ὡς καὶ τὰ τῶν ἀσπίδων ὄχανα. 367, 24.

λόφουρα ζῶα τὰ λόφον καὶ οὐρὰν ἔχοντα. 1313, 33. 1872, 23.

λοχαγὸς παρὰ τὸ λόχον ἄγειν. 1770, 16.

λοχᾶν τὸ ἐνεδρευτικῶς ὑποκάθησθαι. 850, 47. 932, 19.

λόχος ἡ ἁπλῶς στρατιωτικὴ σύνταξις, καὶ ὡρισμένως σύνταγμα ἐξ ἀνδρῶν πεντήκοντα. 487, 45. 665, 16. καὶ λόχος τὸ ἔγκρυμμα, παρὰ τὸ λέγειν εἴτουν ἐπιλέγειν, ὅθεν ὁ ἐπίλεκτος, ἢ παρὰ τὸ λέγεσθαι, ὅ ἐστι κεῖσθαι εἴτουν κάθησθαι, τοὺς λοχῶντας. 90, 31. 635, 60. 727, 5. 850, 46. 931, 48. 932, 14.

Λυαῖος Διόνυσος ὁ ἐκλύων τὰ μέλη ἢ ὁ λύης, ὅ ἐστι στάσεως, ποιητικός. 108, 9. 1220, 2. 1910, 15.

λυγαῖον φῶς τὸ σκοτῶδες, παρὰ τὴν λύγην. 689, 18. ζήτει τὸ λύγη.

λύγη ἐν ἴσῳ τῷ ἠλύγη, ὅ ἐστι σκέπη, σκιά. 689, 18. 809, 44.

λυγίζειν καὶ λυγισμὸς ὅτι παρὰ τὸν λύγον τὸ φυτὸν λέγονται. 834, 37. 1638, 13.

λύγος, εἶδος φυτοῦ, καὶ ὅτι οὐχ ἁπλῶς πᾶς ὁ τοῦ τυχόντος δένδρου ἁπαλὸς κλάδος λύγος λέγεται. 834, 33. καὶ ἀλλαχοῦ λύγος, φυτὸν εὔστροφον, ὅθεν τὸ λυγίζειν, ὅτι κατὰ θηλυκὸν γένος λέγεται ἐν τῷ, ἐϋστρεφέεσσι λύγοισιν, Ὀδ. ι', 427. 1688, 9.

λυγρὸς, ὁ καὶ κακὸς ἤγουν δειλὸς παρ' Ὁμήρῳ, καὶ λυγρὸν τὸ ψυχρὸν καὶ θανάσιμον, οἱονεὶ λυγηρὸν καὶ συγκοπῇ λυγρὸν παρὰ τὸν λύγον, ὃς καὶ ἄγνος λέγεται, καὶ ἔστι φυτὸν ψυχρὸν καὶ ἄγονον. 1638, 12. 63. 1762, 41.

Λύδιον στόμωμα σιδήρου ὅτι εἰς ῥῖνας καὶ μαχαίρας καὶ ξυρία καὶ ξυστῆρας ἐχρησίμευε. 294, 6.

Λύδιον ἅρμα, καὶ παροιμία, παρὰ Λύδιον ἅρμα, ἐπὶ τῶν παραπολὺ λειπομένων. 816, 38.

Λυδοὶ ἔθνος ὅτι ἡδυπάθειαν ἐπετήδευον. 1144, 14. καὶ ὅτι μετὰ αὐλῶν καὶ συρίγγων ἐστρατεύοντο. 1320, 4. καὶ Λυδῶν τινῶν πλουσίων ἀνθρώπων κατάλογος. 366, 29.

Λυδοπαθὴς ἀντὶ τοῦ ἡδυπαθὴς διὰ τὴν τῶν Λυδῶν ἡδυπάθειαν. 1144, 15.

λύειν ὅτι καὶ λύεσθαι λέγεται ἀποθετικῶς ἐπὶ τοῦ ἐξωνεῖσθαι αἰχμάλωτα. 24, 21—27.

λύειν ἀγορὰν τὸ διαλύειν καὶ σκεδάζειν, καὶ ὅτι λύεσθαι ἡ ἀγορὰ λέγεται διὰ τὸ οἱονεὶ δεσμόν τινα εἶναι τὴν συναγωγήν. 108, 5. 1444, 11.

λύειν γόνατά τινος, περιφραστι-

κῶς ἀντὶ τοῦ θανατοῦν τινά. 1016, 41. ζήτει τὸ, λῦσαι γόνατα.

λύειν ἵππους ὑπὸ ζυγοῦ, Ὀδ. δ', 39. ἀντὶ τοῦ ὑπολύειν τοῦ ζυγοῦ. 1481, 28.

λύειν κρήδεμνον τὸ ἀφαιρεῖν, καὶ ὅτι οἰκείως λέγεται λύεσθαι τὸ κρήδεμνον, δέμα ὂν τῆς κεφαλῆς κατὰ τὴν ἐτυμολογίαν. 1474, 1.

λύειν μένος καὶ λύειν ἅψεα παρ' Ὁμήρῳ, ὅτι καλῶς λελύσθαι λέγεται τὰ τοῦ τεθνηκότος μέλη διὰ τὴν τοῦ ζῶντος σύνδεσιν. 1476, 52. καὶ λύειν τεῖχος πόλεως ὁμοίως. 1047, 58.

λύειν νείκεα τὸ τὰς φιλονεικίας διακρίνειν. 978, 61.

λύειν ὄνειρον τὸ τὴν τοῦ ὀνείρου σύγχυσιν διευκρινεῖν. 532, 42.

λύειν τέλη παρὰ Σοφοκλεῖ Ο. Τ. 316. ἀντὶ τοῦ λυσιτελεῖν· ζήτει ἐν τῷ, τέλη λύειν. 1722, 20.

λύειν τὸ διὰ λύτρων ἀποδιδόναι. 1341, 62. καὶ ὅτι λύειν ἀποίνων ἐλλειπτικῶς λέγεται Ἰλ. λ', 106. 834, 50.

λύεσθαι ἀντὶ τοῦ λύειν, οἷον ἐν τῷ, λύοντό τε τεύχε' ἀπ' ὤμων, Ἰλιάδ. ρ', 318. 1108, 25. καὶ ὅτι λύεσθαι λέγονται καὶ τὰ ἄψυχα, καὶ ἁπλῶς πάντα τὰ αἰχμαλωτίζεσθαι πεφυκότα. 1100, 36. καὶ ὅτι καὶ τὰ σχοινία φθειρόμενα λύεσθαι λέγονται. 191, 41.

λύεσθαι ἵππους ἐν ἴσῳ τῷ λύειν, ὅ ἐστιν ἀποζευγνύειν· καὶ ὅτι πῇ μὲν ἐκτείνει τὸ λῦ, πῇ δὲ συστέλλει. 1284, 46. 51.

λύη ἡ στάσις ὡς διαλυτικὴ τῆς φιλικῆς ἑνώσεως εἴτουν ὁμονοίας. 108, 8. 1220, 3. 1910, 16.

λῦθρον οὐδετέρως ὁ ἐξ αἵματος μολυσμὸς, ὁ λύσεως ἤγουν καθαρμοῦ δεόμενος, παρὰ τὸ λύω τὸ καθαίρω, ὅτι διὰ τοῦ θ γράφεται πρὸς διαφορὰν τοῦ λύτρου, ὃ καὶ ἄποινον λέγεται. 641, 44. 838, 47. 1932, 18. καὶ ὅτι ἐξ ἀρσενικοῦ τοῦ λύθρος μεταπέπλασται. 1309, 36.

λυκάβας ὁ ἐνιαυτὸς, παρὰ τὸ λυγαίως βαίνειν ἤγουν σκοτίως παρέρχεσθαι. 1756, 27.

Λυκαμβίδαι ὅτι διὰ τὴν ἐκ τῶν Ἀρχιλόχου ποιημάτων προσγινομένην αὐτοῖς δυσφημίαν ἀπήγξαντο. 1684, 45.

Λύκαστος, πόλις Κρητικὴ Λυκαστὸς ὀξυτόνως παρὰ τοῖς ἐγχωρίοις λεγομένη, παρὰ δὲ τοῖς ἄλλοις προπαροξυτόνως· καὶ Λύκαστος ἑτέρα Ποντικὴ ὁμωνύμως. 313, 13.

Λυκάων κύριον, καὶ πάθος τι μανιῶδες νυκτιπόρον περὶ μνήματα πλανόμενον. 1222, 41.

λυκέη ἡ τοῦ λύκου δορὰ, καὶ ὅτι ὁ ἅρπαξ καὶ ὕπουλος λυκέην ἐνεῖσθαι παροιμιωδῶς λέγεται. 374, 40 — 46.

Λύκειος ἀγορὰ ἐν Ἄργει τὸ κι δίφθογγον, Λύκιος δὲ Ἀπόλλων ὁ ἐν Λυκίᾳ τιμώμενος τὸ κι ἰῶτα. 354, 16. 449, 1.

Λυκηγενὴς Ἀπόλλων ὁ ἐν Λυκίᾳ γεγονὼς, οἱονεὶ Λυκιηγενὴς, ἢ παρὰ τὸ λύκον φανῆναι τῇ Λητοῖ τικτούσῃ τὸν Ἀπόλλωνα. 354, 13. 448, 41. ἀλλαχοῦ δὲ ὅτι Λυκηγενὴς ὁ Ἀπόλλων λέγεται διὰ τὸ ἐν Λυκίᾳ μάλιστα τιμᾶσθαι. 1073, 62.

λυκηδὸν ἐπίῤῥημα, ἤγουν δίκην λύκων. 927, 60.

Λυκιὰ, ὅτι οὕτως ὀνομάζει Ὅμηρος τὴν ὑπὸ Πανδάρῳ χώραν, ἥτις ἐστὶν ἡ μικρὰ Λυκία. 353, 25. 448, 42.

Λυκία χώρα καὶ Λύκιοι ἔθνος ὅτι ἀπὸ Λύκου τοῦ Πανδίονος οὕτως ἐκλήθησαν, ἱστορία. 369, 5. 635, 40. καὶ ὅτι ἡ μέν τις μικρὰ Λυκία ἐλέγετο, ἧς ἦρχεν ὁ παρ' Ὁμήρῳ Πάνδαρος, ἡ δὲ μεγάλη, ἧς ἦρχεν ὁ Σαρπηδὼν, ἣν καὶ εὐρεῖαν ὁ Ὅμηρος λέγει πρὸς διαστολὴν τῆς μικρᾶς. 535, 21. 634, 15. καὶ ὅτι Λύκιοι ἐνίοτε λέγονται παρ' Ὁμήρῳ συνεκδοχικῶς πάντες οἱ τῶν Τρώων ἐπίκουροι ἀπὸ μέρους ἀξιολόγου τοῦ τῶν Λυκίων. 626, 30. καὶ ὅτι τοὺς ὑπὸ Πανδάρῳ Λυκίους Τρῶας καλεῖ Ὅμηρος. 535, 23.

Λύκιοι ἔθνος, ζήτει ἐν τῷ, Λυκία χώρα.

Λύκιος Ἀπόλλων ἐν Λυκίᾳ τιμώμενος τὸ κι ἰῶτα, Λύκειος δὲ ἀγορὰ τὸ κι δίφθογγον. 354, 16. ζήτει τὸ Λύκειος.

Λύκιος, κύριον Βοιωτοῦ τινὸς ἀνδριαντοποιοῦ. 907, 23.

Λυκιουργεῖς φιάλαι, αἱ καὶ Λυκιουργοὶ ἐπίχρυσοι λεγόμεναι, ὅτι ἀπὸ Λυκῶνος τινὸς δημιουργοῦ ἢ ἐπινοητοῦ ἐκλήθησαν, ἢ παρὰ τὸ ἐν Λυκίᾳ τῇ χώρᾳ εἰργάσθαι, διαίτησις διεξοδική. 907, 21. 26.

λύκοι ὅτι συναγελαστικὰ εἰσὶ ζῶα. 1051, 64. καὶ ὅτι ἄκρῃ τῇ γλώσσῃ πίνουσιν ὡς οἱ κύνες. 1052, 5. καὶ ὅτι διαβαίνοντες ποταμὸν βίαιον, ἀλλήλων τὰς κέρκους ἐνδακόντες, στιχηδὸν ἕπονται ἀλλήλοις ἐπὶ τῷ μὴ παρασύρεσθαι ὑπὸ τοῦ ῥεύματος. 1756, 28.

Λυκόοργος ὅτι τὸ ἐντελές ἐστι τοῦ Λυκοῦργος, καὶ ὅτι ἐκ τοῦ λύκος καὶ τοῦ ὀργὴ σύγκειται τοὔνομα. 629, 14.

λυκοπάνθηρ, ζῶόν τι λυκοειδὲς πολέμιον λέοντι. 856, 51.

Λύκος, βασιλεὺς Θηβῶν, ὅτι κακώσας τοὺς Ἡρακλείδας κατὰ τὴν εἰς Ἅιδου κάθοδον τοῦ Ἡρακλέους, μετὰ τὴν ἄνοδον ὑπ' ἐκείνου ἀνῃρέθη σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις. 1683, 39.

Λύκος, ποταμὸς προσβάλλων τῷ Μαιάνδρῳ, ἐκ Κάδμου τοῦ ὄρους ῥέων. 487, 37.

λύκος τὸ ζῶον ὅτι Ἀπόλλωνι ἀφιέρωτο διὰ τὴν ἀμφιλύκην νύκτα, ἣν καὶ λυκόφως ἀπὸ τοῦ τῶν λύκων χρώματος ἡ χυδαϊκὴ γλῶσσα καλεῖ, ἢ διὰ τὸ τικτομένου τοῦ Ἀπόλλωνος λύκον φανῆναι τῇ Λητοῖ. 87, 36. 448, 45 — 449, 7. καὶ περί τινων ἰδιωμάτων τοῦ ζώου ζήτει τὸ λύκοι· καὶ ὅτι καὶ ἡ κρεάγρα λύκος λέγεται ὁμωνύμως. 747, 17. καὶ ὅτι τεφρῶδες καὶ λευκανθίζον εἴτουν ὑπόλευκον ἐστὶ τὸ τῶν λύκων χρῶμα. 449, 5. 809, 38.

λυκοσπάδες ἵπποι ὅτι πίνοντες καθιᾶσι τὸ ἥμισυ τοῦ προσώπου εἰς τὸ ὕδωρ. 1052, 6.

Λυκοῦργος ὁ Θρᾷξ Διόνυσον διώκων, μῦθος καὶ ἀλληγορία διεξοδικῶς ἑρμηνευόμενα· καὶ ὅτι ἐκ τοῦ Λυκόοργος, ὃ ἐκ τοῦ λύκος καὶ τοῦ ὀργὴ σύγκειται, κέκραται τοὔνομα. 629, 10 — 26.

Λυκοῦργος Ἀρκὰς Ἀρηΐθοον τὸν

παρ' Ὁμήρῳ κορυνήτην ἀνελὼν, ἱστορία. 661, 52.

λυκοφίλιοι διαλλαγαὶ οἱ ὕπουλοι, καὶ λυκοφιλίως ἀντὶ τοῦ ὑπόπτως. 809, 42.

λυκόφως τὸ ὑπονύκτερον χρῶμα τοῦ ἀέρος, ὃ καὶ ἀμφιλύκη λέγεται, ὅτι παρὰ τὸ λύκου χρῶμα τεφρῶδες ὂν ἢ παρὰ τὴν λύγην εἴτουν ἠλύγην, ὃ δηλοῖ τὴν σκοτίαν, λέγεται. 449, 6. 689, 14. 21. 809, 41.

Λύκτος, πόλις Κρητικὴ, ὅτι καὶ Λύττος ἐλέγετο παρὰ τὸ λύττον, ὃ δηλοῖ τόπον ὑψηλὸν κατὰ γλῶσσαν. 313, 1.

Λύκων, κύριον δημιουργοῦ τινὸς καὶ ἐπινοητοῦ τῶν Λυκιουργῶν καλουμένων φιαλῶν. 907, 22.

λῦμα τὸ ἀποκάθαρμα, οἱονεὶ λοῦμα. 108, 24. 974, 47.

λυμαίνεσθαι καὶ ἀπολυμαίνεσθαι παρ' Ὁμήρῳ μὲν ἀντὶ τοῦ ἀποκαθαίρεσθαι, παρὰ δὲ τοῖς ὕστερον λυμαίνεσθαι τὸ βλάπτειν, ὅθεν λύμη καὶ λυμεών. 108, 25 — 40.

λυμεὼν ὅτι παρὰ τὸ λῦμα, ὃ δηλοῖ κάθαρμα, λέγεται. 108, 32. 1057, 24.

λύμη ἡ βλάβη, ὅτι παρὰ τὸ λῦμα, ὃ δηλοῖ τὸ κάθαρμα, λέγεται. 108, 31. 38.

λύμην ἀντὶ τοῦ λυθείην ἐν τῷ, νῦν δὲ λύμην τρὶς τόσσα πορών, Ἰλ. φ', 80. καὶ ὅτι ὤφειλε τῇ υι διφθόγγῳ παραλήγεσθαι ὡς εὐκτικὸν, καὶ ὅτι ἐνδέχεται καὶ παθητικοῦ παρατατικοῦ εἶναι ἀπὸ τοῦ λῦμι θέματος. 1224, 56.

λύρα, ὅτι πρῶτος Ἑρμῆς λύραν κατεσκεύασεν ἐξ ὀστράκου χελώνης καὶ τῷ Ἀπόλλωνι εἰς ἐξιλέωσιν τῆς ἐπὶ τῇ τῶν βοῶν κλοπῇ ὀργῆς τοῦ Ἀπόλλωνος ἐδωρήσατο, διὸ καὶ οἱονεὶ λύτρα λέγεται. 574, 36. 1913, 38.

λύριον, λύρας ὑποκόρισμα, ὅτι προπαροξύνεται τοὔνομα. 268, 9. καὶ λύριον, δόναξ ποιὸς ὁμωνύμως. 1165, 26.

Λυρνησσὸς, πόλις τοῦ Θήβης πεδίου καὶ ἑτέρα Παμφυλίας. 322, 20.

λῦσαι ἀγορὰν, ζήτει τὸ, λύειν ἀγοράν.

λῦσαι γόνατα τὸ τῆς ἁρμονίας παραλῦσαι καὶ οὕτω καταῤῥῖψαι. 1272, 20. ζήτει τὸ, λύειν μένος.

λῦσαι γυῖα τινὸς ἀντὶ τοῦ ἀνελεῖν τινὰ περιφραστικῶς, λελύσθαι δὲ γυῖα λέγονται οἱ πεπονηκότες εἴτουν κεκμηκότες. 661, 60. ζήτει τὸ, λύειν μένος.

Λύσανδρος ὁ Λακεδαιμόνιος ὅτι καταχορδεύσας ἑαυτὸν ἀπέθανε. 1839, 4. καὶ ὅτι ἡ καρδία αὐτοῦ ἀνατμηθεῖσα τετριχωμένη εὑρέθη. 79, 1. καὶ ὅτι ἐκ τοῦ λῦσαι καὶ τοῦ ἀνὴρ ἀνδρὸς λέγεται τοὔνομα. 1568, 17.

λυσιμελὴς ὕπνος ὁ λύων τὰ μέλη ἢ τὰ μελεδήματα τῆς ψυχῆς. 1882, 42. καὶ ὅτι καθ' ὕπνου καὶ θανάτου καὶ καμάτου παρ' Ὁμήρῳ λέγεται τὸ ἐπίθετον. 921, 41.

λύσις ἡ διὰ λύτρων ἀπόδοσις τῶν αἰχμαλώτων. 1341, 63.

λυσιῳδὸς, μελῳδός τις ἐν ἀνδρείοις προσώποις γυναικεῖα ὑποκρινόμενος. 1941, 55.

Λυσιτανίας χώρας εὐφορία καὶ εὐκρασία, ἱστορία χωρογραφική. 1485, 19.

λυσιτελεῖν ὅτι οἱονεὶ λύειν τέλη λέγεται. 626, 54. ζήτει τὸ, τέλη λύειν.

λύτρα τὰ διδόμενα ἐπὶ ἐξωνήσει καὶ οἷς οἱ αἰχμάλωτοι ὡς ἐκ δεσμῶν λύονται. 24, 21. 25. 726, 29.

λύττον τὸ ἄνω καὶ ὑψηλὸν κατὰ γλῶσσαν, ἧ καὶ Λύκτος, ἡ Κρητικὴ πόλις, Λύττος ἐκ τοῦ τοιούτου συμβεβηκότος ἐκαλεῖτο κατά τινας. 313, 4.

λύχνα οἱ λύχνοι κατὰ μεταπλασμὸν, ὡς καὶ κύκλα οἱ κύκλοι. 108, 21.

λυχναψία, ἡ καὶ λυχνοκαυτία. 1571, 22. ζήτει τὸ λυχνοκαυτία.

λύχνιον παρὰ τοῖς Ἀττικοῖς προπαροξυτόνως ταὐτὸ ὅπερ ἡ παρὰ τοῖς ἄλλοις λεγομένη λυχνία. 1571, 19. 1854, 54.

λυχνοκαυτία παρὰ Κηφισσοδώρῳ ἡ παρὰ τοῖς πολλοῖς λυχναψία. 1571, 12.

λύχνον ὅτι καὶ κατ' οὐδέτερον γένος εὕρηται λεγόμενον παρ' Ἡροδότῳ. 2, 62. 1571, 23.

λύχνος ταὐτὸ ὅπερ λαμπτὴρ παρ' Ὁμήρῳ. 1854, 50.

λυχνοῦχος ταὐτὸ ὅπερ φανός. 1571, 9. 1854, 54.

λύω τὸ καθαίρω, ὅτι παρὰ τὸ λούω λέγεται. 108, 24. 38. 1933, 18.

$\overline{\text{λω}}$ λήγοντα ῥήματα διὰ τοῦ $\overline{\text{ησω}}$ τὸν μέλλοντα ποιοῦντα, οἷον μέλω μελήσω, θέλω θελήσω, κέλω κελήσω. 1659, 29.

λωβᾶσθαι ἐν ἴσῳ τῷ αἰσχύνειν. 1136, 62.

λωβεύειν τὸ χλευάζειν καὶ ὑβρίζειν, ὅτι παρὰ τὸ λωβᾶν λέγεται. 1936, 63.

λώβη, χλεύη, βλάβη, ὕβρις, ὅτι παρὰ τὸ λαὸς καὶ τὸ βαίνειν λέγεται, οἱονεὶ λαόβη, ἢ παρὰ τὸ λῶπος, ἑρμηνεία ἐπεξεργαστική. 91, 25. 1448, 19. 1936, 64. καὶ λώβη ἡ μετὰ αἰκίας ποινή. 835, 41. καὶ λώβη ἐν ἴσῳ τῷ αἶσχος. 1136, 62.

λωβητὴρ ὁ λώβην ποιῶν ἢ ὁ λωβᾶσθαι ἄξιος. 1347, 64.

λωβητὸς, ἐφύβριστος καὶ ἄτιμος. 1363, 57.

λώιον ὅτι ἐκ τοῦ λῷον γέγονε κατ' ἐκφώνησιν τοῦ προσγραφομένου ι. 1409, 49.

λωίτερον ὅτι ἐκ τοῦ λώιον λέγεται κατ' ἐπίτασιν συγκρίσεως. 215, 10. 1424, 28.

$\overline{\text{λων}}$ λήγοντα ὀνόματα ὅτι φυλάσσει τὸ ω κατὰ τὰς πλαγίας, οἷον Ἀπόλλων Ἀπόλλωνος. 32, 35.

λῷον, ὅθεν τὸ λώιον, ὅτι ἐκ τοῦ λῶ ῥήματος, ὃ δηλοῖ τὸ θέλω, κατὰ πρόσληψιν συλλαβῆς λέγεται. 411, 5.

λώπη καὶ λώπιον τὸ λεπτὸν ὕφασμα κατὰ τὸν τοῦ κρομμύου λοπὸν, τὸ λō μέγα κατ' ἔκτασιν· καὶ λῶπος προπερισπωμένως τὸ ἱμάτιον, ὅθεν λωποδύτης. 1237, 34. 1421, 63. 1739, 52. 60. 1863, 59.

λωπίζειν τὸ γυμνοῦν, ὅθεν ἐκλωπίζειν τὸ ἐκδύειν. 1739, 59.

λώπιον τὸ ἱμάτιον, ζήτει τὸ λώπη.

λωποδύτης ὁ τὰ ἱμάτια ἀποδύων,

παρὰ τὸ λῶπος, ὅ ἐστιν ἱμάτιον. 1739, 60.

λῶπος προπερισπωμένως τὸ ἱμάτιον, ὅθεν λωποδύτης. 1739, 60.

ῶς λήγοντα ἐπιῤῥήματα, τῷ ε παραλήγοντα, ὅτι περισπᾶσθαι φιλεῖ, οἷον ἐντελῶς, ἐπιμελῶς. 769, 27.

λῶταξ, vid. λόταξ.

λωτεῦντα πεδία τὰ λωτόεντα, ἤγουν ἔχοντα λωτὸν, βοτάνην τινὰ οὕτω λεγομένην. 905, 15. ζήτει τὸ λωτός.

Λῶτος κύριον, λωτὸς δὲ φυτόν τι. 1967, 27.

λωτός βοτάνη, τὸ λο μέγα· λοτὸς δὲ εἶδος καλαμίσκου, τὸ λο μικρόν· ζήτει τὸ λοτός. 344, 35. ἀλλαχοῦ δὲ ὅτι λωτὸς βοτάνη καὶ δένδρον, καὶ λωτὸς αὐλὸς ποιὸς, ὅ τινες διὰ τοῦ ο μικροῦ γράφουσιν ἀφορμὴν ἔχοντες καὶ τὸ λόταξ λόταγος, ἃ δηλοῖ τὸν αὐλητήν. 905, 15. 18. καὶ ἀλλαχοῦ λωτὸς ξύλον Λιβυκὸν, ἐξ οὗ οἱ λωτινοὶ λεγόμενοι αὐλοί. 1157, 43. καὶ πάλιν λωτὸς λειμωνία βοτάνη, ἣν λωτὸν ἑρσήεντα ἐπιθετικῶς λέγει Ὅμηρος πρὸς διαστολὴν λωτοῦ τοῦ δένδρου. 991, 14. 1239, 60. ἀλλαχοῦ δὲ πλατύτερον, ὅτι λωτὸς καρπὸς δένδρου τινὸς ἐοικότος μεσπίλῃ, ἐξ οὗ καὶ οἶνος ἐγίνετο· οἱ δὲ ὅτι πόα καὶ ῥίζα, ἣν σιτούμενοι οἱ τὴν ἄνυδρον οἰκοῦντες ἄδιψοι διάγουσι· καὶ ὅτι Ἡρόδοτος τὰ μετὰ τὴν πλήμμυραν τοῦ Νείλου φυόμενα κρίνα λωτὸν καλεῖσθαι φησὶν, ὧν τὸν καρπὸν, ἐμφερῆ ὄντα τῷ τῆς μήκωνος, σιτεῖσθαι τοὺς Αἰγυπτίους· καὶ ὅτι ὁ Ἀθήναιος τὸ ἐπὶ τῷ καυλῷ τοῦ Αἰγυπτίου κυάμου ἄνθος λωτὸν καλεῖσθαι φησί· καὶ ὅτι Πολύβιος δένδρον εἶναι λέγει τὸν λωτὸν ἀκανθῶδες οὐ μέγα, οὗ τὸν καρπὸν ἐξ ἀρχῆς μὲν ὅμοιον λευκαῖς μυρτίσιν, αὐξηθέντα δὲ φοινικοῦν γίνεσθαι, ἐξ οὗ καὶ οἶνον γίνεσθαι μὴ διαρκοῦντα πλέον ἕνδεκα ἡμερῶν. 1616, 29—57.

Λωτοφάγοι οἱ ἐν Μήνιγγι τῇ νήσῳ κατοικήσαντες, ἣ καὶ Λωτοφαγῖτις ἐλέγετο· οἱ δέ φασιν ὅτι οἱ Λωτοφάγοι ἀπὸ τῶν ὑπὲρ Μαυρουσίαν Αἰθιόπων ἀρχόμενοι μέχρι τῶν ὑπὲρ Κυρήνην τόπων παρήκουσι, καὶ ὅτι φιλόξενον τὸ ἔθνος ἱστορεῖται, καὶ ὅτι εἰς τὴν περὶ γεῦσιν ἡδονὴν ἀλληγορεῖται τὰ περὶ τῆς Λωτοφαγίτιδος χώρας ἱστορούμενα παρ' Ὁμήρῳ. 1616, 35. 64. ἀλλαχοῦ δὲ ὅτι Λωτοφάγοι οἱ παρ' Ὁμήρῳ οἱ αὐτοί εἰσι τοῖς ὕστερον Ἀκραγαντίνοις, οἱ δὲ ὅτι οἱ Καμαριναῖοι. 1644, 41.

λωφῆσαι κυρίως τὸ ἀποθέσθαι τὸ ἐπὶ τῷ λόφῳ, ὅ ἐστι τραχήλῳ, ἄχθος κατ' ἔκτασιν τῆς λο συλλαβῆς. 1237, 32. 1639, 13. 1702, 25.

Ἀρχὴ τοῦ Μ στοιχείου.

μ πλεονάζον κατ' ἀρχὰς τινῶν λέξεων, οἷον ἐν τῷ μοχλὸς καὶ μεῖραξ καὶ ἄλλοις τισί. 182, 15.

μ ἐν μέσῳ τινῶν λέξεων ἐκ τοῦ ν τραπὲν πλεονάσαντος ἐπὶ ὄγκῳ καὶ σεμνότητι, οἷον ἐν τῷ ἄμβροτος καὶ ἀμφασία. 40, 4.

μ ὅτι οὐδέποτε εὕρηται πρὸ τοῦ λ. 1722, 64. ζήτει τὸ παρμέμβλωκε.

Μ τὸ στοιχεῖον ὅτι ἐπίσημον ἦν τῶν Μεσσηνιακῶν ἀσπίδων, ὡς τὸ Λ τῶν Λακωνικῶν. 293, 41.

μα λήγοντα οὐδέτερα ἐξ ἀρσενικῶν εἰς μος ληγόντων ὀξυτόνων παρηγμένα, οἷον ξεσμὸς ξέσμα, δεσμὸς δέσμα. 925, 25. 1411, 23.

μα λήγοντα οὐδέτερα τῷ ω παραλήγοντα, ἀπὸ μονοσυλλάβων ῥημάτων παρηγμένα, οἷον κῶ κῶμα, βρῶ βρῶμα. 1843, 46.

μά ἐπίῤῥημα ἀποφατικὸν εἴτουν ἀπωμοτικὸν ὅτι καὶ τῷ ναὶ ὑποτάσσεται ὁρκωμοτικῶς, οἷον ἐν τῷ, ναὶ μὰ τόδε σκῆπτρον, Ἰλ. α', 234. 92, 16—25.

μᾶ ἡ μήτηρ κατὰ βρεφικὴν προσφώνησιν. 565, 3. καὶ μᾶ φθέγμα ποιὸν παρὰ Θεοκρίτῳ. 855, 24.

μαγάδις καὶ παλαιομαγάδις, εἶδος αὐλοῦ ὀξὺν ἅμα καὶ βαρὺν φθόγγον ἐπιδεικνυμένου. 1157, 42.

μαγαλὶς, εἶδος μελικοῦ ὀργάνου. 1157, 51.

μάγαρον διὰ τοῦ ᾶ, κατάγειον οἴκημα, εἰς ὃ τὰ μυστικὰ ἱερὰ τῆς Δήμητρος κατετίθεντο. 1387, 18.

Μάγασις, ὄνομα μαγείρου εἴτουν τραπεζοποιοῦ καὶ μάττοντος τὰ πρὸς ἱερουργίαν. 1887, 57.

μαγδαλιὰ, ζύμωμά τι ᾧ μετὰ τὸ δεῖπνον ἀποματτόμενοι τὰς χεῖρας ἐῤῥίπτουν τοῖς κυσὶν, ὅθεν ἀπὸ μαγδαλιᾶς ζῆν οἱ λύχνοι καὶ παράσιτοι παροιμιακῶς λέγονται· καὶ ὅτι παρὰ τὸ μάττειν, ὅ ἐστι σπογγίζειν, λέγεται τοὔνομα. 462, 35. 1857, 17. 1887, 51. ζήτει τὸ ἀπομαγδαλιά.

μαγειρικῶν τινῶν σκευῶν ὀνομασίαι. 872, 12.

μάγειροι, ὅτι παρὰ Συρακουσίοις εἴ τις μάγειρος ἴδιόν τι καὶ περιττὸν ἐξευρήκοι βρῶμα, ἀπηγόρευτο αὐτῷ μὴ γεύσασθαι αὐτοῦ ἐντὸς ἐνιαυτοῦ. 1752, 36.

μάγειρος ὅτι παρὰ τὸ μαγίδας αἴρειν ἤγουν προσφέρειν λέγεται. 1761, 34.

Μάγης, Κυρήνης βασιλεὺς, ἀπὸ τοῦ πάχους ἀποπνιγεὶς, ἱστορία. 962, 30.

μαγὶς ὅτι παρὰ τὴν μάζαν λέγεται. 462, 37. 1761, 33.

Μάγνης, εἷς τῶν Αἰολιδῶν, Μελίβοιαν πόλιν ὑπὸ τῷ Πηλίῳ κτίσας, ἱστορία. 338, 22.

Μάγνης λίθος, ὁ καὶ Ἡρακλειώτικός ὁ ἐπισπώμενος τὸν σίδηρον, ὅτι ἀπὸ μὲν τῆς Ἀσιανῆς Μαγνησίας, τῆς καὶ Ἡρακλείας, Μάγνης ὁ λίθος λέγεται καὶ Ἡρακλειώτης. 338, 27.

Μαγνησία, πόλις Εὐρωπαία, καὶ ἑτέρα Ἀσιανὴ ἡ καὶ Ἡράκλεια, ὅπου καὶ περὶ Μαγνήτων τοῦ ἔθνους διεξοδικῶς. 338, 3. 23.

Μάγνητες Ἀσιανοὶ ἐπὶ τῷ Μαιάνδρῳ ποταμῷ Δελφῶν ἄποικοι, καὶ Μάγνητες Εὐρωπαῖοι ἐντὸς Τεμπῶν τῆς Θεσσαλίας ἕως Πηλίου, καὶ ἄλλα τινὰ περὶ Μαγνήτων. 338, 1—13.

μάγος ὅτι παρὰ τὸ μάσσειν, ὅ ἐστι φυρᾶν ἢ σπογγίζειν, λέγεται. 462, 37.

μαγῳδὸς, μελῳδός τις ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα ὑποκρινόμενος, καὶ μαγῳδία κωμική τις

ᾠδὴ ἡ ὄρχησις παρὰ τὸ οἱονεὶ μαγικά τινα προφέρειν καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις οὕτω λεγομένη. 1941, 54. 56.

μαδός, ὁ καὶ μασθὸς Δωρικῶς λεγόμενος. 1258, 57. 1562, 4.

μάδρυα, οἱονεὶ μαλόδρυα, ὅ ἐστι μῆλα, ὅτι πρὸς ὁμοιότητα τοῦ ἀκρόδρυα λέγεται τοὔνομα. 1963, 34. 37.

μάζα ὅτι παρὰ τὸ μάττειν, ὃ δηλοῖ τὸ φυρᾶν, λέγεται. 462, 37.

μαζαγρέτης, ὁ καὶ ἄκολος, ὅτι παρὰ τὴν μάζαν λέγεται. 1751, 63.

μαζὸς ὅτι καὶ μασδὸς λέγεται Δωρικῶς, καὶ ὅτι καὶ μαστὸς διὰ τοῦ τ καὶ μασθὸς διὰ τοῦ θ γράφεται. 452, 16—22. ζήτει τὸ μαστός. καὶ ὅτι παρὰ τὸ μυζᾶν δοκεῖ λέγεσθαι. 464, 32. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ μάσσειν, ὃ δηλοῖ τὸ ἅπτεσθαι. 1887, 61. καὶ μαζὸς Ἥρας τὸ ζῳογόνον τοῦ ἀέρος ἀλληγορικῶς. 563, 4.

μάθησις, ὅτι κατὰ ἀνάμνησιν γίνεσθαι τὰς μαθήσεις ὑπέλαβόν τινες παρ' Ὁμήρου ἀφορμὴν λαβόντες. 260, 30.

μαι λήγοντα παθητικὰ τῷ ᾱ παραλήγοντα ἔτι ὑπερδισύλλαβα θέλει εἶναι, πλὴν τοῦ φαμαί, ὃ ἀπὸ τοῦ φημί. 1641, 37.

μαῖα ὅτι παρὰ τὸ μῶ ἢ μαίω, ὃ δηλοῖ τὸ ζητῶ, λέγεται, ὡς καὶ ἡ μήτηρ. 10, 31. 1439, 46. 1873, 41.

μαῖα κυρίως ἡ ὀμφαλητόμος, καταχρηστικῶς δὲ ἡ μάμμη, καὶ ἁπλῶς πᾶσα πρεσβυτέρα γυνὴ κατὰ προσφώνησιν ἐλέγετο. 971, 36. 43. καὶ ἀλλαχοῦ ὅτι μαῖαι ἐκαλοῦντο αἱ πρεσβύτιδες γυναῖκες καὶ αἱ παρεστῶσαι ταῖς ὠδινούσαις κἂν νεώτεραι τὴν ἡλικίαν εἶεν. 1118, 12.

Μαῖα, μία τῶν Ἀτλαντίδων τῶν καὶ Πλειάδων καλουμένων, ἧς καὶ Διὸς ὁ Ἑρμῆς. 1155, 51.

Μαίανδρος, Καρικὸς ποταμὸς ὁμώνυμος τῷ Λυδικῷ. 368, 4.

Μαιὰς Μαιάδος, ἐν ἴσῳ τῷ Μαῖα, ἥτις ἦν Ἑρμοῦ μήτηρ. 1766, 15.

μαίεσθαι τὸ ἐφίεσθαι γενικῇ παρ' Ὁμήρῳ, καὶ τὸ ζητεῖν αἰτιατικῇ παρὰ τοῖς μεθ' Ὅμηρον. 814, 32. καὶ μαίεσθαι προτέρω, Ὀδ. ξ, 356. ἀντὶ τοῦ ἐπὶ πλέον ζητεῖν. 1763, 29.

Μαίμαλος κύριον ὅτι παρὰ τὸ μαιμᾶν λέγεται πλεονασμῷ τῆς αλ συλλαβῆς, ἢ παρὰ τὸ μαιμᾶν ἅλις. 1054, 21.

μαιμᾶν ἀντὶ τοῦ πρόσω ἵεσθαι καὶ προθυμεῖσθαι. 1030, 50.

μαιμῶ, ὁ μέλλων μαιμήσω, ὅτι παρὰ τὸ μῶ, ὃ δηλοῖ τὸ ζητῶ καὶ τὸ προθυμοῦμαι, λέγεται. 661, 25.

Μαινάδες αἱ τοῦ Διονύσου ὀπαδοί, αἱ καὶ Βάκχαι, ὅτι παρὰ τὸ μαίνεσθαι τοὺς μεθύοντας οὕτω λέγονται, ἢ καὶ μαινόλης ὁ Διόνυσος· καὶ Μαινάδι ἴση γυνὴ παρ' Ὁμήρῳ λέγεται ἡ Βακχικὴ καὶ μανικὴ κατὰ τὰς Μαινάδας. 629, 25. 1280, 12.

μαίνεσθαι ἀντὶ τοῦ πρὸς μάχην ἐνθουσιᾶν πολλαχοῦ παρ' Ὁμήρῳ, ἢ καὶ μαίνεσθαι λέγεται δόρυ ἐν παλάμαις τινὸς ἀντὶ τοῦ σφοδρῶς κινεῖσθαι, ὁμοίως καὶ ὁ Ἄρης μαίνεσθαι λέγεται ἀντὶ τοῦ ἐνθουσιαστικῶς κινεῖσθαι, ὡς τῆς κατὰ μάχην κινήσεως μανίᾳ ἐοικυίας· καὶ ὅτι μαίνεσθαι κατὰ φωνὴν παθητικὴν λέγεται, μαίνειν δὲ οὔ· καὶ ὅτι τὸ μαίνεσθαι ἐν συνθέσει ὑποτασσόμενον ὑπερβολὴν εἴτουν ἐπίτασιν ἐπιθυμίας καὶ ἁπλῶς πάθους τινὸς ὑπαγορεύει, οἷον ἐν τῷ γυναιμανὴς καὶ ἐρωμανία· καὶ χρῆσις τῶν κατ' ἐνεργητικὴν φωνὴν ἐκ τοῦ μαίνω συνθέτων, οἷον ἐκμαίνω. 536, 12. 702, 30. 33. 716, 59. 1698, 19. καὶ ὅτι ἐκ τοῦ μῶ, ὃ δηλοῖ τὸ λίαν προθυμοῦμαι, λέγεται. 792, 32.

μαινὶς ἰχθὺς ὅτι τῇ Ἑκάτῃ ἐθύετο διὰ τὸ δοκεῖν τὴν Ἑκάτην μανιῶν αἰτίαν εἶναι. 87, 31. 1197, 13.

μαινόλης Διόνυσος λέγεται διὰ τὴν ἐκ μέθης ἐπιγινομένην μανίαν. 1155, 64. 1220, 1.

Μαῖρα, κύριον Νηρηΐδος, ὅτι ἐκ τοῦ μαίρειν, ὅθεν τὸ μαρμαίρειν, οὕτω λέγεται διὰ τὸ τοῦ ὕδατος λαμπρὸν καὶ διαφανές. 857, 34. 1131, 4.

Μαῖρα, Προίτου βασιλέως Ἀργείων θυγάτηρ, ἐξ ἧς καὶ Διὸς ἐγένετο Λοκρὸς ὁ τὰς Θήβας Ζήθῳ καὶ Ἀμφίονι συνοικίσας. 1688, 62.

μαίσων ὁ μάγειρος προσηγορικῶς, ὅτι παρὰ τὸ μασσᾶσθαι λέγεται, καὶ Μαίσων κύριον ὑποκριτοῦ τινὸς προσωπεῖον εὑρηκότος ὁμωνύμως ἑαυτῷ καλούμενον, ἀφ' οὗ καὶ Μαισωνικὰ σκώμματα. 1751, 56.

μαίω ῥῆμα, ὅθεν Μαῖα καὶ Μαίων κύρια, ὅτι παρὰ τὸ μῶ λέγεται. 604, 15. 719, 37.

μάκαρ ὁ μὴ ὑποκείμενος Κηρί, ἤγουν θανατοφόρῳ Μοίρᾳ. 114, 31. 757, 49. 1447, 11. καὶ ὅτι οὐκ ἐκ τοῦ μακάριος ἀποκέκοπται, ἀλλὰ τοῦτο πρωτότυπόν ἐστιν ἐκείνου, ὡς καὶ τοῦ Καισάριος ὁ Καῖσαρ. 1542, 29.

Μακαρία, Ἡρακλέους θυγάτηρ, ἐπιδοῦσα ἑαυτὴν εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν πολιτῶν, ἱστορία. 1405, 36.

μακάριος ἐν ἴσῳ τῷ εὐδαίμων. 1412, 36.

μακαρῖται λέγονται οἱ νεκροί. 1405, 36.

μακάρτατος ἀντὶ τοῦ μακαριώτατος, ὅτι ἐκ τοῦ μάκαρς μάκαρτος γέγονεν, ὃ ἐκ τοῦ μακάριος κατὰ συγκοπὴν λέγεται. 1542, 30. 32.

μακάρων νῆσοι ὅτι διὰ τὸ τοῦ τόπου εὔδαιμον καὶ μακάριον οὕτω λέγονται, καὶ ὅτι οὐκ ἄποθεν τῶν ἄκρων τῆς Μαυρουσίας εἰσὶ τῶν ἀντικειμένων Γαδείροις, καὶ ὅτι τὸ ἠλύσιον πεδίον ταὐτόν ἐστι ταῖς τῶν μακάρων νήσοις, καὶ ὅτι περὶ Αἴγυπτον ἐνόμισάν τινες εἶναι τὰς τῶν μακάρων νήσους. 1509, 23. 38.

μακεδνός, ὁ μακρός, παρὰ τὸ μᾶκος, ὅ ἐστι μῆκος, οἱονεὶ μακεδανὸς καὶ συγκοπῇ μακεδνός. 549, 22. 1571, 47. 1667, 9.

μάκελλα, σκαλλὶς ἡ μονόθεν κέλλουσα, ὅ ἐστι κινοῦσα, δίκελλα ἡ διχόθεν κέλλουσα. 1235, 56.

Μακέται ἐθνικῶς ἐκαλοῦντο αἱ

τοῦ Διονύσου τροφοὶ ὡς Μακεδονικαί. 989, 32.

μακκοᾶν τὸ μὴ κοεῖν, ὅ ἐστι νοεῖν, ἀλλ' ἀνοηταίνειν. 636, 58. 1905, 23.

μᾶκος προπερισπωμένως ἀντὶ τοῦ μῆκος Δωρικῶς. 1631, 29.

μακρὰ κύματα τὰ εἰς ὕψος κορυφούμενα, καὶ μακρὰ φρέατα τὰ βαθέα, καὶ μακρὸς Ὄλυμπος ὁ ὑψηλός. 192, 40.

μακρὰ μεμυκώς, ἀντὶ τοῦ μεγάλα καὶ ὥστε ἐπιπολὺ ἱκνεῖσθαι τὸν μυκηθμόν. 1165, 30.

μακρὰ πρὸ βραχείας ληκτικῆς κατ' ἐπέκτασιν προσγενομένης ὅτι οὐ περισπᾶται, ἀλλὰ παροξύνεται, οἷον ναὶ ναίχι, εἶ εἶα. 107, 25.

μακρὰ συλλαβὴ λόγῳ κοινότητος πρὸ βραχείας ληκτικῆς κειμένη οὐ περισπᾶται, οἷον ἐν τῷ, φίλε κασίγνητε θάνατόν νύ τοι ὅρκι' ἔταμνον, Ἰλ. δ', 155. 458, 3. *implicite.*

μακρὰ φωνήεντα ὅτι βραδέως ἐκφωνεῖται, τὰ δὲ βραχέα θᾶσσον. 900, 21.

μακραὶ συλλαβαὶ δύο εἰς μίαν μακρὰν συνιζάνουσαι, οἷον ἐν τῷ, ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις, Ἰλ. ε', 349. 554, 30.

μακροκαμπυλαύχην ἐπίθετον ὅτι ὅμοιόν τι τῷ δολιχόδειρος σημαίνει. 1038, 24.

μακρὸν ἀῦσαι τὸ ἐπὶ πολὺ μῆκος καὶ διάστημα φωνῆσαι. 549, 20.

μακρὸς, ὅτι ἐκ τοῦ μᾶκος, ὅ ἐστι μῆκος, λέγεται οἱονεὶ μακερὸς καὶ ἐν συγκοπῇ μακρός. 549, 20. 1571, 49.

μακρόχειρες λέγονται οἱ ἀστακοὶ παρὰ τὸ μακρὰς χεῖρας ἔχειν. 1196, 16.

μάκτρα ἡ τῆς ἀρτοποιίας σκάφη, παρὰ τὸ μάσσεσθαι, ὅ ἐστι δι' ἁφῆς φύρεσθαι, ἐν αὐτῇ τὰ πρὸς ἀρτοποιίαν. 1887, 59.

μακών, ἤγουν εἰς μῆκος ἐκταθεὶς ἢ ποιὸν ἦχον ἀποτελέσας, καὶ οἷον μηκησάμενος. 1071, 28. 1652, 62.

μάλ' ἀεῖσαι, Ὀδ. ξ', 464. τὸ ἄγαν καὶ πέρα τοῦ μετρίου ᾆσαι. 1769, 63.

μάλα πάγχυ ὅτι ἐκ παραλλήλου Ἀττικῶς λέγονται. 1817, 9.

μαλακὰ ἔπη τὰ ἐσκληρυμμένης καρδίας μαλακτικὰ ἢ τὰ παραμυθητικὰ εἴτουν πειστικά. 645, 19.

μαλακοειδὴς ῥυθμὸς ὁ μαλακῶς τῇ ἀκοῇ προσπίπτων, οἷον τὸ Ὁμηρικὸν ἐκεῖνο, αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι, Ἰλ. ρ', 51. 1676, 15.

μαλακοὶ λειμῶνες οἱ πόαν ἔχοντες, ἐν ᾗ ἔστι μαλακῶς κατακεῖσθαι. 1524, 38.

μαλακοὶ λόγοι οἱ κολακευτικοὶ καὶ προσηνεῖς, πρὸς διαστολὴν τῶν ἀπειλητικῶν σκληρῶν ὄντων. 155, 30. 1391, 4.

μαλακὸν κῶμα τὸ μαλακοποιὸν τῇ ἀναπαύσει, καὶ μαλακὸς ὕπνος κατὰ ταὐτά. 785, 49. 991, 61. 1041, 49.

μαλακὸν πῦρ τὸ μήπω σκληρῦνον τὰ προσπελάζοντα, καὶ μαλακὸς ἀὴρ ὁ εὔκρατος καὶ προσηνής. 834, 62.

μαλακὸς, ὅτι ἐπὶ βλακείας τίθεται τὸ μαλακόν. 785, 56.

μαλακὸς λειμὼν ὁ ὑδρηλὸς καὶ ποιήεις. 1619, 55. ζήτει τὸ, μαλακοὶ λειμῶνες.

μαλακὸς ὕπνος ὁ μαλακοποιὸς τῇ ἀναπαύσει, καὶ μαλακὸν κῶμα κατὰ ταὐτά. 785, 49. ζήτει τὸ, μαλακὸν κῶμα.

Μάλακος, ὄνομα ἱστορικοῦ τινὸς, μαλακὸς δὲ ἐπίθετον, προσῳδία. 1093, 59.

μαλακῶς ἔχειν λέγονται οἱ ἀρξάμενοι νοσεῖν. 1594, 22.

Μαλέας κοινῶς, παρὰ δὲ τοῖς λογίοις Μάλεια, ἔστι δὲ Κρήτης ἀκρωτήριον. 1468, 12.

Μάλεια καὶ Μάλειαι πληθυντικῶς, Κρήτης ἀκρωτήριον, ὅθεν καὶ παροιμία, Μαλείας δὲ κάμψας ἐπιλάθου τῶν οἴκαδε. 119, 4. 1468, 10.

Μάλειον, ὅτι ἀκρωτήριόν τί ἐστι πρὸ τοῦ Φαιστίων λιμένος, ὃ καὶ Μαλείου λίθος λέγεται. 1469, 20.

μαλερὸν πῦρ τὸ εὔφθαρτον δι' ἁπαλότητα, ἢ τὸ σκληρὸν κατ' ἀντίφρασιν καὶ φθαρτικὸν τῶν ἁπαλῶν σωμάτων. 691, 52.

μαλθακὸς ὅτι ἐκ τοῦ μαλακὸς λέγεται πλεονασμῷ τοῦ θ. 1119, 22. 1385, 30.

Μαλιάδες Νύμφαι ὅτι παρὰ τὰ μῆλα ἢ τὰς μηλέας λέγονται. 1963, 40.

Μαλιεῖς, ἔθνος πρὸς τῇ Εὐβοίᾳ καὶ ταῖς Θερμοπύλαις. 320, 13. 27.

μάλιστα ἐπίῤῥημα ὅτι δι' ἑνὸς λ γράφεται. 223, 29. καὶ ὅτι τὸ μάλιστα ἐπίῤῥημα συνεισάγει τι ἔξωθεν, πρὸς ὃ ἡ ὑπεροχή, οἷον ὁ δεῖνα μάλιστα τόδε τι ἐποίησεν ὡς καὶ ἄλλων τινῶν τὸ αὐτὸ ποιησάντων. 836, 4.

μάλιστα ἔχθιστος ὅτι κατὰ ἐπίτασιν ἐπιτάσεως λέγεται πρὸς ἔνδειξιν ὑπερβολῆς. 204, 39.

μάλλιον Δωρικῶς ἀντὶ τοῦ μᾶλλον. 1643, 32.

μᾶλλον ἐπίῤῥημα προστιθέμενον τῷ ἢ διαζευκτικῷ εἴτουν διασαφητικῷ εἰς ἐπίτασιν, οἷον βούλομαι μᾶλλόν τι ἐφ' ὑμῶν παθεῖν ἢ αὐτὸς δρᾶσαί τι ὑμᾶς. 62, 23. 26.

μᾶλλον ὅτι οἱονεὶ μὴ ἄλλον λεγόμενον ἀναλόγως προπερισπᾶται ὡς ἐξ ἐκείνου συναιρεθέν. 1447, 54.

Μαλλώτης ὁ ἐκ Μαλλοῦ πόλεως. 890, 34.

μαλοπάρῃος ἀντὶ τοῦ ἁπαλοπάρῃος, παρὰ τὸ μαλὸν, ὃ δηλοῖ τὸ ἁπαλὸν, ὅθεν τὸ μαλερὸν καὶ τὸ ἀμαλόν. 691, 52.

μάμμα καὶ μάμμη καὶ μαμμαία, προσφωνήσεις ὑποκοριστικαί. 1118, 10. ζήτει τὸ μαμμία.

μαμμαία καὶ μάμμη παρ' Ἀττικοῖς ἡ μήτηρ. 971, 36. ζήτει τὸ μάμμα καὶ τὸ μάμμη.

μαμμάκουθος, ὅτι οὕτως ἐλέγετο πᾶς τις μωρὸς καὶ ἠλύθιος ἀπό τινος Μαμμακούθου κυριωνυμικῶς οὕτω κληθέντος. 1669, 51.

μάμμη καὶ μαμμαία παρ' Ἀττικοῖς ἡ μήτηρ, κοινῶς δὲ μάμμη ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς μήτηρ, ἢ καὶ τήθη Ἀττικῶς λέγεται. 971, 29. 35. 1871, 35.

μαμμία ἡ μήτηρ, ὅτι ἐκ τοῦ μάμμα δοκεῖ παρῆχθαι, ὃ ἐκ τοῦ μᾶ μα βρεφικῆς προσφωνήσεως πρὸς τὰς μητέρας κατ' ἀναδιπλασιασμὸν λέγεται. 565, 4. 24.

μαμμόθρεπτος ὁ ὑπὸ τῆς μάμ-

μης τραφεὶς καὶ ἀκολούθως εὐήθης. 971, 28.

μὰν ὁ μὴν σύνδεσμος τροπῇ Δωρικῇ τοῦ ᾱ εἰς η. 287, 23. 321, 13. καὶ ὅτι τὸ μὰν καὶ μὲν λέγεται Ἰωνικῶς. 691, 39.

μάνδα, ὅτι οὕτως ἐλέγετο κατά τινας ἡ παρὰ τοῖς Ἀττικοῖς ἐπίκληρος καὶ πατροῦχος. 674, 30.

μανδάκαι, δεσμοὶ οἷς δεσμοῦνται τὰ δράγματα. 818, 22. 1162, 32.

μανδραγόρας βοτάνη, ὅτι περὶ μανδραγόρου ἱστορεῖται ὁποῖόν τι καὶ περὶ τοῦ μώλυος, ὃ θάνατον ἐπιφέρειν λέγεται τῷ ἀνασπῶντι, ὅταν πρὸς τῷ τέλει τῆς ῥίζης γένηται. 1658, 46.

μανδύας, ἔνδυμα Περσικὸν ἐοικὸς φαινόλῃ. 1854, 32.

μανης καὶ μανια λήγοντα ὀνόματα ἀρσενικὰ καὶ θηλυκὰ ἐκ τοῦ μαίνεσθαι συγκείμενα, οἷον γυναιμανὴς καὶ ἐρωμανία. 536, 18.

Μάνης, ὄνομα δουλικὸν καὶ χαλκοῦν τι πρόσωπον παικτικόν. 536, 19. ἀλλαχοῦ δὲ ὅτι μάνης ὁ δοῦλος προσηγορικῶς διὰ τὸ μανικοὺς ὡς ἐπιπολὺ τοὺς δούλους εἶναι. 1220, 4. καὶ ὅτι Μάνης ἐπωνομάζετο ὁ Βούγριος Λοκρικὸς ποταμός. 278, 1. ζήτει τὸ Βούγριος.

μανθάνειν ὅτι καὶ ἀντὶ τοῦ διδάσκειν τίθεται. 1551, 41. 1883, 47.

μανία ἡ τῶν φρενῶν ἔκστασις. 8, 15. ὅτι παρὰ τὸ μανὸν λέγεται, ὃ δηλοῖ τὸ ἀραιόν. 1319, 14.

μανιόκηπος γυνὴ ἡ περὶ μίξεις μεμηνυῖα. 536, 21. 1516, 22. 1572, 13. ζήτει τὸ κῆπος.

μάννα, ὅτι οὕτως ὠνόμασέ τις τὸ τοῦ λόγου νᾶμα κατὰ ἀναγραμματισμόν. 488, 14.

μαντικὴ ὅτι στοχαστική ἐστι τέχνη. 1410, 39. καὶ ὅτι πολλοί τινες μαντείας ἦσαν τρόποι παρὰ τοῖς παλαιοῖς, οἷον δι' ὀνείρων καὶ οἰνοσκοπίας καὶ φήμης καὶ λαχμῶν τινῶν καὶ συμβόλων. 48, 18. καὶ ὅτι ἐπικοινωνεῖ πως ἡ μαντικὴ τῇ ἰατρικῇ. 48, 35.

Μαντίνεια, πόλις Ἀρκαδίας, ἣν Ὅμηρος Μαντινέην λέγει Ἰωνικῶς, ὅτι καὶ Μαντίνη εὕρηται λεγομένη· καὶ ἱστορία περὶ τινῶν συμβάντων τῆς πόλεως. 302, 1.

Μαντινεῖς, οἱ τῆς Μαντινείας πολῖται, ὅτι εὐνομώτατοι ἦσαν, καὶ ὅτι Νικοδώρῳ τινὶ νομοθέτῃ ἐχρήσαντο. 1860, 52.

μάντις ὅτι γενικόν ἐστιν ὄνομα, εἴδη δὲ αὐτοῦ ὀνειροπόλος καὶ οἰωνοπόλος καὶ ἕτερα τινά, καὶ ὅτι παρὰ τὸ μαίνεσθαι λέγεται. 47, 36. 48, 1. καὶ περὶ τῶν τρόπων τοῦ μαντεύεσθαι παρὰ τοῖς παλαιοῖς ζήτει τὸ μαντική. ἀλλαχοῦ δὲ ὅτι μάντις γενικῶς ὁ ἁπλῶς ὁπωσοῦν μαντευόμενος καὶ ὁ ἔνθεος καὶ θεοφορούμενος, παρὰ τὸ μαίνεσθαι, ἐπεὶ καὶ ἡ μαντεία θεία μανία ἐδοξάζετο εἶναι, καὶ μανική τις ἡ μαντική. 1410, 48. 52.

Μάντυα, πόλις Ἰταλίας, ἐξ ἧς Βιργίλιος ὁ ποιητής. 302, 7.

μάραγδος ὅτι ἐκ τοῦ σμάραγδος γέγονεν ἀπελεύσει τοῦ σ, καὶ ὅτι παρὰ τὸ μαίρειν, ὅθεν καὶ τὸ μαρμαίρειν, λέγεται. 842, 53. 853, 49.

Μαραθών, δῆμος τῆς Λεοντίδος φυλῆς, ἐπίσημος γεγονὼς πρότερον μὲν διὰ τὸν Μαραθώνιον ταῦρον, ὃν ἀνεῖλεν ὁ Θησεύς, ὕστερον δὲ διὰ τὸν πρὸς Πέρσας ἀγῶνα τῶν Ἀθηναίων. 284, 17. καὶ ὅτι ἀρσενικῶς τε καὶ θηλυκῶς λέγεται τοὔνομα. 1568, 44.

μαραίνειν ὅτι παρὰ τὸ μαίρειν λέγεται, καὶ ὅτι μαραίνεσθαι καὶ ἡ φλὸξ ὡς καὶ τὰ ἄνθη λέγεται παρ' Ὁμήρῳ. 748, 9.

μάραος, ὅτι οὕτως λέγεται κατά τινας ὁ καρπὸς τῆς κρανείας. 1657, 20.

Μαράφιοι, γένος τι ἐν Πέρσαις ἀπὸ Μαραφίου, υἱοῦ Μενελάου καὶ Ἑλένης. 400, 34.

μαργαίνειν τὸ μωραίνειν καὶ μαίνεσθαι, ὅτι ἐκ τοῦ μὴ καὶ τοῦ ἔργον σύγκειται ἡ λέξις. 617, 32. 1669, 47.

μάργη γαστὴρ, ὅτι μεταπρέπειν γαστέρι μάργη λέγεταί τις, Ὀδ. σ', 2. ἀντὶ τοῦ ἐκπρεπὴς ἐπὶ γαστριμαργίᾳ εἶναι. 1833, 58. καὶ ὅτι τὸ μάργη θηλυκόν ἐστι τοῦ μάργος. 1936, 51.

μαργαρῖτις λίθος ὅτι κοινῶς μὲν κατ' ἀρσενικὸν γένος λέγεται, Ἀττικῶς δὲ ἡ μαργαρῖτις θηλυκῶς· καὶ ὅτι παρὰ τὸ μαίρειν λέγεται, ὅθεν καὶ τὸ μαρμαίρειν· καὶ ὅτι ἐν σαρκὶ ὀστρέων γίνεται, καθὰ ἐν τοῖς ὑείοις κρέασιν ἡ χάλαζα· καὶ ὅτι καὶ χρυσοειδής τις ἐστὶ μαργαρῖτις ὡς καὶ ἀργυροειδής, ἑρμηνεία διεξοδική. 853, 47. 1504, 38.

Μαργίτης, μωρός τις οὕτω καλούμενος παρὰ τὸ μαργαίνειν, ὅ ἐστι μωραίνειν, καὶ ἱστορία περὶ τῆς εὐηθείας αὐτοῦ. 1669, 47.

μάργος ὁ μαινόμενος, ὅθεν τὸ μαργαίνειν, ὅ ἐστι μαίνεσθαι. 617, 33. 1806, 52. ζήτει τὸ μαργαίνειν.

Μάρεα, πόλις μεγίστη ποτέ, ὕστερον δὲ κώμη· καὶ Μάρεα κρήνη Ἀλεξανδρεωτικὴ ἀπὸ Μάρωνος ἑνὸς τῶν Διονύσῳ συστρατευσάντων. 1623, 49. ζήτει τὸ Μάρων.

Μαρεώτης οἶνος ὅτι ἀπὸ Μάρωνος ἑνὸς τῶν Διονύσῳ συστρατευσάντων ἐκλήθη. 1623, 50. ζήτει τὸ Μάρων.

μάρη αἱ χεῖρες κατὰ γλῶσσαν. 1009, 24.

Μαριανδυνοὶ ὅτι Ἡρακλεώταις τοῖς ἐν Πόντῳ ἐδούλευσάν ποτε, ἱστορία. 295, 31. 1090, 55.

Μαρικᾶς Μαρικᾶντος, ὅτι ὄνομά ἐστι βαρβαρικὸν, καὶ ὅτι περισπᾶται καὶ διὰ τοῦ ντ κλίνεται. 300, 22.

μαρμαίρειν τὸ στίλβειν, ὅτι παρὰ τὸ μαίρειν λέγεται ἀναδιπλασιασμῷ καὶ προσλήψει τοῦ ρ. 80, 21. 1230, 43. 1641, 22.

μαρμαρέη θάλασσα ἡ διαφανὴς, καὶ μαρμαρέη ἄντυξ ἀσπίδος ἡ μαρμαίρουσα εἴτουν στίλβουσα μάρου δίκην, καὶ ὅτι κτητικόν ἐστι τοὔνομα ἀπὸ τοῦ μαρμάρειος ἀρσενικοῦ ἀποβολῇ τοῦ ι γενόμενον. 393, 6. 985, 27. 1131, 4. 1154, 31. 1649, 63. καὶ ὅτι καὶ ἡ αἰγὶς μαρμαρέη λέγεται διὰ τὰς ἐκ τῶν ἀστραπῶν μαρμαρυγάς. 1119, 39.

Μαρμάριον, ὄνομα τόπου τινὸς ἐν Εὐβοίᾳ, ἐν ᾧ καὶ Μαρμαρίνου Ἀπόλλωνος ἦν ἱερόν. 281, 4.

μαστὸς ὅτι κανονικῶς μὲν τῷ σ̄ γράφεται, μασθὸς δὲ κατὰ πάθος. 452, 18. 753, 63. 1183, 31. 1630, 55. ζήτει τὸ μασθὸς διὰ τοῦ θ̄. καὶ ἀλλαχοῦ μαστὸς διὰ τοῦ τ̄, ὁ οἷον μασσητὸς τοῖς βρέφεσιν, ὅτι καὶ μασθὸς διὰ τοῦ θ̄ λέγεται ὡς ἀπὸ τοῦ μασδὸς ἢ μαδὸς τροπῇ τοῦ δ̄ εἰς θ̄. καὶ μασθὸς ὁμωνύμως εἶδός τι ποτηρίου. 1258, 56. 1874, 34.

μαστροπὸς ἡ μητρὸς ὄπα ἔχουσα, οἱονεὶ ματεροπὸς καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ̄ μαστροπός. 380, 3. 1161, 49.

Μάστωρ κύριον παρὰ τὸ μῶ ἢ μαίω, ὃ δηλοῖ τὸ ζητῶ. 1439, 45.

ματάζειν ὅτι παρὰ τὸ ματᾶν, ὅ ἐστι ματαιοπραγεῖν, λέγεται· καὶ ὅτι ποιητικὸν μὲν τὸ ματάζειν, κοινὸν δὲ τὸ ματαιάζειν, ὅθεν καὶ τὸ ματαΐζειν ὡς Ἑβραΐζειν. 543, 16.

ματαιάζειν τὸ ματαιοπραγεῖν, ζήτει τὸ ματάζειν.

ματαΐζειν ὡς Ἑβραΐζειν, ζήτει τὸ ματάζειν.

ματᾶν τὸ ματαιοπραγεῖν, καὶ μάτην ἵστασθαι καὶ ἀργεῖν. 543, 3. 12. 1071, 17. 1313, 38. καὶ ὅτι καὶ περὶ ἵππων παρ' Ὁμήρῳ λέγεται. 1648, 23.

ματεύειν χωρὶς τοῦ σ̄ ἐν ἴσῳ τῷ μαστεύειν, ὅ ἐστι ζητεῖν. 971, 12. ζήτει τὸ μαστεύειν.

ματία καὶ ματίη Ἰωνικῶς ἡ ματαιότης καὶ ματαιοπραγία, καὶ ἡ ἀργία καὶ βραδυτής, παρὰ τὸ ματᾶν. 543, 4. 1191, 17. 1648, 20. ζήτει τὸ ματᾶν.

ματιολοιχὸς, ἐτυμολογία. 543, 8. ζήτει ἐν τῷ μάτιον.

μάτιον οὐδετέρως εἶδος μέτρου, ὅθεν ματιολοιχὸς ὁ ἐκ τοῦ παραμετρεῖν λείχων εἴτουν κερδαίνων. 543, 7.

Ματρέας Ἀλεξανδρεὺς, πλάνος τις ἄνθρωπος, καὶ τί τὸ Ματρέου θηρίον αἰνιγματικῶς, ἑρμηνεία διεξοδική. 1382, 40.

ματρύλλα ταὐτὸ ὅπερ μαστροπὸς, ὅθεν καὶ ματρυλλεῖον τὸ πορνεῖον. 380, 6.

ματρυλλεῖον τὸ πορνεῖον. 380, 6. ζήτει ἐν τῷ ματρύλλα.

μάττειν τὸ φυρᾶν εἴτουν μάζαν σκευάζειν ἐτυμολογικῶς. 462, 37. 1751, 63.

ματτνάζειν τὸ σκευάζειν ἔδεσμά τι ματτύην καλούμενον, ζήτει ἐν τῷ ματύη. 1752, 1.

ματύη ἢ ματτύη ὅτι ἐκ τοῦ μασσᾶσθαι λέγεται ἢ παρὰ τὸ μάττειν, ἐλέγετο δὲ οὕτω πᾶν πολυτελὲς ἔδεσμα, καὶ ματυάζειν τὸ τὴν τοιαύτην ματύην σκευάζειν. 1751, 61. 1752, 1. ἀλλαχοῦ δὲ ὅτι ἡ ματύη ταὐτόν ἐστι τοῖς καλουμένοις αἴκλοις καὶ ἐπαΐκλοις. 1714, 64. καὶ ζήτει τὸ αἴκλον καὶ ἐπάϊκλον.

μαῦλις ἡ μάχαιρα, ὅτι παρὰ τὸ μακὸν, ὃ δηλοῖ τὸ φθαρτικὸν, ἐνδέχεται λέγεσθαι τοὔνομα. 691, 55.

μαῦρον ὅτι παρὰ τὸ ἀμαυρὸν λέγεται ἀφαιρέσει τοῦ ᾱ. 1608, 58.

Μαύσωλος κύριον ὅτι προπαροξύνεται. 311, 18.

μάχαιρα ὅτι παρὰ τὸ αἵματι χαίρειν λέγεται, οἱονεὶ αἱμόχαιρα. 675, 58.

Μαχάων, ὅτι ἐκτείνει μὲν τὴν παραλήγουσαν, συστέλλει δὲ τὸ ο̄ ἐν ταῖς πλαγίαις τοὔνομα. 859, 17.

μαχειόμενος μετοχὴ ὅτι ἀπὸ τοῦ μαχείω κεκίνηται, ὃ ἐκ τοῦ μαχῶ μαχήσω παρήχθη. 1828, 45.

μάχεσθαι ἀντὶ τοῦ ἐρίζειν καὶ ἐξισοῦσθαι. 103, 17. καὶ μάχεσθαι ἀντὶ τοῦ ἀντιλογεῖν εἴτουν φιλονεικεῖν, καὶ ἀντὶ τοῦ ὀτρύνειν ἐπιπληκτικῶς. 645, 36. 733, 44. καὶ μάχεσθαι ἀντὶ τοῦ ὀνειδιστικῶς λαλεῖν εἴτουν μέμφεσθαι καὶ ἐπιπλήσσειν. 923, 12. καὶ μάχεσθαι Ἄρηι πρὸς διαστολὴν τοῦ μάχεσθαι λόγοις, ὃ καὶ αὐτὸ λέγεται παρ' Ὁμήρῳ. 1115, 41. καὶ ὅτι αἱ μὲν ῥηματικαὶ τοῦ μάχεσθαι κινήσεις διὰ τοῦ ε̄ προφέρονται, οἷον μαχέσασθαι καὶ μαχεσάμενος, τὰ δέ γε ἐξ αὐτοῦ παρηγμένα τὸ η̄ ἔχουσιν, οἷον μαχητὴς καὶ μαχήμων. 106, 37.

μάχη ὅτι παρὰ τὸ αἷμα χέειν λέγεται. 76, 10. 682, 26. καὶ ὅτι ἡ μάχη καὶ βοὴ καὶ φύλοπις καὶ ἀϋτὴ συνωνύμως λέγεται. 247, 34.

μαχήσομαι μέλλων ὅτι καὶ μαχέσομαι λέγεται. 106, 36. ζήτει τὸ μάχεσθαι.

μάχλος ἄμπελος ἡ ῥεομένη, καὶ μάχλος ἄνθρωπος ὁ ὑπὸ καταφερείας δίυγρος. 827, 30. 1597, 31.

μαχλοσύνη ἡ γυναικεία ὁρμὴ πρὸς τὰς μίξεις, καὶ ὅτι περὶ ἀνδρῶν οὐ λέγεται. 1337, 33.

μαχος καὶ *μαχον* ληγόντων συνθέτων ἀρσενικῶν καὶ οὐδετέρων προσῳδία ἐκ παραδειγμάτων. 1021, 50.

μάψ ὅτι ἐκ τοῦ μάτην γέγονε κατὰ πάθος Αἰολικῶς, ὡς καὶ ἐκ τοῦ ὀπίσω τὸ ἄψ. 187, 28.

μάψ αὔτως, ὅτι ἐκ παραλλήλου παράκεινται Ὀδ. π', 111. 1795, 61.

μάψ ὀμόσαι ἐν ἴσῳ τῷ ἐπιορκῆσαι. 1005, 8.

μαψιδίως ἀντὶ τοῦ ἀνεκδικήτως ἐν τῷ, εἰλαπινάζουσι πίνουσί τε αἴθοπα οἶνον μαψιδίως, Ὀδ. β', 58. ρ', 537. 1434, 63.

μέγα ἀντὶ τοῦ μεγάλως καὶ πάνυ, οἷον ἐν τῷ, ὃς μέγα πάντων Ἀργείων κρατέει, Ἰλ. α', 78. 54, 41. 1259, 15.

μέγ' ἔξοχος πάντων, ὅτι γενικῇ συντάσσεται τὸ μέγα ἔξοχος διὰ τὸ ὑπερθετικῷ ἰσοδυναμεῖν ὀνόματι. 258, 40.

Μεγάβυζος αἰκίσας ἑαυτὸν χάριν τοῦ δεσπότου βασιλέως. 1494, 39.

Μεγάδης πατρωνυμικὸν ὅτι ἐκ τοῦ Μέγας κυρίου ἐσχημάτισται. 1081, 55. 1447, 21.

μεγάθυμος σύνθετον ὅτι οὐ μετέχει τῆς σημασίας τοῦ ἐν παραθέσει μέγας θυμός. 201, 2. καὶ ὅτι τὸ μεγάθυμος ἐπίθετον καὶ κατὰ ἀλόγων ζῴων γενναίων λέγεται. 1072, 7.

μεγαίρειν ἀντὶ τοῦ μέμφεσθαι, ἐπεὶ καὶ τὸ μέμφεσθαι φθονεῖν τι ἐστί. 1443, 12. καὶ ὅτι ἐκ τοῦ μέγα καὶ τοῦ αἴρειν σύγκειται, ἐτυμολογία διεξοδική. 1334, 21. καὶ ὅτι τῆς Σαλαμινίων γλώσσης ἐστί. 946, 44.

μεγακήτης ναῦς ἡ μεγάλη κατά τι κῆτος. 709, 38. 846, 44 52. 55.

μεγάλα εὔχεσθαι, ἀντὶ τοῦ ἐξάκουστον ἐπιῤῥηματικῶς, ἢ ἀντὶ τοῦ μεγάλα τινὰ ὀνοματικῶς, Ἰλ. α', 450. 133, 27. καὶ ὅτι τὸ με-

γάλα εὔχεσθαι ἀντίκειται τῷ σιγῇ εὔχεσθαι. 716, 46.

μεγάλαι φρένες ἐπιθετικῶς παρ' Ὁμήρῳ, ὅθεν ὁ μεγαλόφρων σύγκειται. 744, 32.

μεγαλάρτις, ἑορτή τις ἐπὶ ἄρτῳ τινὶ μεγάλῳ ἐπικαλουμένῳ τελουμένη. 265, 32.

μεγάλαρτος καὶ μεγαλόμαζος Δημήτηρ ὅτι παρὰ τὸν ἄρτον καὶ τὴν μύζαν λέγεται ἐπωνυμικῶς, καὶ ἐτιμᾶτο ἐν Σκώλῳ πόλει τῆς Βοιωτίας. 265, 28.

μεγάλε κλητικῆς χρῆσις ἐν τῷ, ὦ μεγάλε Ζεῦ, παρ' Αἰσχύλῳ. (Sept. 824). 1214, 55. 1447, 20.

μεγαλεῖον μῦρον ἐπιθετικῶς, ἢ μεγάλλιον προσηγορικῶς ἀπό τινος Μεγάλλου τοῦ τὴν σκευασίαν τοῦ τοιούτου μύρου εὑρόντος. 975, 3. 1843, 15.

μεγαλέμπορος ὅτι προπαροξύνεται, λογεμπόρος δὲ παροξύνεται. 1447, 46.

Μεγάλη πόλις Ἀρκαδίας ὅτι ὑφ' ἕν, ὅ ἐστι κατὰ συμπλοκὴν, λέγεται· τὸ ἐθνικὸν Μεγαλοπολίτης συνθέτως. 302, 14. 1746, 54. 57. καὶ ὅτι ἐπιθετικῶς μὲν πᾶσα πόλις, ᾗ τὸ μέγα συμβέβηκεν, οὕτω λέγεται, κυριωνυμικῶς δὲ ἡ ἐν Πελοποννήσῳ, περὶ ἧς ἐρημωθείσης ποτὲ ἐῤῥέθη τὸ, ἐρημία μεγάλη ἐστὶν ἡ Μεγάλη πόλις. 1861, 22.

μεγαλήτωρ θυμὸς ὅτι ταυτολογικῶς λέγεται, ὡς εἰ καὶ μεγαλόψυχον ψυχὴν εἴποι τις. 1641, 17.

μεγαλίζεσθαι θυμῷ ἀντὶ τοῦ ἐπαίρεσθαι τῷ κατ' αὐτὸν μεγαλείῳ. 790, 25.

μεγάλλιον μῦρόν τι προσηγορικῶς, τὸ λι ἰῶτα καὶ δύο λ, ἢ μεγαλεῖον μῦρον ἐπιθετικῶς. 975, 4. 1843, 16. ζήτει τὸ, μεγαλεῖον μῦρον.

Μέγαλλος, κύριον δυσὶ λ καὶ προπαροξυτόνως, ὅθεν μεγάλλιον μῦρον· ζήτει ἐν τῷ μεγάλλιον καὶ μεγαλεῖον μῦρον. 1843, 18.

μεγαλόθυμος ὁ μέγαν θυμὸν εἴτουν ὀργὴν ἔχων, μεγάθυμος δὲ ὁ ἀνδρεῖος καὶ μεγαλόψυχος. 200, 45. 767, 39.

μεγάλοιτος ὁ πάνυ δυστυχὴς, ἐκ τοῦ οἶτος, ὃ δηλοῖ τὴν τύχην. 1186, 48.

μεγαλόμαζος Δημήτηρ ἐπωνυμικῶς. 265, 29. ζήτει ἐν τῷ μεγάλαρτος.

μεγαλόσωμοι ἄνθρωποι, Ἰλάων καὶ Πολύφημος ὁ Κύκλωψ καὶ Τιτυὸς καὶ Ὦτος καὶ Ἐφιάλτης καὶ Ὠρίων. 1622, 44.

μεγαλωστὶ ἐπίῤῥημα ὅτι ἐκ τοῦ μεγάλως λέγεται πλεονασμῷ ἐπεκτατικῷ τοῦ τι μορίου. 1086, 26.

Μεγαπένθης, υἱὸς Μενελάου, καὶ Μεγαπένθης ἕτερος Αἰγύπτου ἀπόγονος, ἱστορία· καὶ ὅτι παρὰ τὸ μέγα πένθος λέγεται τοὔνομα. 99, 13. 1479, 64. 1480, 4.

Μεγάρα, Κρέοντος θυγάτηρ, ὅτι Ἡρακλεῖ γημαμένη ἔσχε τρεῖς παῖδας, οὓς ἐκεῖνος ἀνεῖλε μανεὶς Ἥρας χόλῳ, ἱστορία διεξοδική. 1683, 36.

μέγαρον τὸ ἁπλῶς οἴκημα, καὶ μέγαρα ἰδίως κατάγειά τινα οἰκήματα Δήμητρος καὶ Περσεφόνης. 1387, 17.

μέγαρον ἐν ἴσῳ τῷ σταθμὸς, ὅ ἐστιν ἀγροτικὴ κατοικία, Ὀδ. π', 165. 1798, 44.

μέγαρον ἡ γυναικωνῖτις ἐκ παραδειγμάτων Ὁμηρικῶν. 1913, 19. 23. 1935, 26.

Μέγας, κύριον παρ' Ὁμήρῳ, ὅθεν Μεγάδης πατρωνυμικόν. 1081, 55.

μέγας προσηγορικὸν ὅτι ἐκ τοῦ μὴ πρὸς τῇ γῇ εἶναι λέγεται, καὶ ὅτι ἄκλιτόν ἐστι διὰ τὸ ἐκ τοῦ μεγάλος συγκεκόφθαι, καὶ ὅτι βραχὺ τὸ α ἔχον ὤφειλεν ὀξύνεσθαι ἢ βαρυνόμενον ἐκτείνειν τὸ α. 1447, 14. 19 — 25.

μέγας Ζέφυρος ὁ σφοδρὸς, Ὀδ. ξ', 458. 1769, 39.

μέγας ὅρκος ὅτι διὰ τὴν τῶν θεῶν μεσολάβησιν οὕτω λέγεται. 1450, 37.

μέγας οὐδεὶς σαπρὸς ἰχθὺς, παροιμία, καὶ Στρατονίκου τοῦ κιθαρῳδοῦ παρῳδία καὶ κατάχρησις τῆς παροιμίας ταύτης κατά τινος φαύλου μουσικοῦ. 1634, 30.

μέγεθος γυναικῶν ὅτι ὑπὸ Ἀρτέμιδος δίδοσθαι μυθεύεται. 1882, 43.

Μέγης, υἱὸς Φυλέως τοῦ Αὐγείου, ὅτι Τιμάνδραν τὴν Ἑλένης καὶ Κλυταιμνήστρας ἀδελφὴν μοιχεύσας ἀπήγαγεν εἰς τὸ Δουλίχιον. 304, 46 — 305, 14. καὶ ὅτι καὶ περισπωμένως λέγεται κατά τινας τοὔνομα. 1016, 63.

Μεγιστὼ ἡ Πελάγοντος, αἰτία τοῦ Κιῤῥαίων πρὸς Φωκέας πολέμου. 1244, 45.

μέδεσθαι ἀλκῆς ἀντὶ τοῦ φροντίζειν ἀνδρίας πολλαχοῦ παρ' Ὁμήρῳ. 491, 2.

Μεδεὼν, πόλις τῆς Βοιωτίας, καὶ ἑτέρα Φωκικὴ κατὰ τὸν Κρισσαῖον κόλπον. 267, 28.

μεδήσομαι μέλλων ὅτι ἐκ τοῦ μεδῶ περισπωμένου κεκίνηται, διαίτησις διεξοδική. 781, 23.

μέδιμνος τὸ μέτρον καὶ τὸ μετρούμενον. 196, 29.

μέδοντες οἱ βασιλεῖς, παρὰ τὸ μέδεσθαι ἤγουν φροντίζειν τῶν ἀρχομένων. 175, 11. 781, 25.

Μέδουσα, μία τῶν Γοργόνων, ὅτι εἰδεχθής τις ἦν γυνὴ καὶ διὰ τοῦτο φοβερά. 1684, 25.

μέδω τὸ ἄρχω. 234, 30. 407, 2. καὶ ὅτι οὐ κινεῖται εἰς μέλλοντα πρὸς τὸ μὴ συνεμπεσεῖν τῇ μέσῳ δοτικῇ, ἑρμηνεία διεξοδική. 781, 25.

μεδώμεθα, βουλευσώμεθα, ἀπὸ τοῦ μέδω θέματος. 597, 25.

μεδων ληγόντων ὀνομάτων συνθέτων κλητικαὶ ὅτι ἀναβιβάζουσι τὸν τόνον, οἷον Αὐτόμεδον, Ἀλκίμεδον. 1115, 18.

μέδων, ἄρχων βουλευτικὸς καὶ φροντιστικὸς τῶν ἀρχομένων, παρὰ τὸ μέδεσθαι εἴτουν μήδεσθαι, ὅ ἐστι βουλεύεσθαι. 781, 25.

μέζεα, ὅτι ἐκ τοῦ μήδεα, ὃ δηλοῖ τὰ αἰδοῖα εἴτουν τοὺς ὄρχεις, γέγονεν ἡ λέξις συστολῇ τῆς ἀρχούσης καὶ τροπῇ τοῦ δ εἰς ζ. 153, 38. 234, 32. 407, 1.

μεθεῖναι τὸ χαυνοῦν καὶ τὸ ἀμελεῖν, καὶ μεθεῖναι χόλον ἀντὶ τοῦ ἀφεῖναι. 1393, 8. καὶ μεθεῖναι ἀντὶ τοῦ ἀφεῖναι τινὰ δωρεὰν χωρὶς λύπων. 817, 49. καὶ ἀλλαχοῦ μεθεῖναι τὸ ἀμελεῖν, ἐφεῖναι δὲ τὸ ἐντείλασθαι, ᾧ καὶ ἀντίκειται τὸ μεθεῖναι. 1309, 25.

μεθέηκεν, ἠμέλησεν, ἐκ τοῦ μεθίημι. 1309, 23. καὶ μεθέηκεν ἐν ἴσῳ τῷ ἐνῆκεν ἐν τῷ, τῷ κ' οὔ...

τόσον κέλαδον μεθέηκεν, ᾿Οδ. σ', 402. 1852, 21.

μεθελεῖν ἀντὶ τοῦ μεταλαβεῖν, ὃ ἐπὶ ἐξαλλαγῆς λέγεται παρὰ τοῖς μεθ' Ὅμηρον. 1601, 60.

μεθέπειν ἀντὶ τοῦ ζητεῖν καὶ ἐρευνᾶν. 703, 14. καὶ ὅτι τὸ μεθέπειν διαλύεταί ποτε καθ' ὑπερβατὸν καὶ αἰτιατικῇ συντάσσεται ὡς καὶ ἐν συνθέσει, οἷον ἐν τῷ, ὡς ἴδ' Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἔπουσαν, ἤγουν μεθέπουσαν, Ἰλ. κ', 516. 821, 22.

μεθέπεις ἀντὶ τοῦ εἰς ἡμᾶς ἥκεις ἐν τῷ, ἠὲ νέον μεθέπεις, ᾿Οδ. α', 175. 1407, 50.

μέθη ὅτι παρὰ τὸ μεθίημι, ὃ δηλοῖ τὸ ἀμελῶ, λέγεται, ὅθεν καὶ μεθημοσύνη ἡ ἀμέλεια, καὶ μεθήμων ὁ ἀμελής. 212, 2 692, 41. 1309, 24.

μεθήμενος ἀντὶ τοῦ συγκαθήμενος. 1400, 49.

μεθημοσύνη ἡ ἀμέλεια παρὰ τὸ μεθίημι, ἐφημοσύνη δὲ ἡ ἐντολή. 660, 13. 692, 41. 1719, 27.

μεθήμων ὁ ἀμελὴς καὶ ῥάθυμος, παρὰ τὸ μεθίημι, ὃ δηλοῖ τὸ ἀμελῶ. 212, 1. 660, 13. 793, 41. 1500, 52.

μέθης ψόγος, καὶ κατάλογος τῶν ὑφ' Ὁμήρου ἱστορουμένων διὰ μέθην ἀπολωλέναι. 1636, 31.

μεθήσειν, χαυνώσειν καὶ ἀμελήσειν. 1393, 8. ζήτει τὸ μεθεῖναι.

μεθίει, τρίτον πρόσωπον παρατατικοῦ ἀντὶ τοῦ μεθίησιν τρίτου ἐνεστῶτος. 793, 39.

μεθίεν ἀντὶ τοῦ μεθίεσαν, ἐκ τῆς μεθιέντος μετοχικῆς γενικῆς ἀποβολῇ τοῦ τος. 1913, 16.

μεθιέναι ὅτι γενικῇ φιλεῖ συντάσσεσθαι παρ' Ὁμήρῳ. 923, 4.

μεθίης, ἤγουν ἀμελεῖς, ἐπὶ μὲν ἐνεστῶτος τῷ η, ἐπὶ δὲ παρατατικοῦ τῇ ει διφθόγγῳ ὡς ἐτίθεις. 660, 13. ἀλλαχοῦ δὲ ὅτι τὸ μεθίης συνήθως μὲν διὰ τοῦ η γράφεται, κατὰ δὲ χρόνου ἐναλλαγὴν καὶ μεθίεις διὰ διφθόγγου. 1500, 53.

μεθιστᾶν τὸ μεταλλάσσειν καὶ μετασταθμεῖν εἴτουν ἀνταλλάσσειν καὶ ἀντιδιδόναι, ἐκ μεταφορᾶς τῶν διὰ σταθμοῦ ἀντικαταλλασσόντων. 1511, 30.

μεθίστασθαί τισι καὶ μετελθεῖν παρ' Ὁμήρῳ ἀντὶ τοῦ συνελθεῖν. 577, 42.

μεθόριον ὅτι ἐκ τοῦ μεσόριον λέγεται τροπῇ τοῦ σ εἰς θ. 385, 1.

μέθυ ὁ οἶνος, παρὰ τὸ μεθήμονας ἤγουν ἀμελεῖς ποιεῖν τοὺς πίνοντας· καὶ ὅτι οὐ φύσει ἐστὶ τοιοῦτος, ἀλλὰ τῇ ὑπὲρ μέτρον εἰσδοχῇ. 660, 14. 692, 40. 693, 5. 764, 18. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ μεθίεσθαι εἰς ἄνεσιν καὶ εὐφροσύνην τοὺς ἀνθρώπους τὸ μέθυ λέγεται. 1473, 27.

μεθύειν τὸ μετὰ τὴν τροφὴν ὕεσθαι εἴτουν βρέχεσθαι οἴνῳ, ἢ μετὰ τὸ θύειν οἴνῳ χρῆσθαι. 890, 47. 50.

μεθύειν ἀλοιφῇ λέγεται βύρσα τροπικῶς Ἰλ. ρ', 390. ἀντὶ τοῦ πλήθειν λίπους. 1111, 43.

μεθυμναῖος ὁ Διόνυσος, ὅτι παρὰ τὸ μεθίεσθαι εἰς τρυφὴν καὶ ἄνεσιν δι' αὐτοῦ τοὺς ἀνθρώπους οὕτω λέγεται. 1473, 27.

μεθυόντων σύμβαμα, ὅτι οἱ μὲν οἴνῳ μεθυσθέντες ἐπὶ πρόσωπον φέρονται, οἱ δὲ τὸν κρίθινον πεπωκότες ὕπτιοι πίπτουσι, καὶ διὰ τί τοῦτο συμβαίνει. 1635, 15. 17.

Μεθώνη, πόλις Θρᾴκης ἢ Μακεδονίας, ἣν κατέσκαψε Φίλιππος ὁ Ἀμύντου, ὅτι παρὰ τὸ μέθυ, ὃ δηλοῖ τὸν οἶνον, οὕτως ἐκλήθη διὰ τὸ πολύοινος γεγονέναι· καὶ Μεθώνη πόλις Πελοποννήσου, ἡ καὶ καθ' ἡμᾶς οὕτω λεγομένη· καὶ Μεθώνη ἑτέρα Θεσσαλική, ἣν Ὅμηρος Μηθώνην καλεῖ ἐν τῷ τῶν ὑπὸ τῷ Φιλοκτήτῃ καταλόγῳ. 328, 36. καὶ ὅτι ἡ Πελοποννησιακὴ Μεθώνη καὶ Πήδασος ἐκλήθη ποτέ. 623, 27. ζήτει τὸ Πήδασος.

μει συλλαβὴ ἀρκτικὴ καὶ μέση λέξεων ἐκ πλεονασμοῦ ἔχουσα τὸ ι, οἷον μέλιχος μείλιχος, θεμέλιον θεμείλιον. 1340, 17.

μειδῆσαι ἀντὶ τοῦ μειδιᾶσαι. 1270, 21.

μειδίαμά ἐστι γέλως ἠρεμαῖος συννοίᾳ κεκραμένος. 567, 15.

μειδιῶ ὅτι παρὰ τὸ μειδῶ δοκεῖ παρῆχθαι. 1090, 6.

μειδῶ μειδήσω, ἴσον τῷ μειδιῶ μειδιάσω. 650, 60.

μείζων, ὅτι παρὰ τὸ μέγας γίνεται συγκριτικὸν μεγάτερος, ὃ καὶ μεγίων καὶ μέσσων λέγεται, καὶ Βοιωτικῶς μέζων, καὶ ἐπελεύσει τοῦ ι μείζων. 1930, 44.

μείλια καὶ ἐπιμείλια παρ' Ὁμήρῳ τὰ διδόμενα τῷ ἀνδρὶ παρὰ τῆς νύμφης δῶρα, ὅτι παρὰ τὸ μειλίσσειν λέγονται. 742, 56.

μειλίγματα κυνῶν τὰ μειλίσσοντα τοὺς κύνας. 1655, 43.

μείλινον τὸ ἐκ ξύλου μελίας μετουσιαστικῶς, καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ἐν τῇ διφθόγγῳ ι. 986, 15 1823, 16.

μειλίσσειν γενικῇ ἐλλιπῶς τῆς διὰ ἐν τῷ, πυρὸς μειλισσέμεν ὦκα, Ἰλιάδ. η', 410. ἐν δὲ τῷ, τραπέζῃ μειλίξαι, παρ' Ἡροδότῳ ἐντελῶς τε καὶ ἀπαθῶς συντέτακται. 688, 10. καὶ μειλίσσειν ἀντὶ τοῦ πρὸς ἀρέσκειαν λέγειν ἐν τῷ, μηδέ τί μ' αἰδόμενος μειλίσσεο, Ὀδυσσ. γ', 96. 1458, 48. καὶ ὅτι τὸ μειλίσσειν οἱονεὶ μελίσσειν λέγεται παρὰ τὸ μέλι. 1340, 18.

μείλιχα σῦκα, ζήτει ἐν τῷ, Διονύσου τοῦ Βακχέως πρόσωπον. 1964, 16.

μειλιχίῃ οὐσιωδῶς ἡ προσήνεια ἐνίοτε παρ' Ὁμήρῳ, συνήθως δὲ συζυγεῖ τῷ μειλίχιος ἐπιθέτῳ. 1040, 37.

μειλίχιος λόγος ὁ εἰρηνικὸς καὶ κατὰ γλυκύτητος ἰδέαν μεμεθοδευμένος. 805, 46. 1557, 12.

μείλιχος ὁ γλυκύθυμος ἄνθρωπος, οἱονεὶ μέλλιχος ἐπενθέσει τοῦ ι· καὶ ὅτι καὶ μειλίχιος λέγεται. 1122, 40. 1184, 55. 1340, 18.

μειουρία, πάθος ἔπους μειωθέντος κατὰ τὸ τέλος, ὃ καὶ μυουρία διὰ τοῦ υ ψιλοῦ γράφεται διὰ τὸ κατὰ μυὸς οὐρὰν συστέλλεσθαι τὸ ἔπος. 900, 7.

μεῖραξ ὅτι παρὰ τὸ εἴρω λέγεται πλεονασμῷ τοῦ μ. 182, 15. καὶ ὅτι καὶ θηλυκῶς λέγεται παρὰ τοῖς Ἀττικοῖς. 1390, 54.

μείρω τὸ μερίζω. 947, 16. 1200, 14.

μέλας σίδηρος, ὅτι κατ' ἐπικράτειαν ἐπιθετικὴν μέλας ὁ σίδηρος λέγεται. 1039, 24.

μέλδεσθαι κνίσση λέγεται λέβης παρ' Ὁμήρῳ ἀντὶ τοῦ τήκειν τὰ λίπη τοῦ κρέατος, καὶ ὅτι τὸ μέλδειν παρὰ τὸ τὰ μέλη δαίειν, ὅ ἐστι καίειν, λέγεται. 1241, 27.

Μελεαγρίδες αἱ Μελεάγρου ἀδελφαὶ εἰς ὄρνιθας μεταμορφωθεῖσαι, μῦθος. 774, 34.

Μελέαγρος κύριον, ἐτυμολογία τοῦ ὀνόματος, καὶ ἱστορία περὶ τῆς τοῦ Καλυδωνίου κάπρου θήρας, καὶ τοῦ πρὸς Ἀκαρνᾶνας Αἰτωλῶν πολέμου, καὶ περὶ τῆς Μελεάγρου τελευτῆς· καὶ ὅτι ἡ Μελεάγρου ζωὴ ὅρον εἶχε δαλὸν δοθέντα τῇ ἐκείνου μητρὶ παρὰ τῶν Μοιρῶν, καὶ ἀλληγορία τοῦ τοιούτου μύθου. 312, 9. 770, 20. 773, 54. 774, 25. 35.

μελεδήματα αἱ φροντίδες καὶ λῦπαι, παρὰ τὸ τὰ μέλη ἔδειν, ὅθεν καὶ αἱ μελεδῶνες. 1513, 8.

μελεδὼν μελεδῶνος, ὅτι παρὰ τὸ τὰ μέλη ἔδειν λέγεται. 575, 8. καὶ ἀλλαχοῦ μελεδῶνες αἱ φροντίδες αἱ τὰ μέλη ἔδουσαι καὶ τήκουσαι. 1287, 58. καὶ ὅτι καὶ μελεδῶναι εὕρηται παρ' Ὁμήρῳ ἀπὸ τῆς μελεδώνη εὐθείας. 1874, 28.

μέλειν τὸ διὰ φροντίδος ὑπάρχειν. 1709, 64. καὶ ὅτι μέλει μοι τόδε καὶ τοῦδε λέγεται. 654, 38. καὶ ὅτι καὶ μέλει μοι θάνατος λέγεται κατὰ συνθήκην. 1343, 27.

μέλεον ἀκοντίσαι λέγεται παρ' Ὁμήρῳ ὁ ἁμαρτὼν τοῦ σκοποῦ. 149, 33. 1063, 5.

μέλεος ὁ μάταιος παρὰ τὸ μέλεσθαι, ὅ ἐστι φροντίζειν, λέγεται, ἑρμηνεία ἐπεξεργαστική. 819, 41.

μέλη κατὰ θηλυκὸν γένος εἶδός τι ποτηρίου, ὅτι παρὰ τὸ μέλος ἐνδέχεται λέγεσθαι. 868, 20.

Μέλης ποταμὸς ὅτι Ὁμήρου πατὴρ μυθεύεται διὰ τὴν πρὸς τὸ μέλι ὁμοιότητα τῆς λέξεως, ᾧ ἔοικεν ὁ Ὁμήρου λόγος διὰ τὴν προσοῦσαν αὐτῷ γλυκύτητα. 96, 25.

μελήσεται ἀντὶ τοῦ μελήσει Ἀττικῶς, οἷον ἐν τῷ, ἐμοὶ δέ κε ταῦτα μελήσεται, Ἰλιάδ. α', 523. 144, 3.

μελήσω ὅτι ἀπὸ τοῦ μελῶ θέματος κεκίνηται, ὡς ἀπὸ τοῦ θελῶ τὸ θελήσω καὶ τοῦ κελῶ τὸ κελήσω. 1659, 29.

μέλι ὅτι παρὰ τὸ μέλω λέγεται, καὶ ὅτι κηρίνην ὀπώραν ἐκάλεσέ τις τὸ μέλι. 1735, 49. καὶ ὅτι καθαρτικὴν χρονίων τραυμάτων καὶ συντηρητικὴν ἔχει δύναμιν. 1735, 16.

μελία φυτὸν ὅτι σπανίως ἐν τοῖς πεδινοῖς φύεται. 926, 59.

μελία τὸ δόρυ ὁμωνύμως τῷ δένδρῳ, καὶ μελίαι Νύμφαι παρωνύμως τοῖς δένδροις οἷς χαίρουσι, καὶ μελία εἶδος καρποῦ. 282, 13. 1210, 36. 43.

Μελίβοια, πόλις ὑπὸ τῷ Πηλίῳ, ὅτι ὑπὸ Μάγνητος ἑνὸς τῶν Αἰολιδῶν ἐκτίσθη. 329, 8. 338, 22.

μελιηδὴς θυμὸς ἡ φίλη ἑκάστῳ ψυχή. 820, 47.

μελίκηρις, εἶδός τι ἀμπέλου οὕτω λεγόμενον. 1656, 63.

μελίκρατον, παρ' Ὁμήρῳ μίγμα τι ἐκ μέλιτος καὶ γάλακτος, παρὰ δὲ τοῖς ὕστερον κρᾶμα μέλιτος καὶ ὕδατος. 1668, 23.

μελικῶν ὀργάνων προσηγορίαι τινές. 1157, 50.

μελίλωτον, ὅτι τὸ ἄνθος τοῦ Αἰγυπτίου κυάμου οὕτω λέγεται, ἐξ οὗ καὶ οἱ μελιλώτινοι στέφανοι. 1616, 51.

μέλινος ὁ ἐκ ξύλου μελίας μετουσιαστικῶς, ὃ καὶ μείλινος ἐπενθέσει τοῦ ι λέγεται. 1823, 15.

μέλισσα ὅτι παρὰ τὸ μήλοις ἐφιζάνειν λέγεται, μῆλα δὲ πάντες οἱ καρποί· ἢ παρὰ τὸ μέλω, ὡς καὶ τὸ μέλι. 773, 50. 1735, 48. καὶ Μέλισσα κύριον ὄνομα σοφῆς τινὸς γυναικός. 898, 2. καὶ περὶ τοῦ μέτρου τῆς ζωῆς τῶν μελισσῶν ἱστορία φυσική. 865, 13. καὶ περὶ τινῶν ἰδιωμάτων αὐτῶν. 179, 5. καὶ ὅτι αἱ δικαίως βιοτεύουσαι ψυχαὶ μέλισσαι ἀλληγορικῶς λέγονται Ὀδ. ν', 106. καὶ ἐπεξεργασία διεξοδικὴ τῆς ἀλληγορίας. 1735, 15. καὶ ὅτι εἰς μελίσσας κωμάζειν παροιμιακῶς λέγεται ὁ παραδόξως κακωθείς. 897, 57.

μελισσαία ταὐτὸ ὅπερ μέλισσα κατὰ παραγωγήν. 1758, 56.

Μελίτη, ὅτι οὕτως ἐκλήθη ποτὲ ἡ Σαμοθρᾴκη. 917, 18.

Μελίτη, Νηρηίς τις οὕτω λεγομένη παρὰ τὸ πολλοῖς αἰτίαν γλυκασμοῦ εἶναι τὴν θάλασσαν. 1130, 49.

Μελιτίδης, μωρός τις οὕτω καλούμενος, καὶ περὶ τῶν εὐηθειῶν αὐτοῦ ἱστορία. 1669, 51. καὶ ἀλλαχοῦ Μελιτίδης ἄνθρωπός τις ἐπὶ ἀφροσύνῃ διαβόητος, ὅτι παρὰ τὸ μέλι λέγεται τοὔνομα. 1735, 51.

μελιτόεσσα γαλήνη ὅτι ἐπιθετικῶς λέγεται. 1735, 52. ζήτει τὸ μελιτοῦττα.

Μέλιτος καὶ Μελιτίδης κύρια ὅτι παρὰ τὸ μέλι λέγονται. 1735, 51.

μελιτοῦττα, μελίπηκτόν τι πέμμα προσηγορικῶς, ὅτι ἐκ τοῦ μελιτόεσσα συνῄρηται τοὔνομα, ὅπερ ἐντελῶς λεγόμενον ἐπιθετικῶς λαμβάνεται, οἷον ἐν τῷ, μελιτόεσσα γαλήνη. 1735, 61.

μελίφρων οἶνος καὶ ὕπνος ὁ γλυκὺς κατὰ μέλι, ἢ ὁ μειλίσσων τὴν φρένα. 168, 31. 641, 19. 726, 36.

μέλλει ἀντὶ τοῦ ἔοικεν ἐν τῷ, κελευσέμεναι δέ σ' ἔμελλε δαίμων, ἀντὶ τοῦ ἐῴκει. 1496, 16.

μέλλειν, κατηγόρημα στοχαστικόν, ὅτι κατά τε ἐνεστῶτα λέγεται, οἷον ἐν τῷ, οὕτω που Διὶ μέλλει φίλον εἶναι, Ἰλ. β', 116. ἀντὶ τοῦ, ὡς ἔοικε φίλον ἐστί. 149, 33. καὶ κατὰ παρῳχημένον, οἷον, μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων ἔμμεναι, Ὀδ. α', 232. 149, 33. 1414, 11. καὶ ἔμελλεν ἀντὶ τοῦ ἐῴκει ἐν τῷ, κελευσέμεναι δέ σ' ἔμελλε δαίμων, ἀντὶ τοῦ ἐῴκει, Ὀδ. δ', 274. καὶ μέλλεις εὔχεσθαι, ἀντὶ τοῦ ὀφείλεις ἢ ἔοικας εὔχεσθαι, Ἰλ. λ', 364. 849, 32. 1216, 58.

μέλλοντες ὅτι ἀπὸ τῶν αὐτῶν τοῖς ἐνεστῶσι πνευμάτων ἄρχονται, πλὴν τοῦ ἔχω ἕξω. 1642, 60.

μέλλοντες δεύτεροι βαρυτόνων ῥημάτων εἰς ἐνεστῶτας ἀναδραμόντες περισπώμενα ποιοῦσι ῥήματα, οἷον στείβω ἔστιβον στιβῶ, ὅθεν στιβέω στιβῶ· γράφω, ὁ

μέλλων δεύτερος γραφῶ, ὅθεν ῥῆμα γραφέω γραφῶ γραφήσω γεγράφηκα· ὁμοίως ἔδραμον δραμῶ, ὅθεν δραμέω δραμῶ δραμήσω δεδράμηκα. 179, 34. 1126, 3.

μέλλοντες τῆς πέμπτης τῶν βαρυτόνων ὅτι διὰ τοῦ σω Αἰολικῶς προφέρονται. 23, 8. ζήτει τὸ, μελλόντων προσῳδία.

μελλόντων προσῳδία, ὅτι κοινῶς μὲν βαρύνονται οἱ ἐνεργητικοὶ πρῶτοι μέλλοντες πλὴν τῶν τῆς πέμπτης, οὓς καὶ αὐτοὺς βαρύνουσιν οἱ Αἰολεῖς διὰ τοῦ σω προφέροντες, οἷον φθείρω φθέρσω, κείρω κέρσω, οἱ δὲ Δωριεῖς περισπῶσι καὶ τοὺς κοινῶς βαρυνομένους μέλλοντας, πεσῶ καὶ κλαυσῶ λέγοντες, ὅθεν τὸ πεσεῖται καὶ κλαυσεῖται. 23, 8. 129, 23.

μελλόντων τῶν περισπωμένων ῥημάτων παραλήγουσα, ὅτι οἱ τῶν περισπωμένων ῥημάτων ἐκ τῆς ἐντελοῦς φωνῆς τῶν συστοίχων ἐνεστώτων προσλήψει τοῦ σ σχηματίζονται, διόπερ ἀναλογώτεροι ἐν μὲν τῇ πρώτῃ οἱ διὰ τοῦ εσω μέλλοντες, ἐν δὲ τῇ δευτέρᾳ οἱ διὰ τοῦ ασω, ἐν δὲ τῇ τρίτῃ οἱ τῷ ο μικρῷ παραλήγοντες, οἷον ὀμόσω, ἀρόσω, ὀνόσω, βόσω καὶ ἄλλα τινά. 1723, 7 — 15.

μέλλουσιν ἀντὶ τοῦ ἐοίκασι. 808, 34. ζήτει τὸ, μέλλειν κατηγόρημα.

μελόντων ἀντὶ τοῦ μελέτωσαν, οἷον ἐν τῷ, θάρσει μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων, πολλαχοῦ παρ' Ὁμήρῳ. 1169, 4. 1828, 14.

μέλπειν καὶ μέλπεσθαι ἐν ἴσῳ τῷ ᾄδειν, ὅτι παρὰ τὸ μέλει ἕπεσθαι λέγεται. 138, 27. 1078, 33.

μέλπεσθαι Ἄρηι τὸ ὡς οἷα τινὶ μολπῇ τῷ πολέμῳ χρῆσθαι, τουτέστι σὺν ἀλυπίᾳ καὶ θαῤῥαλεότητι πολεμεῖν. 1078, 33.

μέλπηθρα κυνῶν τὰ ὑποκείμενα εἰς βρῶσιν τοῖς κυσὶ παρὰ τὸ μέλπειν, διὰ τὸ τοὺς κύνας μὴ παραμόνως ἐσθίειν, ἀλλ' ὡς οἷα παίζοντας, ὃ δηλοῦται διὰ τοῦ μέλπειν ἀπ' ἄλλων εἰς ἄλλα μεταπηδᾶν· καὶ ὅτι μέλπηθρα κυνῶν, ὅ ἐστι παίγνια, γίνεσθαι παρ' Ὁμήρῳ λέγονται οἱ ἄταφοι νεκροί. 929, 15. 1629, 41.

μέλω τινὶ, ἤγουν ἐν ἐπιστροφῇ καὶ μελήσει γίνομαι ἀγαπώμενος. 1408, 22.

μέμαμεν ἐκ τοῦ μεμάκαμεν πρώτου προσώπου πληθυντικοῦ τοῦ μῶ μάσω μέμακα παρακειμένου γέγονε κατὰ συγκοπήν. 380, 37.

μεμαρασμένος ἀντὶ τοῦ μεμαραμμένος Ἀττικῶς. 1436, 53.

μέμασαν, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἀπὸ τοῦ μῶ μάσω θέματος, ὅθεν καὶ τὸ μαιμῶ, κεκίνηται. 661, 25.

μεμαυῖα ἔριδος, ἀντὶ τοῦ ἐπιθυμοῦσα, Ἰλ. ε', 732. 597, 44.

μεμαὼς μεμαότος μετοχὴ, ὅτι κοινῶς μὲν τρέπει τὸ ω εἰς ο μικρὸν ἐν ταῖς πλαγίαις, ἐκτείνει δὲ τὴν μα συλλαβὴν, Ἰωνικῶς δὲ ἀνάπαλιν φυλάσσει μὲν τὸ ω μέγα, συστέλλει δὲ τὴν μα συλλαβήν. 282, 38. 443, 29.

μέμβλεται ὅτι ἐκ τοῦ μεμέληται γέγονε συγκοπῇ καὶ πλεονασμῷ τοῦ β. 1187, 48.

μέμβλετο ὅτι ἐκ τοῦ μεμέλητο, ὅ ἐστι διὰ μελήσεως ἦν, γέγονε συγκοπῇ καὶ πλεονασμῷ τοῦ β. 1917, 7.

μέμβλω, ὅτι ἐκ τοῦ μέλω διπλασιασμῷ τρὶ μι γίνεται μέμλω, καὶ παρενθέσει τοῦ β πρὸς εὐφωνίαν μέμβλω. 1722, 63.

μέμβλωκεν ἀντὶ τοῦ μεμόληκεν, ἤγουν παρῆλθεν, ἐν τῷ, δὴ γὰρ μέμβλωκε μάλιστα ἦμαρ, Ὀδ. ρ', 190. 1814, 56.

μεμεθωδευμένος ὅτι κατὰ διπλῆν αὔξησιν λέγεται. 1325, 32.

μεμελοπεποιημένος ὅτι κατὰ διπλῆν αὔξησιν Ἀττικῶς λέγεται. 1325, 33.

μεμηκὼς, μετοχὴ μέσου παρακειμένου, ὅτι ἐκ τοῦ μεμωκηκὼς συγκέκοπται. 812, 7.

μέμηλα, μέσος παρακείμενος μιᾷ συλλαβῇ λειπόμενος τοῦ κοινοῦ, ὡς καὶ τὸ βέβουλα τοῦ βεβούληκα· δηλοῖ δὲ τὸ μέμηλα τὸ διὰ φροντίδος γίνομαι. 61, 22. 168, 8. ἀλλαχοῦ δὲ ὅτι τὸ μέμηλα ἐκ τοῦ μεμέληκα κατὰ συγκοπὴν λέγεται. 1403, 50.

μεμηλὼς πλούτου λέγεται παρ' Ὁμήρῳ ὁ ἐξ ἐπιμελείας πλούσιος. 597, 1.

μεμιστυλημένος, μετοχὴ τοῦ μιστυλᾶσθαι ῥήματος, ὃ καίπερ παρὰ τὸ μεῖστον, ὃ τὸ μι δίφθογγον ἔχει, γεγονὸς ὅμως διὰ τοῦ ι γράφεται, καὶ ἡ μετοχὴ ὁμοίως. 135, 11.

μεμίχθαι ἀντὶ τοῦ συγκεχυμένως καὶ ἀναμὶξ κεῖσθαι ἐνίοτε παρ' Ὁμήρῳ. 815, 51.

μεμνέῳτο εὐκτικὸν ὅτι ἐκ τοῦ μεμνέοιτο γέγονεν ἐκτάσει τοῦ ο, ἢ ἐκ τοῦ μεμνῷτο ἐπενθέσει τοῦ ε. 1305, 46. 1332, 19.

μέμνῃ, δεύτερον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ μέμνηαι συνῄρηται. 1003, 20.

μέμνημαι αἰτιατικῇ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, μέμνημαι τόδε ἔργον, Ἰλ. ι', 527. καὶ μέμνημαι τάδε πάντα, Ὀδ. ω', 122. καὶ γενικῇ, οἷον ἐν τῷ, εὖ μέμνητο Ὀδυσῆος, Ὀδυσσ. ω', 195. καὶ ὅτι καὶ ἀντὶ τοῦ ἐπιμελοῦμαι τίθεται τὸ μέμνημαι. 770, 3. 10. 1464, 15. 1954, 62. 1956, 56.

μέμνημαι τὸν δεῖνα, αἰτιατικῇ πρόσωπον σημαινούσῃ, οἷον, Τυδέα δ' οὐ μέμνημαι, Ἰλ. ζ', 222. 638, 26.

μεμνήμην εὐκτικὸν ὅτι ἀναλόγως ἐκ τοῦ μέμνημαι κεκίνηται, ὡς ἐκ τοῦ κέκλημαι τὸ κεκλήμην. 1373, 64.

μεμνῆσθαι εἰς φυγὴν, φράσις ξένη παρ' Ὁμήρῳ ἐν τῷ, φύγαδε μνώοντο ἕκαστος, Ἰλ. π', 697. 1081, 60.

Μέμνων ὅτι Τιθωνοῦ καὶ Ἡμέρας υἱὸς γεγονέναι μυθεύεται. 128, 42. ἀλλαχοῦ δὲ ὅτι Ἠοῦς καὶ Τιθωνοῦ. 1491, 9. καὶ ὅτι ἀνδρεῖόν τινα ἄνθρωπον ὑπαγορεύει τοὔνομα. 59., 18. καὶ ὅτι τρέπει τὸ ω εἰς ο ἐν ταῖς πλαγίαις, τὸ δὲ Μένων Μένωνος φυλάσσει αὐτό. 899, 11.

μεμολυσμένος λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ μεμολυμμένος. 1436, 53.

μεμορημένος ἀντὶ τοῦ κακοπαθῶν, ὅτι παρὰ τὸν μόρον, ὃ

δηλοῖ τὴν κακοπάθειαν, λέγεται. 467, 34.

μεμορυγμένος, ἤγουν μεμολυσμένος καὶ πεφυρμένος ἢ ἠφανισμένος, παρὰ τὸν μόρον, ὅθεν μορίσσω ῥῆμα. 1746, 33.

μεμυζὼς μεμυζότος, μετοχὴ τοῦ μέμυζα μέσου παρακειμένου, ὃς ἀπὸ τοῦ μυζῶ περισπωμένου θέματος κεκίνηται. 1746, 19.

μεμυκέναι, ὅ ἐστι ποιὸν ἦχον ἀποτελεῖν, λέγεται δάπεδον Ὀδ. κ', 227. καὶ βροντὴ δὲ καὶ θύρα ἀλλαχοῦ παρ' Ὁμήρῳ μεμυκέναι λέγονται. 1655, 54.

μεμυκὼς μέσου παρακειμένου, ὃς ἐκ τοῦ μεμύκηκα κοινοῦ συγκέκοπται. 1165, 31.

μεμψίμοιρος ὅτι παρὰ τὸ μοῖρα λέγεται, ὃ δηλοῖ τὸ προσῆκον. 1770, 55.

μεν λήγοντα ῥήματα ἀπαθῆ ὅτι ἀεὶ πρὸ τοῦ μεν ἔχει φωνῆεν. 734, 57. καὶ ἀλλαχοῦ ὅτι τὰ εἰς μεν λήγοντα πρῶτα πρόσωπα ῥηματικὰ οὐκ ὀφείλουσιν ἔχειν σύμφωνον πρὸ τοῦ μ. 780, 33.

μὲν σύνδεσμος ἀναπόδοτος ἐν τῷ, ἐπεὶ ὕρ σέ γε θυμὸς ὀτρύνει ἐπὶ νῆας ἐμεῖο μὲν οὐκ ἐθελούσης, Ἰλ. ω', 289. 1351, 13.

μὲν σύνδεσμος ὅτι οὐδέποτε πίπτει ἐν ἀρχῇ λόγου. 50, 11. καὶ ὅτι καὶ ἀντὶ τοῦ μὴν ἐνίοτε τίθεται. 32, 12. 81, 20.

μενεαίνειν τὸ προθυμεῖσθαι καὶ τὸ θυμοῦσθαι. 586, 34. 1336, 64.

Μενεκράτης, Συρακούσιος ἰατρὸς, Ζεὺς ἐπικληθεὶς, ἱστορία διεξοδική. 776, 31. 859, 63.

Μενελαΐτης νομὸς κατ' Αἴγυπτον ὅτι ἀπὸ Μενελάου ἔσχε τοὔνομα. 1509, 36.

Μενέλαος χρησάμενος τῷ ἐν Δελφοῖς χρηστηρίῳ περὶ τῆς εἰς Ἴλιον στρατείας, ἱστορία. 1466, 54. 59.

Μενελάου καὶ Ἑλένης παίδων ὀνόματα, ἱστορία. 400, 32.

μένεος γενικὴ ἐκτείνουσά ποτε τὴν λήγουσαν διὰ μέτρου χρείαν. 1269, 52.

μενεπτόλεμος ὁ σταδαῖος καὶ σταθερὸς πολεμιστής. 337, 18.

Μενεσθεὺς, υἱὸς Πετεῶ τοῦ Ἀρνέως τοῦ Ἐρεχθέως τοῦ Πανδίονος, γενεαλογία καὶ ἱστορία· καὶ ὅτι ὁ Μενεσθεὺς ἡγήσατο Ἀθηναίων κατὰ τὰ Τρωικά. 281, 37.

Μενέσθης ὅτι οὐχ' ὁ αὐτὸς τὸ Μενεσθεῖ παρ' Ὁμήρῳ. 586, 44. καὶ ὅτι παρὰ τὸ μένος λέγεται, ὡς παρὰ τὸ ὄρος Ὀρέστης· καὶ ὅτι διὰ τοῦ σθ γράφεται, καὶ ὅτι συνήθως μὲν βαρύνεται, κατὰ δέ τινας ὀξύνεται. 596, 27.

μενέσται οἱ καὶ πενέσται, ἱστορία. 954, 41. ζήτει τὸ πενέσται.

μενεχάρμης, μενεπτόλεμος, μενεδήιος ὅτι ἰσοδυναμοῦσιν ἀλλήλοις, καὶ ὅτι ὁ μενεχάρμης καὶ μενέχαρμος λέγεται. 772, 11.

μενη λήγοντα προσηγορικὰ ὀξυνόμενα πρὸς διαστολὴν μετοχῶν, οἷον δεξαμενὴ, εἰαμενή. 1228, 26.

μενη θηλυκῶν καὶ μενος ἀρσενικῶν ληγόντων ὀξυτόνων ἀναλογία, οἷον εἰαμενὴ, δεξαμενὴ, Τισαμενὸς, Ὀρχομενός. 501, 8.

μενης λήγοντα κύρια ὅτι φιλοῦσι βαρύνεσθαι, οἷον Πυλαιμένης· ἔνια δὲ καὶ ὀξύνονται, οἷον Εὐμενής. 583, 32.

μενης λήγοντα ὀνόματα, τῇ αι διφθόγγῳ προπαραληγόμενα, ὅτι ἐξ ἐπενθέσεως ἔχουσι τὸ ι τῆς προπαραληκτικῆς διφθόγγου, οἷον Πυλαιμένης, Ἰχθαιμένης. 422, 34.

μενοεικέα δῶρα, οἷς τὸ μένος τινὸς εἴκει. 1176, 29. καὶ μενοεικὲς βρῶμα τὸ ἐπαρκοῦν τῷ μένει. 1529, 4. καὶ μενοεικὴς δαὶς, ἢ τὸ μένος εἴκει διὰ τὸ αὔταρκες, ἢ ἡ εἴκουσα τῷ φυσικῷ μένει. 750, 13.

μενοινᾶν τὸ ὁρμᾶν καὶ ἀντὶ τοῦ ἁπλῶς κινεῖσθαι. 1007, 8.

μενοινὴ, μένος νοῦ, δι' οὗ ἀΐσσει νοῦς εἰς ἔργον. 1007, 8.

Μενοίτιος, υἱὸς Ἄκτορος ἐξ Αἰγίνης, ὅτι παρὰ τὸ μένος λέγεται πλεονασμῷ τοῦ ι. 113, 4.

μενος λήγοντα κύρια ὀξυνόμενα πρὸς διαστολὴν μετοχῶν, οἷον Τισαμενὸς, Ἀλεξαμενός. 1228, 19.

μένος ἡ ψυχικὴ προθυμία. 372, 46. καὶ μένος ἐν ἴσῳ τῷ θυμὸς πολλαχοῦ παρ' Ὁμήρῳ. 1180, 6. καὶ ὅτι μένος σωματικόν τι, θάρσος δὲ ψυχικόν. 511, 30. καὶ ὅτι παρὰ τὸ μένειν λέγεται. 1260, 17.

Μέντης, ἡγεμὼν Κικόνων τῶν τοῖς Τρωσὶν ἐπικουρησάντων. 359, 17. 1096, 5. καὶ Μέντης ναύκληρος πολυΐστωρ, ᾧ συμπλέων Ὅμηρος ἱστορίαν συνῆγε. 1404, 25. καὶ ὅτι παρὰ τὸ μένειν λέγεται τοὔνομα. 1454, 46.

μέντοι ἰσοδυναμοῦν ἐνίοτε τῷ δὲ συνδέσμῳ. 72, 42.

μέντον ἀντὶ τοῦ μέντοι κατὰ γλῶσσαν, τροπῇ τοῦ ι εἰς ν, οἷον ἐν τῷ, οὐ μέντον κάμετόν γε μάχην ἀνὰ κυδιάνειραν. 727, 59. 1726, 26.

Μέντωρ Ἰθακήσιος, παρ' ᾧ ἐνοσοκομήθη Ὅμηρος, ὅτε ἐνόσησε τοὺς ὀφθαλμοὺς, ἱστορία. 1404, 26. καὶ ὅτι ἐκ τοῦ Μέντης γέγονε τοὔνομα, ὡς ἐκ τοῦ ἡγητὴς τὸ ἡγήτωρ. 1454, 47.

μενῶ, ῥῆμα περισπώμενον ἐν ἴσῳ τῷ μένω, ὅτι μενέσω καὶ μενήσω κατὰ τὸν μέλλοντα λέγεται. 1680, 55.

Μένων Μένωνος, τὸ ο μέγα, Μέμνονος δὲ μικρόν. 899, 11.

μέργειν ἐν ἴσῳ τῷ ἀμέργειν, καὶ ὅτι ἄδηλον ὁπότερον αὐτῶν προϋπάρχει θατέρου. 1608, 55.

μέρδειν τὸ ὁρᾶν, ἀμέρδειν δὲ τὸ στερεῖν, οἷον ἐν τῷ, ὀφθαλμῶν μὲν ἄμερσε, Ὀδ. θ', 64. 228, 22. 26. 936, 6. 1585, 64.

μέρη ὁμωνυμοῦντα τῷ ὅλῳ, οὐ εἰσι μέρη, οἷον ἐλέφας τὸ ὀστοῦν ὁμωνύμως τῷ ζῴῳ, οὗ ἐστιν ὀστοῦν. 455, 42. καὶ ὅτι καὶ τὰ μέρη μεταδιδόασί ποτε τῆς ἑαυτῶν ὀνομασίας τῷ ὅλῳ, οἷον οἱ κύαμοι μελανόχροες λέγονται ἀπὸ τοῦ ἐν αὐτοῖς βραχέος μέλανος. 948, 29.

μέρη συνεκφωνούμενα τοῖς ὅλοις, ὧν ἐστι μέρη διὰ τὸ ἀξιόλογον αὐτῶν, οἷον εἰς Κύπρον εἰς Πάφον. 1012, 15. ἀλλαχοῦ δὲ ὅτι τὰ τῶν μερῶν ὀνόματα ἐπὶ τινῶν τοπογραφιῶν ἐπάγονται τοῖς ὅλοις πρὸς ἀφορισμὸν τοῦ ποῦ τῶν τόπων ἐγένετό τι, οἷον ἐν τῷ, ἤδ' ἄρα Κύπρον ἵκανεν ἐς Πάφον, Ὀδ. θ', 362. καὶ, Ἴδην δ' ἵκανε Γάργαρον, Ἰλ. θ', 47.

ἤγουν κατὰ τὸ Γάργαρον τῆς Ἴδης. 1600, 49.

μερίζω ὅτι ἐκ τοῦ μείρω παραγώγως λέγεται. 1766, 52.

μερικὰ καὶ ὡρισμένα τινὰ περιστατικὰ ὅτι μειοῦσι τοὺς ἐπαίνους. 1904, 8. καὶ ὅτι ἐκ τοῦ μερικοῦ συνάγεταί ποτε τὸ καθόλου πιθανολογικῶς. 90, 43.

μέριμνα ὅτι παρὰ τὸ μερίζειν λέγεται, ὅθεν καὶ τὸ μερμηρίζειν. 1881, 8.

μερισμὸς συντάξεως, ὅτι Ὅμηρος δυσὶν ὀνόμασι προηγησαμένοις ἕτερα δύο κατὰ μερισμὸν συντάξεως μέλλων ἐπαγαγεῖν ποτὲ μὲν τὸ πρῶτον τοῦ μερισμοῦ πρὸς τὸ πρῶτον τῶν προηγησαμένων ἀποδίδωσι, οἷον, τῶν μὲν ἄρ Ἀμφίμαχος καὶ Θάλπιος ἡγησάσθην, υἷες ὁ μὲν Κτεάτου, ὁ δ' Εὐρύτου Ἀκτορίωνος, Ἰλ. β', 620. ποτὲ δὲ τὸ μὲν πρῶτον πρὸς τὸ δεύτερον, τὸ δὲ δεύτερον πρὸς τὸ πρῶτον, οἷον, ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν ὀλλύντων τε καὶ ὀλλυμένων, Ἰλ. δ', 450. θ', 64. 1002, 15.

μέρμερα ἔργα λέγονται, ὧν μέλει τισί. 788, 63. ἀλλαχοῦ δὲ ὅτι μέρμερα ἔργα παρ' Ὁμήρῳ τὰ καὶ μητιόεντα, ὅ ἐστι βουλῆς δεόμενα πρὸς ἔκκλησιν. 1493, 42.

μερμερίζειν ἐν ἴσῳ τῷ μερμηρίζειν ἐνίοτε παρ' Ὁμήρῳ. 822, 13. ἀλλαχοῦ δὲ ὅτι τὸ μερμερίζειν καὶ μέλεσθαι τῆς αὐτῆς ἐννοίας εἰσί. 788, 63.

Μέρμερος κύριον, καὶ μέρμερα ἔργα ἐπιθετικῶς, ὅτι παρὰ τὸ μερίζειν λέγονται. 1416, 9.

μέρμηρα ἡ φροντίς. 80, 22. 1333, 39. καὶ ὅτι τὸ μέρμηρα καὶ μερμηρίζειν ἐκ τοῦ μερίζειν λεγόμενα ἔτρεψαν τὸ ε εἰς η διὰ μέτρου ἀνάγκην. 1416, 10.

μερμηρίζειν τὸ μερίζεσθαι εἰς διαφόρους βουλὰς, ὅτι παρὰ τὸ μερίζειν λέγεται τροπῇ τοῦ ε εἰς η. 80, 17. 20. 1427, 41. ἀλλαχοῦ δὲ ὅτι μερμηρίζειν τὸ ἐπὶ διαφόροις ὑποκειμένοις βουλεύεσθαι. 81, 9. καὶ ἁπλῶς τὸ μελετᾶν καὶ σκέπτεσθαι. 1777, 45.

μέρμις, μήρινθος ἢ μίτος λεπτὸς, ὅτι παρὰ τὸ εἴρω ἤγουν διείρω γίνεται ἕρμις καὶ μέρμις, καὶ κλίνεται μέρμιθος ὡς ὄρνιθος. 1646, 28.

μέροπες ἄνθρωποι ἐπιθετικῶς ὅτι ἐντελῶς λέγεται, μέροπες δὲ κατὰ μόνας ἀτελῶς ἐπὶ τοιούτου σημαινομένου· καὶ μέροπες προσηγορικῶς εἶδος ὀρνίθων ποιῶν· καὶ Μέροπες ἔθνος τι ἐποικῆσαν Κῶν τὴν νῆσον. 97, 32 — 40. ζήτει τὸ Μέροψ.

Μερόπη, ὄνομα μιᾶς τῶν Πλειάδων. 1155, 53. καὶ ὅτι Μερόπη καὶ Μεροπηῒς ἐκλήθη ποτὲ Κῶς ἡ νῆσος ἀπὸ Μερόπων ἔθνους τινὸς οἰκήσαντος ἐν αὐτῇ, ἢ ἀπὸ Μέροπος, οὗ θυγάτηρ Κῶς, ἀφ' ἧς ἡ νῆσος ἐκλήθη. 318, 35.

Μεροπηῒς ἡ Κῶς, καὶ Μέροπες οἱ Κῷοι. 97, 40. ζήτει τὸ Μερόπη.

μέρος, ὅτι οὐκ ἔστιν ἀπὸ μέρους καλέσαι τὸ ὅλον, εἰ μὴ τὸ μέρος ἐκεῖνο εἴη λόγου ἄξιον. 713, 3. 948, 29. ζήτει τὸ, μέρη ὁμωνυμοῦντα.

μέρος συγκαταλεγόμενον τῷ ὅλῳ, οὗ ἐστὶ μέρος, οἷον ἐν τῷ, εἰς Κύπρον εἰς Πάφον. 305, 24. ζήτει τὸ, μέρη συνεκφωνούμενα.

Μέροψ, κύριον ὁμωνύμως τῷ προσηγορικῷ. 355, 6. καὶ ὅτι Μέροψ Κῷός τις ἄνθρωπος εἰς ἀετὸν μετεβλήθη, μῦθος. 1351, 29.

μέροψ ἄνθρωπος κατὰ συμπλοκὴν ὅτι ἐντελῶς λέγεται, μέροψ δὲ κατὰ μόνας ἀτελῶς. 1144, 4. ἀλλαχοῦ δὲ ὅτι καθόλου τοῖς ἀνθρώποις ἐπιτίθεται τὸ μέροψ. 1720, 35. ζήτει τὸ μέροπες.

— **μες** λήγοντα Δωρικῶς πρῶτα πρόσωπα ῥημάτων, οἷον πεποιήκαμες ἀντὶ τοῦ πεποιήκαμεν. 1892, 46.

μεσάγκυλον, εἶδος ἀκοντίου, ὅτι παρὰ τὴν ἀγκύλην, ὅ ἐστιν εἶδος ἀκοντίου, λέγεται τοὔνομα. 344, 14 — 25. ζήτει τὸ ἀγκύλη.

μέσων τινῶν λέξεων ἔκθεσις, οἷον δαίμων, πότμος, οἰωνὸς, τύχη, μοῖρα, συμφορὰ καὶ ἄλλα τινά. 200, 11. 705, 19.

μεσαιπόλιος ὁ μέσως πως ἔχων τὰς τρίχας καὶ μιξόθριξ. 360, 30. 937, 36. ὅτι ἐξ ἐπενθέσεως ἔχει τὸ ι τῆς διφθόγγου τοὔνομα. 422, 34.

μεσάκμιον τὸ τῷ κανόνι ὑποδεδεμένον, ὃ καλεῖται καῖρος. 1572, 1.

μέσατος ἐκ τοῦ μέσος, ὡς ἐκ τοῦ τρίτος τρίτατος, καὶ ὅτι μεσαίτατος λέγεται παρὰ τοῖς Ἀττικοῖς. 709, 45.

Μεσαύλιος, ὄνομα οἰκεῖον ἀγροτικῷ ἀνθρώπῳ, Ὀδυσσ. ξ', 449. 1767, 24.

μέσαυλον τὸ χώρημα τῆς αὐλῆς. 883, 45. ἀλλαχοῦ δὲ ὅτι μέσαυλον ἀγροτικὴ εἴτουν ποιμενικὴ κατοικία, ἢ καὶ ἔπαυλις, ὅ ἐστιν ἀγροτικὸς σταθμὸς, ὅτι παρὰ τὴν αὐλὴν λέγεται. 1337, 40. 1664, 27. καὶ ἀλλαχοῦ πλατύτερον ὅτι μέσαυλον, ἡ καὶ αὐλὴ καὶ αὖλις, καὶ ἐπὶ ἀνθρωπίνης οἰκήσεως λέγεται, καὶ ὅτι οἱ Ἀττικοὶ τὴν μέσην δυοῖν αὐλαῖν καὶ ἁπλῶς τὴν μέσην θύραν μέσαβλον καὶ μέταυλον λέγουσι, Ὅμηρος δὲ ἐπὶ ἀγροικικῆς κατοικίας εἴτουν ἐπαύλεως ἢ μάνδρας τίθησι τὴν λέξιν· καὶ ὅτι παρὰ τὸ μέσαυλον, καὶ κροῦμά τι μεταξὺ τῆς αὐλῆς αὐλούμενον μεσαύλιον λέγεται. 862, 14.

μεσηγυδορποχέστης ὁ μεσοῦντος τοῦ δόρπου ἀποπατῶν πρὸς τὸ πάλιν ἐμπίπλασθαι. 1837, 41.

μεσήεις μεσήεντος, ὅτι ἐκ τοῦ μέσος παραγώγως λέγεται. 904, 15.

μεσημβρία ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ β ἐκ τοῦ μεσημερία συγκοπέν. 548, 15.

μεσόγαιον Δωρικῶς ἀντὶ τοῦ μεσόγειον. 1648, 7.

μεσόδμαι οἴκων τὰ μεσόστυλα, ἢ τὰ μεταξὺ τῶν δοκῶν, ἢ τὰ διαφράγματα καὶ διαστήματα τὰ μεταξὺ τῶν κιόνων τῶν περὶ τοὺς τοίχους. 1854, 64. καὶ μεσόδμη ὁμωνύμως ἡ ὀπὴ, δι' ἧς ὁ ἱστὸς ἐνείρεται, παρὰ τὸ κατὰ τὸ μέσον τῆς νεὼς δεδομῆσθαι. 1452, 55.

μέσοι παρακείμενοι συστέλλοντες τὴν τρίτην συλλαβὴν Ἀττικῶς, οἷον ἐρηρότηκα, ἀλήλιφα, ἐρήριφα. 964, 33.

μέσοι παρακείμενοι τῇ οι διφθόγγῳ παραλήγοντες, οἷον οἶδα, δέδοικα, πέποιθα, λέλοιπα, ὅτι Αἰολικῶς οὕτω γράφονται, κοινῶς γὰρ ἂν διὰ τῆς ει. 853, 5.

μέσοι παρακείμενοι ὅτι μιᾷ συλλαβῇ λείπονται τῶν ἐνεργητικῶν ἐν τοῖς περισπωμένως κλινομένοις ῥήμασιν, οἷον ὤλεκα ὦλα. 1523, 40. ζήτει ἐν τῷ, παρακειμένων ἰσοσυλλαβία.

μέσοι παρακείμενοι ὅτι ἐπὶ μὲν τῶν βαρυτόνων ἰσοσυλλαβοῦσι τοῖς ἰδίοις ἐνεργητικοῖς, ἐπὶ δὲ τῶν περισπωμένων μιᾷ λείπονται συλλαβῇ. 669, 20.

μέσοι χρόνοι ὅτι ἐπαμφοτερίζουσι τῇ σημασίᾳ. 1846, 30.

μεσόμφαλοι φιάλαι, αἳ καὶ βαλανειόμφαλοι, ὧν οἱ θόλοι ἐοίκασι τοῖς τῶν βαλανείων ὀμφαλοῖς. 1261, 23.

μέσον ἦμαρ ἡ μεσημβρία πολλαχοῦ παρ' Ὁμήρῳ. 1833, 12.

μεσοπαγὲς ἔγχος καὶ δόρυ λέγεται τὸ ἐς ἥμισυ καὶ μέχρι μέσου ἐμπεπηγὼς τῇ γῇ. 1017, 49. 1229, 50.

μεσοπαλὲς ἔγχος τὸ ἕως τοῦ μέσου παλλόμενον ἤγουν κραδαινόμενον. 1229, 51.

μέσος παρακείμενος ὅτι τὸ τοῦ ἐνεστῶτος σύμφωνον ἔχει ἐπὶ τῶν βαρυτόνων καθόλου. 149, 1. 1183, 46. καὶ ὅτι καθαριεύει, ὅταν καὶ ὁ ἐνεστὼς καθαριεύει. 143, 6. καὶ ὅτι ἐπαμφοτερίζει τῇ διαθέσει, οἷον δέδορκα ἀντὶ τοῦ ὁρῶ, καὶ ἀντὶ τοῦ ὁρῶμαι. 1260, 2. ἀλλαχοῦ δὲ ὅτι ὁ μέσος παρακείμενος οὐκ ἀεὶ καὶ ἐνέργειαν καὶ πάθος ὁμοῦ σημαίνει, ἀλλὰ χωρὶς ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος. 191, 41.

μεσότητος ἐπιῤῥήματα εἰς ω̄ς λήγοντα ὅτι τὴν γραφὴν καὶ τὸν τόνον φυλάττει τῶν ἐξ ὧν ἂν γένωνται γενικῶν, πλὴν τοῦ ζαφελῶς καὶ ἑδρανῶς. 769, 21.

μέσου ἀορίστου πρώτου προστακτικὰ ὅτι συνηθέστερά εἰσι τῶν τοῦ ἐνεργητικοῦ, οἷον τὸ ἀνάτειλαι τοῦ ἀνάτειλον, καὶ τὸ νεῖμαι τοῦ νεῖμον. 1576, 17.

Μέσση ἡ Μεσσήνη παρ' Ὁμήρῳ κατὰ ἀποκοπήν. 294, 45. 295, 1. ζήτει τὸ Μεσσήνη.

Μεσσήνη, ὅτι μέρος τι τῆς Λακωνικῆς οὕτως ἐλέγετο ἐπὶ τῶν Τρωικῶν πρὸ τοῦ κτισθῆναι Μεσσήνην τὴν πόλιν, ἧς ἄποικος ἡ ἐν Σικελίᾳ Μεσσήνη· καὶ ὅτι ἐν δυσὶ σσ̄ γράφεται τοὔνομα, καὶ ὅτι ἔστι τις καὶ ἑτέρα Μεσήνη δι' ἑνὸς σ̄, ἑρμηνεία διεξοδική. 294, 44 — 295, 10. καὶ ἀλλαχοῦ ὅτι Μεσσήνη πόλις πάλαι μὲν Λακώνων ἦν, μετὰ δὲ τὴν τῶν Ἡρακλειδῶν κάθοδον εἰς Πελοπόννησον ἐπαύσατο τοῦ εἰς τὸ Λακωνικὸν τελεῖν· καὶ ὅτι καὶ Σικελίας ἐστὶ Μεσσήνη ἐν τῷ κατὰ τὴν Πελωρίδα ἄκραν κόλπῳ πόλις μεγάλη, Μεσσηνίων τῶν Πελοποννησιακῶν κτίσμα, ἣ καὶ Ζάγκλη ἐκλήθη ποτέ, καὶ ὅτι ἐν δυσὶ σσ̄ καθόλου γράφεται τοὔνομα. 1716, 10. 1899, 51.

Μεσσήνιοι ὅτι τὸ Μ στοιχεῖον ἐπίσημον εἶχον ἐπὶ ταῖς ἑαυτῶν ἀσπίσιν, ὡς οἱ Λακεδαιμόνιοι τὸ Λ· ζήτει ἐν τῷ, λ̄ τὸ στοιχεῖον. 293, 41.

μεστὸς, ἤγουν πλήρης, ὅτι παρὰ τὸ ἔω, ὅ ἐστι πληρῶ, λέγεται πλεονασμῷ τοῦ μ̄. 425, 34.

μέσφα ἀντὶ τοῦ μέχρι κατὰ γλῶσσαν ποιητικήν. 726, 39.

μέσων τινῶν τῇ σημασίᾳ λέξεων ἐκ τῆς σὺν καὶ διὰ προθέσεως ἀρχομένων κατάλογος, οἷον συμβάλλειν, διίστασθαι, συμπλοκή. 21, 33 — 46.

μέσων τινῶν ῥημάτων χρῆσις Ἀττικὴ ἀντὶ ἐνεργητικῶν, οἷον μελήσεται ἀντὶ τοῦ μελήσει, καὶ κατανεύσομαι ἀντὶ τοῦ κατανεύσω. 144, 2.

μετὰ πρόθεσις ὅτι ὑστεροχρονίαν δηλοῖ, οἷον ἐν τῷ μετασεύεσθαι καὶ ἑτέροις. 642, 3.

μετὰ ἀντὶ τῆς σὺν κατ' ἐναλλαγήν, οἷον ἐν τῷ μεθήμενος ἀντὶ τοῦ συγκαθήμενος, καὶ μετεῖναι ἀντὶ τοῦ συνεῖναι. 1400, 49.

μετὰ πρόθεσις δοτικῇ ἀντὶ τῆς ἐν κατ' ἐναλλαγὴν πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, μεθ' αἵματι καὶ κονίησιν, Ἰλ. ο', 118. 831, 24. 927, 58. 1008, 15. 1458, 39. 1794, 61.

μετὰ πρόθεσις ἀντὶ τῆς εἰς ἢ τῆς διὰ ἐν τῷ, ἐς Τεμέσην μετὰ χαλκόν, Ὀδ. α', 184. 1408, 63.

μετὰ πρόθεσις ἐν συνθέσει οὐδὲν προστιθεῖσα τῇ σημασίᾳ τοῦ ἁπλοῦ, οἷον ἐν τῷ μετάγγελος καὶ ἄλλοις τισί. 1009, 48.

μέτα πρόθεσις κατ' ἀναστροφὴν παροξυτονηθεῖσα ὅτι ἀντὶ τοῦ μέτεστι ῥήματος ἀκούεται. 74, 45.

μεθ' ὁμήλικας, παρ' Ὁμήρῳ ἀντὶ τοῦ καθ' ὁμήλικας, ἤγουν ἐν ὁμήλιξι. 1807, 12.

μεθ' ὕλην, παρ' Ὁμήρῳ ἀντὶ τοῦ εἰς ὀρεινὸν δάσος. 688, 37.

μετ' ἀνδράσιν, ἀντὶ τοῦ ἐν ἀνδρείοις. 1072, 39.

μετ' ἀνδρῶν ἵζειν ἀριθμῷ, ἤγουν ἐν τῷ τῶν ἀνδρῶν ἀριθμῷ καθῆσθαι, τουτέστιν εἰς ἄνδρας τελεῖν. 1693, 44.

μετ' ὀλίγον μέλλοντος χρόνου χρῆσις παρ' Ὁμήρῳ ἐν τῷ, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος, Ἰλ. μ', 358. καὶ ὅτι ἐντεῦθεν ἀφορμὴν ἔσχε τοῦ οὕτω λέγεσθαι τοὔνομα. 909, 24.

μετὰ δαῖτα, κατ' εὐωχίαν, ἢ διὰ δαῖτα. 1930, 39.

μετὰ δ' ἄστρα βεβήκει, Ὀδ. μ', 312. ἀντὶ τοῦ μετεβεβήκει τὰ ἄστρα, ἤγουν μετεκινήθη πρὸς δύσιν. 1723, 35.

μετὰ κάλλος, ἀντὶ τοῦ διὰ κάλλος ἐν τῷ, τήν ποτε Νηλεὺς γῆμεν ἑὸν μετὰ κάλλος, Ὀδ. λ', 282. 1484, 58.

μετὰ νῶτα βαλεῖν, ἀντὶ τοῦ μεταβαλεῖν τὰ νῶτα, ὅ ἐστιν εἰς φυγὴν τραπῆναι. 701, 46.

μετὰ ποσί, μεταξὺ τῶν ποδῶν. 1175, 22.

μετὰ στρατῷ, ἀντὶ τοῦ ἐν τῷ στρατῷ. 1256, 41.

μετὰ σφίσιν, ἤγουν ἐν ἑαυτοῖς, ὅτι καὶ μετά σφισι γράφεται ἐγκλιτικῶς Ἰλ. α', 368. 119, 29.

μετὰ Τυδέος υἱὸν ἔπουσαν, ἤγουν μεθέπουσαν τὸν υἱὸν τοῦ Τυδέως, Ἰλ. κ', 516. 821, 22.

μεταβαλεῖν τὰ νῶτα λέγονται οἱ εἰς φυγὴν τραπέντες. 701, 46. ζήτει τό, μετὰ νῶτα βαλεῖν.

μεταβάλλειν ἐν ἴσῳ τῷ παραφράζειν, ὅθεν καὶ μεταβολὴ ἡ παράφρασις. 1406, 17.

μεταβῆναι λέγονται τὰ ἄστρα, ἤγουν μετακινηθῆναι, πρὸς δύσιν δηλονότι, οἷον ἐν τῷ, ἦμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει, 'Οδ. μ', 312. 1723, 35.

μεταβολεῖς ὀβολῶν καὶ ἀλφίτων λέγονται οἱ ταῦτα καταλλάσσοντες. 1405, 10. 1406, 20.

μεταβολὴ ὅτι κοινῶς λέγεται ἐπί τε καιρῶν καὶ πράξεων παντοίων, οἷον ἐν τῷ, μεταβολὴ πάντων ἡδύ· καὶ ὅτι ἐλλιπής ἐστιν ἡ τοιαύτη φράσις. 1093, 51. 1799, 29.

μεταβολὴ ἐν ἴσῳ τῷ παράφρασις, καὶ ὅτι Διονύσιος ὁ Θρᾷξ τὴν Ὁμηρικὴν Ὀδύσσειαν παραφράσας μεταβολὰς Ὀδυσσείας τὴν τοιαύτην αὐτοῦ πραγματείαν ἐπέγραψε. 1406, 19.

μετάγγελος ἀντὶ τοῦ ἁπλῶς ἄγγελος, καὶ ὅτι περιττὴν ἔχει τὴν πρόθεσιν. 1009, 48. 1296, 7.

μεταδαίσεται, ἤγουν συνευωχηθήσεται. 1836, 16.

μεταδήμιος ἀντὶ τοῦ ἐνδήμιος. 1598, 51.

μεταδόρπιος ἀντὶ τοῦ ἐνδόρπιος, ἤγουν ἐπ' αὐτῷ τῷ δόρπῳ, ἐν τῷ, τέρπομ' ὀδυρόμενος μεταδόρπιος, 'Οδ. δ', 194. 1491, 32. 1598, 5.

μεταδρομάδην τρῶσαι τινὰ, παρ' Ὁμήρῳ ἤγουν μεταξὺ τρέχοντα, ἐπιτροχάδην δὲ ἀγορεύειν τὸ τροχαστικῶς λαλεῖν. 524, 33.

μέταζε, χρονικὸν ἐπίῤῥημα ἐκ τῆς μετὰ προθέσεως, ὅτι κανονικῶς προπαροξύνεται. 377, 6.

μετάθεσις χρόνου συλλαβικοῦ, οἷον ὤρορα ἀντὶ τοῦ ὄρωρα. 943, 47.

μεταΐζειν ἐν ἴσῳ τῷ συνίζειν, ὅ ἐστι συγκαθίζεσθαι. 1805, 15.

μεταίχμιον τὸ μεταξὺ δύο στρατευμάτων διάστημα, ὅτι παρὰ τὴν αἰχμὴν λέγεται. 516, 21. 833, 32. ἀλλαχοῦ δὲ ὅτι μεταίχμιον ἐκ τοῦ μεσαίχμιον τροπῇ τοῦ σ εἰς τ, καὶ ὅτι καὶ μεταιχμίῳ δύο φροντίδων εἶναι τροπικῶς λέγεται. 384, 46. 385, 2.

μετακάρπιον ὁ κοινῶς λεγόμενος καρπόχειρ. 1572, 38.

μετάκλισις, σχῆμα λόγου. 15, 29. ζήτει τὸ κλίσις ἢ μετάληψις.

μεταλαμβάνειν ἀντὶ τοῦ ἀλλάσσειν. 79, 17. 1601, 60. καὶ μεταλαμβάνειν ἀντὶ τοῦ μεταφράζειν καὶ ἑρμηνεύειν. 691, 22.

μετάληψις ἡ ἀλληγορία καὶ ἡ τῶν λέξεων ἑρμηνεία. 79, 45. 691, 23. καὶ ὅτι ἡ μετάληψις τρόπος τίς ἐστι ποιητικὸς, καθ' ὃν τὸ ἰσοδυναμοῦν τινὶ λέξει κατὰ τὴν σημασίαν ἀντὶ αὐτῆς ἐκείνης λαμβάνεται, οἷον παρὰ Θεοκρίτῳ ἡ Πηνελόπη Οὐδενὸς εὐνάτειρα λέγεται, ἀντὶ τοῦ Οὔτιδος Ὀδυσσέως, καὶ ὁ Τηλέμαχος μακροπτόλεμος ὁμοίῳ τρόπῳ· καὶ ὅτι καὶ σχῆμά τι ῥητορικὸν ἡ μετάληψις. 79, 11 — 46. καὶ μετάληψις σχῆμά τι συντάξεως, ὃ καὶ κλίσις καὶ μετάκλισις ὀρθώτερον λέγεται. 103, 28. ζήτει τὸ κλίσις. καὶ ὅτι καὶ ἡ μετωνυμία μετάληψίς τίς ἐστιν, ὡς ὅταν τὴν ἀηδόνα τὸ ὀρνίθιον Πανδαρέου κούρην Ὅμηρος λέγει. 1875, 35.

μέταλλα τὰ γεωρυχούμενα σώματα διὰ τὸ μετὰ τἄλλα τῶν κατὰ τὸν βίον χρησίμων ἐπινοηθῆναι τὴν ἔρευναν αὐτῶν, ὅθεν τὸ μεταλλᾶν ἀντὶ τοῦ ἐρευνᾶν καὶ πολυπραγμονεῖν, καὶ μεταλλεύειν τὸ μέταλλα ἐρευνᾶν. 148, 10. 1413, 58.

μεταλλᾶν τὸ πολυπραγμονεῖν, μεταλλεύειν δὲ τὸ μέταλλα ἐρευνᾶν, ζήτει ἐν τῷ μέταλλα. 148, 8. 1413, 55.

μεταλλεύειν τὸ μέταλλα ἐρευνᾶν, μεταλλᾶν δὲ τὸ πολυπραγμονεῖν, ζήτει ἐν τῷ μέταλλα. 148, 9.

μεταμάζιον στῆθος τὸ μεταξὺ τῶν μαζῶν μέρος τοῦ στήθους. 516, 21. 833, 31.

μεταμόρφωσις, μετατύπωσις μορφῆς εἰς ἕτερον χαρακτῆρα· καὶ μεταμορφοῦσθαι λέγονται οἱ ἀπὸ ἑτέρου σώματος εἰς ἕτερον μεταπίπτοντες. 1799, 30-38. καὶ ὅτι αἱ εἰς διάφορα ζῷα καὶ ἁπλῶς ὕλας τινὰς μεταμορφώσεις τοῦ Διὸς καὶ ἄλλων τινῶν θεῶν ἐπὶ φθορᾷ τινῶν γυναικῶν τὰς ὕλας ἐκείνας αἰτίας γεγονέναι τῆς φθορᾶς αἰνίττονται. 343, 17. καὶ ὅτι μεταμορφοῦσθαι εἰς ὅ τι ἂν βούλοιντο δύναμιν ἔχειν μυθεύονταί τινες, οἷον Περικλύμενος ὁ Νηλέως καὶ ἡ τοῦ Ἐρυσίχθονος θυγάτηρ καὶ ἡ Θέτις καὶ ὁ Πρωτεὺς, καὶ ἀλληγορία τῆς τοιαύτης μεταμορφώσεως. 1685, 61.

μεταμώλιον τὸ μάταιον, ὅτι παρὰ τὸ μὴ ὀνεῖν γίνεται μηόνιον καὶ κράσει μώνιον καὶ ἐν συνθέσει μεταμώνιον καὶ τροπῇ Ἀττικῇ τοῦ ν εἰς λ μεταμώλιον. 483, 5. 8. 1436, 59.

μετανάστης, μέτοικος καὶ μετὰ τὸ γεννηθῆναί που ἀναστατωθεὶς ἐκεῖθεν. 781, 17. 1045, 62. καὶ ὅτι τῷ νέῳ ῥήματι συστοιχεῖ, ὅθεν καὶ ὁ νόστος. 1047, 13.

μετάνιπτρον, κύλιξ διδομένη μετὰ τὸ νίπτρον εἴτουν μετὰ τὸ νίψασθαι. 1400, 61.

μεταπαύεσθαι καὶ μεταπαυομένους μάχεσθαι, ἐν ἴσῳ τῷ ἀμοιβαδὸν παρ' Ὁμήρῳ. 1110, 29.

μεταπαυσωλὴ συνθέτως ἢ καὶ παυσωλὴ ἐν ἁπλότητι, τουτέστι παῦσις. 1180, 5.

μεταπλασμὸς ποῖόν τί ἐστι καὶ ἐν ποίοις μέρεσι τοῦ λόγου γίνεται, ἑρμηνεία διεξοδικωτάτη. 58, 31 — 46. καὶ μεταπεπλασμένων τινῶν φωνῶν κατάλογος. 75, 19-36. καὶ ὅτι ὁ μεταπλασμὸς τῶν λέξεων οὐ μεταβιβάζει τοὺς τόνους αὐτῶν πλὴν ἐν τῷ μητιέτης μητίετα, καὶ ἄλλοις τισὶν ὀλίγοις Αἰολικῶς. 1407. ζήτει τὸ μητίετα.

μεταπλασμὸς ὅτι ἀπὸ τελικοῦ εἰς ὁμοιόπτωτον τελικὸν γίνεται, οἷον ἀλκὶ ἀπὸ τοῦ ἀλκῇ, καὶ ὄσσε ἀπὸ τοῦ ὄσσω, καὶ ἐρυσάρματες ἀπὸ τοῦ ἐρυσάρματοι. 75, 23.

μεταπλασμὸς αἰτιατικῶν καὶ δοτικῶν, οἷον ἴῶκα ἀντὶ τοῦ ἰωκὴν, καὶ κρόκα ἀντὶ τοῦ κρόκην, καὶ ἀλκὶ ἀντὶ τοῦ ἀλκῇ. 549, 12.

μεταπλασμὸς ἀρσενικῶν πληθυντικῶν εἰς οὐδέτερα ὁμοιάριθμα, οἷον οἱ κύκλοι τὰ κύκλα. 599, 18.

μεταπλασμὸς γένους ἀπὸ ἀρσενικοῦ εἰς οὐδέτερον, οἷον ὁ ζυγὸς τὸ ζυγὸν, καὶ ἀπὸ ἀρσενικοῦ εἰς θηλυκὸν, οἷον οἱ μηροὶ τὰ μηρὰ, ὁ Τάρταρος ἡ Τάρταρος. 108, 17. 835, 6.

μεταπλασμὸς εὐθειῶν, ὅτι αἱ εἰς ῑς λήγουσαι εὐθεῖαι εἰς ᾰ βραχὺ μεταποιοῦνται, οἷον ἱππότης ἱππότα καὶ τὰ ὅμοια, ὧν τινὰ καὶ προπαροξύνονται. 75, 19—36.

μεταπλασμὸς προστακτικῶν, ὅτι τῶν εἰς ε̄ προστακτικῶν τινὰ εἰς θι̅ μεταπλάττονται, οἷον ἴθι ἀπὸ τοῦ ἴε, καὶ ἄνωχθι ἀπὸ τοῦ ἄνωγε, καὶ κλῦθι ἀπὸ τοῦ κλύε. 33, 4.

μεταπλασμός, σχῆμα πάλης, ὃ καὶ παρακαταγωγὴ λέγεται, ἑρμηνεία διεξοδική. 1327, 12.

μεταπρέπειν ἀντὶ τοῦ ἐπῆρθαι, ὃ καὶ ἐκπρέπειν. 258, 46.

μεταπρεπὴς ἐν ἴσῳ τῷ ἐκπρεπής. 1147, 54.

μετασπών, ἤγουν ἐπιδραμὼν καὶ καταλαβών, ἐκ τοῦ μετέσπον ἀορίστου δευτέρου, οἷον ἐν τῷ, ποσὶ κραιπνοῖσι μετασπών, Ὀδ. ξ', 33. 1101, 56. 1749, 26.

μέτασσαι παρ' Ὁμήρῳ ἀντὶ τοῦ μέσαι κατ' ἐπένθεσιν τῆς τα συλλαβῆς, μέσας δὲ λέγει τὰς μεσήλικας ἢ τὰς μεταγεγενημένας, Ὀδ. ι', 221. 1625, 29. 34.

μετασσεύεσθαι τὸ μετά τινα ὁρμᾶν ἀκολουθοῦντα αὐτῷ, τουτέστι μεταδιώκειν. 641, 3.

μετάστασις εἴς τι δαιμόνιον ὅτι λυτικόν ἐστι πολλῶν ἀπορημάτων παρ' Ὁμήρῳ. 1496, 18.

μεταστεύειν ἐν ἴσῳ τῷ μετανοεῖν. 1495, 34.

μεσταστῆσαι τὸ μεταλλάξαι. 1347, 46. καὶ ἐν ἐναλλαγῇ μετασταθμῆσαι. 958, 22. 1625, 25.

μεταστοιχεὶ, ἤγουν ἐπὶ στίχον, στίχος δὲ ἡ ἐπὶ βάθος στάσις. 1305, 26.

μεταστρέφειν ἀντὶ τοῦ μεταποιεῖν καὶ μετατιθέναι. 1012, 60.

μετατρέπεσθαι ἐν ἴσῳ τῷ ἐντρέπεσθαι, ὅ ἐστιν ἐπιστρέφεσθαι. 72, 6. 83, 23. 901, 51.

μετατροπαλίζεσθαι παρ' Ὁμήρῳ τὸ καὶ ἐντροπαλίζεσθαι, ἤγουν ὀπίσω μεταστρέφεσθαι ἐν τῷ φεύγειν. 1203, 2.

μετατύπωσις, τρόπος ποιητικὸς, ὅταν ἀπὸ συνθέτου λέξις τις μετασχηματισθῇ εἰς ἁπλῆν. 75, 4. 626, 49.

μεταφορά, ὅτι δι' ἔνδειαν τῶν ἐπὶ τοῖς πράγμασιν ἰδίων ὀνομασιῶν εἰς χρῆσιν ἦλθον αἱ μεταφοραὶ, καὶ ὅτι εἷς τῶν ποιητικῶν τρόπων ἐστὶν ἡ μεταφορά, ὡς καὶ ἡ ὀνοματοποιία καὶ ἡ ὁμωνυμία καὶ ἡ ἀντονομασία, ἑρμηνεία διεξοδική. 39, 29. καὶ ἔκθεσις ὀνομάτων τινῶν μεταφερομένων ἀπὸ ἀνθρωπίνων καὶ ἁπλῶς ζωικῶν μερῶν ἐπὶ ἀψύχων τινῶν μέρη, οἷον παρειαὶ νεῶν, κορυφαὶ καὶ πόδες ὀρέων καὶ τὰ ὅμοια, ἑρμηνεία διεξοδικωτάτη. 308, 23—310, 27. καὶ ὅτι καὶ ἡ ἀκυρολογία μεταφορά τίς ἐστιν ἀφ' ἑνός τινος ἐπὶ ἕτερα ὁμοειδῆ, οἷον τὸ οἰνοχοεῖν νέκταρ, καὶ τὸ χειρονομεῖν τοῖς σκέλεσι. 159, 36. καὶ ὅτι δεῖ προσεῖναί τι ἀνάλογον ἐν ταῖς μεταφοραῖς πρὸς κακοζηλίας ἀποφυγήν. 1444, 45.

μεταφόρητος οἶκος τὸ πλοῖον αἰνιγματικῶς. 804, 50.

μεταφράζεσθαι τὸ μεταβουλεύεσθαι. 67, 25.

μετάφρασις ἐν ἴσῳ τῷ μετάληψις, ὅ ἐστιν ἑρμηνεία. 691, 23.

μετάφρενον τὸ μεταξὺ τῶν ὤμων ἀντικρὺ τοῦ στήθους διάστημα, καὶ ὅτι παρὰ τὸ ὄπισθεν ἀντικρὺ τῶν φρενῶν κεῖσθαι οὕτω λέγεται. 216, 35. 519, 45. 855, 31.

μεταχειρίζεσθαι, ὅτι οἱ παλαιοὶ μεταχειρίζειν ἔλεγον κατὰ φωνὴν ἐνεργητικήν. 1429, 25.

μετάχοιρα τὰ τῶν ὑῶν ὀψίγονα καὶ λειπογάλακτα. 1752, 10.

μετέασιν ἀντὶ τοῦ μετά τινα εἰσὶν ἐν τῷ, οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι, καὶ μετ' Ἀχιλλῆα, Ἰλ. η', 227. 678, 40.

μετέησι, ἤγουν σύνεστι καὶ συνυπάρχῃ, ὅτι ἐκ τοῦ μετέω κεκίνηται. 389, 1. 1275, 11.

μέτειμι ἀντὶ τοῦ μετὰ ταῦτα ἔρχομαι ἐν τῷ, ἴθ' ἐγὼ δὲ μέτειμι, κιχήσεσθαι δέ σ' ὀΐω, Ἰλ. ζ', 341. 645, 44.

μετεῖναι δοτικῇ ἀντὶ τοῦ συνεῖναι καὶ συναριθμεῖσθαι πολλαχοῦ παρ' Ὁμήρῳ. 1132, 31. 1400, 49.

μετειπεῖν τὸ μετὰ ταῦτα παραινετικῶς εἰπεῖν ἐν τῷ, ἀγορήσατο καὶ μετέειπεν, Ἰλ. α', 253. 98, 14.

μετεισάμενος ἀντὶ τοῦ μετελθών. 1107, 30. 37.

μετείω ἀντὶ τοῦ σύνειμι, ὅτι ἐκ τοῦ μετέω γέγονεν ἐπενθέσει τοῦ ῑ. 1275, 10.

μετελθεῖν δοτικῇ ἐν ἴσῳ τῷ συνελθεῖν πολλαχοῦ παρ' Ὁμήρῳ. 577, 43. 923, 27. 1400, 48. ἀλλαχοῦ δὲ ὅτι μετελθεῖν τὸ ἐκδικῆσαι παρὰ τοῖς μεθ' Ὅμηρον, παρ' Ὁμήρῳ δὲ τὸ ἐπί τι ἔρχεσθαι ἢ τὸ ὕστερον ἔρχεσθαι. 641, 64. 1244, 55. 1458, 15.

μετενεγκεῖν τὸ μετακομίσαι. 1603, 64.

μετενίσσετο, μετῆλθεν, ἐπορεύθη, τὸ νι̅ δίφθογγον ὡς ἀπὸ τοῦ νείω νείσω, ὃ παρὰ τὸ νέω, κατὰ δέ τινας διὰ τοῦ ῑ καὶ δύο σ̄ ὡς ἀπὸ τοῦ νίσσω. 1615, 34.

μετεξέφερον οἱ ἵπποι τοῦ δεῖνος, Ἰλ. ψ', 377. ἀντὶ τοῦ μετὰ τοὺς πρώτους προέτρεχον τῶν ἄλλων. 1306, 63.

μετέρχεσθαι ἐπὶ ἐκδικήσεως παρὰ τοῖς μεθ' Ὅμηρον, παρ' Ὁμήρῳ δὲ ἀντὶ τοῦ ἐπί τι ἔρχεσθαι. 641, 64. 1458, 15. ζήτει τὸ μετελθεῖν.

μετέσομαι δοτικῇ ἀντὶ τοῦ συνέσομαι. 476, 40. ζήτει τὸ μετεῖναι.

μετέσσυτο ἀντὶ τοῦ μετῆλθε καὶ συνώρμησεν ἢ μεθώρμησε. 1244, 35. 55.

μετέωρος ὁ εἰς ἀέρα κουφισθεὶς, ὅτι παρὰ τὸ ἀείρω λέγεται ἐν συνθέσει τῆς μετὰ προθέσεως, καὶ ὅτι τὸ τε̅ διὰ τοῦ ε̄ ψιλοῦ ἔχει, σκευωρία διεξοδική. 389, 43. 695, 55.

μετήορος ταὐτὸ ὅπερ μετέωρος παρὰ τοῖς ποιηταῖς, καὶ ὅτι παρὰ τὸ ἀείρω, ὃ δηλοῖ τὸ κουφίζω, καὶ αὐτὸ λέγεται, καὶ ὅτι ἀναλογώτερον ἢ τὸ μετέωρος ἐσχημάτισται. 695, 53. 1587, 19.

μέτοικοι ὅτι ἀτιμότεροι τῶν αὐτοχθόνων ἐνομίζοντο, διότι ὡς τὰ πολλὰ διὰ τρόπων μοχθηρίαν καταλείπουσι τὰς ἑαυτῶν πατρίδας οἱ ἄνθρωποι. 1045, 60.

μετοίχεσθαι αἰτιατικῇ ἀντὶ τοῦ

μετέρχεσθαι, ἤγουν πρός τινα ἔρχεσθαι, οἷον ἐν τῷ, κῆρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν, Ὀδ. θ', 47. 1584, 59.

μετόπισθεν ἐν ἴσῳ τῷ μετέπειτα, ὅ ἐστιν ὕστερον, ἐν τῷ, ἅμ' αὐτίκα καὶ μετόπισθεν, Ὀδ. ξ', 403. 749, 53. 1691, 26. 1765, 16.

μετόπωρον, ὅτι ὀπώρα λέγεται τὸ τελευταῖον μέρος τοῦ θέρους, μεθ' ὃ τὸ μετόπωρον. 1255, 3.

μετουσιαστικά, ὅτι τὰ ἀπὸ μετάλλων λεγόμενα μετουσιαστικά, οἷον χρύσεος, χάλκεος, διαφέρει τῷ τύπῳ τῶν ἀπὸ ἑτέρων σωμάτων λεγομένων, οἷον πεύκινος, δρύινος. 1776, 50.

μετοχαὶ ἀντὶ ὀνομάτων κατὰ ἀντιμέρειαν εἴτουν ἐναλλαγὴν τῶν τοῦ λόγου μερῶν. 44, 32.

μετοχαὶ ἀντὶ τῶν συστοίχων ὁριστικῶν κατ' ἔλλειψιν ὑπαρκτικοῦ ῥήματος, οἷον ἐν τῷ, ἀλλ' ὃς μὲν ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθώς, Ἰλιάδ. ψ', 319. 714, 60. 1303, 14. 1338, 17.

μετοχαὶ εἰς ῥῆμα καὶ σύνδεσμον ὑποθετικὸν ἀναλυόμεναι, οἷον οὐδεὶς κοιμώμενος τρόπαιον ἱστᾷ, ἤγουν ἐὰν κοιμᾶται. 753, 24.

μετοχαὶ θηλυκαὶ παθητικαὶ πτώσεως εὐθείας τῶν πληθυντικῶν ὅτι εἰς η μεταποιοῦνται παρὰ Βοιωτοῖς, οἷον λεγομένη καὶ ποιουμένη ἀντὶ τοῦ λεγόμεναι καὶ ποιούμεναι. 365, 31.

μετοχαὶ ῥημάτων εἰς αἰτιατικὴν μεταβαινόντων, γενικῇ αὐταὶ συντασσόμεναι, οἷον τὸ διδασκόμενος πολέμοιο καὶ τὰ ὅμοια. 1088, 30.

μετοχαὶ τρεῖς ἐπιθετικαὶ ἀσύνδετοι ἐν μιᾷ περιόδῳ, οἷον ἐν τῷ, ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο, ὄζῳ ἔνι βλαφθέντε, ἄγκυλον ἅρμα ἄξαντε, αὐτὼ μὲν ἐβήτην, Ἰλ. ζ', 38—40. 623, 34.

μετοχὴ ἀρσενικὴ θηλυκῷ προσηγορικῷ ἐπιτιθεμένη, οἷον ἐν τῷ, ψυχὴ Τειρεσίου ἔχων σκῆπτρον, ἀντὶ τοῦ ἔχουσα. 878, 48.

μετοχὴ ἀρσενικῶς ἐσχηματισμένη, ἀρσενικῷ καὶ θηλυκῷ προσηγορικοῖς κατὰ σύλληψιν ἐπιτιθεμένη, οἷον ἐν τῷ, οἱ δ' ἰύζοντες ἕποντο ἀνέρες ἠδὲ γυναῖκες, Ὀδυσσ. ο', 162. 1778, 26.

μετοχὴ ἀρσενικῶς ἐσχηματισμένη, ἐπιτιθεμένη δυσὶ θηλυκοῖς προσηγορικοῖς, οἷον, Ἥρα καὶ Ἀθηνᾶ πληγέντε. 723, 14.

μετοχικὴ πλαγία μεταξὺ δοτικῆς καὶ ἀπαρεμφάτου, τῷ ἀπαρεμφάτῳ προσνεμομένη κατ' αἰτιατικὴν μᾶλλον ἢ τῇ δοτικῇ, ᾗ ὤφειλεν ὁμοιοπτωτεῖν, οἷον ἐν τῷ, αἰεί σοι φίλον ἐστὶ κρυπτάδια φρονέοντα δικαζέμεν, Ἰλ. α', 542. 147, 5.

μετοχῶν πλάγιαι ἀνομοιοπτώτως ἐπιτιθέμεναι ὀνόμασιν ἢ ἀντωνυμίαις, οἷον ἐν τῷ, ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ δεισάντων, Ὀδ. ι', 256. 1073, 57.

μετοχῶν συνθέτων προσῳδία, ὅτι οὐδεμία μετοχὴ ἐν συνθέσει ἀναβιβάζει τὸν τόνον. 1097, 64.

μέτρα παρ' Ὁμήρῳ ξέσται τινὲς ἐν τῷ, τέσσαρα μέτρα κεχανδότα, Ἰλ. ψ', 268. 1299, 47.

μετρεῖν πέλαγος τὸ διαπεραιοῦσθαι ἐκ τοῦ παρακολουθοῦντος, ἢ ἀντὶ τοῦ μεταίρειν. 1462, 61.

μετρεῖσθαί τις λέγεταί τι παρὰ γείτονος παρ' Ἡσιόδῳ ἀντὶ τοῦ μέτρῳ λαμβάνειν ὡς ἀποδώσων τοσοῦτον, χρήσασθαι δὲ ἱμάτιον ἢ σκεῦος. 1729, 39.

μετρία συγχώρησις, σχῆμα λόγου ὑποθετικοῦ, ἐν ᾧ ἀναιρουμένου τοῦ ἡγουμένου ἀναιρεῖται καὶ τὸ ἑπόμενον. 908, 9.

μετρικὴ ἀνάγκη ὅτι ἀδυνατεῖν ποτὲ ποιεῖ τὰ δισύμφωνα καὶ μὴ ἐκτείνειν τὴν πρὸ αὐτῶν βραχεῖαν συλλαβήν, οἷον ἐν τῷ, οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης. 449, 15.

μετρικὸν παράγγελμα τὸ τοὺς πόδας τοῦ ἔπους μὴ καταλήγειν εἰς μέρος λόγου, ἀλλ' οὕτω συνδεδέσθαι ὥστε διχοτομεῖν τὰς λέξεις, οἷον τό, Ἰλιό|θέν με φέ|ρων ἄνε|μος Κικό|νεσσι πέ|λασσεν. 740, 2.

μετριολογεῖσθαι ἐν ἴσῳ τῷ σμικρολογεῖσθαι. 1689, 51.

μέτρον, ὅτι καὶ τὸ σκεῦος, ᾧ μετρεῖταί τι, καὶ τὸ μετρούμενον μέτρον λέγεται. 1729, 38. καὶ ὅτι τὸ μέτρον καὶ περὶ ξηρῶν ὡς καὶ περὶ ὑγρῶν λέγεται. 1450, 17. καὶ ὅτι καὶ ἐπὶ τάξεως τίθεταί ποτε τὸ μέτρον κατά τινας. 205, 2.

μέτρων προσηγορικὰ ὀνόματα αὐτά τε τὰ μετρητικὰ ὄργανα σημαίνοντα καὶ τὴν τῶν μετρουμένων σωμάτων ποσότητα, οἷον κοτύλη, χοῖνιξ, μέδιμνος. 740, 28. 1782, 55.

μέτρων τινῶν εἴτουν μετρικῶν σκευῶν προσηγορίαι, οἷον χοῖνιξ, ἀχάνη, ἀρτάβη, ἄδδιξ, ἑκτεύς, ἡμίεκτον. 1854, 10.

μετωνυμία ἢ μετάληψις, τρόπος τις ποιητικός, οἷον ὅταν τὴν ἀηδόνα τὸ ὀρνίθιον Πανδαρέου κούρην λέγει Ὅμηρος διὰ τὴν ποτὲ ἄνθρωπον Ἀηδόνα, ἐξ ἧς ἡ μεταμόρφωσις εἰς τὸ ὀρνίθιον γέγονε. 1875, 34. καὶ ἄλλα τινὰ παραδείγματα καὶ ὑπογραφαὶ τοῦ τρόπου. 250, 19. 354, 26. 1450, 21.

μετώπιον τὸ μέτωπον ἢ τὸ μεσόφρυον παρ' Ὁμήρῳ, ὅτι ἢ συντέθειται κατὰ τὸ ἐνώπιον ἢ ἀπὸ τοῦ μέτωπον παρῆκται. 833, 31. 1084, 23. μετώπιον ὁμωνύμως μῦρόν τι Αἰγύπτιον σκευαζόμενον ἐξ ἐλαίου καὶ καρύων. 975, 6.

μέτωπον τὸ μετὰ τοὺς ὦπας μέρος τοῦ προσώπου ἐτυμολογικῶς. 397, 38. 1426, 55. καὶ ὅτι ἐν τῷ μετώπῳ τὸν νοῦν ἔχειν λέγονται οἱ φιλοσοφίας προσχήματι σεμνοπροσωποῦντες. 1015, 46.

μέτωπον κόρυθος κατὰ συμπλοκὴν τὸ πρὸς τῷ μετώπῳ τοῦ φοροῦντος μέρος τῆς περικεφαλαίας. 1046, 35.

μεῦ, ἀντωνυμία γενικῆς πτώσεως, ὅτι ἐκ τῆς ἐμεῦ λέγεται ἀποβολῇ τοῦ ἀρκτικοῦ ε, καὶ ὅτι ἐγκλίνεται. 32, 44.

μη λήγοντα θηλυκὰ ἀπὸ οὐδετέρων εἰς μα ληγόντων παρηγμένα, οἷον λύμη, τρώμη, βρώμη, ἀπὸ τῶν λῦμα, τρῶμα, βρῶμα. 108, 37.

μὴ ἐπίῤῥημα ὅτι χωρὶς τοῦ ι γράφεται, ὡς καὶ τὸ ἢ καὶ νὴ καὶ ἤδη. 174, 3. καὶ ὅτι τὸ μὴ δὶς ἐν μιᾷ ἐννοίᾳ πρὸς ἐπίτασιν ἀπαγορεύσεως ἐνίοτε τίθεται, οἷον ἐν τῷ, μὴ τεχνησάμενος μηδ'

ἀκαχίζεο θυμῷ, Ἰλ. ζ, 486. 657, 23.

μην λήγοντα εὐκτικὰ περισπωμένων ῥημάτων ὅτι οὐ παραλήγονται τῇ ει διφθόγγῳ, ἀλλ' ἤτοι τῇ οι ἢ τῇ ῳ καταχρηστικῇ. 1361, 35.

μηνιᾶν περισπωμένως ἀντὶ τοῦ μηνίειν Ἀττικῶς. 95, 11. 224, 2. 1928, 26.

Μῆνιγξ, νῆσός τις ἐν Λιβύῃ. 309, 4. ἀλλαχοῦ δὲ ὅτι Μῆνιγξ νῆσος λωτοφαγῖτις οὕτω καλουμένη. 1616, 34.

μηνίειν ἀντὶ τοῦ χολοῦσθαι καταχρηστικῶς. 8, 31. 95, 8.

μῆνις ἡ μόνιμος ὀργή, παρὰ τὸ μένειν. 8, 14. 27. 992, 24.

μηνιῶντες ἀντὶ τοῦ μηνίοντες Ἀττικῶς. 95, 11. ζήτει τὸ μηνιᾶν.

μηνῶν Ἀττικῶν ὀνόματα ὅτι ὀξύνονται καὶ τὸ ω μέγα φυλάττουσιν ἐν ταῖς πλαγίαις, οἷον Ἑκατομβαιών, Βοηδρομιών. 138, 11.

Μήονες παρ' Ὁμήρῳ οἱ Λυδοὶ ἀπὸ Μαίονος, καὶ ὅτι τινὲς μὲν χωρὶς τοῦ ι γράφουσι τὴν μη συλλαβήν, τινὲς δὲ διὰ τὸ καὶ Μηίονες τετρασυλλάβως εὑρίσκεσθαι σὺν τῷ ι γράφουσιν, καὶ ἄλλα τινὰ περὶ τοῦ ἔθνους, ἑρμηνεία διεξοδική. 365, 24 — 40.

Μηονὶς ἀντὶ τοῦ Μαιονίς, ἤγουν Λυδία γυνή. 456, 8.

μήπω, χρονικὸν ἐπίρρημα ὡς καὶ τὸ οὔπω, καὶ ὅτι καὶ μήπω τι λέγεται ἀντὶ τοῦ μή τι, καὶ ἁπλῶς ἀντὶ τοῦ μὴ παρέλκοντος τοῦ πω καὶ τοῦ τι ἐν τῷ, μήπω τι μεθίετε θουρίδος ἀλκῆς, Ἰλ. δ', 234. 467, 13.

μήπως τόδε τι γένηται, φράσις ἐλλιπὴς τοῦ ὅρα ἢ τοῦ δέδοικα Ἀττικῶς. 1540, 61. 1856, 31.

μηρὰ οὐδετέρως οἱ μηροὶ κατὰ μεταπλασμόν. 108, 18.

μηρία ζῴων ὅτι τίμιον μέρος ἐνομίζοντο παρὰ τοῖς ἀρχαίοις, διὸ καὶ τοῖς θεοῖς ὡλοκαυτοῦντο. 134, 30. καὶ ὅτι τὰ μηρία περισπούδαστα ἦσαν ἐν ταῖς κατὰ τὰς ἑστιάσεις διανομαῖς τῶν κρεῶν. 1606, 13.

μήρινθος, σχοῖνος λεπτή, παρὰ τὸ μεμερίσθαι, ἐτυμολογία διεξοδική· καὶ ὅτι καὶ σμήρινθος μετὰ τοῦ σ λέγεται· καὶ παροιμία, αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν, ἑρμηνεία διεξοδική. 760, 44. 1333, 39.

Μηριόνης ὅτι ἀδελφιδοῦς Ἰδομενέως ἦν, γενεαλογία. 314, 5.

μηρὸς τὸ ζωικὸν μέρος, ὅτι παρὰ τὸ μερίζειν λέγεται τροπῇ τοῦ ε εἰς η. 80, 19. καὶ Μηρὸς ὁμωνύμως ὄνομα ὄρους τινὸς τῆς Ἰνδικῆς, ὅθεν Μηροτραφὴς ὁ Διόνυσος ἐπεκλήθη. 310, 7.

Μηροτραφὴς ὁ Διόνυσος ἐπιθετικῶς. 310, 7. ζήτει τὸ μηρός.

μηρύεσθαι ἱστία τὸ συστέλλειν εἴτουν συνάγειν· καὶ μηρύεσθαι κρόκην περὶ ἄτρακτον ἢ ἄλλως ὁπωσοῦν, ἀντὶ τοῦ στρέφειν καὶ κλώθειν· καὶ μηρύεσθαι σχοινία τὸ συνάγειν καὶ κατὰ κύκλον εἱλεῖν. 1710, 40.

μήσασθαι τὸ βουλευτικῶς μεταχειρίσασθαι πολλαχοῦ παρ' Ὁμήρῳ. 1967, 10.

μήστωρ ὕπατος ὁ Ζεὺς λέγεται Ἰλ. θ', 22. κατὰ συμπλοκὴν ἀντὶ τοῦ κορυφαῖος ἐν βουλευταῖς, ἢ μήστωρ κατὰ μόνας ἐν ἴσῳ τῷ μητιέτης ἢ μητιόεις. 695, 48.

μήστωρ αὐτῆς ὁ ἐν μάχῃ βουλευτικός, καὶ μήστωρ φόβου, ἤγουν φυγῆς τεχνίτης καὶ διωκτικὸς τῶν πολεμίων· καὶ ὅτι κατὰ διάλεκτόν τινα ἐκτείνει τὸ ο ἐν ταῖς πλαγίαις τὸ μήστωρ ὄνομα. 479, 7. 20. 702, 23. 891, 29. ἀλλαχοῦ δὲ ὅτι Μήστωρ Μήστορος κύριον τὸ στο μικρόν, μήστωρ δὲ μήστωρος ὁ βουλευτὴς τὸ στο μέγα. 1348, 47.

μήτειρα ἐν ἴσῳ τῷ μήτηρ κατά τινας, οἳ ἀντὶ τοῦ δμήτειρα μήτειρα γράφουσιν ἐν τῷ, εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν, Ἰλ. ξ', 259. 983, 55.

μήτηρ καὶ μητρυιά, λέξεις μεταφορικῶς κατὰ τινῶν ἀψύχων ὑλῶν λεγόμεναι, καὶ ἐπὶ τινῶν διαθέσεων ἀγαθῶν ἢ κακῶν. 560, 16.

μητης καὶ μητις λήγοντα σύνθετα, ὅτι τὰ μὲν διὰ τοῦ ἦτα ἐκ τοῦ μήδω σύγκεινται, οἷον ποικιλομήτης, ἀγκυλομήτης, τὰ δὲ διὰ τοῦ ἰῶτα προπαροξύνονται καὶ ἐκ τοῦ μῆτις θηλυκοῦ ὀνόματος σύγκεινται, οἷον πολύμητις. 1462, 18.

μήτι, δοτικῆς πτώσεως, ὅτι ἐκ τοῦ μήτι Ἰωνικῶς λεγομένου συνῄρηται, ὅθεν ἐκτείνει τὸ ι καὶ παροξύνεται. 1303, 7.

μή τι κακὸν ῥέξωσιν, Ὀδ. π', 381. φράσις ἐλλιπὴς τοῦ ὅρα ἢ δέδοικα ἤ τινος τοιούτου. 1805, 51.

μητίετα ὅτι ἐκ τοῦ μητιέτης Αἰολικῶς μεταπέπλασται, καὶ ὅτι βραχὺ ἔχουσι τὸ α τὰ τοιαῦτα, ἢ καὶ προπαροξύνονταί τινα αὐτῶν, οἷον τὸ μητίετα καὶ τὸ ἀκάκητα. 75, 34.

μητίετα Ζεὺς ἐπιθετικῶς πολλαχοῦ παρ' Ὁμήρῳ διὰ τὸ ἔλλογον τῆς προνοίας. 904, 63.

μῆτιν θεοῖς ἐνισπεῖν, Ἰλ. η', 447. ἀντὶ τοῦ περὶ τοῦ βουλευθέντος τοὺς θεοὺς ἐπερωτᾶν. 690, 46.

μητιόεντα φάρμακα, Ὀδ. δ', 227. τὰ κατὰ σύνεσιν εὑρημένα, ἢ τὰ δραστικὰ καὶ βουλῆς δεόμενα εἰς ἀποφυγήν. 1493, 42.

μητιόωσιν ἀντὶ τοῦ μητιῶσιν, ὅ ἐστι βουλεύονται. 813, 34.

μῆτις μήτιος, ὅτι συστοιχεῖ τῷ μητίω μητίσω ῥήματι. 1312, 60.

μητίσασθαι, βουλεύσασθαι, ἀπὸ τοῦ μητίω θέματος. 1302, 44. καὶ μητίσασθαι ἐν ἴσῳ τῷ πρᾶξαι ἐν τῷ, ἄνδρ' ἕνα τοσσάδ' ἐν ἤματι μητίσασθαι, Ἰλ. κ', 48. 788, 61.

μήτρα ὅτι οὐδέποτε τοπικῶς λέγεται ὡς πάτρα, ἀλλὰ δηλοῖ τὸ ἐν τοῖς θήλεσι ζῴοις δεκτικὸν τῶν ἐμβρύων. 1391, 31. καὶ μήτρα ὁμωνύμως τὸ μέσον τοῦ ξύλου, ὅ τινὲς ἐντεριώνην φασίν, ὅ ἐστι τὸ ἐγκάρδιον τοῦ ξύλου. 1748, 58. καὶ ὅτι ἐκ τῆς μητέρα αἰτιατικῆς συγκοπείσης καὶ εἰς εὐθεῖαν ἀναδραμούσης λέγεται τοὔνομα. 665, 6.

μητραγυρτεῖν τὸ τῇ μητρὶ τῶν θεῶν ἀγείρειν μετὰ τυμπάνων καὶ τοιούτων τινῶν περιιόντας. 1824, 10.

μητραλοίας ὁ τὴν μητέρα ἀλοιῶν, ἤγουν τύπτων, ὅτι καὶ μητραλῴας λέγεται ἐκτάσει τοῦ αι τῆς διφθόγγου. 505, 2.

μητρὶς ἐν ἴσῳ τῷ πατρὶς κατὰ χρῆσιν ποιητικήν. 1391, 32.
μητροπάτωρ ὁ πρὸς μητρὸς πάππος. 840, 34.
μητρόπολις ἡ τῆς μητρὸς πατρὶς καταχρηστικῶς. 1391, 32.
μητρὸς δισυλλάβως λέγεται ἐν πεζῷ λόγῳ, μητέρος δὲ οὔ, εἰ μὴ ποιητικῶς. 9, 27.
μητρυιὰ ἀντὶ τοῦ ἐχθρά, ὅτι καὶ περὶ τινῶν ἀψύχων λέγεται, οἷον μητρυιὰ ναύταις ἄκρα· καὶ ὅτι καὶ ἀπεχθημέναι τινὲς διαθέσεις μητρυιαὶ λέγονται· καὶ ὅτι μηθρυιὰ ὤφειλε λέγεσθαι· καὶ ὅτι καὶ μητρυιὸς εὕρηται λεγόμενον παρὰ τοῖς παλαιοῖς, ἑρμηνεία διεξοδική. 560, 13—26.
μητρυιὰ ὅτι μηθρυιὰ ὤφειλεν εἶναι διὰ τὴν ἐπὶ τοῦ υἱὸς, ἐξ οὗ σύγκειται, δασεῖαν. 1482, 47.
μήτρως ὁ πρὸς μητρὸς θεῖος, ὅτι τῆς Ἰώνων ἐστὶ διαλέκτου, καὶ ὅτι καὶ οἱ τῆς μητρὸς γονεῖς μήτρωες ἐνίοτε λέγονται. 971, 26. 37. ἀλλαχοῦ δὲ ὅτι μήτρως παρ' Ὁμήρῳ μὲν ὁ πρὸς μητρὸς θεῖος, ἤγουν ὁ τῆς μητρὸς ἀδελφὸς, παρὰ δὲ τοῖς ὕστερον ὁ πρὸς μητρὸς πάππος. 315, 46. 316, 16. 774, 27. 1083, 7.
μηχανὴ ὅτι εὐφημότερόν τι δόλου σημαίνει. 482, 32. καὶ ὅτι παρὰ τὸ μὴ χαίνειν λέγεται. 197, 16. 31.
μηχανόων ἀντὶ τοῦ μηχανῶν μετοχικῶς κατ' ἐνεργητικὴν φωνὴν, Ὀδ. σ', 143. μηχανᾶσθαι δὲ τὸ ῥῆμα ἀεὶ κατὰ παθητικὴν φωνήν. 1841, 37.
μῆχαρ καὶ μῆχος ποιητικῶς ἡ μηχανή. 154, 45. καὶ ὅτι ἐκ τοῦ μῆχος λέγεται τὸ μῆχαρ, ὡς ἐκ τοῦ δέλος τὸ δέλεαρ. 235, 6.
μήων καὶ πλήων, διὰ τοῦ η, ἀντὶ τοῦ μείων καὶ πλείων κατὰ Δωρικὴν τροπὴν τῆς ει διφθόγγου εἰς η. 101, 6.
μι λήγοντα ῥήματα ὅτι βαρύνεσθαι πεφύκασι καὶ μακρᾷ παραλήγεσθαι· καὶ ὅτι οὐδὲν τῶν μι ληγόντων διφθόγγῳ παραλήγεται πλὴν τοῦ εἰμὶ καὶ εἶμι, ταῦτα δὲ Βοιωτικῶς. 1442, 44. 48. καὶ ὅτι τὰ εἰς μι ῥήματα μακρᾷ θέλει παραλήγεσθαι ἐν τοῖς ἑνικοῖς τῶν ἐνεργητικῶν. 1600, 22. ἐπὶ μέντοι πληθυντικῶν καὶ παθητικῶν συστέλλουσι τὰς παραληγούσας. 1664, 12.
μι λήγοντα ῥήματα, τῷ η παραλήγοντα, ὅτι ἐκ πρωτοζύγων καὶ δευτεροζύγων περισπωμένων γίνονται μεταποιήσει τοῦ ε εἰς η καὶ προσθέσει τῆς μι συλλαβῆς· καὶ ὅτι βαρύνονται τὰ τοιαῦτα ῥήματα Αἰολικῶς, οἷον φῶ φῆμι ἀντὶ τοῦ φημί· καὶ ὅτι τὸ παραληκτικὸν ἢ τῶν τοιούτων ῥημάτων εἰς ει τρέπεται Βοιωτικῶς, οἷον ὦ ἠμὶ, καὶ Βοιωτικῶς εἰμὶ, ὅ ἐστιν ὑπάρχω· καὶ ὅτι καὶ ἀναδιπλοῦσι τὰ τοιαῦτα οἱ Βοιωτοὶ, οἷον πεφίλειμι, νενόειμι. 1613, 16.
μι λήγοντα εὐκτικὰ εἰς ην μεταπλαττόμενα, οἷον ἐκπεφευγοίην ἀντὶ τοῦ ἐκπεφεύγοιμι. 58, 38.
μία μιᾶς μιᾷ, ὅτι ἡ μὲν εὐθεῖα βαρύνεται, αἱ δὲ πλάγιαι περισπῶνται. 652, 49.
μία ἐν ἴσῳ τῷ πρώτη. 1052, 48.
μία αἶσα ἡ ἐπίσης τισὶν ἐπισυμβαίνουσα ἐπ' ἀγαθῷ ἢ κακῷ. 1282, 6.
μιαίνειν ἐν ἴσῳ τῷ βάπτειν ἐνίοτε παρ' Ὁμήρῳ. 456, 5. καὶ μιαίνεσθαι ἐν ἴσῳ τῷ βλάπτεσθαι. 519, 4.
μιαιφόνος Ἄρης ὁ αἱμοβαφὴς, ἐκ τῆς ἐξ αἵματος παρακολουθούσης βαφῆς τοῖς μαχομένοις. 456, 5. 519, 2. 1356, 55.
μιάνθην, τρίτον πρόσωπον τῶν δυικῶν, ὅτι ἐκ τοῦ μιανθήτην γέγονε κατὰ συγκοπήν. 456, 37.
μιαραὶ ἡμέραι, ὅτι οὕτω λέγονται αἱ τῶν κατοιχομένων. 456, 6.
μιαρὸς καθ' αὑτὸ ἐν ἴσῳ τῷ αἱμοβαφής. 519, 4. καὶ μιαρὸς αἵματι κατὰ συνήθηκην ἐπὶ τοῦ αὐτοῦ παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον μιαρὸς ὁ ἀκάθαρτος καὶ ῥυπαρὸς τὴν ψυχὴν καὶ τὴν γνώμην. 456, 6. 1356, 58.
μιγάζεσθαι φιλότητι τὸ μίγνυσθαι κατὰ συνουσίαν. 1598, 14.
μίγδα ἐπίῤῥημα ἀντὶ τοῦ μίγδην ἤγουν ἐπιμὶξ εἴτουν ἀναμὶξ, καὶ ὅτι ἐκ τοῦ μίγδην μεταπέπλασται. 722, 19. 966, 62. 1954, 19.
μιγῆναι δοτικῇ τὸ ἁπλῶς ἑνωθῆναι. 812, 11. καὶ μιγῆναι προμάχοις τὸ προμάχεσθαι, καὶ μιγῆναι νίκῃ τὸ νικῆσαι, καὶ μιγῆναι ἔργῳ τὸ ἐργάζεσθαι. 482, 12. καὶ μιγῆναι ἐν δαΐ, ἤγουν ψαῦσαι καὶ πελάσαι κατὰ μάχην. 993, 14. 1022, 37. καὶ μιγῆναι ἐν παλάμαις, τὸ μέχρι χειρῶν ἀντιστῆναι, ἤγουν ἐς χεῖρας ἐλθεῖν. 1246, 39.
μιγήσεσθαι, ἀπαρέμφατον ἀπὸ τοῦ μιγῶ περισπωμένου θέματος, ἢ ἀπὸ τοῦ ἐμίγην ἀορίστου δευτέρου. 812, 13.
μίγνυσθαι τὸ ἁπλῶς συγγίνεσθαι εἴτουν ὁμοῦ γίνεσθαι. 1074, 61. μίγνυσθαι δὲ γυναικὶ τὸ συνουσιάζειν. 1598, 10. καὶ μίγνυσθαι κονίαις παρ' Ὁμήρῳ περιφραστικῶς ἀντὶ τοῦ πεσόντα ἀποθανεῖν, καὶ μίγνυσθαι νίκῃ καὶ ἔργῳ κατὰ συνήθηκην. 382, 39. ζήτει τὸ μιγῆναι. καὶ ὅτι στρατεύματα καὶ ὕδατα μίγνυσθαι λέγονται, ἔτι δὲ καὶ ἀθληταὶ μίσγεσθαι νίκαις λέγονται, καὶ μίγνυσθαι εὐνῇ λέγονται ἀνὴρ καὶ γυνή. 1428, 32. 34.
Μίδας, ὅτι Μίδας ὁ Γορδίου πρῶτος τὸν αὐλὸν, πένθιμον ὄντα τὸ κατ' ἀρχὰς, παραβώμιον ἐποίησεν, ἀποθεῶσαι τὴν μητέρα βουληθείς. 1372, 30.
Μίδας ὅτι αἷμα ταύρειον πιὼν ἀπέθανε κατὰ τὴν τῶν Σάρδεων ἅλωσιν ὑπὸ Κιμμερίων. 1671, 22.
Μίδεα προπαροξυτόνως, πόλις Βοιωτικὴ, ἡ καὶ Μίδεια παρ' Ὁμήρῳ ἐν τῷ καταλόγῳ· Μιδέα δὲ παροξυτόνως, πόλις Ἀργολικὴ, ἡ καὶ Περσέως πόλις. 271, 1. 286, 32.
Μίδεια, πόλις Βοιωτικὴ, ἡ καὶ Μίδεα. 270, 44. ζήτει τὸ Μίδεα.
μιδης λήγοντα ὀνόματα, ζήτει ἐν τῷ μηδης διὰ τοῦ ἦτα. 1925, 22.
μιηφόνος κατὰ γλῶσσαν ποιητικὴν ἀντὶ τοῦ μιαιφόνος. 519, 6.
μικκὸν τὸ μικρὸν Ἰωνικῶς, καὶ ὅτι ὀξύνεται ἡ λέξις καὶ δυσὶ κ γράφεται. 217, 29. 610, 25.
μικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπὴ, ἤγουν μικρὰ ἀφορμὴ ἐκλείπειν ποιεῖ τὰ παλαιὰ σώματα. 1959, 20.

ἵνα μίσγεαι ἐν φιλότητι, Ἰλ. β', 232. 1411, 50. 1579, 38.

μίσγεσθαι ξενίῃ, Ὀδ. ω', 314. ἤγουν ἐπιξενωθῆναι ἀλλήλοις. 1962, 34.

μίσγεσθαι δύσεις καὶ ἀνατολαὶ λέγονται, ὅπου αἱ νύκτες εἰσὶ βραχύταται. 1649, 42.

μισεῖν ἐπὶ μίξεως ἀσέμνου καταχρηστικῶς παρὰ τοῖς κωμικοῖς. 1650, 63.

μισητεία ἡ κατωφέρεια, ἤγουν ἡ περὶ τὰς μίξεις ἄσχετος ῥοπή. 1650, 64.

μισήτη γυνή βαρυτόνως ἡ κοινὴ καὶ ῥαδία. 1650, 64.

μισθάριον ὅτι ἐκ τοῦ μισθὸς ὑποκεκόρισται. 1851, 22.

μισθαρνεῖν, μισθὸν ἄρνυσθαι. 72, 2. ἀλλαχοῦ δὲ ὅτι μισθαρνεῖν ἐκ τοῦ μισθὸς καὶ τοῦ αἴρειν σύγκειται. 913, 1.

μίσθιος ἐν ἴσῳ τῷ μισθωτός. 1851, 23.

μισθὸς ὅτι οἱονεὶ μισητὸς λέγεται διὰ τὸ δουλοπρεπές, ἧ καὶ ἀεικέα μισθὸν λέγει Ὅμηρος ἐπιθετικῶς. 807, 8. 912, 60.

μισθοφορὰ ἡ ὑπὲρ τῶν τοῖς στρατιώταις διδομένων δημοσίᾳ συνεισφορά. 807, 9.

μισθωτὸς ὁ μὴ προῖκα δουλεύων, ἀλλὰ διὰ δώρων λῆψιν. 807, 10.

μῖσος ἀντὶ τοῦ μῦσος τροπῇ τοῦ ῡ εἰς ῑ. 1913, 33.

μιστύλη, κοῖλος ἄρτος, ὅθεν μιστυλᾶσθαι. 135, 8.

μιστυλλᾶσθαι, ζήτει ἐν τῷ μιστύλλειν. 135, 8.

μιστύλλειν τὸ εἰς μεῖστα, ὅ ἐστι μικρότατα, διακόπτειν, τὸ μῖ ἰῶτα· καὶ μιστυλᾶσθαι τὸ διὰ μιστύλης, ὅ ἐστι κοίλου ἄρτου, ζωμὸν ἀρύεσθαι. 134, 45. 135, 8. 13. 1476, 60.

μιστύλλειν τὸ εἰς μικρὰ τέμνειν τὰ κρέα, διαχεῖειν δὲ τὸ ἁδρομερῶς κόπτειν παρ' Ὁμήρῳ. 682, 63. 1766, 26.

μίσχος ὁ αὐχὴν τοῦ καρποῦ τῶν ἀκροδρύων. 932, 32.

μισῶ μνήμονα συμπότην, παροιμιακόν· καὶ πῶς ἀκουστέον τὸ μνήμων ἐν τῇ παροιμίᾳ ταύτῃ. 770, 13. 1470, 39.

μίτος ταὐτὸ ὅπερ πηνίον ἢ ἀντιδιαιρούμενόν τι τῷ στήμονι καὶ τῇ κρόκῃ. 1328, 50. ἀλλαχοῦ δὲ ὅτι μίτος τὸ δι' οὗ τοὺς στήμονας ἐναλλάσσουσιν εἰς πλοκὴν τῆς κρόκης. 1571, 61. καὶ ὅτι καὶ ποταμός τις Μίτος ὁμωνύμως λέγεται. 636, 61. καὶ μίτος ἀργύρεος, Ὀδ. κ', 23. τὸ παρὰ τοῖς ἰδιώταις λεγόμενον σύρμα. 1645, 44.

μίτρα οὐχ ἡ ἁπλῶς ζώνη, ἀλλ' ὁπλιτικόν τι περίζωμα· καὶ μίτρα ἀνάδημα ποιὸν τῆς κεφαλῆς, παρὰ τὸν μίτον, ἑρμηνεία διεξοδική, καὶ προσῳδία καὶ σχηματισμὸς τῆς φωνῆς. 1068, 13. 24. ἀλλαχοῦ δὲ ὅτι μίτρα πολεμικόν τι φόρημα καί τι περίθεμα κεφαλῆς ὁμωνύμως. 453, 44. 454, 15. 1659, 10.

μιτροχίτωνες, ὅτι οὕτως ἐκαλοῦντο οἱ τὴν Σῖριν κατοικοῦντες διὰ τὸ μίτραις ζώννυσθαι, ἱστορία. 1056, 62.

Μιτυλήνη, πόλις Λέσβου, ἀφ' ἧς ἡ ὅλη νῆσος Μιτυλήνη λέγεται· καὶ ὅτι πεντάπολις ἡ Λέσβος. 741, 13. 1462, 27.

μλ, ὅτι ἡ τοῦ μ̄ πρὸ τοῦ λ̄ ἀσυνταξία ἐν ἀρχῇ μὲν λέξεως διὰ τροπῆς τοῦ μ̄ εἰς β̄ θεραπεύεται, οἷον μλώσκω βλώσκω· ἐν μέσῳ δὲ δι' ἐπεμβολῆς τοῦ β̄, οἷον μέμλωκα μέμβλωκα. 1809, 20.

μναϊαῖος τετρασυλλάβως, λίθος τυχὸν ἢ ἄλλο τι μνᾶς σταθμὸν ἕλκων, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ προπαραλῆγον ῑ. 1878, 60.

Μνασέας, ποιητὴς τῶν ἐπιγραφομένων παιγνίων. 1163, 14.

Μνάσων Φωκεὺς ὅτι πλείους τῶν χιλίων ἱστορεῖται δούλους κεκτῆσθαι ποτέ. 1753, 35.

μνεία ἐν ἴσῳ τῷ ἀνάμνησις, καὶ ὅτι μνήμης διαφέρει, ἑρμηνεία διεξοδική. 1443, 11.

μνῆμα καὶ μνημεῖον ὁ τάφος διὰ τὸ ἐπὶ μνήμῃ τοῦ νεκροῦ γίνεσθαι. 634, 29. 1673, 32. καὶ μνῆμα ἀντὶ τοῦ μνήμη καὶ ὑπόμνησις εἴτουν ἐνθύμησις καὶ μνημόσυνον, οἷον ἐν τῷ, μνῆμ' Ἑλένης χειρῶν, Ὀδ. ο', 126. καὶ μνῆμα τὸ νεκρικὸν διὰ τὸ εἰς μνήμην γίνεσθαι. 666, 60. 1319, 51. 1776, 52. 1900, 36.

μνηματίτης λόγος ὁ ἐπὶ τῷ μνήματί τινος λεγόμενος. 1673, 45.

μνημεῖον ἐν ἴσῳ τῷ μνήμη. 666, 63.

μνήμη τὸ μόνιμον τοῦ νοητοῦ, ὅτι παρὰ τὸ μένειν λέγεται. 963, 5.

μνήμη ὅτι μνείας διαφέρει, ἑρμηνεία διεξοδική. 1443, 11.

μνήμονες δοθέντες τισὶ τῶν ἐπὶ Τροίαν ἡρώων ἐπὶ τῷ ἀναμιμνήσκειν αὐτοὺς φυλάττεσθαί τινα, ἱστορία. 1697, 55.

μνημοσύνη ἐν ἴσῳ τῷ μνήμη ἐν τῷ, μνημοσύνη τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω, Ἰλ. θ', 181. 706, 9.

μνήμων συμπότης, πῶς ἀκουστέον τὸ μνήμων ἐν τῷ, μισῶ μνήμονα συμπότην. 770, 13.

μνήμων φόρτου παρ' Ὁμήρῳ ὁ τῆς νεὼς γραμματεὺς εἴτουν λογιστὴς καὶ ἀποσημάντωρ τῶν φορτηγουμένων. 1590, 3.

μνήσας καὶ μνήσασα μετοχαὶ ὅτι αἰτιατικῇ ἐκ δευτέρου καὶ γενικῇ ἐκ τρίτου συντάσσονται, οἷον, τῶν νῦν μιν μνήσασα, Ἰλ. α', 407. 126, 14.

μνήσασθαι ἀντὶ τοῦ ἀναμνησθῆναι ἐνίοτε παρ' Ὁμήρῳ. 1361, 57.

μνησικακίας ὁρισμὸς παρ' Ὁμήρῳ ἐν τῷ, εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλ' ὅ γε καὶ μετόπισθεν ἔχει κότον, Ἰλ. α', 81. 54, 4.

μνῆστις ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ̄, ὡς ἀπὸ τοῦ μέμνηται τρίτου προσώπου καὶ οὐκ ἐκ κλίσεως ὡς τὸ λέλησται λῆστις. 1741, 44.

μνήσω ἀντὶ τοῦ ἀναμνήσω καὶ εἰς μνήμην ἄξω, γενικῇ συντασσόμενον. 1002, 58. 1003, 64. 1459, 9.

μνία, τὰ καὶ βρύα, εἴτουν φυκία. 1715, 50.

μνοία ἡ δουλεία παρὰ Κρησί, ὅθεν μνῶται οἱ ἐγγενεῖς οἰκέται. 1024, 36.

— μνος λήγοντα ὀξύτονα ἀπὸ ὀνομάτων ἢ ῥημάτων ἐχόντων τὸ β̄ ἐν τῇ ληγούσῃ, κατὰ τροπὴν τοῦ β̄ εἰς μ̄ γενόμενα, οἷον σέβω σεμνός, ἔρεβος ἐρεμνός. 460, 38.

— μνους λήγοντα ὀνόματα σταθμῶν σημαντικά, παρὰ τὴν μνᾶν λε-

γόμενα, οἷον ἐξάμηνους καὶ δεκάμηνους. 1878, 57.
μνώοντο φύγαδε ἕκαστος, ἀντὶ τοῦ εἰς φυγὴν ἐμέμνηντο, φράσις ξένη, Ἰλ. π', 697. 1081, 60.
μνῶται οἱ ἐγγενεῖς οἰκέται παρὰ Κρησί, παρὰ τὸ μνοία, ὃ δηλοῖ τὴν δουλείαν. 1024, 37.
μόγος ὁ κάματος. 1146, 7.
μογοστόκοι Εἰλείθυιαι αἱ μόγους ταῖς τικτούσαις ἐπάγουσαι. 843, 60. καὶ ὅτι τὸ μογοστόκος ἐπίθετον ἐνέργειαν σημαίνει, καὶ ὅτι παροξύνεται καὶ ἐκ πλεονασμοῦ ἔχει τὸ σ πρὸς μέτρου χρείαν. 422, 30. 843, 54. 57.
μόθος ἡ μάχη, ὅτι παρὰ τὸ ὁμοῦ θέειν λέγεται. 669, 43.
μόθων ὅτι καὶ προσηγορία αὐλήσεως ἐστὶ ποιᾶς. 1236, 57.
μοὶ δοτικὴ ἀντὶ τοῦ περὶ ἐμοῦ ἢ δι' ἐμὲ ἐν τῷ, εἰπέμεναί μοι Τρῶες ἀγανοῦ Ἰλιονῆος πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν, Ἰλ. ξ', 501. 999, 36.
μοῖρα ἡ πεπρωμένη εἴτουν εἱμαρμένη συνήθως κατὰ τὴν κοινὴν χρῆσιν. 750, 25. καὶ ὅτι καὶ αἶσα λέγεται. 1200, 14. καὶ ὅτι αἱ Μοῖραι, αἱ κατὰ τὸν μῦθον σωματοειδεῖς θεαί, χωλαὶ εἶναι πλάττονται. 768, 25. καὶ μοῖρα θεοῦ παρ' Ὁμήρῳ ταὐτὸ ὅπερ Διὸς βουλή, ὃ περίφρασίς ἐστι τοῦ πεπρωμένου. 1686, 18.
μοῖρα ἡ τύχη, ὅθεν μοιρηγενὴς ὁ ἀγαθῇ τύχῃ γεννηθείς. 1766, 7. καὶ μοῖρα ἡ εὐδαιμονία ἐν τῷ, μοῖράν τ' ἀμμορίην τε, Ὀδ. υ', 76. 1883, 50.
μοῖρα τὸ πεπρωμένον καὶ τὸ καθῆκον, καὶ ἐν μοίρᾳ τοιᾶδε τετάχθαι, ἤγουν ἐν τοιᾶδε τάξει εἶναι. 1526, 18.
μοῖρα τὸ παρακολουθοῦν ἑκάστῳ, οἷον, τῷ βαδίζοντι κινεῖσθαι, τῷ ἐργαζομένῳ δὲ κοπιᾶν· καὶ μοῖρα ἡ καθ' εἱρμὸν τοῦ βίου διανέμησις. 1879, 40.
μοῖρα ἡ ἐν ταῖς εὐωχίαις νεμομένη ἑκάστῳ μερὶς πολλαχοῦ παρ' Ὁμήρῳ. 1605, 38.
μοῖρα τὸ καθῆκον εἴτουν προσῆκον, καὶ παρὰ μοῖραν, ἤγουν παρὰ τὸ καθῆκον. 735, 36. 1770, 55. καὶ οὐ κατὰ μοῖραν, ἀντὶ τοῦ ἀτάκτως καὶ δυσδαιμόνως καὶ ἀκόσμως, ἐν ἴσῳ τῷ κόσμος λαμβανομένου τοῦ μοῖρα. 1064, 43. 45.
μοῖρα ὁ μερισμὸς τῶν νοημάτων ἐν τῷ, ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξας, Ἰλ. τ', 186. 1179, 11.
μοῖρα κραταιὴ λέγεται ὁ θάνατος διὰ τὴν ἀνάγκην. 657, 27. 1342, 35. καὶ μοῖρα κατὰ μόνας ἐπὶ τοῦ αὐτοῦ, οἷον ἐν τῷ, φόνος καὶ μοῖρα γένοντο. 1900, 10. καὶ μοῖραν ἀναπλῆσαι βίου, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀποθανεῖν, καὶ μοῖρα βίου ὁ βίος αὐτός. 460, 45.
μοιρᾶσθαι καὶ διαμοιρᾶσθαι ἐκ τοῦ μοῖρα, ὃ δηλοῖ τὴν μερίδα. 1766, 49. ζήτει τὸ, μοῖρα ἡ ἐν ταῖς εὐωχίαις.
μοιρηγενὴς, εὐδαίμων καὶ μοίρας ἀγαθῆς μέτοχος. 895, 29. 1766, 11. ζήτει ἐν τῷ, μοῖρα ἡ τύχη.
Μοίριχος κύριον ὅτι παρὰ τὸ μοῖρα λέγεται. 1278, 6.
Μοῖσα Αἰολικῶς ἡ Μοῦσα τροπῇ τοῦ υ τῆς διφθόγγου εἰς ι. 413, 9.
μοιχάγρια τὰ ὑπὲρ ἀγρεύσεως, ὅ ἐστι συλλήψεως, μοιχῶν ἀποτινόμενα. 1599, 41.
μοιχὴ καὶ μοιχὶς γυνὴ ἐν ἴσῳ τῷ μοιχαλίς. 1761, 24.
μοιχὸς λέγεται, δι' ὃν οὐκ ἐοίκασι τὰ γένη, οἱονεὶ μὴ οἰκὸς κατ' ἀντιστοιχίαν. 82, 45. 561, 12.
μόλιβος ταὐτὸ ὅπερ μόλυβδος, γραφὴ παραληκτική. 841, 17. ζήτει ἐν τῷ μόλυβδος.
Μολίονες, χρόνος παραληκτικὸς καὶ προπαραληκτικὸς καὶ σχηματισμὸς τῆς λέξεως. 882, 49. ζήτει ἐν τῷ Μολιονίδαι.
Μολιονίδαι οἱ Μολίονες καὶ Ἀκτορίωνες λεγόμενοι παρ' Ὁμήρῳ, ὅτι διφυεῖς τινὲς καὶ συμπεφυκότες τοῖς σώμασι γεγονέναι μυθεύονται, καὶ ἀλληγορία τοῦ μύθου· καὶ ὅτι κατὰ χρόνου ἐναλλαγὴν ἡ μὲν λι συλλαβὴ ἐκτείνεται, ἡ δὲ παραλήγουσα διὰ τοῦ ο μικροῦ γράφεται πρὸς μέτρου χρείαν ἐν τῷ, καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα, Ἰλ. λ', 750. καὶ ὅτι ἐκ τοῦ Μολιονίωνες κατὰ συγκοπὴν δυοῖν συλλαβῶν λέγονται Μολίονες· καὶ ὅτι κατὰ μέν τινας ἀπὸ Μόλου τοῦ καὶ Ἄκτορος, κατὰ δέ τινας ἀπὸ Μολιόνης τῆς μητρὸς οὕτως ἐκλήθησαν οἱ Μολίονες, ἑρμηνεία διεξοδικωτάτη. 882, 13—52. 1190, 8. 1321, 20.
μόλις ἐκ τοῦ μόγις. 193, 34.
μολοβρὸς ὁ βορὸς καὶ λίχνος, παρὰ τὸ εἰς βορὰν μολεῖν, ἢ μολοβρὸς ὁ οἱονεὶ μονόβορος, συγκοπῇ καὶ τροπῇ τοῦ ν εἰς λ· καὶ ὅτι καὶ τῶν ἀγρίων ὑῶν τὰ νέα μολόβρια λέγονται, ὅθεν καὶ μολοβρῖται σύες. 1817, 14—28.
Μόλος κύριον ὅτι παρὰ τὸ μολεῖν λέγεται. 804, 36. 882, 23.
μολοσσὸν, ὄνομα ὀργάνου τινὸς μουσικοῦ παρὰ Κρησί. 1166, 48.
Μολοσσὸς, υἱὸς Πύῤῥου τοῦ Ἀχιλλέως ἐξ Ἀνδρομάχης, ὅθεν Μολοσσία χώρα ἡ Ἠπειρωτική. 1463, 38.
Μολοττικοὶ θεοὶ οἱ κατὰ τὸ ἐν Μολοττοῖς ψυχοπομπεῖον εἴτουν νεκυομαντεῖον. 1668, 2.
μολόχη ταὐτὸ ὅπερ μαλάχη, ὅθεν καὶ λέγεται τροπῇ τοῦ α εἰς ο. 1406, 57.
μολπὴ, λόγος ἐμμελὴς, παρὰ τὸ μέλπειν, ὅ ἐστι μέλη ἔπειν. 1164, 29. ἀλλαχοῦ δὲ ὅτι μολπὴ ἡ μετὰ ᾠδῆς ἑπομένη τῷ μέλει παιδιά. 1403, 56.
μολύβδαινα ὁ τῇ ὁρμιᾷ πρὸς τῷ ἀγκίστρῳ περιτιθέμενος μόλυβδος πρὸς τὸ καθικνεῖσθαι τὸ ἄγκιστρον. 1340, 28.
μόλυβδος ἐκ τοῦ μόλιβος τροπῇ τοῦ ι εἰς υ καὶ ἐπελεύσει τοῦ δ. implicite. 841, 17. ἀλλαχοῦ δὲ ὅτι μόλυβδος διὰ τοῦ υ καὶ δ παρ' Ἴωσιν ὡς καὶ παρ' Ἀττικοῖς λέγεται, καὶ ὅτι μόλυβος χωρὶς τοῦ δ ἐνίοτε γράφεται διὰ μέτρου ἀνάγκην. 1340, 29.
μολύνειν ὅτι οὐκ ἀεὶ ἐπὶ κακοῦ, ἀλλὰ καὶ ἐπὶ βαφικῆς σκευασίας τίθεται. 1063, 35.
Μόλων κύριον ὅτι παρὰ τὸ μολεῖν λέγεται. 882, 23. 1852, 41. καὶ ὅτι Μόλωνες οἱ μακροὶ ἄνθρωποι ἐλέγοντο ἀπό τινος Μόλωνος τοιούτου γεγονότος. 1834, 31.
μομφὸς ἡ μέμψις παρ' Εὐριπίδῃ. 1761, 39.

μοναξ ἐπίῤῥημα ἀντὶ τοῦ κατὰ μόνας. 888, 30.
μοναρχίας ἔπαινος ἐκ τῶν παρ' Ὁμήρῳ λεγομένων Ἰλ. β', 204. ἑρμηνεία διεξοδική. 202, 35.
μόναυλος κάλαμος παρὰ Ἀλεξανδρεῦσι Ὀσίριδος εὕρεμα. 1157, 38.
Μονηνία, ἡ καὶ Πήδασος, πόλις Τρωικὴ ὀχυρωτάτη, ἣν ἐπὶ τῶν Τρωικῶν ἐξεπολιόρκησεν ὁ Ἀχιλλεύς, ἱστορία. 623, 15.
μονίας, ἄνθρωπος μονίζων, μονιὸς δὲ σῦς. 1872, 16.
μονιὸς σῦς, μονίας δὲ ἄνθρωπος μονάζων. 1872, 16.
μόνιππος ὁ ἐπὶ ἑνὸς ἵππου ἀγωνιζόμενος δρόμῳ. 1539, 29.
Μόνιτος κύριον, τὸ νι ἰῶτα τῷ λόγῳ τῶν διὰ τοῦ ιτος. 264, 28.
μονόκερως μόσχος ὁ ἐνιαυτὸς συμβολικῶς, ἑρμηνεία διεξοδική. 73, 36. 1418, 20.
μονόκυθρον Ἰωνικῶς, οἱονεὶ μονόχυτρον κατὰ ἀντιστοιχίαν. 468, 35.
μονομαχεῖν τὸ μόνον πρὸς μόνον μάχεσθαι, ὅθεν μονομαχία, μονομάχος. 663, 15. καὶ περὶ τοῦ τῶν παρ' Ὁμήρῳ μονομάχων ἐπικινδύνου ἀγῶνος. 1331, 3.
μονοναῦται, γένος τι ἀνθρώπων ἐν Ἀτταλίᾳ τῆς Παμφυλίας ἔκ τινος συμβάματος οὕτω κληθέν, ἱστορία. 1535, 62.
μόνος ἀντὶ τοῦ εἷς ἐν τῷ, θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς, Ἰλ. ω', 453. 1358, 22. καὶ μόνος πρὸς μόνον, ἐν ἴσῳ τῷ εἷς πρὸς ἕνα. 663, 17. καὶ ὅτι πρὸς τοὺς πολλοὺς ἀντιδιαστέλλεται τὸ μόνος. 1280, 7.
μονοσυλλάβων λέξεων χρόνος εἴτουν γραφὴ ὅτι οὐδεμία μονοσύλλαβος λέξις Ἑλληνικὴ βραχύνεται, πλὴν τοῦ τὶς ὀνόματος καὶ τῶν θὲς καὶ δὸς προστακτικῶν ῥημάτων. 76, 26. 1148, 49. 1575, 52. καὶ ὅτι τὰ διφθογγογραφούμενα μονοσύλλαβα ὀνόματα φυλάττουσι τὴν δίφθογγον κἂν ταῖς πλαγίαις, οἷον κλεὶς κλειδὸς, παῖς παιδὸς. 162, 36.
μονόφθαλμοι Κύκλωπες, ζήτει ἐν τῷ, Κύκλωπες μονόφθαλμοι. 1622, 45.

μονώτης ἄνθρωπος ὁ μονάζων εἴτουν ἐρημάζων, ὁ καὶ μονίας. 1872, 16.
μόρα, ὅτι παρὰ μόνοις Ἀλεξανδρεῦσιν οὕτω λέγονται τὰ συκάμινα. 872, 7.
μοργνύω ὅτι παρὰ τὸ ἀμέργω, ὅ ἐστιν ἐκπιέζω γίνεται πλεονασμῷ τοῦ ν, ὡς καὶ τὸ ἄχνυμαι ἐκ τοῦ ἄχω. 218, 9.
μοργοὶ πόλεως καὶ ἀμοργοὶ οἱ ἀμέργοντες, ὅ ἐστιν ἀμέλγοντες, τὰ δημόσια. 1608, 57.
μορέα δένδρον τὸ τὰ μόρα φέρον, καὶ ὅτι οὐ συναιρεῖται τοὔνομα ὡς τὸ συκέα συκῆ, καὶ ἄλλα τινά. 872, 7. 1963, 50.
μόριμον ἀντὶ τοῦ μόρσιμον, ὅ ἐστιν εἱμαρμένον. 1209, 26.
μορμολύκειον τὸ δίκην μορμοῦς καὶ λύκου ἐκπλῆττον. 1150, 33.
μορμολύττομαι ῥῆμα ὅτι μέσον ἐστὶν ἐνεργείας καὶ πάθους. 1426, 50.
μορμύρειν λέγονται τὰ ῥέοντα ὕδατα καὶ ἠρέμα τραχυνόμενα ὥστε ὑπαφρίζειν. 586, 7. καὶ ὅτι παρὰ τὸ μύρειν ὠνοματοπεποίηται ἡ λέξις. 1230, 43. ἀλλαχοῦ δὲ ὅτι μορμύρειν ἀφρῷ λέγεται ποταμὸς ἀντὶ τοῦ ἀναβράττειν, διὰ τὸ ἐπισυμβαίνειν τῷ τοιούτῳ βρασμῷ τὸν ἀφρόν. 1150, 30. 1234, 54.
μορμύρος, ἰχθὺς ποιὸς παρὰ τὸ μορμύρειν λεγόμενος. 1150, 33. 1230, 44.
μορμύρω ὅτι ἐκ τοῦ μύρω γέγονε κατ' ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν τοῦ ρ. 1654, 31.
Μορμὼ, μυθικόν τι δαιμόνιον φοβερὸν, καὶ μορμὼ τοῦ θράσους, ἀντὶ τοῦ ὦ τοῦ θράσους. 1234, 54. 56. 1719, 57. ἀλλαχοῦ δὲ ὅτι τὸ, μορμὼ τοῦ θράσους, παρ' Ἀριστοφάνει πρὸς ὁμοιότητα τοῦ ἰὼ τοῦ θράσους. 1150, 34.
μορόεντα τὰ μετὰ μόρου, ὅ ἐστι κακοπαθείας, ἐκπεπονημένα. 976, 40.
μόρον τὸ ὀξὺ παρὰ Κυπρίοις. 998, 44. 1749, 34.
μόρος τὸ μεμοιραμένον εἴτουν τὸ μοιρίδιον, καὶ ὅτι ἐκ τοῦ μοῖρα λέγεται ἀπελεύσει τοῦ ι. 1191, 30. 1193, 60. καὶ μόρος κακὸς ἀντὶ τοῦ κακὴ τύχη. 647, 14. 1186, 48. καὶ μόρος ἡ κακοπάθεια καὶ ἁπλῶς ἡ συμφορά. 467, 35. 776, 53.
μόρος καὶ μόρον ὁ τοῦ συκαμίνου καὶ ὁ τῆς βάτου καρπός. 835, 8.
μόρσιμος ὁ τῇ μοίρᾳ ὑποκείμενος, ὅτι ἐκ τοῦ μείρω μερῶ μέμορκα μέμορμαι μέμορσαι παρῆκται ἡ λέξις. 1254, 22.
μόρτη τὸ ἕκτον μέρος τῶν καρπῶν, ὃ ἐδίδοτο τοῖς ἐκτημορίοις. 1854, 31.
μορφὴ ἐπέων, παρ' Ὁμήρῳ ἤγουν τὸ τῶν λόγων κάλλος ἢ ἡ πιθανότης. 1691, 10.
μορφὴ ὅτι ἐπὶ προσώπου τίθεται, ὅθεν εὔμορφος ὁ εὐπρόσωπος. 1799, 37.
μόρφνος ἀετὸς ὁ φόνιος, οἱονεὶ μοροφόνος, ἢ ὁ μέλας παρὰ τὴν ὄρφνην, ἢ ὁ θηρευτικὸς παρὰ τὸ μάρπτω, καὶ ἄλλως διαφόρως ἑρμηνευόμενον, καὶ ὅτι βαρύνεται κανονικῶς. 437, 9. 1352, 5.
—μος λήγοντα ὀνόματα ἔχοντα πρὸ τοῦ μος τὴν ορ συλλαβὴν, ὀξύνεται, οἷον κορμὸς, φορμός. 1352, 17.
—μος λήγοντα ὑπερδισύλλαβα, ἔχοντα τὸ σ πρὸ τοῦ μ, ὀξύνεται, οἷον μερισμὸς, ὁπλισμός. 1033, 9.
—μος λήγοντα μετ' ἐπιπλοκῆς τοῦ γ ὅτι μετὰ προθέσεως συντιθέμενα ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον, οἷον παιγμὸς ἐμπαιγμὸς, κηρυγμὸς ἐκκηρυγμός. 1252, 2.
—μος ληγόντων ἔχοντα πρὸ τοῦ μ τὸ θ ὅτι ὀξύνεται, οἷον πορθμὸς, ἰσθμὸς, μηνιθμός. 582, 16.
—μος λήγοντα ὀνόματα προπερισπώμενα κατὰ τοὺς ἀρχαίους Ἀττικοὺς, οἷον ἐρῆμος, ἑτοῖμος. 341, 12. 822, 5.
μοσχεύειν ὅτι γεωργικὴ λέξις ἐστὶ, καὶ ὅτι παρὰ τοὺς μόσχους, ἤγουν τοὺς ἁπαλοὺς κλάδους τῶν φυτῶν, λέγεται. 834, 33.
μοσχίαι, ὅτι οὕτως ἐλέγοντο οἱ τριετεῖς κριοί. 1627, 15.
Μόσχος Ἠλεῖος σοφιστὴς ὑδροπότης διὰ βίου, ἱστορία. 916, 46.

μόσχος μονόκερως ὁ ἐνιαυτὸς συμβολικῶς, ἑρμηνεία διεξοδική. 1418, 20.

μόσχος, ὅτι μόσχον τὴν ἀρχὴν τοῦ μηνὸς εἴρηκέ τις τῶν παλαιῶν διὰ τὸ ἕνην καὶ νέαν λέγεσθαι τὴν αὐτήν. 1866, 15.

μόσχος ἐπιθετικῶς ἐπὶ ἁπαλοῦ καὶ τρυφεροῦ λύγου ἐν τῷ, δίδη μόσχοισι λύγοισιν, Ἰλ. λ'. 105. 834, 31.

Μούλιος κύριον παρὰ τὸ μολεῖν Ἰωνικῇ ἐπενθέσει τοῦ υ, καὶ ὅτι Αὐγείου γαμβρὸς ἱστορεῖται ὁ Μούλιος, καὶ ὅτι ὁρμητικὸν ἄνθρωπον ὑπαγορεύει ἡ τοῦ ὀνόματος ἐτυμότης. 804, 37. 882, 23. 1852, 40.

μουνὰξ ἀντὶ τοῦ κατὰ μόνας ἐν μονομαχίᾳ ἐν τῷ, ἤδη μὲν πολέων ἀνδρῶν φόνῳ ἀντεβόλησας μουνὰξ κτεινομένων, Ὀδ. λ', 416. 1692, 15. ἀλλαχοῦ δὲ ὅτι τὸ μουνὰξ ἀντὶ τοῦ καθ' ἕνα καὶ ἰδίᾳ. 1601, 19.

Μοῦσα ἀλληγορικῶς ἡ κατὰ νοῦν γνῶσις, παρὰ τὸ μῶ τὸ ζητῶ, ἐκ τοῦ ζητεῖν γὰρ περιγίνεται τὸ ἐπίστασθαι. 9, 35. 10, 12. καὶ μοῦσα ἐν ἴσῳ τῷ ᾠδή, ὅθεν μουσουργὸς ὁ μελοποιὸς λέγεται. 11, 18. καὶ Μοῦσα ὁ ὡραϊσμένος λόγος, ζήτει ἐν τῷ λόγος. 10, 26.

Μοῦσα ἑνικῶς κατ' ἔννοιαν προσηγορικὴν ἐν ἴσῳ τῷ Μοῦσαι πληθυντικῶς εἰπεῖν. 1953, 57.

Μοῦσαι ὅτι Διονύσου τροφοὶ καὶ αὗται λέγονται, ὡς Νύμφαι καὶ αὗται οὖσαι, εἰς σύμβολον τοῦ ἐμμούσου καὶ ἔμφρονος τῶν κεκραμένον τὸν οἶνον πινόντων ἀνθρώπων. 1816, 5.

Μουσηγέτης Ἀπόλλων ὁ ἡγούμενος τῶν Μουσῶν. 10, 29.

μουσικὴ ὅτι πραΰντική ἐστι θυμοῦ. 1078, 37.

μουσικοὶ ἀρχαῖοι, Ὀρφεύς, Μουσαῖος, Θάμυρις, ὅτι Θρᾷκες τὸ γένος ἦσαν. 299, 5.

μουσικῶν ὀργάνων τινῶν ὀνόματα, φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβῦκαι. 1558, 6.

Μουσῶν ἐπίκλησις κατὰ ποσὰ διαστήματα παρ' Ὁμήρῳ διὰ τίνας ἀφορμὰς γίνεται, ἑρμηνεία διεξοδική. 259, 20.

Μουσῶν καὶ Σειρήνων ἀγών, ὅτι αἱ Σειρῆνες εἰς ᾠδικὸν ἀγῶνα ταῖς Μούσαις καταστᾶσαι ἡττήθησαν, καὶ εἰς ποινὴν τὰ πτερὰ παρατιλθεῖσαι πτέρινον στέφανον ταῖς νικησάσαις Μούσαις ἐχορήγησαν. 85, 36.

Μουσῶν στέφανοι πτέρινοι, μῦθος. 85, 39. ζήτει τὸ, Μουσῶν καὶ Σειρήνων ἀγών.

Μουσῶν παῖδες, Εὐτέρπης Ῥῆσος, Καλλιόπης Ὀρφεύς, Τερψιχόρης Λίνος, Θαλείας Παλαίφατος, Ἐρατοῦς Θάμυρις, Πολυμνίας Τριπτόλεμος, καὶ ἄλλοι ἄλλων. 817, 30. καὶ ἔτι οἱ ποιητικοὶ καὶ μουσικοὶ ἄνθρωποι Καλλιόπης ἢ Ἀπόλλωνος υἱοὶ γεγονέναι μυθεύονται. 18, 33.

μόχθηρος βαρυτόνως ὁ ἐπίπονος, μοχθηρὸς δὲ ὁ φαῦλος τοὺς τρόπους, καὶ διαίτησις διεξοδικὴ τῆς τοιαύτης τονώσεως. 341, 14-22.

μόχθος ὅτι ἐκ τοῦ ὄχθος λέγεται πλεονασμῷ τοῦ μ. 1236, 5. 1385. 33.

μοχλὸς, οἱονεὶ μήοχλος, ὁ μὴ ὀχλιζόμενος, ὅ ἐστι μετακινούμενος, ὅτι ἐκ τοῦ μὴ στερητικοῦ καὶ τοῦ ὀχλίζω λέγεται κατ' ἔκθλιψιν τοῦ η. 1358, 64. 1365, 49. ἀλλαχοῦ δὲ ὅτι μοχλὸς παρὰ τὸ ὀχλεῖν, ὃ δηλοῖ τὸ μετακινεῖν, λέγεται πλεονασμῷ τοῦ μ. 182, 25. 1236, 5. καὶ ὅτι μοχλὸς καὶ μηχανικόν τι ξύλον λέγεται, ᾧ τὰ βάρη ὀνοχλίζονται· καὶ μοχλὸς τροπικῶς ὁ φύλαξ. 1635, 52. 1944, 24. καὶ ὅτι ὁ μοχλὸς καὶ ὀχεὺς καὶ κληῒς συνωνύμως παρ' Ὁμήρῳ λέγεται. 1358, 64. καὶ ὅτι ἀξύνεται τοὔνομα. 794, 29. καὶ ὅτι ἐκ τοῦ μοχλὸς λέγεται τὸ μοχλεύειν καὶ ἐκμοχλεύειν καὶ ἀναμοχλεύειν. 1944, 24.

μοχλέω ὅτι πρωτότυπόν ἐστι τοῦ μοχλεύω, καὶ ἔστι χρῆσις αὐτοῦ ἐν τῷ, στήλας τε προβλῆτας ἐμόχλεον, Ἰλ. μ', 259. 903, 61.

Μυγδόνες, ἔθνος περὶ τὴν Δασκυλῖτιν λίμνην, παρῆκον μέχρι τῆς Μυρλεανῆς χώρας. 766, 38.

μυγμὸς ὅτι παρὰ τὸ μύζειν λέγεται, ὃ δηλοῖ τὸν τοῦ μ στοιχείου ἦχον ἀποτελεῖν. 440, 24.

μυδαλέος ὁ δίυγρος, παρὰ τὸ μυδᾶν, ὃ παρὰ τὸ ὕδωρ λέγεται. 830, 22.

μυεῖν, ἱερὰ λέξις, ὅτι παρὰ τὸ μύειν, ἤγουν κεκλεῖσθαι δεῖν τὰ χείλη τῶν μεμυημένων, λέγεται. 1356, 51.

μύειν λέγονται ἕλκη καὶ χείλη καὶ ὄμματα καὶ ῥόδα τε ἔτι ἐν τοῖς κάλυξι, καὶ περὶ τῶν παρὰ τὸ μύειν λεγομένων. 1356, 50.

μυελὸν ἀνδρῶν τὰ ἄλφιτα ἐπιθετικῶς καλεῖ Ὅμηρος ἀντὶ τοῦ μυελοποιὰ καὶ θρεπτικά, καὶ ὅτι διὰ τοῦ μυελοῦ τὴν ὅλην παραδηλοῖ τοῦ θρεπτικοῦ ἐνέργειαν. 309, 46. 1445, 60. 63.

μυελὸς λευκὸς ὁ ἐγκέφαλος παρὰ Σοφοκλεῖ (Trach. 781.). 757, 44.

μύες ἀρουραῖοι ἐπιθέμενοι ἀνθρώποις, ἱστορία. 34, 37.

μύες οὐρανόθεν κατενεχθέντες, ἱστορία. 35, 16.

μύες καὶ μυῶνες αἱ συνεστραμμέναι καὶ νευρώδεις σάρκες ὁμωνύμως τοῖς ζῴοις. 1061, 44. καὶ ὅτι παρὰ τὸ μύειν λέγονται. 1282, 28. 1356, 3.

μυζᾶν τὸ θηλάζειν. 862, 44. καὶ ὅτι μυζᾶν γάλα καὶ μυελὸν κατὰ συνθήκην λέγεται, καὶ ὅτι παρὰ τὸν τοῦ μῦ στοιχείου ἦχον, ὡς καὶ τὸ μύζειν, λέγεται. 464, 31. 35.

μύζειν τὸ μεμυκόσι τοῖς χείλεσι τὸν τοῦ μῦ στοιχείου ἦχον διὰ τῆς ῥινὸς ἀποτελεῖν. 440, 23. 723, 6.

μύζουρις καὶ ἀπομύζουρις γυνὴ ἡ αἰσχροποιός, παρὰ τὸ μυζᾶν, ἤγουν θηλάζειν, τὴν οὐρὰν τὸ ἀνδρεῖον μόριον. 862, 44. 1821, 52. 1921, 64.

μυθέσκω ὅτι ἐκ τοῦ μυθῶ μυθέσω γίνεται πλεονασμῷ τοῦ κ. 1144, 8.

μυθεύεσθαι τὸ ψευδῶς λέγειν παρὰ τοῖς μεθ' Ὅμηρον, μυθεῖσθαι δὲ παρ' Ὁμήρῳ τὸ λαλεῖν καὶ ἀφηγεῖσθαι. 760, 29.

μυθήσασθαι ἐν ἴσῳ τῷ ἀφηγήσασθαι, ὀνομῆναι δὲ τὸ πρὸς ὄνομα εἰπεῖν ἐν τῷ, πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνο-

μήνω, ὅσσας ἡρώων ἀλόχους ἴδον, Ὀδ. λ', 328. 1689, 18.

μυθητὴς ἀντὶ τοῦ στασιαστὴς παρ' Ἀνακρέοντι καταχρηστικῶς. 1901, 45. ζήτει τὸ μῦθος.

μυθολογεύειν ὅτι ἐξ ἰσοδυνάμων λέξεων σύγκειται καὶ δηλοῖ τὸ λέγειν καὶ ἀφηγεῖσθαι παρ' Ὁμήρῳ. 437, 24.

μῦθος παρ' Ὁμήρῳ ὁ ἁπλῶς λόγος, παρὰ δὲ τοῖς ὕστερον ὁ ψευδὴς καὶ πεπλασμένος καὶ ἀληθείας ἔχων ἔμφασιν λόγος. 29, 24. 28. 406, 44. 1690, 54. ἐν δὲ τῷ, μῦθος δ' ἄνδρεσσι μελήσει, Ὀδ. α', 358. μῦθος οὐχ' ὁ ἁπλῶς λόγος, ἀλλ' ὁ δημηγορικός. 1423, 24. καὶ ὅτι παρὰ τὸ μύειν λέγεται τοὔνομα. 1356, 52.

μῦθος ὁμωνύμως ὄνομα κήπου τινὸς πολυτελοῦς, ἐν ᾧ Ἱέρων ἐχρημάτιζε, διὰ τὸ ἄπιστον καὶ οἷον μυθικὸν εἶναι αὐτοῦ τὴν κατασκευὴν οὕτω λεγόμενος. 1293, 59. 1516, 20.

μῦθος ἀντὶ τοῦ στάσις, καὶ μυθηταὶ ἀντὶ τοῦ στασιασταὶ παρ' Ἀνακρέοντι καταχρηστικῶς. 1901, 44.

μύθων ἀλληγορηταί, Παλαίφατος, Ἡράκλειτος καὶ Χάραξ. 1504, 55. 1859, 44.

μυῖα τὸ ζωΐφιον ὅτι παρὰ τὸ μύειν λέγεται. 1356, 53. καὶ ὅτι καὶ αἱ μέλισσαι μυῖαι λέγονταί ποτε καταχρηστικῶς. 257, 7.

μυῖα χαλκῆ, ὅτι εἶδός τι παιδιᾶς χαλκῆ μυῖα ἐκαλεῖτο· καὶ ὅτι χαλκαῖ μυῖαι καλοῦνται αἱ συννεμόμεναι τοῖς κανθάροις διὰ τὸ χαλκίζειν. 1243, 29.

μυιοσόβη, ὄργανόν τι ἐκ τριχῶν, δι' οὗ μυῖαι ἀποσοβοῦνται. 439, 44. 1243, 33.

Μυκάλη, πόλις Καρίας παρὰ τὸ ἐκεῖ μυκήσασθαι τὰς Γοργόνας, μῦθος ἐτυμολογικὸς τοῦ ὀνόματος· καὶ Μυκάλη ὄρος ὑπερκείμενον τῆς Πριήνης πόλεως ἀντικρὺ Σάμου τῆς νήσου. 368, 22. 28.

Μυκαλησσός, πόλις τῆς Βοιωτίας παρὰ τὸ μυκήσασθαι λεγομένη, μῦθος ἐτυμολογικὸς τοῦ ὀνόματος· καὶ Μυκαλησσὸν ἑτέρα Καρικὴ πόλις καὶ ὄρος ἀντικρὺ Σάμου τῆς νήσου. 266, 28.

μυκᾶσθαι λέγεται παρ' Ὁμήρῳ ἀσπὶς πεπληγμένη καὶ βροντὴ καὶ δῶμα καὶ πύλαι ἀνοιγόμεναι. 604, 32. 39. 1207, 14.

μυκηθμὸς κυρίως ἡ τοῦ βοὸς φωνή. 1728, 32.

Μυκῆναι, πόλις Πελοποννήσου ἐπισημοτάτη πάλαι, μετὰ δὲ τὰ Τρωικὰ ὑπὸ Ἀργείων κατασκαφεῖσα· καὶ ὅτι Περσέως κτίσμα αἱ Μυκῆναι, καὶ πῶς περιῆλθον εἰς Ἀτρέα καὶ Ἀγαμέμνονα ἐπὶ τῶν Τρωικῶν, καὶ ἄλλα τινὰ περὶ τῆς πόλεως διεξοδικῶς· καὶ ὅτι παρὰ τὸν μύκητα τοῦ ξίφους τοῦ Περσέως ἐκλήθη, ἑρμηνεία διεξοδικωτάτη. 289, 43—290, 19. 443, 8. καὶ ὅτι Ταλθύβιος ὁ κῆρυξ ἀποικίαν Μυκηναίων ἐς Κρήτην ἤγαγε μετὰ τὰ Τρωικά. 1861, 6.

μύκης ὁ ἀμανίτης, καὶ μύκης ὁμωνύμως ἡ τοῦ ξίφους λαβή, καὶ ἡ τοῦ λύχνου εἴτουν τοῦ ἐλλυχνίου μύξα. 290, 2. 310, 22. 440, 29. καὶ ὅτι οὐ μόνον μύκης μύκητος περιττοσυλλάβως, ἀλλὰ καὶ μύκης μύκου ἰσοσυλλάβως κλίνεται· καὶ ὅτι ὁμώνυμος ἡ φωνή, καὶ ἔκθεσις τῶν σημαινομένων αὐτῆς· καὶ ὅτι οὐκ ἐκ σπέρματος φύονται οἱ μύκητες εἴτουν ἀμανῖται. 283, 15. 1017, 12.

Μύκονος, ὄνομα νήσου μιᾶς τῶν Κυκλάδων. 1507, 9. καὶ ὅτι οἱ Μυκονιοὶ ὡς γλίσχροι καὶ πλεονέκται ἐκωμῳδοῦντο. 1828, 7.

μυκτὴρ παρὰ τὸ μύζειν, ὅ ἐστι τὸν τοῦ μῦ στοιχείου ἦχον τοῖς μυκτῆρσιν ἀποτελεῖν. 440, 24. 723, 6.

μύλακες, λίθοι μυλοειδεῖς, ὅ ἐστι στρογγύλοι, οἱ καὶ μυλίαι λεγόμενοι. 897, 21.

μύλη ὁ μυλικὸς λίθος, ἔτι καὶ μύλος καὶ μύλων λέγεται, καὶ ὅτι ἐντεῦθεν καὶ μύλαι ὀδόντες τινὲς ὁμωνύμως λέγονται. 1885, 22.

μύλη, ἡ καὶ ἐπιγουνὶς παρ' Ὁμήρῳ, ὁ ἀνωτέρω τοῦ γόνατος τόπος. 1818, 25. ἀλλαχοῦ δὲ ὅτι μύλη τὸ ἄκρον τοῦ μηροῦ κατὰ τὴν ἐπιγουνίδα ὁμωνύμως τῷ ἐν ᾧ τρίβονται οἱ πυροί. 1571, 33. 39.

μυλήφατον ἄλφιτον τὸ ἐν τῷ μύλωνι πεφασμένον ἤγουν πεφονευμένον ἐν τῷ ἀλήθεσθαι, ὅτι πρὸς ὁμοιότητα τοῦ πρόσφατον καὶ Ἀρηίφατον λέγεται τοὔνομα. 564, 10. 868, 39. 1445, 57. 1450, 18.

μυλίας λίθος ὁ εἰς ἀλετὸν χρήσιμος, ὅτι παρὰ τὴν μύλην λέγεται. 897, 21. 1885, 20.

μύλλειν λέγεταί τις τῷ στόματι, νεύειν δὲ τοῖς ὀφθαλμοῖς. 1798, 43. καὶ μύλλειν παρὰ Θεοκρίτῳ ἐπὶ ἀσέμνου μίξεως, παρὰ τὴν μύλην. 1885, 22.

Μύλλος, ὄνομα ὑποκριτοῦ παλαιοῦ, ὃς μιλτωτοῖς ἐχρήσατο προσωπείοις. 1885, 21. μυλλὸς δὲ ὀξυτόνως ὁ διεστραμμένος τὴν ὄψιν. 906, 53.

μυλοειδὴς ὁ στρογγύλος κατὰ μύλην, ὃ δηλοῖ τὸν μυλικὸν λίθον. 680, 37.

μύλος ὁ γρόνθος παρὰ Λυκόφρονι. 1857, 62.

μυλώδοντες, οἱ καὶ ἀλήθοντες, ὀδόντες τινὲς παρὰ τὴν μύλην οὕτω λεγόμενοι. 1885, 27.

μυλωθρὸς ἀνὴρ καὶ μυλωθρὶς γυνὴ ὅτι παρὰ τὸ τὸν μύλωνα ἀθρεῖν λέγονται κατὰ συναίρεσιν, ἢ παρὰ τὸ περὶ μύλωνα θορεῖν κατὰ συγκοπήν. 1571, 38. καὶ μυλωθρὸς ᾠδὴ ὁμωνύμως ἡ καὶ ἐπιμύλιος, ἣν παρὰ τοὺς ἀλετοὺς ᾖδον. 1236, 58. 1885, 23. 26.

μύλωνες ἱεροὶ Ἀθήνησιν, οἷς ἠλοῦντο τὰ εἰς τὰ ἱερὰ πόπανα ἄλευρα. 1885, 14.

μυλώνων καὶ μυλωθρῶν θεός, Εὔνοστος καλούμενος, ἔφορος τοῦ τῶν ἀλεύρων μέτρου. 1383, 42.

μύνεσθαι τὸ προφασίζεσθαι, ζήτει ἐν τῷ μύνη. 1901, 51.

μύνη ἡ πρόφασις, οἱονεὶ μονὴ παρὰ τὸ μένειν καὶ ἐπέχειν τοὺς προφασιζομένους καὶ σκέπτεσθαι τί ἂν εἴποιεν, καὶ τροπῇ Αἰολικῇ τοῦ ο εἰς υ, ὅθεν καὶ μύνεσθαι τὸ προφασίζεσθαι· ἢ μύνη παρὰ τὸ μύειν τὸ στόμα. 1901, 47.

Μύνης, ὅτι οὕτως ἐκαλεῖτο ὁ ἀνὴρ τῆς παρ' Ὁμήρῳ Χρυσηίδος. 322,

ἄνω χείλους τρίχες, πάππος δὲ ὁμωνύμως αἱ ἐπὶ τοῦ κάτω. 1353, 56. 1496, 53.

μυστήρια Δήμητρος ὅτι ἐν Ἄγραις, χωρίῳ τινὶ τῆς Ἀττικῆς, ἐτελεῖτο. 361, 37.

μυστίλαι, ψωμοὶ κοῖλοι πρὸς ἄρυσιν ζωμοῦ ἐπιτήδειοι, τὸ μῖ ῡ ψιλὸν, τὸ στῖ ἰῶτα. 1476, 62.

μυστιλᾶσθαι τὸ διὰ μυστιλῶν, ὅ ἐστι κοίλων ψωμῶν, ζωμὸν ἀρύεσθαι ἢ τὸ κοιλαίνειν τοὺς ψωμούς. 1476, 63.

μύστρα καὶ μυστρία ταὐτὸ ὅπερ μυστίλαι, ὅ ἐστι κοῖλοι ψωμοὶ πρὸς ἄρυσιν ζωμοῦ ἐπιτήδειοι. 1476, 63.

μυστριοπῶλαι ὅτι ἐκ τοῦ μυστρίον ὑποκοριστικοῦ παρήχθη, ἔστι δὲ μυστρίον ταὐτὸ ὅπερ μιστύλη. 1368, 55.

μύστρος καὶ μυστρίον ὑποκοριστικῶς ταὐτὸ ὅπερ μιστύλη. 1368, 51.

μύτις μίτιδος, ὁ μυκτὴρ ἐπὶ θαλασσίων τινῶν, οἷον σηπίας, ὅτι παρὰ τὸ μύζειν λέγεται, ὅθεν καὶ ὁ μυκτήρ. 440, 26. 723, 8. 950, 2.

μυχαίτατος ἐκ τοῦ μυχότατος τροπῇ τοῦ ο εἰς α καὶ προσλήψει τοῦ ι λέγεται. 1905, 35.

μυχθίζειν, ζήτει ἐν τῷ μυχμός. 440, 25. 1965, 49.

μυχμὸς ἢ μυγμὸς ὁ ἐκ τοῦ διὰ τῶν μυκτήρων ἄσθματος ἦχος, παρὰ τὸ μύζειν, ὅθεν καὶ τὸ μυχθίζειν. 1965, 48.

μυχοίτατος παρ' Ὁμήρῳ ἀντὶ τοῦ μυχαίτατος, ὅ ἐστιν ἐνδότατος, ἐκ τοῦ μυχότατος προσλήψει τοῦ ῑ. 1905, 30.

μυχὸς δόμου παρ' Ὁμήρῳ τὸ ἐνδοτάτω μέρος τῆς οἰκίας. 1474, 6.

μύω μύσω, ὅτι περὶ χειλέων καὶ βλεφάρων λέγεται. 1282, 27.

μυῶ μυήσω, ὅτι ἐκ τοῦ μύω γενόμενον πρὸς μεταβολὴν ἐννοίας περιεσπάσθη. implicite. 1625, 56.

μυῶνες ταὐτὸ ὅπερ μῦες, ἤγουν συνεστραμμέναι σάρκες ἐν τοῖς τῶν ζῴων σώμασι. 79, 43. ἀλλαχοῦ δὲ ὅτι μυῶν μυῶνος ἡ γαστροκνημία, καὶ ὅτι ὡς περιεκτικόν ἐστι τοὔνομα. 1061, 41.

μύωψ ταὐτὸ ὅπερ οἶστρος, ὅ ἐστι ζωΰφιόν τι πολέμιον τοῖς βουσί. 1648, 44. 1928, 16.

μῶ, ὅτι οὕτως ὠνόμαζεν ὁ Δημόκριτος τὸ μῦ στοιχεῖον. 370, 16.

μῶ τὸ ζητῶ, ὅθεν Μοῖσα καὶ Μαῖα. 10, 30. καὶ μῶ τὸ ὑπὲρ τὸ δέον προθυμοῦμαι. 661, 28. 792, 32.

Μῶα ἐν ἴσῳ τῷ Μοῦσα, ὅτι χωρὶς τοῦ ῑ γράφεται. 844, 7.

μῶκος καὶ μωκεία ἡ χλεύη. 1275, 60.

μῶλος ἡ κακοπάθεια καὶ ἡ ἐν μάχῃ μόλυσις ἐκτάσει τοῦ ο, καὶ ἄλλως διαφόρως ἑρμηνευόμενον καὶ ἐτυμολογούμενον διεξοδικῶς· καὶ ὅτι μῶλος κατὰ μόνας ἐπὶ πολέμου ἀτελῶς λέγεται, μῶλος δὲ Ἄρεως ἐντελῶς. 217, 12. 245, 34. 38. 672, 23. 882, 22. 1058, 24. 1135, 9.

μῶλυ παρ' Ὁμήρῳ Ὀδ. κ', 305. ὅτι εἰς παιδείαν ἀλληγορεῖται, ὡς ἐκ μώλου ἤγουν κακοπαθείας περιγινομένην· οἱ δὲ ὅτι παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφανίζειν, τὰ φάρμακα λέγεται· οἱ δὲ ὡς βοτάνην ἐκ τοῦ αἵματος ἑνὸς τῶν Γιγάντων φυεῖσαν ἐτυμολογοῦσι παρὰ τὸν μῶλον, ἤγουν πόλεμον, ᾧ ἔπεσεν ὁ Γίγας ἐκεῖνος, καὶ ἔκθεσις τῶν ἱστορουμένων περὶ τῶν τοῦ μώλυος ποιοτήτων, καὶ ἀλληγορία τῶν μυθευομένων Ὁμήρῳ περὶ αὐτοῦ. 124, 31. 1658, 27—56.

μώλωψ ὅτι παρὰ τὸ λέπω λέγεται, οἱονεὶ βοόλωψ ὁ ἐκ βοείων λεμμάτων γινόμενος. 1246, 27.

μῶμαρ ὁ μῶμος παρὰ Λυκόφρονι. 154, 45.

—ων λήγοντα ὀνόματα ὀξύτονα ὅτι ἐκ πλεονασμοῦ παραγωγικοῦ ἔχουσι τὸ μ, οἷον τελαμὼν, πλαταμών. 243, 37.

μώνυχες ἵπποι ἐπιθετικῶς λέγονται πρὸς διαστολὴν τῶν πολυωνύχων ἢ διχηλῶν ζῴων. 543, 22.

μωρὸς ὅτι παρὰ τὸ μὴ ὁρᾶν λεγόμενον, οἱονεὶ μήορος, ἀναλογώτερον μῶρος προπερισπωμένως λέγεται ὡς ἐκ τοῦ μήορος συναιρεθέν. 245, 37. 1447, 53. 56. ἀλλαχοῦ δὲ ὅτι μῶρος προπερισπωμένως τὸ ἀρχαῖον ἐλέγετο. 1749, 39.

μωρῶν τινῶν ὀνόματα, Σάννας, Κόροιβος, Μαργίτης, Μαμμάκουθος, Μελιτίδης, Ἀμφιετίδης, Πολύωρος, καὶ ἱστορίαι τινὲς περὶ αὐτῶν. 1669, 45—55.

Ἀρχὴ τοῦ Ν στοιχείου.

ν̄ τὸ στοιχεῖον ὅτι οὐ προτίθεται ποτε δασυνομένου φωνήεντος, πλὴν ἐν τῷ νήδυμος, ὃ ἐκ τοῦ ἥδυμος λέγεται κατά τινας. 163, 31.

ν̄ ἐν μέσῳ λέξεως πλεονάζον πρὸς ὄγκον ἤχου καὶ καλλιφωνίαν τρεπόμενόν τε εἰς γ̄ ἢ εἰς μ̄ κατὰ τὰ ἐπαγόμενα σύμφωνα. 1382, 34.

ν̄ τελικὸν κατ' ἐφελκυσμὸν ἔν τισι τοῦ λόγου μέρεσιν, οἷον ἐν τοῖς εἰς θεν ἐπιῤῥήμασι καὶ ἐν τῷ κε καὶ νῦ παραπληρωματικοῖς. 52, 24.

ν̄ τὸ στοιχεῖον ὅτι ἀντιστοιχεῖ τῷ λ̄ ἐν τῇ Δωρικῇ διαλέκτῳ, οἷον ἦνθεν ἀντὶ τοῦ ἦλθεν, καὶ φίντατος ἀντὶ τοῦ φίλτατος· ἀνάπαλιν δὲ παρ' Ἀττικοῖς τὸ ν̄ εἰς λ̄ τρέπεται, οἷον λίτρον ἀντὶ τοῦ νίτρον. 312, 35. 483, 9. 756, 30. 918, 27. 31. 1648, 4.

ν̄ λήγουσαι αἰτιατικαὶ ὅτι βραχυκαταληκτοῦσι, οἷον ἔχιν, Θέτιν, Ἄλεξιν. 8, 43.

ν̄ λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι ὅτι περισπῶνται καίτοι τῶν εὐθειῶν τινῶν ὀξυνομένων, οἷον ἡ κλεὶς τὴν κλεῖν. 857, 38.

ν̄ ληκτικὸν τοῦ εἰσὶν ὑπαρκτικοῦ ὅτι οὐκ ἐκθλίβεται σὺν τῷ ῑ ἐν τῷ, ὅσοι θεοὶ εἰσ' ἐν Ὀλύμπῳ, Ἰλ. α', 566. ἀλλὰ μόνον τὸ ῑ πρὸ τοῦ τὸ ν̄ προσλαμβάνειν. 150, 23.

νάειν ὀρῷ λέγεται ἐγγεῖόν τι παρ' Ὁμήρῳ ἀντὶ τοῦ πεπληρῶσθαι ὥστε καὶ ἔξω ῥέειν. 1625, 54.

ναίτης ὅτι παρὰ τὸ νάω λέγεται, ὡς ἐκ τοῦ κλαίω τὸ κλάω. 971, 50. 1486, 64.

ναὶ ἀντὶ τοῦ νὴ κατωμοτικοῦ ἐν τῷ, ναὶ μὰ τόδε σκῆπτρον, Ἰλιάδ. α', 234. ἢ τὸ μὲν ναὶ βεβαιωτικὸν, τὸ δὲ μὰ ὁρκωμοτικὸν ἁπλῶς· ἢ καὶ ἄλλως, τὸ ναὶ μὰ τόδε σκῆ-

Νέμεσις ἡ σωματοειδὴς θεὰ μήτηρ γεγονέναι τῶν Διοσκούρων μυθεύεται, καὶ ὅτι διωκομένη ὑπὸ τοῦ Διὸς εἰς πολλὰ μετεμορφοῦτο. 1321, 39. καὶ Νεμέσεως ξόανον ἐν Ῥαμνοῦντι, καὶ Νεμέσεως ἱερὸν περὶ Ἀδράστειαν πόλιν· ζήτει τὸ, Νεμέσεως ξόανον.

νεμεσῶμαι ἐνίοτε παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ νεμεσῶ, ὅ ἐστι μέμφομαι. 923, 13. 1008, 8.

νεμήσασθαι ἐν ἴσῳ τῷ νέμειν ἐνίοτε παρ' Ὁμήρῳ. 1368, 59.

νέμος οὐδετέρως τόπος δασὺς ἐπιτήδειος εἰς νομὴν, ὅτι παρὰ τὸ νέμειν λέγεται. 636, 16. 857, 34.

νεμῶ περισπώμενον, ὅθεν τὸ νεμήσασθαι καὶ νεμησάμενος, ὁ μέλλων νεμήσω καὶ νεμέσω. 1416, 34. 1680, 54.

νέννος, ὄνομα συγγενικὸν, καὶ δηλοῖ τὸν θεῖον. 777, 60. 971, 26.

νενόμιστο ἀντὶ τοῦ ἐνενόμιστο, ἤγουν νόμῳ διέκειτο. 1348, 60.

νένοφα μέσος παρακείμενος ὅτι ἐκ τοῦ νέφω κεκίνηται· ἐκ γὰρ τοῦ νείφω νένοιφα ἂν ἦν, ὡς ἐκ τοῦ πείθω τὸ πέποιθα. 127, 27.

νεογιλὸν τὸ νεωστὶ γεγενημένον, ὅτι ἐκτείνει τὴν γῑ συλλαβὴν τοὔνομα, καὶ ὅτι παρὰ τὸ γίνω λέγεται νεογινὸν καὶ τροπῇ Ἀττικῇ νεογιλόν. 312, 35. 483, 12. 918, 31. 1498, 40. 1714, 59.

νεογνὸν ὅτι ἐκ τοῦ νεογινὸν συγκέκοπται, ὃ ἐκ τοῦ γίνω σύγκειται. 312, 36. 918, 32. 1714, 61. καὶ ζήτει τὸ νεογιλόν.

Νεοδαμώδεις, δοῦλοι Λακεδαιμονίων, ὡς καὶ οἱ Εἵλωτες. 1024, 46.

νεοίη ἡ νεότης, παρὰ τὸ νεοῖος, ὃ ἐκ τοῦ νέος γίνεται, ὡς καὶ ἐκ τοῦ ἄλλος τὸ ἀλλοῖος, ἑρμηνεία διεξοδική. 727, 58. 1319, 18.

νέον ἐπιῤῥηματικῶς ἀντὶ τοῦ νεωστὶ ἐν τῷ, ἀεὶ νέον ἐρχομενάων, Ἰλιάδ. β', 88. καὶ ὅτι τὸ ῥητὸν ἐκεῖνο διαφόρως ἑρμηνεύεται. 178, 39. 876, 51.

Νεοπτόλεμος ὁ Ἀχιλλέως Ἤπειρον οἰκήσας, ἱστορία. 1463, 33.

Νεοπτόλεμος, ὁ καὶ Πύῤῥος, υἱὸς Ἀχιλλέως ἐκ Δηιδαμείας, ὑπὸ Ὀρέστου ἀναιρεθεὶς, ἱστορία διεξοδική. 1696, 43.

Νεοπτολέμου τοῦ Ἀχιλλέως γοναὶ, ἱστορία καὶ ἐτυμολογία τοῦ ὀνόματος. 1187, 13. 20.

νέος ὅτι παρὰ τὸ νέω, ὃ δηλοῖ τὸ πορεύομαι καὶ κινοῦμαι, λέγεται. 376, 29. 1222, 41.

νεὸς, γενικὴ διὰ τοῦ ο μικροῦ, ὅτι ἀπὸ τῆς νεὺς εὐθείας κεκινῆσθαι δοκεῖ, τὸ δὲ νεὺς παρὰ τὸ νέω, ὃ δηλοῖ τὸ κολυμβῶ, λέγεται. 1039, 11.

νεοσσὸς τὸ νεογνὸν ὀρνίθιον, παρὰ τὸ νέον ὄσσεσθαι ἢ σεύεσθαι· καὶ ὅτι ἑκατέρωθεν ἔχει τὸ ἐν δυσὶ σσ γράφεσθαι, καὶ ὅτι καὶ νοσσὸς κατὰ συγκοπὴν λέγεται. 228, 40. 44. 753, 51.

νεόστροφος νευρὰ ἐπιθετικῶς, ὅτι προπαροξύνεται τοὔνομα ὡς πάθος δηλοῦν. 1025, 29.

νεοχμὸν τὸ ἔχον νεότητα ἐτυμολογικῶς. 904, 4.

νέποδες ἰχθύες οἱ ἄποδες, νέποδες δὲ φῶκαι αἱ μικρόποδες ἢ αἱ τοῖς ποσὶ νέουσαι, ὅ ἐστι νηχόμεναι, ἢ νέποδες θαλάσσης ἀντὶ τοῦ τέκνα, νέπως γὰρ κατὰ γλῶσσαν ὁ ἀπόγονος. 1502, 25. 28. 36.

νέπως κατὰ γλῶσσαν ὁ ἀπόγονος. 1502, 36. ζήτει τὸ νέποδες.

νερ συλλαβὴ ἀρκτικὴ λέξεων παθουσῶν ἀποβολὴν τοῦ ε, ὃ καταρχὰς ἦχον ἐντελῆ ἀποτελεῖ, οἷον ἔνερθεν νέρθεν, ἐνέρτερος νέρτερος. 82, 33.

νέρθεν ἐκ τοῦ ἔνερθεν ἀφαιρέσει τοῦ ἀρκτικοῦ ε. 82, 34. 1013, 62.

νέρτερος ἐκ τοῦ ἐνέρτερος ἀποβολῇ τοῦ ἀρκτικοῦ ε. 82, 34. καὶ ἀλλαχοῦ νέρτερος παρὰ τὸ ἐνέρτερος ἀφαιρέσει τοῦ ε, τοῦτο δὲ παρὰ τὸ ἔνερος, ὅ ἐστιν ὑποχθόνιος. 1196, 7.

Νέσσος κύριον ὅτι παρὰ τὸν κανόνα τῶν εἰς σσος ληγόντων βαρύνεται. 1340, 41.

Νέστωρ, υἱὸς Νηλέως ἐκ Χλώριδος τῆς Ἀμφίονος τοῦ Ἰάσου, ζήτει ἐν τῷ Νηλεύς. 1684, 59. καὶ ὅτι ὁ Νέστωρ πρῶτον μὲν Εὐρυδίκην, εἶτα Ἀναξιβίαν Ἀγαμέμνονος ἀδελφὴν ἔγημε. 296, 25. καὶ περὶ τῆς Νέστορος ἡλικίας, καὶ πῶς ἐπὶ τρεῖς γενεὰς βεβασιλευκέναι λέγεται, ἱστορία. 97, 1—30.

Νεσωνὶς λίμνη οὐ πόῤῥω Λαρίσσης τῆς Θεσσαλικῆς. 327, 29.

νεύειν ὀφρύσιν, ὅτι καὶ κεφαλῇ νεύειν λέγεται ἐπὶ τοῦ αὐτοῦ. 1798, 36.

νεῦμαι ἀντὶ τοῦ νέομαι, ἤγουν παλιννοστῶ. 1134, 35.

νευρὰ τόξου, ὅτι οὐκ ἐξ ἀνάγκης ἐκ νεύρου, ἣν καὶ τῇ χορδῇ παρονομάζουσί τινες, ἀλλὰ καὶ καταχρηστικῶς ἐκ τῆς παλαιᾶς χρήσεως οὕτω λέγεται. 421, 20. 1025, 31. 1851, 33. 1915, 34. καὶ ὅτι ἐκ νεύρων βοείων ποιῶς κατασκευαζομένων ἐγίνοντο πάλαι αἱ τῶν τόξων νευραὶ, ὕστερον δὲ καὶ ἐκ δέρματος βοείου. 452, 12. 1915, 34.

νεῦρα πραγμάτων λέγονται τὰ χρήματα τροπικῶς. 309, 44. 457, 34.

νευροσπάστης ὅτι παρὰ τὸ νεῦρον καὶ τὸ σπᾶν λέγεται. 457, 38.

νευρόω ἀντὶ τοῦ ἐνδυναμῶ. 457, 39.

νέφεα, εἶδος δικτύων ὁμωνύμως παρ' Ὁμήρῳ, ἅπερ Ἀριστοφάνης νεφέλας καλεῖ. 1928, 31.

νεφέλαι, εἶδος δικτύου ὁμωνύμως, καὶ νεφελοστάσια ὅπου τὰ τοιαῦτα δίκτυα ἵστανται. 987, 30. 1490, 44. 1928, 33. 37.

Νεφέλη κύριον ὁμωνύμως τῷ προσηγορικῷ, καὶ ὅτι ὁ Ἕλλης καὶ Φρίξου μήτηρ οὕτως ἐκαλεῖτο, καὶ διήγησις τῶν περὶ Ἕλλης καὶ Φρίξου ἱστορουμένων. 667, 5.

νεφέλη μέλαινα ἄχεος, παρ' Ὁμήρῳ ἡ ἐκ λύπης συνοχὴ καὶ πύκνωσις. 1128, 51.

νεφεληγερέτης ὁ Ζεὺς ἐπιθετικῶς πολλαχοῦ παρ' Ὁμήρῳ, καὶ ὅτι καὶ ὁ Ποσειδῶν συνάγειν μὲν νεφέλας παρ' Ὁμήρῳ λέγεται, νεφεληγερέτης δὲ οὐ λέγεται διὰ τὸ ἀποκεκληρῶσθαι τῷ Διὶ τὸ ἐπίθετον τοῦτο. 1538, 8.

νέφη, ὅτι καὶ ὁ τῶν νεφῶν τόπος νέφη λέγεται Ἀττικῶς. 1884, 61.

νέφος ὅτι παρὰ τὸν νένοφα μέσον παρακείμενον τοῦ νείφω ῥήματος λέγεται. 127, 33. ἀλλαχοῦ δὲ ὅτι

συμβεβηκότα τοῦ θαλασσίου ὕδατος. 1130, 62. 1131, 2.
νῆν ἀντὶ τοῦ νέην, ὅτι ἐν τῷ, φαεινὴν ἀμφὶ σελήνην, διελόντες τινὲς τὸ φαεινὴν εἰς δύο μέρη, τὸ μὲν φάει ἀντὶ τοῦ φωτὶ, τὸ δὲ νῆν ἀντὶ τοῦ νέην ἤκουσαν. 729, 26.
νήνεον ἀντὶ τοῦ ἐνήνεον, ὅ ἐστιν ἐσώρευον. 1292, 34.
νηνῶ τὸ σωρεύω, ὃ καὶ νηῶ λέγεται. 1292, 36.
νηπενθὲς φάρμακον παρ' Ὁμήρῳ οὐ μόνον τὸ ἐστερημένον πένθους, ἤγουν τὸ ἄλυπον, ἀλλὰ καὶ τὸ πένθους στερητικόν. 1493, 26.
νηπία βία ἐπιθετικῶς λέγεται ἡ τῶν παίδων, Ἰλ. λ', 561. ἤγουν ἀσθενὴς ἰσχὺς καὶ νηπίοις πρέπουσα. 862, 59.
νήπια κατὰ μόνας ἐνίοτε παρ' Ὁμήρῳ τὰ νεογνὰ τέκνα. 1098, 59.
νηπιάα ἡ ἀφροσύνη εἴτουν νηπιοφροσύνη, οἷον ἐν τῷ, οὐδέ τί σε χρὴ νηπιάας ὀχέειν, Ὀδ. α', 297. 767, 20. 1418, 60.
νηπίαχος ἴσον τῷ νήπιος ἐπὶ βρεφικῆς ἡλικίας, ὅτι δοκεῖ τὸ ἰάχειν ἐγκεῖσθαι τῇ λέξει. 651, 34.
νηπιέη ἡ παιδικὴ ἡλικία ἢ ἀνατροφὴ, νηπιάα δὲ ἡ ἀφροσύνη. 767, 16. ἀλλαχοῦ δὲ ὅτι νηπιέη ἡ νηπιότης, ἤγουν ἡ ἀφροσύνη καὶ ἀσυνεσία· καὶ ὅτι νηπιέη φρὴν ἐντελῶς λέγεται, νηπιέη δὲ κατὰ μόνας ἀτελῶς. 1020, 13. 1967, 36. καὶ ἀλλαχοῦ νηπιέη ἡ παιδικὴ ὁρμὴ ἢ ἡ παιδικὴ φρὴν ἐν τῷ, δὴ τότε νηπιέῃσι ποδῶν ἀρετὴν ἀναφαίνων, Ἰλ. υ', 411. 1214, 34.
νήπιος ὅτι ποτὲ μὲν ἡλικίαν, ποτὲ δὲ ἦθος ὑπαγορεύει. 651, 33. ἀλλαχοῦ δὲ ὅτι νήπιος ὁ παιδαριώδης καὶ ἄφρων καὶ ὁ ὑπειρος. 1519, 7. καὶ ὅτι νήπιος λέγεται καὶ ὁ τὴν ἡλικίαν τέλειος, ἄφρων δὲ ὁ κατὰ παῖδα φρονῶν. 1042, 5. 1500, 49. καὶ ὅτι ἐκ τοῦ νηπύτιος δοκεῖ συγκεκόφθαι τοὔνομα. 932, 45.
νήπιος, ἐπιφώνημα παρ' Ὁμήρῳ κατὰ τῶν κακῶς νοούντων ἢ βουλευομένων, καὶ ἁπλῶς ἀστοχούντων τοῦ δέοντος. 168, 40. 188, 37. 895, 10. 1209, 23. καὶ ὅτι καὶ προαναφωνητικόν ἐστιν ἐνίοτε κακοῦ ἀποτελέσματος. 1383, 36. καὶ ὅτι ἐπὶ ψόγῳ καὶ μυκτηρισμῷ ὡς ἐπιπολὺ ἐπιφωνεῖται, ἐνίοτε δὲ ἐπὶ οἴκτῳ καὶ συμπαθείᾳ. 1279, 9.
νηπύτιος ὁ ἐστερημένος τοῦ πεπνῦσθαι κατ' ἔλλειψιν τοῦ ν. 932, 44. 1203, 34.
Νηρεὺς, δαίμων θαλάσσιος, ὅτι παρὰ τὸ νέω νῶ λέγεται. 87, 5. καὶ ὅτι γέρων μυθεύεται. 116, 25. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ νέειν καὶ ῥέειν σύγκειται τοὔνομα. 437, 15.
Νηρεΐδες κοινῶς καὶ Ἀττικῶς, Νηρηίδες δὲ Ἰωνικῶς ἐκ τῆς Νηρῆος γενικῆς. 1954, 8.
Νηρῆδος γενικὴ ὅτι ἐκ τοῦ Νηρηίδος κατὰ συναίρεσιν λέγεται. 174, 13.
Νηρηίδας ὀψωνεῖν λέγονται οἱ πολυτελεῖς ἰχθῦς ὀψωνοῦντες. 867, 59. 1131, 27.
Νηρηίδες αἱ θαλάσσιαι, Ναΐδες δὲ αἱ τῶν γλυκέων ὑδάτων. 622, 30. καὶ ὅτι Νηρηίδες κοινῶς πᾶσαι αἱ τοῦ Νηρέως θυγατέρες, ἰδίᾳ δὲ αἱ ἐκ Δωρίδος τῷ Νηρεῖ γεγεννημέναι. 1954, 4.
Νηρηίδων διάφορα ὀνόματα παρ' Ὁμήρῳ. καὶ διάφοροι ἐτυμολογίαι αὐτῶν. 1130, 35 — 1131, 30.
Νηρῆς ἀντὶ τοῦ Νηρηὶς κατὰ συναίρεσιν. 840, 33.
Νήρικον ἡ ὕστερον Λευκὰς, μέρος τι παράλιον τῆς ἀντίπεραν Ἰθάκης Ἠπείρου. 306, 46. 307, 18. 1838, 63. 1964, 48.
νήριστον τὸ ἀνέριστον καὶ ἀναντίῤῥητον. 1273, 31.
Νήριτον, ὄρος Ἰθάκης, ἀπὸ Νηρίτου υἱοῦ Πτερελάου. 307, 12. 1815, 48. ἀλλαχοῦ δὲ ὅτι οἱονεὶ Νήριστον, ὅ ἐστιν ἀνέριστον, διὰ τὸ πολὺ τῆς ὕλης. 725, 18. καὶ ὅτι Νήιον ἀντὶ τοῦ Νήριτον γράφουσί τινες παρ' Ὁμήρῳ. 1613, 39.
Νησαίη, ὄνομα Νηρηίδος τινὸς παρ' Ὁμήρῳ, ὅτι παρὰ τὰς ἐν θαλάσσῃ νήσους λέγεται. 1130, 54.
νήσαντο Μοῖραι, ἤγουν ἐπέκλωσαν αἱ Μοῖραι. 1576, 47.
νῆσοι τινὲς παρωνομασμέναι ἀπὸ τῶν ἐν αὐταῖς πλεοναζόντων ζῴων ἢ φυτῶν, οἷον Λαγοῦσσαι καὶ Πιθηκοῦσσαι ἀπὸ τῶν λαγῶν καὶ πιθήκων, Πιτυοῦσσαι δὲ ἀπὸ τῶν πιτύων. 306, 12.
νῆσσα ὄρνεον ὅτι παρὰ τὸ νέω νῶ, ὃ δηλοῖ τὸ κολυμβῶ, λέγεται, καὶ ὅτι τῷ Ποσειδῶνι ἀνέκειτο τὸ ὄρνεον. 87, 4.
νῆστις ὁ ἄγευστος ἐπιθετικῶς, καὶ νῆστις προσηγορικῶς ἔντερόν τι μεταξὺ τῆς κοιλίας καὶ τοῦ στομάχου· καὶ ὅτι παρὰ τὸ νη στερητικὸν καὶ τὸ σιτεῖσθαι κατὰ συγκοπὴν λέγεται τοὔνομα, καὶ ὅτι εἶδός τι κεστρέων νήστιες καλοῦνται, καὶ Νῆστις ὁμωνύμως Σικελική τις θεός. 1177, 56. 62. 1180, 13. 1851, 47.
νήτη ἡ νεάτη χορδὴ ἡ ἀντικειμένη τῇ ὑπάτῃ. 696, 17.
νητὸς χρυσὸς ὁ εἰς πλῆθος σεσωρευμένος, παρὰ τὸ νῶ, ὃ δηλοῖ τὸ σωρεύω. 1448, 62.
νηῦς ἡ ναῦς, ὅτι οὐ διαλύεται, ὡς τὸ γρηῦς ἐνίοτε παρ' Ὁμήρῳ. 1936, 4.
νηφάλιοι θυσίαι ἐλέγοντο, ἐν αἷς οἶνος οὐκ ἐσπένδετο, ἀλλ' ὕδωρ μελίκρατον. 1493, 51.
νηφαντὸν τὸ ἄοινον, παρὰ τὸ νηφαίνω, ὃ δηλοῖ τὸ νήφω. 1306, 52.
νήχειν παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ νήχεσθαι, καὶ ὅτι ἀμφοτέρων ἐστὶ χρῆσις παρ' αὐτῷ, καὶ ὅτι παρὰ τὴν νῆσσαν, ὅ ἐστιν ὄρνεόν τι, λέγεται. 1539, 35. 1579, 64.
νήχυτος πόντος ὁ ἐπὶ πολὺ κεχυμένος, παρὰ τὸ νη ἐπιτατικὸν καὶ τὸ χύω. 163, 28.
νήχω ὅτι παρὰ τὸ νέω νῶ παρήχθη. 87, 5. 1543, 64.
νηῶ τὸ σωρεύω, ὃ καὶ νηνῶ λέγεται ἐνίοτε παρ' Ὁμήρῳ. 1292, 35.
νίζω κατὰ τὴν Ταραντίνων γλῶσσαν τὸ κοινῶς νίπτω. 824, 31.
Νίκαια, πόλις Βιθυνίας, ὅτι Ἀντιγόνεια πρότερον ἐκλήθη ἀπὸ Ἀντιγόνου, ὕστερον δὲ Νίκαια ἀπὸ τῆς γυναικὸς Λυσιμάχου. 365, 8.
Νικάνωρ γραμματικὸς ὅτι Στιγματίας ἐπεκλήθη διὰ τὸ περὶ στιγμῶν πολυλογῆσαι. 20, 12.

ξύνεται τοὔνομα. 156, 43. 257, 36. 1206, 47. 1625, 7. 1698, 37.

νόμος ὄρθιος, μουσικός τις τρόπος ᾠδῆς εἰς πόλεμον ἐρεθιστικός, καὶ περὶ Τιμοθέου τοῦ αὐλητοῦ ἱστορία. 827, 1.

νόος ἡ ἔννοια, εἴτουν τὸ νόημα ὁμωνύμως τῷ μέρει τῆς ψυχῆς, ὅθεν τὰ νοήματα. 737, 61. καὶ ὅτι παρὰ τὸ νέω, ὃ δηλοῖ τὸ κινοῦμαι, λέγεται. 1006, 57. 1222, 40. καὶ πῶς ἀκουστέον τὸ, νόον ἔγνω, Ὀδ. α', 3. ζήτει τὸ νοῦς. 1382, 4. καὶ νόον θεοῖς ἐνισπεῖν, Ἰλ. η', 447. ἀντὶ τοῦ τοὺς θεοὺς περί τινος νοήματος ἐπερωτᾶν. 690, 44.

—νος μετ' ἐπιπλοκῆς συμφώνου λήγοντα ἁπλᾶ τριγενῆ ὀνόματα ὀξύνονται, οἷον συχνὸς, κραιπνὸς, πυκνὸς· καὶ περὶ τινῶν ἄλλως ὀξυνομένων, καὶ περὶ τῶν ἐξαιρεσίμων τοῦ κανόνος. 541, 41.

νοσηρὸν ὅτι ἐκ τοῦ νοσήσω μέλλοντος ἔχει τὸ παραλῆγον η̄, νοσερὸν δὲ ἐκ τοῦ νοσέω θέματος ἔχει τὸ ε̄. 1504, 42. 1540, 14.

νοσσάδες ὄρνις, ὅτι παρὰ τοὺς νεοσσοὺς λέγονται νεοσσάδες καὶ συγκοπῇ νοσσάδες. 228, 46.

νόστιμον ἦμαρ τὸ τῆς οἴκαδε ὑποστροφῆς πολλαχοῦ παρ' Ὁμήρῳ, νόστιμον δὲ βρῶμα τὸ ἡδύ. 214, 17. 1383, 40. καὶ ὅτι ἐκ τοῦ τὸν Ὅμηρον μελιηδέα που λέγειν τὸν νόστον, ἀφορμὴν ἔσχε τοῦ νόστιμον λέγεσθαι τὸ ἡδύ. 1675, 3. 1885, 26. ζήτει τὸ νόστος.

νόστος ἡ οἴκαδε ὑποστροφὴ πολλαχοῦ παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ νέω λέγεται πλεονασμῷ τοῦ σ̄, ἵνα μὴ συμπέσῃ τῷ νότος. 31, 42. 211, 28. 222, 22. 684, 10. 1393, 36. καὶ νόστος ὁμωνύμως ἡ ἡδύτης, ὅθεν νόστιμον βρῶμα λέγεται. 1383, 41.

Νόστος, ὁ καὶ Εὔνοστος, δαίμων τις ἐπιμύλιος ἔφορος τῶν ἀλετῶν, ὅθεν καὶ τὸ νόστιμον λέγεται. 1885, 25.

νόσφι τὸ χωρὶς καὶ ἰδίᾳ καὶ πόῤῥω, παρὰ τὸ ἴς ἰνὸς ἴνοσφι καὶ νόσφι. 175, 18. 210, 30. ἀλλαχοῦ δὲ ὅτι τὸ νόσφι ἐπίῤῥημα ἀντὶ τοῦ χωρὶς, καὶ ὅτι παρὰ τὸ νενοσφίσθαι, ἤγουν διακεκρίσθαι, ἀλλήλων τὰ χωρὶς ὄντα λέγεται. 1582, 11.

νοσφιδὸν, ἐπίῤῥημα ἐκ τοῦ νοσφίζειν. 894, 50.

νοσφίζεσθαι παρ' Ὁμήρῳ μὲν τὸ χωρὶς ποιῆσαι καὶ χωρὶς γίνεσθαι, παρὰ δὲ τοῖς ὕστερον τὸ ἰδιοποιεῖσθαι καὶ σφετερίζεσθαι. 175, 12. 1495, 35. καὶ ἀλλαχοῦ ὅτι τὸ νοσφίζεσθαι ἀντὶ τοῦ νόσφι γίνεσθαι καὶ χωρίζεσθαι κεῖται πολλαχοῦ παρ' Ὁμήρῳ. 1673, 29. 1940, 46. καὶ ὅτι τὸ νοσφίζεσθαι καὶ ἀντὶ τοῦ ἀφεῖναι καὶ παραλιπεῖν ἐνίοτε τίθεται παρ' Ὁμήρῳ. 1867, 23. 1878, 38.

νόσφιν ἄτερ, ὅτι ἐκ παραλλήλου Ἀττικῶς παρατίθενται. 1817, 10.

νοτία ὅτι κατὰ μόνας λεγόμενον ἐλλιπῶς ἔχει τοῦ πνοή. 715, 2.

νότιος ἱδρὼς ὁ ἐκ τοῦ νοσεῖν τὸ σῶμα γινόμενος, οἱονεὶ νόσιος, ἢ ὁ ὑγρὸς κατὰ Νότον τὸν ἄνεμον. 885, 56. 1326, 28.

Νότος ὁ ἄνεμος ὅτι οἱονεὶ νόσος λέγεται ἐτυμολογικῶς διὰ τὸ νόσον ἐπάγειν τοῖς ἀνθρώποις. 595, 11. 885, 59. καὶ ὅτι ὁ μὲν Νότος ὠθεῖν λέγεται τὰ κύματα παρ' Ὁμήρῳ, Ζέφυρος δὲ καὶ Βορέας κυλίειν. 846, 15.

νουθετεῖν τὸ νοῦν ἐντιθέναι εἴτουν ἐμβάλλειν. 696, 23. καὶ ὅτι διὰ τοῦ ἐν φρεσὶ βάλλεσθαι, εἴτουν εἰς νοῦν θεῖναι, περιφράζεται παρ' Ὁμήρῳ. 422, 40. 1946, 55.

νουμηνία ἡ νεομηνία, ὅτι Ἀπόλλωνος ἱεραὶ ἦσαν αἱ νουμηνίαι ἡμέραι διὰ τὸ τὸν Ἥλιον τηνικαῦτα συνοδεύειν τῇ Σελήνῃ. 1887, 22.

νοῦς, ᾧ νοοῦμεν μέρος τῆς ψυχῆς, ὅτι παρὰ τὸ νέω λέγεται. 1006, 57. ζήτει τὸ νόος. καὶ Νοῦς ὁμωνύμως ὄνομα τινὸς ποταμοῦ. 1392, 19. καὶ ὅτι νόον Ὅμηρος καλεῖ τὰ τῶν πόλεων ἔθιμα καὶ νόμιμα καὶ τὸ κατ' ἦθος ἔννουν ἢ τὸν φυσικὸν χαρακτῆρα ἐν τῷ, πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω, Ὀδ. α', 3. ἑρμηνεία διεξοδικωτέρα. 1382, 4.

νόῳ ποιεῖν τι, ἤγουν φρονίμως, οἷον, νόῳ δ' ἐπέβαλλεν ἱμάσθλην, ἀντὶ τοῦ φρονίμως ἡνιόχευεν, Ὀδ. ζ', 320. 1564, 57.

νοῶ νοήσω τὸ εἰς νοῦν λαμβάνω, νοῶ δὲ νοώσω τὸ εἰς νοῦν ἐμβάλλω. 70, 23.

νῦ μόριον ὅτι ἐφέλκεταί ποτε τὸ ν̄ καὶ γίνεται νὺν, ὅθεν τὸ τοίνυν. 52, 21.

νυκταλωπῶν ὁ νυστάζων καὶ ὡς νυκτὸς ἀλαὸς τοὺς ὦπας. 1392, 33.

νυκτάλωψ ὁ νυκτὸς ἀλαὸς τοὺς ὦπας ἐτυμολογικῶς. 1392, 33.

νυκτερινοὶ κύνες, ὅτι οὕτως ἔστιν εὑρεῖν λεγομένους τοὺς λύκους παρὰ τοῖς παλαιοῖς. 809, 45.

νυκτερὶς τὸ ὄρνεον ὅτι οὐκ εἴωθεν ἐπικαθίζειν τοῖς τῶν δένδρων κλάδοις, ἀλλ' ἐκκρέμασθαι. 1729, 46. καὶ ὅτι νυκτερίδων ἴδιον τὸ ἀγρυπνεῖν καὶ ὁρμαθηδὸν ἔχεσθαι ἀλλήλων, ἱστορία φυσική. 1951, 33. 37.

νύκτες καὶ ἡμέραι παρεκταθεῖσαι ἢ συσταλεῖσαι μυθικῶς ὑπὸ τινῶν θεῶν, ἐπὶ παρεκτάσει ἢ μειώσει ἐργασίας τινός. 1946, 56 — 1947, 10.

νυκτὶ ἐοικέναι ἀντὶ τοῦ σκυθρωπὸν εἶναι, καὶ πῶς νυκτὶ ἐοικέναι λέγεται ὁ Ἀπόλλων Ἰλ. α', 47. ἀλληγορικῶς καὶ ῥητορικῶς. 40, 35.

νυκτὶ καλύψαι, ἀορασίᾳ κρύψαι. 517, 2.

νυκτὸς ἀντὶ τοῦ νύκτωρ. 820, 50.

νυκτὸς νυκτὶ νύκτα πλάγιαι ὅτι ἐκ τῶν νυχὸς νυχὶ νύχα λέγονται τροπῇ τοῦ χ̄ καὶ πλεονασμῷ τοῦ τ̄. 691, 62. 764, 38.

—νυμι ληγόντων ῥημάτων παραγωγὴ καθόλου, ζήτει ἐν τῷ, —νω καὶ —νυμι λήγοντα.

—νυμος λήγοντα ὀνόματα ἐκ τῆς ὄνομα λέξεως συγκείμενα Αἰολικῇ τροπῇ τοῦ παραλήγοντος ο̄ εἰς ῡ. 1679, 35.

νύμφα κατά τινας Ἰωνικῶς ἢ κοινῶς νύμφη, ὡς καὶ τόλμα ἢ τόλμη· καὶ ὅτι συστέλλεται τῶν τοιούτων ἡ λήγουσα κατὰ τὸ μέτρον τῶν ἐπῶν. 393, 26.

νυμφαγωγὸς ὁ τὴν νύμφην ἄγων φίλος ἢ συγγενὴς τοῦ νυμφίου, καὶ ὅτι τὴν δευτερόγαμον

νύμφην οὐ θέμις τὸν νυμφίον αὐτὸν μετιέναι. 652, 45.

Νύμφαι ἀλληγορικῶς αἱ περὶ γῆν φυσικαὶ δυνάμεις, αἱ τῶν φυτῶν θρεπτικαὶ, ἃς ἡ τοῦ ὕδατος ὑγρότης ἀποτελεῖ· καὶ ὅτι κοῦραι, ὅ ἐστι κόραι, λέγονται καὶ πλάττονται ὑπὸ τῶν ποιητῶν διὰ τὸ ἀεὶ νεάζειν, ἢ καὶ Νύμφαι λέγονται διὰ τὸ ἀεὶ νέον, καὶ κατὰ τὸ νέον, ὅ ἐστι τὸ ἔαρ, φαίνεσθαι οἱονεὶ Νεόμφαι· καὶ ὅτι καὶ αἱ γαμούμεναι νύμφαι ἐκ τοῦ νέου καὶ αὗται φαίνεσθαι λέγονται. 1193, 15. 1384, 34—41. 1554, 41—48. καὶ ὅτι διάφορα εἴδη Νυμφῶν, οἷον Ὀρεστιάδες, Ἁμαδρυάδες, Λειμωνειάδες· καὶ ὅτι πᾶσαι Διὸς, ἤγουν ἀέρος, θυγατέρες λέγονται. 652, 35. καὶ ὅτι ταῖς Νύμφαις ἔθυον οἱ ποιμένες διὰ τὸ αὐξητικὰς αὐτὰς νομίζεσθαι τῶν γῆθεν ἀναδιδομένων. 1765, 64. καὶ ὅτι Νυμφῶν Ὀρεάδων παῖδες οἱ περὶ θήραν ἀσχολούμενοι μυθεύονται. 18, 42.

Νύμφαι Ναΐδες κατὰ τὸ ἐν Ὀδυσσείᾳ μυθευόμενον ἄντρον ὅτι εἰς τὰς εἰς γένεσιν ἰούσας ψυχὰς ἀλληγοροῦνται. 1735, 8.

Νύμφαι ὑπουργοῦσαι τῇ Κίρκῃ παρ' Ὁμήρῳ ὅτι εἰς φυσικάς τινας δυνάμεις ἀλληγοροῦνται ἢ εἰς τὰς τέσσαρας ὥρας τοῦ ἐνιαυτοῦ, ἑρμηνεία διεξοδική. 1660, 54.

Νύμφαι συνιδρυμέναι Διονύσῳ, ζήτει ἐν τῷ, Ἀμφικτύων βασιλεὺς Ἀθηναίων. 1815, 61.

νυμφαῖοι μύρμηκες, ὅτι οὕτω λέγονται οἱ πτερωτοὶ μύρμηκες καὶ οἱ ἐν τοῖς κήποις σκώληκες. 1736, 5.

νυμφεῖον ὁ τόπος, ἐν ᾧ ὁ νυμφίος καὶ ἡ νύμφη διάγουσι. 652, 44.

νύμφη, συγγενικὸν ὄνομα, οἱονεὶ ἡ νυὸς φανεῖσα εἴτουν γενομένη τινί· καὶ ὅτι καὶ προβεβηκυῖαν τινὰ τῇ ἡλικίᾳ γυναῖκα νύμφην καλεῖ ὁ Ὅμηρος. 382, 19. 652, 41. 1384, 41.

νυμφίος θανεῖν λέγεται καὶ ὁ μὴ πολὺ ἐπιβιοὺς μετὰ τὸ γαμῆσαι. 1568, 19.

Νυμφῶν θύματα, ὅτι ἄρνες καὶ ἔριφοι ταῖς Νύμφαις ἐθύοντο, ὡς νέαις νεαρά. 1819, 3.

νὺν μόριον ἐκ τοῦ νὺ κατ' ἐφελκυσμὸν τοῦ ν. 52, 21.

νὺν μόριον παραπληρωματικὸν ὅτι ἐκ τοῦ νὺ ταὐτοσήμου γέγονε κατ' ἐφελκυσμὸν τοῦ ν στοιχείου. 52, 21. καὶ ὅτι ἐγκλίνεται καὶ συστέλλεται, οἷον ἐν τῷ, δεῦρό νυν ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος, Ἰλ. ψ', 485. ἑρμηνεία διεξοδική. 1312, 16.

νῦν χρονικὸν ὅτι οὐ μόνον ἐνεστῶτι συντάσσεται, ἀλλὰ καὶ παρῳχημένῳ καὶ μέλλοντι, τὸ δὲ νυνὶ ἐνεστῶτι μόνῳ. 164, 20. 1840, 1. καὶ ὅτι καὶ ἐπὶ ἀκαριαίου καὶ ἀπλατοῦς χρόνου τίθεται, οἷον ἐν τῷ, νῦν δὲ μνησώμεθα χάρμης αἶψα μάλα, Ἰλ. τ', 148. 1177, 2.

νῦνδη ἀντὶ τοῦ ἀρτίως ὑφ' ἑνὶ τόνῳ, ὅτι παρῳχημένῳ μόνον συντάσσεται καὶ τὸ δὴ χωρὶς ὑπογραφῆς τοῦ ι γράφεται. 174, 5.

νυνδὶ ἐν ἴσῳ τῷ ἁπλῶς νῦν, ὅτι ἐξ ἐπεκτάσεως ἔχει τὸ δί. 45, 6.

νὺξ ὅτι στέρησίς ἐστι τοῦ ἡλιακοῦ φωτός. 248, 40. ἀλλαχοῦ δὲ ὅτι σκίασμα ἐστὶ τῆς γῆς. 1235, 6. 1427, 27. καὶ ὅτι παρὰ τὸν νύξω μέλλοντα λέγεται τοὔνομα ἀποβολῇ τοῦ ω. 1769, 14.

νὺξ ὀλοὴ λέγεται κατά τι σύμβαμα πρὸς διαστολὴν τῆς κατὰ φύσιν, ἢ τὸ ἀμβροσία ἐπιτίθεται· καὶ ὅτι καὶ ὡς σωματική τις θεὰ ἀκούεται ἐν τῷ, εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν, Ἰλιάδ. ξ', 259. καὶ νὺξ ἡ πυκνὴ νέφωσις καὶ ζοφώδης κατάστασις τοῦ ἀέρος ἐν τῷ, ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι, τοῖς Κιμμερίοις δηλονότι, Ὀδ. λ', 19. 1671, 55.

νὺξ πολλαχοῦ παρ' Ὁμήρῳ ἡ ἐκ τῶν νεφῶν σκότωσις καὶ ἁπλῶς ἡ ἀορασία καὶ παντοία σκότωσις, οἷα καὶ ἡ ἐκ λειποθυμίας ἐπιγινομένη. 550, 26. 849, 20. 1015, 60. 1538, 19. καὶ ἀλλαχοῦ ὅτι τὸ περὶ τὸν ἀέρα πολὺ πάχος καὶ ζόφωσιν νύκτα καλεῖ Ὅμηρος ἐν τῷ, ὀρώρει δ' οὐρανόθεν νὺξ, καὶ ἐν ἄλλοις. 576, 29. 1075, 63. 1076, 4.

νὺξ ὅτι παρὰ τὸ νύσσω νένυχα γενόμενον νυχὸς διὰ τοῦ χ κλίνεται, πλεονάσαντος δὲ τοῦ τ ἐτράπη τὸ χ εἰς κ. 680, 58. 691, 62. 764, 37. 1769, 26.

νυὸς ἡ νύμφη ἤγουν ἡ τοῦ υἱοῦ γυνὴ, καὶ ὅτι ὑπὸ μόνων τοῦ πατρὸς καὶ τῆς μητρὸς κατὰ σχέσιν συγγενικὴν καλεῖταί τις νυὸς, οἷον ἡ Ἀνδρομάχη ὑπὸ Πριάμου καὶ Ἑκάβης. 382, 16. 648, 59.

Νύσσα, ὄρος Θρᾴκης, ἀφ' οὗ ὁ Διόνυσος παρωνομάσθαι δοκεῖ, ὃ καὶ Νυσσήιον λέγεται παρ' Ὁμήρῳ Ἰλιάδ. ζ, 133. καὶ ὅτι καὶ ἄλλα τινὰ ὄρη καὶ τόποι τούτῳ τῷ ὀνόματι ἐχρήσαντο. 629, 45.

Νυσσήιον περιεκτικῷ τύπῳ παρ' Ὁμήρῳ, ὄρος τι Θρᾴκης, ὃ κοινῶς Νύσσα λέγεται, ὅθεν καὶ Νύσσα τὰ Διονυσιακά. 629, 42. 44.

νύσσω τὸ κεντῶ καὶ τιτρώσκω πολλαχοῦ παρ' Ὁμήρῳ. 520, 16. 680, 18.

νυστάζειν ὅτι ἐκ τοῦ νευστάζειν γέγονεν ἐκβολῇ τοῦ ε πρὸς εὐφωνίαν. 421, 35. 1385, 13.

νυχιος λήγοντα ὀνόματα ἐκ τοῦ νὺξ συγκείμενα ὅτι ἐκ τῶν διὰ τοῦ νυχος παράγεται, οἷον ἐννύχιος καὶ παννύχιος ἐκ τῶν ἔννυχος καὶ πάννυχος. 878, 1.

νυω καὶ νυμι λήγοντα ῥήματα ὅτι ἐκ τῶν εἰς ω προσλήψει τοῦ ν γίνονται πρῶτον εἰς νω, εἶτα διὰ τοῦ νυω καὶ νυμι παράγονται, οἷον ἄγω ἄγνω ἀγνύω ἄγνυμι. 57, 31. 1586, 64.

νυω καὶ νυμι λήγοντα ῥήματα ἐκ τῶν διὰ τοῦ υνω κατὰ μετάθεσιν γενόμενα, οἷον ἄχω ἀχύω ἀχύνω καὶ ἀχνύω. 1917, 45.

νυω λήγοντα ῥήματα ἀπὸ μονοσυλλάβων παρηγμένα, οἷον χῶ χωνύω, ῥῶ ῥωνύω, ζῶ ζωνύω, ἃ καὶ ἐκ πλεονασμοῦ διπλάζουσι τὸ ν. 790, 60. 1835, 53.

νω μετὰ συμφώνου λήγοντα ῥήματα τῷ ι παραληγόμενα, οἷον πιλνῶ, κιδνῶ, ὅτι ἅμα πλεονάζει

τὸ ν̄ ἐν τῷ πελῶ καὶ κεδῶ καὶ τὸ ε̄ εἰς ῑ τρέπεται καὶ γίνονται πιλνῶ καὶ κιδνῶ. 216, 43. 691, 4. 1436, 40. 1551, 2.

νω λήγοντα ῥήματα παράγωγα ἐκ πλεονασμοῦ ἔχοντα τὸ ν̄ ὁμοτονεῖ τοῖς ἀφ' ὧν παράγονται, οἷον θύω θύνω, δύω δύνω, πλὴν τοῦ ἵκω ἱκνῶ, οἴχω οἰχνῶ. 670, 62—671, 1. ἀλλαχοῦ δὲ ὅτι νω λήγοντα ῥήματα ἐκ προσλήψεως ἔχοντα τὸ ν̄, εἰ μὲν βραχείᾳ παραλήγεται, βαρύνεται, οἷον θύω θύνω, δύω δύνω, μακρᾷ δὲ παραλήγοντα περισπῶνται, οἷον ἵκω ἱκνῶ, οἴχω οἰχνῶ. 1507, 52.

νω λήγοντα ῥήματα ἀπὸ καθαρολήκτων γενόμενα πλεονασμῷ τοῦ ν̄, οἷον δύω δύνω, ἐλαύω ἐλαύνω. 562, 43.

νω λήγοντα ῥήματα φυλάσσοντα τὸ ν̄ κατὰ τὴν παραλήγουσαν τῶν παθητικῶν ἀορίστων, οἷον ἐκρίνθην, ἐκλίνθην. 515, 16.

νὼ μονοσύλλαβον ὀξυτόνως ἐπὶ αἰτιατικῆς μόνον, νῶι δὲ ἐπί τε εὐθείας καὶ ἐπὶ αἰτιατικῆς. 541, 10. ἀλλαχοῦ δὲ ὅτι τὸ νὼ καὶ σφὼ δυϊκὰ ἀντωνυμικὰ ἐκ τῶν νῶι καὶ σφῶι ἀπεκόπησαν, καὶ ὅτι διὰ τὴν ἀποκοπὴν οὐ περισπῶνται, τὸ δὲ νῶν καὶ σφῶν ἐπὶ γενικῆς καὶ δοτικῆς, ἐκ τοῦ νῶιν καὶ σφῶιν συναιρεθέντα, περιεσπάθη. 153, 41 — 154, 2.

νῶ νήσω τὸ σωρεύω. 741, 62.

νῶ τὸ κολυμβῶ, ὅθεν τὸ νήχω. 87, 5. καὶ νῶ τὸ σωρεύω καὶ τὸ νήθω ὁμωνύμως, ἐπεὶ καὶ σωρεύειν τι ἐστὶ τὸ νήθειν. 1448, 63.

νώγαλα, τὰ καὶ νωγαλεύματα, βρώματα ποιὰ ἡδέα. 1163, 25.

νωγαλίζειν ὅτι ἐκ τοῦ νώγαλα παρῆκται, ὅπερ ἦσαν βρώματα ποιὰ ἡδέα. 1163, 24.

νωγαλισταί, ὅτι παρὰ τὸ νωγαλίζειν λέγεται τοὔνομα. 1163, 26.

νωθής, ὅτι ἐκ τοῦ νῶ στερητικοῦ καὶ τοῦ θέειν σύγκειται τοὔνομα, καὶ ὅτι κατ' ὄνου οἰκείως λέγεται. 862, 39.

νώθουρος ὁ νωθὴν, ὅ ἐστιν ἀργὴν, ἔχων τὴν οὐρὰν ἤγουν τὸ αἰδοῖον ἐν τῷ συγγίνεσθαι. 862, 41.

νωθρὸς ὅτι παρὰ τὸ νῶ στερητικὸν καὶ τὸ θορεῖν, ὅ ἐστι πηδᾶν, λέγεται. 862, 40.

νωθρὸς νότος ὁ νωθροποιὸς καὶ καρηβαρικός. 1395, 31. 1672, 31.

νῶι ἀντὶ τοῦ ἡμεῖς, νῶιν δὲ ἀντὶ τοῦ ἡμῖν. 1801, 31.

νῶι καὶ νὼ, ὅτι τὸ νὼ ἐπὶ αἰτιατικῆς μόνον, τὸ δὲ νῶι καὶ ἐπὶ εὐθείας. 541, 10.

νωίτερον αὐτῶν, ὅτι πρὸς ἀκρίβειαν πρόσκειται τὸ αὐτῶν, Ἰλ. ὁ, 39. 1005, 4.

νῶκαρ, ὁ καὶ ἀκήριος παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ νῶ στερητικὸν καὶ τὸ κῆρ, ὃ δηλοῖ τὴν καρδίαν, λέγεται. 611, 7. 668, 56.

νωλεμὲς ἀντὶ τοῦ ἀδιαλείπτως. 492, 2. καὶ νωλεμὲς αἰεὶ, ἐκ παραλλήλου πολλαχοῦ παρ' Ὁμήρῳ. 752, 48. 1099, 14.

νωμᾶν τὸ παρέχειν καὶ νέμειν καὶ τὸ κινεῖν καὶ στρέφειν ὁμωνύμως. 1368, 59. 1890, 44 — 50. καὶ νωμᾶν χερσὶ τὸ μεταχειρίζεσθαι, καὶ νωμᾶν φρεσὶ τὸ διαλογίζεσθαι. 1913, 61. καὶ ὅτι παρὰ τὸ νέμω καὶ τοῦ νόμος γέγονεν ἐκτάσει τοῦ ο̄ εἰς ω̄. 137, 25.

νῶν καὶ σφῶν δυϊκῶν ἀντωνυμικῶν σχηματισμὸς καὶ τόνος, ζήτει ἐν τῷ νὼ καὶ σφώ. 154, 1.

νῶν ἀντὶ τοῦ νάον, καὶ ἀεὶ νῶν παρ' Ἀριστοφάνει τὸ ἀένναον, ὅτι παρὰ τὸ νάειν λέγεται. 1625, 55.

Νώνακρις, πόλις τῆς Ἀρκαδίας, καθ' ἣν τὸ ἱστορούμενον τῆς Στυγὸς ὕδωρ. 301, 17.

νώνυμνος ὁ ἀκλεὴς καὶ ἐστερημένος τοῦ ὑμνεῖσθαι ἢ τοῦ θρηνεῖσθαι, παρὰ τὸν ὕμνον, ὃ δηλοῖ κατά τινας τὸν θρῆνον· ἢ νώνυμνος ταὐτὸ ὅπερ νώνυμος πλεονασμῷ τοῦ ν̄. 893, 7. 928, 59.

νώνυμος ὁ ἐστερημένος τοῦ ὀνομάζεσθαι, τουτέστιν ἀκλεής. 893, 7.

νῶροψ χαλκὸς ὁ λαμπρὸς πολλαχοῦ παρ' Ὁμήρῳ, ἐκ τοῦ νῶ στερητικοῦ καὶ τοῦ ὁρᾶν καὶ τοῦ ὤψ· καὶ ὅτι καὶ νῶροψ ἄνθρωπος λέγοιτ' ἂν σκωπτικῶς ὁ στραβὸς, ὡς ἐστερημένος τοῦ ὁρᾶν. 297, 31. 827, 25. 936, 17.

νῶσαι ἀντὶ τοῦ νοῆσαι, ὅθεν καὶ γέγονε κατὰ κρᾶσιν. 1424, 31.

νῶτα θαλάσσης καὶ πεδιάδος ἡ ἐπιφάνεια μεταφορικῶς. 1461, 37.

νωτιαία φλὲψ ἡ κοίλη, ἑρμηνεία διεξοδική. 946, 10.

νωτόγραπτοι ἰχθύες οἱ ἔχοντες γραμμάς τινας περὶ τὰ νῶτα. 1960, 20.

νῶτον ὅτι οὐδετέρως λέγεται παρὰ τοῖς Ἀττικοῖς. 1390, 56.

νωτοπλὴξ ὁ μαστιγίας καὶ τὰ νῶτα πεπληγμένος. 216, 12.

νῶτος, ὅτι τῶν τριάκοντα τεσσάρων σπονδύλων τῆς ῥάχεως δώδεκα οἱ μέσοι συμπληροῦσι τὸν νῶτον. 1531, 4.

νωχελεία ἡ βραδυτής. 1191, 16.

Ἀρχὴ τοῦ Ξ στοιχείου.

ξ̄ εἰς κ̄ τρεπόμενον ἐν τῇ ἐξ προθέσει καὶ τοῖς ἀπὸ τοῦ ἓξ ἀριθμητικοῦ συγκειμένοις, ἑρμηνεία διεξοδική. 450, 46.

ξ̄ ληκτικὸν ὀνομάτων ἀπαθῶν ὅτι οὐδέποτε μετὰ διφθόγγου συλλαβίζεται. 321, 44. *implicite.*

ξ̄ ληγόντων ὀνομάτων κλητικὰ, ὅτι τῶν εἰς ξ̄ ληγόντων ὀνομάτων ἡ αὐτή ἐστιν ὀρθὴ καὶ κλητική. 345, 16. *implicite.*

ξ̄ ληγόντων ὀνομάτων ἀπὸ παθητικοῦ παρακειμένου φωνῆς συγκειμένων προσῳδία, οἷον βουπλὴξ, κυαμοτρώξ. 629, 52.

ξ̄, ὅτι οὐδὲν οὐδέτερον ὄνομα εἰς ξ̄ λήγει, εἰ μὴ τὸ γάλαξ, ὃ ἡ γάλαξι πληθυντικὴ δοτικὴ ὑπεμφαίνει. 1627, 34.

ξ̄ λήγοντα ἐπιῤῥήματα ὅτι ὀξύνεται, οἷον πὺξ, γνὺξ, ὀδὰξ, ἀπρὶξ, πλὴν τοῦ ἅπαξ καὶ πέριξ. 842, 44.

ξα λήγοντα ἐπιῤῥήματα ὀξύτονα ἐκ τῶν εἰς χα ληγόντων γενόμενα τροπῇ τοῦ χ̄ εἰς ξ̄, οἷον διξὰ ἐκ τοῦ δίχα. 22, 10.

Ξάδιος ἀντὶ τοῦ Ἐξάδιος ἀποβολῇ τοῦ ἀρκτικοῦ ε̄, ὡς καὶ Ἰλεὺς ἀντὶ τοῦ Ὀϊλεύς. 101, 20.

ξαίνειν ἀντὶ τοῦ τύπτειν ἐνίοτε παρὰ τοῖς Ἀττικοῖς. 860, 48.

ξανθαὶ τρίχες ὅτι ὀργιλότητα χαρακτηρίζουσι. 82,25. καὶ ὅτι ἀραι-

αὶ οὖσαι ῥᾷον φαλακροὺς ἀποδεικνύουσι τοὺς ἔχοντας. 1799, 21.
ξανθὴ Δημήτηρ λέγεται διὰ τὰ ξανθίζοντα λήια. 576, 2. 773, 2.
Ξανθίαι, ὅτι οὕτως ἤκουον οἱ ἐν ταῖς κωμῳδίαις παρεισαγόμενοι δοῦλοι. 432, 28.
ξανθὸν χρῶμα ὅτι διαφέρει τοῦ πυῤῥοῦ καὶ τοῦ φοινικοῦ. 83, 10.
Ξάνθος, πόλις τῆς Λυκίας ὁμωνύμως Ξάνθῳ τῷ παραῤῥέοντι ποταμῷ· καὶ Ξάνθος πόλις Λέσβου καὶ ποταμὸς Τρωικὸς ὁ καὶ Σκάμανδρος. 369, 22. 634, 14. καὶ ὅτι βαρύνεται τοὔνομα πρὸς διαστολὴν τοῦ ξανθὸς ἐπιθέτου. 907, 9. καὶ ὅτι Ξάνθος ὁ ποταμὸς παρὰ τὸ τοὺς ἐν αὐτῷ λουομένους ξανθίζειν οὕτω λέγεται. 1197, 50.
Ξάνθος, ὄνομα ἵππου, παρὰ τὸ ξανθὸν τῆς χρόας· καὶ ὅτι Ξάνθος καὶ Βαλίος οἱ Τιτᾶνες εἰς ἵππους μεταβληθέντες ἐδόθησαν τῷ Πηλεῖ, μῦθος διεξοδικός. 1190, 11. 55.
ξανθὸς ὅτι παρὰ τὸ ἐξανθεῖν λέγεται ἀποβολῇ τοῦ κατ' ἀρχὰς ε, ἢ ξανθὸς οἱονεὶ ξαντὸς παρὰ τὸ ξαίνω, ὃ δηλοῖ τὸ κτενίζω. 82, 30. 38. 1745, 59.
ξάνιον τὸ κτένιον, παρὰ τὸ ξαίνειν. 82, 38. 860, 48.
ξέειν λέγεται ὁ τέκτων τὸ ξύλον ἀντὶ τοῦ πελεκᾶν. 1900, 46. ἀλλαχοῦ δὲ ὅτι τὸ ξέειν περὶ ξύλων καὶ λίθων λέγεται. 524, 40. 1350, 38. καὶ ὅτι πρὸς τὸν τοῦ ξῖ στοιχείου ἦχον ὠνοματοπεποίηται ἡ λέξις. 1636, 16.
ξεινήιον ὅτι ἐκ τοῦ ξείνιον, ὅ ἐστι ξένιον, λέγεται πλεονασμῷ τοῦ η. 65, 5.
ξεναγεῖν ἐν ἴσῳ τῷ προξενεῖν, γενικῇ συντασσόμενον παρ' Ἀῤῥιανῷ. 405, 15.
ξενίαι πολυτελεῖς, αἷς ἐξένισάν τινες τὸ Ἑλληνικὸν στράτευμα ἐπὶ τῶν Τρωικῶν, ἱστορία. 827, 40.
ξενίας ἀρχὴ τὰ συστατικὰ δῶρα, τέλος δὲ ἡ συνήθεια. 1900, 31.
ξενικαὶ τράπεζαι ἐν τοῖς Κρητικοῖς συσσιτίοις· ζήτει ἐν τῷ, Κρητῶν συσσίτια. 1860, 45.
ξένιος Ζεὺς λέγεται διὰ τὴν τῶν ξένων ἐφορείαν. 1576, 13. καὶ ὅτι παρὰ τὸν κανόνα τῶν τριβραχέων προπαροξύνεται τὸ ξένιος. 264, 37.
ξενοδόκος παροξυτόνως ὁ ξένους δεχόμενος. 425, 20.
ξένοι ἀντὶ τοῦ μισθωτοὶ ἐν τῷ, βοσκοῦσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες, Ὀδ. ξ', 102. 1753, 16.
Ξενοκρίτης ὅτι βαρύνεται καίπερ ἐκ τοῦ κριτὴς ὀξυτόνου συγκείμενον. 897, 41.
ξένος ὁ ἀπὸ ξενίας φιλιωθείς, καὶ ὅτι ἀντιστρόφως ὅ τε ξενίσας καὶ ὁ ἐπιξενωθεὶς ξένοι ἀλλήλοις λέγονται. 1399, 16. 1413, 60. καὶ ξένος ὁ ἀλλότριος καὶ βάρβαρος παρὰ Λάκωσι. 423, 25. καὶ ἀλλαχοῦ ὅτι τὸ ξένος καὶ ἐπὶ ὕβρει ἐνδέχεται λέγεσθαι ἀντὶ τοῦ πλανήτης καὶ ἀλλότριος. 1848, 58. καὶ ὅτι καθολικώτερόν τι δηλοῖ τὸ ξένος ἢ τὸ ἱκέτης. 1629, 13. καὶ περὶ τῶν ἐκ τοῦ ξένος συγκειμένων, οἷον πρόξενος, ἀστόξενος, δορύξενος, ἑρμηνεία διεξοδική. 485, 15. 20. 22. ζήτει ἐν τοῖς κατὰ μέρος.
Ξενοφάνης σιλλογράφος εἴτουν σίλλων ποιητής. 204, 21.
ξερὸν τὸ ξηρὸν κατὰ συστολὴν τοῦ η, ἢ παρὰ τὸ ξέω· ἴσως δὲ καὶ ἀνάπαλιν τὸ ξηρὸν ἐκ τοῦ ξερὸν γέγονε ἐκτάσει τοῦ ε. 855, 42. 1540, 10. 18.
ξεστὴ αἴθουσα ἡ ἐκ λίθων ἐξεσμένων πεποιημένη. 639, 37.
ξεστοὶ λίθοι οἱ χειρόκμητοι καὶ εὔξεστοι. 1158, 25.
ξεστὸς δίφρος ἐκ μέρους τοῦ ἐν αὐτῷ ξύλου, καθ' ὃ ἔξεστο, ὡς καὶ εὔπλεκτος καθ' ὅσον ἐπίπλεκτο. 1352, 49.
ξεστὸς ἵππος ὁ δούρειος, ὅ ἐστι ξύλινος, ξύλον γὰρ τὸ ξέεσθαι. 1496, 27.
ξηραλειφεῖν τὸ χωρὶς λουτροῦ ἀλείφεσθαι. 764, 13.
ξηρὸς ἱδρὼς ὁ μὴ διὰ λουτροῦ, ἀλλὰ διὰ γυμνασίου καὶ πόνων γινόμενος. 764, 13.
ξηροτήγανον, ζήτει ἐν τῷ τήγανον. 1862, 15.
ξηρότης ὅτι ποιότης ἐστὶ θανάτου, καὶ ὅτι τὰ ξηρότητος σημαντικὰ ὀνόματα κατὰ τῶν νεκρῶν λέγονται, οἷον ἀλίβας σκελετός. 1559, 49.
ξίρις, φυτὸν ἀρωματικόν. 391, 37.
ξιφίαι, οἱ καὶ γαλεῶται, κήτη τινὰ θαλάσσια, ὅτι περὶ Κυνὸς ἐπιτολὴν οἰστρηλατοῦνται, ἱστορία φυσική. 1715, 45. 1928, 20.
ξιφίζειν τὸ χειροτονεῖν εἴτουν ἀνατείνειν τὴν χεῖρα παραπλήσιον ξίφει τῷ τῆς χειρὸς σχῆμα ποιοῦντι. 1604, 51.
ξιφίον, ἰχθὺς ἀπὸ τοῦ ἐπὶ τῷ ῥύγχει αὐτοῦ ξιφοειδοῦς οὕτω λεγόμενος. 1213, 30.
ξιφισμός, σχῆμα ἐμμελείας εἴτουν ὀρχήσεως οὕτω λεγόμενον. 1167, 22. 1604, 51.
ξίφος ὁμωνύμως τὸ ἐπὶ τῷ ῥύγχει τοῦ ξιφίου καλουμένου ἰχθύος ξιφοειδές. 1213, 30.
ξόανον ὅτι παρὰ τὸ ξέω λέγεται, ὡς παρὰ τὸ πέττω πόπανον. 152, 30.
ξύγγνοια ἡ συγγνώμη, παρὰ τὸ νοῶ πλεονασμῷ τοῦ γ. 145, 35. ἀλλαχοῦ δὲ ὅτι τὸ νοεῖν γνοεῖν λέγεται Αἰολικῶς, ὅθεν ἡ σύγγνοια. 1722, 44.
ξυγγνοῖμεν, πρῶτον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ συγγνοίημεν συγκέκοπται, καὶ ὅτι τὸ ξυγγνοῖεν τρίτον ἐκ τοῦ ξυγγνοῖμεν πρώτου γέγονε. 176, 12.
ξύειν τὸ κερκίζειν ἢ λεαίνειν ἢ γναφεύειν ἐν τῷ, ὅν οἱ Ἀθήνη ἔξυσ' ἀσκήσασα, Ἰλ. ξ', 179. 976, 16.
ξυήλη ὅτι παρὰ τὸ ξύειν λέγεται καὶ ὅτι βαρύνεται. 872, 16.
ξυλάφιον παρὰ τὸ ξύλον ἐπενθέσει τῆς αφ συλλαβῆς, ὡς ἐκ τοῦ ἔδος τὸ ἐδάφιον. 492, 36.
ξυλοία ὅτι παρὰ τὸ ξυλεύειν λέγεται. 952, 10.
ξύλινα σκεύη χρήσιμα τοῖς ἀρχαίοις, τὰ δὲ κεραμεᾶ οὐχ' οὕτω, ἑρμηνεία διεξοδική. 1631, 64.
ξύλινον τεῖχος ἢ ἐκ νεῶν συγκρότησις. 1031, 15.
ξυλοκύμβη καὶ ξυλοκουμβάρα κατὰ τὴν χυδαίαν διάλεκτον ἡ δυσειδὴς καὶ ἀσύμμετρος τὸ μέγεθος γυνὴ κατὰ σκῶμμα. 584, 31.
ξυλολυχνοῦχος, ὁ καὶ ὀβελισκόλυχνος. 1571, 20.

ξύλον ὅτι παρὰ τὸ ξύειν λέγεται. 243, 4. 863, 3.
ξυλοχάρτια χυδαϊκῶς τὰ ξύλινα χαρτία. 1913, 40.
ξύλοχος, συνέχεια ξύλων εἴτουν ὑλώδης τόπος καὶ δασὺς καὶ ξύλα ἔχων· καὶ ὅτι κατὰ θηλυκὸν γένος λέγεται, καὶ ὅτι ξύλοχος ὕλη ἐντελῶς λέγοιτ' ἄν. 534, 32. 837, 57. 853, 42. 1251, 57. καὶ ξύλοχος λέοντος ἡ ὀρεινὴ κατάδυσις εἴτουν ἡ κοίτη. 1498, 30.
ξυμβάλλεσθαι καὶ ξυμβαλεῖν οὐ μόνον τὸ νοῆσαι καὶ τὸ κατὰ μάχην συμμῖξαι, ἀλλὰ καὶ τὸ συναντῆσαι. 1551, 25.
ξύμβληντο ἀντὶ τοῦ συνήντησαν. 1551, 27. 1650, 23.
ξὺν Ἀττικῶς ἡ σὺν πρόθεσις, οὐ μόνον αὐτὴ καθ' αὑτὴν, ἀλλὰ καὶ συγκειμένη ῥήμασί τε καὶ ὀνόμασι. 22, 6.
ξυνάορος ἡ συνεζευγμένη γυνὴ ἢ ἀνὴρ συνεζευγμένος, παρὰ τὸ ἀείρω, ὅ ἐστι συζευγνύω. 573, 25. 31.
ξυνεείκοσι ὅτι ἐκ τῆς σὺν προθέσεως καὶ τοῦ εἴκοσιν ὑφ' ἓν σύγκειται, πρὸς ὁμοιότητα τοῦ σύνδυο καὶ τοῦ σύντρεις. 1638, 22.
ξυνεέργαθον ἀντὶ τοῦ συνεῖργον ἤγουν συνέκλειον. 965, 26. 58.
ξύνεσις ποταμῶν, Ὀδ. κ', 515. ἡ σύῤῥοια καὶ εἰς ταὐτὸ συμβολὴ ὁμωνύμως τῷ ξύνεσις, ὅ ἐστι φρόνησις. 1405, 50. 1667, 28.
ξύνετο ἀντὶ τοῦ ἤσθετο γενικῇ, ἀπὸ τοῦ ξυνιέναι. 1483, 63.
ξυνήιον, ὅτι παρὰ τὸ ξυνὸν, ὃ δηλοῖ τὸ κοινὸν, γίνεται ξύνειον καὶ διαλύσει καὶ ἐκτάσει ξυνήιον. 65, 2. 233, 30. ἀλλαχοῦ δὲ ὅτι ξύνιον ἀντὶ τοῦ συνίεσαν καὶ ἠσθάνοντο, ἀπὸ τοῦ ξυνίω, ὅθεν τὸ ξυνίημι. 100, 2. ἐκ πλεονασμοῦ προσγέγονε τὸ η, ὡς ἐν τῷ πολέμιον πολεμήιον. 65, 5. 957, 39.
ξυνιέναι γενικῇ ἐκ δευτέρου καὶ αἰτιατικῇ ἐκ τρίτου ἐν τῷ, ξυνέηκε θεᾶς ὄπα φωνησάσης, Ἰλ. β', 182. κ', 512. 198, 5. καὶ αἰτιατικῇ μόνῃ, οἷον ἐν τῷ, ξυνίει ἔπος, Ὀδ. ζ', 289. 1564, 3.
ξυνοδόκος ὁ κοινὸς ὑποδοχεὺς, παρὰ τὸ ξυνὸν, ὃ δηλοῖ τὸ κοινόν. 1590, 53.
ξυνὸς Ἐνυάλιος, ἤγουν κοινὴ ἡ τοῦ πολέμου τύχη καὶ ὁ κατ' αὐτὸν κίνδυνος. 1144, 43.
ξυνόω ξυνῶ ξυνώσω, ἀντὶ τοῦ κοινῶ καὶ εἰς ἓν συνάγω. 1590, 56.
ξυνωνία ἀντὶ τοῦ κοινωνία, παρὰ τὸ ξυνὸν, ὃ δηλοῖ τὸ κοινόν. 1768, 62.
ξύομαι ἀντὶ τοῦ κνῶμαι, καὶ ἔξυσμαι ἀντὶ τοῦ κέκνησμαι. 1766, 34.
ξύρεσθαι βαρυτόνως ἀντὶ τοῦ ξυρεῖσθαι, καὶ ξυρόμενος ἀντὶ τοῦ ξυρούμενος. 1798, 28.
ξυρήκης, ὡς εὐήκης βαρυτόνως, ὁ ξυρήσιμος καὶ κουριῶν. 939, 14.
ξυροδόκη, θήκη ξυρῶν, ὅτι πρὸς ὁμοιότητα τοῦ δουροδόκη λέγεται. 1399, 36.
ξυρὸς εἰς ἀκόνην, παροιμία διαφέρουσα τῆς ἐπὶ ξυροῦ ἀκμῆς. 796, 60.
ξυροῦ ἀκμὴ ἐν παροιμίᾳ τῇ ἐπὶ ξυροῦ ἀκμῆς ἵσταται τὰ πράγματα, ἐπὶ τῶν ἐπικινδύνως ἐχόντων, ἑρμηνεία διεξοδική. 796, 55—63.
ξυροῦμαι ὅτι καὶ ξύρομαι βαρυτόνως λέγεται. 1257, 11.
ξύσιλος, ὅτι οὕτως ἐπεκαλεῖτό τις συνεχῶς ξυόμενος ἄνθρωπος. 1766, 35.
ξυστὰς ἡ εἰκῇ πεφυτευμένη ἄμπελος. 1524, 33.
ξυστὸν δόρυ ὅτι παρὰ τὸ ἐξύσθαι εἴτουν ἐξέσθαι λέγεται. 862, 64. 1496, 29. καὶ ὅτι τὸ ξυστὸν ὄνομα κατὰ μόνας τὸ δόρυ σημαίνει, οὐ ἐστιν ἐπίθετον. 427, 21. 979, 20.
—ξω λήγοντες μέλλοντες τεταρτοζύγων ῥημάτων ὅτι ἐκ τῶν διὰ τοῦ σω ἐοίκασι γενέσθαι τροπῇ Δωρικῇ τοῦ σ εἰς ξ. implicite. 1419, 18.

Ἀρχὴ τοῦ Ο στοιχείου.

ο τὸ στοιχεῖον ὅτι οὐ ἐλέγετο παρὰ τοῖς παλαιοῖς, ὅπως ἔχοι περισπᾶσθαι ὡς καὶ τὰ λοιπὰ ὀνόματα τῶν στοιχείων. 511, 7. 1001, 19.
ο πρὸ τοῦ ρ, μεθ' ὃ τὸ μ ἐπάγεται, ὅτι δασύνεται, οἷον ὅρμος. 140, 11.
ο πρὸ τοῦ σ ἐπαγομένου δασέος ὅτι ψιλοῦται, οἷον ὀσφύς. implicite. 1341, 6.
ο εἰς ε τρεπόμενον Δωρικῶς οἷον, Ἀπέλλων ἀντὶ τοῦ Ἀπόλλων. 183, 10.
ο καὶ η εἰς ω κιρνόμενα, οἷον βοήσομαι βώσομαι, ὀγδοήκοντα ὀγδώκοντα. 245, 37.
ο ἀρκτικὸν τινῶν λέξεων ἐκ πλεονασμοῦ προσγενόμενον, οἷον Ἰλεὺς Ὀϊλεὺς, δύνω ὀδύνη, νύσσω νύξω ὄνυξ. 218, 17.
ο ληκτικὸν οὐδετέρων ὀνομάτων, οὐδὲν οὐδέτερον ὄνομα εἰς ο λήγει πλὴν τῶν ἀντωνυμικῶν, οἷον τοῦτο, ἐκεῖνο, ἄλλο. 617, 38. 956, 13.
ο λήγοντα πρόσωπα εὐκτικῶν, ἀπὸ μετοχῶν εἰς εις ληγουσῶν ὀξυτόνων σχηματιζόμενα, οἷον θεὶς θεῖο, βλεὶς βλεῖο. 1756, 14.
ὁ, ἄρθρον προτακτικὸν, ὅτι ἐκ τοῦ ὃς γέγονεν ἀνέσει τῆς σφοδρᾶς τάσεως καὶ ἀπελεύσει τοῦ σ, καὶ ὅτι αἱ πλάγιαι αὐτοῦ ἐκ τοῦ τὸς Δωρικοῦ κεκίνηνται, οἷον τὸς τοῦ τῷ τόν. 1385, 46.
ὁ δὲ ἐπαναληπτικῶς παρ' Ὁμήρῳ ἐν τῷ, βῆ δ' ἴεναι ὥς τίς τε λέων, ὅπου μετὰ πολλῶν τινῶν ἐπένθεσιν ἐπάγει, ὁ δὲ κρειῶν ἐρατίζων, Ἰλ. ρ', 660. 1122, 25.
ὁ μὲν καὶ ὁ δὲ μετὰ σφοδροῦ τόνου ἀντὶ τῶν οὗτος μὲν καὶ οὗτος δὲ ἀντωνυμιῶν, ὅτι κατ' ἔλλειψιν τῶν συντασσομένων αὐτοῖς ὀνομάτων τίθενται. 23, 4.
ὃ ἀντὶ τοῦ ὅς καὶ ὅ τις ἀντὶ τοῦ ὅς τις πολλαχοῦ παρ' Ὁμήρῳ. 1710, 7.
ὃ ἀντὶ τοῦ οὗτος ὅτι ἐξακουστότερον ἤγουν κρουστικῶς καὶ μετὰ σφοδροῦ τόνου ἐκφωνεῖται. 23, 2. καὶ ὅτι διὰ τέσσαράς τινας ἀφορμὰς ἐκτείνεται ἐν τῷ, ὃ γὰρ βασιλῆι χολωθεὶς, Ἰλ. α', 9. ἑρμηνεία διεξοδική. 81, 1. καὶ ἀλλαχοῦ ὅτι τὸ ὃ μετὰ σφοδρᾶς τάσεως ἄρθρον ἀντωνυμικὸν, ἐκ

τοῦ ὅς γεγονὸς ἀπελεύσει τοῦ σ. 1385, 44.

ὅ γὰρ, ἀντὶ τοῦ τοῦτο γὰρ ἐν τῷ, Πάτροκλον κλαίωμεν, ὃ γὰρ γέρας ἐστὶ θανόντων, Ἰλ. ψ', 9. 1284, 39.

ὅ ἀντὶ τοῦ ὅτι συνδέσμου κατ' Αἰολικὴν ἀποκοπήν· καὶ ὅ ῥα ἀντὶ τοῦ ὅτι δὴ ἐν τῷ, ὅ ῥα πάγχυ μάχης ἐπιμήδεα κείρει Ζεὺς, Ἰλ. π', 120. 187, 27. 1049, 1.

ὅ του ὅ τῳ, ἀντὶ τοῦ οὗ τινὸς καὶ ᾧ τινί. 1026, 42.

ὄα, διφθέρα εἴτουν μηλωτή, παρὰ τὸ ὄϊς, ὅτι καὶ ὀὰ ὀξυτόνως καὶ ὄϊα τρισυλλάβως λέγεται, καὶ ᾦα διὰ τοῦ ω μεγάλου ἐκτάσει τοῦ ο. 1828, 48 — 54.

ὄαι ἢ ὀαὶ, ζήτει ἐν τῷ ὄϊαι. 1828, 54.

ὄαρ ὄαρος, ἡ συνεζευγμένη γυνὴ, ὅτι ἐκ τοῦ ἄορ ἄορος, ὃ καὶ αὐτὸ τὴν γυναῖκα σημαίνει, παρὰ τὸ ἀείρω τὸ συζευγνύω, κατὰ μετάθεσιν λέγεται. 573, 24. 754, 23. 26. 1818, 7.

ὀαρίζειν ὅτι παρὰ τὸ ὄαρ, ὃ δηλοῖ τὴν γυναῖκα, λέγεται καὶ δηλοῖ τὴν τοῦ ἀνδρὸς πρὸς γυναῖκα ὁμιλίαν, οἷον ἐν τῷ, παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν, Ἰλ. χ', 128. καὶ ἁπλῶς τὸ φιλίως καὶ ἁπλοϊκῶς καὶ ἀκάκως ὁμιλεῖν. 659, 40. 754, 27. 1262, 1.

ὀαριστὴς ὁ ὁμιλητὴς καὶ φοιτητής, ὀαριστὺς δὲ θηλυκῶς ἡ ὁμιλία. 573, 24. 754, 27. 932, 41. 974, 1.

ὄαρος, λόγος, ὁμιλία, παιδιὰ ἢ παιδεία. 932, 38.

ὀαριστὺς ἡ ἁπλῶς ὁμιλία καὶ συνουσία, καὶ προμάχων ὀαριστὺς ἡ τῶν ἀριστέων ὁμίλησις εἴτουν ἐντυχία. 932, 37.

ὀβελίας ἄρτος ὁ ὀβολοῦ πωλούμενος, παρὰ τὸν ὀβελὸν, ὃ δηλοῖ τὸν ὀβολόν. 951, 55. ἀλλαχοῦ δὲ ὅτι ὀβελίας ἄρτος ὁ ἐπὶ ὀβελῷ ὠπτημένος. 1405, 26.

ὀβελίζειν καὶ ὀβελίζεσθαι. 136, 17. ζήτει ἐν τῷ ὀβελός.

ὀβελισκόλυχνος, ὁ καὶ ξυλολυχνοῦχος. 1571, 21.

ὀβελὸς ἐν ἴσῳ τῷ ὀβολός. 951, 55.

ὀβελὸς, ὄργανον καὶ γραφικὸν σημεῖον, ὅθεν τὸ ὀβελίζειν. 136, 7. 17. καὶ ὅτι ὁ ὀβελὸς τὸ γραφικὸν σημεῖον τοῖς ἀθετουμένοις Ὁμηρικοῖς ἔπεσι παρετίθετο, ὡς ὁ ἀστερίσκος τοῖς ἄριστα πεφρασμένοις, ὀβελὸς δὲ ὁμοῦ καὶ ἀστερίσκος τοῖς ἄριστα μὲν πεφρασμένοις, μὴ κατὰ χώραν δὲ κειμένοις. 957, 16. 1015, 23. 1610, 46.

ὀβελὸς, σκεῦός τι μαγειρικὸν, παρὰ τὸ βέλει ἐοικέναι, ὅθεν καὶ λέγεσθαι δοκεῖ προσθήκῃ τοῦ κατ' ἀρχὰς ο· καὶ ὅτι τὰ παρ' αὐτὸ διὰ τοῦ ο μικροῦ λέγονται, οἷον τριώβολον, πεμπώβολον. 135, 44. 136, 5. 1405, 25.

ὀβολὸς τὸ νόμισμα ὅτι παρὰ τὸ ὀβελῷ ἐοικέναι οὕτω λέγεται. 136, 7. 421, 23. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ βάλλειν καὶ τὴν βολὴν, ὅθεν καὶ ὁ ὀβελός. 1405, 25.

ὄβρια καὶ ὀβρίκαλα λέγονται τὰ τῶν λεόντων καὶ λύκων σκυμνία. 1395, 48. ἀλλαχοῦ δὲ ὅτι ὄβρια καὶ ὀβρίκαλα καλοῦνται τὰ τῶν ὑστρίχων καὶ τῶν ὁμοίων ζώων νεογνά. 1625, 47.

ὀβρίκαλα, λεόντων σκυμνία, ὅτι παρὰ τὸ ὄβριμα καὶ καλὰ εἶναι οὕτω λέγονται. 1395, 47. 1625, 47. ζήτει τὸ ὄβρια.

ὄβριμος ὅτι παρὰ τὸ βρὶ ἐπιτατικὸν γέγονε κατὰ πλεονασμὸν καὶ παραγωγὴν, ὅθεν ὀβριμοεργός. 1395, 45.

ὀγδώκοντα ὅτι ἐκ τοῦ ὀγδοήκοντα κατὰ κρᾶσιν λέγεται. 245, 37. 288, 13.

ὄγκαιον, ἀγγεῖον πλεκτὸν, οἷον σπυρὶς, ἐν ᾧ οἱ ὄγκοι, ἤγουν αἱ τῶν βελῶν ἀκίδες, ἀπετίθεντο· ζήτει ἐν τῷ ὄγκιον. 1899, 8.

ὀγκαῖος ἀρσενικὸν προπερισπᾶται, ὄγκαιον δὲ οὐδέτερον προπαροξύνεται. 1809, 44.

ὀγκηραὶ λέξεις τινὲς διὰ πλεονασμὸν τοῦ ν, οἷον ἀμφασία, ἀμβροσία. 40, 4.

ὄγκιον, ἢ ὀγκίον παροξυτόνως, ἡ θήκη τῶν ἀκίδων, αἳ καὶ ὄγκοι λέγονται, ἢ παρὰ τὸ ὀγκῶδές τι εἶναι· καὶ ὅτι διὰ διφθόγγου καὶ προπερισπωμένως ἔδει γράφεσθαι ὡς περιεκτικὸν κατὰ τὸ Μουσεῖον, ᾠδεῖον· καὶ ὅτι καὶ ὄγκαιον εἴρηται λεγόμενον, ζήτει ἐν τῷ ὄγκαιον. 1898, 63 — 1899, 10.

ὄγκοι βέλους αἱ αἰκίδες τῶν διστῶν, καὶ ὄγκος ἡ ἀλαζονικὴ ὀξύτης. 457, 28. 32. ἀλλαχοῦ δὲ ὅτι ὄγκοι οἱ πώγωνες τῶν ἀκίδων καὶ αἱ γωνίαι. 1899, 1. 8.

ὄγκος ἡ ἀλαζονεία ὁμωνύμως ταῖς τῶν βελῶν ὄγκοις ἤγουν ἀκίσι· καὶ ὄγκος βάρος τι σταθμητικὸν, καὶ ὄγκος διαπέτεια καὶ ἄρσις σωματική, ὅθεν ἴσως ὁ ἀλαζονικὸς ὄγκος. 1899, 9. 14.

ὀγκύλλεσθαι τὸ καυχᾶσθαι, παρὰ τὸν ὄγκον, ὃ δηλοῖ τὴν ἀλαζονείαν. 1899, 9.

ὄγμος ὁ ἀροτριαθεὶς τόπος καὶ ἀνοιγεὶς ἀρότρῳ, ὡς ἀπὸ τοῦ οἴγω· καὶ ὄγμος ἡ ἐπίστιχος καὶ αὐλακώδης φυτεία, ὡς ἀπὸ τοῦ ἕλκω ἢ τοῦ ἄγω· καὶ ὅτι κανονικῶς βαρύνεται τοὔνομα. 831, 57. 1161, 54.

Ὀγχηστὸς, ἄλσος Ποσειδῶνος ἱερὸν ἐν Βοιωτίᾳ καὶ πάλις ὁμώνυμος, καὶ Ὀγχηστὸς ποταμὸς Θεσσαλικός. 270, 13.

ὄγχνη ἡ ἀχρὰς, ὅ ἐστιν ἀγρία ἄπιος, ὅτι παρὰ τὸ ἄγχειν λέγεται τροπῇ τοῦ α εἰς ο ὡς ἐν ἄλλοις, καὶ ὅτι καὶ αἱ ἥμεροι ἄπιοι οὕτω λέγονται καταχρηστικῶς. 1572, 30. 1963, 15.

ὁδαῖον τὸ ἐφόδιον, Ὀδ. ο', 445. ὅτι παρὰ τὴν ὁδὸν λέγεται, ὡς καὶ τὸ ἐφόδιον. 1590, 7. 1788, 17.

ὀδὰξ ἐπίῤῥημα ἀντὶ τοῦ δηκτικῶς, ὅτι παρὰ τὸν δήξω μέλλοντα λέγεται ἀποκοπῇ καὶ συστολῇ καὶ πλεονασμῷ τοῦ ο· καὶ ὀδὰξ λάζεσθαι τὴν γῆν, ἀντὶ τοῦ δακνεῖν τὴν γῆν ἐν τῷ σφαδάζειν· καὶ ὀδὰξ ἐν χείλεσι φῦναι, ἀντὶ τοῦ ἐνδακεῖν τὰ χείλη ὑπὸ θυμοῦ. 218, 40. 249, 33. 1424, 39 — 50.

ὅδ' ἐγὼ αὐτὸς, ὅτι ἐκ παραλλήλου πρὸς ἔνδειξιν σαφοῦς ἀναγνωρισμοῦ οἱ τρεῖς κεῖνται σύνδεσμοι ἐν τῷ, ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγώ, Ὀδ. φ', 207. 1907, 52.

ὅδε ἀντὶ τοῦ οὗτος δεικτικῶς ἢ μᾶλλον ἀναφορικῶς ἐν τῷ, Θρήικες οἵδ' ἀπάνευθε νεήλυδες ἔσχατοι ἄλλων, Ἰλ. κ', 434. 817, 15.

ὁδηγεῖν καὶ ὁδηγία ὅτι ἀντίκειν-

ται τῷ ἀπατᾶν καὶ τῇ ἀπάτῃ, ἑρμηνεία διεξοδική. 637, 4.

Ὀδίος, κύριον παρ' Ὁμήρῳ. 364, 8.

ὀδμὴ ἀπὸ τοῦ ὀζμὴ, ὃ παρὰ τὸ ὄζω λέγεται. 1570, 9.

ὁδοιδοκεῖν τὸ ὁδοσκοπεῖν. 1445, 19.

ὁδοιδόκος ὅτι ἐκ τοῦ ὁδοδόκος γέγονε πλεονασμῷ τοῦ ῑ διὰ τὴν ἐπαλληλίαν τῶν ō. 422, 32. 925, 2.

ὁδοιπόριον, μισθὸς ἢ ἀμοιβὴ ὑπὲρ τοῦ συνοδοιπορῆσαι ἢ συμπλεῦσαι, Ὀδ. ο', 506. 1789, 32. 36.

ὁδοιπόρος ὅτι ἐκ τοῦ ὁδοπόρος γέγονε πλεονασμῷ τοῦ ῑ διὰ τὴν ἐπαλληλίαν τῶν ō. 422, 33. 925, 2.

ὁδὸν ἐλθεῖν, Ἰλ. α', 151. ἀντὶ τοῦ εἰς λόγον ἐλθεῖν ἢ ἁπλῶς ὁδόν τινα στέλλεσθαι. 69, 29. 36. 90, 35.

ὀδόντισμα, διάλεκτος αὐλητικὴ ἢ κροῖμα ποιὸν, ὅτι παρὰ τοὺς ὀδόντας λέγεται. 854, 14.

ὀδοντομάχαι σύες οἱ τοῖς ὀδοῦσι μαχόμενοι. 854, 11.

ὀδόντων ἐκβολὴ, ὅτι πῶλοι καὶ μόσχοι τοὺς μὲν πρώτους ὀδόντας τριάκοντα μηνῶν γενόμενοι ἐκβάλλουσι, τοὺς δ' ἑτέρους ἐνιαυτοῦ παρελθόντος. 1627, 18.

ὀδόντων ὀλιγότης, ὅτι ὀλιγότητα γραὸς ὀδόντων ἔσκωψέ τις εἰπὼν εὐαριθμητοτέρους αὐτῆς εἶναι τοὺς ὀδόντας ἢ τοὺς τῆς χειρὸς δακτύλους. 1839, 38.

ὁδὸς ὅτι παρὰ τὸ δασυνόμενον ἕω, ὃ δηλοῖ τὸ πορεύομαι, γίνεται. 1407, 54. καὶ τί τὸ ἐν ὁδῷ καθελεῖν καὶ ὁδὸν ἐλθεῖν, ζήτει ἐν τῷ, ἐν ὁδῷ καθελεῖν, καὶ ἐν τῷ, ὁδὸν ἐλθεῖν. 69, 29. 31. 36.

ὁδὸς ἐν ἴσῳ τῷ οὐδὸς παρὰ Σοφοκλεῖ (O. C. 1590), ὅτι παρὰ τὸ ὁδεύεσθαι λέγεται. 156, 32.

ὅδουροι οἱ κακοῦργοι ὁδοφύλακες. 1445, 19.

ὀδοὺς ὀδόντος, ὅτι καὶ ὀδὼν ὀδόντος λέγεται Ἰωνικῶς, ὅθεν τὰ σύνθετα προόδων, χαυλιόδων. 854, 12.

ὀδύνη ὅτι παρὰ τὸ εἰς βάθος δύνειν λέγεται πλεονασμῷ τοῦ ō, καὶ ὅτι βραχὺ ἔχει τὸ δῦ. 218, 18. 318, 5. 59. 843, 41. καὶ ὅτι οὐκ ἀεὶ ἐπὶ πόνου σωματικοῦ, ἀλλὰ καὶ ἐπὶ λύπης ἐνίοτε τίθεται. 1003, 46. καὶ ὀδύναις διδόναι τινὰ, ἀντὶ τοῦ ὀδυνῆσαι περιφραστικῶς παρ' Ὁμήρῳ. 1832, 19.

ὀδυνήφατον φάρμακον ἐπιθετικῶς, ὅτι παρὰ τὸ φῶ, ὃ δηλοῖ τὸ φονεύω, καὶ τὸ ὀδύνη λέγεται καὶ δηλοῖ θεραπευτικὸν καὶ παυστικὸν τῆς ὀδύνης. 564, 7. 619, 24. 887, 48.

ὀδύρεσθαι ὅτι ἐπίτασιν τοῦ λυπεῖσθαι σημαίνει, καὶ ὅτι ἐκτείνει τὸ δῦ, οἷον ἐν τῷ, κλαῖον ὀδυρόμενοι, περὶ δὲ στοναχίζετο δῶμα, Ὀδ. κ', 454. 1664, 36. 1908, 26.

ὀδύσασθαι ὅτι πῇ μὲν κατὰ παθητικὴν σημασίαν, πῇ δὲ κατ' ἐνεργητικὴν λέγεται. 1871, 25.

Ὀδύσσεια, πόλις ἐν Ἰβηρίᾳ, ὅτι ἀπὸ Ὀδυσσέως ἔσχε τοὔνομα. 1379, 21.

Ὀδυσσείας, Ὁμηρικοῦ ποιήματος, ποιότης καὶ σκοπὸς καὶ διὰ τί οὕτως ἐπιγράφεται, ἑρμηνεία διεξοδική. 4, 45. 5, 5. 1380, 2. καὶ Ὀδυσσείας ὁμοιότης πρὸς τὴν Ἰλιάδα, καὶ μάλιστα κατὰ τὸ πέρας. 1970, 10.

Ὀδύσσειον, ῥεῖθρον λίμνης τινὸς ἐγγὺς Μαρωνείας, πόλεως Κικόνων Θρᾳκικοῦ ἔθνους. 1615, 10.

Ὀδυσσεὺς κύριον ὅτι καὶ δι' ἑνὸς σ̄ γράφεται πρὸς μέτρου χρείαν. 14, 8. 68, 15. καὶ ὅτι δυσὶ μὲν σσ̄ ὡς ἀπὸ τοῦ ὀδύσσω ἐνεστῶτος, ἑνὶ δὲ ὡς ἐκ τοῦ ὀδύσω μέλλοντος. 1389, 14. καὶ ὅτι παρὰ τὸ ὀδύσασθαι πολλοὺς τῷ πρὸς μητρὸς αὐτοῦ πάππῳ Αὐτολύκῳ οὕτως ὑπ' ἐκείνου ὠνομάσθη, ἢ καὶ ψιλοῦται τοὔνομα· ἕτεροι δὲ ἐκ τοῦ ὁδὸς καὶ τοῦ ὗσαι συγκεῖσθαι φασὶ τοὔνομα ἐξ ἱστορίας τινὸς, ἢ καὶ δασύνοιτ' ἄν. 629, 60. 650, 37. 1567, 61. 1871, 19.

Ὀδυσσεὺς, υἱὸς Λαέρτου τοῦ Ἀρκεισίου τοῦ Ἑρμοῦ τοῦ Διὸς, μητρὸς δὲ Ἀντικλείας τῆς Αὐτολύκου καὶ Ἀμφιθέας. 1673, 61. 1796, 37. 1870, 17. 1951, 4. καὶ ὅτι Ἀντίκλειαν τὴν Ὀδυσσέως μητέρα οἱ μεθ' Ὅμηρον ἀπάγξασθαι ἱστοροῦσι πυθομένην δόλῳ Ναυπλίου ἀπολέσθαι τὸν Ὀδυσσέα. 1678, 23.

Ὀδυσσεὺς ὅτι μελαγχροιὴς ἱστορεῖται γενέσθαι καὶ κυανόθριξ, καὶ πῶς ἀκουστέον τὸ περὶ αὐτοῦ λεγόμενον Ὀδ. ν', 399. ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας. 1799, 15. 19. ἀλλαχοῦ δὲ ὅτι ἔκ τινων ἱστορουμένων περὶ αὐτοῦ πρεσβύτερος τοῦ Νέστορος γενέσθαι συνάγεται, καὶ λύσις τῆς ἐντεῦθεν ἀπορίας. 1900, 19.

Ὀδυσσεὺς, ἀλείψας κηρῷ τὰς τῶν ἑταίρων ἀκοὰς ἐπὶ ἀποφυγῇ τῶν Σειρηνείων μελῳδημάτων, ὅτι εἰς τὸν ἐκ φιλοσοφίας λόγον ἀλληγορεῖται· καὶ ἐπεξεργασία τῶν κατὰ μέρος μυθευομένων Ὁμήρῳ περὶ τῶν τοιούτων ἐν τῷ μῦ τῆς Ὀδυσσείας. 1707, 42 — 1708, 48.

Ὀδυσσεῦς περισπωμένως ἀντὶ τοῦ Ὀδυσσέως κατὰ γενικὴν πτῶσιν Δωρικῶς ἢ Αἰολικῶς. 1965, 24.

Ὀδυσσέως εἰκόνες ὅτι πιλίον περὶ τὴν κεφαλὴν ἔχουσαι ἐποιοῦντο, ἱστορία. 804, 17.

Ὀδυσσέως ἐπὶ Τροίαν στρατεία, ὅτι καθ' Ὅμηρον μὲν πεισθεὶς ἐστράτευσεν Ὀδυσσεὺς, κατὰ δὲ τοὺς ὕστερον μανίαν προσποιησάμενος καὶ ὑπὸ Παλαμήδους ἐξελεγχθεὶς ἄκων τοῦτ' ἐποίησεν, ἱστορία. 1956, 11.

Ὀδυσσέως θάνατος, ὅτι Τηλέγονος ὁ ἐκ Κίρκης υἱὸς Ὀδυσσέως, ἐλθὼν εἰς Ἰθάκην ἐπὶ ἀναγνωρίσει τοῦ πατρὸς καὶ λεηλατεῖν ἐπιχειρήσας ἀγνοίᾳ τὰ τοῦ πατρὸς κτήματα καὶ εὑρὼν ἐκεῖνον ἀνθιστάμενον, οὐκ εἰδὼς ἀπέκτεινε. 1676, 44.

Ὀδυσσέως κάθοδος εἰς Ἅιδην ὅτι εἰς τὴν τῶν σοφῶν περὶ τὰ καταχθόνια θεωρίαν ἀλληγορεῖται· καὶ ὅτι ἐκ τῆς ἑσπερίας θαλάσσης πλεύσας εἰς τὴν ἔξω θάλασσαν, καὶ ταύτην διαπεράσας καὶ εἰς τὴν πέραν ἀκτὴν ἀφικόμενος, ἰδεῖν τὰ κατὰ τὸν Ἅιδην μυθεύεται. 1666, 8. 1667, 10.

Ὀδυσσέως πλάνη, ὅτι τὸ πολὺ τῆς Ὀδυσσέως πλάνης περὶ Σικελίαν καὶ Ἰταλίαν ἐγένετο. 1379, 18.

Ὀδυσσέως υἱοὶ ἐκ διαφόρων γυναικῶν, Τηλέμαχος, Τηλέγονος

ποδῶν, οὕτως ἐκλήθη, καὶ περὶ τῶν κατ' αὐτὸν ἀτυχημάτων ἱστορία διεξοδική. 1683, 54—1684, 27. καὶ ὅτι κατὰ μὲν Ὅμηρον ἐν Θήβαις δοκεῖ ἀποθανεῖν, κατὰ δὲ τοὺς τραγικοὺς ἐν Ἀθήναις· καὶ ὅτι ὁ Οἰδίπους καὶ Οἰδιπόδης λέγεται ποιητικῶς. 1323, 49. 56.

οἰέη μηλωτὴ, ἤγουν προβάτου δορὰ, παρὰ τὸ οἶς οἰὸς, ὃ δηλοῖ τὸ πρόβατον. 877, 53. 1828, 57.

ὄϊες ἄρσενες ὅτι πρὸς διαστολὴν τῶν θηλειῶν ὄΐων λέγονται Ὀδ. ι', 425. 1638, 7.

ὀΐεσθαι ἀντὶ τοῦ ἐλπίζειν ἢ νομίζειν ἐν τῷ, κεῖνον ὀϊομένη τὸν κάμμορον εἴ ποθεν ἔλθοι, Ὀδ. β', 351. 1449, 54.

ὀΐεται ἀντὶ τοῦ φαίνεται ἢ νομίζεται ἐν τῷ, οὐκ ἄφρων ὁ ξένος ὀΐεται, Ὀδ. ρ', 586. 1832, 37.

οἰέτης οἰέτεος, ὁμοετὴς εἴτουν ἰσόχρονος, ὅτι ἐκ τοῦ ὁμοετὴς λέγεται συγκοπῇ καὶ πλεονασμῷ τοῦ ῑ· καὶ ὅτι διὰ τὸν τοῦ ῑ πλεονασμὸν ἐψιλώθη ἡ ἄρχουσα τῆς λέξεως· καὶ ὅτι κοινόν ἐστι τῷ γένει τοὔνομα· καὶ ὅτι τῶν μεθ' Ὅμηρον ὀξυνόντων τὰ ἐκ τοῦ ἔτος συγκείμενα ὅμως ὁ Ὅμηρος βαρύνει αὐτα, ἑρμηνεία διεξοδική. 340, 32. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ ἴος, ἤγουν εἷς, πλεονασμῷ τοῦ ō λέγεται. 663, 23.

ὄϊζυε, προστακτικὸν ἀντὶ τοῦ φθείρου καὶ κακοπάθει. 969, 17.

ὀϊζυρὸς ὅτι παρὰ τὸ ὀϊζύειν, ὅ ἐστι θρηνεῖν, λέγεται. 1114, 46. καὶ ὀϊζυρὸς γόος ταὐτὸ ὅπερ δακρυόεις γόος παρ' Ὁμήρῳ. 1609, 38.

ὀϊζυρότερος ὅτι καίπερ μακρὰν ἔχει τὴν ζῦ συλλαβὴν, ὅμως ἐκτείνει καὶ τὴν ρῶ διὰ μέτρου χρείαν πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρός, Ἰλ. ρ', 446. 1114, 38. 1526, 6.

ὀϊζὺς καὶ ὀϊζυρὸς, ζήτει ἐν τῷ ὀϊζύω. 127, 9.

ὀϊζύω τὸ θρηνῶ καὶ κακοπαθῶ, ὅτι παρὰ τὸ οἳ θρηνητικὸν ἐπίρρημα γίνεται οἴζω, ὅθεν οἰζύω καὶ διαλύσει ὀϊζύω, ὅθεν ὀϊζὺς καὶ ὀϊζυρὸς ὀνόματα. 127, 9. 430, 9. 969, 17.

οἴη ἀντὶ τοῦ μία ἐν τῷ, εἵνεκα κούρης οἴης, Ἰλ. ι, 638. ὅτι θηλυκόν ἐστι τοῦ οἶος, καὶ ζήτει τὸ οἶος. 778, 43.

Οἴη, δῆμος τῆς Ἀττικῆς, ὅθεν ὁ δημότης Οἰῆθεν εἶναι λέγεται. 828, 18.

οἰήιον τετρασυλλάβως τὸ οἰάκιον εἴτουν τὸ τῆς νεὰς πηδάλιον, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ῆ, ὡς καὶ τὸ πολεμήιον. 257, 12. 1640, 50. καὶ οἰήια νεὼς ἔχειν, ἀντὶ τοῦ κυβερνᾶν τὴν ναῦν. 1170, 30.

οιν λήγουσαι δοτικαὶ, οἷον ἵπποιιν, ὤμοιιν, ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὸ δεύτερον ῑ. 205, 40. 1003, 24.

οιος καὶ οιον λήγοντα ἐπιθετικὰ ἐκ πλεονασμοῦ ἔχοντα τὸ δεύτερον ῑ, οἷον ὅμοιος ὁμοίιος, γελοῖον γελοίιον. 205, 39.

οἶκα, μέσος παρακείμενος, ὅθεν τὸ ἔοικα, ἐκ τοῦ εἴδω, ὃ δηλοῖ τὸ ὁμοιοῦν καὶ τὸ πρέπειν. 759, 5. 1160, 21.

οἴκαδε κοινῶς, ποιητικῶς δὲ οἶκόνδε ἐπὶ τοῦ αὐτοῦ. 1384, 12.

οἰκεῖα, ὅτι οὕτω λέγεται ἡ πατρίς. 1388, 28.

οἰκεία ἡ πατρὶς, οἷον ἐπανελθεῖν εἰς τὴν οἰκείαν, ὅτι ἐλλιπῶς τοῦ γῆ ἢ πόλις ἢ πατρὶς λέγεται. 461, 27. καὶ ὅτι κατὰ μόνας λεγόμενον συνεισάγει τὸ πατρίς. 687, 54. ἀλλαχοῦ δὲ ὅτι οἰκεία καθ' αὑτὸ τὴν πατρίδα σημαίνει, παρὰ τὸ οἰκεῖν ἢ τοῦ οἴκου λεγόμενον, ἰδίᾳ δὲ καθ' αὑτὸ οὐκ ἂν λέγοιτο ἀντὶ τοῦ πατρίς. 1391, 27.

οἰκεῖν κύματα λέγονται ὄρνιθές τινες ἀντὶ τοῦ ἐν θαλάττῃ διατρίβειν. 900, 33.

οἰκέτης, ὅτι οὐκ ἐξ ἀνάγκης δοῦλον ἡ λέξις σημαίνει, ἀλλ' οἰκέται ἐλέγοντο παρὰ τοῖς ἀρχαίοις πάντες οἱ κατὰ τὴν οἰκίαν διατρίβοντες, κἂν εἶεν ἐλεύθεροι. 566, 12. 1024, 34. 1423, 5.

οἰκεὺς ὁ οἰκογενὴς οἰκέτης, οἰκέται δὲ οἱ κατὰ τὴν οἰκίαν πάντες. 1423, 5. ἀλλαχοῦ δὲ ὅτι οἰκεὺς ἐν ἴσῳ τῷ οἰκέτης, οὐκ ἀεὶ ἐπὶ δούλου τίθεται. 1034, 28. ἀλλὰ καὶ τὸν κατ' οἶκον φιλητὸν δηλοῖ ποτὲ παρ' Ὁμήρῳ. 1750, 61.

οἰκῆες οἱ οἰκειακοὶ οὐ μόνον δοῦλοι, ἀλλὰ καὶ πάντες ἁπλῶς οἱ ἐν τῷ οἴκῳ ἐλεύθεροι καὶ δοῦλοι. 566, 10. 647, 23. 1831, 11.

οἴκημα, ὅτι τὸ εὐτελὲς οἴκημα κλισία καὶ σταθμὸς καὶ μέσαυλον καὶ αὖλις καὶ ἔπαυλις λέγεται παρ' Ὁμήρῳ, τὸ δὲ μὴ τοιοῦτον οἶκος καὶ δῶμα καὶ μέγαρον. 1749, 63.

οἰκία πληθυντικῶς οὐδετέρως, ὅτι οὐχ' ὑποκεκόρισται ἡ λέξις, ἀλλὰ κατὰ παραγωγὴν ἐκ τῆς οἰκίον εὐθείας λέγεται ἐν τῷ, οἰκία σμερδαλέα εὐρώεντα. 678, 23. 898, 5. 1196, 8. 1653, 23.

οἰκίον καὶ οἰκίδιον, ὑποκοριστικὰ τοῦ οἶκος. 1196, 14.

οἰκίσκος τὸ περδικοτροφεῖον, καὶ οἰκίσκος ὀρνίθειος κατὰ συμπλοκὴν παρ' Ἀριστοφάνει. 1423, 4.

οἰκοδεσποτεῖν λέγονται οἱ πλανῆται, ἐπεὶ καὶ οἴκους ἔχειν λέγονται. 162, 2.

οἰκοδομεῖν πόλιν ἢ θυσιαστήριον ὅτι ἀκύρως λέγεται, ὡς καὶ τὸ οἰνοχοεῖν νέκταρ καὶ χειρονομεῖν τοῖς σκέλεσι. 160, 10.

οἴκοθεν, πάντοθεν, ἄλλοθεν, ὅτι μόνα τῶν διὰ τοῦ οθεν ἐπιρρημάτων προπαροξύνονται. 174, 17

οἴκοι ἀντὶ τοῦ εἰς οἶκον Ἀττικῶς, ὅτι ἐλλιπῶς λέγεται, καὶ ὅτι ἐκ τῆς οἶκοι πληθυντικῆς εὐθείας εἰς ἐπίρρημα μετήχθη. 1384, 9.

οἶκοι λέοντες, παροιμία ἐπὶ τῶν κατὰ τῶν ἰδίων ὑπηκόων ἀνδριζομένων. 1349, 24.

οἶκοι πλανητῶν, χῶραι τινὲς δεδομέναι τοῖς πλανήταις, ὅθεν καὶ οἰκοδεσποτεῖν λέγονται. 162, 2.

οἶκόνδε ποιητικῶς, κοινῶς δὲ οἴκαδε, ἤγουν εἰς τὸν οἶκον ἢ πρὸς τὸν οἶκον. 1384, 11.

οἰκόπεδον, οἰκίας καταρριφείσης πέδον, ὅ ἐστιν ἔδαφος. 436, 42.

οἰκοπορεῖα τὰ κατὰ τὴν οἰκίαν σκεύη. 1423, 5.

οἰκὸς καὶ ἐοικὸς ὅτι ἐκ τοῦ οἶκα μέσου παρακειμένου τοῦ εἴδω, ὃ δηλοῖ τὸ πρέπειν καὶ τὸ ὁμοιοῦν, λέγονται. 759, 5. 1160, 21.

οἶκος, ὅτι καὶ τὰ ἐν τῷ οἴκῳ οἶκος λέγεται ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον ἐν τῷ, τοῦ νῦν οἶ-

καὶ ὁ Λευκάδιος διὰ τὸν γύψον ἀδικοῦσι κεφαλήν. 1573, 24.
οἶνος μέλας, περὶ τῶν τοῦ μέλανος καὶ λευκοῦ καὶ κιῤῥοῦ οἴνου δυνάμεων καὶ ἰδιωμάτων τινῶν, καὶ μάλιστα τῶν τοῦ μέλανος, ἱστορία φυσική· καὶ ὅτι παρὰ Χίοις πρώτοις ἔφυ ὁ μέλας οἶνος. 862, 12. 872, 32.
οἶνος οὐκ ἔχει πηδάλιον, παροιμία. 1623, 57.
οἶνος παλαιός, καὶ περὶ τῶν τοῦ παλαιοῦ οἴνου ἰδιωμάτων καὶ δυνάμεων ἱστορία. 1449, 16.
οἶνος σκευαστὸς εἴτουν ἠρτυμένος, παρὰ τοῖς παλαιοῖς ἀνθοσμίας καλούμενος. 1449, 11.
οἶνός τις Ἰταλικός, μέλας μὲν κατ' ἀρχάς, μετὰ δὲ πολὺν χρόνον λευκὸς γινόμενος. 1449, 15.
οἴνου κρᾶσις, ὅτι τὴν τοῦ οἴνου πρὸς ὕδωρ κρᾶσιν κατὰ μέν τινας Μελάμπους ἐπενόησε, κατὰ δέ τινας Ἀμφικτύων βασιλεὺς Ἀθηναίων· τινὲς δὲ ὄμβρῳ τυχαίῳ ἀνατιθέασι τὸ τοῦ κεράσματος αἴτιον, ὅθεν καὶ τῷ μετὰ τὸ δεῖπνον κράματι Ζεὺς σωτὴρ ἐπελέγετο διὰ τὸν ὄμβριον Δία. 1815, 64 — 1816, 20.
οἴνου κράσεις διάφοροι, ὅτι ἡ μέν τις, τρία λέγεται, ὅ ἐστιν ἓν οἴνου καὶ δύο ὕδατος, ἡ δὲ πέντε, δύο οἴνου καὶ τρία ὕδατος, ἡ δὲ τέσσαρα ἢ καὶ ἶσον ἴσῳ λεγομένη, καὶ ὑδαροῦς, ὅ ἐστιν ὑδατώδους, κράσεως σκώμματά τινα κωμικά. 1624, 32 — 55.
οἴνου ψῖξις ὅτι ἀρχαῖον ἔθος ἐστί. 866, 23.
οἰνοῦσθαι τὸ μεθύσκεσθαι, οἰνίζεσθαι δὲ τὸ οἶνον πορίζεσθαι. 692, 11.
οἰνοῦττα ὅτι ἐκ τοῦ οἰνόεσσα συνῄρηται Ἀττικῶς λεγόμενον. 1735, 52.
οἰνοφλυγία καὶ οἰνόφλυξ, ὅτι παρὰ τὸ φλύω γίνεται φλύσσω φλύξω, ὅθεν οἰνόφλυξ ὁ οἴνῳ φλύων ἤγουν ἀναζέων. 1241, 2.
οἰνόφλυξ ὅτι παρὰ τὸ φλῶ, ὃ δηλοῖ τὸ ὁρμητικῶς ἔχω, λέγεται. 972, 33. ἀλλαχοῦ δὲ ἄλλως, ζήτει τὸ οἰνοφλυγία.
οἰνοχοεῖν καὶ οἰνοχοεύειν τὸ κιρνᾶν. 1402, 29. καὶ ὅτι τὸ οἰνοχοεῖν νέκταρ ἀκύρως λέγεται, ὡς καὶ τὸ βουκολεῖν ἵππους καὶ χειρονομεῖν τοῖς σκέλεσι. 159, 36. 160, 7. καὶ ὅτι ἐν τῷ οἰνοχοεῖν οἶνον ἐκ περισσοῦ προστίθεται τὸ οἶνον. 1867, 26. καὶ περὶ τῶν τῆς οἰνοχοΐας σεμνωμάτων, καὶ πῶς ὁ Ἑρμῆς οἰνοχοεῖν λέγεται ἀλληγορικῶς. 1205, 14. ζήτει τὸ οἰνοχόοι.
οἰνοχοεύει, κατὰ τρίτον πρόσωπον, ὅτι ἐλλιπῶς τῆς ὑποκειμένης εὐθείας λέγεται ἐν τῷ, ἀρξάμενοι τοῦ χώρου ὅθεν τέ περ οἰνοχοεύει, Ὀδ. φ', 142. 1904, 52.
οἰνοχόοι, ὅτι οὐ δεῖ νομίζειν τοὺς παρ' Ὁμήρῳ οἰνοχόους δούλους γεγονέναι, ἀλλὰ νεανίσκους ἐλευθέρους. 1402, 43. ζήτει τὸ οἰνοχοεῖν.
οἰνοχόου τέμενος, ζήτει ἐν τῷ κύανθος. 1900, 26.
οἴνοψ πόντος ὁ ἔχων ὄψιν οἴνου μέλανος. 116, 3. 1408, 56.
Οἰνώνη, ὅτι οὕτως ἐκλήθη πάλαι ἡ Αἴγινα. 288, 4.
οἰνωπὸν μελανίας ὕδατος διαφορά, ὡς καὶ τὸ πορφύρεον καὶ τὸ κυάνεον. 116, 14.
—οιο λήγουσαι γενικαὶ ὅτι Θετταλικῆς εἰσὶ διαλέκτου, οἷον δένδρον δένδροιο. 96, 12. ἀλλαχοῦ δὲ ὅτι τῆς τῶν Βοιωτῶν. 140, 46.
οἰόθεν, ἐπίῤῥημα ἐκ τοῦ οἶος, ὅ ἐστι μόνος. 918, 44. καὶ οἰόθεν οἶος, μόνος ἐκ μόνου. 663, 14. 678, 42.
ὀΐομαι ἀντὶ τοῦ ἐλπίζω ἢ προσδοκῶ ἐν τῷ, ἀλλ' ἔτι τὸν δύστηνον ὀΐομαι εἴποθεν ἔλθοι, Ὀδ. υ', 224. 1889, 44.
ὀϊόμενος, νομίζων ἢ νομιζόμενος ἐν τῷ, ὀϊόμενον θανέεσθαι, Ἰλ. δ', 12. 439, 44.
οἷον θαυμαστικῶς ἐν τῷ, οἷον ἀναΐξας ἄφαρ ᾤχετο, Ὀδυσσ. β', 239. 1443, 17.
οἷον ἀντὶ τοῦ ὥς περ ἐν τῷ, οἷον ὅτε πρώτιστον ἐμισγέσθην φιλότητι, Ἰλιάδ. ξ', 295. 986, 59. οἷόν τε ἀντὶ τοῦ δυνατόν. 734, 26. καὶ ὅτι ἐκ περισσοῦ ἔχει τὸ τε, ὡς καὶ τὸ ἄλλως τε. 1486, 60.
οἰοπόλα ὄρη, καθ' ἃ οἶός τις πολεῖται, ἤγουν μόνος ἀναστρέφεται, τουτέστιν ἔρημα. 1659, 2.
οἰοπόλος χῶρος ἐπιθετικῶς ὁ ἔρημος. 942, 49. οἰοπόλος χῶρος, ἤγουν ἔρημον χωρίον, παρὰ τὸ οἶον, ὅ ἐστι μόνον, τινὰ πολεῖσθαι ἐν αὐτῷ, ἢ παρὰ τὸ εἰς ὀϊῶν, ἤγουν προβάτων, πόλησιν, ἤγουν ἀναστροφήν, ἐπιτήδειον εἶναι. 1094, 64. 1095, 3.
—οιος λήγοντα προπερισπώμενα ἀπὸ ληγουσῶν εἰς ος εὐθειῶν ἢ γενικῶν σχηματιζόμενα, οἷον ἄλλος ἀλλοῖος, παντὸς παντοῖος. 136, 45. 1817, 15.
οἰὸς γενικὴ ὅτι ἐκ τοῦ ὄϊος τρισυλλάβου συναιρεθὲν ὤφειλε προπερισπασθῆναι, ἑρμηνεία διεξοδική. 1447, 53. 59.
Οἰὸς ὀξυτόνως, δῆμός τις τῆς Ἀττικῆς οὕτω καλούμενος. 828, 17.
οἶος καὶ οἴα ἀντὶ τοῦ εἷς καὶ μία, καὶ ἀντὶ τοῦ μόνος καὶ μόνη, ὅτι παρὰ τὸ ἴος, ὅ ἐστιν εἷς καὶ μόνος, λέγεται πλεονασμῷ τοῦ ο. 663, 23. 779, 17. 780, 11.
οἷος ἀναφορικὸν ὅτι ἐπὶ θαυμασμοῦ ἀορίστου λαμβάνεται πολλαχοῦ παρ' Ὁμήρῳ, ἀλλαχοῦ δὲ ὅτι τὸ οἷος μέση λέξις ἐστίν, οἷον ἐν τῷ, οἷσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσιν, Ἰλ. ψ', 589. 1317, 46.
οἰοχίτων ὁ οἶον, ἤγουν μόνον, χιτῶνα ἔχων. 1770, 35.
ὄϊς ὄϊος διαλελυμένως, ὅτι ἀναλογώτερόν ἐστι τοῦ οἰς οἰὸς συνῃρημένου. 404, 3. καὶ ὅτι ἐπὶ τῆς γενικῆς τῆς τε τῶν ἑνικῶν καὶ τῆς τῶν πληθυντικῶν διαλελυμένως τε καὶ συνῃρημένως εὕρηται λεγόμενον, οἷον ὄϊος οἰός, καὶ ὀΐων οἰῶν. 1753, 2.
ὄϊς ἀρνειός, ὅτι γενικὸν μὲν τὸ ὄϊς, εἰδικὸν δὲ τὸ ἀρνειός. 1668, 43.
οἷς καὶ φθοῖς ὅτι μόνα ἐν τοῖς ὀνόμασιν εἰσὶ τοῦ τοιούτου τύπου. 403, 5.
οἶσε, προστακτικὸν ἀπὸ τοῦ οἴσω μέλλοντος ἀνηγμένου εἰς ἐνεστῶτα, καὶ οἴσετε πληθυντικῶς. 1887, 63. 1934, 59.

οἴσετε ἀντὶ τοῦ κομίσατε ἢ κομίζετε προστακτικῶς. 1887, 63. ζήτει τὸ οἶσε.

οἶσθα ἀντὶ τοῦ οἶδας, ὅτι καὶ οἶσθας λέγεται μετὰ τοῦ σ. 1773, 30.

οἰσόκαρπον τὸ ἀγνόκοκκον, ὅ ἐστιν ὁ τοῦ ἄγνου καρπός. 834, 34.

οἶσος, ὁ καὶ λύγος, εἶδος φυτοῦ. 834, 34. ἀλλαχοῦ δὲ ὅτι οἶσος φυτὸν ταὐτὸ ὅ περ οἰσύα, καὶ ζήτει ἐν τῷ οἰσύα. 1533, 57.

ὀϊστοβρόχιον, χυδαία λέξις, ὅτι ἐκ τοῦ χέειν ὀϊστοὺς ἀφορμὴν ἔσχε τῆς συνθέσεως. 770, 48.

ὀϊστός, ἐκ τοῦ οἴω τὸ κομίζω οἰστὸς καὶ διαλύσει ὀϊστός. 1902, 35.

ὀϊστοῦχος φαρέτρα ἐπιθετικῶς ἢ παρ' Ὁμήρῳ ἰοδόκος, ὅτι πρὸς ὁμοιότητα εἴρηται τοῦ πολιοῦχος καὶ ἑστιοῦχος. 1024, 62.

οἰστρεῖν κατὰ τὴν πρώτην καὶ οἰστρᾶν κατὰ τὴν δευτέραν. 1928, 23.

οἰστρηλατεῖσθαι τὸ οἴστρῳ φέρεσθαι. 1928, 16.

οἶστρος, ὁ καὶ μύωψ, θηρίδιόν τι σοβητικὸν τῶν τετραπόδων καὶ ποιοῦν αὐτὰ φέρεσθαι, παρὰ τὸ οἴω τὸ κομίζω, πλεονασμῷ τοῦ σ καὶ τοῦ ρ· καὶ οἶστρος μεταφορικῶς πᾶσα ἐπιτεταμένη ὁρμή. 1161, 28. 1648, 44. 1928, 16.

οἰσύα, βοτάνη ἀκανθώδης, ἣ καὶ οἶσος δοκεῖ λέγεσθαι, ὅθεν καὶ ἀσπὶς οἰσυΐνη λέγεται καὶ δόρυ οἰσύϊνον καὶ ῥῖπες οἰσύϊνοι οἱ ἀπὸ κλάδων ἰτέας· καὶ ὅτι καὶ φυτὸν ἱμαντῶδες ἡ οἰσύα. 1533, 56-62.

οἰσύϊνος κόφινος ὁ ἐξ οἰσύας φυτοῦ γινόμενος, καὶ οἰσυΐνη ἀσπὶς καὶ οἰσύϊνον δόρυ καὶ ῥῖπες οἰσύϊνοι οἱ ἀπὸ κλάδων ἰτέας. 1533, 55. 60.

οἰσυπηρὰ ἔρια τὰ ῥυπώδη, παρὰ τὸν οἴσυπον. 1809, 24.

οἴσων καὶ οἰσόμενος ἀντὶ τοῦ κομίσων καὶ κομισόμενος, ὅτι ἄπεισί τις οἴσων τι ἑτέρῳ, οἰσόμενος δὲ ἑαυτῷ. 966, 22.

οιτατος λήγοντα ὑπερθετικὰ καὶ οιτερος συγκριτικὰ ἐκ πλεονασμοῦ τοῦ ι γινόμενα, οἷον μυχότατος μυχοίτατος, πάρος παρότερος παροίτερος. 1905, 30.

οιτης καὶ οιτιος λήγοντα ὀνόματα ἐκ πλεονασμοῦ ἔχοντα τὸ ι τῆς οι διφθόγγου. 113, 4.

οιτης καὶ οιτιος λήγοντα ὀνόματα ἐκ τῶν εἰς ος πλεονασμῷ τοῦ ι γενόμενα, οἷον θυμὸς Θυμοίτης, μένος Μενοίτιος. 113, 4. 395, 18. ζήτει τὸ, οιτιος λήγοντα.

οιτιος ληγόντων ὀνομάτων ἀναλογία, οἷον φίλος Φιλοίτιος, μένος Μενοίτιος, καὶ ὅτι οὐ παρὰ τὸν οἶτον λέγονται. 1888, 59. 1889, 55. ζήτει τὸ, οιτης λήγοντα.

οἶτος ἐν ἴσῳ τῷ συμφορά. 776, 52. ὅτι παρὰ τὸ οἶ θρηνητικὸν ἐπίῤῥημα λέγεται. 696, 21. καὶ οἶτος ἡ τύχη. 1186, 47. καὶ οἶτος κακὸς ἡ κακοτυχία. 1422, 43. καὶ οἶτος ἡ κακοπάθεια ἐν τῷ, λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις, Ὀδ. θ', 489. 1606, 50.

Οἴτυλος, πόλις τις τῆς Λακωνικῆς, Τύλις δὲ Θρᾴκης. 295, 40.

οἴφειν καὶ οἴφεσθαι τὸ συνουσιαστικῶς ποιεῖν καὶ πάσχειν. 1597, 29.

οἰφώλης ὅτι παρὰ τὸ οἴφειν, ὃ δηλοῖ τὸ συνουσιάζειν, λέγεται. 1597, 29.

Οἰχαλία, πόλις Εὐρύτου, πολλαχοῦ παρ' Ὁμήρῳ· ὅτι οἱ μὲν τὴν Ἀρκαδικὴν, οἱ δὲ τὴν Θεσσαλικὴν οὕτω λέγεσθαί φασι, καὶ ὅτι πολλαί τινες Οἰχαλίαι, ἑρμηνεία διεξοδικωτάτη. 298, 16—37. καὶ ὅτι ἡ Ἀρκαδικὴ Οἰχαλία Ἀνδανία ἐκλήθη ποτέ. 743, 26.

Οἰχαλίας ἅλωσις, ποίημα Ὁμήρου, κατὰ δέ τινας Κρεωφύλου τοῦ Σαμίου. 330, 46.

οἴχεσθαι τὸ ἀπελθεῖν καὶ τὸ θανεῖν καὶ ἁπλῶς ἀφανισθῆναι, ὅθεν οἰχόμενοι καὶ ἀποιχόμενοι οἱ θανόντες. 119, 21. 23. 486, 46. 959, 59.

οἴχνεσκον, ἤγουν ἤρχοντο. 608, 6. ζήτει τὸ οἰχνῶ.

οἰχνῶ παρὰ τὸ οἴχω πλεονασμῷ τοῦ ν καὶ καταβιβασμῷ τῆς τάσεως. 670, 62. καὶ οἰχνέσκω κατὰ δευτέραν παραγωγήν. 608, 6.

οἴω δισυλλάβως ἐν ἴσῳ τῷ ὀΐω, ὅ ἐστι νομίζω. 1171, 42.

οἴω δισυλλάβως παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ ὀΐω, ὅ ἐστιν οἴομαι. 997, 25. καὶ οἴω οἴσω τὸ κομίζω. 1161, 29.

ὀΐω τὸ νομίζω καὶ τὸ στοχάζομαι. 1410, 39. καὶ ὅτι τὸ ὀΐω καὶ ὀΐομαι ἐκ τοῦ οἴω καὶ οἴομαι κατὰ διάλυσιν λέγονται. 54, 32. καὶ ὅτι τὸ ὀΐω ἀντὶ τοῦ οἴομαι ἀποστατικῶς παρεντίθεται κατ' ἐνδοιασμὸν εὐλαβῆ ἐν τῷ, ἤτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ' ὀΐω γνώσεαι, Ὀδ. π', 309. ὃ καὶ ἐλλειπτικῶς τοῦ ὡς ἐνδέχεται εἰρῆσθαι. 1803, 32.

οἰωνίζεσθαι τὸ μαντεύεσθαι. 1790, 16.

οἰωνιστὴς ταὐτὸ ὅ περ οἰωνοπόλος, ὅτι εἰδικώτερόν ἐστιν ἢ τὸ θεοπρόπος. 920, 57.

οἰωνοθέτης ταὐτὸ ὅ περ οἰωνοπόλος. 533, 13.

οἰωνοπόλος ὁ περὶ τοὺς μαντικοὺς οἰωνοὺς πολούμενος. 47, 39. καὶ ὅτι ὁ οἰωνοπόλος καὶ οἰωνιστὴς καὶ οἰωνοθέτης καὶ οἰωνόμαντις πολυωνυμικῶς λέγεται. 51, 13.

οἰωνὸς, ὅτι πάντα τὰ σαρκοβόρα ὄρνεα οἰωνοὶ λέγονται ἐν τῷ, οἰωνοῖσί τε πᾶσιν, Ἰλ. α', 5. 467, 30. 961, 51. ἀλλαχοῦ δὲ ὅτι οὐ μόνον ἁπλῶς πτηνὸν δηλοῖ τοὔνομα, ἀλλὰ καὶ πᾶν σύμβολον καὶ σημεῖον μαντικὸν εἴτουν σημαντικὸν τοῦ μέλλοντος οὕτω λέγεται, καὶ ὅτι καὶ κίρκος τις Ὀδ. ο', 526. οἰωνὸς εἶναι λέγεται, ἤγουν σημαντικὸς τοῦ μέλλοντος, ὅ τε καὶ μέση ἀγαθοῦ καὶ κακοῦ ἡ λέξις ἐστί. 200, 15. 902, 23. 1351, 20.

Οἰωνὸς, υἱὸς Λικυμνίου, Ἡρακλέους θεράπων, ὑπὸ τῶν Ἱπποθοωντιδῶν ἀναιρεθεὶς, ἱστορία. 293, 13.

ὁ Καρπάθιος τὸν λαγωὸν, παροιμία ἐπὶ τῶν κακόν τι ἑαυτοῖς ἐπισπωμένων, ζήτει ἐν τῷ λαγοὶ καὶ δασύποδες. 1821, 33.

ὀκέλλω ὅτι ἐκ τοῦ κέλλω δισυλλάβου γέγονε πλεονασμῷ τοῦ ὀ. 605, 47. 656, 3. 884, 16.

―οκη καὶ ―οκος λήγοντα ὀνόματα σύνθετα ἐκ τοῦ δέχω τροπῇ τοῦ χ εἰς κ, οἷον καπνοδόκη, ξενοδόκος. 130, 41.

ὀκλαδίας δίφρος, ὅτι παρὰ τὸ κλῶ γίνεται κλάζω καὶ πλεονασμῷ ὀκλάζω, ὅθεν ὀκλαδίας. 487, 34. 540, 35. 1769, 18. καὶ ὅτι ὁ ὀκλαδίας δίφρος τείνεται, ὅτε εἰς καθέδραν ἑτοιμασθῇ. 1661, 60.

ὀκλάζω ὅτι παρὰ τὸ κλῶ κλάζω γέγονε πλεονασμῷ τοῦ ο. 650, 47. 931, 62. 1208, 14.

ὀκλὰξ ἐπίῤῥημα ἀντὶ τοῦ ἐπὶ γόνυ, ὅτι παρὰ τὸ ὀκλάζω λέγεται. 1769, 18.

―οκλος λήγοντά τινα ἀρσενικὰ προπαροξύτονα, ὅτι καὶ διὰ τοῦ ―οκλης περισπωμένως κατὰ τὴν πρώτην τῶν συνῃρημένων κλίνονται, οἷον Ἐτέοκλος Ἐτεοκλῆς, Πάτροκλος Πατροκλῆς. 112, 40.

ὀκνεῖν, οἱονεὶ οὐκ ὀνεῖν, ἤγουν μὴ ἐνεργεῖν, τουτέστιν ἀργεῖν. 546, 5.

ὄκνος ἡ μετὰ κάματον ἀργία παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον ὁ φόβος. 546, 6. 611, 8.

ὀκριᾶσθαι ἀντὶ τοῦ τραχύνεσθαι, ὅθεν ὀκριόεις ὁ τραχύς. 1836, 50.

ὀκριόεις λίθος ὁ ἔχων ἄκρας, ἤγουν ὀξύτητας, τουτέστι τραχύς. 715, 49. 1084, 15.

ὀκριόωντο ἀντὶ τοῦ ὀκριῶντο, ἤγουν ἐτραχύνοντο, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ προπαραλῆγον ο. 30, 45.

ὀκρυόεσσα, ὅτι ἐκ τοῦ κρύος σύγκειται ἡ λέξις. 646, 5.

ὀκτάκνημα κύκλα, τροχοὶ ὀκτάραβδοι, κνῆμαι γὰρ αἱ ἀπὸ τῶν χοινικίδων ἕως τῆς τοῦ τροχοῦ περιφερείας ῥάβδοι. 598, 3.

ὀκτάπους κοινότερον ὁ πολύπους. 1541, 8.

ὀκτὼ ἀριθμητικὸν ἐν συνθέσει προτασσόμενον ὅτι ποτὲ μὲν φυλάσσει τὸ ληκτικὸν ω, ποτὲ δὲ αὐτὸ εἰς α τρέπει. 1417, 34.

ὄλβιος ὁ εὐδαίμων καὶ πλούσιος, οἱονεὶ ὁλόβιος, ἤγουν τέλειος τὸν βίον, ἢ ἐν ὀλαῖς, ὅ ἐστι κριθαῖς, τὸν βίον κεκτημένος. 402, 18. 832, 14. 1676, 59.

ὄλβος ἡ εὐδαιμονία ἢ ἡ φρόνησις ἢ ἡ ἐκ τῶν ἀγρῶν περιουσία, παρὰ τὰς ὀλάς, ὃ δηλοῖ τὰς κριθάς, ἑρμηνεία διεξοδική. 1364, 6. 1558, 53.

ὀλέεσκον ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ παραλῆγον ε. 1176, 7.

ὀλέσαι ψυχὴν ἀντὶ τοῦ ἀποθανεῖν. 958, 59.

ὀλιγαρχία ἡ μὴ κατὰ νόμον ἀριστοκρατία, ὅτι ἀναλογεῖ τῇ τυραννίδι. 202, 21.

ὀλίγη ὄψ ἡ ἠρεμαία καὶ μικρὰ φωνή. 1770, 43.

ὀλιγηπελέειν τὸ ὀλίγον πέλειν, ἤγουν ὀλιγοῦσθαι τὸ εἶναι διά τι πάθος φθαρτικόν, τουτέστιν ὀλιγοθυμεῖν εἴτουν λειποψυχεῖν. 457, 42. 1542, 1. 1866, 64. καὶ ὅτι διὰ τοῦ ὀλίγον ἔχειν θυμὸν περιφράζεται. 1003, 36. καὶ ὅτι ὀλιγηπελέειν λέγεται, οὗ ὁ θυμὸς οὐκ αὔξεται τῇ χαρᾷ. 1104, 14.

ὀλιγηπελία ἡ ὀλιγοψυχία, ὅτι παρὰ τὸ ὀλιγηπελέειν λέγεται. 1541, 64. ζήτει τὸ ὀλιγηπελέειν.

ὀλιγοθυμεῖν, ὀλιγηπελέειν, ὀλιγοδρανέειν ὅτι ἰσοδυναμοῦσιν ἀλλήλοις, ταὐτὸ δὲ τούτοις δύναται καὶ τὸ ὀλίγον θυμὸν ἐνεῖναι τινὶ λέγειν. 1014, 45.

ὀλιγομετρία, μία τῶν ἓξ κακιῶν τοῦ ἔπους, ἑρμηνεία διεξοδική. 353, 39.

ὀλίγον ἐπὶ πλήθους κυρίως, καταχρηστικῶς δὲ καὶ ἐπὶ συνεχοῦς ποσοῦ ἀντὶ τοῦ μικρὸν πολλαχοῦ. 1642, 27.

ὀλίγον ἐοικὼς ἀντὶ τοῦ οὐδὲν ὅμοιος ἐν τῷ, ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς, Ἰλ. ε', 800. ἑρμηνεία διεξοδική. 610, 6.

ὀλίγος ἐπὶ ποσότητος, μικρὸς δὲ ἐπὶ πηλικότητος· παρ' Ὁμήρῳ δὲ ὀλίγος ἀντὶ τοῦ μικρὸς ἐνίοτε τίθεται. 610, 16. 1160, 14. 1720, 17. 21.

ὀλίγου ἀντὶ τοῦ μικροῦ δεῖν ἐν τῷ, ὦ γέρον ἢ ὀλίγου σε κύνες διεδηλήσαντο, Ὀδ. ξ', 37. 1749, 52.

ὄλιζον τὸ μικρὸν Θεσσαλοί. 329, 14. ἀλλαχοῦ δὲ ὅτι ὄλιζον τὸ ὀλίγον Αἰολικῶς, καὶ ὅτι προπαροξύνεται ἡ λέξις. 1160, 16. καὶ πάλιν ἀλλαχοῦ ὅτι ὀλίζον ἀντὶ τοῦ ὀλίγον Ἰωνικῶς. 1643, 1.

Ὀλιζὼν ὀξυτόνως, πόλις Θεσσαλική, παρὰ τὸ ὄλιζον, ὃ δηλοῖ παρ' αὐτοῖς τὸ μικρόν, λεγομένη· καὶ ὅτι φυλάσσει τὸ ω διόλου, ὀλίζων δὲ βαρυτόνως ἀντὶ τοῦ μικρὸς ἢ ὀλίγος. 329, 10. 1160, 13.

ὁλκὴ ὁ ὄγκος, παρὰ τὸ ἕλκειν. 1846, 62.

ὅλμος, λίθος κυλινδροειδής, καὶ σκεῦος ἐν ᾧ κόπτονται ὄσπρια καὶ ἄλλα τινὰ πτισσόμενα· καὶ ὅτι παρὰ τὸ ὄλλειν καὶ μειοῦν τὰ κοπτόμενα λέγεται· καὶ παροιμία, ἐν ὅλμῳ κοιμᾶσθαι, ἀντὶ τοῦ μαντικὸν γενέσθαι, ἑρμηνεία διεξοδική. 402, 21. 835, 47. 836, 42. καὶ ἀλλαχοῦ δὲ ὅτι ὅλμος εἶδος ποτηρίου ὁμωνύμως. 1668, 17.

ὀλοὴ μοῖρα ὅτι πρὸς διαστολὴν λέγεται τῆς μὴ τοιαύτης, καθ' ἣν ἡ εὐμοιρία λέγεται. 1254, 17.

ὀλοὴ νὺξ ὅτι μερικῶς ἐπιτίθεται νυκτί τινι, καὶ οὐ καθόλου τῆς νυκτὸς λέγεται τὸ ἐπίθετον. 1260, 52.

ὀλολυγή, γυναικεία εὐχὴ μετὰ ἐνθεασμοῦ καὶ ἐμμελοῦς τινὸς καὶ λείου ἤχου, ὡς ἡ τῆς λέξεως ὀνοματοποιία ὑποδηλοῖ. 643, 29. 40. ζήτει τὸ ὀλολύζειν.

ὀλολυγὼν ὄρνεον ὅτι παρὰ τὸ ὀλολύζειν λέγεται. 643, 32.

ὀλολύζειν παρ' Ὁμήρῳ τὸ τρανεστέρᾳ φωνῇ εὔξασθαι καὶ θεοὺς ἐπιβοᾶσθαι, περὶ γυναικῶν λεγόμενον, παρὰ δὲ τοῖς ὕστερον τὸ θρηνεῖν, οἱονεὶ ὀλοὸν λύζειν. 643, 30. 35. 1476, 54. 1517, 18. 1932, 16.

ὅλον ἀπὸ τοῦ μέρους κληθέν. 948, 29. ζήτει ἐν τῷ μέρος.

ὁλονθος γνάθος ἐπιθετικῶς ἡ ὅλη ὄνθου, ἤγουν κοπρίας, γέμουσα. 1329, 30.

ὁλοοίτροχος, ὄνομα διαφόρως ἐτυμολογούμενον καὶ πνευματούμενον, καὶ ὅτι καὶ ὀλοίτροχος λέγεται τετρασυλλάβως, καὶ ὅτι ὀλοοίτροχος λίθος ἐντελῶς λέγεται, ἑρμηνεία διεξοδική. 925, 3.

ὀλοὸν πῦρ τὸ ἐπὶ ἐμπρησμῷ ἐπιφερόμενον πρὸς διαστολὴν τοῦ ἐν θυσίαις ἢ γάμοις παραλαμβανομένου. 951, 21.

ὀλοὸς ὅτι ἐκτείνει τὴν λō συλλαβὴν διὰ μέτρου ἀνάγκην, οἷον ἐν τῷ, ὀλοῇσι φρεσὶ θύει, Ἰλ. α', 342. 114, 41.

Ὀλοοσσών, πόλις Περραιβικὴ πρὸς τῷ Ὀλύμπῳ κειμένη, καὶ ὅτι λευκὴ λέγεται παρ' Ὁμήρῳ διὰ τὸ λευκάργιλος εἶναι. 333, 35.

ὀλοόφρων ὁ τὸ ἦθος οὐχ' ἱλαρὸς, ἢ ὁ συνετὸς καὶ ὁλόκληρα φρονῶν. 1651, 48.

ὀλοόφρων Ἄτλας ἀλληγορικῶς ἡ τῶν ὅλων φροντιστικὴ πρόνοια, ἢ καὶ δασύνοιτ' ἂν τοὔνομα. 1389, 55.

ὀλοόφρων λέων ἐπιθετικῶς ἀντὶ τοῦ ἁπλῶς ὀλοὸς, ὀλοόφρων δὲ ἄνθρωπος ἀντὶ τοῦ ὀλεθριόφρων παρὰ τὸ ὀλοὰ φρονεῖν. 738, 43. 1035, 14.

ὅλος ὅτι κυρίως μὲν ἐπὶ συνεχοῦς ποσότητος τίθεται, τὸ δὲ πᾶς ἐπὶ διωρισμένου ποσοῦ, ὅμως δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται. 1212, 29. ἀλλαχοῦ δὲ ὅτι ὅλος ἐπὶ πηλικότητος καὶ ἐφ' ἑνὸς ἀτόμου, πᾶς δὲ ἐπὶ ποσότητος καὶ πολλῶν. 1720, 18. καὶ ὅλος ἀντὶ τοῦ σῶος εἴτουν ἀκέραιος. 132, 37. καὶ ὅτι παρὰ τὸ ἕω ὦ, ὃ δηλοῖ τὸ πληρῶ, λέγεται. 73, 34. 1190, 19. 1626, 36.

ὁλοσιαλοκάλαμος, ὅτι οὕτως ἐσκώφθη τις φαύλως αὐλῶν. 1165, 25.

Ὀλουρις ἢ Ὄλουρα, ὅτι οὕτως ἐκλήθη ὕστερον τὸ πάλαι ποτὲ Δώριον, ὅ ἐστιν ὄρος ἢ πεδίον κείμενον ἐν τῷ αὐλῶνι τῆς Μεσσηνίας χώρας. 298, 23.

ὀλοφυγδὼν ὅτι παρὰ τὸ ὀλοφύζω λέγεται πλεονασμῷ τοῦ δ'. 594, 26. 643, 33.

Ὀλόφυξος, πόλις Θρακικὴ, ἧς τὸ ἐθνικὸν Ὀλοφύξιος. 594, 28.

ὀλοφύρεσθαι τὸ ἐλεεῖν καὶ τὸ ἐπί τινι ὀλοῷ φύρεσθαι δάκρυσι, τουτέστι πενθεῖν. 696, 18. 1660, 9. ἀλλαχοῦ δὲ ὅτι τὸ ὀλοφύρεσθαι παρ' Ὁμήρῳ μὲν ἀντὶ τοῦ ἐλεεῖν καὶ συμπαθεῖν, παρὰ δὲ τοῖς ὕστερον ἀντὶ τοῦ κλαίειν καὶ ὀδύρεσθαι. 876, 39. 1652, 44. 55. καὶ ὀλοφύρεσθαι ἀντὶ τοῦ ὀκνεῖν ἐν τῷ, ὀλοφύρεσθαι ἄλκιμος εἶναι, Ὀδ. χ', 232. 1925, 38.

ὀλοφυρμὸς, μέλος ἐπὶ θανάτοις καὶ λύπαις. 1164, 11.

ὀλοφώια τὰ φωτῶν, ἤγουν ἀνδρῶν, ὀλεθρευτικὰ, ἢ ἅπερ ὄλλυσιν ἐν τῷ φανῆναι, τουτέστι τὰ δεινὰ καὶ ἐκφοβητικὰ ἐν τῷ, πάντα δέ τοι ἐρέω ὀλοφώια τοῖο γέροντος, Ὀδ. δ', 410. 1502, 40.

ὀλοφώιον φάρμακον παρ' Ὁμήρῳ τὸ καὶ οὐλόμενον, παρὰ τὸ ὄλλω. 1662, 64.

ὀλόχυλος ὁ λίαν ἐκ βροχῆς χυλωθεὶς, ἤγουν ὑγρανθείς. 1552, 34.

ὀλοώτερος θεῶν παρ' Ὁμήρῳ ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς, οἷον ἐν τῷ, Ζεῦ πάτερ οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος. 424, 34.

ὄλπη ἡ ἐλαιοδόχος λήκυθος, ὅτι παρὰ τὸ ἔλαιον πεπᾶσθαι, ὅ ἐστι κεκτῆσθαι, λέγεται. 1552, 26.

Ὀλύμπια ὁ ἐν Ἤλιδι τελούμενος μέγας ἀγὼν εἰς τιμὴν τοῦ Ὀλυμπίου Διός. 28, 1. καὶ περὶ τῆς καταστάσεως τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ἱστορία διεξοδική. 879, 49.

Ὀλύμπια κάρηνα πολλαχοῦ παρ' Ὁμήρῳ, ὅτι περὶ ὄρους οἰκειότερον ἢ περὶ τοῦ οὐρανοῦ ἀκούεται, ἑρμηνεία διεξοδική. 38, 29.

Ὀλυμπιάδες Μοῦσαι αἱ τοῦ Ὀλυμπίου Διὸς θυγατέρες ἢ αἱ ἐν Ὀλύμπῳ οἰκοῦσαι. 261, 3.

Ὀλυμπιονίκης, κύριον ὁμωνύμως τῷ προσηγορικῷ. 847, 46.

Ὀλυμπίου Διὸς ἄγαλμα, ὅτι ἐξ Ὁμηρικῶν τινῶν ἐπῶν ὁρμηθεὶς ὁ Φειδίας ἐποίησεν αὐτό. 145, 16.

Ὄλυμπος, ὄρος Μακεδονικὸν, καὶ ὅτι καὶ ἄλλοι πολλοὶ τόποι τούτῳ τῷ ὀνόματι κεχρῆσθαι ἱστόρηνται· παρὰ δὲ τοῖς ποιηταῖς Ὄλυμπος ὁ οὐρανὸς, οἱονεὶ ὁλόλαμπος, συγκοπῇ καὶ τροπῇ· καὶ ὅτι καίπερ ἐκ τοῦ ὅλος συγκείμενον, ὅμως ψιλοῦται τοὔνομα. 27, 30 — 45. 38, 37. 605, 3. 694, 51. 1389, 57. καὶ ὅτι ἐκ τοῦ, οἳ ῥα καὶ ἀθανάτοισιν ἀπειλείτην ἐν Ὀλύμπῳ, Ὄσσαν ἐπ' Οὐλύμπῳ θέμενοι, Ὀδ. λ', 313. τὸ μὲν ἀντὶ τοῦ οὐρανοῦ, τὸ δὲ ἀντὶ τοῦ ὄρους λαμβάνεται. 1687, 25. καὶ ὅτι ἐν τῷ, ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω, Ἰλ. π', 364. ὡς διάφορά τινα ὁ Ὄλυμπος καὶ ὁ οὐρανὸς παραλαμβάνονται. 1064, 25. καὶ ὅτι ὡς κοινὸν οἰκητήριον πάντων τῶν θεῶν ὑπόκειται ὁ Ὄλυμπος τὸ ὄρος πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος, Ἰλ. ο', 193. 1012, 14. καὶ Ὄλυμπος ὄνομα αὐλητοῦ, οὗ θρηνητικὸς νόμος περιᾴδεται. 27, 45. 1175, 62.

ὄλυνθος ὁ τῆς ἀγρίας συκῆς καρπὸς, ὅτι ψιλοῦται τοὔνομα. 1329, 31.

ὄλυρα, σπόριμόν τι βραχύτερον ὀρόβου. 538, 22. 730, 4.

Ὀλυσσεὺς καὶ Ὀλύσσεια, ὅτι οὕτως εὕρηνταί που γραφόμενα ὁ Ὀδυσσεὺς καὶ ἡ Ὀδύσσεια. 289, 38.

ὀλῶ τὸ πράττω, ὅθεν ὠλένη λέγεται. 46, 17.

ὄλωλα ὅτι ἐκ τοῦ ὦλα μέσου παρακειμένου γέγονεν Ἀττικῶς. 1523, 41.

ὀλώλῃ, τρίτον πρόσωπον ὑποτακτικὸν τοῦ ὄλωλα μέσου παρακειμένου. 460, 22.

ὅλων ὕστερον, φράσις χυδαία ἀντὶ τοῦ πάντων τελευταῖον. 883, 12.

ὅμαδος ὅτι παρὰ τὴν ὁμοῦ αὐδὴν λέγεται. 180, 8. 682, 39. καὶ ὅτι οὐ μόνον ἐπὶ ἀπαιδεύτου ταράχου, ἀλλὰ καὶ ἐπὶ σώφρονος συλλαλιᾶς τίθεται ἡ λέξις. 1297, 27.

ομαι ληγόντων μέσων μελλόντων τὰ τρίτα πρόσωπα ὅτι προπερισπῶνται Δωρικῶς ἐπενθέσει τοῦ ι, οἷον πλευσεῖται ἀντὶ τοῦ πλεύσεται. 655, 13.

ὅμαιμοι κυρίως οἱ ἀδελφοὶ, καὶ ὅμαιμοι πλατύτερον οἱ τοῦ αὐτοῦ αἵματος ὄντες, τουτέστιν οἱ συγγενεῖς. 410, 37. 573, 3.

ὁμάϊον τὸ ἄθροισμα τῶν ἀκροωμένων παρὰ τοῖς Πυθαγορείοις. 856, 63. ζήτει τὸ ὁμακόϊον.

ὁμακόϊον τὸ ἄθροισμα τῶν ἀκροωμένων, ὃ καὶ ὁμάϊον λέγεται παρὰ τὸ ἀΐειν, ὅ ἐστιν ἀκούειν. 856, 64.

ὁμαλὸν ποιῆσαι ξύλον, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀποξῦναι ἢ μᾶλλον λεᾶναι. 1631, 30.

ὁμαρτεῖν ἀντὶ τοῦ ὁμοῦ ἀρηρέ-

ναι καὶ συνασπίσαι. 911, 7. ἀλλαχοῦ δὲ ὅτι ὁμαρτεῖν ἀντὶ τοῦ ὕμα ὁρμᾶν καὶ ὡς εἰπεῖν ἀρηρότως. 1906, 50.

ὁμαρτῇ, ἐπίῤῥημα ἀντὶ τοῦ ὁμοῦ, ὅτι παρὰ τὸ ὁμοῦ καὶ τοῦ ἀρτῶ λέγεται, καὶ ὅτι συνήθως μὲν περισπᾶται, κατὰ δὲ Ἀρίσταρχον ὀξύνεται ὡς ἐκ τοῦ ὁμαρτήδην συγκοπέν· καὶ ὅτι καὶ ἁμαρτῇ διὰ τοῦ ᾱ γράφεται ἐπὶ τοῦ αὐτοῦ, ἑρμηνεία διεξοδική. 592, 10. 16. 751, 64.

ὁμαρτήδην ἐπίῤῥημα, ὁμοῦ καὶ συνηρτημένως. 947, 53. 64.

ὁμαρτήτην ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ὁμοῦ, οἱ δὲ ῥηματικῶς ἀντὶ τοῦ ἠκολούθησαν, ἐκ τοῦ ὁμαρτησάτην κατὰ συγκοπὴν, Ἰλ. ν', 584. 947, 53. 55.

ὀμβρίζω, ὅτι αἱ ἀπ' αὐτοῦ κινήσεις διὰ τοῦ ῆτα γράφονται ὡς ἀπὸ τοῦ ὀμβρῶ περισπωμένου, οἷον ὀμβρήσω ὤμβρησα. 114, 5.

ομεν λήγοντα αὐθυπότακτα διὰ τοῦ ο μικροῦ γραφόμενα Ἰωνικῶς ἐκ μετρικῆς ἀνάγκης πολλαχοῦ παρ' Ὁμήρῳ. 67, 40. 1059, 53. 1562, 13.

ομεν καὶ ομεναι λήγοντα ἀπαρέμφατα ἐκ τῶν εἰς ουναι καὶ ειναι μετασχηματισθέντα, οἷον δοῦναι δόμεν καὶ δόμεναι, θεῖναι θέμεν καὶ θέμεναι. 70, 1.

ὁμηγερέες, ὁμοῦ ἀγηγερμένοι· καὶ ὅτι τὸ, ὁμηγερέες ἐγένοντο, περιφραστικόν ἐστι τοῦ ἤγερθεν, Ἰλ. α', 57. 46, 23.

ὁμηγυρίζεσθαι λέγονταί τινες ἀλλοπαθῶς παρ' Ὁμήρῳ, ὁμηγυρέεσθαι δὲ αὐτοπαθῶς. 1805, 45.

ὁμήγυρις, ὅτι παρὰ τὸ ἄγυρις, ὃ δηλοῖ τὴν ἀγορὰν, Αἰολικῶς σύγκειται τοὔνομα. 631, 44.

ὁμηλικία ἡ ὁμοία ἡλικία. 400, 9. 943, 14.

Ὁμηρικὰ ἔπη ἐκ τοῦ καταλόγου προσμαρτυρήσαντά ποτε διαφερομένοις τισὶ περὶ τόπων τινῶν ἢ πόλεων, ἱστορία. 263, 17.

ὅμηρον οὐδετέρως τὸ ἐπὶ εἰρήνῃ διδόμενον παρὰ τὸ ὁμοῦ ἀρηρέναι ποιεῖν τοὺς διαλλαττομένους λέγεται. 4, 33. 1809, 26.

Ὅμηρος ὁ ποιητὴς ὅτι παρὰ τὸ μὴ ὁρᾶν οὕτως ἐκλήθη, οἱονεὶ μήορος, ἢ παρὰ τὸ ὅμηρόν ποτε γενέσθαι· ὅμηρα δὲ τὰ ἐπὶ εἰρήνῃ διδόμενα, ζήτει τὸ ὅμηρον. 4, 30. 395, 10.

Ὅμηρος ὅτι δίγλωσσός ἐστιν ἔν τε λέξεσι καὶ ἐν ἐννοίαις, ἑρμηνεία διεξοδική. 1192, 37.

Ὁμήρου γένος, ὅτι Μέλητος ποταμοῦ υἱὸς γεγονέναι μυθεύεται διὰ τὰς προσούσας αὐτοῦ τῷ λόγῳ ποιότητας. 96, 25. ἀλλαχοῦ δὲ ὅτι Αἰγυπτίων γονέων ὑπό τινων ἱστορεῖται γενέσθαι ὁ Ὅμηρος καὶ προφῆτίς τις τροφὸς αὐτοῦ, ἧς ἐκ τῶν μαστῶν μέλι ῥεῦσαι ποτὲ εἰς τὸ στόμα αὐτοῦ βρέφους ὄντος, ὅθεν καὶ φωνὰς ἐννέα ὀρνίθων ἀφεικέναι τὸ βρέφος, ἱστορία. 1713, 18.

Ὁμήρου διδάσκαλοι, ὅτι Ὁμήρου διδάσκαλοι ἐνομίσθησαν Κρεώφυλος ὁ Σάμιος ἢ Ἀρισταῖος ὁ Προκοννήσιος, ἐν οἷς καὶ περὶ τῆς πρὸς Κρεώφυλον Ὁμήρου φιλίας καὶ ξενίας, ἑρμηνεία διεξοδική. 330, 44—331, 6.

Ὁμήρου Ἰλιὰς καὶ Ὀδύσσεια σκηνικῶς δραματουργούμεναι παρὰ τοῖς ὕστερον, ἡ μὲν ἐν ἁλουργοῖς, ἡ δὲ ἐν ἐρυθροβαφέσιν, ἑρμηνεία διεξοδική. 6, 6.

Ὁμήρου ποιήσεως μερισμὸς εἰς τμήματα, ἐπονομαζόμενα τοῖς στοιχειακοῖς γράμμασιν, ὅτι ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου ἐγένετο. 5, 35. 41.

Ὁμήρου πατρὶς, ὅτι Κύπριος ὑπὸ τινῶν ἐνομίσθη ἐξ εἰκότων τινῶν εὐανατρέπτων, ἑρμηνεία διεξοδική. 1220, 38.

Ὁμήρου χρόνοι, ὅτι μεταγενέστερος ἦν τῶν Τρωικῶν συναγόμενον ἐκ τοῦ, οἷον νῦν βροτοί εἰσιν, Ἰλ. ε', 304. 549, 43.

ὁμηρῶ τὸ συναντῶ καὶ ὁμοῦ γίνομαι, ὅτι παρὰ τὸ ὁμὸς γίνεται ὅμηρος ἢ ὁμηρὸς ὄνομα, ὅθεν τὸ ὁμηρῶ ῥῆμα· ἢ παρὰ τὸ ὁμοῦ ἐρέσσειν ἢ ἀρηρέναι, ὅθεν καὶ ὅμηρα τὰ ἐπὶ εἰρήνῃ διδόμενα. 1809, 25.

ὁμιλαδὸν, ἐπίῤῥημα ἀντὶ τοῦ παμπληθεὶ, ἔτι ἐκ τοῦ ὁμοῦ καὶ τοῦ ἰλαδὸν σύγκειται. 920, 11. 1252, 56. καὶ ὁμιλαδὸν μάχεσθαι ἀντὶ τοῦ κατ' ἴλας, ὅ ἐστι κατὰ πλῆθος καὶ ἀναμίξ. 888, 28.

ὁμιλεῖν πολεμικῶς τὸ ὁμόσε κατὰ ἴλας γίνεσθαι. 859, 11. 959, 48. 1160, 50. 1178, 1. 1415, 40. καὶ ὁμιλεῖν τὸ ὅμιλον ποιεῖν, οἷον ἐν τῷ, μηδ' ἄλλοθ' ὁμιλήσαντες ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν, Ὀδυσσ. δ', 684. 1514, 4.

ὁμιλητικὸν εἶδος διηγήσεως, καὶ παράδειγμα τοῦ εἴδους τούτου, ἑρμηνεία διεξοδική. 122, 16.

ὁμιλίαι αἱ διδασκαλίαι, καὶ ὁμιληταὶ οἱ φοιτηταὶ εἴτουν μαθηταί. 974, 2.

ὅμιλος ὅτι παρὰ τὸ ἴλη λέγεται. 1413, 30. καὶ ὅτι ἐν τῷ, οὔτε ποτ' ἐς πληθὺν μένεν ἀνδρῶν οὐδ' ἐν ὁμίλῳ, Ὀδ. λ', 514. διαφορά τις εἶναι δοκεῖ ὁμίλου καὶ πληθύος. 1697, 6.

ὁμίλῳ κατὰ δοτικὴν πτῶσιν ἀντὶ τοῦ ὁμιλαδὸν ἐπιῤῥήματος ἐν τῷ, Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ, Ἰλ. φ', 606. 1252, 56.

ὁμίχλη, ὅτι ἐκ τοῦ ὁμοῦ εἰλεῖσθαι σύγκειται ἡ λέξις, καὶ ὅτι ψιλοῦται Ἰωνικῶς. 117, 31. καὶ τί τὸ ὑλικὸν αἴτιον τῆς ὁμίχλης. 373, 43.

ὀμιχῶ ὀμιχήσω, ὅτι καὶ ὀμίχω ὀμίξω βαρυτόνως λέγεται. 580, 1.

ὄμματα ἐκ μέρους τὸ ὅλον πρόσωπον ἐν τῷ, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτὸς, Ἰλιάδ. λ', 614. 866, 8.

ὀμνύω ὄμνυμι, ὅτι ἐκ τοῦ ὀμῶ γίνεται ὀμνῶ πλεονασμῷ τοῦ ν, ὅθεν τὸ ὀμνύω καὶ τὸ ὄμνυμι. 1660, 45.

ὁμογενὲς, ὅτι ἐκ τοῦ ὁμὸν καὶ τοῦ γένος σύγκειται ἡ λέξις. 936, 60.

ὁμοίην γαῖαν, ἀντὶ τοῦ τὴν αὐτὴν γῆν. 1145, 41.

ὁμοίιον γῆρας, τὸ καὶ λυγρὸν καὶ χαλεπὸν παρ' Ὁμήρῳ, ἤγουν περὶ ὃ πάντες ὁμοίως διάκεινται· καὶ ὁμοίιον νεῖκος τὸ κακὸν, καὶ ὁμοίιον κακὸν τὸ ὁμοίως πᾶσιν ἐπερχόμενον. 476, 45. 790, 62. ζήτει τὸ, ὁμοίιος πόλεμος· καὶ

ὅτι ἐκ τοῦ ὅμοιος καὶ ὅμοιον λέγονται πλεονασμῷ τοῦ ἰ. 205, 39.

ὁμοίιος πόλεμος λέγεται διὰ τὸ ἰσόῤῥοπον τοῦ πολέμου καὶ τὴν τοῦ τέλους ἀδηλότητα· καὶ ὁμοίιον κακὸν τὸ ὁμοίως πᾶσιν ἐπερχόμενον. 662, 33. 37. 847, 60. ἀλλαχοῦ δὲ ὅτι ὁμοίιος πόλεμος λέγεται, ὅταν ὁμοῦ ἔλθωσιν οἱ ἀντίμαχοι. 935, 43. καὶ ὁμοίιος θάνατος ὁ ὁμοίως πᾶσιν ἀποκείμενος, ἢ περὶ οὗ ὁμοίαν πάντες ἔχουσι δόξαν. 1465, 23.

ὁμοιοκατάληκτον σχῆμα παρὰ τοῖς γραμματικοῖς ταὐτὸ ὑπερ πάρισον παρὰ τοῖς ῥήτορσι. 67, 32.

ὁμοῖον ὅτι προπερισπᾶται παρὰ τοῖς ἀρχαίοις Ἀττικοῖς, ὡς καὶ τὸ ἑτοῖμον καὶ τὸ ἐρῆμον. 206, 1.

ὁμοιοπτώτου σχήματος παράδειγμα. 197, 19.

ὁμοῖος κοινὸν, ὅμοιος δὲ προπαροξυτόνως Ἀττικόν. 531, 35. 799, 40. ἀλλαχοῦ δὲ ὅτι τὸ ὁμοῖος ἀναλόγως προπερισπᾶται ἐκ τοῦ ὁμὸς, ὡς ἐκ τοῦ παντὸς τὸ παντοῖος· οἱ δὲ ὕστερον Ἀττικοὶ προπαρώξυναν. 569, 18. 1817, 15.

ὁμοίη Μοῖρα καὶ ὅμοιος πόλεμος καὶ ὅμοιον γῆρας ἐπιθετικῶς, ὅτι ἐπὶ ψόγῳ λέγονται. 1134, 49.

ὁμοκλεῖν τὸ ἀπειλεῖν ἢ ἐγκελεύεσθαι, ὅτι ἐκ τοῦ ὁμοῦ καὶ τοῦ κέλω λέγεται. 568, 44. 1306, 7. 11. 1913, 15.

ὁμοκλὴ, ὄνομα σύστοιχον τῷ ὁμοκλῆσαι ῥήματι. 1306, 11.

ὁμοκλήσασκεν ἀντὶ τοῦ ἠπείλει, ἀπὸ τοῦ ὁμοκλησάσκην παραγώγου θέματος. 199, 25.

ὁμοκλητὴρ ὁ ἀπειλητὴς καὶ ὁ ἀλαζὼν καὶ ὁ ἁπλῶς ἐγκελευόμενος, ὡς ὁ ἡνίοχος τοῖς ἵπποις. 904, 23. 1310, 8.

ὁμὸν νεῖκος ἐπιθετικῶς, ὅτι κατὰ διαφόρους ἐννοίας οὕτω λέγεται. 935, 2. 9. 16. 40. ζήτει τὸ, ὁμοίιος πόλεμος, καὶ ὁμοίιον γῆρας.

ὀμόργνυμι ὅτι ἐκ τοῦ ἀμέργειν, ὅ ἐστιν ἀμέλγειν, λέγεται κατά τινα μεταφοράν. 1626, 13. ἀλλαχοῦ δὲ ὅτι ὀμοργνύω καὶ ὀμόργνυμι παρὰ τὸ ὀμόργω λέγονται, ὡς τὸ ἀγνύω παρὰ τὸ ἄγω· καὶ ὅτι καὶ χωρὶς τοῦ ἀρκτικοῦ ὁ προφέρονται, ὡς δηλοῖ τὸ ἀπεμόρξατο. 218, 17. 566, 36. 1586, 64.

ὀμόργω, ὅθεν τὸ ὀμοργνύω, ὅτι παρὰ τὸ ἀμέργω, ὃ δηλοῖ τὸ ἀμέλγω, δοκεῖ παρῆχθαι. 218, 17. 21. 566, 37. 1587, 4.

ὁμὸς ὁμὴ ὁμὸν, ἀντὶ τοῦ ὅμοιος ὁμοία ὅμοιον, καὶ ἐπίῤῥημα ὁμῶς ἀντὶ τοῦ ὁμοίως. 1339, 3.

ὀμόσαι τὸ ἐνόρκως ὀνομάσαι τι θεῖον ὄνομα. 1451, 4.

ὁμόσε ἐλθεῖν, ἤγουν ἀντικαταστῆναι εἰς πόλεμον. 935, 35.

ὁμόσε χωρεῖν το πολεμικῶς ἢ ἐριστικῶς συμβάλλειν. 890, 40. ἀλλαχοῦ δὲ ὅτι ὁμόσε χωρεῖν καὶ ὁμόσε γενέσθαι τὸ συνελθεῖν εἰς πόλεμον. 1212, 4.

ὁμοστιχάει, συνοδεύει, ὅτι ἐκ τοῦ στιχῶ κεκίνηται, ὃ ἐκ τοῦ στείχω, ὡς ἐκ τοῦ στείβω τὸ στιβῶ. 1035, 30.

ὀμοτικὰ ἐπιῤῥήματα, νὴ μὰ καὶ ναὶ μά. 92, 15. ζήτει τὰ κατὰ μέρος. 1450, 40.

ὁμοῦ ὅτι ἐκ τοῦ ὁμὸς ὁμοῦ εἰς ἐπίῤῥημα μετέπεσε, καὶ ὅτι ἐλλειπτικῶς λέγεται, ἐντελῶς δ' ἂν ἐπὶ τοῦ ὁμοῦ, ἤγουν τοῦ αὐτοῦ τόπου, λέγοιτ' ἄν. 1290, 10. καὶ ὅτι τὸ ὁμοῦ τοπικόν ἐστι καὶ χρονικὸν, τὸ δὲ ἅμα χρονικὸν μόνον. 878, 13. 18. 23. ἀλλαχοῦ δὲ ὅτι τὸ ὁμοῦ ἐπίῤῥημα τοπικῶς ὡς ἐπιπολὺ ἀκούεται παρ' Ὁμήρῳ, ἐνίοτε δὲ κατά τινας καὶ χρονικῶς, τὸ δὲ ἅμα χρονικῶς τὰ πλεῖστα. 1713, 31.

ὁμοφωνία προσώπων, ὅτι ἐπὶ τῶν ἀσυναιρέτων ῥημάτων οὐκ ἐνδέχεται τὸ τρίτον πρόσωπον ὁμοφωνεῖν τῷ πρώτῳ κατὰ τὸν αὐτὸν ἀριθμόν. 50, 34.

ὁμοψυχεῖν τὸ μίαν ψυχὴν ἔχειν, ἤγουν συμπροθυμεῖσθαι. 1106, 64.

ὀμόω ὀμῶ τὸ ὀμνύω, ὅτι ἐκ τῆς χρήσεως τοῦ ὀμεῖν ἀπαρεμφάτου πρώτης εἶναι δηλοῦται συζυγίας, συνηθέστερον δὲ κατὰ τὴν τρίτην προφέρεται καὶ ἐπὶ τοῦ μέλλοντος φυλάττει τὸ παραλῆγον ο μικρόν· ὀμόω δὲ ὀμῶ ἀντὶ τοῦ ἐνῶ ἀναμφιβόλως κατὰ τὴν τρίτην κλίνεται καὶ τῷ ω μεγάλῳ παραλήγεται κατὰ τὸν μέλλοντα. 1723, 1. 3 — 15.

Ὄμπνοια Δημήτηρ, ὅτι παρὰ τὸ τοῦ ἀναπνεῖν, ὅ ἐστι ζῆν, αἰτία εἶναι οὕτω λέγεται. 1012, 4.

ὀμύδιον ἰδιωτικῶς ὁ θαλάσσιος μῦς. 1485, 47.

ὀμφακίας οἶνος, ὅτι ὁ ὀμφακίας καλούμενος οἶνος μετὰ πολλοὺς χρόνους ἀκμάζει. 1449, 15.

Ὀμφάλη, Λυδῶν βασιλὶς, συγκατευνάσασα τοῖς δούλοις τὰς τῶν Λυδῶν γυναῖκας, ἱστορία. 1082, 29.

ὀμφαλητόμοι μαῖαι αἱ τὸν ὀμφαλὸν τῶν βρεφῶν ἀποτέμνουσαι, καὶ ὀμφαλητομία τὸ ἔργον. 1228, 62.

ὀμφαλητόμος παρ' Ἴωσιν ἡ κοινῶς μαῖα. 971, 37.

ὀμφαλόεν ζυγὸν ἐπιθετικῶς τὸ ἔχον γλύμμα τι ἢ ἐξοχὴν κατὰ τὸ μέσον, ἀναλογοῦν τῷ τῶν ζῴων ὀμφαλῷ, ἑρμηνεία διεξοδική. 1350, 4.

ὀμφαλόεσσαι ἀσπίδες αἱ κυκλοτερεῖς ἢ πολλοὺς ἔχουσαι ὀμφαλοὺς, ὀμφαλὸς δὲ ἐν ἀσπίδι τὸ κατὰ τὸ μέσον ἐπανάστημα λέγεται, ὃ ἐκ στερεᾶς τινὸς ὕλης γίνεται. 628, 28. 897, 15. ζήτει τὸ, ὀμφαλοὶ ἐν ἀσπίσι.

ὀμφαλοὶ ἐν ἀσπίσι, βοῦλλαι τινές. 496, 8. 828, 41. ζήτει τὸ, ὀμφαλόεσσαι ἀσπίδες.

ὀμφαλὸς, ὅτι ὀμφαλὸς ἀσπίδος καὶ βιβλίου καὶ γῆς λέγεται, καὶ ὀμφαλὸς βαλανίου, ἑρμηνεία διεξοδική. 1261, 20.

ὀμφαλὸς γῆς τὸ μεσαίτατον μέρος τῆς γῆς, καὶ ὀμφαλὸς θαλάσσης λέγεται ἡ τῆς Καλυψοῦς νῆσος παρ' Ὁμήρῳ ὡς μεσαιτάτη τῆς Ἀτλαντικῆς θαλάσσης ἢ τῆς συμπάσης. 309, 39. 1389, 39. 1390, 8.

ὄμφαξ ὅτι κατὰ θηλυκὸν γένος λέγεται. 1390, 54.

ὀμφὴ ἐπὶ τῆς ἁπλῶς φωνῆς, καὶ ὀμφὴ ἡ ἀληθὴς φήμη παρὰ τὸ ὂν φαίνειν. 48, 30. 711, 53.

ὀμῶ ὀμόσω ἀντὶ τοῦ ὄμνυμι, ὁμῶ δὲ ὁμώσω ἀντὶ τοῦ ἐνῶ καὶ ὁμοῦ γίνομαι, ὅθεν ὁμωθῆναι ἀντὶ τοῦ ἑνωθῆναι. 978, 46. 1270, 41.

ὁμωθῆναι ἀντὶ τοῦ ἑνωθῆναι. 978, 46. ζήτει ἐν τῷ, ὀμῶ ὀμόσω.

ὁμωνυμία ὅτι δι' ἔνδειαν ὀνομάτων ἐπετηδεύθη. 39, 17. καὶ ὅτι ὡς κακίαν ἐκκλίνουσι τὴν τῶν φωνῶν συνέμπτωσιν οἱ Ἴωνες καὶ οἱ ἄλλοι. 488, 7.

ὁμωνυμία ἐν τοῖς κυρίοις ὀνόμασιν ὅτι συστατικόν ἐστι φιλίας ἐν ἀνθρώποις. 1124, 32.

ὁμωρόφιος, τὸ μō μέγα, ἐκ τοῦ ὁμοορόφιος συναιρέσει τῶν δύο οο. 482, 20.

ὁμῶς, ἐπίῤῥημα ἀντὶ τοῦ ὁμοίως, παρὰ τὸ ὁμός, ὅ ἐστιν ὅμοιος. 1339, 4.

ον λήγοντα οὐδέτερα μεταπεπλασμένα ἀπὸ ἀρσενικῶν εἰς ος ληγόντων, οἷον ὁ κουλεὸς τὸ κουλεόν. 413, 39.

ον λήγοντα οὐδέτερα μονογενῆ σύνθετα παρὰ ῥῆμα προπαροξύνονται, οἷον χειρόγραφον, χαρτότομον· τὰ δὲ παρ' ὄνομα θηλυκὸν εἰς η λῆγον γινόμενα παροξύνονται, οἷον μάχη, ναυμάχον δόρυ ἐπιθετικῶς. 1021, 40.

ον λήγοντες χρόνοι ῥηματικοὶ ὅτι ἀπὸ τῆς γενικῆς τῶν ἰδίων μετοχῶν σχηματίζονται ἀποβολῇ τῆς ἐσχάτης, οἷον φαγόντος ἔφαγον, δραμόντος ἔδραμον. 1759, 27.

ον λήγουσαι κλητικαὶ ὀνομάτων εἰς ων μακροπαραλήκτων ὅτι τῶν μὲν ἁπλῶν προπερισπῶνται, οἷον Μαχᾶον, τῶν δὲ συνθέτων προπαροξύνονται, οἷον Ποσείδαον. 402, 15.

ὄναρ ὅτι παρὰ τὸ τὸ ὂν αἴρειν, ὅ ἐστιν ἀναιρεῖν, λέγεται. 1875, 61.

ὄνασθαι καὶ ὠνάμην καὶ ὀνάμενος ὅτι ἀπὸ τοῦ ὄνημι θέματος κεκίνηνται. 1432, 39.

ὄνασθαι τὸ ὠφελεῖσθαι, οὐκ ἀπόνασθαι δὲ ἥβης ἀντὶ τοῦ πρὸ ὥρας ἀποθανεῖν. 1093, 2.

ὅνδε δόμονδε, ὅτι τὸ πρῶτον δε παρέλκει, τὸ δὲ δεύτερον ἀντὶ τῆς προθέσεως λαμβάνεται. 1393, 11.

ὄνειαρ τὸ βρῶμα, καὶ ἁπλῶς πᾶν τὸ εἰς ὄνησιν ἐπιτήδειον, παρὰ τὸ ὀνεῖν, ὅ ἐστιν ὠφελεῖν· καὶ ὄνειαρ ὁ ὄνειρος ὁμωνύμως. 1765, 30. 1774, 47. 1877, 62.

ὀνείατα τὰ βρώματα, παρὰ τὸ ὀνέω τὸ ὠφελῶ πλεονασμῷ τοῦ ι· καὶ ὀνείατα τὰ χρήματα. 640, 63. 883, 28. 1403, 7. καὶ ὀνείατα τὰ δῶρα, ὡς ὠφελοῦντα καὶ αὐτά. 1354, 60.

ὀνείδεα, ὕβρεις, πολλαχοῦ παρ' Ὁμήρῳ. 1206, 42.

ὀνειδίζειν τὸ προφέρειν τινὶ εὐεργεσίαν, καὶ τὸ ἁπλῶς ὀνοστά, ἤγουν ἐπίμομφα, λέγειν. 88, 7. καὶ ὀνειδίσαι τινὶ κλοπὴν ἢ δειλίαν ἀντὶ τοῦ κλέπτειν ἢ δειλὸν εἰπεῖν, ὀνειδίσαι δὲ ἀλκήν τινι, Ἰλ. ι', 34. ἀντὶ τοῦ τὴν ἀνδρίαν τινὸς διασύρειν. 733, 59.

ὄνειδος, μέμψις, ὕβρις καὶ προφορὰ εὐεργεσίας ἐπὶ ἐλέγχῳ ἀχαριστίας. 733, 61. καὶ ὅτι μέση λέξις ἐστὶν ἡ ὄνειδος. λέγεται γὰρ καὶ ὄνειδος καλὸν, ὅ ἐστι λόγος ἐκφέρων πάθος τι ἐπίσημον. 88, 15. 647, 36. καὶ ὅτι οὐ μόνον οὐδετέρως, ἀλλὰ καὶ ἀρσενικῶς λέγεται τοὔνομα. 73, 46. 432, 15. 953, 51. 1632, 17.

ὀνεῖν τὸ ὠφελεῖν. 640, 63.

ὀνείρασι δοτικὴ πληθυντικὴ ὅτι ἐκ τοῦ ὀνείροις μεταπέπλασται. 677, 20.

Ὄνειροι ὅτι πτερωτοὶ μυθεύονται. 173, 16. καὶ ὅτι περί που τὸν Ἅιδην τετοποθέτηνται κατὰ τὴν Ὁμήρου μυθολογίαν, ἐπεὶ καὶ τῷ θανάτῳ ὁ ὕπνος εἰκάζεται. 1951, 60.

ὄνειροι, ὅτι οἱ καθ' ὕπνους ἑρμηνευθέντες ὄνειροι ἀληθεύειν νομίζονται. 1876, 39. καὶ ὅτι τῶν ὀνείρων οἱ μέν τινες ἀλληγορικοὶ, οἱ δὲ θεωρηματικοί· ζήτει ἐν τῷ, θεωρηματικοὶ ὄνειροι. 1876, 40. καὶ ὅτι δι' εἰδώλων ἐμπτώσεως εἴτουν εἰσκρίσεως ἔξωθεν ἐδόξασάν τινες γίνεσθαι τοὺς ὀνείρους. 1288, 28. 1518, 8.

ὀνειροκρίτης ὅτι βαρύνεται καίπερ ἐκ τοῦ κριτὴς ὀξυτόνου συγκείμενον. 897, 41. ἐτυμολογία. 532, 41.

ὀνειροκριτικῆς περίφρασις ποιητική. 51, 14.

ὀνειροπολεῖν. 533, 9.

ὀνειροπόλος ὁ περὶ ὀνείρους πολούμενος καὶ ἢ ἐξ ὧν αὐτὸς βλέπει ἢ ἐξ ὧν ἄλλοι κρίνων. 47, 34. 48, 14.

ὄνειρος παρὰ τὸ τὸ ὂν, ὅ ἐστι τὸ ἀληθὲς, εἴρειν, ὅ ἐστι λέγειν. 48, 30.

ὄνειρος παρὰ τὸ ὂν, ὅ ἐστιν ἀληθὲς, εἴρειν, ὅ ἐστιν ἀγγέλλειν. 168, 22.

ὄνειρος τὸ ἀληθὲς ἐνύπνιον, δι' οὗ τὸ ὂν εἴρεται. 711, 56.

ὄνειρος ὅτι ἐκ τοῦ τὸ ὂν εἴρειν λέγεται ἢ παρὰ τὸ ὀνεῖν, ὅ ἐστιν ὠφελεῖν, ὅθεν καὶ ὄνειαρ λέγεται, καὶ ζήτει τὸ ὄνειαρ. 1877, 62.

ὄνειρος ὅτι καὶ ὄνειρον οὐδετέρως λέγεται παρ' Ἡροδότῳ. 166, 8. 533, 18. Cf. Ὀδ. δ', 841.

ὀνείρων πύλαι μυθευόμεναι παρ' Ὁμήρῳ, καὶ ὅτι τῶν ἀληθῶν μὲν ἡ κερατίνη, τῶν δὲ ψευδῶν ἡ ἐλεφαντίνη, διαφόρως ἀλληγορούμενον διεξοδικώτατα. 1877, 25—57. καὶ τί τὸ ἐν ὀνείρων πύλαις κοιμᾶσθαι παρ' Ὁμήρῳ λεγόμενον. 1518, 42.

ὄνεσθαι τὸ μέμφεσθαι καὶ ἐκφαυλίζειν, Ὀδ. φ', 427. 1915, 44. 50.

ὀνεύειν τὸ κινεῖν καὶ περιάγειν. 862, 38.

ονη λήγοντα θηλυκὰ ἀπὸ ληγόντων εἰς ων μεταπεπλασμένα, οἷον Ἑρμιόνη. 286, 41.

ὄνημαι καὶ ὀνήμενος παρ' Ὁμήρῳ, ὄναμαι δὲ καὶ ὀνάμενος παρὰ τοῖς μεθ' Ὅμηρον ἐν συνθέσει τῆς ἀπὸ προθέσεως. 1688, 59.

ὀνήμενος, ὠφελῶν ἢ ὠφελούμενος. 1092, 64. καὶ ὅτι ἀπὸ τοῦ ὄνημι θέματος κεκίνηται ἢ ἐκ τοῦ ὀνούμενος γέγονε τροπῇ Αἰολικῇ τῆς ου εἰς η. 1432, 29.

ὄνημι τὸ ὠφελῶ καὶ τὸ μέμφομαι. 1093, 1.

ὄνησθαι οἱ ἀρχαῖοι Ἀττικοὶ, ὄνασθαι δὲ οἱ ὕστερον. 1821, 19.

Ὀνήτωρ, κύριον ἱερέως παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ ὀνεῖν, ὅ ἐστιν ὠφελεῖν, λέγεται. 1077, 49.

ὄνθος, λέξις ἀμφισβητουμένη κατὰ τὸ γένος. 1329, 12. 24

ονθυλεύειν ὅτι παρὰ τὸ ὄνθος δοκεῖ λέγεσθαι. 1329, 13.

ὀνίσκειν τὸ ὀνεῖν κατὰ παραγωγήν. 883, 27.

ὀνίσκος, εἶδός τι σκάρων οὕτω λεγομένων. 1644, 15.

ὄνοιτο, ἤγουν μέμφοιτο, προπαροξυτόνως, ὅτι ἐκ τοῦ ὄνω βαρυτόνου κεκίνηται· ἐκ δὲ τοῦ ὀνῶ περισπωμένου ὀνοῖτο ἂν λέγοιτο προπερισπωμένως. 932, 22.

ὀνόκωλις, ὅτι οὕτω λέγουσί τινες τὴν Ἔμπουσαν, ὡς καὶ ὀνόσκελιν. 1704, 41.

ὄνομα, ὅτι πᾶσα λέξις ὄνομα λέγεται κατὰ γενικήν τινα προσηγορίαν. 118, 19.

ὄνομα κλυτὸν παρ' Ὁμήρῳ λέγεται, ὃ πρὸς πάντων ἀκούει τις, ἤγουν ᾧ πάντες καλοῦσιν αὐτόν. 1634, 56.

ὄνομα μυθήσασθαι πρὸς ὄνομα εἰπεῖν. 410, 4.

ὄνομα τίθεσθαι λέγεται διὰ τὸ μὴ φύσει, ἀλλὰ θέσει εἶναι τὰ κύρια ὀνόματα. 1834, 22.

ὀνομάζειν παρ' Ὁμήρῳ ποτὲ μὲν τὸ εἰς πλάτος ἐκτιθέναι καὶ καταλέγειν καὶ διεξοδικῶς λαλεῖν ἐν συνθήκῃ ὀνομάτων ἤγουν λέξεων, ποτὲ δὲ τὸ ἐκ τοῦ κυρίου ὀνόματος καλεῖν τινά. 769, 19. 1152, 62. 1892, 48. ἀλλαχοῦ δὲ ὅτι τὸ μὲν ἐξονομάζειν οὐκ ἀεὶ ἀντὶ τοῦ ἐξ ὀνόματος καλεῖν, τὸ δὲ ὀνομάζειν φανερῶς ἐπὶ τούτου κεῖται ἐν τῷ, τούτους μὲν δὴ οἶδα, σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε, Ὀδ. δ', 551. 1508, 54.

ὀνομαίνειν τὸ καλεῖν ἐξ ὀνόματος πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, φίλον δ' ὀνόμηνεν ἑταῖρον, Γλαῦκε πέπον, Ἰλ. π', 491. 118, 19. 822, 7. 1072, 13. 1366, 36. 1754, 50. καὶ ὀνομαίνειν τὸ ἁπλῶς ὀνομάζειν καὶ πρὸς ὄνομα καταλέγειν καὶ ἀπαριθμεῖσθαί τινα πράγματα, οἷον ἐν τῷ, ὑμῖν δ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω, Ἰλ. ι', 121. 739, 55.

ὀνομακλήδην ὀνομάζειν τὸ ἐκ τοῦ κυρίου ὀνόματος καλεῖν.

ὀνομακλυτὸς ὁ ἐκ μόνου ὀνόματος κλυτὸς, ὅ ἐστι περιώνυμος. 1256, 45. 1634, 58. ἀλλαχοῦ δὲ ὅτι ὀνομακλυτὸς λέγεται, οὗ τὸ κύριον ὄνομα περικλυτὸν ἐν ἀνθρώποις. 1892, 53.

ὀνομαστὸν, ὅτι οὐκ ὀνομαστὸν λέγεταί τι παρ' Ὁμήρῳ οὐ διὰ φωνῆς δυσφράδειαν, ἀλλὰ διὰ τὸ τοῦ πράγματος δυσοιώνιστον καὶ κακοποιόν. implicite. 1863, 24.

ὀνόματα ἐπιτεθειμένα τισὶ παρωνύμως ἀπὸ προγονικῶν τινῶν πράξεων, ἑρμηνεία διεξοδική. 650, 35.

ὀνόματα ἀντὶ ἀπαρεμφάτων, οἷον ἐπιστάμενος ἄκοντι, ἀντὶ τοῦ ἀκοντίσαι, Ἰλ. ο', 282. 1016, 10.

ὀνόματα ἀντὶ ἐπιῤῥημάτων, οἷον ταχὺ βαδίζειν ἀντὶ τοῦ ταχέως. 44, 34.

ὀνοματοποιηθεισῶν τινῶν φωνῶν κατάλογος, καὶ ὅτι αἱ ὠνοματοπεποιημέναι ῥηματικαὶ φωναὶ ὡς τὰ πολλὰ οὐ κινοῦνται. 39, 34. 37.

ὀνοματοποιία, τρόπος ποιητικὸς ἐπὶ μιμήσει τοῦ τῶν σωμάτων ἤχου ἐπιτηδευόμενος. 32, 3. καὶ ὅτι πρὸς ἀναπλήρωσιν ὀνοματοθεσίας εἰς χρῆσιν ἦλθεν. 39, 7. 30. καὶ ὅτι οὐ δεῖ τὰς ὠνοματοπεποιημένας φωνὰς μετακινεῖν καὶ σχηματίζειν, ἐπεὶ ἀχρειοῦται διὰ τῆς κινήσεως τὸ ἐνεργὲς τῆς ἐμφάσεως. 1119, 61. καὶ ὠνοματοπεποιημένων φωνῶν τινῶν κατάλογος, καὶ ὅτι αἱ ὠνοματοπεποιημέναι ῥηματικαὶ λέξεις οὐ κινοῦνται. 39, 34.

ὄνος, ὅτι ὁμώνυμος ἡ φωνὴ, καὶ ἔκθεσις τῶν σημαινομένων αὐτῆς. 862, 36. καὶ ὅτι τοὺς κατὰ τὸ σφαιρίζειν ἡττημένους ὄνους καθῆσθαι ἔλεγον. 1601, 47.

ὄνος ἄγων μυστήρια, παροιμία ἐπὶ τῶν εἰς οὐδὲν δῖον ἀχθοφορούντων, ἑρμηνεία διεξοδική. 640, 26.

ὄνοσαι ἀντὶ τοῦ μέμφῃ, Ὀδ. ρ', 378. ἢ ὄνοσαι ἀντὶ τοῦ ὄνησαι, ὅ ἐστιν ὠφέλησαι. 1824, 47. 50.

ὀνόσασθαι τὸ ἐκφαυλίσαι καὶ μέμψασθαι. 506, 9.

ὄνοσις, μέμψις, παρὰ τὸ ὀνῶ ὀνόσω. 733, 61.

ὀνόσκελις, ὅτι οὕτω λέγουσί τινες τὴν Ἔμπουσαν, ὡς καὶ ὀνόκωλιν. 1704, 41.

ὀνοτάζειν τὸ μέμφεσθαι. 744, 22 ζήτει ἐν τῷ ὀνοτόν.

ὀνοτὸν, ὅτι παρὰ τὸ ὀνῶ ὀνόσω γίνεται ὀνοστὸν καὶ ἐκβολῇ τοῦ σ ὀνοτὸν, ὅθεν τὸ ὀνοτάζειν. 744, 21.

ὄνου πόκοι, παροιμία ἐπὶ τῶν ἀκερδῶν, ὅθεν τὸ, εἰς ὄνου πόκας, παιγνιωδῶς παρ' Ἀριστοφάνει. 531, 9.

οντι λήγοντα τρίτα πρόσωπα πληθυντικὰ ἐνεστώτων βαρυτόνων Δωρικῶς λεγόμενα, οἷον λέγοντι ἀντὶ τοῦ λέγουσι. 1557, 40.

οντων λήγουσαι φωναὶ μετοχικαὶ γενικῆς τῶν πληθυντικῶν ἀντὶ τῶν διὰ τοῦ ετωσαν τρίτων προσώπων προστακτικῶν, οἷον ἀγειρόντων ἀντὶ τοῦ ἀγειρέτωσαν. 251, 10.

ὄνυμα τὸ ὄνομα Αἰολικῶς, καὶ ὀνυμαίνω ἀντὶ τοῦ ὀνομαίνω, ὅ ἐστιν ὀνομάζω. 27, 37. 631, 43.

ὀνυμαίνειν Αἰολικῶς ἐν ἴσῳ τῷ ὀνομαίνειν, ὅ ἐστιν ὀνομάζειν. 27, 37. 1072, 15. ζήτει ἐν τῷ ὄνυμα.

ὄνυξ ὅτι παρὰ τὸν νύξω μέλλοντα γίνεται πλεονασμῷ τοῦ ο. 218, 18. 691, 62. 1769, 17. καὶ ὅτι παραλόγως διὰ τοῦ χ κλίνεται. 1286, 46.

ὄνυχες ὁμωνύμως οἱ θαλάσσιοι σωλῆνες διὰ τὴν κατὰ τὸ στεγανὸν ὁμοιότητα πρὸς τοὺς τῶν ζώων ὄνυχας. 1485, 51.

ὀνῶ ὀνόσω, ὅτι ἐκ τοῦ ὄνω βαρυτόνου μετέπεσεν εἰς τὴν τρίτην συζυγίαν τῶν περισπωμένων. 1915, 49.

ὄνωνις, εἶδος βοτάνης, ὅτι εἰς αἴνιγμα ὄνου εἴληπται τοὔνομα παρ' Ἀριστοφάνει. 1788, 22.

οξ διὰ τοῦ ο μικροῦ λήγοντα ὀνόματα ὅτι σπάνιά εἰσι καὶ διὰ τοῦ κ κλίνονται, οἷον πρὸξ, πλὴν τοῦ φλόξ. 1922, 8.

ὀξεῖα αὐτὴ ἐπιθετικῶς ὅτι πρὸς διαστολὴν τῆς βαρείας λέγεται, ἥτις οὐχ οὕτω τέμνει τὸν ἀέρα. 1017, 51.

ὀξεῖα βαφὴ ὅτι τῇ τῶν ῥόδων χρόᾳ δοκεῖ προσεοικέναι, ὅθεν τὰ ῥόδα ὀξυφεγγῆ ἐκάλεσέ τις. 1658, 57.

ὀξεῖα καὶ βαρεῖα συνελθοῦσαι περισπωμένην ποιοῦσιν, οὐκ ἐξ ἀνάγκης δὲ, ὡς οὐδ' ἐκ τῆς τοῦ αἰλιζομενάων αἰλιζομενῶν γίνεται, ἀλλ' αἰλιζομένων βαρυτόνως. 217, 44.

ὀξεῖα τάσις ὅτι ἐκτείνειν δύναται βραχεῖαν συλλαβὴν ᾗ ἐπίκειται οὐ μόνον ἐν τέλει λέξεως, ἀλλὰ καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῳ, ἐκ παραδειγμάτων. 81, 5. 399, 46. 629, 37. 900, 10. 1114, 41. ἀλλαχοῦ δὲ ὅτι ἡ ὀξεῖα τάσις ἐκτείνειν δύναται οὐ μόνον ᾧ ἐπίκειται βραχὺ φωνῆεν, ἀλλὰ καὶ τὸ πρὸ αὐτοῦ καὶ ἔτι τὸ μετ' αὐτό. 1647, 28.

ὀξεῖαι νῆσοι τινὲς πρὸς Ζακύνθῳ καὶ Κεφαλληνίᾳ, ἃς θοὰς καλεῖ Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ. 305, 40.

ὄξος οἴνινον ὅτι πρὸς διαστολὴν τοῦ ἐξ ἑτέρων ὑλῶν γινομένου δοκεῖ λέγεσθαι. 871, 51.

ὀξὺ βέλος τὸ καίριον καὶ βλαπτικόν. 852, 33.

ὀξυβελὴς ὀϊστὸς ὁ ὀξὺ βέλος εἴτουν ἀκίδα ἔχων. 452, 27.

ὀξυδερκής, ὄνομα ἐκ τοῦ ὀξὺ καὶ τοῦ δέρκεσθαι συγκείμενον. 1122, 50.

ὀξυλάβεια ἡ ἐν ταῖς πράξεσι σπουδὴ καὶ δραστηριότης. 123, 46. καὶ ὀξυλάβος ἄνθρωπος ὁ δραστήριος. 1753, 50.

ὀξυλοβεῖν τὸ ταχέως ἀκούειν, παρὰ τὸν λοβὸν, μέρος τι τοῦ ὠτίου, οὕτω λεγόμενον. 1137, 6.

Ὄξυλος, ἄνθρωπός τις Ἁμαδρυάδι τῇ ἑαυτοῦ ἀδελφῇ μιγεὶς, μῦθος. 1964, 13.

ὀξυνόμενά τινα κοινῶς, ἃ παρὰ τοῖς Ἀττικοῖς προπερισπῶνται, οἷον μῶρος ἀντὶ τοῦ μωρός. 299, 20.

ὀξυόεντα βέλη τὰ ἐξ ὀξύας, φυτοῦ τινὸς οὕτω λεγομένου, γινόμενα. 1951, 2.

ὀξὺς ὀξεῖα ὀξὺ ἐπιθετικῶς, ὅτε κατὰ φωνῆς καὶ βέλους καὶ ἄλλων τινῶν λέγονται. 96, 8.

ὀξὺς ἄνθρωπος ὁ θυμικὸς, καὶ ὅτι παρὰ τὸ ξύω ξύσω λέγεται τοὔνομα. 863, 4. 887, 6. καὶ ὀξὺς Ἄρης πολλαχοῦ παρ' Ὁμήρῳ ὁ τομὸς σίδηρος, ἢ ὁ σφοδρὸς καὶ σύντονος πόλεμος. 251, 46. 481, 46. 683, 48. 887, 6. 1124, 36.

ὀξύτης ῥητορική ἐστι νοημάτων βαθύτης ἐν ἐπιπολαζούσῃ ἁπλότητι. 1379, 42.

ὀξυωπέστερος καὶ ὀξυωπέστατα- ὅτι ἀπὸ τοῦ ὀξυωπὴς κεκίνηνται. 1389, 3.

ὅου, γενικὴ ἀντὶ τοῦ οὗ ἄρθρου, ὅθεν καὶ γέγονε προσλήψει τοῦ ὁ. 230, 6. 1279, 52.

οπ, ὅτι τὸ ο πρὸ τοῦ π ψιλοῦται, οἷον ὄπατρος, πλὴν τοῦ ὁπλὴ, ὅπλον καὶ τῶν παρ' αὐτὰ, καὶ πλὴν τῶν ἀναφορικῶν, οἷον ὁποῖος, ὁπότερος. 843, 9.

ὀπαδὸς ὁ ἀκόλουθος, ὅτι καὶ ὀπηδὸς παρὰ τοῖς Ἀττικοῖς λέγεται. 1576, 14. καὶ ὅτι καίπερ ἀπὸ τοῦ ἕπω γενόμενον, ὅμως ψιλοῦται. 868, 4.

ὀπάζειν τὸ διδόναι καὶ τὸ κατόπιν διώκειν. 552, 32. 631, 55. 716, 39. 1115, 3. 1859, 1. ἀλλαχοῦ δὲ ὅτι τὸ ὀπάζειν οὐ μόνον τὸ παρέχειν δηλοῖ, ἀλλὰ καὶ τὸ ὀπαδὸν ἤγουν ἀκόλουθον διδόναι· καὶ ὀπάσασθαί τινα, ἀντὶ τοῦ ὀπαδὸν ἑλέσθαι, Ὀδ. κ', 59. 1616, 16. 1647, 20.

ὀπάζεσθαι ἀντὶ τοῦ κατόπιν ἐλαύνεσθαι καὶ ἐπείγεσθαι παθητικῶς. 858, 42. καὶ ὀπάζεσθαι τὸ προσλαμβάνειν τινὰ εἰς ὀπαδόν. 801, 3.

ὀπαία κεραμὶς λέγεται, καθ' ἣν ἡ κάπνη εἴτουν ἡ καπνοδόκη. 1419, 27.

ὄπατρος, ἀδελφὸς ὁμοπάτριος, ὅτι τὸ ο ψιλοῦται. 843, 8.

ὀπάσασθαί τινα, ἀντὶ τοῦ ὀπαδὸν ἑλέσθαι ἐν τῷ, δὴ τότ' ἐγὼ κήρυκα ὀπασσάμενος καὶ ἑταῖρον βῆν εἰς Αἰόλου, Ὀδυσσ. κ', 59. 1182, 27. 1647, 20.

ὀπάων ὁ ἀκόλουθος, ὅτι δασύνεται τοὔνομα ὡς ἀπὸ τοῦ ἕπω. 843, 11. 1305, 23.

ὀπεύεσθαι τὸ κληδονίζεσθαι, παρὰ τὸ ὄψ ὀπὸς, ὃ δηλοῖ τὴν κληδόνα. 965, 1.

ὀπηδεῖν ἀρετὴ λέγεταί τινι παρ' Ὁμήρῳ ἀντὶ τοῦ προσεῖναι, οἷον ἐν τῷ, ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἤ τοι ὀπηδεῖ, Ὀδ. θ', 237. 1593, 59.

ὀπηδὸς Ἀττικῶς ὁ κοινῶς ὀπαδὸς, ὅ ἐστιν ἀκόλουθος. 1576, 14.

ὀπίας τυρὸς ὁ δριμὺς, ὁ δι' ὀποῦ συκῆς πηγνύμενος. 619, 41. 1485, 31.

ὀπίζεσθαι τὸ αἰδεῖσθαι καὶ φροντίζειν καὶ δι' ἐπιστροφῆς ἔχειν, παρὰ τὴν ὄπιν, ὃ δηλοῖ τὴν ἐπιστροφὴν τοῦ μέλλοντος. 1272, 18. 1391, 38. 1738, 5. 1760, 10.

ὄπιθεν ἀντὶ τοῦ ὄπισθεν, ὅθεν καὶ γέγονεν ἀπελεύσει τοῦ σ. 84, 34. 282, 9. 1088, 17. 1400, 29. 1673, 24.

ὀπιπτεύειν τὸ ἐποπτεύειν καὶ περιέργως βλέπειν, παρὰ τὸ ὄπτω κατὰ παραγωγὴν καὶ ἀναδιπλασιασμόν. 483, 42. 679, 38. 1856, 1.

ὄπις ἡ τῶν ὄπισθεν, ἤτοι μελλόντων, ἔννοια καὶ ἐπιστροφή. 938, 41. 1272, 19. 1391, 38. 1528, 50. 1760, 11. καὶ ὄπις θεοῦ ἡ ὀπίσω καὶ κατὰ τὸ μέλλον θεία ἐπιστροφὴ καὶ τιμωρία. 1066, 9.

ὀπισαμβὼ ἡ εἰς τοὐπίσω ἀναχώρησις, παρὰ τὸ ὀπίσω καὶ τὸ βαίνειν. 862, 5.

ὄπισθεν ἔτι ἐκ τοῦ ὀπίσω λέγεται κατὰ συγκοπὴν, οἱονεὶ ὀπίσωθεν, ὅθεν φύσει μὲν ἔχει τὸ σ, ἀποβάλλει δὲ ἐνίοτε πρὸς μέτρου χρείαν. 84, 34. 282, 10. καὶ ὅτι καὶ χρονικῶς λέγεται ἀντὶ τοῦ μετὰ ταῦτα. 1923, 30.

ὄπισθεν, ὅτι ὄπισθεν εἶναι λέγονται οἱ ἀπόντες, οἷον ἐν τῷ, νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, Ὀδ. λ', 66. ἡ ὄπισθεν ἀντὶ τοῦ ὑπὲρ τῶν μελλόντων συμβήσεσθαι· ὄπισθεν γὰρ εἶναι λέγονται τὰ μέλλοντα, πρόσθεν δὲ τὰ ἐνεστῶτα. 1066, 9. 1673, 24.

ὀπισθοτίλα, ὅτι οὕτως ἐκάλουν τινὲς τὴν σηπίαν ὡς τιλῶσαν ὄπισθεν τὸν παρ' αὐτῇ θολόν. 1818, 4.

ὀπίστατος ὁ ὄπισθεν πάντων, σχηματισμός. 716, 42.

ὀπίστατος ὁ ὄπισθεν πάντων, ὅτι ἐκ τοῦ ὀπισθότατος συγκέκοπται, ἢ ὑπερθετικόν ἐστι τοῦ ὀπίσω, ὅθεν καὶ τὸ ὀπίσθερος. 837, 3. 838, 64.

ὀπίσω παρ' Ὁμήρῳ λέγονται εἶναι τὰ μέλλοντα ὡς μήπω εἰς θέαν ἢ γνῶσιν ἡμῖν ἐλθόντα, ἔμπροσθεν δὲ τὰ παρόντα καὶ τὰ παρελθόντα ὡς ἤδη τεθεαμένα· καὶ τί τὸ, πρόσω καὶ ὀπίσω ὁρᾶν, παρ' Ὁμήρῳ λεγόμενον. 81, 45. 115, 10. 389, 3. 12. 1142, 3. 1412, 48.

ὀπίσω ἀντὶ τοῦ ἐς ὕστερον καὶ εἰς τὸ μέλλον ἐν τῷ, γένοιτό τοι ἔς περ ὀπίσσω ὄλβος, Ὀδ. σ', 122. 1840, 17.

ὅπλα τὰ ὁποιασοῦν ἐργασίας ὄργανα εἴτουν ἐργαλεῖα, ἰδίως δὲ τὰ τοῦ πολέμου. 599, 16. 802, 56. 1151, 13. 1167, 52. 1169, 18. 1302, 28. καὶ ὅτι καὶ ὅπλα Ἀρήια πρὸς διαστολὴν ἑτεροίων ὅπλων λέγονται. 1802, 56.

ὅπλα Διομήδους πυροβολήσαντά ποτε καθ' Ὅμηρον, καὶ ἄλλων τινῶν ὁμοίων συμβαμάτων ἀφήγησις. 512, 21.

ὅπλεσθαι ἐν ἴσῳ τῷ ὁπλίζεσθαι. 1178, 35.

ὁπλίζεσθαι τὸ εἰς ἔργον ἑτοιμάζεσθαι. 478, 1. καὶ ἁπλῶς τὸ εὐτρεπίζεσθαι. 688, 36. καὶ ὅτι καὶ γυναῖκες ὁπλίζεσθαι εἰς ὄρχησιν λέγονται Ὀδ. ψ', 143. 1941, 64. καὶ ὅτι τὸ εἰς πόλεμον ὁπλίζεσθαι ἀμφιβάλλεσθαι καὶ περιτίθεσθαι ὅπλα λέγεται περιφραστικῶς παρ' Ὁμήρῳ. 1921, 4. καὶ διὰ τί ἀπὸ τῶν κάτω μερῶν τοῦ σώματος ἄρχονται ὁπλίζεσθαι οἱ ὁπλιζόμενοι. 420, 22.

ὁπλίσαι τὸ ἑτοιμάσαι καὶ σκευάσαι. 1445, 35.

ὅπλον γενικῶς πάσης τέχνης ἐργαλεῖον. 477, 46. 832, 63. ζήτει τὸ ὅπλα.

ὅπλον νεὸς εὔστρεφές, τὸ σχοινίον περιφραστικῶς. 1761, 9.

ὁπλότατος ὅτι κυρίως περὶ ἀνδρῶν λέγεται, καταχρηστικῶς δὲ καὶ γυναῖκες ὁπλόταται λέγονται. 1477, 13.

ὁπλότεραι Χάριτες ἐπιθετικῶς. 984, 23. ζήτει ἐν τῷ Χάριτες.

ὁπλότερος ὁ νέος ὡς ὅπλα αἴρειν δυνάμενος. 86, 28. 389, 37. 477, 45. 803, 5.

Ὀπόεις, πόλις Λοκρῶν, ἡ καὶ Ὀποῦς, τὸ ἐθνικὸν Ὀποείσιος· τοῦ δὲ Ὀποῦς τὸ ἐθνικὸν Ὀπούντιος. 277, 12. 14.

ὀπὸς ἡ τὸν τυρὸν συμπηγνύουσα πιτύα, καὶ ὀπὸς τὸ γαλακτῶδες τῆς συκῆς καὶ ἁπλῶς τὸ ἐν τοῖς δένδροις ὑγρόν. 619, 40.

ὁπότε ἀντὶ τοῦ ποτὲ ἐν τῷ, ἅς ὁπότ' ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε, Ἰλ. θ', 230. 710, 17.

Ὀπούντιοι Λοκροί. 276, 27. ζήτει ἐν τῷ, Λοκροὶ ἔθνος.

Ὀποῦς, πόλις Λοκρῶν ἐκ τοῦ Ὀπόεις κατὰ συναίρεσιν λεγομένη, τὸ ἐθνικὸν Ὀπούντιος. 277, 14. 26.

Ὀππιανὸς κύριον ὅτι παρὰ τὸ ὄπτω λέγεται, ὅθεν τὸ ὀπιπτεύω· καὶ ὅτι δυσὶ ππ γράφεται ὡς ἐκ συγκοπῆς γενόμενον. 483, 44. 679, 40.

ὀπταλέον κρέας ἀντὶ τοῦ ὀπτὸν, ὅθεν καὶ λέγεται πλεονασμῷ τῆς αλ συλλαβῆς. 481, 32.

ὀπτᾶν ὅτι παρὰ τὸ συχνοτέρας ἐποπτείας δεῖσθαι τὰ ὀπτώμενα λέγεται. 135, 22.

ὀπτανεῖον τὸ μαγειρεῖον, παρὰ τὸ ὀπτᾶν ὡς ἐκ τοῦ πλεονάζοντος. 1726, 29. καὶ ὅτι ἀπὸ τοῦ ὀπταίνω λέγεται. 135, 23.

ὀπτὴρ ὁ κατάσκοπος, ἀπὸ τοῦ ὄπτω, ὃ δηλοῖ τὸ βλέπω. 348, 41. 736, 17.

ὀπτὸν ὅτι ἐκ τοῦ ὀπτητὸν λέγεται κατὰ συγκοπὴν, καὶ ὀπτὸν τὸ θεατὸν ὁμωνύμως. 481, 33. 1455, 58.

ὀπυίειν ὅτι παρὰ τὸ δι' ὀπῆς ὕειν λέγεται, καὶ ὅτι τῇ υι διφθόγγῳ παραλήγεται, καὶ ὅτι οὐ κινεῖται εἰς μέλλοντα. 714, 49. 938, 40. 1384, 60. 1441, 64. καὶ ὀπυίειν ἀναφανδὸν τὸ νομίμως συνοικεῖν γυναικί. 1053, 28.

ὄπφις ὁ ὄφις κατὰ γλῶσσαν. 900, 12. 16.

ὀπωπὴ παρὰ τὸ ὄπτω, ὅτι τὴν τοῦ ὄπωπα μέσου παρακειμένου αὔξησιν διατήρησεν ἡ λέξις. 1430, 19. 1458, 45.

ὀπώρα τὸ τελευταῖον μέρος τοῦ θέρους εἴτουν ἡ μετὰ τὸ θέρος ὥρα. 514, 23. 1255, 2. 1677, 6. ἀλλαχοῦ δὲ ὅτι ὀπώρα τὸ μεταξὺ τοῦ θέρους καὶ τῆς φθινάδος ὥρας ἢ τὸ μετόπωρον. 1764, 62. καὶ πάλιν ὀπώρα ὁ μεταξὺ θέρους καὶ φθινοπώρου καιρὸς ἢ τὸ φθινόπωρον αὐτὸ κατ' ἔλλειψιν τῆς μετὰ προθέσεως, μεθ' ἧς ἐν συνηθείᾳ λέγεται μετόπωρον, ὁμοίως καὶ ὀπωρινὸς ὄμβρος ἀντὶ τοῦ μετοπωρινός. 1065, 60. 1714, 7. καὶ ὅτι παρὰ τὸν ὀπὸν λέγεται, ζήτει τὸ ὀπός. 619, 43.

ὀπωρινὸς ἀστὴρ ὁ κύων λεγόμενος ἐν τῷ, ἀστέρι ὀπωρινῷ ἐναλίγκιος, Ἰλ. ε', 5. 514, 26. καὶ ὀπωρινὸς ὄμβρος ὁ θερινός. 1065, 61. καὶ ὀπωρινὸς Βορέας ὁ θερινὸς, ἤγουν ὁ ἐτησίας. 1240, 11. 1539, 8.

ὅπως ἀντὶ τοῦ ὡς καὶ ἀντὶ τοῦ ὅτι μεταληπτικῶς, καὶ ὅπως ἀντὶ τοῦ καθὰ παραβολικοῦ μεταληπτικῶς καὶ αὐτό. 79, 31.

ὅπως μὴ πάθῃς τι, φράσις ἐλλιπὴς τοῦ δέδοικα ἢ ὅρα. 1540, 61.

ὅπως τάχιστα, ἀντὶ τοῦ ὅτι τάχιστα, ἤγουν λίαν ταχέως, ὅτι κατὰ μετάληψιν λέγεται. 79, 38.

ὁράματα λέγονται οἱ ἀπεκβάντες ὄνειροι οὕτως ὡς καθ' ὕπνους ἐθεάθησαν. 1876, 40.

ὁρᾶν ὅτι κατ' ἐκπομπὴν φωτοειδῶν ἀκτίνων γίνεται καὶ οὐ κατ' εἰσδοχήν. 1311, 63.

ὁρᾶν ὅτι καὶ ὁρᾶσθαι λέγεται κατὰ φωνὴν παθητικὴν ἐπὶ τοῦ αὐτοῦ. 1481, 46.

ὁρᾶν ἀντὶ τοῦ νοεῖν ἢ ἀντὶ τοῦ ἀκούειν ἐν τῷ, οὐχ' ὁράᾳς ὅ μοι υἱὸς ἐπέπταρεν, Ὀδ. ρ', 545. 1831, 47.

ὁρᾶν ὀφθαλμοῖς, ὅτι πρὸς διαστολὴν τοῦ κατὰ φαντασίαν λέγεται παρ' Ὁμήρῳ. 1793, 29.

ὁρᾶσθαι ἐν ἴσῳ τῷ ὁρᾶν παρ' Ὁμήρῳ. 1481, 46.

ὀργάζειν καὶ ὀργάζεσθαι πηλὸν, τὸ κυκᾶν καὶ ἀναταράττειν. 219, 28.

ὀργαίνειν ὅτι παρὰ τὸ ὀργᾶν λέγεται. 792, 33.

ὀργάνων μουσικῶν ὀνόματά τινα, οἷον φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβῦκαι. 1157, 50. 1558, 6.

ὀργὴ, ὄρεξις ἀντιλυπήσεως, ὅτι παρὰ τὸ ὀρέγω λέγεται, καὶ ὅτι μανιωδέστερόν τι δηλοῖ ἢ ὁ θυμός. 8, 24. 36.

ὀργιζομένων ταυτολογία τῆς αὐτῆς ἐννοίας ἐν τῷ κακολογεῖν. 59, 41. 105, 20.

ὀργιλότητος σημεῖον, ὅτι αἱ ξανθαὶ τρίχες ὀργιλότητα χαρακτηρίζουσι. 82, 25.

ὀργυιὰ ἡ εἰς πλάτος ἔκτασις τῶν χειρῶν, ὅτι παρὰ τὸ ὀρέγειν λέ-

γεται κατὰ συγκοπήν. 519, 9. 917, 34. 1898, 47. ἀλλαχοῦ δὲ ὅτι ἡ ὀργυιὰ τρίπηχύ ἐστι μέτρον. 1688, 2. καὶ ὅτι τὸ ὄργυια καὶ ἄγυια κατὰ τὴν παλαιὰν Ἀτθίδα προπαρωξύνοντο, οἱ δὲ ὕστερον κατήγαγον αὐτῶν τὸν τόνον. 1304, 9. 1631, 29.

ὀργυιοῦσθαι παρὰ Λυκόφρονι ὅτι παρὰ τὸ ὀργυιὰ λέγεται. 1898, 47.

ὀρέγειν τὴν χεῖρα ἀντὶ τοῦ ἐκτείνειν, καὶ ὀρέγειν δῶρον τὸ ἐκτείνοντα τὴν χεῖρα διδόναι. 1782, 54.

ὀρέγειν τὸ ἐκτείνειν καὶ τὸ παρέχειν, ὀρέγεσθαι δὲ ὅτι οὐ δόσιν, ἀλλὰ μόνην ἔκτασιν δηλοῖ. 519, 7.

ὀρέγεσθαι ἀντὶ τοῦ ἁπλωθῆναι καὶ ἀναταθεῖναι. 1898, 46. καὶ ὅτι γενικῇ συντάσσεται, οἷον ἐν τῷ, οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ, Ἰλ. ζ, 466. 655, 48. καὶ ὅτι καὶ ὀρέγεσθαι χειρὶ ἢ ποδὶ ἢ ἔγχει μετὰ δοτικῆς λέγεται. 476, 2. καὶ ὅτι ὀρέγεσθαι ποσὶ λέγονται ἵπποι συντόνως τρέχοντες. 1089, 35.

ὄρεγμα παρηίδων ἢ τοῦ προσώπου ἔκτασις καὶ πλατύτης. 677, 1.

ὀρέγνυσθαι ἔγχει τὸ ἀνατείνειν ἔγχος. 614, 7. ζήτει τὸ ὀρέγειν.

ὀρέγω τὸ ἐκτείνω. 475, 32. ζήτει τὸ ὀρέγειν.

ορει ἀρχομένων ὀνομάτων συνθέτων ἐκ τῆς ὄρος φωνῆς γραφὴ προπαραληκτικὴ καθόλου, οἷον ὀρείαυλος μὲν διφθόγγῳ, ὀρίτροφος δὲ μονοφθόγγῳ. 460, 26.

ὀρείαυλος ὁ ἐν ὄρει διατρίβων, τὸ ρι δίφθογγον. 460, 25.

ὀρεῖται, ἤγουν διεγερθήσεται, ἀπὸ τοῦ ὄρω θέματος. 1200, 46.

ὀρεκτὴ μελία ὅτι παρὰ τὸ διὰ χειρῶν ὀρέγνυσθαι λέγεται. 1089, 36.

ὀρεκτὸν δόρυ τὸ ἐκ χειρὸς ὀρεγομένης οὐτάζον, τὸ δὲ βαλλόμενον βέλος λέγεται. 282, 14. 475, 32. 552, 40.

ὀρέξαι τὸ ἐκ χειρὸς πατάξαι, ὅθεν ὀρεκτὸν δόρυ. 282, 16.

ὀρέξαι χεῖρα πρὸ στόμα τινός, ἤγουν ἐκτεῖναι, ὅτι ἱκετείας τρόπος ἦν παρὰ τοῖς ἀρχαίοις. 1360, 56.

ὀρέξασθαι τὸ ἐκτεῖναι πολλαχοῦ παρ' Ὁμήρῳ. 1691, 49. καὶ ὀρέξασθαι ἀντὶ τοῦ ὀρεκτῷ δόρατι πλῆξαι, οἷον ἐν τῷ, ἔφθη ὀρεξάμενος, Ἰλ. π', 322. ὅπου ὑπακούεται οὐ μόνον τὸ ἔγχος, ἀλλὰ καί τι μέρος σωματικόν. 1062, 17—21. καὶ ὅτι καὶ ἐπὶ ποδῶν διαστάσεως λέγεται, οἷον ἐν τῷ, τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ, Ἰλ. ν', 20. 917, 33.

Ὀρέσβιος κύριον, ὅτι ἐκ τοῦ ὄρος καὶ τοῦ βίος σύγκειται τοὔνομα. 597, 2.

ὄρεσθαι τὸ ὁρμᾶν καὶ τὸ ἀνίστασθαι. 1588, 1.

ὀρεσίτροφος λέων ὅτι πρὸς διαστολὴν τῶν χειροήθων λέγεται. 906, 12.

ὀρεσκῷος μετὰ τοῦ ι, παρὰ τὸ κείω, ὃ δηλοῖ τὸ κεῖμαι, λέγεται. 102, 29. ἀλλαχοῦ δὲ ὅτι παρὰ τοὺς κώους, ὃ δηλοῖ τὰ κοιλώματα, λέγεται. 294, 13. 318, 45.

ὀρέστερος ἀντὶ τοῦ ἄγριος διὰ τὸ τὰ ἐν τοῖς ὄρεσι διαιτώμενα τοιαῦτα εἶναι. 1259, 39.

Ὀρεστιάδες Νύμφαι, φυσικαί τινες δυνάμεις αὔξουσαι τὰ ἐν τοῖς ὄρεσι φυόμενα. 652, 31.

ὀρεχθεῖν λέγονται βόες σφαζόμενοι κατὰ μίμημα ἦχον τραχέος, καὶ ὅτι καὶ ἡ θάλασσα ὀρεχθεῖν λέγεται· καὶ ὀρεχθεῖν λέγεται ἡ καρδία ἀντὶ τοῦ πατάσσειν. 1283, 60.

ὀρεωκόμοι ὅτι περὶ τὸν Ἵππιον Κολωνὸν ἵσταντο Ἀθήνησιν, ἱστορία. 656, 26.

ὄρηαι προπαροξυτόνως ἀντὶ τοῦ ὁρᾷς, ἀπὸ τοῦ ὅρημι θέματος, ἢ ὁρῆαι προπερισπωμένως ἐκ τοῦ ὁρᾶται ἐνδείᾳ τοῦ τ καὶ τροπῇ τοῦ α εἰς η. 1763, 24.

ὄρθαι ἀπαρέμφατον, ἤγουν διεγηγέρθαι, ἀπὸ τοῦ ὄρω θέματος. 724, 5.

Ὄρθη βαρυτόνως, πόλις Περραιβική, ἡ καὶ Κορσέα, ὅτι παρὰ τὸ ὄρθιον τοῦ τόπου οὕτως ἐλέγετο, ἑρμηνεία διεξοδική. 333, 26.

ὄρθια ἀντὶ τοῦ ὄρθιον ἐπιῤῥηματικῶς Ἰλ. λ', 11. 826, 63.

ὄρθιος νόμος, μουσικός τις τρόπος ᾠδῆς εἰς πόλεμον ἐρεθιστικός, καὶ περὶ Τιμοθέου τοῦ αὐλητοῦ ἱστορία. 826, 64.

ὀρθόκραιραι βόες αἱ ὀρθίας τὰς κραίρας, ἤγουν τὰς κεφαλάς, καὶ γαῦροι, ὅθεν καὶ αἱ νῆες ὀρθόκραιραι μεταφορικῶς. 710, 49. 1127, 37. 1725, 25.

ὀρθὸν ἑστάναι κατὰ συνθήκην, ὅτι πρὸς διαστολὴν τοῦ ἄλλως ἑστάναι λέγεται τὸ ὀρθὸν ἑστάναι. 1141, 55.

ὀρθοπλὴξ ἵππος ὁ ὀρθὸς αἰρόμενος καὶ πλήσσων τοῖς ποσί. 629, 54.

Ὄρθος κύριον, καὶ Ὄρθος κύων τις τῶν τοῦ Γηρυόνου ὑπὸ Ἡρακλέους ἀναιρεθείς, ὅτι βαρύνονται πρὸς διαστολὴν τοῦ ὀρθὸς ἐπιθέτου. 1352, 15. 1967, 28.

ὀρθοστάδιοι χιτῶνες οἱ στατοί, συρτοὶ δὲ οἱ συρόμενοι. 1166, 55.

ὀρθοῦ Διονύσου βωμός, ζήτει ἐν τῷ, Ἀμφικτύων βασιλεὺς Ἀθηναίων. 1816, 4.

ὀρθριοκόκκυξ ἀλεκτρυὼν ὁ ὄρθρον κοκκύζων. 1479, 45.

ὀρθροβόας ὅτι ἀλεκτρυόνος ἐστὶν ἐπίθετον. 1120, 12.

ὄρθρος ὁ μικρὸν πρὸ τῆς τοῦ ἡλίου φαίσεως καιρός, παρὰ τὸ ὄρω ὄρσω λεγόμενος. 1949, 49. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ εἰς ἔργα ὀρθοῦν τοὺς ἀνθρώπους. 531, 10. 680, 58. 730, 8. 826, 14. 1168, 21. 1430, 5.

ὀρθωθῆναι ἀντὶ τοῦ ἐκ κατακλίσεως μικρόν τι μετεωρισθῆναι ἐν τῷ, ἕζετο δ' ὀρθωθείς, παρ' Ὁμήρῳ. 1141, 56.

Ὀρίας, ὅτι τὰς Πλειάδας οὕτω καλεῖ Πίνδαρος, ὡς ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κειμένας. 1535, 54. 1713, 3.

ὀρίγανον ὅτι διὰ τὸ χαίρειν τοῖς ὄρεσιν οὕτω λέγεται παρὰ τὸ γάνος, καὶ ὅτι μόνον τῶν ἐκ τῆς ὄρει δοτικῆς συγκειμένων διὰ τοῦ ι ἔχει τὸ ρι. 460, 26. καὶ ὅτι φύσει μὲν θηλυκῶς λέγεται, ὀρίγανον δὲ οὐδετέρως κατὰ γένους μεταπλασμόν. 1148, 26.

ὀριγνῶ ὅτι ἀπὸ τοῦ ὀρέγω παρῆκται. 1173, 52.

ὀρίνειν θυμὸν ἀντὶ τοῦ εἰς ἔλεον ἢ ὀργὴν κινεῖν παρ' Ὁμήρῳ. 1359, 28. καὶ ἀντὶ τοῦ ἁπλῶς ταράσσειν καὶ λυπεῖν καὶ βαρύνειν. 938, 7. 1590, 34.

ὀρίνεσθαι ἀντὶ τοῦ ταράσσεσθαι καὶ μετὰ δειλίας κινεῖσθαι, ὃ καὶ κλονεῖσθαι λέγεται παρ' Ὁμήρῳ. 223, 14. 964, 41. 1059, 60.

ὀρκάνη ταὐτὸ ὅπερ ἕρκος, ἤγουν ἀκανθῶδες περίφραγμα. 233, 41.

ὅρκια τὰ πρὸς συνθήκας χρειώδη. 411, 26. καὶ ὅρκια ψεύδεσθαι ἀντὶ τοῦ ἐπιορκεῖν. 684, 49. καὶ ὅτι οὐχ' ὑποκοριστικῶς, ἀλλὰ παρωνύμως λέγεται, καὶ ὅτι προπαροξύνεται ἡ λέξις. 233, 36. 41.

ὅρκον δηλήσασθαι καὶ πημᾶναι καὶ καταπατῆσαι καὶ συγχέαι καὶ παραβῆναι, ὅτι ταὐτὸν συνωνύμως δηλοῦσι. 470, 28.

ὅρκος ὅτι παρὰ τὸ εἴργω, ὅ ἐστι συγκλείω, λέγεται, ὅθεν καὶ τὸ ἕρκος, ἢ παρὰ τὸ ὅρος, ὅ ἐστιν ὁρισμός. 233, 38. καὶ Ὅρκος ὁμωνύμως ποταμὸς Βιθυνίας· καὶ περὶ τῶν γινομένων ὅρκων κατά τινων ὑδάτων παρά τισι τῶν παλαιῶν ἱστορία. 336, 12.

ὅρκος κατὰ κυνὸς καὶ χηνός, ζήτει ἐν τῷ Ῥαδάμανθυς. 1871, 3.

ὅρκυνος, ὅτι ἡ πηλαμὶς μεγάλη ἀποβᾶσα οὕτω λέγεται. 994, 49.

ὅρκῳ κεκάσθαι, ἤγουν κεκοσμῆσθαι, λέγεταί τις παρ' Ὁμήρῳ οὐχ' ὡς ἐπιορκῶν, ἀλλ' ὅρκῳ σοφιζόμενος, ὅπου καὶ σοφιστικῶν ὅρκων παραδείγματά τινα. 1870, 57. ἀλλαχοῦ δὲ ὅτι ὅρκῳ κεκοσμῆσθαι λέγεται παρ' Ὁμήρῳ ὁ Αὐτόλυκος, ἤγουν ψευδέσιν ὅρκοις ἐντέχνως σοφίζεσθαι. 1379, 36.

ὁρκωμοτικὰ ἐπιῤῥήματα, νὴ μὰ καὶ ναὶ μά. 92, 15. ζήτει τὰ κατὰ μέρος. 1450, 40.

ὅρκων σοφιστικῶν εἴτουν παραλογιστικῶν παραδείγματά τινα. 1870, 62.

ὅρκων σφάγια, ὅτι τὰ ἐπὶ ὅρκοις σφαγέντα ἀθέμιτον ἦν εἰς τροφὴν προσίεσθαι, καὶ ὅτι πρὸς τὰ ὅρκια τρισὶ τούτοις ἐχρῶντο σφαγίοις οἱ Ἀθηναῖοι, κάπρῳ, κριῷ καὶ τράγῳ. 418, 17. 1183, 52. 58.

ὁρμαθός, ὅτι κανονικῶς δασύνεται ἡ λέξις. 140, 11.

ὁρμαίνειν τὸ διαλογίζεσθαι καὶ μήπω καταστῆναι εἰς ἓν βούλευμα, ἀλλ' ἐν ὁρμῷ ἤγουν κινήσει εἶναι. 81, 8. 1518, 6.

ὁρμαίνειν τὸ ὁρμᾶν ἢ τὸ διαλογίζεσθαι ἐν τῷ, δολιχὴν ὁδὸν ὁρμαίνοντας, Ὀδ. γ', 169. 1462, 22. καὶ ὁρμαίνειν πόλεμον τὸ ὁρμᾶν εἰς πόλεμον, οἷον ἐν τῷ, ἤλυθον ἐς Τροίην πόλεμον θρασὺν ὁρμαίνοντες, Ἰλιάδ. κ', 28. 787, 21.

ὁρμᾶν ἰδιοπαθῶς, ἐνίοτε δὲ καὶ ἀλλοπαθῶς, οἷον ἐν τῷ, εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων, Ὀδ. σ', 376. 1852, 8.

ὁρμᾶσθαι ἀντὶ τοῦ ὁρμᾶν ἐν τῷ, φεύγειν ὁρμήσονται, Ἰλ. θ', 511. 726, 44.

ὁρμεῖν λέγεται ἡ ναῦς, ἤγουν ἐπὶ ὅρμον ἵστασθαι. 968, 41.

Ὀρμένιον, πόλις Θεσσαλικὴ μεταξὺ Φερῶν καὶ Λαρίσσης, ἀπὸ Ὀρμένου τινὸς ἥρωος, ἱστορία· καὶ ὅτι ψιλοῦται τοὔνομα. 762, 35. 39. ζήτει τὸ Ὄρμενος.

Ὄρμενος κύριον, ἱστορία· καὶ ὅτι ψιλοῦται τοὔνομα, ὡς ἀπὸ τῆς ὀρόμενος μετοχῆς τοῦ ὄρω ὄρσω θέματος. 762, 39. καὶ ὅτι καὶ ὁ τῆς κράμβης καυλὸς ὅρμενος ὁμωνύμως λέγεται, ὅθεν τὸ ἐξορμενίζειν, ἑρμηνεία διεξοδική. 899, 13. 1220, 57.

ὁρμένῳ πόλιν, ἤγουν ὁρμήσαντες ὀπίσω. 847, 7.

ὁρμηθεὶς θεοῦ, ἀντὶ τοῦ ὑπὸ θεοῦ κινηθεὶς ἐν τῷ, ὁ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ' ἀοιδήν, Ὀδ. θ', 499. 1606, 38.

ὅρμημα ἡ ἑκούσιος κίνησις ἐν τῷ, Ἑλένης ὁρμήματα, Ἰλ. β', 356. 590. 237, 26.

ὁρμησίαι κατὰ τὴν χυδαίαν διάλεκτον αἱ πρόσγειοι τῶν λιμένων καταγωγαί. 130, 7.

ὁρμίζειν ναῦν τὸ ἐπὶ ὅρμου ἱστᾶν, ἀλλαχοῦ δὲ ὅτι ὁρμῆσαι ναῦν τὸ ἐν ἀσφαλεῖ καταστῆσαι. 968, 41.

Ὁρμίνιον, κώμη Θετταλική, μία τῶν εἰς τὴν Δημητριάδα συνοικισθεισῶν, ἡ αὐτὴ τῇ παρ' Ὁμήρῳ Ὀρμένιον λεγομένη, ἱστορία. 332, 6. ζήτει τὸ Ὀρμένιον.

ὁρμίσκος ὑποκοριστικῶς ὁ μικρὸς ὅρμος. 130, 17.

ὅρμος, μέρος τι τοῦ λιμένος, συνεκδοχικῶς δὲ καὶ ὁ ὅλος λιμήν. 130, 1. 8. 17. 412, 46. 735, 63. καὶ ὅτι δασύνεται ἡ λέξις. 140, 11. ἀλλαχοῦ δὲ ὅτι ὅρμος μέρος τι τοῦ λιμένος, ὅπου ἡ ναῦς ὁρμεῖ. 1723, 42. καὶ ἀλλαχοῦ ὅτι ὅρμος ἐστὶ τὸ τέλος τῆς ἐν θαλάσσῃ καταγωγῆς, καὶ ὅτι διαφέρει λιμένος. 1735, 36. καὶ ὅρμος ὁμωνύμως ὁ γυναικεῖος περιτραχήλιος κόσμος, παρὰ τὸ ἕρμα, ὅ ἐστιν ἀσφάλισμα. 1150, 22. καὶ ὅτι ἐπὶ τούτου τοῦ σημαινομένου ὀξύνουσί τινες τὴν λέξιν πρὸς διαστολήν. 1788, 46. 1967, 29. καὶ ὅτι παρὰ τὸ εἴρω δοκεῖ λέγεσθαι, ὡς καὶ τὸ ἕρμα. 1847, 40.

ὅρμος Ἐριφύλης καὶ ὅρμος Ἑλένης, ἱστορίαι· ζήτει ἐν τῷ, Ἐριφύλης ὅρμος, καὶ Ἑλένης ὅρμος. 1697, 40. 46.

ὄρνεα διάφορα διαφόροις θεοῖς ἀφιερωμένα διὰ τὸ ἔχειν πως ἕκαστον πρὸς ἕκαστον, ἑρμηνεία διεξοδική. 87, 1.

Ὀρνειαί, πόλις Πελοποννήσου, πληθυντικῶς λεγομένη διφθογγοπαραλήκτως ἀπὸ Ὀρνέως τοῦ Ἐρεχθέως, ἢ ἀπὸ Ὀρνέου τοῦ παραῤῥέοντος ποταμοῦ, ὅθεν καὶ Ὀρνεάτης Πρίαπος ἐπωνυμικῶς διὰ τὸ ἐκεῖ τιμᾶσθαι ποτέ· καὶ ὅτι καὶ Ὀρνεαὶ χωρὶς τοῦ ι λέγονται, καὶ ἄλλα τινὰ περὶ τῆς τοποθεσίας τῆς πόλεως, ἑρμηνεία διεξοδική. 291, 7—15.

Ὀρνέας ποταμός, ζήτει ἐν τῷ Ὀρνειαί.

Ὀρνεάτης Πρίαπος ἐπωνυμικῶς, ζήτει ἐν τῷ Ὀρνειαί.

ὄρνιθες ἰδίως αἱ κατοικίδιοι, καὶ ὅτι κατά τε ἀρσενικὸν καὶ κατὰ θηλυκὸν γένος κλίνεται ἡ λέξις· καὶ ὅτι οὐ μόνον ὄρνιθες, ἀλλὰ καὶ ὄρνις λέγεται ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν, καὶ ὄρνιθα καὶ ὄρνιν ἐπὶ τῆς αἰτιατικῆς τῶν ἑνικῶν. 1440, 47. ἀλλαχοῦ δὲ ὅτι ὄρνιθες θηλυκῶς κατ' ἔθος Ἰωνικὸν καὶ Ἀττικὸν λέγεται. 1126, 46.

ὀρνιθοσκόπος ταὐτὸ ὅπερ οἰωνο-

πόλος, ἐπεὶ καὶ ταὐτὸν ὄρνιν εἰπεῖν καὶ οἰωνόν. 1439, 64.

ὄρνιξ ὄρνιχος, Δωρικῶς ὁ κοινῶς ὄρνις ὄρνιθος. 1419, 16.

ὄρνις τὸ ὄρνεον καὶ τὸ μαντικὸν σύμβολον ἐν ἴσῳ τῷ οἰωνός. 899, 50. 1778, 8. 1790, 17. ἀλλαχοῦ δὲ ὅτι ὄρνις ἐλέγετο πᾶν σύμβολον δηλωτικὸν τοῦ μέλλοντος, ἀπὸ μέρους τὸ καθόλον. 805, 12. 1346, 43. καὶ ὅτι ἐπὶ τοιούτου σημαινομένου παρὰ τὸ εἴρω ἐτυμολογεῖται. 1351, 22. καὶ ὅτι κοινόν ἐστι τῷ γένει τοὔνομα. 1479, 25.

ὄρνυθι τὸν δεῖνα, ἤγουν διέγειρε, ἀλλοπαθῶς. 647, 21.

ὄρνυσθαι τὸ ὀρθοῦσθαι καὶ ἀνίστασθαι. 826, 16. 1587, 64. καὶ ὄρνυσθαι ἀντὶ τοῦ σπουδαίως τρέχειν. 1201, 35. καὶ ὅτι ἐκ τοῦ ὄρω γίνεται ὄρνω, ὅθεν τὸ ὄρνυμι. 994, 40. 1811, 11.

ὄροβοι κατὰ τὴν χυδαίαν διάλεκτον αἱ ἐν τοῖς ὑείοις κρέασι χάλαζαι. 853, 55.

ὀροθύνειν ὅτι παρὰ τὸ ὀρίνειν καὶ τὸ θύειν λέγεται. 436, 46. 1233, 42. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ ὄρω καὶ τοῦ θύνω. 1538, 17.

Ὀρόντης ποταμὸς ὅτι εἰς χάσμα τι μεταξὺ τῆς Συριακῆς Ἀπαμείας καὶ Ἀντιοχείας, Χάρυβδιν καλούμενον ὁμωνύμως τῇ Σικελικῇ, καταδὺς πάλιν ἄνεισιν ἑτέρωθι. 1716, 24. καὶ ὅτι περὶ τὸν Ὀρόντην τοῦτον μυθεύεται γενέσθαι τὰ κατὰ τὸν Τυφῶνα, διήγησις διεξοδική. 346, 43.

ὀροπύγιον, οὐ μὴν κατά τινας ὀρθοπύγιον, τὸ πρὸς τῇ οὐρᾷ ἔσχατον μέρος τῆς πυγῆς τῶν ζῴων, παρὰ τὸ ὄρος εἶναι τῆς πυγῆς οὕτω λεγόμενον· καὶ ὅτι οὐροπύγιον λέγεται κατ' Ἰωνικὴν ἐπένθεσιν τοῦ υ. 906, 61. 1871, 45.

ὅρος ὁ ὁρισμὸς καὶ τὸ ὁροθέσιον, ὅτι παρὰ τὸ ὁρᾶν λέγονται. 1774, 34.

ὀρὸς ἡ ὑδατώδης καὶ ῥοώδης τοῦ γάλακτος ὑπόστασις, παρὰ τὸ ῥέειν οἱονεὶ ῥόος, καὶ μεταθέσει καὶ καταβιβασμῷ τοῦ τόνου πρὸς διάφορον σημασίαν ὀρὸς ὀξυτόνως δι' ἑνὸς ρ, ὄῤῥος δὲ ὁ τῶν ζῴων δυσί. 1625, 63 — 1626, 3. 1774, 47. ἀλλαχοῦ δὲ ὅτι ὀρὸς καὶ ὀῤῥὸς ὀξυτόνως τὸ τοῦ γάλακτος ὑδατῶδες, καὶ ὅτι παρ' Ὁμήρῳ μὲν ἐνὶ ρ, παρὰ δὲ τοῖς ὕστερον δυσὶ γράφεται. 906, 58. 64. καὶ ὅτι ψιλοῦται καὶ ὀξύνεται πρὸς διαστολὴν τοῦ ὅρος καὶ ὄρος. 906, 58 — 64.

ὀρούβω καὶ ὀρουβῶ ἀντὶ τοῦ ὀρούω κατὰ γλῶσσαν προσθέσει τοῦ β. 1654, 22.

ὀροφίας ὁ ἐν ταῖς οἰκίαις μυοθήρας ὄφις. 1448, 62.

ὄροφος, δόναξ ποτάμιος ἐπιτήδειος εἰς τὸ τὰς οἰκίας ἐρέφειν, ὃς καὶ λαχνήεις ἐπιθετικῶς λέγεται διὰ τὴν ἐν τῷ ἄκρῳ τριχοειδῆ δασύτητα. 36, 4. 333, 13. ἀλλαχοῦ δὲ ὅτι ὄροφος εἶδος καλαμίσκου, ᾧ ἐχρῶντο οἱ ἀρχαῖοι εἰς οἰκημάτων στέγωσιν, ὅθεν καὶ πᾶσα στέγωσις ὄροφος λέγεται ἐκ τῆς ἀρχαίας χρήσεως τῆς ἐκ τῶν εἰρημένων καλαμίσκων. 1358, 50.

ὁρόωτε ἀντὶ τοῦ ὁρῷτε ὅ ἐστι βλέποιτε, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ προπαραλῆγον ο. 481, 40. 1881, 12. ζήτει τὸ, ὁρῷ μετὰ προσγραφῆς τοῦ ι.

ὄρπηξ ὅτι ἐκ τοῦ ὄρω τὸ πηδῶ καὶ τοῦ πήσσω γίνεται. 1222, 20.

ὄῤῥος δυσὶ ρρ, μέρος τι τῆς τῶν ζῴων πυγῆς, ὅθεν τὸ ὀῤῥωδεῖν· ὀρὸς δὲ τὸ ὑδατῶδες τοῦ γάλακτος ἐνὶ ρ. 1626, 2. ἀλλαχοῦ δὲ ὅτι ὄῤῥος τόπος περὶ τοὺς γλουτοὺς, ὁ καὶ ταῦρος, καὶ ὅτι ψιλοῦται ἡ λέξις καὶ δυσὶ ρ γράφεται πρὸς διαστολὴν τοῦ ὀρός. 906, 58 — 64. 1871, 42.

ὀῤῥωδεῖν τὸ εὐλαβεῖσθαι, παρὰ τὸ τὸν ὄῤῥον ἰδίειν ἐκ τοῦ παρακολουθοῦντος· καὶ ἀῤῥωδεῖν διὰ τοῦ ἀ τὸ μὴ εὐλαβεῖσθαι, στερητικῶς κατά τινας. 527, 45. 906, 62. 1871, 45.

ὄρσεν, προστακτικὸν ἀπὸ τοῦ ὄρω ὄρσω θέματος. 1176, 15.

Ὄρσιππος ἀθλητὴς, ὅτι ἀπὸ Ὀρσίππου ἤρξαντο γυμνοὶ ἀγωνίζεσθαι χωρὶς περιζωμάτων, ἱστορία. 1324, 24.

ὀρσοθύρη, θυρὶς φωταγωγὸς ὑψηλὴν πρόσβασιν ἔχουσα, ὅτι παρὰ τὸ ὄρω ὄρσω λέγεται· ἢ ὀρσοθύρη, θύρα δι' ἧς ὀρούει τις εἰς ὑπερῷον ἀναβησόμενος, ἑρμηνεία διεξοδική. 1921, 13. 21.

ὀρσύδρα, ὀπὴ δι' ἧς ὕδωρ ὄρνυται. 1921, 16.

ὀρτάλιχοι οἱ τῶν ὀρνίθων νεοσσοί. 753, 55. καὶ ὅτι καὶ ἐπὶ ζῴων νεογνῶν τίθεται ἡ λέξις. 1625, 48. ἀλλαχοῦ δὲ ὅτι ὀρτάλιχος κατά τινας ὁ ἀλεκτρυών. 1818, 2.

ὀρτὴ Ἰωνικῶς ἡ κοινῶς ἑορτή. 1908, 59.

Ὀρτυγία, νῆσος ἡ ὕστερον Δῆλος, ἀπὸ δαίμονός τινος Ὀρτυγος καλουμένης, ἢ ἀπὸ τῶν καταιρόντων εἰς αὐτὴν ὀρτύγων. 1528, 3. 1558, 8.

ὀρτύγιον, ὄρτυγος ὑποκόρισμα. 1702, 53.

ὄρτυξ ὄρτυγος ὄρτυγι, ὅτι μακρὸν ἔχει τὸ τῦ, ἐνίοτε δὲ συστέλλεται πρὸς μέτρου χρείαν. 1108, 49.

ὀρύαι κατὰ γλῶσσαν αἱ κοινῶς χορδαί. 1915, 21.

ὀρυγμαδὸς καὶ ὀρυμαγδὸς ἐπὶ παντὸς ἁπλῶς θορύβου μεγάλου. 305, 37. 698, 17. καὶ ὅτι τὸ ὀρυγμαδὸς ἐκ τοῦ ὀρυμαγδὸς λέγεται ὑπερβιβασμῷ τοῦ γ. 698, 17. ἀλλαχοῦ δὲ ὅτι τὸν ὀρυγμαδὸν ὀρυμαγδὸν εἶπεν ὁ Ὅμηρος, μεταθεὶς τὸ γ ἀπὸ τῆς προπαραληγούσης εἰς τὴν παραλήγουσαν. 1400, 32. ζήτει τὸ ὀρυμαγδός.

ὀρυκτὴ τάφρος ἡ χειροποίητος, ὅτι πρὸς διαστολὴν τῶν φύσει κεχαδρωμένων τόπων ὀρυκτὴ λέγεται. 798, 16. ἀλλαχοῦ δὲ ὅτι οὐ πρὸς διαστολὴν ἡ ἐπίθεσις, πάσῃ γὰρ τάφρῳ παρακολουθεῖ τὸ ὀρωρύχθαι. 1074, 24.

ὀρυμαγδὸς ὁ ἐν ὄρει θόρυβος καὶ ἁπλῶς ὁ μέγας κτύπος, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῇ προπαραληγούσῃ ἔχει τὸ γ εἰς δακτύλου ἀπαρτισμὸν, ἐνίοτε δὲ καὶ ἐν τῇ παραληγούσῃ πρὸς μέτρου χρείαν. 496, 9. 698, 17. 1400, 32. καὶ ὀρυμαγδὸς ἐπὶ ἤχου ποταμίου ῥεύματος. 1234, 22. ἀλλαχοῦ δὲ ὅτι ὀρυμαγδὸς πλέον τι δούπου καὶ ψόφου καὶ κτύπου σημαίνει ἐν τῷ, ἔντοσθεν δ' ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκεν, Ὀδ. ι, 235. 1626, 49.

ὀρφακίναι, ὅτι οὕτω λέγονται οἱ νέοι τῶν ὀρφῶν ὑποκοριστικῷ τύπῳ ὡς ἀπὸ τοῦ ὄρφαξ ὄρφακος. 1720, 49.

ὀρφανικὸς, κτητικὸν ἀντὶ τοῦ ὀρφανὸς θετικοῦ. 653, 41.

ὀρφανισταὶ, οἱ καὶ χηρωσταί. 533, 32. ζήτει τὸ χηρωσταί.

Ὀρφεὺς ὁ ποιητὴς ὅτι Καλλιόπης ἢ Κλειοῦς υἱὸς γεγονέναι ἱστορεῖται. 817, 31. καὶ ὅτι Θρᾷξ ἦν τὸ γένος, ἱστορία. 299, 7. καὶ ὅτι δύο Ὀρφέες Κίκονες τὸ γένος ἱστοροῦνται, ὧν ὁ τοῦ Οἰάγρου πολλῷ προγενέστερος θατέρου λέγεται. 359, 15.

ὀρφναίη νὺξ ἐπιθετικῶς ὅτι πρὸς διαστολὴν ἑτεροίας νυκτὸς λέγεται. 805, 17.

ὀρφὼς ὅτι καὶ ὀρφὸς διὰ τοῦ ὁ μικροῦ γράφεται, καὶ ὅτι ὁ νέος ὀρφὼς ὀρφακίνης λέγεται. 1720, 49. ζήτει τὸ ὀρφακίναι.

ὄρχαμος ὅτι παρὰ τὸ ὄρχος λέγεται, ἀφ' οὗ διχῶς νοουμένου καὶ ὁ ὄρχατος λέγεται. 649, 9. καὶ ὅτι ὄρχαμον ἀνδρῶν τὸν συβώτην τοῦ Ὀδυσσέως λέγει Ὅμηρος ἐπιθετικῶς ἀντὶ τοῦ ἀρχικὸν ἄνδρα ἢ ἄρχοντα δούλων ἑτέρων. 1747, 64.

ὄρχατος ἡ ἐπίστιχος φυτεία, παρὰ τὸ εὐτάκτως ἔρχεσθαι ἢ παρὰ τὸ ὀρύσσω, οἱονεὶ ὀρύχατος· ἢ ὄρχατος ὁ ἐπὶ πολὺ ὀρεγόμενος, ὅ ἐστιν ἐκτεινόμενος· καὶ ὅτι ἐκ τοῦ ὄρχος γίνεται ὄρχατος, ὡς ἐκ τοῦ τρίτος τρίτατος. 649, 9. 971, 53. 1572, 11. 15.

ὀρχεῖσθαι ἀντὶ τοῦ ἁπλῶς κινεῖσθαι ἐνίοτε. 1942, 3. καὶ ὅτι τὸ ὀρχεῖσθαι ταῖς χερσὶν ἀκύρως λέγεται παρ' Ἀντιφάνει, ὡς καὶ τὸ χειρονομεῖν τοῖς σκέλεσι παρ' Ἡροδότῳ (6, 129.). 159, 43.

ὀρχηθμὸς ἀμύμων πρὸς διαστολὴν λέγεται τῆς φαύλης ὀρχήσεως. 951, 44.

ὀρχήσεως εἰδῶν τινῶν ἔκθεσις, καὶ ὅτι εὐσχημόνως ἐχρῶντο τῇ ὀρχήσει οἱ ἀρχαῖοι, ἱστορία. 1078, 19. καὶ ὅτι τὴν μὲν εὐσχήμονα ὄρχησιν ἡ Ἀθηνᾶ εὗρε, τὴν δὲ ἀσχήμονα καὶ Σατυρικὴν ὁ Πάν. 951, 47.

ὄρχησις ὅτι ἐκ τοῦ ὤρεχα, παρακειμένου τοῦ ὀρέγω ῥήματος, κατὰ συγκοπὴν λέγεται καὶ δηλοῖ κίνησίν τινα χειρῶν καὶ ποδῶν. 1942, 5. καὶ ὅτι τῇ ὀρχήσει ἐμιμοῦντο οἱ τεχνῖται οὐ μόνον τὰς πράξεις, ἀλλὰ καὶ τὰ διὰ τῆς λέξεως ἑρμηνευόμενα· καὶ ὅτι ἐσπουδάζετο πάλαι ἡ ὀρχηστικὴ καὶ σοφοῖς τισὶν ἀνδράσιν, καὶ ἔπαινος ὀρχήσεως. 1596, 19—34.

ὄρχησις Μαντινειακὴ ὅτι προεκέκριτο τῶν ἄλλων ἐθνικῶν ὀρχήσεων διὰ τὴν τῶν χειρῶν κίνησιν. 1602, 19.

ὀρχηστὴς ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ, ὡς καὶ τὸ χηρωστής. 384, 10.

ὀρχηστικὴ, ὅτι τῶν διὰ σφαίρας παιδιῶν ἡ οὐρανία καὶ τὸ ἁρπαστὸν καλούμενον μετ' ὀρχήσεως ἐγίνοντο. 1601, 25. 51.

ὀρχηστῶν τινῶν ὀνόματα, καὶ ὅτι τὸν Ἀπόλλωνα ὀρχηστὴν καλεῖ Πίνδαρος (Fragm. 115.) καὶ τὸν Δία δέ τις παράγει ὀρχούμενον. 1602, 22.

Ὀρχομενὸς, πόλις τῆς Βοιωτίας ἀρσενικῶς λεγομένη, ὅτι Μινύειος ἐπεκλήθη ἀπὸ Μινύου τοῦ παραῤῥέοντος ποταμοῦ, ἢ ἀπὸ Μινυῶν γένους τινὸς ἀξιολόγου κατοικήσαντος ἐν αὐτῇ· καὶ ὅτι εὐδαίμων ποτὲ καὶ πλουσία γέγονεν ἡ πόλις, καὶ φρούριον ὀχυρὸν καὶ ἄσυλον· καὶ ὅτι καὶ ἄλλαι τινὲς πόλεις τούτῳ τῷ ὀνόματι ἐχρήσαντο, ὧν μία καὶ ἡ Ἀρκαδικὴ, ἥ τις πρὸς διαστολὴν τῆς Βοιωτιακῆς πολύμηλος παρ' Ὁμήρῳ ἐπιθετικῶς λέγεται· καὶ ὅτι χωρίζει ὁ Ὅμηρος ἐν τῷ καταλόγῳ τὸν Ὀρχομενὸν τοῦ Βοιωτίου ἔθνους, καὶ ἄλλα τινὰ περὶ Ὀρχομενοῦ τῆς πόλεως διεξοδικῶς. 272, 26 — 46. 301, 21. 758, 21. 1685, 55. 1693, 64.

ὀρῶ ὅτι κατὰ τρεῖς συζυγίας λέγεται, ὁράω κοινῶς κατὰ τὴν δευτέραν, ὀρέω δὲ κατὰ τὴν πρώτην καὶ ὀρύω κατὰ τὴν τρίτην ποιητικῶς. 1701, 23.

ὀρῷ μετὰ προσγραφῆς τοῦ ι, τρίτον πρόσωπον τοῦ ὀρύοιμι ὀρῷμι εὐκτικοῦ, οὗ τὸ δεύτερον ὀράοις ὀρῷς, τὸ δεύτερον τῶν πληθυντικῶν ὀράοιτε ὀρῷτε καὶ ἐπειδὴ ἔσω τοῦ ὁ μικροῦ ὀρόωτε, ἤγουν βλέποιτε. 1881, 11.

ὀρῶ εἰν τὸ φοβεῖσθαι, ὅτι κυρίως περὶ ὀρνίθων λέγεται παρὰ τὸν ὄρον, καὶ ὅτι τὸ ὀρωδεῖν, ὡς καὶ ὁ ὄρος, ἐν δυσὶ ρ̄ γράφεται παρὰ τοῖς ὕστερον. 906, 62. ζήτει τὸ ὄῤῥος καὶ τὸ ὀῤῥωδεῖν.

ὀρώρει, ἠγείρετο καὶ κατεσπάσθη. 350, 26. 1538, 18.

ὀρώρειν, ὑπερσυντέλικος ἐκ τοῦ ὀρέω ὀρῶ, παρακείμενος ὤρηκα, ὁ μέσος ὦρα καὶ Ἀττικῶς ὄρωρα, ὁ ὑπερσυντέλικος ὠρώρειν τῷ ω̄ μεγάλῳ κατ' ἀρχὰς διὰ τὴν αὔξησιν, καὶ Ἰωνικῶς ὀρώρειν ἀναυξήτως. 1523, 43.

ὀρώρεται ἐν ἴσῳ τῷ ὀρίνεται, τρίτον πρόσωπον παθητικὸν τοῦ ὀρώρω ῥήματος, ἐκ τοῦ ὄρωρα παρακειμένου ἀναδραμόντος εἰς ἐνεστῶτα. 1869, 31. 1874, 56.

ὀρωρέχαται, ἤγουν ἐτανύσθησαν. 1089, 34. καὶ ὀρωρέχατο, ἤγουν ἐτέταντο. 828, 21.

ὀρώρῃ, τρίτον πρόσωπον ὑποτακτικὸν τοῦ ὄρωρα παρακειμένου. 460, 23. 828, 21. ζήτει τὸ, ὀρώρειν ὑπερσυντέλικος.

ὀρώρηται ὅτι ἐκ τοῦ ὀρώρω κεκίνηται, ὃ ἐκ τοῦ ὄρωρα παρακειμένου ἀνήχθη εἰς ἐνεστῶτα. 930, 49.

ος λήγοντα δισύλλαβα τροχαϊκὰ ἀπὸ φωνήεντος ἀρχόμενα ψιλοῦνται, οἷον εὖχος, ἦδος, ἦμος ἀντὶ τῶν ἡνίκα. 154, 41.

ος λήγοντα ὀνόματα κοινὰ ὅτι καὶ διὰ τοῦ ως Ἀττικῶς λέγονται, οἷον ὀρφὸς, λαγὸς, λαὸς, κάλος. 1720, 48.

ος καθαρὸν λήγοντα τῷ ε̄ παραλήγοντα ὅτι ὀξύνονται, οἷον φωλεὼ φωλεός. 1293, 45.

ος λήγοντα οὐδέτερα δισύλλαβα τῷ ε̄ παραλήγοντα, ὅτι ἡνίκα ἂν συντεθῇ, εἰς ης λήγει καὶ ὀξύνονται, οἷον ἔτος διετὴς, βέλος πολυβελής. 341, 11.

ος λήγοντα σύνθετα ἐνέργειαν μὲν σημαίνοντα παροξύνονται, πάθος δὲ προπαροξύνονται, οἷον πρωτοτόκος μὲν γυνὴ, πρωτότοκος δὲ παῖς. 423, 20. 843, 55.

ος λήγοντα ὀνόματα σύνθετα ἐκ ληγόντων εἰς η θηλυκῶν ὅτι προπαροξύνονται, οἷον φωνὴ ἄφωνος, κόμη ἱππόκομος, ἱπποκόμος δὲ ὁ ἐπιμελητὴς τῶν ἵππων οὐ παρὰ τὴν κόμην, ἀλλὰ παρὰ τὸ κομεῖν. 924, 28.

ος λήγοντα ὀνόματα ἔχοντα τὸ ζα μόριον προτεταγμένον ἐν συνθέσει προπαροξύνονται, οἷον ζάθεος, ζάκοτος. 769, 26.

ος λήγοντα σύνθετα προπαροξύτονα ἀπὸ ὀξυτόνων ὁμοιοκαταλήκτων γενόμενα, οἷον καλὸς πάγκαλος. 992, 55.

ος λήγοντα ὀξύτονα ὅτι Αἰολικῶς βαρύνονται, οἷον σόφος, κάλος, δύνατος, ἀντὶ τοῦ σοφὸς καὶ καλὸς καὶ δυνατός. 1534, 20.

ος λήγοντα οὐδέτερα βαρυνόμενα κανονικῶς, οἷον νάπος, νέμος, τεῖχος, στεῖνος. 893, 4.

ος λήγοντα δισύλλαβα μονογενῆ ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν ὅτι βαρύνονται, οἷον χόρτος, φόρτος, ὅρκος, πόρνος, πλὴν τῶν ἐχόντων τὸ μ πρὸ τοῦ ος, οἷον κορμός, φορμός. 1352, 13.

ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τοῦ ο ἀρχόμενα, μεθ' ὃ δύο σύμφωνα ἐπιφέρεται, ὅτι βαρύνονται, οἷον ὄκνος, ὅλμος, ὄλβος, ὄμβρος. 831, 60.

ος λήγοντα δισύλλαβα βραχυπαράληκτα μονογενῆ ὅτι βαρύνονται, πλὴν τοῦ στρατὸς καὶ βροτός. 636, 61.

ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι συλλαβῆς ἀρχόμενα ὅτι φιλεῖ βαρύνεσθαι, ὅτε πρὸ τοῦ ος σύμφωνον ἢ σύμφωνα ἔχει, οἷον οἶκος, οἶστρος. 828, 16.

ος λήγοντα μονογενῆ δισύλλαβα τῷ ο παραλήγοντα, ἢ ἐξ αὐτοῦ ἀρχόμενα καὶ ἔχοντα δὶς τὸ αὐτὸ σύμφωνον, βαρύνεται, οἷον κόννος, ὄῤῥος, κόκκος, τὸ πολλὸς οὐ μονογενὲς, τὸ δὲ κομμὸς μάχεται τῷ κανόνι. 1746, 27.

ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω μὴ προσγραφομένου τοῦ ι ὅτι βαρύνεται, οἷον ὦμος, ὦρος, τὸ ᾠδὸς ὀξύνεται διὰ τὴν προσγραφὴν τοῦ ι. 377, 44.

ος λήγοντα ἀρσενικὰ βαρύτονα δισύλλαβα τῷ ο παραλήγοντα, παρασχηματίζοντα θηλυκὰ ὀξύτονα ἰσοσυλλαβοῦντα καὶ ταυτοπαραληκτοῦντα, οἷον χόλος χολὴ, πόθος ποθή. 94, 28. ἀλλαχοῦ δὲ ὑπαγορεύεται ὅτι τῶν εἰς ος ληγόντων τινὰ ἀπὸ θηλυκῶν εἰς η ληγόντων παρήχθησαν, οἷον χολὴ χόλος, ὠνὴ ὦνος, δίνη δῖνος. 503, 18. 1427, 18.

ος λήγοντα δισύλλαβα καὶ τρισύλλαβα διαφορούμενα κατὰ γένος, οἷον ὁ ἄφενος καὶ τὸ ἄφενος, ὁ ἔλεος καὶ τὸ ἔλεος, ὁ ὄνειδος καὶ τὸ ὄνειδος. 73, 39. 432, 10 — 18. 1632, 17.

ος λήγοντα ἀρσενικὰ προπαροξύτονα ἀπὸ γενικῶν περιττοσυλλάβων πεμπτοκλίτων μεταγόμενα εἰς εὐθείας τεταρτοκλίτους, οἷον ὁ ἀνθέριξ τοῦ ἀνθέρικος καὶ ὁ ἀνθέρικος τοῦ ἀνθερίκου, ὁ κῆρυξ τοῦ κήρυκος, καὶ ὁ κήρυκος τοῦ κηρύκου, ὁ φύλαξ τοῦ φύλακος καὶ ὁ φύλακος τοῦ φυλάκου. 100, 16. 114, 8.

ος λήγοντα οὐδέτερα συνῃρημένως κλινόμενα, ἀπὸ πεμπτοκλίτων συνῃρημένων εἰς ας ληγόντων παραγόμενα, οἷον γῆρος, οὖδος, ἐκ τῶν γῆρας καὶ οὖδας. 600, 11. 782, 15. 1173, 54.

ος λήγοντα οὐδέτερα δισύλλαβα ἀπὸ πολλυσυλλάβων ὀξυτόνων θηλυκῶν εἰς η ληγόντων μετασχηματισθέντα, οἷον ἦδος ἀπὸ τοῦ ἡδονὴ, καὶ μῆχος ἀπὸ τοῦ μηχανή. 154, 44.

ος λήγοντα οὐδέτερα συνῃρημένως κλινόμενα, ἐκ ληγόντων εἰς α ἢ εἰς η θηλυκῶν μεταχθέντα, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου λεγόμενα, οἷον δίψος ἐκ τοῦ δίψα, καὶ βλάβος ἐκ τοῦ βλάβη. 74, 1. 729, 47.

ος λήγοντα ἐπίθετα θηλυκοῖς οὐσιώδεσιν ἐπιτιθέμενα, οἷον ἀποτακτὸς ἡμέρα, τυτθὸς κύλιξ, καὶ γυνὴ τιθασσός. 723, 18. 793, 1. 1403, 54.

ος λήγοντα κύρια εἰ μὲν καθαρὸν ἔχουσι τὸ ος, διὰ τοῦ ωνη σχηματίζουσι πατρωνυμικὰ, οἷον Ἀκρίσιος Ἀκρισιώνη· ἀπὸ δὲ τῶν μὴ καθαρὸν ἐχόντων τὸ ος διὰ τοῦ ινη σχηματίζονται, οἷον Ἄδραστίνη. 989, 18.

ους λήγουσαι γενικαὶ ὑπερδισύλλαβοι ὅτι ἀποστρέφονται τὴν ὀξυτόνησιν, πλὴν τοῦ θυγατρός. 1388, 48.

ος λήγουσαι γενικαὶ ἀπὸ εὐθειῶν εἰς ης συνῃρημένως κλινομένων ὅτι οὐδέποτε ἐκτείνονται εἰς ω μέγα. 518, 31.

ος λήγουσαι ὀξύτονοι γενικαὶ ἐν συνθέσει προτασσόμεναι λέξεων ἀπὸ συμφώνου ἀρχομένων ὅτι τρέπουσι τὴν ἐσχάτην εἰς ο, οἷον Ζηνὸς Ζηνόθεμις, ἢ εἰς ι, οἷον αἰγὸς Αἰγίπαν. 183, 6.

ὅς ἄρθρον ἀναφορικὸν ὅτι ἐκ τοῦ τὸς Δωρικοῦ γέγονεν ὑφέσει τοῦ τ. 1385, 44.

ὅς ἀναφορικὸν ἄρθρον, ὅτι Ὅμηρος καθόλου ἀόριστόν τι πληθυντικὸν διὰ τοῦ ὅς ἀναφορικοῦ ἑνικοῦ περιορίζει, οἷον ἐν τῷ, ἀνθρώπους τίνυσθον ὅτις κ' ἐπίορκον ὀμόσσῃ, Ἰλ. γ', 279. καὶ ἐν τῷ, ξείνους Τηλεμάχου ὅς κεν τάδε δώμαθ' ἵκηται, Ὀδ. υ', 295. 849, 39. 1892, 62.

ὅς περ νόμος θεοῦ, ἤγουν οἷος ὁ τοῦ θεοῦ νόμος, καὶ ἥ τις δίκη προνοίας ἐστὶν, ἀντὶ τοῦ οἷα ἡ τῆς προνοίας δίκη ἐστί. 1004, 63.

ὅσαι ἡμέραι εἰσὶ, φράσις Ὁμηρικὴ ἀντὶ τοῦ ὁσημέραι, ὅ ἐστι καθημέραν. 1753, 10.

οσαν λήγοντα πρόσωπα ῥηματικὰ ὅτι ἐκ τῶν εἰς ον κοινῶν προσθέσει τῆς σα συλλαβῆς λέγονται κατὰ γλῶσσαν, οἷον ἐφύγοσαν ἀντὶ τοῦ ἔφυγον, καὶ ἤλθοσαν ἀντὶ τοῦ ἦλθον. 1759, 36. 1761, 30.

οσε λήγοντα ἐπιῤῥήματα ἀπὸ γενικῶν εἰς ος παρηγμένα, οἷον παντὸς πάντοσε, ἐκτὸς ἔκτοσε. 1763, 7.

ὁσίη ἀντὶ τοῦ ὅσιον ἐν τῷ, οὐδ' ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισιν, Ὀδ. π', 423. καὶ ὅτι ἐλλιπῶς λέγεται τοῦ βουλὴ ἢ πρᾶξις ἢ τοιούτου

τινὸς προσηγορικοῦ. 1807, 20. ἐν δὲ τῷ, οὐχ' ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι, ἐλλιπῶς τοῦ δίκη ἢ εὐχὴ λέγεται, Ὀδ. χ', 412. 1932, 29.

Ὄσιρις ὁ Διόνυσος παρ' Αἰγυπτίοις, ὅτι διὰ τοῦ ῑ γράφεται τοὔνομα. 391, 37. 629, 39. καὶ ὅτι σάλπιγγος εὑρετὴς ἱστορεῖται παρ' Αἰγυπτίοις ὁ Ὄσιρις. 1139, 55.

ὀσμηρὸν ὅτι παρὰ τὴν ὀσμὴν λέγεται. 1504, 41.

ὅσον, ὅτι τὸ ὅσον οὐ μόνον τοπικῶς, ἀλλὰ καὶ χρονικῶς ἔστιν ἀκοῦσαι ἐν τῷ, ὅσον ἐπικίδναται ἠώς, Ἰλ. η', 451. 458. 690, 57.

ὄσσα ἡ φήμη καὶ ἡ μαντεία. 59, 21. 34. καὶ ὅτι ἡ ὄσσα καὶ ἡ ὀμφὴ καὶ ἡ κληδὼν ἐπὶ τοῦ αὐτοῦ συνωνύμως λέγονται. 169, 28. καὶ πῶς ἀκουστέον ἀλληγορικῶς τὴν λέξιν, ἐν τῷ, μετὰ δὲ σφίσιν Ὄσσα δεδήει, Ἰλ. β', 93. 179, 39. 180, 2. ἀλλαχοῦ δὲ ὅτι Ὄσσα Διὸς ἡ τῆς προμάντιδος εἱμαρμένης, ἢ ἡ τοῦ ἀέρος, ὅς ἐστιν αἴτιος φωνῶν ἃς διηχὴς ὤν· καὶ ὅτι οὐχ' ἡ ἁπλῶς φωνὴ ὄσσα λέγεται παρ' Ὁμήρῳ, ἀλλὰ σημαντικόν τι τοῦ μέλλοντος ἡ λέξις δηλοῖ. 1417, 37.

ὀσσάτιος, ὅτι παρὰ τὸ ὅσος γίνεται ὅσατος, ὅθεν ὀσσάτιος. 605, 36.

ὄσσε τὼ ὀφθαλμώ, παρὰ τὸ ὄσσω, ὅ ἐστι βλέπω, ὅτι κατά τινας μὲν ἀπὸ τῆς τὼ ὄσσω δυϊκῆς εὐθείας μεταπέπλασται, κατὰ δ' ἑτέρους ἀπὸ τῆς ὄσσος ὡς τεῖχος εὐθείας κεκίνηται, ἧς καὶ δοτικὴ ἑνικὴ εὕρηται ἐν χρήσει, ἡ εὐθεία τῶν δυϊκῶν τὼ ὄσσεε καὶ συγκοπῇ τὼ ὄσσε. 58, 25. 75, 25. 1746, 23. καὶ ὅτι ἀμφισβητεῖται κατὰ τὸ γένος, πλὴν ἐκ τῆς χρήσεως τῆς ὄσσων πληθυντικῆς γενικῆς καὶ τῆς ὄσσοις δοτικῆς ἀρσενικοῦ ἐλέγχεται γένους εἶναι. 432, 10. ἀλλαχοῦ δὲ ὅτι τὸ ὄσσος ὄνομα παρ' Ὁμήρῳ μὲν οὐδετέρου γένους ἐστί, παρὰ δὲ τῇ τραγῳδίᾳ ἀρσενικοῦ. 855, 34.

ὄσσεσθαι τὸ βλέπειν, ὅτι παρὰ τὸ ὄπτω κατὰ τροπὴν Αἰολικὴν λέγεται. 774, 53. 1398, 31. καὶ ὄσσεσθαι τὸ ἀναπολεῖν καὶ φαντάζεσθαι καὶ προβλέπειν εἴτουν προλέγειν καὶ τὸ μὴ παρὸν ὀνειροπολεῖν. 59, 37. 774, 58. 1344, 17. 1398, 25. 1661, 42. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὴν ὄσσαν, ὃ δηλοῖ τὴν μαντείαν, λέγεται. 964, 59. 63.

ὀστᾶ ὅτι μετέχουσι καὶ αὐτὰ ψυχικῆς τινὸς δυνάμεως, καὶ ὅτι Ὅμηρος ἐκ μέρους τῆς τῶν ὀστῶν οὐσίας τὸ ὅλον δηλοῖ σῶμα ἐν τῷ, λίπεν ὀστέα θυμός. 910, 41. 1445, 61. 64. καὶ ὅτι ὀστᾶ γῆς οἱ λίθοι τροπικῶς λέγονται. 309, 43.

ὀστακὸς ἀντὶ τοῦ ἀστακὸς τροπῇ τοῦ ᾱ εἰς ō. 218, 22.

ὀσταφὶς ἐκ τοῦ ἀσταφὶς τροπῇ τοῦ ᾱ εἰς ō. 218, 22. 1406, 57.

ὅστις ἀόριστον περὶ πολλῶν τινῶν ἐπιμεριστικῶς λεγόμενον καὶ καθόλου τι εἰς μερικὸν περιορίζον, οἷον ἐν τῷ, ἀνθρώπους τίνυσθον ὅ τις κ' ἐπίορκον ὀμόσσῃ, Ἰλ. γ', 279. καὶ ὅτι εἰς καθολικὴν σημασίαν πληθύνεται διὰ τὸ ἀοριστανειν. 237, 23. 415, 9. 912, 11. 1827, 32. ζήτει τὸ, ἄρθρον ἀναφορικόν. 849, 39. καὶ τὸ, ὅς ἀναφορικόν. 1892, 62.

ὀστρακίνδα, εἶδος παιδιᾶς, ὃ καὶ περιστροφὴ ὀστράκου λέγεται, ἑρμηνεία διεξοδική. 1161, 37—42.

ὄστρακον, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ρ̄ ἡ λέξις, καὶ παροιμία, ὀστράκου περιστροφή, ἐπὶ πραγμάτων ἀλλαγῆς· καὶ ὅτι ἐκ παιδιᾶς τινὸς ἐλήφθη ἡ παροιμία, καὶ ἱστορία διεξοδικὴ περὶ τῆς παιδιᾶς. 1161, 33—41.

ὄστρεον ὅτι ἐκ τοῦ ὀστέον γέγονε πλεονασμῷ τοῦ ρ̄. 1161, 33.

οσυνη λήγοντα θηλυκὰ ὅτι οὐκ ἐπίθετα, ἀλλ' οὐσιώδη εἰσὶ παρ' Ὁμήρῳ, οἷον γηθοσύνη καὶ βριθοσύνη. 918, 51.

ὀσφύς, ὅτι τῶν τριάκοντα τεσσάρων σπονδύλων οἱ τελευταῖοι πεντεκαίδεκα συμπληροῦσι τὴν ὀσφύν. 1531, 3.

ὀσχεὸς ὅτι παρὰ τὸ ὀχεύω λέγεται πλεονασμῷ τοῦ σ̄, οἱονεὶ ὀχεός. 1293, 46.

ὄσχη ὅτι οὕτω λέγεται τὸ βοτρυοφόρον κλῆμα. 1524, 31.

οσω λήγοντες μέλλοντες τῆς τρίτης τῶν περισπωμένων ὅτι ἀναλογώτερον διὰ τοῦ ō μικροῦ ἢ διὰ τοῦ ω̄ μεγάλου γράφονται· ζήτει ἐν τῷ, μελλόντων περισπωμένων ῥημάτων παραλήγουσα. 1723, 7—15.

οτ, ὅτι τὸ ō πρὸ τοῦ τ̄ ψιλοῦται, οἷον ὀτρύνω, Ὀτρεύς, ὄττοβος. 340, 30. *implicite.*

ὅ τε ἐν δυσὶ μέρεσι λόγου ἀντὶ τοῦ διότι αἰτιολογικοῦ. 1045, 45.

ὅ τε μή, ἐν ἴσῳ τῷ ὅτι μή, ὅ ἐστιν εἰ μή, ἐξαιρετικῶς, οἷον ἐν τῷ, ὅ τε μὴ Διὶ πατρί, Ἰλ. π', καὶ ὅτι τὸ μὲν τε̄ παρέλκει, τὸ δὲ ὃ ἀντὶ τοῦ ὅτι τίθεται. 934, 29. 1057, 14—17. 1115, 27. 1800, 26.

ὅτε παροξύτονον ἀντὶ τοῦ ὁτὲ ὀξυτόνου, ὃ δηλοῖ τὸ ποτέ. 831, 20. 1101, 40. 1166, 39.

ὅτεο ἀντὶ τοῦ ὅτου, ἤγουν οὗ τινός. 1279, 51.

ὁτέοισιν ἀντὶ τοῦ οἷς, ὅτι ἐκ τοῦ ὅτοις γέγονε πλεονασμῷ τοῦ ε̄. 230, 8. 1026, 43.

οτερος λήγοντα συγκριτικὰ ἀπὸ ληγόντων εἰς ων συγκριτικῶν ταὐτοδυνάμων κεκινημένα, οἷον χείρων χειρότερος, πλείων πλειότερος, ῥάων ῥαότερος. 1215, 36.

οτερος καὶ **οτατος** λήγοντα συγκριτικὰ καὶ ὑπερθετικὰ μακρὰν ἔχοντα τὴν τετάρτην ἀπὸ τέλους καὶ τὸ προπαραλῆγον ō ἐκτείνοντα διὰ μέτρου χρείαν, οἷον κακοξεινώτερος καὶ κακοξεινώτατος. 1526, 10.

ὅτευ, οὗ τινός. 1826, 23.

ὅτεῳ ὅτι ἐκ τοῦ ὅτῳ γέγονεν Ἰωνικῇ ἐπενθέσει τοῦ ε̄. 230, 8. 1026, 43. 1036, 33. ἀλλαχοῦ δὲ ὅτι ὅτεῳ δοτικὴ καὶ ὅτεων γενικὴ καὶ ὁτέοισι δοτικὴ πληθυντικὴ ἀντὶ τοῦ ᾧ τινὶ καὶ ὧν τινῶν καὶ οἷς τισίν, καὶ ὅτι δύο πλεονασμοὺς πεπόνθασι τὰ τοιαῦτα. 1647, 7.

ὅτι διασαφητικὸν λεῖπον ἐνίοτε, οἷον νομίζω ὁ δεῖνα τόδε τι ποιεῖν. 1137, 52.

ὅτι ἀντὶ τοῦ διὰ τί ἐν τῷ, καὶ

ἐξερέεινον ἕκαστα, οὐλὴν ὅττι πάθοι, Ὀδ. τ', 464. 1870, 40.

ὅ τι δὴ χρειὼ τόσον ἵκει, Ἰλ. κ', 142. ἀντὶ τοῦ τί δήποτε τοσοῦτον χρεία κατείληφεν. 794, 56.

ὅ τι ἀντὶ τοῦ λίαν μεταληπτικῶς, ὅθεν τὸ ὅτι μάλα ἀντὶ τοῦ λίαν μάλα. 79, 35.

ὅ τι μή, ἀντὶ τοῦ εἰ μή, ὅ ἐστι πλήν, ἐξαιρετικῶς. 1057, 15. 1330, 19. 1724, 43.

ὀ τιὴ ὅτι ὀξύνεται Ἀττικῶς ὡς καὶ τὸ τιή, καὶ ὅτι ἐξ ἐπεκτάσεως ἔχουσι τὸ ληκτικὸν ῆ. 118, 36.

ὅ τινα ἀντὶ τοῦ ὅν τινα, ὅθεν καὶ γέγονε πλεονασμῷ τοῦ ō. 1279, 50. 1592, 19.

ὅτινας ἀντὶ τοῦ οὕς τινας, ὅτι ἐκ τοῦ τινὰς γέγονε πλεονασμῷ τοῦ ō. 1026, 41. 1592, 19.

ὅ τ ι ς ἀντὶ τοῦ ὅστις, καὶ ὅτινα ἀντὶ τοῦ ὅν τινα, καὶ ὅτινας ἀντὶ τοῦ οὕς τινας, ὅτι ἐκ τοῦ τὶς καὶ τοῦ τινὰ καὶ τινὰς γεγόνασι πλεονασμῷ τοῦ ō. 1592, 19—24. 1710, 7.

ὅ τ λ ο ς ἡ τλῆσις καὶ κακοπάθεια, παρὰ τὸ τλῶ πλεονασμῷ τοῦ ō. 218, 18. 1148, 52. 1575, 54.

ὅ τοι ἀντὶ τοῦ ὅτι σοι πολλαχοῦ παρ' Ὁμήρῳ. 696, 4. 1889, 47. καὶ ὅ τοι ἀντὶ τοῦ ὅς σοι ἐν τῷ, ὅ τοι μάλα πόλλ' ἐπέτελλεν, Ἰλ. φ', 230. 1234, 64.

ὀ τ ο ι σ ι ν ἀντὶ τοῦ οἷς τισὶν, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ō. 1026, 43. 1592, 21.

Ὀ τ ο τ ύ ξ ι ο ς, ὄνομα πρὸς ὁμοιότητα τοῦ Ὀλοφύξιος ἐθνικοῦ παρεσχηματισμένον. 594, 27.

ὅ τ ο υ ἀντὶ τοῦ οὗ ἄρθρον, καὶ ὅτῳ ἀντὶ τοῦ ᾧ. 230, 7.

ὀ τ ρ η ρ ὸ ς παρὰ τὸ τρῶ τὸ δειλιῶ, ἢ παρὰ τὸ ὀτρύνω, καὶ ὅτι κατὰ θεραπόντων μὲν λέγεται παρ' Ὁμήρῳ, κατὰ κηρύκων δὲ οὔ. 110, 2. 1397, 59.

ὄ τ ρ ι χ ε ς ἵπποι ἐπιθετικῶς, ὅτι ψιλοῦται τοὔνομα, καὶ ὅτι ἐκ τοῦ ὁμοιότριχες συγκέκοπται, ἑρμηνεία διεξοδική. 340, 30.

ὀ τ ρ υ ν τ ὺ ς ὁ ἐκ τοῦ παροτρύνειν γινόμενος ἐρεθισμός. 1180, 7.

ὄ τ τ α ταὐτὸ ὅ περ ὄσσα, ὅ ἐστιν οἰωνοσκοπία ἢ κληδών. 1398, 29.

ὀ τ τ ε ύ ε σ θ α ι τὸ οἰωνοσκοπεῖν ἢ κληδονίζεσθαι. 1398, 29.

ὅτῳ ἀντὶ τοῦ ᾧ ἄρθρον, δοτικῆς τῶν ἑνικῶν. 230, 7.

ὅτων ἀντὶ τοῦ ὧν τινῶν. 1026, 43.

ōυ συλλαβὴ ἀρκτικὴ λέξεων Ἰωνικῶν καὶ Βοιωτικῶν, ὅτι οἱ Ἴωνες ταῖς ἀπὸ τοῦ ō ἀρχομέναις λέξεσι προστιθέασι τὸ ῡ εἰς ἔκτασιν τῆς συλλαβῆς, οἷον ὄρος οὖρος, νόσος νοῦσος· οἱ δὲ Βοιωτοὶ ἀνάπαλιν ταῖς ἀπὸ τοῦ ῡ ἀρχομέναις προστιθέασι τὸ ō· καὶ περὶ τοῦ ἀρκτικοῦ χρόνου τῶν τοιούτων Βοιωτικῶν. 23, 26—32. καὶ ὅτι καὶ τὸ ō τὸ στοιχεῖον ōυ ἐγράφετο παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν, ὅπως ἔχῃ περισπᾶσθαι κατὰ τὰ λοιπὰ ὀνόματα τῶν στοιχειακῶν γραμμάτων. 511, 7. 1001, 19.

ōυ δίφθογγος ὅτι ἐκ τοῦ ō καὶ ε̄ κιρναμένη εἰς αὐτὰ καὶ ἀναλύεται. 1300, 61. καὶ ὅτι ἡ ōυ δίφθογγος εἰς ω μέγα τρέπεται Δωρικῶς, οἷον Μοῦσα Μῶσα, βούτης βώτης. 71, 11.

ōυ καὶ εῡ δίφθογγοι ἀρκτικαὶ λέξεων, ἐξ ἐπενθέσεως Αἰολικῆς ἔχουσαι τὸ ῡ, ὅτι ψιλοῦνται, οἷον ὅρος οὖρος, ἔκηλος εὔκηλος, ὁδὸς οὐδός. 149, 15. 194, 26. 1121, 54.

οὐ, ἀπόφασις ἐν παραθέσει ἰσοδυναμοῦσα τῷ ᾱ στερητικῷ ἐν συνθέσει παραλαμβανομένῳ, οἷον ἐν τῷ, οὐ παραγένησις, καὶ οὐ περιτείχισις. 111, 25.

οὐ ἀπόφασις ὅτι μετὰ μὲν τοῦ κ̄ εὕρηται καὶ χωρὶς τοῦ ῑ λεγομένη, μετὰ δὲ τοῦ χ̄ οὐκ ἂν χωρὶς τοῦ ῑ, διὸ καὶ ἀπόστροφος τίθεται ἐπὶ τοῦ χ̄ τῆς οὐχ' ἀποφάσεως κατὰ τὰς συναλιφάς. 1085, 53.

οὐ, ἄρνησις διπλαζομένη Ἀττικῶς ἐνίοτε παρ' Ὁμήρῳ, οἷον ἐν τῷ οὐδ' ἦν ἔνθ' ἀφίκηαι ἀλωμένη, οὔ σευ ἔγωγε σκυζομένης ἀλέγω, Ἰλ. θ', 482. 724, 38.

οὐ γάρ πώ τι, ἀντὶ τοῦ οὔτι γάρπω ἐν τῷ, οὐ γάρ πώ τί μ' ἔφη ἴδμεν πολεμήια ἔργα, Ἰλ. λ', 719. 880, 45.

οὗ ἕθεν, ὅτι προπαροξυτόνως προφέρεται κατά τινας τῆς ἕθεν ἀντωνυμίας ἐγκλινάσης τὸν οἰκεῖον τόνον ἐν τῷ, οὗ ἕθεν ἐστὶ χερείων, Ἰλ. α', 114. 61, 29.

ο ὐ κατὰ κόσμον ὀΐομαι τάδε, ἀντὶ τοῦ ἄκοσμα νομίζω ταῦτα ἐν τῷ, ἀλλὰ τάδ' οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις, Ὀδ. ξ', 363. 1763, 49.

ο ὐ λίαν, ἐν ἴσῳ τῷ οὐ πάμπαν ἀντὶ τοῦ οὐδόλως ἐν τῷ, οὐδέ τι λίην νώνυμός ἐστιν, Ὀδ. ν', 238. 1740, 22.

οὐ μὰ τὸν, ἀπωμοτικὸν ὑπακουομένης τῆς θεὸν αἰτιατικῆς. 1450, 43.

ο ὐ μὲν θην, ἀντὶ τοῦ οὐ μὴν δή. 722, 51. 1530, 29.

ο ὐ νέμεσις, καὶ τὰ ἑξῆς περὶ Ἑλένης λεγόμενα παρ' Ὁμήρῳ Ἰλ. γ', 156. ὅτι παροιμιακῶς ἁρμόζουσι λέγεσθαι περὶ ὁμοίων τινῶν προσώπων ἢ πραγμάτων, ἑρμηνεία διεξοδική. 397, 24.

ο ὐ πάμπαν, ἀντὶ τοῦ οὐδόλως. 916, 59.

ο ὐ παντὸς ἀνδρὸς εἰς Κόρινθον ἔσθ' ὁ πλοῦς, παροιμία, ὅτι διὰ τὰς ἐν Κορίνθῳ πάλαι ποτὲ ἑταίρας ἐλέγετο. 290, 35.

οὐ παραγένησις, ἀντὶ τοῦ ἀποδημία. 111, 25.

οὐ περιτείχισις, ἀντὶ τοῦ τὸ ἀπερίτείχιστον. 111, 26.

οὕ ἕνεκα, ὅτι πρῶτος Ὅμηρος τὸ τέλος εἴτουν τὸ τελικὸν αἴτιον οὕτως ὠνόμασε. 192, 10. 969, 16. 1078, 57.

ο ὖ α ς οὔατος, ὅτι παρὰ τὸ ἀΐω γίνεται ὄας καὶ ἐπενθέσει οὖας. 1148, 53. 1896, 4.

ο ὐ α τ ό ε ι ς θὴρ ὁ ὄνος παρὰ Καλλιμάχῳ, τὸ τὸ μικρὸν, ὠτώεις δὲ τὸ τὸ μέγα. 870, 6. 1299, 32. 36.

ο ὖ δ α λ α τὰ πρὸς τῷ οὔδει κόπρια ἢ σαρώματα. 1828, 3.

ο ὐ δ α μ ό θ ε ν τὸ οὐδέποθεν, ὅτι ἐκ τοῦ ἀμόθεν, ὅ ἐστι ποθὲν, σύγκειται, ὅ παρὰ τὸ ἀμὸς, ὅ δηλοῖ τὸ εἷς ἢ τὶς, λέγεται. 1383, 53.

ο ὐ δ α μ ὸ ς ἀντὶ τοῦ οὐδέ τις, ὅτι ἐκ τοῦ ἀμὸς, ὅ ἐστιν εἷς ἢ τὶς κατὰ γλῶσσαν, λέγεται· καὶ ὅτι πληθυντικῶς οὐδαμοὶ κατ' εὐθεῖαν, καὶ οὐδαμῶν κατὰ γενικὴν λέγεται, καὶ οὐδαμὰς κατὰ θη-

λυκὴν αἰτιατικὴν τῶν πληθυντικῶν. 1383, 54.

οὐδαμῶς ἐπίῤῥημα ἀντὶ τοῦ κατ' οὐδένα τρόπον, ὅτι καὶ οὐδαμῇ λέγεται. 1383, 56.

οὖδας ὄνομα οὐδέτερον, ἡ δοτικὴ τῷ οὔδει ἀπὸ τῆς οὖδος ἀχρήστου εὐθείας. 1114, 60.

οὐδὲ ἐπίῤῥημα ἔτι οὐ μόνον διαφορά τινα ἀποφάσκει, οἷον οὐδὲ τοῦτο οὐδὲ τοῦτο, ἀλλὰ καὶ ταὐτοδύναμα ῥήματα συμπλέκει, οἷον ἐν τῷ, τῶν οὐδέν τι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω, 'Οδ. δ', 350. 1813, 49.

οὐδ' ἄγγελον ἀπονέεσθαι, ὅτι παροιμιακῶς λέγεται ἐπὶ πανωλεθρίας στρατεύματος ἢ πλήθους τινὸς ἀνθρώπων. 893, 11.

οὐδ' ἅλα δοίης, παροιμία ἐπὶ τῶν δυσμεταδότων καὶ φειδωλῶν. 1827, 57.

οὐδ' ἄν πω, ἀντὶ τοῦ οὐδέπω ἂν ἐν τῷ, οὐδ' ἄν πω χάζοντο κελεύθου, 'Ιλ. λ', 504. 859, 15.

οὐδ' ἑνός, διῃρημένως ἀντὶ τοῦ οὐδὲ κἂν γοῦν ἑνὸς ἐν τῷ, νῦν δ' οὐδ' ἑνὸς ἄξιοι εἰμὲν Ἕκτορος, 'Ιλ. θ', 234. 710, 27.

οὐδ' ἕτεροι, ἐν δυσὶ μέρεσι μετὰ ἀποστρόφου πρὸς ἔμφασίν τινα. 832, 25.

οὐδ' ἠβαιόν, ἀντὶ τοῦ οὐδόλως πολλαχοῦ παρ' Ὁμήρῳ. 1455, 5.

οὐδ' ὄναρ φαίνεσθαι, ἐπὶ τῶν μηδαμῶς ἐπιφαινομένων. 1902, 2.

οὐδὲ γὰρ οὐδέ, χρῆσις διπλῆς ἀποφάσεως ἀντὶ μιᾶς κατ' ἔθος Ἀττικόν, οἷον ἐν τῷ, οὐδὲ γὰρ οὐδὲ κεν αὐτὸς ὑπέκφυγεν, 'Ιλ. ε', 22. 516, 44.

οὐδὲ μὲν οὐδὲ ἔοικεν, 'Ιλ. μ', 212. ὅτι τῇ διπλῇ ἀποφάσει τελείαν ἀποτροπὴν ἀπό τινος πράξεως ἐνδείκνυται. 901, 3.

οὐδὲ Ἡρακλῆς πρὸς δύο, παροιμία ἐξ ἱστορίας τινός, καὶ ἀφήγησις τῆς ἱστορίας. 882, 35.

οὐδέ τι πάμπαν, ἀντὶ τοῦ οὐδαμῶς καὶ οὐδόλως ἐν τῷ, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶν ἐθέλεις, 'Ιλ. ι', 435. 761, 43.

οὔδει, δοτικῆς πτώσεως, ὅτι ἀπὸ τῆς οὖδος ἀχρήστου εὐθείας κεκλίνηται. 1114, 62. 1173, 54.

οὐδεὶς οὐδενός, ὅτι συστοιχεῖ τῷ μηδείς, καὶ ὅτι διαφέρει μηδενὸς εἰπεῖν ἐν συνθέσει καὶ μηδ' ἑνὸς ἐν διαστάσει, ἑρμηνεία διεξοδική. 710, 31. ζήτει τὸ μηδείς.

οὐδενόσωρα τὸ μηδεμιᾶς ὥρας ἤγουν φροντίδος ἄξια, καὶ ὅτι προπαροξύνεται ἡ λέξις. 706, 1.

οὐδέποτε ὅτι οὐ τὸ διὰ παντός, ἀλλὰ τὸ πρὸς καιρόν τινα σημαίνει ἐν τῷ, οὐδέποτ' ἔσβη οὖρος, 'Οδ. γ', 182. 1463, 10.

οὐδέτερα ὀνόματα πληθυντικῶς λεγόμενα, ἀπὸ θηλυκῶν ὀξυτόνων μεταπεπλασμένα, ὅτι ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον, οἷον πλευραὶ πλευρά. 377, 39.

οὐδέτερα ἀπὸ ἀρσενικῶν παρεσχηματισμένα ὅτι ὁμότονα αὐτοῖς ἐστι, οἷον οἱ μύριοι τὰ μύρια. 15, 38.

οὐδέτερα πληθυντικὰ μεταπεπλασμένα ἀπὸ ἀρσενικῶν, οἷον οἱ κύκλοι τὰ κύκλα, οἱ λύχνοι τὰ λύχνα, οἱ μηροὶ τὰ μηρά, οἱ δρυμοὶ τὰ δρυμά. 108, 17. 599, 18. 835, 6.

οὐδέτερα πληθυντικὰ ἀντὶ ἐπιῤῥημάτων, οἷον αἰνὰ ἀντὶ τοῦ αἰνῶς, καὶ καλὰ ἀντὶ τοῦ καλῶς. 127, 8.

οὐδέτεροι περὶ δύο στρατευμάτων ἐν τῷ, οὐδέτεροι μνώοντ' ὀλοοῖο φόβοιο, πολλαχοῦ παρ' Ὁμήρῳ· καὶ ὅτι τὸ οὐδ' ἕτεροι ἐν δυσὶ μέρεσι μετ' ἀποστρόφου γραπτέον πρὸς ἔμφασίν τινα. 832, 28. 1086, 2.

οὐδέτερον, ὅτι δύο τινῶν ἐστὶν ἀπόφασις ἡ οὐδέτερον φωνή. 964, 47.

οὐδέτερον ἐπιλεγόμενον ἀρσενικοῖς καὶ θηλυκοῖς ἐν τῷ, χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν, πόλλ' ὅσ' ἂν οὐδέποτε Τροίης ἐξήρατ' Ὀδυσσεύς, 'Οδ. ν', 136 sq. 1737, 44.

οὐδέτερον γενικῇ συνῃρημένον, ὑποκείμενον ῥήματι πληθυντικῷ πρώτου προσώπου ἐν τῷ, δίζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων, 'Οδ. η', 307. 1581, 12.

οὐδέτερον προσηγορικὸν ἀρσενικῷ ἐπιθέτῳ ὑποκείμενον ἐν τῷ, τέκνον φίλε, παρ' Ὁμήρῳ. 1450, 54.

οὐδετέρων εὐθεῖα πληθυντικὴ ἐκτείνουσά ποτε τὴν λήγουσαν διὰ μέτρου ἀνάγκην, οἷον τὸ ἄσπαρτα ἐν τῷ, ἀλλὰ τάγ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, 'Οδ. ι', 109. 1618, 52.

οὐδετέρωσε, ἤγουν οὔτ' ἐνταῦθα οὔτ' ἐκεῖ. 964, 47.

οὐδήεσσα θεὰ ἡ ἐπίγειος, πρὸς διαστολὴν τῶν οὐρανίων, παρὰ τὸ οὖδας. 1651, 47.

οὐδὸς ὁ τῆς οἰκίας βατὴρ, παρὰ τὸ ὁδεύεσθαι, ὅτι καὶ ὀδὸς χωρὶς τοῦ υ λέγεται ἐπὶ τοῦ αὐτοῦ. 156, 28. 32. καὶ κατ' οὐδοῦ βῆναι τὸ ἐγγίσαι τῇ θύρᾳ ἢ εἰσελθεῖν. 1513, 53. καὶ οὐδὸς ἡ τῆς θύρας φλιὰ ἐν τῷ, ἆλτο δ' ἐπὶ μέγαν οὐδόν, 'Οδ. χ', 2. 1916, 26. ἀλλαχοῦ δὲ ὅτι οὐδὸς γήραος ἡ πρὸς τὸ γῆρας ὁδὸς ἢ ἡ εἰσέλευσις τοῦ γήρως, οἷα καί τινος οἰκίας. 1781, 6. ἀλλαχοῦ δὲ ὅτι οὐδὸς ἀρσενικῶς ἡ κοινῶς ὁδὸς ἐν τῷ, ὑρισφαλέ' ἔμμεναι οὐδόν, 'Οδ. ρ', 196. καὶ ὅτι ἐκ τοῦ ὁδὸς γέγονεν Αἰολικῇ ἐπενθέσει τοῦ υ. 1513, 53. 1815, 1. καὶ οὐδὸς αὔλειος τὸ πρόθυρον, τὸ καὶ πρόθυρα πληθυντικῶς λεγόμενον. 1395, 63.

οὐδὸς γήρως ἡ τοῦ γήρως εἴσοδος καὶ ἡ ἔξοδος, καὶ ἐπὶ γήραος οὐδῷ εἶναι λέγεται ὅ τε εἰς τὸ γῆρας εἰσβάλλων καὶ ὁ ὅσον οὔπω τοῦ τε γήρως καὶ βίου μέλλων ἐξιέναι. 1257, 1. 1360, 61.

οὖδωρ ἀντὶ τοῦ ὕδωρ προσλήψει τοῦ ο Βοιωτιακῶς. 23, 32. ζήτει ἐν τῷ, ου συλλαβή.

οὖθαρ ἀρούρης ἀντὶ τοῦ μασθὸς γῆς τροπικῶς, ἤγουν τὸ πιότατον καὶ τροφιμώτατον μέρος τῆς γῆς. 309, 29. 742, 16.

οὐθὲν ἀντὶ τοῦ οὐδὲν Αἰολικῇ τροπῇ τοῦ δ εἰς θ. 1841, 22.

οὐθέτερον ἀντὶ τοῦ οὐδέτερον τροπῇ τοῦ δ εἰς θ. 1570, 63.

οὐχ ἀπόφασις ὑπερθετικῷ παρατιθεμένη, οἷον ἐν τῷ οὐ κάκιστος καὶ οὐκ ἀφαυρότατος, ὅτι καθ' αὑτὸ οὐκ ἀντεισάγει τὸ ἀντικείμενον ὑπερθετικόν, ἀλλὰ δεῖ αὐτὸ προσθεῖναι μετὰ τοῦ ἀλλὰ συνδέσμου πρὸς ἐντέλειαν λόγου, ὡς ἐν τῷ, οὐ μέν μοι δοκέεις ὁ

κάκιστος Ἀχαιῶν ἔμμεναι, ἀλλ' ὥριστος, Ὀδ. ρ', 415. 1826, 26. 38.

οὐκ ἀρνητικὸν ἐπίῤῥημα ὅτι καὶ οὐκὶ λέγεται, καὶ ὅτι τὸ μονοσύλλαβον οὐκ οὐ γέγονεν ἐκ τοῦ οὐκὶ δισυλλάβου. 211, 33. ἀλλαχοῦ δὲ ὅτι τὸ οὐκὶ ἐπίῤῥημα καὶ χωρὶς τοῦ ι λέγεται, τὸ δὲ οὐχὶ οὐδαμοῦ χωρὶς τοῦ ι. 1085, 55.

οὐκ ἐν κόσμῳ φεύγειν, ἀντὶ τοῦ ἀτάκτως φεύγειν. 257, 31. ζήτει ἐν τῷ κόσμος.

οὐκ ἔσθ' ὅπως, ἀντὶ τοῦ οὐκ ἔσθ' ὅτι μεταληπτικῶς, ἑρμηνεία διεξοδική. 79, 31.

Οὐκαλέγων κύριον ὅτι ἐκ τῆς οὐκ ἀποφάσεως καὶ τοῦ ἀλέγειν σύγκειται. 395, 8. καὶ ὅτι Οὐκαλέγων οὐχ' ὁ παρ' Ὁμήρῳ, ἀλλ' ἕτερός τις ἀρχαιότερος γαμβρὸς Λαομέδοντος ἱστορεῖται. 349, 6.

οὐλαὶ αἱ κριθαὶ ὁμωνύμως ταῖς ἐκ τῶν τραυμάτων οὐλαῖς, ὅτι παρὰ τὸ ὅλαι ἤγουν ἀκέραιαι ἐσθίεσθαι πρὸ τοῦ εὑρεθῆναι τὸν ἀλετὸν οὕτως ἐκλήθησαν ἐπενθέσει τοῦ υ. 132, 36. κατὰ δὲ ἑτέρους οὐλαὶ ἀπὸ μέρους τὸ ἐξ ἁλῶν καὶ κριθῶν μίγμα, ὅθεν οὐλοχύται· καὶ ὅτι ὀξύνεται ἡ λέξις πρὸς διαστολὴν τῆς οὖλαι ἐπιθετικῆς εὐθείας τῶν πληθυντικῶν. 133, 8. 19. 1476, 12. 1725, 64. ζήτει τὸ οὐλοχύται.

οὖλαι κόμαι αἱ ἐστραμμέναι, παρὰ τὸ εἱλεῖν ἢ εἴλειν. 1561, 35.

οὐλαμὸς ποτὲ μὲν ἡ ἁπλῶς συστροφὴ τῶν στρατιωτῶν, ποτὲ δὲ ἀφωρισμένως σύστημα ἀνδρῶν τεσσαράκοντα. 469, 8. 13. 665, 14. ἀλλαχοῦ δὲ ὅτι οὐλαμὸς ἀνδρῶν τὸ σύστρεμμα καὶ πύκνωμα τοῦ λαοῦ, ἀπὸ τῆς ἀρκικῆς οὐλώσεως ἢ τῆς οὐλότητος τῶν συνεστραμμένων τριχῶν. 1199, 46.

οὖλε ἀντὶ τοῦ ὑγίαινε, ἀπὸ τοῦ οὔλειν, ὅ ἐστιν ὑγιαίνειν. 1965, 31.

οὔλειν τὸ ὑγιαίνειν, παρὰ τὸ ὅλον, ὃ δηλοῖ τὸ σῶον καὶ ὑγιές. 32, 32. 1965, 31.

οὐλή, τύλος ἢ τύπος θεραπευθέντος τραύματος. 455, 13. ἀλλαχοῦ δὲ ὅτι οὐλὴ ἡ κριθὴ καὶ τὸ ὑγιασθὲν τραῦμα ὀξυτόνως, οὔλη δὲ ἐπίθετον βαρυτόνως. 1169, 39. καὶ ἀλλαχοῦ δὲ ὅτι οὐλὴ παρὰ τὸ ὅλον λέγεται, ὡς ὁλωθέν τι τῷ ἕλκει ἐπιγινομένη· καὶ ὅτι ψιλοῦται ἡ λέξις διὰ τὴν Ἰωνικὴν ἐπένθεσιν τοῦ υ, καὶ ὅτι ὀξύνεται πρὸς διαστολὴν τοῦ οὔλη ἐπιθέτου. 1869, 20.

οὔλη θρὶξ ἡ συνεστραμμένη, παρὰ τὸ εἱλεῖν ἢ εἴλειν, ὃ δηλοῖ τὸ συστρέφειν, ὅθεν οὐλόθριξ σύνθετον. 164, 44. 1769, 35. καὶ ὅτι βαρύνεται ἡ λέξις πρὸς διαστολήν. 1169, 38.

οὔλη χλαῖνα ἡ ὑγιὴς παρὰ τὸ ὅλον, ἢ ἡ τριχωτὴ παρὰ τὸ οὖλον τῆς τριχός, ἢ ἡ εὔκλωστος παρὰ τὸ εἱλεῖν. 1482, 1. ἀλλαχοῦ δὲ ὅτι οὔλη χλαῖνα ἡ συνεστραμμένη καὶ εὔκλωστος ἢ ἡ ὅλη καὶ ὑγιὴς ἐν τῷ, οὔλην πορφυρέην, Ὀδ. τ', 225. ἢ οὔλην πορφυρέην ἀντὶ τοῦ ὁλοπόρφυρον. 1863, 32.

οὔλη Βοιωτικῶς ἢ κοινῶς ὕλη προσθέσει τοῦ ο. 23, 32.

οὔλιος ὁ ὑγιαστικὸς ἢ ὁ ὀλέθριος. 1087, 14. 1781, 19.

οὔλιος Ἀπόλλων ὁ ὑγιαστικός, παρὰ τὸ οὔλειν. 32, 32. 342, 1. 577, 44. ἀλλαχοῦ δὲ ὅτι οὔλιος Ἀπόλλων ὁ ὁλότητος, ὅ ἐστιν ὑγείας, ποιητικὸς ὡς ἰατρός. 1928, 10.

οὔλιος ἀστὴρ ἐπιθετικῶς λέγεται ὁ τοῦ Κυνὸς ὡς φθοροποιὸς διὰ τὰ ὑπ' αὐτὸν ὀλέθρια καύματα. 831, 5.

οὐλοβόρος ἔχις ὅτι παρὰ τὸ οὖλον, ὅ ἐστιν ὀλέθριον, λέγεται. 1057, 2.

οὐλόδετον καὶ οὐλοδέτης, σχοινίον ᾧ τὰ τῶν οὐλῶν, ὅ ἐστι κριθῶν, δράγματα ἐδέσμουν. 1162, 30. 33.

οὐλόθριξ ὁ οὔλας ἔχων τρίχας. 164, 45. 469, 14. ζήτει ἐν τῷ, οὔλη θρίξ.

οὖλοι τάπητες οἱ δασεῖς καὶ τριχωτοί, ἢ οἱ εὐείλητοι καὶ εὔκλωστοι. 1056, 63.

οὐλοκάρηνος ἀντὶ τοῦ οὐλόθριξ συνεκδοχικῶς. 1864, 9.

οὐλομένη ὅτι παρὰ τὸ οὖλον καὶ τὸ μένος λέγεται, ἢ οὐλομένη ἀντὶ τοῦ ὀλουμένη· καὶ περὶ τοῦ πότερον ἐνέργειαν ἢ πάθος ὑπαγορεύει ἐν τῷ, μῆνιν οὐλομένην, Ἰλ. α', 2. 15, 14. ἀλλαχοῦ δὲ ὅτι οὐλομένη ποτὲ μὲν ἐνεργητικῶς λέγεται ἀντὶ τοῦ ὀλεθρία, ποτὲ δὲ παθητικῶς ἀντὶ τοῦ παθοῦσα ὀλέθρια καὶ κακοδαίμων. 1846, 27. 33. καὶ ὅτι διὰ τοῦ, ἢ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν, ἑρμήνευται τὸ οὐλομένη ἐν τῷ, βάλε γαστέρος εἵνεκα λυγρῆς οὐλομένης, Ὀδ. ρ', 474. 1827, 18.

οὐλόμενον φάρμακον ἐπιθετικῶς ὅτι παρὰ τὸ ὄλλω λέγεται. 1662, 64.

οὐλόμενος ὁ ὀλέθρου αἴτιος ἢ ὀλέσθαι ἄξιος. 968, 8.

οὖλον ἀντὶ τοῦ ὅλον καὶ ὑγιές, καὶ οὖλον τὸ συνειλημμένον καὶ συνεστραμμένον. 469, 13. 1162, 43.

οὖλον κεκληγέναι λέγονται ψᾶρες ἢ κολοιοὶ παρ' Ὁμήρῳ ἀντὶ τοῦ συνεστραμμένον καὶ ὀξὺ διὰ δειλίαν ἢ ἀντὶ τοῦ σημαντικὸν τοῦ οἰκείου ὀλέθρου. 1126, 38.

οὖλος ἄνθρωπος καὶ οὐλὴ κόμη ἀντὶ τοῦ οὖλος καὶ οὔλη. 794, 29.

οὖλος ὄνειρος, Ἰλ. β', 6. ὁ ὀλέθριος ἢ ὁ ὑγιὴς καὶ τέλειος ἢ ὁ στρεβλὸς καὶ σκολιὸς διὰ τὴν ἀσάφειαν, παρὰ τὸ εἰλῶ, ὃ δηλοῖ τὸ συστρέφω. 164, 36—46.

ουλος ἄρτος ἀντὶ τοῦ ὅλος, ὅ ἐστιν ἀκέραιος, συνήθως δὲ οὖλος ὁ ὀλέθριος παρὰ ποιηταῖς. 164, 43. 1057, 1. 1823, 22. ἀλλαχοῦ δὲ ὅτι ἀντὶ τοῦ τέλειος διὰ τὸ στρογγύλον καὶ κυκλοτερὲς τοῦ σχήματος. 1816, 32.

οὐλοχύται, προθύματά τινα παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ἐξ οὐλῶν ἤγουν κριθῶν ἁλσὶ μεμιγμένων, ἅπερ εὐχαριστοῦντες ἢ εὐφορίαν οἰωνιζόμενοι οἱονεί τινας ἀπαρχὰς ἐπέχεον τοῖς βωμοῖς. 132, 22. καὶ διὰ τί τοὺς ἅλας παρεμίγνυον. 132, 43. 133, 13. ἕτεροι δὲ οὐλοχύτας τὰ κανᾶ ἐνόησαν, δι' ὧν οὐλαὶ ἤγουν αἱ κριθαὶ ἐχέοντο. 133, 18. ζήτει τὸ οὐλαί. ἀλλαχοῦ δὲ ὅτι εἰς πρόθυμα παρελαμβάνοντο οἱ οὐλοχύται παρὰ τοῖς Ἕλλησι πρὸς ὑπόμνησιν τῆς ἐξ ἀρχῆς τροφῆς τῶν ἀνθρώπων. 1476, 47.

Οὔλυμπος ὁ Ὄλυμπος Ἰωνικῇ ἐπενθέσει τοῦ ὔ. 38, 36.

οὖλω ἀντὶ τοῦ ὑγιαίνω, ῥῆμα σύστοιχον τῷ οὖλος ἤγουν ὅλος, ὅ ἐστιν ἀκέραιος. 1057, 1.

ουμαι λήγοντες μέλλοντες ἀπὸ βαρυτόνων θεμάτων Αἰολικῶς περισπασθέντα, οἷον ἐσοῦμαι, πεσοῦμαι, καθεδοῦμαι. 1710, 20.

ουν ληγόντων περισπωμένων ὀνομάτων μετουσιαστικῶν ἀπὸ μετάλλων παρωνυμουμένων σχηματισμὸς, ἐκ παραδείγματος. 828, 20.

ουν περισπώμενον λήγουσαι αἰτιατικαὶ τῶν εἰς ω ληγόντων τετραρτοκλίτων θηλυκῶν ὀξυτόνων, οἷον τὴν Ἰοῦν ἀντὶ τοῦ τὴν Ἰώ. 1526, 51.

οὖν μόριον ὅτι παρέλκει εἴτουν ἀργῶς πρόσκειται ἐν τῷ, ἐπεὶ οὖν, πολλαχοῦ παρ' Ὁμήρῳ. 468, 38. 915, 63. ἀλλαχοῦ δὲ ὅτι τὸ οὖν μόριον ἀντὶ τοῦ δὴ παραλαμβάνεται ἐν τῷ, ἐπεὶ οὖν. 1066, 35.

σὖν σύνδεσμος παραπληρωματικὸς πολλαχοῦ, οἷον ἐν τῷ, οὔτ' οὖν ἀγγελίης ἔτι πείθομαι, Ὀδ. α', 414. 1427, 13.

ουναι καὶ ειναι λήγοντα ἀπαρέμφατα εἰς ομεν καὶ εμεν μετασχηματιζόμενα, οἷον δοῦναι δόμεν, θεῖναι θέμεν· ἐξ ὧν ἑτέρα κίνησις διὰ τοῦ ομεναι, καὶ εμεναι, οἷον δόμεν δόμεναι, θέμεν θέμεναι. 70, 1.

οὕνεκα ἀντὶ τοῦ οὗ ἕνεκα, ὅ ἐστι διὰ τοῦτο, ὅτι ἐκ τοῦ οὗ ἕνεκα γέγονε κατ' ἔκθλιψιν τοῦ ε, καὶ ὅτι δασύνεται. 24, 15. 768, 19.

οὔνεσθε Ἰωνικῶς ἀντὶ τοῦ ὀνεῖσθε ἐν τῷ, ἢ οὔνεσθ' ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν, Ἰλ. ω', 241. 1347, 59. 1348, 6.

οὖνος, ἐθνικὸν ὄνομα, καὶ οὖνος ἀντὶ τοῦ ὁ ὄνος κατὰ συναλιφὴν παρ' Ἀριστοφάνει. 488, 8.

ουντι λήγοντα τρίτα πρόσωπα πληθυντικὰ ἐνεστώτων καὶ μελλόντων τῆς πρώτης καὶ τῆς τρίτης συζυγίας τῶν περισπωμένων Δωρικῶς ἐσχηματισμένα, οἷον ποιοῦντι καὶ ποιησοῦντι ἀντὶ τοῦ ποιοῦσι καὶ ποιήσουσι, ὁμοίως ὀρθοῦντι καὶ ὀρθωσοῦντι ἀντὶ τοῦ ὀρθοῦσι καὶ ὀρθώσουσι. 1557, 35.

οὔπω ἐπίῤῥημα ὅτι τοῦ παρῳχημένου χρόνου ἐστὶν ἀφοριστικὸν καὶ τοῦ μέλλοντος ἐπαγγελτικόν. 100, 20. 904, 40. ἀλλαχοῦ δὲ ὅτι οὔπω ἀντὶ ἁπλῆς ἀποφάσεως κεῖται πολλαχοῦ παρ' Ὁμήρῳ καὶ οὐκ ἐξ ἀνάγκης χρονικῶς ἀκούεται. 418, 11. 1159, 38.

οὔπω πᾶν εἴρητο, ἐλλιπῶς τοῦ ἔπος ἢ τινος ἄλλου τοιούτου. 1805, 5.

οὐρὰ ὁμωνύμως τὸ τοῦ ἀνδρὸς αἰδοῖον. 862, 42. 1821, 51.

οὐρὰ στρατοῦ καὶ φάλαγγος τὸ ὄπισθεν μέρος. 469, 40. 1185, 63.

οὖρα τὰ ὁρμήματα παρὰ τὸ ὀρούειν, ἢ τὰ διαστήματα παρὰ τὸν οὖρον ἤγουν ὅρον. 811, 9. καὶ οὖρα δίσκου τὰ ὁρμήματα, ὅτι καὶ δίσκουρα ἐν συνθέσει λέγεται παρὰ τὸ ὀρούω, καὶ ὅτι μεταπέπλασται τὸ οὖρον ἐκ τοῦ οὖρος. 1309, 33.

οὐραγὸς, οὐραγεῖν καὶ οὐραγία ὅτι παρὰ τὸ οὐρὰν λέγεσθαι φάλαγγος τὸ ὀπίσθιον μέρος λέγονται αἱ τοιαῦται λέξεις. 310, 1.

οὐραία ταὐτὸ ὅπερ οὐρὰ κατὰ παραγωγήν. 1758, 56.

οὐράνη ἡ ἀμὶς, παρὰ τὸ οὐρεῖν. 1828, 28.

οὐρανία, τρόπος τις τῆς διὰ σφαίρας παιδιᾶς, καθ' ὃν ἀναῤῥίπτων τις τὴν σφαῖραν καὶ ἀναπηδῶν ἐν τῷ καταφέρεσθαι αὐτὴν μετέωρος ἀνελάμβανεν. 1601, 25. 30.

οὐρανία αἶξ, παροιμία ἐπὶ τῶν δωροδοκούντων. 917, 49. ἀλλαχοῦ δὲ ὅτι οὐρανία αἶξ ἡ μεγάλη καὶ ὑψηλή. 1753, 23.

οὐρανίσκος ἡ ἐν τῷ ζωικῷ στόματι ὑπερῴα. 1004, 60.

οὐρανομήκης, ὅτι τὴν ἐλάτην τὸ δένδρον οὕτω καλεῖ Ὅμηρος ὑπερβολικῶς διὰ τὸ πάνυ πολὺ τοῦ ὕψους. 1532, 42.

οὐρανὸς παρ' Ὁμήρῳ ὁ ὑπὲρ τὰ νέφη ἀὴρ ὁ ἄχρι τῆς ζώνης τῶν πλανητῶν. 141, 8. 371, 30. 444, 11. 605, 4. 1011, 61. καὶ ἀλλαχοῦ ὅτι οὐρανὸς λέγεται παρ' Ὁμήρῳ ὁ ἀπὸ τῶν νεφῶν μέχρι τοῦ κατηστερισμένου τόπου διάστημα. 1550, 55. καὶ οὐρανὸς ἡ κεφαλὴ ἀλληγορικῶς ἐν τῷ, ἦλθε δ' Ἀθήνη οὐρανόθεν, Ἰλ. α', 195. 81, 27. καὶ οὐρανὸς ὁ καὶ οὐρανίσκος, ἤγουν ἡ ἐν τῷ ζωικῷ στόματι ὑπερῴα. 1004, 59. καὶ ἀλλαχοῦ δὲ ὅτι οὐρανὸς ὁ λιμνάζων ἀὴρ καὶ παχὺς, Ὄλυμπος δὲ τὸ ὄρος, αἰθὴρ δὲ ἡ ἄνω κυκλοφορία ἐν τῷ, ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω αἰθέρος ἐκ δίης, Ἰλ. π', 364. 1064, 25.

οὐρανοῦ ῥάχις, ὄνομα ἀκρωρείας τινὸς ἐν ταῖς Ἄλπεσι. 1390, 21.

ουργης ληγόντων ὀνομάτων ὀξυτόνων ἀναλογία, οἷον Λυκιουργὴς, Ναξιουργὴς, Κορινθιουργής. 907, 24.

οὐρεὺς ὁ ἡμίονος, παρὰ τὸ ὄρος Ἰωνικῇ ἐπενθέσει τοῦ υ, ἢ παρὰ τὸν οὖρον ἤγουν ἄνεμον διὰ τὸ τοῦ σπέρματος ἄκαρπον τῶν τοιούτων ζώων, καὶ οὐρεὺς ὁ φύλαξ ὁμωνύμως. 42, 10. 791, 17.

οὐρία πνοὴ ἐπιθετικῶς, καὶ οὐρία εἶδος ὀρνέου ῥυγχωτοῦ νήσσῃ παραπλησίου. 1452, 48. ἀλλαχοῦ δὲ ὅτι οὐ μόνον πνοὴ ἀνέμου οὐρία λέγεται, ἀλλά καί τι ἕτερον, ὅθεν ὀρίας τὰς Πλειάδας ἔφη Πίνδαρος. 1535, 56.

οὔρια ᾠὰ τὰ ἀνεμιαῖα, παρὰ τὸν οὖρον, ὃ δηλοῖ τὸν ἄνεμον. 42, 14.

ὑρίαχος, ὁ καὶ στύραξ καὶ σαυρωτὴρ, ὁ ἀντικείμενος τῇ αἰχμῇ σίδηρος, ὁ οἷον οὐρὰ τοῦ δόρατος. 799, 33. 941, 27.

οὐρίζειν τὸ ἐξ οὐρίων ἤγουν ἀδινῶν πνευμάτων πλεῖν, καὶ οὐρίσαι τὸ εἰς οὔριον ἀποκαταστῆναι. 661, 44. 1452, 46.

οὖρον ὅτι ἐκ τοῦ οὖρος ἀρσενικοῦ μεταπέπλασται, ὡς ἐκ τοῦ ζυγὸς τὸ ζυγόν. 1588, 54.

οὐροπύγιον, οἱονεὶ ὀροπύγιον, ἤγουν ὅρος τῆς πυγῆς. 906, 61. ἀλλαχοῦ δὲ ὅτι Ἰωνικῶς οὕτω δοκεῖ λέγεσθαι τὸ κοινῶς ὀροπύγιον, καὶ ζήτει τὸ ὀροπύγιον. 1871, 45.

ουρος λήγοντα δισύλλαβα ἁπλᾶ ὅτι βαρύνονται, οἷον κοῦρος, θοῦρος, πλὴν τοῦ οὐρὸς ὀξυνομένου πρὸς διαστολήν. 194, 23.

οὖρος τὸ ὄρος, καὶ οὖρος ὁ περιορισμός, καὶ οὖρος ὁ ἄνεμος παρὰ τὸ ὀρούω, ὅτι ἐξ ἐπενθέσεως Ἰωνικῆς ἔχουσι τὸ υ, καὶ ὅτι βαρύνονται πρὸς διαστολήν. 23, 28. 1871, 38. καὶ ὅτι ὁ μὲν ὅρος καὶ τὸ ὄρος ἰωνίζονται τῇ ἐπενθέσει τοῦ υ, ὁ δὲ τοῦ γάλακτος ὀρὸς καὶ ὁ ζωικὸς ὖρος οὐδὲν τοιοῦτον πάσχουσι. 488, 7. 1871, 41.

οὖρος ὁ ἄνεμος, παρὰ τὸ ὀρούειν, ὅ ἐστι παρορμᾶν καὶ προπέμπειν, τὴν ναῦν. 139, 2. 1500, 34.

οὖρος ὁ εὐδινὸς ἄνεμος, παρὰ τὸ ὀρούειν δι' αὐτοῦ τὴν ναῦν. 1452, 43. ἀλλαχοῦ δὲ ὅτι οὖρος ὁ σφοδρὸς καὶ ὁρμητίας ἄνεμος. 1773, 39. 1781, 47.

οὖρος ὁ ἔφορος καὶ φύλαξ, παρὰ τὸ ὁρᾶν. 700, 37. 887, 11. 1774, 32.

οὐρὸς ὀξυτόνως ὁ τόπος, ὅθεν ὀρούει ἡ ναῦς καθελκομένη εἰς θάλασσαν. 194, 20. 906, 47.

ους λήγοντα περισπώμενα ἐκ τῶν διὰ τοῦ οεις συνῃρημένα, οἷον πλακόεις πλακοῦς, σησαμόεις σησαμοῖς. 277, 13. 1114, 2.

ους λήγοντα ἐν ἁπλότητι ὅτι καὶ ἐν τῇ συνθέσει φυλάττει τὸ υ, οἷον ποὺς τρίπους, νοῦς σύννους. 496, 44.

οὖς ὠτός, ὅτι παρὰ τὸ αἴω τὸ ἀκούω γίνεται ὄας καὶ μεταθέσει καὶ κράσει ὦς ὠτός, ὃ συνήθως οὖς λέγεται. 1148, 52. ἀλλαχοῦ δὲ ὅτι τὸ οὖς ὄνομα ἐκ τοῦ οὔας συγκέκοπται. 1213, 47.

οὖς Ἀφροδίτης, ὅτι ὄστρεόν τι τροφιμώτατον ἐν τῇ κατ' Ἀλεξάνδρειαν Φάρῳ γινόμενον οὕτω λέγεται. 1821, 54.

οὐσιαστικὰ δύο κατὰ τὴν αὐτὴν πτῶσιν, ὧν θάτερον κατὰ τοῦ λοιποῦ λέγεται κατά τι σχῆμα λόγου, οἷον γυναῖκα μαζον, ἀντὶ τοῦ γυναικεῖον. 1339, 6.

οὐσιῶδες οὐδέτερον ἀρσενικῷ ἐπιθέτῳ ὑποκείμενον ἐν τῷ, τέκνον φίλε, παρ' Ὁμήρῳ. 1450, 54.

ουσσαι λήγουσαι εὐθεῖαι πληθυντικαὶ κατὰ νήσων τινῶν προσηγορικῶς λεγόμεναι, οἷον Λαγοῦσσαι, Πιθηκοῦσσαι, Πιτυοῦσσαι, ὅτι ἐκ τῶν διὰ τοῦ οεσσαι λεγομένων συνῄρηνται τὰ ὀνόματα, οἷον Λαγόεσσαι Λαγοῦσσαι, Πιθηκόεσσαι Πιθηκοῦσσαι. 306, 11.

οὖτα ὅτι ἐκ τοῦ οὔτασεν ἀπεκόπη, καὶ ὅτι προπερισπᾶται διὰ τὸ ἐκ τῆς ἀποκοπῆς βραχυκαταληκτεῖν. 505, 14. 858, 9. 1927, 17. 1930, 48.

οὔταε, προστακτικὸν ἀντὶ τοῦ οὔταζε, Ὀδ. χ', 356. 1930, 47.

οὐτάζειν τὸ ἐκ τοῦ ἐγγὺς πλήττειν. 1030, 27.

οὐτάμενοι γενικῷ ὀνόματι λέγονται παρ' Ὁμήρῳ οἵ τε τετρωμένοι καὶ οἱ βεβλημένοι. 1672, 16.

οὐτάσαι τὸ σχεδόθεν πατάξαι, βαλεῖν δὲ τὸ πόῤῥωθεν καθικέσθαι. 455, 10. 506, 18. 1020, 41.

οὔτ' οὖν, ἀντὶ τοῦ οὔτε δὴ παραπληρωματικῶς ἐν τῷ, οὔτ' οὖν ἀγγελίης ἔτι πείθομαι, Ὀδ. α', 414. 1427, 12.

οὔτι ἐν ἴσῳ τῇ οὐ ἀποφάσει, ὅτι περιττὸν ἔχει τὸ τι. 467, 16.

οὔτι πάρος γε, ἀντὶ τοῦ οὐκ ἐκ πολλοῦ ἐν τῷ, θυμός μοι ἐέλδεται οὔτι πάρος γε, Ὀδ. σ', 164. 1841, 62.

οὐτιδανὸς ὁ οὐδέν τι ὤν, παρὰ τὸ οὔτις πλεονασμῷ τοῦ δ ἢ τῆς δα συλλαβῆς. 106, 22. 29. 852, 24.

οὔτιδες παραλογισμοὶ εἴτουν σοφίσματα οὕτω καλούμενα ἐκ τοῦ Ὁμηρικοῦ ἐκείνου, Οὖτιν ἐγὼ πύματον ἔδομαι, Ὀδυσσ. ι', 369. 1634, 55.

Οὖτις, κύριον παρ' Ὁμήρῳ ἐκ τῆς οὐ ἀποφάσεως παρηγμένον. 395, 10. 1634, 55.

οὗτος αὕτη τοῦτο, δεικτικαὶ ἀντωνυμίαι, ὅτι καὶ ἀναφορικῶς περὶ ἀπόντων λέγονται πολλαχοῦ παρ' Ὁμήρῳ. 1409, 28. 1558, 22. 1961, 7.

οὗτος ἀνήρ, ὅτι οὕτως λέγομεν ὅταν οὐκ ὀνομάσαι θέλομεν ἢ πρὸς ἐξοχήν. 1142, 11.

ουττα λήγοντα θηλυκὰ προπερισπώμενα ἐκ τῶν διὰ τοῦ οεσσα συνῃρημένα Ἀττικῶς, οἷον μελιτόεσσα μελιτοῦττα, οἰνόεσσα οἰνοῦττα. 1735, 52.

οὕτω ὅτι ἐκ τοῦ οὕτως γέγονεν ἀποβολῇ τοῦ σ, καὶ ὅτι καὶ περισπωμένως οὗτω λέγεται Δωρικῶς. 630, 29.

οὐχ' ἀποφατικὸν ὅτι ἀντὶ τοῦ οὐκ τίθεται πρὸ δασυνομένου συμφώνου, καὶ ὅτι ἐκ τοῦ οὐχὶ λέγεται ἀποβολῇ τοῦ ι, διὸ καὶ ἀπόστροφον ἔχει ἐπὶ τοῦ χ, καὶ ὅτι τινὲς τῶν παλαιῶν ἀπαρέσκονται τούτοις. 211, 31. 809, 3. 1085, 53.

οὐχ' ἕδος καὶ οὐχ' ἕδρας ἀκμή, ἀντὶ τοῦ οὐκ ἔστι καιρὸς τοῦ ἕζεσθαι. 1295, 57.

οὐχ' ἥκιστα, ἀντὶ τοῦ μάλιστα. 1314, 26.

οὐχὶ ἀποφατικὸν, ὅτι τοῦ μὲν οὐχὶ ἀποβάλλεται τὸ ι κατὰ τὰς συναλιφάς, τοῦ δὲ οὐκὶ οὐδαμοῦ. 211, 31. ζήτει τὸ οὐχ'.

ουχος λήγονται προσηγορικὰ προπερισπώμενα, οἷς ἔγκειται τὸ ἔχω ἐν συνθέσει, ὅτι ὅταν διαλυθῶσιν οὐκέτι ταὐτὸν σημαίνουσιν, οἷον τὸ ῥάβδον ἔχειν οὐ ταὐτὸν τῷ ῥαβδοῦχος. 104, 23.

ὄφ, ἐπιφώνημα τῶν ἀλγούντων ἢ ἐκπληττομένων. 900, 27.

οφα καὶ οχα λήγοντες παρακείμενοι ὅτι μικτοί εἰσι, καὶ τὸ μὲν παραλῆγον ὁ ἐκ τοῦ μέσου ἔχουσι παρακειμένου, τὸ δὲ λῆγον σύμφωνον ἐκ τοῦ ἐνεργητικοῦ, οἷον κέκλοφα, κέκοφα, λέλογχα, ἐνήνοχα. 1687, 8. καὶ ὅτι τῶν διὰ τοῦ οφα ληγόντων μέσων παρακειμένων οἱ μὲν ἀναλόγως ἔχουσι τὸ φ ὡς ἀπὸ θεμάτων εἰς φω ληγόντων κεκινημένοι, οἷον τέτροφα, οἱ δὲ παραλόγως κατὰ συνεκδρομήν, οἷον κέκλοφα, κέκοφα. 1946, 47.

ὀφειλέτης καὶ ὀφειλέσιον ὅτι ἐκ περισπωμένου θέματος δοκοῦσι παρῆχθαι. 1751, 12.

ὄφεις Ἰδαῖοι ἐλάφους ἀναιροῦντες, ἱστορία. 697, 39.

ὄφελες καὶ ὄφελεν, πρόσωπα ῥηματικὰ εὐκτικῆς σημασίας, ὅτι κοινῶς μὲν διὰ τοῦ ω μεγάλου ἔχει τὴν ἄρχουσαν ἐν δυσὶ λ γραφόμενα, Ἰωνικῶς δὲ ἑνί τε λ γράφεται καὶ διὰ τοῦ ο μικροῦ ἔχει τὴν ἄρχουσαν πρὸς μέτρον χρείαν. 646, 8. ἀλλαχοῦ δὲ ὅτι ταὐτόν ἐστιν ὄφελες Ἰωνικῶς εἰπεῖν, ὡς εἰ καὶ ὤφειλες κοινῶς. 380, 23.

καὶ πάλιν ἀλλαχοῦ ὅτι τὸ ὄφελες καὶ ὄφελεν ἐκ τοῦ ὤφειλες καὶ ὤφειλε γεγόνασιν ἀποβολῇ τῆς αὐξήσεως καὶ τοῦ παραληκτικοῦ ι τῆς διφθόγγου. 380, 27. 783, 63.
ὀφέλλειε, τρίτον πρόσωπον ἀορίστου εὐκτικοῦ, ὅτι ἐκ τοῦ ὤφελα ὁριστικοῦ κεκίνηται. 1080, 12. 1448, 36.
ὀφέλλειν τὸ αὐξάνειν. 878, 44. καὶ ὀφέλλειν μῦθον τὸ πολυλογεῖν καὶ ληρεῖν. 1078, 50. καὶ ὅτι καὶ μένος ἢ προθυμία ὀφέλλεσθαι λέγεται παρ' Ὁμήρῳ. 1314, 12.
ὀφέλλιμος, ὄνομα παρὰ τὸ ὀφέλλειν λεγόμενον, ὅτι καὶ ὀφέλσιμος λέγεται Αἰολικῶς. 1472, 33.
ὀφέλλεσθαι λέγεται χρέος, Ὀδ. γ', 367. ἀντὶ τοῦ ὀφείλεσθαι ἢ ἀντὶ τοῦ αὔξεσθαι διὰ τὸν τόκον. 1472, 28.
ὄφελμα τὸ σάρωτρον, ὅτι παρὰ τὸ ὀφέλλω, ὅ ἐστιν αὔξω, ἀντιφραστικῶς λέγεται. 1887, 34.
ὄφελον κατ' εὐκτικὴν σημασίαν λεγόμενον ἐν τῷ, ὡς δὴ ἔγωγ' ὄφελον μάκαρός νύ τευ ἔμμεναι υἱός, Ὀδ. α', 217. ὅτι ἐκ τοῦ ὤφειλον κατ' Ἰωνικὴν ἀναύξησίαν καὶ ἀποβολὴν τοῦ ι λέγεται. 1412, 37.
ὄφελος ὅτι παρὰ τὸ ὀφέλλω, ὅ ἐστιν αὔξω, λέγεται. 1314, 13.
ὀφέλσιμος Αἰολικῶς ἀντὶ τοῦ ὀφέλλιμος, ζήτει τὸ ὀφέλλιμος. 1472, 33.
Ὀφέλτης, ὄνομα τοπικὸν παρὰ Λυκόφρονι, Ὀφέλτιος δὲ κύριον παρ' Ὁμήρῳ. 845, 38.
ὄφεων καταδύσεις, ὅτι χειαὶ καὶ εἰλυοὶ καὶ τρόχμαλοι καὶ αἱμασιαὶ πολυωνυμικῶς λέγονται. 1259, 33.
ὀφθαλμοὶ ὅτι αἰδοῦς εἰσὶν οἰκητήριον. 923, 17. καὶ ὅτι οἱ τῶν εἰς ἄκρον θυμουμένων ὀφθαλμοὶ πυρὶ λάμποντι εἰκάζονται παρ' Ὁμήρῳ. 1080, 12. καὶ ὅτι δι' ὀξυωπίαν καὶ περιεργίαν πολυόφθαλμοί τινες γεγονέναι ἐμυθεύθησαν. 1504, 56. καὶ ὅτι ὀφθαλμοὶ ὁμωνύμως ἐκαλοῦντο καὶ οἱ τοῖς δειπνοῦσι λύχνους καὶ θρυαλλίδας παρέχοντες. 1850, 23. καὶ ὅτι τυφλὸν ἔπαινον γυναικὸς εἴρηκέ τις, καθ' ὃν μηδὲν περὶ τῶν ὀφθαλμῶν αὐτῆς εἴρητο. 1558, 17. καὶ ὅτι ὀφθαλμοῖσιν ἰδεῖν πρὸς διαστολὴν λέγεται τοῦ κατὰ φαντασίαν ἰδεῖν πολλαχοῦ παρ' Ὁμήρῳ. 376, 38. 1662, 22.
ὀφθαλμὸς ὅτι παρὰ τὸ ἄλλεσθαι ἐξ αὐτοῦ τὸ ὀπτικὸν λέγεται, οἱονεὶ ὀπταλμός. 1392, 40.
ὀφθαλμὸς ποταμοῦ, ὅτι ἀκύρως ἂν λεχθείη ὀφθαλμὸς ποταμοῦ, ὡς καὶ στόμα ποταμοῦ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου. 160, 18. καὶ ὅτι καὶ ὀφθαλμοὶ τριήρεων ὀπαί τινες ἐν ταῖς τριήρεσι τροπικῶς λέγονται. 1931, 44.
ὄφις ὅτι κοινῶς μὲν παρὰ τὸ ὄπτω ὦφα ἐτυμολογεῖται, κατὰ δέ τινας ἀπὸ τοῦ ὄφ ἐπιφωνήματος ἐκπληκτικοῦ. 900, 26.
ὄφλω ὅτι ἐκ τοῦ ὀφείλω συγκέκοπται, καὶ ὅτι ὄφλειν τις λέγεται ἐπὶ δίκῃ, ὀφείλειν δὲ τὸ ἁπλῶς, καὶ ὄφλειν γέλωτα τὸ κατὰ δίκης λόγῳ τοῦτο πάσχειν. 1751, 12.
ὄφρα ἀντὶ τοῦ ἕως καὶ εἰσόκε. 578, 23. 1775, 6.
ὀφρύες ὅτι παρὰ τὸ τὴν ὄψιν ῥύεσθαι, ὅ ἐστι φυλάσσειν, λέγονται. 144, 42. καὶ ὅτι ἐκ τῶν τοῦ ἀνθρώπου ὀφρύων, διάλυσις προσώπου καὶ σκυθρωπότης διαφαίνεται. 1538, 12. ὅθεν ὀφρύων νέφωσιν εἶπέ τις τὴν σκυθρωπότητα. 144, 37. καὶ ὅτι καὶ ὀρειναί τινες ἐξοχαὶ ὀφρύες λέγονται τροπικῶς. 145, 8. 308, 35. 1201, 10.
ὀφρύεσθαι καὶ ὀφρυᾶσθαι ἐπὶ τοῦ αὐτοῦ, ὅτι παρὰ τὴν ὀφρὺν λέγονται. 298, 15.
ὀφρυόεσσα Ἴλιος ἐπιθετικῶς ἡ ἐπὶ ὀφρυώδους τόπου κειμένη. 1277, 3.
ὀφρῦς αἱ ὀρειναὶ ἐξοχαὶ τροπικῶς. 145, 8. 308, 35. 1201, 10.
οχα καὶ οφα λήγοντες παρακείμενοι ὅτι μικτοί εἰσι, καὶ τὸ μὲν παραλῆγον ὁ ἐκ τοῦ μέσου ἔχουσι παρακειμένου, τὸ δὲ λῆγον σύμφωνον ἐκ τοῦ ἐνεργητικοῦ, οἷον κέκλοφα, κέκοφα, λέλογχα, ἐνήνοχα. 1687, 8.
ὄχα ἀντὶ τοῦ ἐξόχως κατ' ἔλλειψιν τῆς ἐξ προθέσεως. 54, 42. ὅθεν τὸ ὄχ' ἄριστος ἐν ἴσῳ τῷ μέγ' ἄριστος πολλαχοῦ παρ' Ὁμήρῳ. 342, 32. καὶ ὅτι τὸ ὄχα ὡς καὶ τὸ ἔξοχα παρὰ τὸ ἔχω ἔξω λέγονται. 1528, 29.
ὄχανα ἀσπίδων οἱ λεγόμενοι πόρπακες δι' ὧν αἱ ἀσπίδες ἔχονται, ὅ ἐστι κρατοῦνται. 152, 28. 243, 35. 425, 43. 707, 59. 905, 52. καὶ ὅτι τὰ τῶν ἀσπίδων ὄχανα Καρῶν εἰσὶν εὕρεμα. 367, 24.
ὀχέειν οἰζὺν ἀντὶ τοῦ ὀχεῖν, ὅ ἐστι φέρειν καὶ βαστάζειν, ὁμοίως τῷ νηπιάας ὀχέειν, ἤγουν βαστάζειν νηπιότητας, ὅτι ἐκ μεταφορᾶς τῶν ἀχθοφορούντων λέγεται. 1577, 43. 1932, 62. καὶ ὀχεῖν ἄτην ὁμοίως ἀντὶ τοῦ βαστάζειν οἷά τι ἄχθος. 1910, 63.
ὀχέεσκον ἀντὶ τοῦ ὤχουν, ἤγουν ἔφερον καὶ ἐβάσταζον. 1704, 6.
ὀχεῖν τὸ φέρειν καὶ βαστάζειν, καὶ ὀχεῖσθαι παθητικῶς τὸ φέρεσθαι καὶ βαστάζεσθαι. 814, 34. 1418, 60. 1704, 6.
ὀχεῖσθαι λέγεται ἄνθρωπος ἐφ' ἵππον, καὶ ὀχεῖσθαι λέγεται ἵππος, ἤγουν ὑπὸ ἀναβάτῃ γίνεσθαι. 1096, 14. ἀλλαχοῦ δὲ ὅτι ὀχεῖσθαι τὸ ἐπὶ ὄχου, ἤγουν ἅρματος, φέρεσθαι κυριολεκτικῶς· ὀχεῖσθαι δέ τις κύμασι μεταφορικῶς λέγεται, οἷον ἐν τῷ, ὀχήσατο κύμασιν Ἑρμῆς, Ὀδ. ε', 54. 1523, 13.
ὀχετηγὸς ἄνθρωπος ὁ τῷ ὕδατι τὸν ῥοῦν ὁδηγῶν. 1236, 11.
ὀχεὺς ὅτι παρὰ τὸ ἔχειν λέγεται, καὶ ὅτι καὶ πυλῶν ὀχεὺς λέγεται, καὶ περικεφαλαίας καὶ ζωστῆρος. 425, 41. 454, 22.
ὀχεὺς πυλῶν ὁ τῆς θύρας μοχλός, ὅ ἐστι ξύλον συνέχον κεκλεισμένας τὰς θύρας, ὅτι παρὰ τὸ ἔχειν λέγεται. 895, 46. 914, 23. 1358, 61.
ὀχεὺς περικεφαλαίας ὁ συνέχων τὴν περικεφαλαίαν ἱμάς. 425, 41.
ὀχῆες ζωστῆρος, κρίκοι τινὲς οἷς διόλου συνείχετο ὁ στρατιωτικὸς ζωστὴρ πρὸς τὸν θώρακα. 453, 35. 1215, 1.
Ὄχη, ὄρος τῆς Καρυστίας χώρας ἐν Εὐβοίᾳ, ὅτι παρὰ τὸ ἐξέχειν λέγεται, ἢ παρὰ τὴν τοῦ Διὸς καὶ Ἥρας ὀχείαν. 54, 43. 279, 2. 280, 42. 1385, 32.
ὀχὴ ὀξυτόνως ἡ τροφή, παρὰ τὸ

ἔχειν εἴτουν συνέχειν τὸ σῶμα. 86,13. 159,39. 280,45.

ὄχθαι θαλάσσης ἀκύρως ἀντὶ τοῦ αἰγιαλοί. 1619,54.

ὄχθαι τάφρου τὰ χείλη καὶ αἱ ἀνασκαφαί. 1019, 60.

ὀχθεῖν τὸ ἄχθεσθαι καὶ ὑψοῦν θυμὸν, παρὰ τὸν ὄχθον, ὃ δηλοῖ ἐπανάστημα. 143, 13. 150, 36.

ὀχθέω ὀχθῶ, ἄχθομαι ἢ μετεωρίζομαι ἢ βαρύνομαι, παρὰ τὸ ἄχθος ἢ τὸν ὄχθον, ὅτι καὶ ὀχθίζω λέγεται. 709, 7. 1007, 47.

ὄχθη καὶ ὄχθος ὅτι παρὰ τὸ ἔχειν εἴτουν ἐξέχειν λέγονται πλεονασμῷ τοῦ θ. 424,17. 1385,32.

ὄχθος, τοπικὸν ἐπανάστημα, ὅθεν ὀχθεῖν τὸ δεινοπαθεῖν καὶ λυπεῖσθαι, καὶ ὀχθίζειν καὶ προσόχθισμα. 143, 15.

ὀχλεῖν καὶ ὀχλίζειν τὸ τῆς ὀχῆς εἴτουν συνοχῆς λιάζειν, ἤγουν χωρίζειν, τουτέστι μετακινεῖν. 1944, 20.

ὀχλεῖσθαι λέγονται ψηφῖδες ποτάμιαι, οἱονεὶ καχλάζειν, ἐν τῷ, τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι ὀχλεῦνται, Ἰλ. φ', 260. 1236,2

ὀχλίζειν καὶ ἀνοχλίζειν τὸ μετακινεῖν, ὅτι παρὰ τὸ ὀχλεῖν λέγονται· ζήτει τὸ ὀχλεῖν. 1365, 49. 1944, 21.

ὀχλικὸν τὸ κοινὸν καὶ πολυτελὲς, οἷον ὑποδοχὰς ἐποιοῦντο καθ' ἡμέραν ὀχλικάς. 1236, 5.

ὀχλοκρατία ἡ μὴ κατὰ νόμον δημοκρατία, ἀναλογοῦσα τῇ κατὰ τυραννίδα μοναρχίᾳ. 202, 20.

ὄχλος ἄνθρωπος ὁ τοῦ ὄχλου εἴτουν ἀγοραῖος. 192, 14.

ὀχμάζειν ἐν ἴσῳ τῷ ἐχμάζειν, ὅ ἐστι κωλύειν καὶ ἐπέχειν εἴτουν κατέχειν καὶ αἱρεῖν. 904, 5. ἀλλαχοῦ δὲ ὅτι ὀχμάζειν τὸ συνέχειν, καὶ ὅτι παρὰ τὸ ἔχειν γίνεται ἔχμα καὶ ὀχμὸς, ὅθεν τὸ ὀχμάζειν. 998, 14.

— οχμος ληγόντων ὀνομάτων ἀναλογία, οἷον πλοχμὸς, συνοχμός. 1528, 23.

ὄχοι ἢ ὀχοὶ νεῶν οἱ λιμένες κατ' ἐπίθεσιν λέγονται, ἤγουν φυλακτικοὶ καὶ συνεκτικοὶ, ἢ ἐφ' ὧν αἱ ναῦς ὀχοῦνται. 1540, 22.

ὄχος ὅτι ἀρσενικῶς καὶ οὐδετέρως λέγεται, ὡς καὶ ὁ σκότος καὶ τὸ σκότος καὶ ἄλλα τινά. 432, 16.

ὀχοῦμαι ἐγὼ αὐτοπαθῶς, ὀχῶ δὲ ἄλλον ἀντὶ τοῦ εἰς ὄχον ἀναβιβάζω. 210, 41.

ὀχυρώτατος ὅτι ἐκτείνει τὴν προπαραλήγουσαν συλλαβήν. 1526, 8.

ὀχῶ ἕτερον, ὀχοῦμαι δὲ ἐγώ. 210, 41. 1436, 35. ζήτει τὸ ὀχοῦμαι.

ὄψ ἡ ἀνθρωπίνη καὶ εὔκοσμος φωνή. 97, 34. 370, 24. καὶ ὄψ ὀπὸς ταὐτὸ ὅπερ κληδών. 964, 64. καὶ ὅτι ἡ ὄψ λέξις ὑποτασσομένη ἐν παραθέσει τῷ ὦψ ποιεῖ τὸ ὦ ὄψ, φθέγμα ὃν τῶν ἀφιέντων τινὰς ἅμα τρέχειν. 855, 23.

ὄψα τὰ τοῦ σίτου ἡδύσματα, ὅτι παρὰ τὸ ὀψέ ποτε εἰς χρῆσιν ἐλθεῖν τοῖς ἀνθρώποις τὰ τοιαῦτα ἐπὶ τρυφῇ, οὕτως εἴρηται τοὔνομα, ἑρμηνεία διεξοδική. 1477, 40.

ὀψάριον, ὑποκοριστικῷ τύπῳ ἐπὶ ἰχθύος ἀφωρισμένως, ἁπλῶς δὲ ἐπὶ παντὸς προσοψήματος. 867, 55. 63. ἀλλαχοῦ δὲ ὅτι ὀψάρια οἱ ἰχθύες ἰδίως κατά τινα ἐξοχήν. 1477, 46.

ὀψὲ ὅτι οὐκ ἀεὶ τὸ μετὰ πολὺ τῆς τοῦ ἡλίου δύσεως, ἀλλὰ καὶ ἁπλῶς τὸ μετὰ πολὺν χρόνον σημαίνει. 1729, 59. καὶ δείελος ὀψὲ δύων, ἀντὶ τοῦ δείλη ὀψία, Ἰλ. φ', 232. 1235, 4 8.

ὀψείειν τὸ ὀπτικῶς ἔχειν εἴτουν ἐφίεσθαι ὄψεως. 162, 9. 966, 3.

ὄψι ἐπίῤῥημα ἀντὶ τοῦ ὀψὲ, ὅθεν καὶ γέγονε κατ' ἐπέκτασιν. 45, 3. ζήτει τὸ ὀψιμαθής.

ὀψίγονοι οἱ ὀψὲ εἰς τὸ μέλλον γενησόμενοι. 1418, 62.

ὀψιμαθὴς παρὰ τὸ ὄψι ἐπίῤῥημα, ὃ δηλοῖ τὸ ὀψέ. 45, 3.

ὄψον, ἐτυμολογία καὶ πνεῦμα, καὶ ὅτι ὄψον ἁπλῶς πᾶν προσόψημα εἴτουν προσφάγιον, ἀφωρισμένως δὲ ἐπὶ ἰχθύος. 867, 46. 52. 63. 868, 2. 1201, 6. ζήτει τὸ ὄψα.

ὀψοφαγεῖν τὸ παρὰ τὸ δέον ὄψοις χρῆσθαι. 867, 59.

ὀψοφάγοι οἱ περὶ τὰ ἰχθυοπωλεῖα ἀναστρεφόμενοι, διὰ τὸ ὄψα κατ' ἐξοχὴν λέγεσθαι τοὺς ἰχθύας. 867, 63.

— οω ληγουσαι γενικαὶ ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὸ παραλῆγον ο, οἷον τὸ Ἄθοω ἐν τῷ, ἐξ Ἄθοω δ' ἐπὶ πόντον ἐβήσατο, Ἰλ. ξ', 229. ἐν δὲ τῷ Πετεῶο καὶ τοῖς ὁμοίοις κατὰ τὴν λήγουσαν γέγονεν ὁ πλεονασμός. 1830, 60.

— οω καὶ εω λήγοντα ῥήματα ὅτι ἄλλο μὲν κατὰ τὴν πρώτην, ἄλλο δὲ κατὰ τὴν τρίτην συζυγίαν τῶν περισπωμένων κλινόμενα σημαίνουσιν, οἷον τὸ δηλόω διαφέρει τοῦ δηλέω. 70, 21.

— οω ῥήματα καὶ οων μετοχαὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, τριτοζύγων τύπον ἔχοντα διὰ ποιητικὴν ἐπένθεσιν τοῦ ο, οἷον ὁράω ὁρῶ καὶ ὁρόω, ὁράων ὁρῶν καὶ ὁρόων. 30, 38. 115, 42. 223, 46.

— οως βαρύτονα ὀνόματα ἐκ τῶν εἰς ως περισπωμένων ἐπενθέσει τοῦ ο γενόμενα, οἷον Κῶς Κόως, φῶς φόως. 171, 16. 622, 1. 980, 50.

Ἀρχὴ τοῦ Π στοιχείου.

Πᾶα ἀντὶ τοῦ πᾶσα κατὰ γλῶσσαν. 844, 7.

Πάγγαιον, ὄρος Παιονίας τεῖνον πρὸς μεσημβρίαν εἰς τὸν Στρυμόνα ποταμόν. 359, 38.

παγὶς ἔτι παρὰ τὸ πρὸς θήραν πεπηγέναι οὕτω λέγεται. 742, 39.

Παγκράτης, ποιητὴς Ἀλεξανδρεὺς παρ' Ἀδριανῷ τῷ αὐτοκράτορι, ἱστορία. 1616, 58.

πάγοι, πετρώδεις ἐξοχαὶ ἢ εἰς ὕψος ἀνέχουσαι ὀξεῖαι πέτραι. 1540, 33.

πάγος, ὀξύτης ὀρεινὴ ὁμωνύμως τῷ παγετῷ, ὅτι παρὰ τὸ πεπηγέναι λέγεται. 742, 40.

πάγουρος, ὅτι τὸ γεροντικὸν δέρμα πάγουρον ὁμωνύμως ὁ Λυκόφρων καλεῖ. 762, 25.

πάγχυ μάλα, ὅτι ἐκ ταὐτοδυνάμων συνέστηκεν, ὡς καὶ τὸ λίαν πάνυ, καὶ ὅτι ταῦτα ἐκ παραλλήλου σημαίνει. 897, 41. 972, 46. 1924, 14.

παθεῖν ὅτι πλατύτερόν ἐστιν ἢ τὸ μογῆσαι, ἐπεὶ καὶ περὶ ἡδέων καὶ μέσων λέγεται. 967, 31.

τοῦ παιώων γέγονεν, ὃ δηλοῖ τὸν θεραπευτικὸν, ὑφαιρέσει τοῦ ᾱ. 1275, 42.

Παίων Παίονος ἐθνικὸν, παίων δὲ παίοντος μετοχὴ, Παιὼν δὲ Παιῶνος ὁ ἰατρὸς τῶν θεῶν. 138, 12. 1109, 21.

παιωνία, εἶδος βοτάνης, καὶ παιωνία χεὶρ ἐπιθετικῶς ἡ θεραπευτικὴ, Παιονία δὲ ἡ χώρα. 138, 10. 18.

παιωνίζειν ταὐτὸ ὅπερ παιανίζειν, ζήτει τὸ παιὰν καὶ παιανίζειν. 137, 43. ἀλλαχοῦ δὲ ὅτι τὸ παιωνίζειν ἐκ τοῦ παιηονίζειν γέγονε κράσει τοῦ η̄ καὶ ō εἰς ω̄. 1109, 24.

πακτόω πακτῶ, τὸ κατασφαλίζω. 742, 42. 1532, 58.

Πακτωλὸς ποταμὸς ὅτι ἀπὸ Τμώλου τοῦ ὄρους ἄρχεται καὶ εἰς τὸν Ἕρμον ἐκβάλλει, ἱστορία. 366, 21. 24. 1212, 24. 64.

πακτῶσαι δῶμα τὸ συγκλεῖσαι καὶ ἀσφαλίσαι. 1937, 62.

παλάθη, ὅτι οὕτω λέγεται ἡ τῶν ἰσχάδων ἐπισύνθεσις. 1399, 30. 1914, 50.

πάλαι ἐπίῤῥημα ὅτι καὶ τοῖς προσφάτως γενομένοις ἐπιλέγεται. 702, 3. καὶ ἀλλαχοῦ ὅτι τὸ πάλαι οὐ μόνον τὸ ἀφ᾽ ἱκανοῦ χρόνον, ἀλλὰ καὶ τὸ πρὸ ὥρας ἢ στιγμῆς. 770, 7. 1313, 16. 1892, 57. καὶ πάλιν ἀλλαχοῦ ὅτι τὸ πάλαι ἐπὶ ὀλιγίστου χρόνου ἀντὶ τοῦ πρότερον ἐν τῷ, ἀτὰρ δὴ ὀϊστὸν ἔχων πάλαι ὡς ἴθυνεν, Ἰλ. ψ', 871. 1334, 25. καὶ ὅτι τὸ λαι βραχὺ ἔχει, ὡς δῆλον ἐκ τοῦ πρόπαλαι. 1058, 7.

πάλαι καὶ παλαιὸς ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὸ ῑ τῆς διφθόγγου. 1859, 54.

παλαιμοσύνη χωρὶς τοῦ σ̄ ἀντὶ τοῦ παλαισμοσύνη. 1543, 32.

Παλαίμων, ὁ πρότερον Μελικέρτης, υἱὸς Ἰνοῦς, τῆς καὶ Λευκοθέας, καὶ Ἀθάμαντος· καὶ ὅτι παρὰ τὸ παλαίειν λέγεται τοὔνομα, ἐτυμολογία διεξοδικὴ, καὶ ἱστορία διεξοδικὴ περὶ Ἰνοῦς καὶ Ἀθάμαντος. 1325, 3. 1543, 23.

παλαιομαγάδις, ὁ καὶ μαγάδις ἁπλῶς, ἔστι δὲ εἶδος αὐλοῦ ὀξὺν ἅμα καὶ βαρὺν φθόγγον ἐπιδεικνυμένου. 1157, 42.

παλαιόντων ἐπίφθεγμα τὸ, ἤ μ᾽ ἀνάειρε ἢ ἐγὼ σέ. 1327, 2.

παλαιὸς φὼς, λίαν γέρων ἄνθρωπος, Ἰλ. ξ', 136. 972, 25.

Παλαιπερκώτη ἐν συνθέσει, ὄνομα πόλεώς τινος, ἧς ὁ πολίτης Παλαιπερκώσιος. 356, 35.

Παλαίσκηψις, πόλις δωρηθεῖσα Θεμιστοκλεῖ ὑπὸ τοῦ Περσῶν βασιλέως, ἱστορία· ζήτει τὸ, Σκῆψις πόλις.

πάλαισμα Θετταλὸν πρὸς ὁμοιότητα τοῦ σόφισμα Θετταλόν. 331, 39. ζήτει τὸ, Θετταλὸν σόφισμα.

παλαισμοσύνη ἡ παλαιστικὴ τέχνη. 1325, 46. καὶ ὅτι καὶ παλαιμοσύνη χωρὶς τοῦ σ̄ γράφεται. 1325, 1.

παλαιστὴ θηλυκῶς καὶ παλαιστὴς ἀρσενικῶς, τὸ τρίτον τῆς σπιθαμῆς, ἤγουν τὸ τετραδάκτυλον τῆς χειρὸς διάστημα. 450, 38. 896, 60. 1415, 24.

παλαιστικῶν μηχανῶν καὶ σχημάτων τινῶν ἔκφρασις διεξοδική. 1327, 8. 12.

παλαίφατα θέσφατα, ἤγουν παλαίτατοι χρησμοί. 1737, 57.

Παλαίφατος, μύθων ἀλληγορητὴς, καὶ παλαίφατος ἐπίθετον ὁμωνύμως τῷ κυρίῳ· καὶ ὅτι Παλαίφατος παροιμιακῶς λέγεται πᾶς ὁ τὰ ἀπίθανα πιθανολογῶν. 1859, 43. καὶ ὅτι Θαλείας τῆς Μούσης υἱὸς ἱστορεῖταί τις Παλαίφατος. 817, 31.

παλάμαι Βριάρεω, πίδακές τινες οὕτω καλούμεναι, ἱστορία· ζήτει ἐν τῷ, Βριάρεω τάφος. 123, 38.

Παλαμήδης, υἱὸς Ναυπλίου, ὅτι πεττείαν κυβείαν ἐπενόησεν εἰς ψυχαγωγίαν τῶν ἐπὶ Τροίαν Ἑλλήνων, ἱστορία· ὅθεν καὶ Παλαμήδειον ἀβάκιον λέγεται. 228, 1. 1396, 61.

παλαμναῖος ἄνθρωπος ὁ ἔχων παλαμᾶσθαι, ἐναντίον τῷ ἀπάλαμνος· καὶ παλαμναῖος ὁ αὐτόχειρ καὶ μιάσματι ἔνοχος, καὶ παλαμναῖος Ζεὺς ὁ τοὺς τοιούτους κολάζων, καὶ ὅτι καὶ παλαμναία ἀσπὶς εἶδός τι θηρίου λέγεται. 586, 2.

παλάσσειν ἐπὶ τοῦ λαγχάνειν καὶ κληροῦσθαι, παρὰ τὸν πάλον, ὃ δηλοῖ τὸν κλῆρον. 674, 10. 1631, 38. καὶ παλάσσειν τὸ ἀναδεύειν καὶ φύρειν καὶ μολύνειν, παρὰ τὴν πάλην, ὅ ἐστι τὸ λεπτότατον τοῦ ἀλεύρου, ὅθεν ἡ παιπάλη καὶ τὸ παλύνειν. 786, 23. 1631, 38. 1743, 60. ἀλλαχοῦ δὲ ὅτι τὸ παλάσσειν παρὰ τὸ πάσσειν λέγεται πλεονασμῷ τῆς α̅λ̅ συλλαβῆς. 527, 14.

παλαστεῖν τῷ τῇ παλαιστῇ τῆς χειρὸς ὠθεῖν. 1415, 22.

παλεὸς ὁ μάταιος, παρὰ τὸ ἠλεὸς ἐκτάσει καὶ προσθήκῃ τοῦ π̄. 1443, 64.

πάλη τὸ λεπτότατον τοῦ ἀλεύρου καὶ ἡ τέφρα, ὅθεν ἡ παιπάλη. 786, 23. 898, 6.

πάληκες παρ᾽ Ἀθηναίοις, ὅτι παρὰ τὸ πάλλακες, ὃ δηλοῖ τοὺς νέους, δοκεῖ λέγεσθαι τοὔνομα. 1742, 38.

πάλης τρόπος ἐφ᾽ Ὁμήρου, καὶ σχῆμα τῶν παλαιόντων, ἑρμηνεία διεξοδική. 1326, 63.

παλιγγενεσία, δόξα Πυθαγορικὴ τοῦ πάλιν γίνεσθαι τοὺς ἀνθρώπους. 1838, 50.

παλίλλογα τὰ ἐξ ὑπαρχῆς συναγόμενα, παρὰ τὸ λέγειν εἴτουν συλλέγειν· καὶ ὅτι τὸ πρότερον λ̄ τῆς λέξεως ἐκ τοῦ ληκτικοῦ ν̄ τοῦ πάλιν ἐπιῤῥήματος τέτραπται. 65, 5.

παλιλλογίας παράδειγμα τὸ, Ἄρες Ἄρες, Ἰλ. ε', 31. 518, 18.

παλιμβακχεῖος ἢ παλιμβάκχειος προπαροξυτόνως, ποὺς μετρικὸς ἐκ δύο μακρῶν καὶ βραχείας ἀνάπαλιν τῷ βακχείῳ. 1551, 54.

παλίμβολος δοῦλος ἐπιθετικῶς, ὃν πάλιν καὶ πάλιν οἱ τῶν ἀνδραπόδων μεταβολεῖς συνήλλαξαν. 1405, 8.

παλιμπετὲς ἀπονέεσθαι, Ὀδ. ε', 27. ἀντὶ τοῦ παλιμπετεῖς, ὅ ἐστιν ἀνάπαλιν πεσόντες τοῦ σκοποῦ· καὶ ὅτι καὶ ἐπιῤῥηματικῶς ἔστιν ἀκούειν τὸ παλιμπετὲς, καὶ ὅτι ὀξύνεται ἡ λέξις. 1520, 56.

παλιμπετὴς ὁ ἑαυτῷ περιπίπτων καὶ ἐναντιούμενος, καὶ παλιμπετὲς ἐπιῤῥηματικῶς ἀντὶ τοῦ εἰς τὸ ὀπίσω καὶ ἔμπαλιν. 1066, 38—63.

παλιμπλαγχθῆναι, ἐκ δευτέ-

ρου πλανηθῆναι ἢ ὀπίσω μάτην ἀπονοστῆσαι. 46, 35. 47, 10.

πάλιν τὸ ἔμπαλιν εἶπον ἀνάπαλιν, καὶ τὸ ὀπίσω καὶ τὸ ἐξ ἀρχῆς καὶ τὸ ἐκ δευτέρου. 46, 45. 47, 2. 62, 8. 1575, 3. 1740, 36. καὶ πάλιν ἐρέει, Ἰλ. ι', 56. ἀντὶ τοῦ ἔμπαλιν ἐρεῖ. 735, 8.

πάλιν ἐλθεῖν συνήθως μὲν ἀντὶ τοῦ ἐπανελθεῖν, ἐν δὲ τῷ, καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο, Ὀδ. τ', 533. ἀντὶ τοῦ ἀνάπαλιν ἐλθεῖν εἶπον ἐξελθεῖν τοῦ μεγάρου τίθεται. 1875, 63.

πάλιν ἰέναι ἀντὶ τοῦ ἐπανιέναι παρ' Ὁμήρῳ. 1626, 16.

πάλιν τρέπειν ὄσσε, ἀντὶ τοῦ ἀλλαχοῦ τρέψαι τὴν θέαν. 915, 27.

παλινάγρετος λόγος ὁ ἐκ μεταμέλου πάλιν ἀγειρόμενος. 144, 11.

παλινδρομῶ ὅτι παρὰ τὸν δρόμον λέγεται, καὶ ὅτι πρώτης ἐστὶ συζυγίας τῶν περισπωμένων. 786, 36.

παλίνορσος ὅτι παρὰ τὸ πάλιν, ὅ ἐστιν ὀπίσω, καὶ τὸ ὄρω ὄρσω λέγεται. 377, 34.

παλίντιτον λέγεται οὗ ἡ τίσις, ὅ ἐστιν ἐκδίκησις, πάλιν, ἤγουν ὕστερον καὶ ἐν τῷ μέλλοντι χρόνῳ, γίνεται. 1424, 36.

παλίντονον τόξον τὸ πάλιν, ἤγουν εἰς τοὐπίσω, τεινόμενον εἴτουν καμπτόμενον. 375, 10. 712, 20.

παλιντράπελος ὁ εἰς τὸ ἀνάπαλιν τοῦ φρονεῖν τραπείς. 1135, 18.

παλιντρέπεσθαι τοῦ δεῖνος, παρ' Ὁμήρῳ ἀντὶ τοῦ εἰς τὸ ὀπίσω στραφῆναι καὶ ἀναχωρῆσαι. 1135, 17. ἀλλαχοῦ δὲ ὅτι παλιντρέπεσθαι τὸ ὅλῳ τῷ σώματι στραφῆναι καὶ ὀπίσω πορευθῆναι, πάλιν δὲ τρέπειν ὀφθαλμοὺς ἀντὶ τοῦ ὀπίσω τρέπειν τοὺς ὀφθαλμούς. 1244, 32.

παλιντροπάασθαι ὅτι ἐκ τοῦ παλίντροπος παρῆκται. 1047, 33. ἀλλαχοῦ δὲ ὅτι τὸ παλιντροπάασθαι, καίπερ ἐκ τοῦ τρωπᾶν συγκείμενον, ὃ διὰ τοῦ ω μεγάλου γράφεται, ὅμως αὐτὸ διὰ τὴν σύνθεσιν διὰ τοῦ ο μικροῦ γράφεται κατὰ τὴν δευτέραν κλινόμενον. 719, 57. 1639, 43.

παλίντροπος ὅτι καίπερ ἐκ τοῦ τρωπᾶν συγκείμενον, ὅμως διὰ τοῦ ο μικροῦ γράφεται. 1047, 33.

παλιρρόθιον κῦμα τὸ κατὰ παλίρροιαν ῥοθοῦν ἢ τὸ διαύλου τρόπον ἐκ τοῦ αἰγιαλοῦ εἰς θάλασσαν ἀποκαθιστάμενον. 1541, 3.

παλίωξις ἡ ἀνάπαλιν δίωξις, ἡ ἐκ τῶν διωκομένων κατὰ τῶν διωκόντων. 893, 8. ἀλλαχοῦ δὲ ὅτι παλίωξις λέγεται, ὅταν ἐξ ὑποστροφῆς διώκωσιν οἱ διδιωγμένοι. 1032, 48.

πάλλα ἡ σφαῖρα, παρὰ τὸ πάλλεσθαι. 1554, 31.

Παλλάδιον τὸ τῆς Παλλάδος εἴδωλον. 84, 46. καὶ περὶ τῆς τοῦ Τρωικοῦ Παλλαδίου σκευῆς ἱστορία. 627, 5. 11. καὶ πῶς ὁ Διομήδης κλέψας ἅμα Ὀδυσσεῖ τὸ Τρωικὸν Παλλάδιον ὑπ' ἐκείνου ἐπεβουλεύθη, ἱστορία διεξοδική. 882, 20. καὶ Παλλάδιον δικαστήριον Ἀθήνησι. 1419, 53. ζήτει τὸ, ἐπὶ Παλλαδίῳ.

παλλακὴ ἐν ἴσῳ τῷ νεᾶνις, ὅτι ἡλικίας ἐστὶν ὀνομασία. 763, 22. καὶ ὅτι παρὰ τὸ πάλλαξ λέγεται, ὃ δηλοῖ τὸν νέον ἢ νέαν. 84, 40. 1419, 50. καὶ ὅτι παλλακὴ οὐκ ἦν ἐφύβριστον ὄνομα παρὰ τοῖς παλαιοῖς. 713, 23. καὶ ὅτι παρὰ μὲν τοῖς βαρβάροις αἱ γαμεταὶ ἠνείχοντο πρὸς τὰς παλλακὰς κοινωνίαν τῶν ἰδίων ἀνδρῶν, παρὰ δὲ τοῖς Ἕλλησιν οὐκέτι. 1361, 18.

παλλακὶς ὅτι ὑποκοριστικόν ἐστιν ὄνομα. 763, 17. ἀλλαχοῦ δὲ ὅτι ἡ παλλακὶς ἐκ τοῦ παλλακὴ παρήχθη, καὶ ὅτι διαφέρει ἑταίρας ἡ παλλακή. 1758, 2. 7.

πάλλαντες οἱ νέοι προσηγορικῶς. 84, 39.

Παλλαντίδαι ὑπὸ Θησέως ἐκβληθέντες. 284, 31.

πάλλαξ πάλλακος, ὁ νέος καθ' ἡλικίας προσηγορίαν. 763, 20.

Παλλὰς, Ἀθηνᾶς ἐπίθετον, παρὰ τὸ πάλλειν ἢ ἀπό τινος Πάλλαντος, ἢ ὅτι παλλάδες παρὰ τοῖς ἀρχαίοις αἱ νεάνιδες ἐλέγοντο, ὡς καὶ πάλλαντες καὶ πάλλακες οἱ νέοι. 84, 35. 39. 1742, 35.

πάλλας καὶ πάλλαξ ὁ νέος, ὅθεν καὶ παλλακὴ καὶ παλλάκια τὰ παιδία. 1419, 50. 1742, 37.

πάλλειν τὸ κινεῖν. 418, 45. 419, 6. καὶ πάλλειν χερσὶ παιδίον, τὸ ὑψώσαντα διακινεῖν, Ἰλ. ζ', 474. 656, 50. πάλλειν δὲ δόρυ ἀντὶ τοῦ κραδαίνειν. 1050, 31.

πάλλευκον ἐκ τοῦ πᾶν καὶ τοῦ λευκὸν, ὅτι τὸ πρότερον λ ἐκ τροπῆς τοῦ ν ἔχει. 65, 6.

Παλλήνη, πόλις Θρᾴκης, ἣ καὶ Φλέγρα, ἧς οἱ ἄνθρωποι ἀγρίως ἐβίουν, ὅθεν καὶ ἡ Γιγαντομαχία κατ' αὐτὴν γεγονέναι μυθεύεται· καὶ ὅτι δυσὶ λ γράφεται τοὔνομα. 291, 45. 311, 39. 1618, 45.

πάλμυες, δουλικὴ προσηγορία κατὰ γλῶσσαν. 1024, 39.

πάλος ὁ κλῆρος, παρὰ τὸ πάλλεσθαι, ὅ ἐστι κινεῖσθαι. 84, 37. 418, 44. 419, 3. 674, 11. 1631, 39.

πάλτο ἀντὶ τοῦ ἔπαλτο, ἤγουν προσέκρουσε καὶ προσέπταισε. 1035, 59.

παλτὸν, εἶδος δόρατος προσηγορικῶς, καὶ παλτὸν πῦρ ἐπιθετικῶς τὸ κεραύνιον. 674, 12.

παλύνειν τὸ λευκαίνειν, ὅτι περὶ ἀλεύρου καὶ χιόνος λέγεται. 786, 18. 20. καὶ ὅτι τὸ παλύνειν ἄλφιτα, πολλαχοῦ παρ' Ὁμήρῳ λεγόμενον, οὐκ ἀρτοποιίαν σημαίνει, ἀλλά τι ἐπίπασμα σύνηθες τοῖς παλαιοῖς. 1162, 48. 1751, 33. καὶ πάλιν ἀλλαχοῦ ὅτι παλύνειν ἀλφίτοις, ἤγουν λευκαίνειν ἢ καταπάσσειν, ἢ παλύνειν τι ἀλφίτοις τὸ συμφυραθεύειν. 1766, 38.

παλύνειν ἐν ἴσῳ τῷ ἐπιπάσσειν. 786, 23. 868, 24. 898, 6. ζήτει τὸ παλάσσειν καὶ τὸ πάλη.

πάματα, ζήτει τὸ πάμματα.

Παμβοιώτια, ἑορτὴ κοινὴ πάντων Βοιωτῶν, ὡς Παναθήναια ἡ τῶν πάντων Ἀθηναίων. 247, 27. 268, 24.

παμβῶτις γῆ ἡ πάντα βόσκουσα, ὅτι καθόλου κατὰ πάσης τῆς γῆς λέγεται, καὶ ὅτι ἐκ τοῦ βώτης ἀρσενικοῦ δοκεῖ παρεσχηματίσθαι τὸ βῶτις θηλυκὸν, ὅθεν τὸ ἡ παμβῶτις καὶ βωτιάνειρα. 71, 13. 699, 48.

πάμματα Δωρικῶς τὰ κτήματα, παρὰ τὸ πῶ, ὃ δηλοῖ τὸ κτῶμαι. 493, 45. [πάματα hic et in textu

scrib. item πολτπύμιων, α longum, Cf. Schol. Ven. Iliad. δ', 433.]

παμμήχανος ὅτι ἐπὶ ψόγου κατά τινος λέγεται. 482, 33.

πάμπαν ὅτι ἐκ παραλλήλου ταὐτότητος σύγκειται. 437, 35. καὶ ὅτι συστέλλει τὴν λήγουσαν. 1433, 64.

παμπήδην ἐπίῤῥημα παρὰ τὸ πῶ, ὅ ἐστι κτῶμαι, ὅθεν καὶ παμπησία ἢ παγκτησία. 1502, 49.

παμπησία ἡ παγκτησία, ζήτει τὸ παμπήδην. 1502, 49.

παμποίκιλος πέπλος ὁ πάντη πεποικιλμένος. 643, 22.

πάμπρωτος, ἤγουν πρῶτος πάντων. 737, 53.

παμφάγον πῦρ τὸ πάντα κατεσθίον εἴτουν ἀναλίσκον, καὶ παμφάγος χρόνος ὁμοίως. 1294, 31.

παμφαίνησι ἀντὶ τοῦ παμφαίνει κατὰ τρίτον πρόσωπον ὁριστικοῦ ἐνεστῶτος, ὅτι κατὰ τὴν Ῥηγίνων διάλεκτον λέγεται. 1576, 60.

παμφανόων δίφρος ὁ λαμπρὸς χαλκῷ ἢ ποικίλμασι. 715, 35.

παμφανόωντα πρόθυρα τὰ πᾶσι φαινόμενα. 722, 8.

Πάμφιλος καὶ Δύμας ἡγησάμενοι Δωριέων ἐπὶ καθόδῳ τῶν Ἡρακλειδῶν εἰς Πελοπόννησον. 1644, 20.

πᾶν λέξις ἐν συνθέσει προτεταγμένη ἐθνικῶν ὀνομάτων, οἷον Πανελλήνιον, Πανιώνιον, Παναθήναια, Παμβοιώτια. 247, 24.

Πὰν, ὅτι τὸν Πᾶνα ἐκ Πηνελόπης πᾶσι τοῖς μνηστῆρσι συγγενομένης μυθεύουσι γενέσθαι, καὶ ὅτι ὑφαντικῆς εὑρετὴς ἱστορεῖται ὁ Πάν. 1328, 47. 1435, 55. καὶ ὅτι καὶ κυβείας προστάτης σὺν τῷ Ἑρμῇ ὁ Πὰν ἐνομίζετο. 1397, 27. καὶ ὅτι πᾶς τις κατωφερὴς καὶ συνουσιαστικὸς ἄνθρωπος Πὰν ἐπεκαλεῖτο. 827, 32. καὶ ὅτι οἱ περὶ ποίμνια ἐσπουδακότες ἄνθρωποι Πανὸς παῖδες γεγονέναι ἐμυθεύθησαν. 18, 35.

Παναθήναια, ἑορτὴ πάντων Ἀθηναίων, ὡς Πανιώνια καὶ Παμβοιώτια πάντων Ἰώνων καὶ Βοιωτῶν. 247, 27.

παναίθη κόρυς ἡ λαμπροτάτη, παρὰ τὸ αἴθειν. 1107, 3.

πανάποτμος ὁ δυστυχέστατος, παρὰ τὸν πότμον, ὃ δηλοῖ τὴν τύχην. 1348, 44. 1412, 42.

πανάργυρος κρατὴρ ἢ κύλιξ ὅτι πρὸς διαστολὴν τῶν οἷς καὶ χρυσὸς συγκέκραται, λέγεται. 1624, 11.

παναφῆλιξ παῖς ὁ τῶν ἡλικιωτῶν ἀπεληλαμένος, ἢ ὁ πάντη ἀφῆλιξ. 1282, 23.

παναώριος ἐπίθετον διαφόρως ἑρμηνευόμενον καὶ ἐτυμολογούμενον ἐν τῷ, ἀλλ' ἕνα παῖδα τέκον παναώριον, Ἰλιάδ. ω', 540. 1364, 25.

Πανδάρεως ὁ Μέροπος κύνα χρυσοῦν κλέψας ἐκ τοῦ Διὸς τεμένους, ἱστορία διεξοδική· ζήτει τὸ Τάνταλος· καὶ ὅτι καὶ Πανδάρης καὶ Πανδάρεος Πανδαρέου λέγεται. 1875, 31. καὶ περὶ τῶν δυστυχημάτων τῶν αὐτοῦ θυγατέρων ἱστορία διεξοδική. 1875, 14. 1882, 35.

Πάνδαρος, ἥρως τις ἀρχαῖος, ὁ αὐτὸς ἴσως τῷ περὶ οὗ Ὅμηρος ἐν τῷ, ὡς δ' ὅτε Πανδαρέου κούρη, Ὀδυσσ. τ', 518. 448, 19. ζήτει τὸ Πανδάρεως.

πανδήμιος ὅτι ἐκ τοῦ πάνδημος παρήχθη. 1833, 52.

Πανδίονος υἱῶν ὀνόματα, Νῖσος, Αἰγεύς, Πάλλας, Λύκος. 285, 13.

πανδοκεὺς Ἰωνικῶς ὁ κοινῶς πανδοχεὺς διὰ τοῦ χ λεγόμενος. 1590, 54.

πανδοσίαι γυναῖκες αἱ πόρναι. 862, 45. 1082, 40.

πανδοῦρα, μελικὸν ὄργανον, ὃ ἐκ τῆς κατὰ θάλατταν φυομένης δάφνης κατεσκευάζετο. 1157, 51.

Πάνδωρος, υἱὸς Ἐρεχθέως τοῦ Πανδίονος, ὅτι Εὔβοιαν ᾤκισεν, ἱστορία. 281, 38.

Πανέλληνες παρ' Ὁμήρῳ, ὅτι πρὸς διαστολὴν τῶν παρ' αὐτῷ ἰδίᾳ λεγομένων Ἑλλήνων λέγεται. 277, 6.

πανήγυρις, ὅτι ἐκ τοῦ ἄγυρις Αἰολικῶς ἀντὶ τοῦ ἀγορὰ λεγομένου σύγκειται τοὔνομα. 631, 44.

πανημάτιος οὐχ' εὕρηται παρ' Ὁμήρῳ, πανημέριος δὲ ἐπὶ τοῦ αὐτοῦ. 1110, 59.

πανήμερος, ὅτι ἀντὶ τοῦ πανημέριος εὕρηται παρά τισι ποιηταῖς. 1477, 60.

Πάνθους ὅτι ἐκ Δελφῶν ἤχθη πρὸς Πρίαμον ἐξηγησόμενος χρησμόν τινα, ἱστορία. 900, 47.

πανθυμαδὸν, ὁλοψύχως. 1836, 50.

πανίον ὅτι παρὰ τὸν Πᾶνα λέγεται, ὃς εὑρετὴς ὑφαντικῆς ἱστορεῖται. 1328, 48. 1435, 56.

Πανιώνια, ἑορτὴ κοινὴ πάντων τῶν Ἰώνων. 268, 25. καὶ ὅτι ἐν τῷ ἱερῷ τῷ ἐν Ἑλίκῃ τοῦ Ποσειδῶνος ἐτελοῦντο. 292, 25.

πανομφαῖος Ζεὺς ἐπωνυμικῶς ἐλέγετο διὰ τὸ εἰς ἐκεῖνον ἀνάγεσθαι πᾶσαν ὀμφήν. 169, 26. 711, 52. 1885, 8.

Πανοπεὺς, πόλις Φωκίδος ἡ ὕστερον Φανοτεύς, τὸ ἐθνικὸν Πανοπεὺς ὁμωνύμως τῇ πόλει· κατὰ δέ τινας Πανόπη μὲν ἡ πόλις, Πανοπεὺς δὲ ὁ ἐξ αὐτῆς· καὶ ἱστορίαι τινὲς περὶ τῆς πόλεως. 274, 31 — 40. 1108, 10. ἀλλαχοῦ δὲ ὅτι Πανοπεὺς χωρίον Βοιωτικόν, ὃ καλλίχωρον ἐπικαλεῖται παρ' Ὁμήρῳ διὰ τὸ κάλλος τῆς περὶ αὐτὸ χώρας. 1700, 20.

Πανόπη, Νηρηίς τις, ὅτι διὰ τὸ ἀνεπιπρόσθητον τῆς τοῦ θαλασσίου ὕδατος ἐπιφανείας λέγεται. 1131, 4.

Πανοπηιάδης ὁ τοῦ Πανοπέως υἱὸς Ἐπειός, καὶ ὁ ὑδροφόρος ὄνος αἰνιγματικῶς, ἑρμηνεία διεξοδική. 1323, 60.

πάνορμοι λιμένες οἱ ἀγχιβαθεῖς, εἰς οὓς πᾶσα ναῦς κατὰ πάντα ἄνεμον ὁρμίζεται· καὶ ὅτι οὐ καθόλου τῶν λιμένων λέγεται τὸ ἐπίθετον. 1738, 55.

πανὸς ἐν ἴσῳ τῷ φανός, ὅ ἐστι πυρσός. 1139, 21. 1189, 24.

πανοῦργος ὅτι διαφέρει τοῦ παντουργός, καί περ ἐκ τῶν αὐτῶν συγκείμενον. 524, 37.

πανόψιον ἔγχος τὸ πᾶσιν ὁρατόν, ἢ τὸ πάντων ἔσχατον παρὰ τὸ ὀψὲ ἢ τὴν ὀψίαν. 1243, 38.

πανσυδίη καὶ πασσυδίῃ ἀντὶ τοῦ παμπληθεὶ ἢ πανστρατιᾶ, ἢ ἀντὶ τοῦ προθύμως καὶ πάσῃ ὁρμῇ, ἐκ τοῦ σύω, ὅ ἐστιν ὁρμῶ· καὶ

ἢ ἀντὶ τοῦ ἀπατητικῶς καὶ παραλογιστικῶς. 105, 46. 438, 45. 1406, 22.

παράβλημα τὸ τοῖς ζῴοις εἰς τροφὴν παρατιθέμενον. 1406, 25. καὶ ὅτι παρὰ τὸ παραβάλλειν λέγεται. 557, 45. 1657, 16.

παραβλὼψ ὁ στραβὸς, ὅτι παρὰ τὸ παραβάλλειν τοὺς ὦπας λέγεται, καὶ παραβλὼψ τῷ ὀφθαλμῷ, ἤγουν διεστραμμένος τὰς ὄψεις. 68, 38. 768, 5. 11. 994, 52.

παραβολή ἐστι παράθεσις ὁμοιωματικὴ ἐπὶ σαφηνείᾳ τῶν ὑποκειμένων γινομένη. 1406, 21. καὶ παραβολῆς ἔργον καὶ σκοπὸς καὶ χρεῖαι διάφοροι, καὶ περὶ παραβολῶν μεθόδου, ἑρμηνεία διεξοδικωτάτη 176, 21—177, 46. 1065, 29. ἐν οἷς καὶ τὰ κατὰ μέρος εἰσὶ ταῦτα, ὅτι παραβολή ἐστι λόγος, ἐν ᾧ ἄγνωστόν τι καὶ ἅπαξ ἢ ἐνίοτε γενόμενον γνωρίμῳ τινὶ καὶ ἀεὶ ἢ πολλάκις γενομένῳ εἰκαζόμενον σαφηνίζεται. implicite. 176, 30. 253, 26. καὶ ἐκ ποίων καὶ τίνων λαμβάνονται παραβολαὶ, καὶ ποσαχῶς σχηματίζονται. 176, 36. καὶ περὶ τῆς κατὰ τὸ πρότερον καὶ ὕστερον τάξεως τῶν τῆς παραβολῆς μερῶν. 176, 46. καὶ ὅτι οὐ πᾶσα παραβολὴ ὅλη δι' ὅλου ἁρμόζει τοῖς ὑποκειμένοις τῷ λόγῳ. 177, 16—46. 856, 44. καὶ ὅτι παραβολῆς ἐστιν ἀρετὴ τὸ προσκαίρους ἐνεργείας προσκαίροις τισὶν ἀπεικάζειν. 525, 29. καὶ ὅτι τριῶν ἕνεκα ὡς ἐπιπολὺ παραλαμβάνονται αἱ παραβολαὶ, αὐξήσεως, ἐνεργείας, σαφηνείας. 861, 47. καὶ ὅτι παραβολῆς χρεία καὶ τὸ τὰ ἀκύρως εἰρημένα ἢ τραχέως μετενηνεγμένα θεραπεύειν. 371, 5. 471, 20. καὶ ὅτι αἱ ἐξ ὁμοειδῶν ζῴων ληφθεῖσαι παρ' Ὁμήρῳ παραβολαὶ ἰσοδυναμίαν μαχομένων τινῶν προσώπων ὑπαγορεύουσι. 1068, 40. καὶ ὅτι αἱ παραβολικαὶ ὁμοιότητες καταφατικῶς σχηματίζονται, αἱ δὲ ἀποφατικῶς ἐσχηματισμέναι ὑπερβολαὶ μᾶλλον εἰσὶν ἢ παραβολαὶ, οἷον οὐχ' οὕτως ἡ θάλασσα ἠχεῖ, ὡς οἱ δεῖνα πολεμοῦντες. 994, 13—20. 1733, 53. καὶ ὅτι ἡ ἐν ταῖς παραβολαῖς ὕφεσις εἴτουν καταβιβασμὸς ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἔλαττον πρὸς πιθανότητα ἐπιτηδεύεται, οἷον ἐν τῷ, ὥστε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης, Ὀδ. δ', 45. 1862, 55. καὶ ὅτι αἱ ἐν ταῖς παραβολαῖς ἀποδόσεις οὐ πρὸς τὸ προηγουμένως ὑποκείμενον τῷ λόγῳ καὶ ἐνεργοῦν πρόσωπον ἀεὶ γίνονται, ἀλλὰ πρὸς ἄλλο τι ἐνίοτε. 1034, 13. καὶ ὅτι δύο τινῶν πρὸς ἄλλα δύο παραβαλλομένων φύσει μὲν πρὸς τὸ πρότερον ἡ ἀπόδοσις, σχήματι δὲ πρὸς τὸ δεύτερον ἐνίοτε. 1035, 4. καὶ ὅτι τὰ πρὸς ἰδιωμάτων τινῶν ἔκφρασιν ἐπεμβαλλόμενα ἐν ταῖς παραβολαῖς πρὸ τῆς ἀποδόσεως εἴωθε τάττειν ὁ Ὅμηρος, καὶ ὅτι σεσίγηταί ποτε ἡ παραβολικὴ ἀπόδοσις πρὸς συντομίαν. 371, 18.

παραβολικῶν καὶ τροπικῶν ἐννοιῶν ἀντιστροφὴ, οἷον νέφος στρατιωτῶν, στρατὸς νεφελῶν, καὶ κόνις ὡς ὁμίχλη καὶ ὁμίχλη ὡς κόνις. 179, 9—15. 373, 24.

παραβολικῶν ἐπιῤῥημάτων κατάλογος. 117, 34 — 44. 176, 38. καὶ ὅτι τῶν παραβολικῶν ἐπιῤῥημάτων τὰ μὲν εἰσὶ κοινὰ, τὰ δὲ ποιητικὰ, καὶ ἔκθεσις ἑκατέρων, ὅπου καὶ ὅτι καὶ χωρὶς τῶν τοιούτων γίνονται παραβολαί. 176, 38.

παράβολος ἄνθρωπος ὁ κινδύνοις παραβάλλων ἑαυτὸν, καὶ παράβολον πρᾶγμα τὸ κεκινδυνευμένον. 1406, 25.

παραβρύκων, ὅτι λίχνος τις οὕτως ἐπεκλήθη παρὰ τὸ βρύκειν, καὶ ζήτει τὸ βρύκειν. 1859, 39.

παράβυστος ὁ ἑαυτὸν τόπῳ τινὶ παραβύσας, ὃς καὶ ἐν παραβύστῳ εἶναι λέγεται. 1489, 6.

παραγραφὴ, σχῆμα λόγου καταστατικὸν ἐννοίας ἐν ἐπιλόγοις, οἷον, ὡς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν, Ἰλ. α', 318. 107, 45. καὶ παραγραφὴ, ἕξις εἴτουν ἀπάλειψις δικαιολογίας. 1960, 14.

παράγωγα ὀνόματα δύσφημόν τι σημαίνοντα, ἀπὸ πρωτοθέτων σημαινόντων εὔφημόν τι παρηγμένα, οἷον κάθαρμα παρὰ τὸ καθαίρειν, καὶ ἄγος παρὰ τὸ ἅζω, ὃ δηλοῖ τὸ σέβομαι. 108, 40. καὶ ὅτι διὰ τὴν τῶν ὀνομάτων ἔνδειαν ἐπετηδεύθη ἡ τῶν λέξεων παραγωγή. 39, 27.

παραδειπνίδες, παράσιτοι γυναῖκες. 1058, 12.

παραδιαζευκτικὸς λέγεται ὁ ἢ σύνδεσμος, ὁ μὴ τῶν δύο τὸ ἓν δεχόμενος· τοῦτο γὰρ τοῦ διαζευκτικοῦ ἴδιον. 62, 27. καὶ ὅτι τὸ παραδιαζευκτικὸν ἢ ἀντὶ τοῦ καὶ τίθεται ἐν τῷ, βούλομ' ἐγὼ λαὸν σοὸν ἔμμεναι ἢ ἀπολέσθαι, Ἰλ. α', 117. 62, 19.

παραδρώωσι, παραδιακονοῦσι, ζήτει ἐν τῷ δρᾶν. 1783, 9.

παραδύμεναι ἀντὶ τοῦ παραδῦναι, ὅ ἐστι παρεισδῦναι. 1308, 42.

παραείδειν ὡς θεῷ, Ὀδ. χ', 348. ὅτι ὕφεσιν τοῦ ἀείδειν ἢ ἐγγύτητα ὑπαγορεύει ἡ παρά. 1930, 12.

παραθέσθαι τράπεζαν. 1525, 58. ζήτει τὸ παρατίθεσθαι.

παράθεσις λέξεων ἐκ παραλλήλου ὅτι ἰσοδυναμίαν τῶν παρατιθεμένων λέξεων κατηγορεῖ. 109, 40. implicite 437, 29—38.

παραθήκη ἐν ἴσῳ τῷ παρακαταθήκη. 1292, 7. καὶ ὅτι παρὰ τὸ παραθέσθαι λέγεται. 1604, 36.

παραιβασία ταὐτὸ ὅπερ ὑπερβασία εἴτουν παρασπόνδησις. 389, 34. ἀλλαχοῦ δὲ ὅτι τὸ παρὰ τὴν εὐθεῖαν βαίνειν παραιβασία λέγεται. 1464, 5.

παραιβάτης ὅτι διαφέρει ἡνιόχου. 833, 47. ἀλλαχοῦ δὲ ὅτι τὸ παραιβάτης εἰς ταὐτὸν ἄγεται τῷ ἡνίοχος. 557, 22. καὶ ὅτι παραιβάτης μὲν ἀρσενικῶς ὁ παροχούμενος, παραιβάτις δὲ θηλυκῶς ἡ μισθώτρια γυνή. 412, 42.

παραινεῖν ὅτι παρὰ τὸ αἰνεῖν λέγεται, ὡς ἐκ τοῦ μυθεῖσθαι καὶ φάσκειν καὶ αὐδᾶν καὶ ἀγορεύειν τὸ παραυδᾶν καὶ παραιφάσκειν καὶ παρηγορεῖν καὶ παραμυθεῖσθαι. 152, 44. 1695, 32. ζήτει τὸ αἶνος.

παραιολίξαι τὸ ἀπατῆσαι, ἀπὸ Αἰολέων τοῦ ἔθνους, ἢ παρὰ τὸ αἰόλον, ὅ ἐστι ποικίλον. 1644, 30.

παραίσια σήματα, τὰ ἀπαίσια σημεῖα, Ἰλ. δ', 381. 486, 44.

παραίφασις ὁ παραλογισμὸς καὶ ἡ παραμυθία. 1374, 58. ἀλλαχοῦ

δὲ ὅτι παραίφασίς ἡ ἐκ παραινέσεως πειθώ. 1441, 7. καὶ ὅτι ἐν τῷ, ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου, Ὁμηρικῷ ῥητῷ (Ἰλ. λ', 793. ο', 404.) παροιμιακῶς λεγομένῳ προσθετέον τῷ ἑταίρου τὸ ἀγαθοῦ. 884, 49.

παραιφάσκειν ὅτι ἐκ τοῦ φάσκειν σύγκειται, ὡς ἐκ τοῦ αἰνεῖν καὶ αὐδᾶν καὶ μυθεῖσθαι καὶ ἀγορεύειν τὸ παραινεῖν καὶ παραυδᾶν καὶ παρηγορεῖν καὶ παραμυθεῖσθαι. 760, 26. 1695, 32. καὶ ὅτι ἐν τῷ παραιφάσκειν καὶ παρειπεῖν τὸ ταχέως καὶ ἐκ τοῦ ἐγγὺς ὑπαγορεύει ἡ παρὰ πρόθεσις, ὡς καὶ ἐν τῷ παραπείθειν 1319, 29.

παρακάββαλεν ἀντὶ τοῦ παρακατέβαλεν. 1323, 62.

παρακαταβαλεῖν ἀντὶ τοῦ κάτω θεῖναι ἢ ῥῖψαι. 1292, 3.

παρακαταγωγὴ, σχῆμα πάλης, ἑρμηνεία διεξοδική. 1327, 12.

παρακείμενοι ἀντὶ ἐνεστώτων, οἷον διανενόημαι ἀντὶ τοῦ διανοοῦμαι. 1885, 43.

παρακείμενοι διὰ τοῦ ηκα λήγοντες ἀπὸ δευτέρων μελλόντων βαρυτόνων ῥημάτων εἰς ἐνεστῶτας ἀνηγμένων κανονιζόμενοι, οἷον γράφω, ὁ μέλλων δεύτερος γραφῶ, ὅθεν τὸ γραφῶ γραφήσω γεγράφηκα, καὶ γεγραφηκὼς μετοχή. 1126, 3.

παρακείμενοι ὑποτακτικοὶ εἰς ἐνεστῶτας θεματικοὺς ἀνηγμένοι κατὰ τὴν Συρακουσίων διάλεκτον, οἷον πέφυκα πεφύκω, πέπληγα πεπλήγω. 576, 35. 1055, 58. 1596, 6. 11. 1659, 60. 1954, 27.

παρακείμενοι περισπωμένων ῥημάτων διαφόρως λεγόμενοι ἐπὶ ἑνὸς ἑκάστου ῥήματος κατὰ διαφόρους διαλέκτους, οἷον τοῦ φιλῶ πεφίληκα καὶ πέφιλα καὶ πεφίλημα καὶ πεφίλεια διὰ διφθόγγου καὶ πεφίλεα χωρὶς τοῦ ἰῶτα. 1700, 37.

παρακείμενος χρόνος ῥηματικὸς ὅτι δύο αὐξήσεις ἔχει, διὸ τὸ ἐπέφραδον οὐ παρακειμένου ἐστὶ, ἀλλὰ παρατατικοῦ. 1044, 31.

παρακειμένων αὔξησις ἀναδιπλασιαστικὴ κατ' ἀρχὰς ὅτι κατὰ μὲν Ἴωνας οὐδέποτε ἀποβάλλεται ἐν ταῖς πλαγίαις ἐγκλίσεσιν, Αἰολικῶς δὲ ἀποβάλλεται, οἷον ἐν τῷ δέγμενος ἀντὶ τοῦ δεδεγμένος. 1295, 31. καὶ ὅτι οἱ παρακείμενοι ἀποβάλλουσι τὸ ἀρκτικὸν τοῦ ἀναδιπλασιασμοῦ σύμφωνον, πῆ μὲν διὰ κακοφωνίαν, οἷον ἔσπευκα, ἔφθακα, ἔζηκα· πῆ δὲ κατ' ἔθος Ἀττικὸν, οἷον ἐν τῷ ἐβλάστηκα, ἐχάλκευμαι, ἔβλαμμαι. 759, 43. καὶ ὅτι τὰ ἀπὸ δασέων ἀρχόμενα ῥήματα κατὰ τροπὴν τοῦ δασέος εἰς ψιλὸν αὐξάνονται ἐν τοῖς παρακειμένοις, οἷον φράζω πέφραδα. 83, 1.

παρακειμένων ἰσοσυλλαβία ἢ ἀνισότης πρὸς τοὺς ἰδίους ἐνεστῶτας, ὅτι πᾶς παρακείμενος μιᾷ συλλαβῇ ὑπερβάλλει τὸν ἴδιον ἐνεστῶτα, πλὴν ἐπὶ τῶν ἀπὸ φωνήεντος ἀρχομένων εἰς μι ῥημάτων· ἐν τούτοις γὰρ μιᾷ λείπεται ὁ παρακείμενος, οἷον ἵημι ἧκα· καὶ ὅτι οὐδεὶς παρακείμενος μονοσυλλαβεῖ. 1769, 56. 58.

παρακειμένων μέσων ἰσοσυλλαβία ἢ ἀνισότης πρὸς τοὺς συστοίχους ἐνεργητικοὺς, ὅτι οἱ μέσοι παρακείμενοι ἐπὶ μὲν τῶν βαρυτόνων καθόλου ἰσοσυλλαβοῦσι τοῖς συστοίχοις ἐνεργητικοῖς, ἐπὶ δὲ περισπωμένων μιᾷ συλλαβῇ λείπονται. 61, 21. 669, 20. 1523, 40.

παρακειμένων συνθέτων προσῳδία, ὅτι οἱ ἔχοντες πρὸ τῆς ληγούσης δύο σύμφωνα δισύλλαβοι παρακείμενοι ὅταν συντεθῶσιν ἐπὶ τῆς αὐτῆς φυλάττουσι τὸν τόνον, οἷον ἦγμαι κατῆγμαι. 150, 6.

παρακειμένων παθητικῶν τρίτα πρόσωπα τῶν πληθυντικῶν Ἰωνικὰ ὅτι ἐκ τῶν τρίτων τῶν ἑνικῶν σχηματίζονται ποτὲ μὲν κατὰ μόνην προσθήκην τοῦ α, οἷον ἔσταλται ἐστάλαται, τέτυπται τετύφαται, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ἐνίοτε δὲ πρὸς τῷ α καὶ τὸ δ πλεονάζει ἐπὶ τῶν εἰς σται ληγόντων, ἐφ' ὧν καὶ τὸ σ ἐκβάλλεται, οἷον ὠνόμασται ὠνομάδαται. 912, 24. 1301, 2.

παρακειμένων παθητικῶν τρίτα πρόσωπα ἑνικὰ φύσει ἔχοντα τὸ ν πρὸ τοῦ τ καὶ ὁμοφωνοῦντα τοῖς ἰδίοις τρίτοις τῶν πληθυντικῶν, οἷον πέφανται, ἐξήρανται, κατήσχηνται, μεμίανται. 1055, 8.

παρακελευστικαὶ φωναὶ, ἄγρει, ἄγε, δεῦρο, φέρε, ὅτι καὶ πληθυντικῶς λέγονται, ἀγρεῖτε, ἄγετε, φέρετε. 985, 13. καὶ ὅτι τὰ παρακελευσματικὰ ἐπιῤῥήματα ἑνικοῖς τε καὶ πληθυντικοῖς ῥήμασι συντάσσονται. 48, 39.

παρακλιδὸν, παρατετραμμένως καὶ κατ' ἔκκλισιν τοῦ ἀληθοῦς, ἐκ τοῦ παρακλίνω ἐν τῷ, οὐκ ἂν ἔγωγε ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν οὐδ' ἀπατήσω, Ὀδ. δ', 348. 894, 49. 1499, 4. 9. 1877, 4.

παράκοιτις ἡ γαμετὴ καὶ ἁπλῶς ἡ συγγινομένη τινὶ, οἷον ἐν τῷ, Λητὼ γὰρ ἥλκησε Διὸς κυδρὴν παράκοιτιν, Ὀδ. λ', 580. 1700, 16.

παράλια ἑορτὴ ἡ ὕστερον ῥωμαία κληθεῖσα.

παραλληλίζειν τὸ παρατιθέναι καὶ συγκρίνειν, ὅθεν καὶ λόγοι παράλληλοι. 505, 43.

παραλληλισμὸς στοιχείων καὶ λέξεων, ὅτι τρία τὰ αὐτὰ στοιχεῖα οὐχ εὑρίσκονται παράλληλα ἐν Ἑλληνικῇ λέξει. 149, 7. καὶ ὅτι αἱ παράλληλοι λέξεις ἢ σύγκεινται ἢ παράκεινται, καὶ ἤτοι ἐκ ταὐτότητος ἢ ἐξ ὁμοιότητος. 437, 25. 33.

παράλληλοι κύκλοι οὐράνιοι πέντε τὸν ἀριθμόν. 1154, 56.

παραλογίζεσθαι τὸ σοφίζεσθαι καὶ ἀπατᾶν. 1695, 34.

πάραλος, ναῦς Ἀττικὴ εἰς τὰς δημοσίας ὑπουργίας ἀφωρισμένη. 1501, 33.

παραμάχαιρον κατὰ τὴν χυδαίαν γλῶσσαν ἡ Ἑλληνικῶς παραξιφὶς λεγομένη. 413, 39.

παραμπυκία ὅτι ἐπὶ τριχῶν λέγεται, παραμπυκίζεσθαι δὲ τὸ παραπλέκεσθαι τὰς τρίχας. 1280, 57.

παραμπυκίζεσθαι, ζήτει τὸ παραμπυκία. 1280, 57.

παραμυθεῖσθαι τὸ παρηγορῆσαι καὶ παραινέσαι. 760, 23. 1005, 24. καὶ ὅτι ἐκ τοῦ μυθεῖσθαι σύγκειται, ὡς ἐκ τοῦ αἰνεῖν

καὶ αὐδᾶν καὶ ἀγορεύειν καὶ φάσκειν τὸ παραινεῖν καὶ παραυδᾶν καὶ παρηγορεῖν καὶ παραιφάσκειν. 1695, 32.

παραμυθίας μέθοδος, τὸ ἐξ ὧν ἄλλοτε πέπονθέ τις παραμυθεῖσθαι. 1880, 55.

παρανέειν τὸ παρανήχεσθαι εἴτουν παρακολυμβᾶν. 248, 46. 623, 45.

πάραντα τὰ πλάγια καὶ ἑτεροκλινῆ χωρία. 1291, 36.

παράνυμφος ὁ συναπάγων τῷ νυμφίῳ τὴν νύμφην, ὅτι ὀρθότερον παρανύμφιος λέγοιτ' ἂν ἢ παράνυμφος. 652, 42.

παραξιφὶς, μάχαιρα παρηρτημένη τῷ ξίφει. 413, 29. 36. 1182, 62. ἀλλαχοῦ δὲ ὅτι παραξιφὶς μαχαίριον, ὃ τοῖς κολεοῖς τῶν ξιφῶν ἐν ἰδίᾳ θήκῃ παράκειται, ὃ καὶ ἐγχειρίδιον λέγεται. 1630, 4.

παραπείθειν τὸ ταχέως καὶ ἐκ τοῦ ἐγγὺς πείθειν. 1319, 27.

παραπέτασμα ἐν ἴσῳ τῷ καταπέτασμα. 722, 32.

παραπλάγξαι, παραπλανῆσαι. 1894, 28.

παραπλαγχθῆναι, ἀστοχεῖν τοῦ σκοποῦ. 1025, 34.

παραπλῆγες ἠιόνες παρ' Ὁμήρῳ αἱ ἐκ τῶν πλαγίων πλησσόμεναι τοῖς κύμασι, παρὰ δὲ τοῖς ὕστερον παραπλὴξ ἄνθρωπος ὁ ἀπαίδευτος καὶ ἄμουσος καὶ ὡς εἰπεῖν ἀπῳδὸς, κατὰ τὰς ἀτέχνως πληττομένας χορδάς. 821, 15. 1541, 55.

παραπλὴξ, ὁ καὶ ἔμπληκτος, ὅ ἐστιν ἐξεστηκὼς τοῦ φρονεῖν, καὶ ὁ ἄμουσος, καὶ ἀπαίδευτος καὶ ἀπῳδός. 1886, 45. ζήτει τὸ παραπλῆγες.

Παραποτάμιοι, οἱ καὶ Ἐπικηφίσσιοι, ἔθνος τι παρὰ τὸν Κηφισσὸν ποταμὸν κατοικοῦν. 275, 21.

παραπροσωπὶς ἢ περιπροσωπὶς, προσωπεῖον περιτιθέμενον τῷ προσώπῳ. 1281, 1.

πάραρος ὁ παρηρμοσμένος καὶ μὴ φρενήρης, ἐτυμολογία καὶ ἑρμηνεία διεξοδική. 672, 60. 1319, 11.

παρῤῥητὸς ὁ παρηγορητὸς καὶ λόγοις πειθόμενος, καὶ ὅτι ἐν τῷ, παραῤῥητοὶ ἐπέεσσιν, Ἰλ. ι', 526. παρέλκει τὸ ἐπέεσσιν ὡς συνεξακουόμενον τῷ παραῤῥητός. 152, 41. 769, 56. καὶ ὅτι ἐν τῷ, παραῤῥητοῖσι πιθέσθαι, Ἰλ. ν', 726. οὐδετέρως μᾶλλον ἀκουστέον τὸ παραῤῥητοῖς ἢ ἀρσενικῶς. 956, 34.

παρασάγγης, μέτρον διαστήματος τοπικοῦ κατὰ μέν τινας ξ' σταδίων, κατὰ δέ τινας τμ'· καὶ ὅτι Περσικόν ἐστι τοὔνομα. 361, 16.

παράσειρος ἵππος, ὁ καὶ παρήορος, ὅτι παρὰ τὴν σειρὰν λέγεται. 700, 47. 1071, 39. 1734, 3.

παράσημος ὁ ἀδόκιμος, καὶ παράσημον νόμισμα τὸ κίβδηλον, παράσημα δὲ βασιλικὰ τὰ βασιλικὰ σημεῖα. 1673, 33.

παράσιτος παρὰ τοῖς ἀρχαίοις ἐλέγετο ὁ σύνθοινος τῶν τεθυμένων κρεῶν. 1119, 8. καὶ ὅτι οἱ παράσιτοι λάροις εἰκάζονται διὰ τὴν κατὰ λιχνείαν ὁμοιότητα, ἢ παρὰ τὸ λαρινεύεσθαι, ὅ ἐστι σιτίζεσθαι. 1382, 64.

παρασιώπησις ἡ κατὰ τὸν λόγον ἔλλειψις, ὅταν τὸ μέν τι ἐκφέρεται, τὸ δὲ οὔ· καὶ ὅτι διαφέρει τῆς παντελοῦς σιγῆς. 112, 12.

παρασπᾶν τὸ ἀφαιρεῖσθαι γῆν τυχὸν ἢ ἕτερόν τι. 679, 64.

παραστάδες οἱ σταθμοὶ τῶν θυρῶν. 531, 19.

παρασταθέντες οἱ ἐρώμενοι κατὰ γλῶσσαν. 1300, 57.

παραστῆναι ἐν ἴσῳ τῷ ἀμφιβῆναι, ὅ ἐστιν ὑπερμαχῆσαι. 1075, 5.

παρασφῆλαι, ἐγγὺς τοῦ σφαλῆναι ἀγαγεῖν τινά. 715, 11.

παρασχεῖν τὸ ἐγγὺς σχεῖν, ἤγουν πλησίον τινὸς θεῖναί τι, καὶ ἁπλῶς τὸ χορηγεῖν καὶ διδόναι. 1176, 23. 1287, 10.

παρατάξεως Ὁμηρικῆς ἔκφρασις διεξοδική. 923, 53. 62.

παρατατικὸς χρόνος ῥηματικὸς ὅτι ἐπιμονὴν καὶ παράτασιν πράξεώς τινος ὑπαγορεύει, ὁ δὲ ἀόριστος ταχεῖαν ἀπαλλαγήν. implicite. 19, 25. 763, 43. 1323, 35. 1939, 10.

παρατατικὸς ἀντὶ ἐνεστῶτος ἐν τῷ, ὅς ῥ' ἐς Πηνειὸν προΐει καλλίῤῥοον ὕδωρ, Ἰλ. β', 752. 336, 4. 337, 22.

παρατατικῶν τῆς πρώτης συζυγίας τῶν εἰς μι δεύτερα καὶ τρίτα πρόσωπα διὰ τῆς ει διφθόγγου ἐκφερόμενα, οἷον ἐτίθεις ἐτίθει, ἀντὶ τοῦ ἐτίθης ἐτίθη. 1500, 54.

παρατατικῶν τρίτα πρόσωπα ἑνικὰ ὅτι φύσει εἰς ν̄ καταλήγουσιν. 1892, 34.

παρατεθειμέναι εἴτουν ἐν παραθέσει κείμεναι δύο λέξεις ὅτι οὐκ ἀεὶ ταὐτὸ δηλοῦσιν ὡς καὶ ἐν συνθέσει, οἷον σκηπτοῦχον εἰπεῖν πλέον τι δηλοῖ τοῦ ἁπλῶς σκῆπτρον ἔχειν. 104, 23.

παρατεκτήνασθαι ἀντὶ τοῦ παρατεχνήσασθαι καὶ παραποιεῖν ἀπὸ τῶν ἀτέχνων τεκτόνων ἢ ἀπατώντων ἐφ' οἷς τεκτήνωσι. 966, 46. 1754, 13.

παρατίθεσθαι ἐλέγοντο αἱ τράπεζαι ἐν καταρχῇ δαιτὸς, αἴρεσθαι δὲ μετὰ τὴν δαῖτα. 1525, 58.

παρατρέπεσθαι λέγεται παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐκτρέπεσθαι τοῦ εὐστοχεῖν. 841, 5.

παρατρίβεσθαι τὸ μέτωπον, ὅτι περὶ τῶν ἀποτετολμηκότων καὶ ἀναισχύντων λέγεται. 363, 30.

παρατροπέειν τὸ παρατρέπειν καὶ παραπλανᾶν καὶ παραλογίζεσθαι. 1505, 29.

παραυδᾶν τὸ παραμυθεῖσθαι, ἐκ τοῦ αὐδᾶν, ὡς ἐκ τοῦ ἀγορεύειν τὸ παρηγορεῖν καὶ τοῦ αἰνεῖν τὸ παραινεῖν καὶ τοῦ μυθεῖσθαι τὸ παραμυθεῖσθαι. 1695, 31.

παραυδήσας, παραμυθησάμενος, Ὀδ. ο', 53. 1773, 54.

πάραυλος βοὴ ἡ ἐξισουμένη αὐλῷ, καὶ πάραυλον μέλος τὸ ἀπῳδόν. 1157, 54.

παράφημι ἀντὶ τοῦ συμβουλεύω, καὶ ὅτι ταὐτόν ἐστι τῷ παρειπεῖν, ὃ δηλοῖ τὸ λόγοις πεῖσαι. 152, 38.

παραφθὰς ἀντὶ τοῦ προφθάσας, ἐκ τοῦ φθῆμι ἀχρήστου θέματος. 1265, 43. 62.

καὶ ὅτι ἀντίκειται τῷ ἀπέχειν, ὃ δηλοῖ τὸ ἄποθεν ἔχειν. 1848, 45.
π ά ρ η ἀντὶ τοῦ πήρη βραχυνομένου τοῦ η̄ διὰ τοῦ ᾱ. 29, 3. 1714, 55.
π α ρ η γ ο ρ ε ῖ ν τὸ παραμυθεῖσθαι καὶ τὸ δημηγορίαν παραποιεῖν. 152, 44. ἀλλαχοῦ δὲ ὅτι τὸ παρηγορεῖν ἐκ τοῦ ἀγορεύειν σύγκειται, ὡς ἐκ τοῦ μυθεῖσθαι καὶ αἰνεῖν τὸ παραμυθεῖσθαι καὶ παραινεῖν. 760, 27. 1695, 32.
π α ρ η έ ρ θ η, ἤγουν παρεκρεμάσθη, ἐκ τοῦ παραείρω. 1063, 1.
π α ρ ή ι α αἱ παρειαὶ ἐνίοτε, ὡς ἐπὶ τὸ πλεῖστον δὲ ὁ τῶν ἵππων παραγναθίδιος κόσμος. 456, 15. 1051, 60. 1324, 39. 1932, 24.
π α ρ η ο ρ ί α ι αἱ τοῦ παρηόρου ἵππου ἡνίαι. 700, 40. ἀλλαχοῦ δὲ ὅτι παρηορίαι αἱ παρηρτημέναι τῷ ζυγῷ σειραὶ εἰς δεσμὸν τοῦ παρηόρου ἵππου, καὶ τίς ἡ τοῦ παρηόρου ἵππου χρεία. 1051, 25.
π α ρ ή ο ρ ο ς ἵππος, ὁ καὶ παράσειρος, ὁ παρεζευγμένος τοῖς ζυγίταις, παρὰ τὸ ἀείρειν, ὅ ἐστι ζευγνύειν. 695, 54. 700, 45. καὶ ὅτι παρήορος κεῖσθαι λέγεται παρ' Ὁμήρῳ ὁ πολὺν ἐπέχων τόπον τῷ σώματι. 672, 56. καὶ παρήορος ἄνθρωπος ἐπιθετικῶς ὁ μὴ φρενήρης, ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων, ἑρμηνεία διεξοδική. 1319, 6.
π α ρ ή χ η σ ι ς, σχῆμα λόγου, καὶ ἔκθεσις παραδειγμάτων τινῶν αὐτοῦ. 125, 4. 139, 31. 36. 191, 10. 555, 18. 637, 7. 679, 1. 1637, 9.
π α ρ θ ε ν ι κ ὴ κατὰ κτητικὸν τύπον ἀντὶ τοῦ ἁπλῶς παρθένος παρ' Ὁμήρῳ. 653, 40. Παρθενίκη δὲ βαρυτόνως ὄνομα γυναικὸς, ᾗ συγγενόμενος ὁ Ὠκεανὸς γεννᾷ Εὐρώπην καὶ Θρᾷκα. 1967, 30.
Π α ρ θ έ ν ι ο ς, ποταμὸς Παφλαγονίας, αἰτιολογία τῆς κλήσεως ἐξ ἱστοριῶν τινῶν· καὶ Παρθένιον ὄρος τι ἐν Πελοποννήσῳ οὕτω καλούμενον. 362, 9.
π α ρ θ έ ν ι ο ς παῖς ὁ λάθρα γεννηθεὶς ἐν καιρῷ παρθενίας τῆς μητρὸς αὐτοῦ, ἤγουν ὁ ἐκ νομιζομένης παρθένου γεννηθείς. 520, 29. 1053, 39.
π α ρ θ έ ν ο ς ὅτι ἐκ τῆς παρὰ προθέσεως καὶ τοῦ θῆσθαι, ἤγουν θηλάζειν, λέγεται. 1682, 24. καὶ ὅτι αἱ παρθένοι παρὰ τοῖς παλαιοῖς ἐν ποταμοῖς εἰώθεισαν λούεσθαι οἰωνιζόμεναι τὸ γόνιμον, ὁποῖόν τι καὶ ἡ τοῦ ὕδατος φύσις. 1682, 15.
π α ρ θ έ ν ο ι τ ρ ι ή ρ ε ι ς παρ' Ἀριστοφάνει αἱ μήπω πλεύσασαι εἴτουν αἱ πρωτόπλοοι. 310, 36. 1446, 13.
Π α ρ θ ε ν ό π η, ὄνομα μιᾶς τῶν Σειρήνων, ἧς μνῆμα παρὰ Νεαπολίταις. 1709, 46.
π α ρ θ ε ν ο π ί π η ς ὁ ἐπιπτεύων, ὅ ἐστιν ἐπιτηρῶν, τὰς παρθένους. 679, 39. 851, 53.
π α ρ θ έ σ θ α ι τὴν ἑαυτοῦ κεφαλὴν λέγεταί τις ἀντὶ τοῦ προτεῖναι ἐπὶ ἀποκοπῇ. 1443, 15.
Π ά ρ ι ο ν, πόλις Ἑλλησπόντου, ἀπὸ Παρίου τοῦ Ἰασίωνος οἰκίσαντος αὐτὴν οὕτω κληθεῖσα. 1528, 15.
Π ά ρ ι ς ὁ Πριάμου Μενελάῳ συμπλεύσας εἰς Δελφοὺς, ἱστορία. 521, 28. καὶ ὅτι ὁ Πάρις εἰκασθεὶς Μενελάῳ Ἀφροδίτης δυνάμει ἠπάτησε τὴν Ἑλένην παραλογισθεῖσαν τῇ ὁμοιότητι. 1946, 9. καὶ περὶ τοῦ Πάριδος πλοῦ μετὰ τὴν Ἑλένης ἁρπαγὴν, ἱστορία διεξοδική. 642, 60.
π α ρ ί σ θ μ ι α τὰ παρὰ τὸν ἰσθμὸν ἤγουν τράχηλον, καὶ παρίσθμιος κόσμος ὁ περὶ τὸν τοιοῦτον ἰσθμόν. 1847, 45. 47.
π ά ρ ι σ ο ν σχῆμα λόγου, τὸ καὶ ὁμοιοτέλευτον, καὶ παραδείγματά τινα τοῦ σχήματος. 67, 33. 191, 12. 243, 1.
π α ρ ί σ τ α σ θ α ί τινι ἀντὶ τοῦ ἐπικουρεῖν. 610, 46.
π α ρ ί σ χ ε ι ν ἀντὶ τοῦ παρέχειν. 465, 41. ζήτει τὸ παρέχειν.
π α ρ μ έ μ β λ ω κ ε τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ μέλω γίνεται μέμλω διπλασιασμῷ τοῦ μ̄, καὶ ἐπενθέσει τοῦ β̄ μέμβλω. 439, 21. 1723, 1.
Π α ρ ν α σ ὸ ς ὄρος, Τερνεσὸς χυδαϊκῶς λεγόμενον ἐπὶ Εὐσταθίου, καὶ ὅτι ἡ διὰ δύο σ̄ γραφὴ τῆς λέξεως κατήργηται παρὰ τοῖς ὕστερον. 1872, 50.
Π α ρ ν η σ σ ὸ ς ὄρος, ὁ καὶ Παρνασσὸς διὰ τοῦ ᾱ· ζήτει τὸ Παρνασός. 1872, 50.
π ά ρ ο ι θ ε ν ἀντὶ τοῦ πρὸ ὀφθαλμῶν ἐν τῷ, πάροιθε δέ τ' ὄμφακές εἰσιν, Ὀδ. η', 125. 1574, 22. καὶ πάροιθεν ἀντὶ τοῦ ἀνέκαθεν καὶ ἐκ παλαιτάτων χρόνων ἐν τῷ, μνηστήρων οὐχ' ἥδε δίκη τὸ πάροιθε τέτυκτο, Ὀδ. σ', 275. 1846, 47. καὶ πάροιθεν ὀξὺ βέλος λέγεται τὸ ὀξεῖαν προβεβλημένον αἰχμὴν, καὶ πάροιθε χρονικὸν ἀντὶ τοῦ πρὸ τούτου καὶ πρῴην. 1214, 44. 47.
π α ρ ο ι μ ί α ι ὅτι πρὸς διαφόρους ἐννοίας στρέφονται εἴτουν μεταλαμβάνονταί ποτε κατὰ παράχρησιν, οἷον τὸ Καδμεία νίκη, οὐ μόνον ἐπὶ τῆς ἀκερδοῦς, ἀλλὰ καὶ ἐπὶ μεγάλης τινός. 1262, 25. 1927, 12. καὶ ὅτι πᾶσα παροιμία εἴς τινα παραίνεσιν ἀποκεφαλαιοῦται, ἐκδέχεται δέ τι ἔξωθεν ἐπέκεινα τοῦ κειμένου. 1769, 4.
π α ρ ο ι ν ί α ν νοσεῖν ἀντὶ τοῦ παροινεῖν. 1910, 52.
π α ρ ο ί τ ε ρ ο ς καὶ παροίτατος ὁ ἔμπροσθεν ὢν καὶ προτρέχων, ὅτι ἐκ τοῦ πάρος λέγονται πλεονασμῷ τοῦ ῑ. 1311, 2. 1905, 33.
π α ρ ο ν ο μ α σ ί α, σχῆμα λόγου, καὶ παραδείγματα αὐτοῦ. 337, 43. 348, 31.
π α ρ ο ξ ῦ ν α ι τὸ εἰς θυμὸν κινῆσαι, καὶ παροξύνεσθαι τὸ χολοῦσθαι. 252, 2. 1392, 53.
π ά ρ ο ς τοῦ δεῖνος, παρ' Ὁμήρῳ ἀντὶ τοῦ πρὸ τοῦ δεῖνος. 711, 63.
π ά ρ ο υ ρ ο ς, ὁ καὶ ἐν ἁπλότητι οὖρος, ὅ ἐστι φύλαξ, ἐπάρουρος δὲ ὁ ἐπίγειος καὶ γῆν ἐργαζόμενος ἄνθρωπος. 1695, 36.
π α ρ ο χ ὴ ἡ χορηγία, παρὰ τὸ παρέχειν. 1292, 4.
π ά ρ ο χ ο ς, ὁ καὶ παράνυμφος διὰ τὸ παροχεῖσθαι ὀχουμένῳ τῷ νυμφίῳ. 652, 44. ἀλλαχοῦ δὲ ὅτι πάροχος ὁ παρακαθήμενος τῇ νύμφῃ φίλος ἢ συγγενὴς τοῦ νυμφίου. 833, 50.
π α ρ ο ψ ὶ ς, εἶδος σκεύους καὶ ὄψον ποιόν. 867, 55.
π α ρ π ε π ι θ ε ῖ ν, παραπεῖσαι. 1286, 31.
Π α ῤ ῥ α σ ί α, πόλις Ἀρκαδικὴ, ἀπὸ Παῤῥάσου τοῦ Λυκάονος, ἢ διὰ τὴν τοῦ Λυκάονος πρὸς τὸν Δία

πάταγος, ὄνομα ῥηματικὸν παρὰ τὸ πατάσσω λεγόμενον. 677, 41. 1848, 60.

πατάσσειν, ὅθεν πάταγος, ὅτι ἐκ τοῦ πάτος ὠνοματοπεποίηται. 637, 5. 932, 4. 1848, 60. καὶ ὅτι πατάσσειν λέγεται ἡ καρδία, ἤγουν ποιὸν ἦχον ἀποτελεῖν ἐν τῷ κραδαίνεσθαι. 677, 38. 46. ἀλλαχοῦ δὲ ὅτι πατάσσειν λέγεται καρδία, ἤγουν ἐναγωνίως πάλλεσθαι. 1306, 26.

πατεῖν ὅτι κατὰ μίμημα ἦχον λέγεται. 677, 41. καὶ ὅτι πατεῖν σταφυλὰς λέγεται κατὰ συνθήκην. 1574, 4.

πατέλλια, τὰ καὶ ἐκπέταλα, ποτήρια ποιά, ὅθεν καὶ τὸ Πατελλοχάρων ὄνομα σύγκειται. 229, 3.

Πατελλοχάρων, ζήτει ἐν τῷ πατέλλια. 229, 4.

πάτερ, κλητικῆς πτώσεως, ὅτι παραλόγως βαρύνεται ὀξυνομένης τῆς εὐθείας. 630, 23.

πατὴρ ἁπλῶς λέγεται ὁ Ζεύς. 1057, 26.

πατὴρ θεῶν καὶ ἀνθρώπων τίνι λόγῳ λέγεται ὁ Ζεὺς πολλαχοῦ παρ' Ὁμήρῳ, ἑρμηνεία διεξοδική. 147, 26. καὶ ὅτι ἁπλῶς πατὴρ ἐνίοτε λέγεται ὡς ἀρχέτυπον τῶν κατὰ μέρος πατέρων. 1057, 26. καὶ ὅτι ὁ μὲν θεὸς παρὰ τὸ πάντας τηρεῖν πατὴρ λέγεται, πατὴρ δὲ ἄνθρωπος παρὰ τὸ τοὺς παῖδας τηρεῖν. 1606, 31.

πατῆσαι ὅρκια ἀντὶ τοῦ καταφρονῆσαι τῶν ὅρκων. 458, 11.

πάτος ἡ ὁδὸς, ἐκ τοῦ ποιὸν ἦχον ἀποτελεῖν ἐν τῷ πατεῖσθαι. 677, 41. ἀλλαχοῦ δὲ ὅτι πάτος ἡ πεπατημένη ὁδὸς ἐν τῷ, καθεζώμεσθα κιόντες ἐκ πάτου, Ἰλ. υ', 137. 188, 46. 1200, 34. καὶ πάλιν ἀλλαχοῦ πάτος ἀναστροφὴ ἡ ὁδὸς ἐν τῷ, οὐ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει, Ὀδ. ι', 119. καὶ παροιμία, ἐκ πάτου, ἀντὶ τοῦ ἐκ ποδῶν. 1619, 41. ὅθεν καὶ τὸ, πάτον ἀνθρώπων ἀλεείνων, Ἰλ. ζ', 202. ἀντὶ τοῦ ἐκφεύγων τὴν μετ' ἀνθρώπων συνδιατριβήν· καὶ ὅτι βαρύνεται ὁ πάτος φωνή. 636, 33. 60. καὶ πάτος ὁμωνύμως ἡ κόνις. 373, 30.

πάτρα ὅτι ἐκ τῆς πατέρα αἰτιατικῆς συγκοπείσης εἰς εὐθεῖαν ἀνέδραμε. 685, 6. καὶ ὅτι τὸ πάτρα προϋπάρχει τοῦ πατρίς. 188, 29.

πατραλοίας ὁ τὸν πατέρα τύπτων, ὅτι παρὰ τὸ ἀλοῶ λέγεται. 505, 1.

πατριὰ Ἰωνικῶς ἴσον τῷ παρὰ τοῖς Ἀττικοῖς φρατρία. 239, 33.

πατρίδιον ὅτι ἐκ τοῦ πατὴρ πατέρος ὑποκεκόρισται. 886, 31.

πατρὶς, ὅτι οὐχ' ὑποκεκόρισται ἡ λέξις, ἀλλ' ἀπὸ τοῦ πάτρα παρῆκται· καὶ ὅτι τῇ μὲν ἀπὸ τοῦ πατρὸς παρωνυμίᾳ τὸν πατέρα συνεισάγει, τῷ δὲ θηλυκῶς ἐσχηματίσθαι τὴν μητέρα. 188, 17. 24. 29. 252, 46. 886, 31. 936, 61. 1360, 22. καὶ ὅτι πατρὶς μὲν ἄρουρα καὶ πατρὶς γῆ ἐντελῶς λέγεται, πατρὶς δὲ κατὰ μόνας ἐλλιπῶς ἔχει. 256, 21. 461, 26. 684, 10. 1426, 47.

πατρὶς γαῖα παρ' Ὁμήρῳ οὐ μόνον ἡ πόλις, ἐν ᾗ τις ἐγεννήθη, ἀλλὰ καὶ ἡ περιέχουσα αὐτὴν χώρα. 1507, 47. ἀλλαχοῦ δὲ ὅτι πατρὶς λέγεται ἡ πόλις, ἐν ᾗ γεννηθείς τις ἀνετράφη. 1663, 27.

Πατρόκλεια, ὅτι οὕτως ἐπιγράφεται ἡ πῖ ῥαψῳδία τῆς Ἰλιάδος διὰ τὸ τὰ κατὰ Πάτροκλον ἱστορεῖν. 1041, 17.

Πατρόκλεις κλητικὴ ὅτι ἀπὸ τῆς Πατροκλῆς εὐθείας κεκίνηται. 112, 42.

Πάτροκλον πρόφασιν, παροιμία ἐπὶ τῶν τὸ μὴ αἴτιον ὡς αἴτιον προσποιουμένων. 1185, 34.

Πάτροκλος ὅτι καὶ Πατροκλῆς λέγεται ὡς Ἡρακλῆς. 1042, 3.

Πατρόκλου τοῦ Μενοιτίου γενεαλογία διεξοδική. 112, 46.

πατρὸς κατὰ γενικὴν πτῶσιν λέγεται κοινῶς, οὐ μὴν πατέρος. 9, 26.

πατροῦχος ἡ παρὰ τοῖς Ἀττικοῖς ἐπίκληρος. 674, 30.

πατροφονεὺς οὐ μόνον ὁ τὸν ἑαυτοῦ πατέρα ἀνελὼν, ἀλλὰ καὶ ὁ ἀλλότριον. 1418, 54.

πατροφόντης, ἐπίθετον κατὰ θηλυκοῦ προσηγορικοῦ λεγόμενον ἐν τῷ, πατροφόντου μητρός (Soph. Trach. 1125.). 1428, 21.

πατρυιὸς ὅτι παθρυιὸς ὤφειλε λέγεσθαι, ὡς καὶ μηθρυιὰ ἡ μητρυιά. 560, 26. ζήτει τὸ μητρυιά.

πατρωίη γῆ ἀντὶ τοῦ πατρίς. 1738, 14.

πατρῶν ἀντὶ τοῦ πατέρων χρήσιμον παρὰ ποιηταῖς, ἐν δὲ πεζῷ λόγῳ ἄχρηστον. 392, 6. 1514, 17. 1594, 5.

πατρωνυμικά, ὅτι τοῖς πατρωνυμικοῖς οὐδὲν δεῖ προστιθέναι πρὸς ἐντέλειαν· ἔγκειται γὰρ αὐτοῖς τὸ εἰς ὃ ἀναλύονται, τοῖς δὲ κτητικοῖς ἀνάγκη προστιθέναι τὸ τῇ κτήσει ὑποκείμενον πρᾶγμα. 858, 2.

πατρωνυμικὰ ἀπὸ ληγόντων εἰς εις ὅτι κοινῶς μὲν διὰ τοῦ ειδης καὶ ἐν συναιρέσει ειδης σχηματίζονται, Ἰωνικῶς δὲ διὰ τοῦ ηιδης, ἃ καὶ κατ' ἐπένθεσιν διὰ τοῦ ηιαδης λέγονται. 12, 37.

πατρωνυμικὰ ἀπὸ πάππων, ὅτι Ὅμηρος οὐ σχηματίζει πατρωνυμίαν ἀπὸ πάππου, εἰ μὴ ὁ πάππος ἐκεῖνος γνωριμώτατος, ὅθεν Αἰακίδης ὁ Ἀχιλλεὺς ἀπὸ τοῦ πάππου Αἰακοῦ. 1388, 24.

πατρωνυμικὰ εἰς δης ἀπαθῆ ὅτι μιᾷ συλλαβῇ ὑπερβαίνει τὰς ἐφ' ὧν παράγονται γενικάς· καὶ περὶ τῶν μιᾷ συλλαβῇ ἐλλειπόντων κατὰ πάθος, οἷον Δευκαλίωνος Δευκαλίδης, ἑρμηνεία διεξοδική. 13, 16.

πατρωνυμικῶν θηλυκῶν τύπος διὰ τοῦ ινη καὶ ωνη ἀπὸ τῶν εἰς ος καθαρὸν ληγόντων κυρίων σχηματίζονται, οἷον Ἀκρίσιος Ἀκρισιώνη· ἀπὸ δὲ τῶν μὴ καθαρὸν ἐχόντων τὸ ος διὰ τοῦ ινη, οἷον Ἄδραστος Ἀδραστίνη. 989, 18.

πατρῷος ὅτι ἐκ τοῦ πατροῖος ἐκτάσει τοῦ ο τῆς οι διφθόγγου λέγεται. 102, 30.

πάτρως ὁ πρὸς πατρὸς θεῖος, ὅτι τῆς Ἰώνων ἐστὶ διαλέκτου, καὶ ὅτι πάτρωες ἐνίοτε καὶ οἱ κατὰ τὸν πατέρα πρόγονοι λέγονται. 316, 8. 16. 971, 26. 37.

παῦ ἀντὶ τοῦ παῦσαι κατ' Αἰολικὴν ἀποκοπήν. 1408, 26.

παύειν τινὰ πολέμου, ἀντὶ τοῦ ἀνελεῖν περιφραστικῶς. 847, 19.

παῦρος λαὸς, ἤγουν ὀλίγος. 317, 35.

πανσικάπη, μηχάνημά τι, ὅτι παρὰ τὸ παύειν τοῦ κάπτειν, ὅ ἐστιν ἐσθίειν, λέγεται, ἑρμηνεία διεξοδική. 1280, 36.

πανσινύσταλον βρῶμα ἢ φάρμακον, τὸ ποιοῦν ἐγρηγορέναι καὶ ὡς εἰπεῖν νηφάλιον. 1493, 52.

Παφία, οἱονεὶ ἀπαφία, ἤγουν ἀπαφίσκουσα καὶ ἀπατῶσα τῷ ἔρωτι. 757, 6. 974, 17.

Παφλαγὼν, ὄνομα ἐθνικὸν, καὶ παφλαγὼν ὁ στωμύλος παρὰ τὸ παφλάζειν. 360, 27. 953, 10.

παφλάζειν ἢ καχλάζειν λέγεται τὸ ἐπιτεταμένως ζέον ὕδωρ. 1661, 64. καὶ ὅτι καὶ κύματα παφλάζοντα λέγονται τὰ ποιὸν ἦχον ὑποτελοῦντα. 960, 53.

Πάφος, πόλις Κύπρου, ὅτι καὶ Ἐρυθραί ποτε ὠνομάσθη. 267, 1. καὶ ὅτι διὰ τὸ πρὸς τὸ ἐπαφᾶσθαι ἢ ἀπαφίσκειν, ἅπερ Ἀφροδίτης εἰσὶν ἴδια, ἀνεῖσθαι τῇ Ἀφροδίτῃ λέγεται ἡ Πάφος. 1600, 62.

παχεῖα γυνὴ ἡ πόρνη λέγεται διὰ τὸ πολύτροφον. 1088, 37.

παχεῖα χεὶρ ἀντὶ τοῦ ἀνδρικὴ, διὰ τὸ παχέα εἶναι τοῖς ἀνδρείοις τὰ ἀκρωτήρια· καὶ ὅτι τὸ μὲν παχὺ ταῖς χερσὶ, τὸ δὲ λιπαρὸν τοῖς ποσὶν ἀπεκλήρωσεν Ὅμηρος· καὶ ὅτι ταῖς γυναικείαις χερσὶν ἀκύρως ἐπιτίθεται τὸ παχύ. 426, 25. 787, 47. 1555, 11.

πάχνη ἐστὶ δρόσος πεπυκνωμένη καὶ πεπηγμένη. 1097, 58. καὶ ὅτι παχύτερόν τι χιόνος δηλοῖ. 1770, 21.

παχνοῦσθαι λέγεται ἡ καρδία ἀντὶ τοῦ πυκνοῦσθαι καὶ οἷον πήγνυσθαι τῇ λύπῃ, ἢ ἀντὶ τοῦ ψύχεσθαι. 1097, 56. 60.

πεδάαν κατὰ τὴν δευτέραν τῶν περισπωμένων παρ' Ὁμήρῳ. 1500, 59. 1950, 15.

πέδαι, ὅτι παρὰ τὸ ποὺς ποδὸς λέγεται τοὔνομα τροπῇ τοῦ ο εἰς ε. 919, 16. καὶ ὅτι ἀκύρως λέγεται ἐν τῷ χειροπέδη. 159, 45.

πεδεῖσθαι ἀντὶ τοῦ τὸ ἀκουσίως κατέχεσθαι παρ' Ὁμήρῳ. 1254, 19. καὶ πεδεῖσθαι ἄλγεσι τὸ ὑπ' ἀλγέων κωλύεσθαι. 1950, 14.

πέδιλον ὅτι παρὰ τὸ περὶ τὸ πέδον εἰλεῖσθαι λέγεται, καὶ ὅτι τὸ δι διὰ διφθόγγου ἐγράφετο πάλαι. 179, 24. 1413, 34. 1521, 64.

πεδίον ἢ πεδιάς παροξυτόνως, πέδιον δὲ προπαροξυτόνως ἡ μικρὰ πέδη. 255, 42.

πεδόθεν, ἐκ πέδου, ὅ ἐστι γῆς, καὶ ὡς εἰπεῖν ἐκ ῥίζης· μεταφορικῶς δὲ καὶ ἐπὶ ἀνθρώπων ἀντὶ τοῦ ἐκ γενετῆς καὶ βρεφόθεν. 1742, 25.

πεδοῖ ἐπίῤῥημα, ἤγουν περὶ τὸ πέδον καὶ ἀντὶ τοῦ πεζῇ παρ' Αἰσχύλῳ. 153, 34. 471, 44. 1839, 56.

πέδων δοῦλος ὁ πεδήτης, ὅθεν καὶ τριπέδων ὁ τρίδουλος. 725, 31. 1542, 48.

πέζα ὁ ποὺς, παρὰ τὸ πέδον τροπῇ τοῦ δ εἰς ζ. 471, 43. καὶ ὅτι καὶ πέζα ὁμωνύμως ἡ τῶν ἱματίων ᾦα. 146, 29. καὶ πέζαι θαλάσσης τὰ πρὸς τῷ αἰγιαλῷ μέρη. 146, 24. καὶ ὅτι πέζα λέγεται καὶ ὁ ἔξω κύκλος τῆς τραπέζης. 867, 29. καὶ πέζα πρώτη ῥυμοῦ παρ' Ὁμήρῳ τὸ ἄκρον ᾧ ἐπίκειται ὁ ζυγὸς, διὰ τὸ χαμαὶ γίνεσθαι ὅταν λυθῇ ὁ ῥυμός. 1350, 10.

πεζέταιροι, τάγμα στρατιωτῶν ἐπιλέκτων παρὰ τοῖς Μακεδόνων βασιλεῦσι, παρὰ τὸ πεζὸς καὶ τὸ ἑταῖρος· κατὰ δέ τινας πεζέτεροι διὰ τοῦ ε ψιλοῦ, παρὰ τὸ πέζα καὶ τὸ ἕτερος· ἄλλοι δὲ πεζαίτεροι γράφουσι τῷ λόγῳ τῶν διὰ τοῦ αιτερος, ἑρμηνεία διεξοδική. 472, 1.

πεζὸς ὅτι παρὰ τὸ πέδον διὰ τὴν τοῦ ζ πρὸς τὸ δ συγγένειαν, καὶ ὅτι καὶ ὁ πλέων, ὥς περ καὶ ὁ ἔφιππος, οὐ πεζὸς εἶναι λέγεται. 1408, 4.

πεζὸς ὁ ποσὶν ἁπλῶς βαίνων, ὅτι παρὰ τὸ πέδον λέγεται. 515, 45. καὶ ὅτι ὁ πεζὸς ἀντιδιαστέλλεται τῷ τε πλέοντι καὶ τῷ ἱππεύοντι. 471, 43. 539, 29.

πεζὸς λόγος ὁ μὴ ἔμμετρος διὰ τὸ ταπεινὸν ὡς πρὸς τὸν ἔμμετρον. 9, 7.

Πείθαρχος παρὰ Κύρου δωρεὰν ἑπτὰ πόλεις λαβὼν, ἱστορία. 840, 48.

πείθεσθαι γήρα καὶ νυκτὶ καὶ δαιτὶ, κατὰ συνθήκην λεγόμενον πολλαχοῦ παρ' Ὁμήρῳ. 1321, 52.

πεινήμεναι ἀντὶ τοῦ πεινῆναι, ὃ ἐκ τοῦ πειναίνω ἢ πείνημι θέματος κεκίνηται. 1887, 2.

πεινῶντες ἄνθρωποι, ὅτι πᾶς τις πεινῶν ἢ νηστεύων κεστρῖνος ἐπεκαλεῖτο. 1642, 61. 63.

πεῖρα προστακτικῶς ἀντὶ τοῦ πειρῶ παρ' Ὁμήρῳ, καὶ πειρᾶν ἀντὶ τοῦ πειρᾶσθαι. 1508, 15.

πειράζειν καὶ πειρᾶν γενικῇ παρ' Ὁμήρῳ, καὶ ἀπολύτως ἐνίοτε χωρὶς πτωτικῆς συναρτήσεως. 1940, 61.

πειραθῆναι, δοτικῇ διὰ μέτρου ἀνάγκην ἐν τῷ, πρὶν ἕλσαι κατὰ ἄστυ καὶ Ἕκτορι πειρηθῆναι, Ἰλ. φ', 225. 1234, 62.

Πειραΐδης, Πειραίου υἱός. 465, 39.

Πειραιεὺς ὅτι μετωνομάσθη ἡ κατὰ τὸν Εὔξεινον πόντον Ἀμισὸς πόλις, ὁμωνύμως τῷ Ἀττικῷ λιμένι. 284, 26.

πειραίνω ἀντὶ τοῦ περαίνω ποιητικῶς, ὡς καὶ πεῖραρ ἀντὶ τοῦ πέρας. 669, 7.

πειρᾶν γυναῖκα τὸ πειράζειν ἐρωτικῶς, καὶ πειρᾶν ἀντὶ τοῦ πειρᾶσθαι παρ' Ὁμήρῳ καὶ Θουκυδίδῃ. 669, 7. 745, 34. 1508, 18.

πεῖραρ πείρατος, τὸ πέρας ἑτεροκλίτως. 669, 7. 937, 26. 978, 8.

πεῖραρ ἑλέσθαι ἐπὶ μάρτυρι ἢ κριτῇ λέγονται παρ' Ὁμήρῳ δικαζόμενοί τινες. 1158, 19.

πείρατα νείατα γαίης, ἀντὶ τοῦ τὰ ἔσχατα πέρατα τῆς γῆς παρ' Ὁμήρῳ. 724, 33.

πείρατα ὀλέθρου ἱκέσθαι, ἀντὶ τοῦ εἰς τέλειον θάνατον ἐλθεῖν. 1215, 24.

πείρατα τέχνης ὄργανα, ὅ ἐστι περατωτικὰ καὶ δι' ὧν τέχνη τις περατοῦται. 1475, 52.

πειραταὶ, λῃσταὶ θαλάσσιοι, καὶ ὅτι οὐκ ἄτιμον ἐνομίζετο παρὰ τοῖς ἀρχαίοις τὸ πειρατεύειν. 1457, 58.

πείρειν τὸ περᾶν καὶ διανήχεσθαι, καὶ πείρειν τὸ διαπείρειν εἴτουν διείρειν. 1453, 17. 1455, 61. 1651, 10. 1734, 25.

πείρεσθαι ὀδύναις τὸ οἱονεὶ βέλει τινὶ διαπερονᾶσθαι. 563, 33.
Πείρεως Πείρεω κύριον, ὡς Μενέλεως Μενέλεω κλινόμενον. 1217, 60.
πειρηθεῖμεν ἀντὶ τοῦ πειρηθείημεν, Ὀδ. π', 305. 1803, 14.
πειρήναντες ἀντὶ τοῦ περατώσαντες ἢ ἐκδήσαντες, ἀπὸ τοῦ πειραίνω ἤγουν περαίνω. 1923, 55.
Πειρήνη, κρήνη ὑπὸ τῇ κορυφῇ τοῦ Ἀκροκορίνθου. 290, 28. 38.
πειρήσασθαι ποσὶ ἀντὶ τοῦ δραμεῖν ἐναγωνίως παρ' Ὁμήρῳ. 1587, 35.
πειρήσω ἀντὶ τοῦ πειράσομαι ἐν τῷ, τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα, Ἰλιάδ. τ', 30. 1169, 41.
πειρητίζειν τὸ ἀποπειρᾶσθαι παρ' Ὁμήρῳ, ὅτι ἐκ τοῦ πεῖραρ πείρατος παρῆκται. 679, 14. 1803, 37. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ πειρῶ πειρήσω γίνεται πειρητὸς, ὅθεν πειρητῶ καὶ πειρητίζω. 1033, 30. 1782, 7.
Πειρίθους, υἱὸς Ἰξίονος ἐν Θετταλίᾳ βασιλεύσαντος, ὅτι ἐκ τοῦ περιττὸς εἶναι θέειν οὕτως ἐκλήθη, ἢ ἐκ τοῦ τὸν Δία περιθέειν αὐτοῦ τὴν μητέρα ἵππῳ ὁμοιωθέντα. 100, 45. 1459, 39. καὶ ὅτι Δίας καλουμένης μητρὸς ἦν. 101, 3. καὶ ὅτι Ἱπποδάμειαν τὴν Ἀδράστου ἔγημε. 1910, 6.
πείρινθα, κατ' αἰτιατικὴν πτῶσιν, τὸ ἐπὶ τῆς ἁμάξης πλινθίον, ἐν ᾧ τὰ φορτία ἐπιτίθενται, ἐκ ῥιπῶν πλεκόμενον, ὅθεν καὶ λέγεται οἱονεὶ ῥίπινθα. 1344, 37. ἀλλαχοῦ δὲ ὅτι πείρινθα Ὅμηρος λέγει τὸ ἐπὶ τῶν ὁμαξῶν φορτοφόρον πλινθίον· καὶ ὅτι ἐκ τῆς περὶ προθέσεως καὶ τοῦ θῶ τὸ τίθημι λέγεται, οἱονεί τι περίθεμα, καὶ κλίνεται πείρινς πείρινθος, ἢ πείρινθον πειρίνθου. 1777, 10.
πείρων, μετοχὴ ἀντὶ τοῦ περῶν, ὅτι βαρύνεται ἡ λέξις ὡς ἀπὸ τοῦ πείρω βαρυτόνου θέματος. 1336, 22.
Πείσανδρος, διασημότατος ποιητὴς, ὅτι ἐκ Καμίρου ἦν Ῥοδιακῆς πόλεως. 315, 26. ἀλλαχοῦ δὲ ὅτι Πείσανδρος ὁ κωμῳδὸς ἀνθρωποφαγεῖν διεβέβλητο. 1630, 9.
πείσεσθαι, ῥῆμα μέσον ἐνεργείας καὶ πάθους ἐν τῷ, νήπιος οὐδὲ τὸ ᾔδει ὃ οὐ πείσεσθαι ἔμελλεν, Ὀδ. γ', 146. Ἰλ. ν', 466. 1461, 49.
πείσῃ, δοτικὴ ἀπὸ τῆς πεῖσα εὐθείας, ὃ δηλοῖ τὴν πειθώ. 1881, 34.
Πεισήνωρ, ὄνομα κήρυκος παρ' Ὁμήρῳ, ὅτι παρὰ τὸ πείθειν ἀνέρας λέγεται. 1432, 44.
Πεισίστρατος ὁ τύραννος ὅτι περιῄγε μεθ' ἑαυτοῦ τινὰς ἔχοντας κέρματα, ὧν διεδίδου τοῖς πολίταις. 1376, 24. καὶ ὅτι οἱ Πεισιστρατίδαι Πύλιοι καὶ Νηλεῖδαι ἦσαν τὸ ἀνέκαθεν. 1474, 45.
πεῖσμα καὶ πεισμονὴ, ἐνστατικὸν ἦθος, τροπικῶς ἀπὸ τῶν κατὰ τὰς ναῦς πεισμάτων ἤγουν σχοινίων· καὶ παροιμία μεταληπτικῶς λεγομένη ἐπὶ πεισματικῶν τινῶν ἀνθρώπων, ὅτι τῆς αὐτῆς ἐστὲ καννάβεως, ἤγουν ὁμοίως πεισματικοί. 1927, 5.
πείσματα τὰ πρὸς τῇ γῇ δεσμοῦντα τὴν ναῦν σχοινία, παρὰ τὸ πείθεσθαι αὐτοῖς τὴν ναῦν οὕτω λεγόμενα. 131, 7. 138, 31. 1619, 64. καὶ πεῖσμα, τὸ ἁπλῶς σχοινίον ἐνίοτε παρ' Ὁμήρῳ. 1653, 2.
πεισμονὴ τὸ ἐνστατικὸν ἦθος, ζήτει ἐν τῷ πεῖσμα. 1927, 5.
πειώλης ὁ κίναιδος, παρὰ τὸ πέος. 1684, 29.
πέκειν ἀντὶ τοῦ κτενίζειν περὶ ἀνθρώπων λεγόμενον, περὶ δὲ προβάτων ἀντὶ τοῦ κείρειν. 975, 15. 55. καὶ πέκειν εἴρια τὸ κτενίζειν ἔρια. 1848, 40.
Πελαγονία χώρα ὅτι ἀπὸ Πηλεγόνος ἥρωος δοκεῖ λέγεσθαι. 1228, 12.
πελάζειν τι τόπῳ τινὶ, ἀντὶ τοῦ ἀποθέσθαι, οἷον ἐν τῷ, κτήματα δ' ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα, Ὀδ. κ', 404. 1663, 18.
πέλανος, εἶδος πεμμάτων πλατέων κυκλοτερῶν, ἃ καὶ σεληναῖα ἐλέγοντο. 1165, 9. ἀλλαχοῦ δὲ ὅτι πέλανοι ἢ πελανοὶ ὀξυτόνως ταὐτὸ ὅπερ θηλαὶ, ὃ δηλοῖ τὰς διὰ θυσιῶν μαντείας. 1601, 4.
Πελαργικὸς, λόφος τις οὕτω καλούμενος ἐν τῷ τοῦ Δωδωναίου Διὸς τεμένει. 1057, 53.
Πελαργὸς, ὅτι ἐξ ἀντικειμένων σύγκειται τοὔνομα, τοῦ πελὸν, ὃ δηλοῖ τὸ μέλαν, καὶ τοῦ ἀργὸν, ὅ ἐστι λευκόν. 310, 40. 869, 62. 1183, 63. 1262, 61. ὅθεν καὶ πελαργοχρῶτες νῆες αἱ κατὰ πελαργοὺς κεχρωσμέναι. 310, 39.
πέλας τὸ ἐγγὺς κατὰ γλῶσσαν ποιητικήν. 488, 18.
πελάσσαι οὐ μόνον τὸ ἐγγὺς γενέσθαι, ἀλλὰ καὶ τὸ ἐγγὺς ποιῆσαι. 1023, 30.
Πελασγία, ὅτι οὕτως ἐκλήθη ποτὲ Λέσβος ἡ νῆσος. 741, 32.
Πελασγικὸν Ἄργος, πόλις ἢ χώρα Θεσσαλικὴ, ἀπὸ Πελασγοῦ τοῦ Αἵμονος· καὶ Ἄργος Πελασγικὸν ἐν Πελοποννήσῳ, ἀπὸ Πελασγοῦ ἑνὸς τῶν Φορωνέως παίδων. 319, 43. 321, 27. 385, 41.
Πελασγικὸς Ζεὺς λέγεται ὁ ἐν Δωδώνῃ τιμώμενος, οὗ τὸ ἱερὸν Πελασγοὶ ἵδρυσαν· καὶ Πελασγικὸς Ζεὺς ἀλληγορικῶς ὁ πέλας, ὅ ἐστιν ἐγγὺς τῆς γῆς, ἀήρ. 1057, 42. 51.
Πελασγοὶ, ἔθνος πολλαχοῦ τῆς γῆς διεσπαρμένον, καὶ Πελασγικὸν πεδίον, ἱστορία διεξοδική. 357, 21. 358, 12. καὶ ὅτι ἐκ τῆς Φθιώτιδος εἰς Κρήτην ἀπῳκίσθησάν τινες τῶν Πελασγῶν μετὰ Κερκάφου. 1861, 19. καὶ ὅτι ἐντεταμένον εἴτουν ὀρθιάζοντα τὸν Ἑρμῆν ἵδρυνον οἱ Πελασγοί, ἱστορία. 1249, 8.
Πελασγὸς, εἷς τῶν Φορωνέως παίδων, λαχὼν τὴν πρὸς Ἐρασίνῳ ποταμῷ μοῖραν τῆς Ἀργείας χώρας, ἱστορία. 385, 39.
πέλεθρον τὸ πλέθρον παρ' Ὁμήρῳ. 545, 19.
πέλεια, ὅτι εἶδός τι περιστερῶν οὕτω λέγεται παρὰ τὸ πελὸν, ὅ ἐστι μέλαν· καὶ ὅτι καὶ πελειὰς πελειάδος λέγεται ἐπὶ τοῦ αὐτοῦ. 607, 6. 1262, 60. 1712, 41. 44.
πέλεια καὶ πελειὰς ἐπὶ τοῦ αὐτοῦ, ὅτι παρὰ τὸ πελὸν λέγονται. 869, 61.
πέλειαι αἱ γραῖαι κατὰ γλῶσσαν,

καὶ πίλειοι οἱ γέροντες· καὶ ὅτι πέλειαι ἐκαλοῦντο αἱ προϊστάμεναι τοῦ ἐν Δωδώνῃ χρηστηρίου γραῖαι, ζήτει ἐν τῷ, Δωδώνη πόλις Θεσπρωτική. 1760, 43. καὶ πέλειαι ὅτι τὰς πελείας, ἃς Ὅμηρος Ὀδ. μ', 63. φέρειν ἀμβροσίαν τῷ Διὶ μυθολογεῖ, εἰς τὰς Πλειάδας τὰ ἄστρα ἀνάγουσί τινες ἀπὸ τῆς τοῦ ὀνόματος ὁμοιότητος ὁρμώμενοι· καὶ ὅτι καὶ Πελειάδας πολλοὶ τῶν μεθ' Ὅμηρον ποιητῶν τὰς ἐν οὐρανῷ Πλειάδας ὠνόμασαν, καὶ ἐξήγησις καὶ ἀλληγορία διεξοδικὴ τῶν ἱστορουμένων Ὁμήρῳ περὶ τῶν Πελειάδων ἐν τῷ μ̄ τῆς Ὀδυσσ. 869, 41. 1712, 57 — 1713, 17.

πελειὰς, εἶδος περιστερᾶς ταὐτὸ ὅπερ πέλεια, ζήτει τὸ πέλεια· καὶ πελειὰς ἡμένη, παροιμία ἐπὶ τῶν ἁπλουστάτων διὰ τὸ εὔηθες τοῦ ζῴου. 1333, 21.

πελεκίζω, ζήτει τὸ πελεκῶ. 1531, 53.

πέλεκκον οὐδετέρως ὁ στειλειὸς, δυσὶ κ̄ παρ' Ὁμήρῳ. 949, 56.

πέλεκυς, ὅτι καὶ σταθμός τις ὁλκῆς παρὰ Κρησὶν οὕτως ἐλέγετο ὁμωνύμως. 1878, 55.

πελεκῶ ὅτι διπλάζει ἐνίοτε τὸ κ̄ πρὸς μέτρου χρείαν, καὶ ὅτι πελεκῶ μὲν περὶ ξύλων λέγεται, πελεκίζω δὲ ἐπὶ προβάτων. 1531, 53.

πελεμίζειν τὸ τῇ παλάμῃ διασαλεύειν καὶ κινεῖν, καὶ ἁπλῶς τὸ μετακινεῖν καὶ σαλεύειν. 505, 33. 722, 44. 1048, 39. 1229, 60.

πέλεσθαι καὶ περιπέλεσθαι ἀντὶ τοῦ πολεῖσθαι καὶ περιπολεῖσθαι ἐν τῷ, ὅτ' ἤματα μακρὰ πέλονται, καὶ ἐν τῷ, περιπλομένων ἐνιαυτῶν. 1384, 61.

πέλεσθαι κατὰ φωνὴν παθητικὴν ἀντὶ τοῦ πέλειν, ὅ ἐστιν ὑπάρχειν. 647, 15. καὶ πέλεσθαι ἀντὶ τοῦ γίνεσθαι ἐν τῷ, ὥρῃ ἐν εἰαρινῇ ὅτ' ἤματα μακρὰ πέλονται. 1927, 45.

πέλεται καὶ πέλονται ἀντὶ τοῦ πέλει καὶ πέλουσι. 1257, 58.

πέλευ ἀντὶ τοῦ πέλε, ὅ ἐστι γίνου. 1346, 41.

Πελίας, υἱὸς Ποσειδῶνος ἐκ Τυροῦς τῆς Σαλμωνέως, ὅτι ἐν Ἰωλκῷ ἐβασίλευσεν, καὶ ὅτι παρὰ τὸ πελιωθῆναι, ὅ ἐστι μελανθῆναι, αὐτοῦ τὸ μέτωπον ἐκ συνδρομῆς αἵματος οὕτως ἐκλήθη, ἱστορία. 1681, 9. 52.

πελιδνὸν χρῶμα ταὐτὸ ὅπερ πελιὸν, ὅ ἐστι μέλαν, ὅτι καὶ πελιτνὸν διὰ τὴν τοῦ τ̄ πρὸς τὸ δ̄ συγγένειαν λέγεται. 735, 57. 869, 62. 64.

Πελληνικαὶ χλαῖναι ἀπὸ Πελλήνης κώμης Πελοποννησιακῆς, ἱστορία. 292, 5.

πέλλα, ἀγγεῖον σκυφοειδὲς, εἰς ὃ ἤμελγον, ὅτι παρὰ τὸ πεπελεκῆσθαι ὡς ξύλινον οὕτω λέγεται. 1079, 54. 1531, 55. καὶ πέλλαι ὁμωνύμως φιάλαι τινὲς εἰς θυσίαν χρήσιμοι. 704, 31.

Πελλήνη, πόλις τῆς Ἀχαΐας καὶ κώμη. 291, 44 — 292, 7.

πελλὶς πελλίδος, ὅτι ἐκ τοῦ πέλλα, ὅ ἐστιν ἀγγεῖον ἐν ᾧ ἀμέλγουσιν, ὑποκεκόρισται. 1531, 57.

πελλὸς, εἶδός τι ἐρωδιοῦ, ὃ καὶ ὁρπακτικόν ἐστι. 804, 63.

πελὸν χρῶμα τὸ καὶ πελιὸν καὶ πελιδνὸν, ὅτι διαφέρει τοῦ αὐτόχρημα μέλανος. 310, 41. 869, 62. 64. ἀλλαχοῦ δὲ ὅτι πελὸν λέγεται πᾶν τὸ μελανίζον. 310, 41. 1262, 61.

Πελοπόννησος ὅτι οὐ κατ' ἀκρίβειαν, ἀλλὰ τῷ παρὰ βραχὺ νῆσος εἶναι οὕτως ὠνομάσθη. 338, 45. καὶ ὅτι ἀκρόπολις τῆς Ἑλλάδος ἐνομίζετο. 320, 34. καὶ ὅτι εἰς ἓξ δυναστείας διῄρητο κατὰ τοὺς περὶ τὰ Τρωικὰ χρόνους, ἱστορία. 289, 4.

Πέλοψ, ἱστορία διεξοδικὴ, ἐν ᾗ περὶ Οἰνομάου καὶ Ἱπποδαμείας καὶ Μυρτίλου. 183, 13.

πέλτη, ἀσπὶς ποιὰ δέρματι αἰγὸς ἢ οἰὸς κεκαλυμμένη. 911, 64.

πέλυξ ὁ πέλεκυς κατὰ γλῶσσαν. 383, 27. 1636, 12.

πέλωρ καὶ πελώριον ὅτι παρὰ τὸ πέλας ὄρους εἶναι, ὅ ἐστιν ὄρει ἐοικέναι τὸ μέγεθος, λέγονται· γίνεται δὲ τὸ πελώριον παρὰ τὸ πέλωρ, ὡς παρὰ τὸ ἕλωρ τὸ ἑλώριον· καὶ ὅτι τὸ πέλωρ κοινόν ἐστι τῷ γένει. 1623, 2 — 10. καὶ ὅτι τὸ πέλωρ οὐδετέρως λεγόμενον ὡς τὸ ὕδωρ ἀρσενικῶς ὑπόκειται ἐν τῷ, πέλωρ ἀθεμίστια εἰδώς· καὶ ὅτι ἢ πρωτότυπόν ἐστι τοῦ πελώριος ἢ ἐξ αὐτοῦ ἀποκέκοπται. 1150, 60. 1638, 20.

πελωρία ἑορτὴ, πελώρῳ Διὶ ἀγομένη παρὰ Θετταλοῖς, ἱστορία διεξοδική. 1101, 14.

πελώριον ὅτι καὶ πέλωρ καὶ πέλωρον λέγεται. 601, 44. καὶ ὅτι παρὰ τὸ πέλας ὄρους εἶναι κατὰ τὸ μέγεθος οὕτω λέγεται, καὶ ὅτι ἐκ κράσεως τοῦ ᾱ καὶ ō ἔχει τὸ ω̄. 1468, 20.

πελωρὶς, εἶδος χήμης εἴτουν ὀστρέου, καὶ Πελωρὶς ἄκρα Σικελικὴ διὰ τὸ κατ' αὐτὴν πέλωρον, ὅ ἐστιν εὐμέγεθες, οὕτω κληθεῖσα. 1101, 12. 1623, 6.

πέλωρον κακὸν τὸ μέγα. 1623, 7. ζήτει τὸ πέλωρ καὶ τὸ πελώριον.

πέλωρος καὶ πελώριος ἐπὶ τοῦ αὐτοῦ, καὶ πέλωρος Ζεὺς παρὰ Θετταλοῖς τιμώμενος. 1101, 11. 14. 22.

πεμμάτων προσηγορίαι διάφοροι. 1165, 9.

πεμπάζειν τὸ κατὰ πέντε ἀριθμεῖν, παρὰ τὸ πέμπε Αἰολικὸν, ὃ δηλοῖ τὸ πέντε. 135, 41. 1502, 44.

πεμπὰς καὶ πεμπαδάρχος ὅτι παρὰ τὸ πέμπε Αἰολικὸν, ὃ δηλοῖ τὸ πέντε, λέγονται. 1502, 45.

πέμπε Αἰολικῶς τὸ κοινῶς πέντε, ὅθεν καὶ πεμπὰς καὶ πεμπάδαρχος. 135, 41. 1502, 45.

πέμπειν καὶ στέλλειν ὅτι ἐπὶ πορείας κατὰ θάλασσαν λέγονται. 120, 46. καὶ πέμπειν ἁπλῶς τὸ στέλλειν καὶ τὸ καθ' ὁδηγίαν προπέμπειν, ὅθεν πομπός. 1509, 16. 1704, 10. καὶ πέμπειν το μετὰ πομπῆς καὶ θριάμβου προπέμπειν. 762, 6. 1292, 16. 1479, 17.

πέμπελος, ὄνομα ἡλικίας γεροντικῆς, ὅτι παρὰ τὸ πέπων λέγεται. 133, 10. 1084, 43. καὶ Πεμπέλου τινὸς οὕτω καλουμένου ἀνθρώπου ἀπόφθεγμα περὶ Βοιωτῶν. 954, 34.

πεμπτόζυγοι μέλλοντες ὅτι κοινῶς μὲν περισπῶνται καὶ δι' ἀμεταβόλου ἐκφέρονται, Αἰολικῶς

δὲ βαρύνονταί τε καὶ διὰ τοῦ σω προφέρονται. 23, 12.

πεμπώβολον, ὄργανον ἐκ πέντε ὀβελῶν συνεστηκός· καὶ ὅτι Κυμαίων ἐστὶν ἡ λέξις καθὰ καὶ ἡ χρῆσις τοῦ ὀργάνου. 135, 38. 1477, 3.

Πενέσται, ὅτι μέρος τι τῆς Βοιωτίας ὑπήκουσε Θετταλοῖς καὶ ἐκλήθησαν οἱ ἐκεῖ Μενέσται πρότερον, εἶτα Πενέσται, ἱστορία. 954, 41. ἀλλαχοῦ δὲ ὅτι Πενέσται παρὰ Θετταλοῖς οἱ μὴ γόνῳ δοῦλοι, πολέμῳ δ' ἡλωκότες. 295, 30. 1090, 50.

πένης ὅτι παρὰ τὸ πένω λέγεται, ὃ δηλοῖ τὸ σπουδαίως ἐνεργῶ. 222, 39. ἀλλαχοῦ δὲ ὅτι πένης ὁ χερσὶ πονούμενος καὶ οὕτω ζῶν, πτωχὸς δὲ ὁ ἐπαίτης. 1833, 54.

πενθερὸς, ἐτυμολογία, καὶ ὅτι καὶ ἑκυρὸς λέγεται. 648, 52.

Πενθεσίλεια, Ἄρεως θυγάτηρ, ὅτι ἀνελοῦσα κατά τινας τὸν Ἀχιλλέα ἐν Τροίᾳ πάλιν ὑπ' ἐκείνου ἀναβιόντος κατ' εὐχὴν Θέτιδος ἀνταναιρέθη, ἐφ' οἷς ὁ Ἄρης δίκην λαχὼν τῇ Θέτιδι κατεκρίθη ὑπὸ Ποσειδῶνος. 1696, 52.

πενθήμεναι ἀντὶ τοῦ πενθεῖν, ἀπὸ τοῦ πένθημι ἢ πενθαίνω. 1842, 64.

πενθητήριος πλόκαμος, ὃν ἐν καιρῷ πένθους ἐκείροντο οἱ ἀρχαῖοι Ἕλληνες. 165, 7.

πένθος ὅτι παρὰ τὸ πάθος λέγεται κατὰ γλῶσσαν, ὡς καὶ βένθος τὸ βάθος. 99, 5. 695, 32.

πενταέτηρος ἀντὶ τοῦ πενταετής, ὡς ἐνναέτηρος ἀντὶ τοῦ ἐνναετής. 245, 46.

πένταθλον, πέντε τινῶν ἀγωνισμάτων περίοδος, ὧν τὰ ὀνόματά εἰσι ταῦτα· ἅλμα, πάλη, δίσκευμα, κοντὸς καὶ δρόμος. 1320, 19.

πέντε ἀριθμητικὸν ἐν συνθέσει προτασσόμενον ὅτι ποτὲ μὲν φυλάττει τὸ ληκτικὸν ε, οἷον πεντεσύριγγον, ποτὲ δὲ εἰς α τρέπει, οἷον ἐν τῷ πεντάπηχυ. 1273, 35. 1417, 32.

πέντε πίνειν ἢ τρία ἢ μὴ τέτταρα, παροιμιακὸν, ἑρμηνεία διεξοδική. 1624, 44.

πεντηκόντορος ναῦς ὅτι ὑπὸ Δαναοῦ τοῦ Βήλου πρῶτον κατεσκευάσθη, ζήτει ἐν τῷ Δαναός. 37, 26. ἀλλαχοῦ δὲ ὅτι πεντηκόντερος μὲν διὰ τοῦ ε, εἰκόσορος δὲ διὰ τοῦ ο. 1631, 27.

πεντηκοντόγυιον χωρίον τὸ πεντήκοντα ζεύγεσιν ἀρόσιμον ἢ τὸ πεντηκοντάπλεθρον, ἐτυμολογία. 776, 60.

πεντώβολον οἱ πέντε ὀβολοὶ, ὡς τριώβολον οἱ τρεῖς. 136, 1.

πένω τὸ πονοῦμαι καὶ σπουδαίως ἐνεργῶ, ὅθεν πένης. 222, 38.

πέξασθαι χαίτας ἀντὶ τοῦ κτενίσαι τὰς τρίχας. 975, 15.

πεοίδης ὁ τὸ πέος, ὅ ἐστι τὸ αἰδοῖον, ἐξωγκωμένος, παρὰ τὸ οἰδεῖν. 1684, 29.

πεπαθυῖα, μετοχὴ θηλυκοῦ γένους, ὅτι ἐκ τοῦ πεπαθηκὼς πεπαθηκυῖα συνεκόπη, τὸ δὲ πεπαθηκὼς ἐκ τοῦ παθῶ παθήσω κεκίνηται. 1700, 48. 1832, 2.

πεπαίνειν ὅτι κυρίως μὲν περὶ καρπῶν λέγεται παρὰ τὸ πέπων πέπονος, τροπικῶς δὲ καὶ ἐπὶ ἑτέρων ἀντὶ τοῦ ἁπλῶς μαλθάσσειν. 624, 62.

πέπαισται Ἀττικῶς καὶ Ἰωνικῶς ἀντὶ τοῦ πέπαικται. 1594, 46.

πεπαίτερος, ἤγουν ὡριμώτερος, ὅτι παρὰ τὸ πέπων λέγεται. 211, 17. καὶ πεπαιτέρα γυνὴ ἡ μήτε πάνυ γηραιὰ, μήτε μὴν ἀκμαία. 883, 34.

πεπαλαγμένος ἀντὶ τοῦ μεμολυσμένος, ἀπὸ τοῦ παλάσσω θέματος. 641, 49.

πεπαλάχθαι τὸ αἵματι μεμολύνθαι. 1922, 20. καὶ ὅτι πεπαλάχθαι μὲν λύθρῳ ἢ αἵματι ἐντελῶς λέγεται, πεπαλάχθαι δὲ κατὰ μόνας ἀτελῶς. 1213, 36.

πεπαλάχθαι κλήρῳ τὸ λαχεῖν ἢ κληρώσασθαι, παλάσσειν γὰρ τὸ κληροῦσθαι, παρὰ τὸν πάλον, ὃ δηλοῖ τὸν κλῆρον. 1631, 38.

πεπάρθαι ὀδύναις τὸ οἱονεὶ τινι ὀξεῖ βέλει παρῆναι ταῖς ὀδύναις. 563, 31.

πεπαταγμένος φρένας ὁ ἐκ πατάγου τινὸς ἐκπεπληγμένος τὸν νοῦν καὶ οἱονεὶ ἐμβρόντητος, ὅτι ἀπὸ τοῦ πατάσσω κεκίνηται. 1848, 58.

πεπείρανται ἀντὶ τοῦ τετελείωνται, ἀπὸ τοῦ πειραίνω θέματος. 1706, 21.

πεπερημένος μετοχὴ ὅτι ἀπὸ τοῦ περάω περῶ κεκίνηται. 1222, 25.

πεπιθήσω ἀντὶ τοῦ πείσω μέλλοντος Ἰωνικῶς διπλασιασθέντος ἐκ τοῦ πιθῶ πιθήσω. 1267, 28. 36.

πεπίθοιεν ἀντὶ τοῦ πείσοιεν. 745, 38.

πέπληγα, μέσον παρακειμένου ἀντὶ τοῦ ἔπληξα καὶ ἀντὶ τοῦ ἐπλήγην. 1657, 1.

πεπληγέμεν, ἀπαρέμφατον τοῦ πέπληγα μέσου παρακειμένου ἀνηγμένου εἰς ἐνεστῶτα. 1083, 24.

πέπληγον, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἐκ τοῦ πεπλήγω θέματος κεκίνηται, ὃ ἐκ τοῦ πέπληγα παρακειμένου ἀνῆκται εἰς ἐνεστῶτα. 1596, 2.

πεπλήγω ὅτι ἐκ παρακειμένου εἰς ἐνεστῶτα ἀνήχθη. 576, 36.

πεπληγὼς, μετοχὴ μέσου παρακειμένου ἀντὶ τοῦ πλήξας καὶ ἀντὶ τοῦ πληγείς. 1283, 17.

πέπλος, γυναικεία στολὴ ὡς ἐπιτοπλεῖστον, ἐνίοτε δὲ καὶ ἡ ἀνδρεία πέπλος λέγεται. 170, 6. 409, 4. 599, 40. 1550, 20. ἀλλαχοῦ δὲ ὅτι πέπλος γυναικεῖον φόρημα ἐμπεπερονημένον· δηλοῖ δέ ποτε καὶ ἄῤῥαφον ὕφασμα, παρὰ τὸ διαπεπτάσθαι. 1347, 31. καὶ ὕφασμα σινδονοειδὲς καταπεταννύμενον τινῶν σκευῶν. 538, 5. καὶ πάλιν ἀλλαχοῦ ὅτι πέπλος εἶδός τι γυναικείου περιβλήματος καὶ τὸ ἁπλῶς ὕφασμα, καὶ ὅτι παρὰ τὸ πρέπειν λέγεται οἱονεὶ πρέπαλος. 1570, 55. καὶ περὶ τοῦ σχήματος τοῦ πέπλου καὶ τοῦ τρόπου, καθ' ὃν ἐφορεῖτο, ἑρμηνεία διεξοδική. 1847, 30. καὶ πέπλος σύγγραμμά τι Ἀριστοτέλους, οὕτω κληθὲν ὁμωνύμως. 285, 25.

πεπνυμένος ὁ φρόνιμος, ὅτι ἀπὸ τοῦ πνύω θέματος κεκίνηται, ὃ ἐκ τοῦ πονῶ πονύω συγκέκοπται καὶ δηλοῖ τὸ ἐνεργῶ, ἢ ἐκ τοῦ πινύσσω, ὅ ἐστι φρονῶ. 595, 18. 1411, 57.

πέποιθά σοι σημαίνειν, Ἰλ. π', 171. ἀντὶ τοῦ πιστεύω σοι ἡγεμονίαν. 1050, 46. 1052, 26.

πέποιθα, οἶδα, λέλοιπα, δέδοικα, ὅτι Αἰολέων ἐστὶν ἡ διὰ τοῦ οι γραφὴ τῶν τοιούτων· κοινῶς δὲ τῇ ει γράφοιντ' ἄν. 853, 6. 1618, 49.

πεποίθεα ἀντὶ τοῦ ἐπεποίθειν Ἰωνικῶς. 1589, 41.

πεποίθησις ὅτι ἐφύλαξε τὴν τοῦ πέποιθα παρακειμένου αὔξησιν. 1430, 19.

πεποίθομεν ἀπὸ τοῦ πεποίθω ἐνεστῶτος, ὃς ἐκ τοῦ πέποιθα παρακειμένου γέγονε κατὰ Συρακουσίους, ὡς ἐκ τοῦ πέφυκα τὸ πεφύκω. 1659, 59.

πέπονες, ὅτι φόνους τοὺς ἄξια φόνου εἰργασμένους λέγουσιν οἱ Δωριεῖς, ὅθεν ἀναδιπλασιασμῷ καὶ μεταθέσει τοῦ φ εἰς π λέγεται τὸ πέπονες ὀνειδιστικῶς ἀκουόμενον. 1654, 33. ζήτει τὸ πέπων.

πέπονθα ὅτι ἐκ τοῦ πονῶ πονήσω πεπόνηκα γίνεται συγκοπῇ καὶ πλεονασμῷ τοῦ θ. 1385, 30. ἀλλαχοῦ δὲ ὅτι πέπονθα ἐκ τοῦ πήθω γίνεται τροπῇ τοῦ η εἰς ο καὶ πλεονασμῷ τοῦ ν. 1687, 12.

πέποσθε ἀντὶ τοῦ πεπόνθατε, ὅτι ἐκ τοῦ πεπόθατε πληθυντικοῦ προσώπου τοῦ πέποθα μέσου παρακειμένου τοῦ πήθω ῥήματος γέγονε συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ, ἢ ἐκ τοῦ πεπόνηθε κατὰ συγκοπήν. 388, 1. 1663, 10. 15.

πεποτήαται ὅτι ἐκ τοῦ πεπότηνται λέγεται Ἰωνικῶς ἀποβολῇ τοῦ ν καὶ διαλύσει τοῦ η. 234, 19.

πέπρακα ὅτι ἐκ τοῦ πεπέρακα παρακειμένου τοῦ περῶ, ὃ δηλοῖ τὸ πιπράσκω, συγκέκοπται. 1788, 35.

πεπρωμένη λέγεται παρὰ τὸ πάντα περατοῦν, ἤγουν εἰς τέλος φέρειν. 1200, 15.

πεπρωμένος αἴσῃ ἄνθρωπος, ἤγουν πεπερατωμένος καὶ εἰς τὸ τέλος τοῦ ζῆν ἐλθών. 1265, 5. καὶ ὅτι πεπρωμένος αἴσῃ τοιᾶδε ἢ τοιᾶδε ἐντελῶς λέγεται, πεπρωμένος δὲ κατὰ μόνας ἀτελῶς. 1013, 17.

πεπταμέναι πύλαι ἀντὶ τοῦ ἀνεῳγμέναι. 1250, 12.

πέπτανται ἀντὶ τοῦ ἐξήπλωνται, περὶ πέπλων λεγόμενον Ἰλιάδ. ε', 195. ἐκ μεταφορᾶς τῶν πετομένων ὀρνίθων, ἀπὸ τοῦ πετῶ πετάσω πεπέτακα καὶ συγκοπῇ πέπτακα, ἢ ἀπὸ τοῦ πετάζω πετάσω κατὰ ταὐτά. 538, 9.

πεπτάσθαι ἀντὶ τοῦ ἐξηπλῶσθαι καὶ κεχύσθαι. 1551, 4.

πέπτειν ἐν ἴσῳ τῷ πέττειν. 883, 33.

πεπτεῶτα ὅτι ἐκ τοῦ πεπτωκότα γίνεται συγκοπῇ καὶ πλεονασμῷ τοῦ ε. 1248, 46.

πεπτηὼς πεπτηῶτος, ἀντὶ τοῦ πεπτωκὼς ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ ω εἰς η, ἢ ἀντὶ τοῦ πταμένους ἀπὸ τοῦ πτῶ πτήσω, ὃ δηλοῖ τὸ πέτομαι, ἐν τῷ, πετάλοις ὑποπεπτηῶτες, Ἰλ. β', 312. 229, 4. καὶ περὶ τῆς παραληκτικῆς γραφῆς ζήτει τὸ, ὡς λήγουσαι μετοχαί· ἀλλαχοῦ δὲ ὅτι πεπτηὼς ὁ κατεπτηχὼς καὶ συνεσταλμένος. 1930, 48.

πεπτὼς πεπτῶτος, μετοχὴ ὅτι ἐκ τοῦ πεπτηὼς ἢ τοῦ πεπτωκὼς συνεκόπη. 229, 11. ζήτει τὸ πεπτηώς.

πέπυσμαι ὅτι ἐκ τοῦ πέπευσμαι γέγονεν ἐκβολῇ τοῦ ε πρὸς εὐφωνίαν. 1385, 12.

πέπων προσηγορικῶς κατὰ τὴν κοινὴν ὁμιλίαν εἶδος σικύου γλυκέος, πέπων δὲ καρπὸς ἐπιθετικῶς λέγεται ὁ πέπειρος εἴτουν ὥριμος, παρὰ τὸ πέπτω· τροπικῶς δὲ πέπων ἄνθρωπος ὁ χαῦνος καὶ ἔκλυτος διὰ τὸ τοιούτους γίνεσθαι τοὺς καρποὺς πεπανθέντας, ὅθεν τὸ, ὦ πέπονες, ἐπιφώνημα πολλαχοῦ παρ' Ὁμήρῳ ἐπὶ ὀνειδισμῷ, ὥς περ αὖ πάλιν τὸ, ὦ πέπον, ἐπὶ φιλικῆς φιλοφροσύνης διὰ τὸ τῶν πεπείρων καρπῶν γλυκὺ καὶ ἀπολαύσιμον. 211, 9. 624, 61. 774, 59. 883, 32. ἀλλαχοῦ δὲ ὅτι τὸ πέπων καὶ πέπονες ποτὲ μὲν φιλικόν ἐστι προσφώνημα, ποτὲ δὲ ὀνειδιστικόν· καὶ ἐτυμολογία διεξοδικὴ καὶ σχηματισμὸς τῆς λέξεως. 1098, 12

πὲρ μόνον συνήθως μὲν ἐναντιωματικόν, οἷον ἐν τῷ, κηδόμενός περ, πολλαχοῦ παρ' Ὁμήρῳ. 1465, 36. ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ περὶ, οἷον ἐν τῷ, καὶ ἀχνύμενοί περ ἑταίρου, Ἰλ. ο', 651. ἀντὶ τοῦ περὶ ἑταίρου. 1036, 1.

πέρα ἡ γῆ κατὰ γλῶσσαν, ὅθεν καὶ περαία κατὰ παραγωγὴν, καὶ τὸ πέραν ἐπίῤῥημα. 306, 23.

περαία ἡ πέραν γῆ. 84, 4. ζήτει τὸ πέρα.

περαίτερος ὅτι ἐκ τοῦ πέρας λέγεται πλεονασμῷ τοῦ ι. 1905, 40.

περᾶν τάφρον τὸ βάδην διαβῆναι πρὸς διαστολὴν τοῦ πηδήματι ὑπερβῆναι. 892, 49. καὶ περᾶν ὁμωνύμως τὸ πέραν τῆς θαλάσσης ἀποδίδοσθαι εἴτουν πιπράσκειν πολλαχοῦ παρ' Ὁμήρῳ. 1222, 24. 1783, 10.

πέραν ἐπίῤῥημα ὅτι ἐκ τῆς πέραν αἰτιατικῆς εἰς ἐπίῤῥημα μετέπεσε, πέρα δὲ ἡ γῆ κατὰ γλῶσσαν. 306, 24. 1475, 43.

περάτη θηλυκῶς ἀντὶ τοῦ πέρας οὐδετέρου ἐν τῷ, νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, Ὀδ. ψ', 243. 1947, 10.

Πέργαμος, θηλυκῶς παρ' Ὁμήρῳ, ἡ τῆς Τροίας ἀκρόπολις, ἐν ᾗ καὶ ναὸς ἦν Ἀπόλλωνος. 569, 27. παρὰ δὲ τοῖς ὕστερον πᾶσα ἀκρόπολις οὕτω λέγεται, παρ' οἷς καὶ Πέργαμα οὐδετέρως, καὶ Πέργαμος πόλις τις. 503, 4. 659, 25.

πέρδικες, ὅτι αἱ θήλειαι αὐτῶν τῇ ὄψει καὶ τῇ ὀσφρήσει τῶν ἀῤῥένων ἔγκυοι γίνονται, οἱ δὲ ἄῤῥενες οὐ μόνον ἰδόντες τὰς θηλείας, ἀλλὰ κἂν φωνὴν ἀκούσωσι, σπερμαίνουσι. 1681, 38.

περδικιδεῖς οἱ τῶν περδίκων νεοσσοί. 753, 56.

περδίκων φορὰ ὑπερφυὴς ἐν Ἀνάφῃ τῇ νήσῳ ποτὲ συμβᾶσα, ἱστορία. 35, 25.

πέρη πέρης, ἡ γῆ κατὰ γλῶσσαν. 1475, 42.

πέρην ἀπὸ τῆς πέρην θηλυκῆς αἰτιατικῆς εἰς ἐπίῤῥημα μετελήφθη. 306, 22 ζήτει το πέραν.

πέρθω ὅτι παρὰ τὸ πρήθω, ὃ δηλοῖ τὸ καίω, λέγεται ἐκ τοῦ παρακολουθοῦντος ταῖς πορθουμέναις πόλεσι, καὶ ὅτι ἐκ τοῦ πρήθω κατὰ τροπὴν καὶ μετάθεσιν γέγονε. 70,

35. 249, 32. 473, 39. 645, 40. 961, 34.

περὶ καὶ ἀμφὶ προθέσεις παραλλήλως κείμεναι ἐν τῷ, περί τ' ἀμφί τε τάφρον, Ἰλ. ρ', 760. 1126, 58.

περὶ πρόθεσις ὅτι ἀσυνήθως ἔχει προσλαμβάνειν τὸ ῑ κατὰ τὴν ἄρχουσαν, καὶ ὅτι ἐν τῷ Πειρίθοος ἡμάρτηται. 101, 4.

περὶ πρόθεσις αὐτὴ καθ' αὑτὴν ἀντὶ τοῦ περισσῶς ἐν τῷ, καὶ πάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων, Ἰλ. φ', 105. 1226, 6. καὶ μετὰ γενικῆς ἐπὶ τοῦ αὐτοῦ, οἷον περὶ πάντων, ἀντὶ τοῦ περισσότερον πάντων. 127, 5. 734, 2. 847, 47. 1882, 8.

περὶ πρόθεσις ἀντὶ τῆς ὑπὲρ πολλαχοῦ τίθεται, οἷον ἐν τῷ περιβάλλειν ἀντὶ τοῦ ὑπερβάλλειν. 1300, 51. 1624, 5. 1773, 21.

περὶ γενικῇ πληθυντικῇ ὅτι ὑπεροχὴν δηλοῖ, οἷον ἐν τῷ, περὶ δ' ἄλλων φασὶ γενέσθαι, Ἰλ. δ', 375. ἀντὶ τοῦ περιγενέσθαι· καὶ περὶ πάντων, ἀντὶ τοῦ περισσότερον πάντων. 127, 5. 484, 11. καὶ ὅτι καὶ ἐν συνθέσει ταὐτὸ δύναται, οἷον ἐν τῷ περιεῖναι καὶ περιγενέσθαι. 1107, 25.

περὶ πρόθεσις δοτικῇ πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, κυλινδόμενος περὶ χαλκῷ, Ἰλ. θ', 86. καὶ περὶ δούρατι χεῖρες μαιμῶσιν, Ἰλ. ν', 77. 710, 11. 921, 16. 1636, 17. καὶ περὶ κτήμασιν οἷσι μάχεσθαι, ἀντὶ τοῦ ὑπὲρ τῶν ἰδίων κτημάτων, Ὀδ. ρ', 471. 1828, 47. καὶ ὅτι ἐν τῷ, ἀτυζομένους περὶ καπνῷ, ἀντὶ τοῦ ὑπὸ καπνοῦ, Ἰλιάδ. θ', 183. 109, 33. 705, 42. καὶ περὶ θυμῷ, Ἰλ. χ', 70. ἀντὶ τοῦ ἐν τῷ θυμῷ. 1256, 41. καὶ περὶ δαιτί, Ὀδ. β', 245. ἀντὶ τοῦ περὶ δαιτὸς ἢ ἐν δαιτί. 1444, 5. καὶ περὶ δοτικῇ ἀντὶ τῆς ἐπὶ, οἷον ἐν τῷ, ἔδεισε περὶ ξανθῷ Μενελάῳ, Ἰλ. κ', 240. ἀντὶ τοῦ ἐπὶ Μενελάῳ. 801, 6. καὶ ὅτι καὶ τῷ βαίνειν ῥήματι καὶ τῷ ἵστασθαι συμφερομένη δοτικῇ συντάσσεται, οἷον Πατρόκλῳ περιβάς, Ἰλ. ρ', 80. καὶ ἑσταότες περὶ Πατρόκλῳ, Ἰλιάδ. ρ', 355. 1091, 39.

περὶ δαιτί, ἀντὶ τοῦ περὶ δαιτὸς ἢ ἐν δαιτὶ ἐν τῷ, μαχήσασθαι περὶ δαιτί, Ὀδ. β', 245. 1444, 5.

περὶ δ' αἴσυλα ῥέζειν ἀνδρῶν, ἤγουν περισσότερον τῶν ἄλλων ἀνδρῶν ἄδικα πράττειν, Ἰλ. φ', 214. 1233, 7.

περὶ θυμῷ, ἀντὶ τοῦ ἐν τῷ θυμῷ, ἢ ἀντὶ τοῦ περισσῶς ἐν θυμῷ ἐν τῷ, ἀλύσσοντες περὶ θυμῷ, Ἰλ. χ', 70. 1256, 41.

περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο, παρ' Ὁμήρῳ Ὀδ. λ', 550. ἤγουν περιττὸς ἦν καὶ πολὺς κατά τε τὸ εἶδος καὶ κατὰ τὰς πράξεις. 1698, 44.

περὶ πάντων, ἀντὶ τοῦ περιττότερον πάντων καὶ ὑπὲρ πάντας. 127, 5. 734, 2. 847, 47.

περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν, Ἰλ. λ', 180. π', 699. ἤγουν περισσῶς προώρμα τῶν ἄλλων τῷ δόρατι. 839, 2. 1082, 6.

περὶ τρόπιος βεβαῶτα, Ὀδ. ε', 130. ἀντὶ τοῦ περιβάδην τρόπει νεὼς ἐποχούμενον. 1528, 35.

περὶ ψυχῆς θέειν, παροιμία ἐπὶ τῶν τὰ ἔσχατα κινδυνευόντων. 1637, 49. 1925, 52. καὶ ὅτι ὅμοιον τῷ περὶ ψυχῆς θέειν τὸ παρ' Ἡροδότῳ, τὸν περὶ τοῦ παντὸς δρόμον θέειν, ὃν ἀγῶνα θανάσιμον Εὐριπίδης καλεῖ. 1264, 15.

περὶ δ' ἔτραπον ὧραι, Ὀδ. κ', 469. ἀντὶ τοῦ περιετράπησαν αἱ ὧραι. 1664, 51.

περιάγνυσθαι λέγεται ἡ φωνή, ἤγουν περικλᾶσθαι, ὥστε μὴ μόνον τοὺς κατ' εὐθὺ, ἀλλὰ καὶ τοὺς ἐκ πλαγίων ἀκούειν. 1046, 45.

περιαγωγὴ ἐν ἴσῳ τῷ περιφέρεια, ὅτι περὶ τῶν κυκλοτερῶν σχημάτων λέγεται. 1512, 10.

περιάπτειν ἀντὶ τοῦ περιελίσσειν. 1467, 38.

περιβαίνειν τὸ σκέπειν καὶ βοηθεῖν, ὅτι δοτικῇ συντάσσεται. 1091, 33. 39. καὶ ὅτι περιβαίνειν τινὶ ἐν συνθέσει καὶ περὶ τινὶ βαίνειν ἐν διαστάσει λέγεται παρ' Ὁμήρῳ. 1096, 21.

περιβαλεῖν τὸ τέρμα, ἤγουν κάμπτειν, τουτέστι τοῦ καμπτῆρος ἐπιτυγχάνειν, Ἰλιάδ. ψ', 462. 1311, 8. 10.

περιβάλλειν ἀντὶ τοῦ ὑπερβάλλειν, οἷον ἐν τῷ, ἴστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι, Ἰλ. ψ', 276. 1300, 51. 1773, 21.

περιβάλλειν τὸ περισσὰ ἐμβάλλειν καὶ τὸ ἐνδύειν, ὁμωνύμως καὶ τὸ κυκλοῦν. 1406, 30—36.

περιβάλλειν ἄντυγα ἀσπίδι, ἤγουν περιθεῖναι. 1154, 29.

περιβάλλεσθαι ἐσθῆτα, ἀμφιβάλλεσθαι δὲ ξίφος κατὰ συνθήκην. 169, 44.

περιβάλλεσθαι ὅπλα ἀντὶ τοῦ περιτίθεσθαι, τουτέστιν ὁπλίζεσθαι. 1921, 5.

περιβῆναι τὸ περί τινα βῆναι, εἴτε ὑπὲρ ἐκείνου εἴτε κατ' ἐκείνου. 1107, 32.

περιβῆναι ἀντὶ τοῦ περί τινα πεσόντα στῆναι ἐπὶ σκέπῃ αὐτοῦ, τουτέστιν ὑπερμαχῆσαι, ὃ καὶ ἀμφιβῆναι λέγεται παρ' Ὁμήρῳ. 516, 35. 715, 57. 940, 15.

περίβλημα τὸ ἔνδυμα, ὅτι καὶ περιβόλαιον λέγεται. 1406, 31.

περιβολὴ τὸ ἔνδυμα, καὶ περιβολὴ ἰδέα τις λόγου ὁμωνύμως. 1406, 31.

περιβολή, σχῆμα λόγου μέγεθος ποιοῦν καὶ περιττότητα, ὅτι παρὰ τὸ περιβάλλειν, ὅ ἐστιν ὑπερβάλλειν, λέγεται. 1773, 23. καὶ διάφορα παραδείγματα τοῦ σχήματος. 473, 31. 807, 22. 1445, 3. καὶ ὅτι ὅταν τὸ εἰδικὸν ὄνομα ἐπάγηται τῷ γενικῷ, οἷον ἐν τῷ βοῦς ταῦρος, καὶ σῦς κάπριος, κατὰ λόγον περιβολῆς ἐπάγεσθαι λέγεται. 1734, 19. καὶ ὅτι καὶ τὸ, νηὶ ἐνὶ πρύμνῃ, κατὰ λόγον περιβολῆς εἴρηται παρ' Ὁμήρῳ. 1779, 19.

περίβολος οἴκου ἢ κήπου ὁ περιβάλλων, ὅ ἐστι περικυκλῶν, τὰ ἐν αὐτῷ. 1406, 32.

περιγενέσθαι τινὸς ἀντὶ τοῦ περιεῖναι καὶ περισσότερον γενέσθαι. 484, 9.

περιγλαγὴς ὁ περισσῶς πλήθων γλάγους, ὅ ἐστι γάλακτος. 1079, 54.

περίγρα, ἐργαλεῖόν τι τεχνικὸν, παρὰ τὸ πέριξ γράειν, ὅ ἐστιν ἐσθίειν, ἢ γράφειν, ὅ ἐστι ξέειν, ὅθεν καὶ ἐκ περίγρας τετράγωνον λέγεται τὸ ἴσον πάντη καὶ στερεόν. 1960, 17.

περιγράφειν ἀντὶ τοῦ ἀθετεῖν καὶ ἐκβάλλειν. 1480, 20.

περιγραφὴ τόπου ὅτι παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν, λέγεται. 1960, 13.

περιδεδέσθαι κνημῖδας, ὑποδέσθαι δὲ πέδιλα κατὰ συνθήκην. 1959, 56.

περιδέξιος ἀντὶ τοῦ ὑπερδέξιος ἢ ἀμφιδέξιος, ἤγουν ἀμφοτεροδέξιος. 1228, 42.

περιδινηθῆναι ἀντὶ τοῦ περιελθεῖν καὶ περιοδεῦσαι ἐν τῷ, ὥς τὼ τρὶς περὶ Πριάμοιο πόλιν περιδινηθήτην, Ἰλιάδ. χ', 165. 1264, 8.

περιδόσθαι τὸ στοίχημα θέσθαι καὶ συμφωνῆσαι περί τινος, ἐπιδόσθαι δὲ τὸ μάρτυρας καταστῆσαι. 1268, 27. καὶ ἀλλαχοῦ περιδόσθαι τὸ συνθέσθαι καὶ στοίχημα θέσθαι, παρὰ τὸ δεῖσθαι, ὅ ἐστι δεσμεῖσθαι, ταῖς συνθήκαις τοὺς οὕτω συμφωνοῦντας, οἷον ἐν τῷ, δεῦρό νυν ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος, Ἰλ. ψ', 485. καὶ ἐν τῷ, ἐμέθεν περιδώσομαι αὐτῆς, ἀντὶ τοῦ ὑπὲρ ἐμαυτῆς δώσω, Ὀδ. ψ', 78. ὅπερ ἐλλιπῶς αἰτιατικῆς ἐκ τρίτου λέγεται. 1312, 20. 1939, 3.

περίδρομος ἔνθα καὶ ἔνθα, ἀντὶ τοῦ κυκλοτερὴς καὶ πάντοθεν περιτρεχόμενος τόπος. 350, 40. 653, 57. καὶ ἀλλαχοῦ περίδρομος ὁ περιοδευόμενος καὶ ἀγειτόνευτος τόπος, ἢ ὁ κυκλοτερὴς διὰ τὸ πολυχωρητότερον. 1748, 38.

περιδύειν τὸ ὅλον τινὰ ἐκδύειν, οἷον ἐν τῷ, ἐπεὶ περίδυσε χιτῶνας, Ἰλ. λ', 100. 833, 44.

περιδώμεθον δυϊκὸν, συνθώμεθα, καὶ στοίχημα θῶμεν. ζήτει τὸ περιδόσθαι. 1312, 20.

περιδώσομαι ἀντὶ τοῦ συνθήσομαι καὶ στοίχημα θήσω. 1939, 3. ζήτει τὸ περιδόσθαι.

περιεῖναι τὸ ὑπερέχειν καὶ περιγίνεσθαι, γενικῇ ἐκ δευτέρου καὶ δοτικῇ ἢ ἀπαρεμφάτῳ ἐκ τρίτου, οἷον ἐν τῷ, οἳ περὶ μὲν βουλῇ Δαναῶν περὶ δ' ἐστὲ μάχεσθαι, Ἰλ. α', 258. καὶ περιεῖναι τὸ ἐκ περισσοῦ ἔχειν, ὅθεν περιουσία· καὶ περιεῖναι ἀντὶ τοῦ ζῆν. 99, 23. 484, 10. 1392, 9. 17. καὶ ὅτι διὰ τὴν ὑπὸ τῆς περὶ προθέσεως σημαινομένην ὑπεροχὴν γενικῇ συντάσσεται τὸ ῥῆμα. 1107, 25.

περιεκτικὰ ὀνόματα ὅτι πολλάκις ὁμωνυμοῦσι καὶ ὁμοτονοῦσι τοῖς προσηγορικοῖς, οἷον σκόροδον ὁ τόπος, ἐν ᾧ πωλεῖται τὰ σκόροδα, ὁμωνύμως τῷ φυτῷ· ἢ ἀσφόδελον λειμῶνα γράφουσι τινὲς παρ' Ὁμήρῳ προπαροξυτόνως ὁμοτόνως τῷ προσηγορικῷ. 1698, 29.

περιελθεῖν τινὰ λέγεται κτύπος ἢ φωνὴ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀκουσθῆναι αὐτῷ, καὶ περιελθεῖν τὸ ὑπούλως μετελθεῖν καὶ τὸ κατεργάσασθαι. 1792, 14. 1819, 27.

περιελθεῖν τὰς φρένας λέγεται ὁ οἶνος ἀντὶ τοῦ ἀμφιχυθῆναι ἐν τῷ, αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἤλυθεν οἶνος, Ὀδ. ι', 362. 1633, 20.

περιενεγκεῖν τὸ κύκλῳ ἀγαγεῖν. 1693, 63.

περιέστησάν με πολλὰ κακὰ, φράσις Ὁμηρικὴ ἐν τῷ, περὶ γὰρ κακὰ πάντοθεν ἔστη, Ὀδ. ξ', 270. ρ', 439. 1762, 61.

περίεστιν ἀντὶ τοῦ περιγέγονε καὶ ἐκ περισσοῦ κεῖται, οἷον οὐδέν μοι περίεστι τῶν πόνων. 99, 27. ζήτει τὸ περιεῖναι.

περιέφθησαν ὅτι ἐκ τοῦ περιέπω κεκίνηται. 945, 40.

περιηγὲς ἄγκυστρον τὸ περιφερὲς καὶ περιηγμένον, ὃ περὶ τῶν κυκλοτερῶν σχημάτων λέγεται. 628, 28. 726, 17. 1500, 49. 1512, 11.

περιηγμένον ἴσον τῷ περιφερὲς, ὅτι περὶ τῶν κυκλοτερῶν σχημάτων λέγεται. 1512, 10.

περιθέειν ἀντὶ τοῦ περικυκλοῦν, ὅτι καὶ περὶ ἀψύχων λέγεται τροπικῶς, οἷον ἐν τῷ, περὶ δὲ χρύσειος θέε πόρκης, Ἰλιάδ. ζ', 320. θ', 495. 644, 43. 726, 16.

περίθετος κεφαλὴ, κόσμος ποιὸς γυναικεῖος περὶ τὴν κεφαλὴν τιθέμενος. 1280, 63.

περικαλλὲς δέπας οὐ τὸ ἁπλῶς καλὸν, ἀλλὰ τὸ λίαν καλόν. 868, 45. 1347, 49. καὶ ὅτι δυσὶ λ γράφεται τοὔνομα. 161, 37.

περικεῖσθαι ἀντὶ τοῦ περιπεπλέχθαι δοτικῇ, περικεῖσθαι δὲ ἀντὶ τοῦ φορεῖν αἰτιατικῇ, οἷον περικεῖσθαι χλαῖναν ἀντὶ τοῦ ἐνδεδῦσθαι· καὶ ὅτι περικεῖσθαί τί τινι λέγεται ἀντὶ τοῦ ὡς περιττὸν ἀποκεῖσθαι καὶ κειμηλιοῦσθαι. 753, 37. 1168, 39. 1915, 29.

περικεφαλαία, κόσμος γυναικεῖος περὶ τὴν κεφαλήν. 1281, 1.

περικεφαλαιῶν εἰδικαὶ προσηγορίαι καὶ διαφοραὶ, οἷον τρυφάλεια, ἄφαλοι, ἀμφίφαλοι, τετράφαλοι, στεφάνη, καταῖτυξ, ὀδοντωτὴ, κτιδέη, κυνέη, ταυρείη, αἰγείη. 425, 43. 787, 42. 803, 61.

περίκειτο ἀντὶ τοῦ περιέκειτο, ὅ ἐστι πέριξ ἔκειτο καὶ περιεῖχεν. 1898, 59.

περίκηλα ξύλα τὰ περισσῶς κατεσκληκότα, ἢ ἄγαν ἐπιτήδεια εἰς τὸ κῆαι, ὅ ἐστι καῦσαι. 1532, 48.

Περικλύμενος, υἱὸς Νηλέως ἐκ Χλώριδος τῆς Ἀμφίονος τοῦ Ἰάσου, ὅτι δῶρον εἶχεν ἐκ Ποσειδῶνος τὸ εἰς ὅ τι ἂν βουληθείη μεταμορφοῦσθαι· καὶ ὅτι ὑφ' Ἡρακλέους πολιορκοῦντος τὴν Πύλον εἰς μέλισσαν μεταβληθεὶς ὅμως κατετοξεύθη, ἀλληγορία ἱστορικὴ τῆς τοιαύτης μυθολογίας. 1658, 61.

περικλυτὸς ὁ ἐξάκουστος, ὅ ἐστιν ἀοίδιμος. 1420, 15.

περικλώζεσθαι τὸ περισυρίττεσθαι, παρὰ τὸ κλώζειν, ὅ ἐστι ποιὸν ἦχον ἀποτελεῖν τῷ στόματι. 1504, 31.

περικοπῆς σχήματος παράδειγμα. 636, 46.

περικτίονες οἱ πέριξ κτίσαντες οἰκήσεις, παρὰ τὸ κτίω, ὅ ἐστι κτίζω· καὶ προσῳδία καὶ χρόνος τῆς κτι συλλαβῆς. 1103, 49. 62. 1175, 12.

περικτῖται ἀντὶ τοῦ περίοικοι. 1686, 7.

περιληπτικὰ εἴτουν συλληπτικὰ ὀνόματα ὅτι ἑνικῶς ἐσχηματισμένα ὑπόκειται ποτε καὶ πληθυντικοῖς ῥήμασιν, οἷον φάσαν ἡ πληθύς, Ἰλ. β', 278. 219, 45.

Περιμήδης, Ἀργεῖος ποιητὴς πρὸ τῶν Τρωικῶν. 1466, 56.

περίμηκες καὶ περιμήκετον τὸ μέγα. 1737, 58.

περιμήκετος ἐλάτη ἐπιθετικῶς ἡ μακροτάτη. 986, 16.

Πέριμος κύριον ὅτι ἐκ τῆς περὶ προθέσεως παρήχθη. 75, 11. 532, 46. 1081, 56.

περιναιέται καὶ περιναιέται οἱ περίοικοι. 1361, 6.

πέριξ ἐπίῤῥημα ὅτι ἐκ τῆς περὶ προθέσεως λέγεται. 166, 32. 684, 34. καὶ ὅτι παραλόγως βαρύνεται. 842, 45. 966, 64.

περιξεστὴ πέτρα ἐπιθετικῶς ἡ περιεξεσμένη, καὶ ὅτι κρεῖττον ἐστὶ περιξέστη βαρυτόνως προφέρειν. 1714, 13.

περίοιδε νοῆσαι, ἀντὶ τοῦ περιττῶς οἶδε νοεῖν. 801, 41.

περιουσία ὅτι παρὰ τὸ περιεῖναι λέγεται. 99, 28.

περιπατεῖν καὶ περίπατος ὅτι παρὰ τὸν πάτον λέγονται. 637, 2.

περιπεπλιγμένον ἀντὶ τοῦ περιβεβηκὸς, ὅτι παρὰ τὸ πλίσσειν λέγεται. 1564, 49.

περιπέτεια τὸ τυχηρὸν σύμβαμα, ὅτι παρὰ τὸ πετεῖν, ὅ ἐστι πεσεῖν, λέγεται. 1396, 53. 1412, 41.

περιπετὴς ἑαυτῷ γενέσθαι λέγεται ὁ ἑαυτῷ καὶ οἷς πρότερον εἶπεν ἐναντιούμενος. 1066, 40.

περιπευκὲς βέλος τὸ λίαν πικρὸν, παρὰ τὴν πεύκην. 887, 28.

περιπλέκεσθαι ταὐτὸ ὅπερ ἀγκὰς ἑλεῖν παρ' Ὁμήρῳ. 1579, 49.

περιπληθὴς τόπος ἀντὶ τοῦ πολυάνθρωπος, Ὀδ. ο', 405. 1787, 23.

περιπλομένων ἐνιαυτῶν, πολλαχοῦ παρ' Ὁμήρῳ, ὅτι ἐκ τοῦ περιπελομένων ἤγουν περιπολούντων κατὰ συγκοπὴν λέγεται. 1384, 60. καὶ περιπλομένου ἐνιαυτοῦ, ἀντὶ τοῦ συμπληρουμένου, οὐ μὴν καὶ πεπληρωμένου ἤδη ἐν τῷ, χαῖρε γύναι φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ τέξεις ἀγλαὰ τέκνα, Ὀδ. λ', 248. 1682, 27.

περιῤῥηδὴς ὁ περιεῤῥαντισμένος, ἀπὸ τοῦ ῥάζω ἔῤῥαδον, ὅ δηλοῖ τὸ ῥαντίζω. 1887, 45. 1920, 30.

περίῤῥυτος νῆσος ὅτι κατὰ κοινὸν ἐπίθετον λέγεται, ἴσως δὲ καὶ διὰ τὰ ἐντὸς ὕδατα λέγεται περίῤῥυτος νῆσός τις ἰδίως. 1860, 53.

περίσκεπτος χῶρος ὁ ἄποπτος τόπος, τουτέστι περιωπὴ καὶ σκοπιά. 1427, 36. 1654, 43.

περισπερχὲς ἐν ἴσῳ τῷ ἀσπερχὲς, ὅ ἐστι πολυσπερχὲς καὶ ἐντρεχὲς καὶ πολυσπούδαστον, ὅθεν περισπερχὴς ἄνθρωπος καὶ περισπέρχεια. 442, 9. 1385, 23.

περισπώμενα ῥήματα τὰ αὐτὰ καὶ βαρυτόνως λεγόμενα, οἷον στεροῦμαι καὶ στέρομαι, αἰδοῦμαι καὶ αἴδομαι. 111, 40.

περισπώμενα ῥήματα κατὰ τὴν πρώτην συζυγίαν καὶ κατὰ τὴν τρίτην κλινόμενα κατ' ἄλλο καὶ ἄλλο σημαινόμενον, οἷον ζηλῶ ζηλήσω καὶ ζηλῶ ζηλώσω. 412, 29.

περισπώμενα ῥήματα δισύλλαβα τῷ ῑ παραλήγοντα ἀπὸ δευτέρων μελλόντων βαρυτόνων ῥημάτων εἰς ἐνεστῶτας ἀναδραμόντων γενόμενα, οἷον στείχω ἔστιχον στιχῶ, ὅθεν τὸ στιχάω στιχῶ. 179, 34. 1035, 30.

περισπώμενα ῥήματα ἀπὸ τῶν διὰ τοῦ ῑζω γενόμενα, οἷον ἐκ τοῦ σκοτίζω τὸ ἐπισκοτῶ. 706, 17.

περισπωμένη τόνος ὅτι ἐξ ὀξείας καὶ βαρείας συνιζανουσῶν σύγκειται. 25, 37. καὶ ὅτι οὐ καθόλου ἐξ ὀξείας καὶ βαρείας ἐπιγίνεται περισπωμένη, οἷον ἐν τῷ αὐλιζομενάων αὐλιζομένων, οὐ μὴν αὐλιζομενῶν. 217, 44. 218, 5. καὶ ὅτι ἡ περισπωμένη δύναται ἐκτείνειν οὐ μόνον τὸ ῷ ἐπιτίθεται, ἀλλὰ καὶ τὸ πρὸ αὐτῆς βραχὺ φωνῆεν καὶ τὸ μετ' αὐτήν. 1465, 5.

περισπωμένων ῥημάτων δισυλλάβων δευτεροζύγων τῷ ω̄ παραληγόντων παραγωγὴ καὶ γραφὴ παραληκτικὴ, οἷον νέμω νόμος νωμῶ, στρέφω στρόφος στρωφῶ. 137, 24. 28. 804, 40.

περισπωμένων ῥημάτων μέσοι παρακείμενοι, ὅτι ἐν τοῖς περισπωμένως κλινομένοις ῥήμασιν οἱ μέσοι παρακείμενοι μιᾷ συλλαβῇ λείπονται τῶν ἐνεργητικῶν, οἷον ὤλεκα ὦλα. 1523, 40.

περισπωμένων ῥημάτων μέλλοντες ὅτι ἀναλογώτερον τῆς μὲν πρώτης τῷ ε̄ ψιλῷ, τῆς δὲ δευτέρας τῷ ᾱ, τῆς δὲ τρίτης τῷ ο̄ μικρῷ παραλήγονται· ζήτει ἐν τῷ, μελλόντων τῶν περισπωμένων ῥημάτων παραλήγουσα. 1723, 7—15.

περισσὸς ἄνθρωπος ὁ πολὺς καὶ μέγας κατά τινα ἀρετὴν, καὶ περιττὸς ὁ πολὺς καὶ μέγας ἐπὶ ψόγῳ σωματικῷ, ὅτι ἐκ τῆς περὶ προθέσεως καὶ τοῦ σόω, ὅ ἐστιν ὁρμῶ, λέγεται. 484, 12.

περιστάσεων δραματικῶν δυσχερῶν καὶ κεκινδυνευμένων λύσεις εἴτουν θεραπεῖαι κατὰ μέθοδον Ὁμηρικήν. 95, 12.

περίστειξας, περιῆλθες, περιώδευσας, ἀπὸ τοῦ περιστείχω θέματος. 1496, 33.

περιστείωσι, πέριξ κυκλώσωσι, καὶ ὅτι ἐκ τοῦ περιστέωσι λέγεται πλεονασμῷ τοῦ ῑ. 1097, 3.

περιστέλλειν κακὸν τὸ κρύπτειν καὶ περικαλύπτειν. 130, 37. καὶ περιστέλλειν τὸ ἁπλῶς κοσμεῖν, ἰδίως δὲ τοὺς νεκρούς. 1961, 48.

περιστεναχίζεται δῶμα, παρ' Ὁμήρῳ ἀντὶ τοῦ περιηχεῖται ἢ στενοχωρεῖται. 1645, 22.

περιστένεσθαι λέγεται παρ' Ὁμήρῳ γαστὴρ ζῴων, ἤγουν στενάζειν ἢ περιτείνεσθαι ὑπὸ πλησμονῆς. 1052, 8.

περιστεριδεῖς οἱ τῶν περιστερῶν νεοσσοί. 753, 56.

περιστερὸς, ἀρσενικὸν τοῦ περιστερὰ παρὰ τοῖς Ἀττικοῖς. 1712, 45.

περιστερῶν εἴδη, οἰνὰς, φάττα καὶ τρυγών· καὶ περὶ τῆς ἐν αὐτοῖς διαφορᾶς τοῦ μεγέθους καὶ τοῦ χρώματος, καὶ περὶ τινῶν ἰδιωμάτων αὐτῶν ἱστορία φυσική. 607, 1. 1712, 41. 46.

περίστησαν ἀντὶ τοῦ περιέστησαν, ἤγουν περιέβησαν καὶ ὑπερεμάχησαν ἐν τῷ, τεύχεα δ' οὐκ ἀπέδυσε, περίστησαν γὰρ ἑταῖροι, Ἰλ. δ', 532. 505, 18. καὶ περιστήσαντο ἀντὶ τοῦ ἁπλῶς κύκλῳ περιεστάθησαν. 1725, 55.

περιστρέφειν δίσκον, ἤγουν περιδινεῖν. 1176, 1. 1591, 5.

περισύρειν ἐν ἴσῳ τῷ διασύρειν, καὶ περίσυρμα ὡς διάσυρμα. 1816, 45.

περισχέσθαι τινὰ παρ' Ὁμήρῳ ἀντὶ τοῦ περισχεῖν, ὅ ἐστι βοη-

θῆσαι καὶ περιποιήσασθαι καὶ οἱονεὶ περιλαβεῖν ἐν τῷ, οὕνεκά μιν σὺν παισὶ περισχόμεθ᾿ ἠδὲ γυναιξί, Ὀδυσσ. ι', 199. ὅπου ἡ περὶ ἀντὶ τῆς ὑπὲρ λαμβάνεται ἐν τῷ τοιούτῳ περισχεῖν, ὡς κἀν τῷ, περίσχεο παιδὸς ἑῆος, Ἰλ. α', 393. 1624, 2. 6.

περιτάμνεσθαι βοῦς, Ὀδ. λ', 402. ω', 112. ἀντὶ τοῦ πέριξ τῆς ἀλλοτρίας γῆς τέμνειν. 1691, 61.

περιτελλομένων ἐνιαυτῶν, πολλαχοῦ παρ' Ὁμήρῳ ἀντὶ τοῦ συντελουμένων εἴτουν ἀπαρτιζομένων διὰ τῶν πέριξ ἀνατολῶν τοῦ ἡλίου. 283, 31. 720, 16. καὶ ἀλλαχοῦ ὅτι περιτέλλεσθαι λέγεται ὁ ἐπιὼν ἐνιαυτὸς, οἱονεὶ ἐπανατέλλειν τῷ πρὸ αὐτοῦ. 1686, 15.

περιτετύχθαι τινὸς ἢ τινῶν, γενικῇ διὰ τὴν ὑπεροχὴν, ἣν ἡ περὶ πρόθεσις σημαίνει. 1107, 26.

περίτονον, ξύλον τι ἢ σανὶς ἐν τοῖς πλοίοις, παρὰ τὸ διόλου τείνεσθαι οὕτω λεγόμενον. 1533, 41.

περιτρέπειν τὸ παρακινεῖν τῆς εὐθείας, ὅθεν καὶ περιτρέπεσθαί τινι ἡ βολὴ λέγεται παρὰ Λιβανίῳ. 1639, 45.

περιτροπέειν ἀντὶ τοῦ περιτρέπειν, ἤγουν παρακλίνειν καὶ τῆς εὐθείας παρακινεῖν, ὅτι διὰ τοῦ ο μικροῦ γράφεται, καὶ ὅτι κατὰ τὴν πρώτην τῶν περισπωμένων κλίνεται. 1639, 34. 45.

περιτροπέων ἐνιαυτὸς, ὅτι ἐκ τοῦ τροπέω τροπῶ κεκίνηται ἡ περιτροπέων μετοχὴ, καὶ ὅτι μακρὸν ἔχει τὸ τρο. 223, 29. 1140, 7.

περίτροχον ἀντὶ τοῦ περιφερὲς καὶ τροχῷ ὅμοιον. 1310, 27.

περιττὸς ἐν ἴσῳ τῷ πολὺς, οἷον ὁ περιττὸς Ἀριστείδης, ὁμοίως τῷ, ὁ πολὺς τὴν θεολογίαν. 1382, 14. ζήτει τὸ περισσός.

περιφαίνεσθαι ἐν ἴσῳ τῷ πέριξ φαίνεσθαι. 927, 3.

περιφαινόμενος τόπος ὁ περίοπτος. 1546, 36.

περιφανὴς ὅτι ἐκ τοῦ περιφαίνεσθαι λέγεται. 927, 5.

περίφαντος ἀνὴρ παρὰ Σοφοκλεῖ ἀντὶ τοῦ περιφανής. 927, 5.

Περίφας, ὄνομα κήρυκος διὰ τὸ περισσῶς φαίνειν οὕτω λεγομένου. 110, 5. 1108, 35.

περιφέρεια, ὅτι παρὰ τὸ φέρεσθαι λέγεται τοὔνομα. 628, 28.

περιφραδέως, ἐπιμελῶς, ὅτι ἐκ τοῦ φραδὴς φραδέος, ὃ παρὰ τὸ φράζω, λέγεται. 135, 20. 24.

περίφρων ὁ περιττῶς φρονῶν ἢ ὁ περιὼν τῶν ἄλλων κατὰ τὸ φρονεῖν. 1624, 6. 1866, 33.

περιφῦναι ἀντὶ τοῦ περιπλακῆναι τῷ ὅλῳ, ἐμφῦναι δὲ τῷ μέρει, οἷον χείλεσιν ἢ χειρί. 1792, 49.

περίψημα, σπόγγισμα καὶ ἀπόνιμμα. 1935, 18.

περιωπὴ, σκοπιὰ εἴτουν ἄποπτος τόπος, ἀφ' οὗ τῶν πέριξ οἱ ὦπες αἰσθάνονται. 472, 10. 483, 41. 964, 16. 1427, 36. 1652, 15.

περιώσιον ὅτι παρὰ τὸ περιαύειν λέγεται, ἵνα δηλοῖ πως τὸ περιβόητον καὶ ἐξάκουστον, οἱονεὶ περιαύσιον. 482, 38. 1800, 30.

περκάζειν λέγονται σταφυλαὶ, ἤγουν μελαίνεσθαι πεπαινόμεναι. 1574, 26.

περκνὸς ὁ μέλας, ὡς ἀπὸ τῆς περκαζούσης μελαίνης σταφυλῆς, ὅτι ὀξύνεται τοὔνομα. 1352, 18.

Περκώτη, πόλις Τρῳάδος, ὁ πολίτης Περκώσιος. 355, 8. 356, 33.

περνᾶν καὶ πέρνασθαι τὸ πέραν που καὶ μακρὰν τῆς οἰκείας πωλεῖν, ὅτι ἐκ τοῦ περᾶν λέγεται πλεονασμῷ τοῦ ν. 1144, 19. 1256, 31. 1374, 9.

περνὰς καὶ περνάμενος μετοχαὶ ὅτι ἐκ τοῦ πέρνημι θέματος κεκίνηνται, ὃ ἐκ τοῦ περῶ παρῆκται. 1222, 27.

περόνη καὶ περονᾶν τὸ κομβίοις συνδεῖν. 794, 13. καὶ ὅτι Δωρικόν ἐστι τὸ εὕρεμα. 566, 35. καὶ ὅτι παρὰ τὸ πείρω λέγεται τοὔνομα. 1150, 20.

περονῆσαι δόρατί τινα, τὸ ὡς οἷα περόνῃ διελάσαι. 672, 28.

Περῥαιβοὶ, ἔθνος τι Θεσσαλικὸν, καὶ περὶ τῆς χώρας, ἣν κατὰ διαφόρους χρόνους ᾤκησαν, ἱστορία, καὶ ἄλλα τινὰ περὶ τοῦ ἔθνους· καὶ ὅτι δυσὶ ρ γράφεται τοὔνομα. 335, 24 — 40.

πέρσας, μετοχὴ ἀντὶ τοῦ πορθήσας, ἀπὸ τοῦ πέρθω θέματος. 316, 28.

Περσεὺς ὅτι σεμνότερος Ἡρακλέους γέγονε καθ' Ἡρόδοτον, καὶ ὅτι Διόνυσον ἀνεῖλεν, ἱστορία. 989, 20. καὶ ὅτι παρὰ τὸ πέρθειν λέγεται τοὔνομα. implicite. 1474, 31.

Περσέφασσα ἀντὶ τοῦ Περσεφόνη. 763, 63. ζήτει τὸ Περσεφόνη.

Περσεφόνη ὅτι καὶ Περσεφόνεια κατὰ παραγωγὴν λέγεται καὶ Φερσεφόνη, οἱονεὶ Φθερσεφόνη παρὰ τὸ φθείρω φθέρσω Αἰολικῶς κλινομένου, καὶ Περσέφασσα παρὰ τὸ φάζω φάσω, ὃ δηλοῖ τὸ φονεύω, ἑρμηνεία διεξοδική. 763, 52. 59. 62. 1665, 9.

Περσέως πόλις, ἡ καὶ Μίδεια, πόλις τῆς Ἀργείας χώρας. 270, 44.

Πέρση, Ὠκεανοῦ θυγάτηρ, ὅτι Ἡλίου γαμετὴ μυθεύεται διὰ τὸ ἐκ πέρατος εἰς πέρας τοῦ Ὠκεανοῦ κυκλοφορεῖσθαι τὸν ἥλιον, καὶ ὅτι τούτῳ τῷ λόγῳ δοκεῖ καὶ Ἡσίοδος Περσηΐδα τὴν Ἑκάτην καλεῖν. 1651, 56.

Περσικαὶ, εἶδος ὑποδήματος οὕτω καλούμενον. 1522, 12.

Περσικῆς θυσίας τρόπος, ἱστορία διεξοδική. 135, 2.

Περσῶν βασιλεὺς, ὅτι μίαν ἡμέραν τοῦ ἐνιαυτοῦ, καθ' ἣν τῷ Μίθρᾳ ἔθυον, ἐξῆν τῷ βασιλεῖ μεθύσκεσθαι καὶ τὸ Περσικὸν ὀρχεῖσθαι. 1834, 6.

πέρυσι ὅτι καὶ πέρυσιν μετὰ τοῦ ν λέγεται. 1062, 51. 1417, 30.

περῶ, μέλλων τοῦ πείρω θέματος, ὅτι εἰς ἐνεστῶτα μετήχθη. 1453, 17.

πέσε προστακτικῶς ἐν ἴσῳ τῷ πέσον. 1046, 52.

πεσεῖν λέγεται τὸ κατὰ τύχην συμβάν. 1396, 52. καὶ πεσεῖν ἀντὶ τοῦ ἀποθανεῖν πολλαχοῦ παρ' Ὁμήρῳ. 1925, 60. καὶ ὅτι πεσεῖν ὁ ἄνεμος λέγεται, ὅ ἐστι παύσασθαι, συμπεσεῖν δὲ ἄνεμοι, ἤγουν εἰς ἓν ἐλθεῖν. 1538, 26. 1861, 52.

πέσημα ὅτι παρὰ τὸν πεσῶ Δωρικὸν μέλλοντα ἀνηγμένον εἰς ἐνεστῶτα λέγεται. 129, 25.

πέσκος τὸ πεκόμενον δέρμα ἢ ἔριον τῶν προβάτων, ὅτι παρὰ τὸ πέκειν, ὡς καὶ ὁ πόκος, λέγεται. 975, 56.

πεσοὶ ἢ πεσσοὶ, φάρμακά τινα ἰατρικὰ, ὅτι ἄδηλον εἰ ἐν δυσὶ σ γράφεται τοὔνομα. 1397, 6.

πεσσὰ οὐδετέρως οἱ πεσσοὶ, ζήτει τὸ πεσσοί. 1396, 59.

πέσσειν τὸ τὴν τροφὴν κατεργάζεσθαι, καὶ πέσσειν βέλος καὶ γέρα καὶ χόλον μεταφορικῶς πολλαχοῦ παρ' Ὁμήρῳ. 54, 7. 211, 29. 503, 16. 726, 46. καὶ πέσσειν ἀντὶ τοῦ πεπαίνειν καὶ πέπειρα ποιεῖν ἐν τῷ, τὰ μὲν φύει ἄλλα δὲ πέσσει, Ὀδ. η', 119. 1573, 9.

πεσσοὶ, ὅτι παρὰ τὸ πεσεῖν λέγεται καὶ ὅτι ἐν δυσὶ σ̄ γράφεται τοὔνομα, καὶ ὅτι διαφέρουσι κύβων, καὶ ὅτι καὶ ἡ ὅλη διάθεσις τῆς διὰ πεσσῶν παιδιᾶς πεσσὸς λέγεται, καὶ ὅτι βόλια κυβιστῶν τοὺς πεσσοὺς λέγουσί τινες, καὶ ἔτι καὶ πεσσὰ οὐδετέρως λέγονται οἱ πεσσοὶ, καὶ ὅτι πεσσὰ καὶ αἱ γραμμαὶ λέγονται πέντε οὖσαι, ὁμωνύμως ταῖς ψήφοις πέντε καὶ αὐταῖς οὔσαις, καὶ ἔτι διὰ τὰς πεντάδας ταύτας πεττεία λέγεται οἱονεὶ πεντεία. 1396, 52—62. καὶ ὅτι τὴν τῶν πεσσῶν εὕρεσιν Αἰγυπτίοις ἀνατίθησιν ὁ Πλάτων. 1397, 11. καὶ ὅτι οἱ πεσσοὶ πέντε ψῆφοι ἦσαν ἐπὶ πέντε γραμμῶν παιζόμενοι. 1397, 27. ἀλλαχοῦ δὲ ὅτι Παλαμήδους εὕρημα κατά τινας ἡ διὰ πεσσῶν παιδιά. 228, 1. ζήτει ἐν τῷ Παλαμήδης καὶ ἐν τῷ πεττεία.

πέσσω ὅτι παρὰ τὸ πέπτω λέγεται τροπῇ τῶν πτ̄ εἰς δύο σσ̄. 774, 53.

πέταλα καὶ πέτηλα τὰ πλατέα φύλλα, παρὰ τὸ διαπεπτάσθαι. 228, 46. 855, 44. 1875, 42.

πετάννυσθαι λέγονται αἱ ἀνοιγόμεναι θύραι ἐκ μεταφορᾶς τῶν διαπεταννυμένων πτερύγων τῶν ὀρνέων. 1250, 17. 1352, 34.

πέτανται, ὅτι ἀπὸ τοῦ πέτω ἢ πετῶ γίνεται πέτημι, οὗ παθητικὸν πέταμαι, ὅθεν τὸ πέτανται. 1538, 59.

πετάσαι χεῖρας λέγεται ἄνθρωπος ἐκ μεταφορᾶς τῶν ὀρνίθων τῶν ἐν τῷ πέτεσθαι ἁπλούντων τὰς πτέρυγας, καὶ ὅτι τὸ πετάσαι ἢ ἀπὸ τοῦ πετάω πετῶ ἢ τοῦ πετάζω παραγώγου κεκίνηται. 505, 5. 1226, 48.

πέτασαν ἀντὶ τοῦ ἥπλωσαν, περὶ ἱματίων λεγόμενον ἐν τῷ, ἑξείης πέτασαν παρὰ θῖν' ἁλός, Ὀδ. ζ, 94. 1553, 43. 1637, 30.

πετάσειε θυμὸν, Ὀδ. σ', 160. ἀντὶ τοῦ διαχέοι καὶ ἁπλώσειε τὴν ψυχὴν οἱονεὶ συμπεπιλημένην τῇ λύπῃ, ἢ κουφίσειε καὶ μετεωρίσειε ταῖς ἐλπίσιν, ἐκ μεταφορᾶς τῶν πετομένων ὀρνίθων. 1842, 47.

πετασθῆναι λέγονται πύλαι ἀντὶ τοῦ ἀνοιγῆναι. 1250, 17. 1352, 34.

πέτασος, φόρημά τι καὶ κάλυμμα, ὅτι παρὰ τὸ πετάζω λέγεται, ὃ ἐκ τοῦ πετῶ παρῆκται. 976, 42 1538, 58. 1631, 63.

πέταται, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι ἀπὸ τοῦ πέτημι ὡς ἵστημι θέματος κεκίνηται. 1216, 39.

πετεηνὸν τὸ πτῆναι δυνάμενον καὶ ὡς εἰπεῖν ἐκπετήσιμον ἐν τῷ, οἷσί τε τέκνα ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι, Ὀδ. π', 218. 1799, 64.

πετεινοὶ ὄρνιθες, ὅτι ὡς ἴδιον καθόλου ἐπιτίθεται τοῖς ὄρνισι τὸ πτηνὸν ἢ πρὸς διαστολὴν ἐν τῷ, τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά, Ἰλ. β', 459. 255, 16.

πετες καὶ πετης λήγοντα ὀνόματα ὅτι παρὰ μὲν τὸ πέτεσθαι γενόμενα βαρύνονται, οἷον ὑψιπέτης ἀετὸς· παρὰ δὲ τὸ πίπτειν ὀξύνονται, οἷον Διοπετὲς Παλλάδιον, τὸ ἐκ Διὸς καταπεσόν. 1520, 60.

πέτεσθαι λέγεται δόρυ διὰ τὸ τάχος ἢ τὴν ἐλαφρότητα. 547, 21. καὶ ὅτι καὶ ἵπποι πέτεσθαι λέγονται παρ' Ὁμήρῳ παραβολικῶς. 1477, 56.

Πετεὼν, κώμη τῆς Θηβαϊκῆς χώρας πρὸς τῇ ἐπ' Ἀνθηδόνα ὁδῷ κειμένη. 267, 23.

Πετεὼς, κύριον παρὰ τὸ πέτεσθαι, ἡ γενικὴ τοῦ Πετεὼ καὶ πλεονασμῷ τοῦ ο̄ Πετεῶο, ἢ Πετεὸς Πετεοῦ Πετεοῖο καὶ Πετεῶο. 283, 35. 478, 45. 1830, 60. ζήτει τὸ, ωο λήγουσαι γενικαί.

πέτηλα ταὐτὸ ὅπερ πέταλα, ἤγουν φύλλα. 229, 1. καὶ ὅτι πέτηλον μὲν ὡς παρὰ τὸ πέτω διὰ τοῦ ἦτα, πτίλον δὲ ἀπὸ τοῦ πτῶ διὰ τοῦ ἰῶτα. 941, 15.

πέτρα ἀντὶ τοῦ ὄρος ἐν τῷ, ὀλοοίτροχος ὡς ἀπὸ πέτρης, Ἰλ. ν', 137. 925, 8. 23.

πετραίην τὴν Σκύλλαν καλεῖ Ὅμηρος ἐπιθετικῶς, ὡς προσπεφυκυῖαν ταῖς κατ' αὐτὴν πέτραις. 1719, 34.

πεττεία ἡ διὰ πεσσῶν παιδιά, ὅτι οἱονεὶ πεντεία λέγεται διὰ τὰς κατ' αὐτὴν πέντε γραμμὰς καὶ πέντε ψήφους· καὶ ὅτι κατὰ μέν τινας Παλαμήδους ἐστὶν εὕρημα, κατὰ δὲ ἑτέρους Αἰγυπτίων, παρ' οἷς οὐ παικτικὴ, ἀλλὰ φιλόσοφος ἦν ἡ πεττεία. 228, 1—10. 1396, 61. ζήτει τὸ πεσσοί.

πεττείας τρόπος, ᾧ ἐχρῶντο οἱ Ὁμηρικοὶ μνηστῆρες, ἑρμηνεία διεξοδική. 1426, 15.

πεττεύειν τὸ ταυλίζειν καὶ μετατιθέναι καὶ παίζειν. 1396, 63.

πεττευτήριον, πλινθίον τι ἀστρονομικόν. 1397, 13.

πέττω ὅτι ἐκ τοῦ πέπτω Αἰολικῶς λέγεται. 54, 11. 1398, 31.

πέτω τὸ πίπτω καὶ τὸ πέτομαι, ὅτι δι' ἑνὸς τ̄ γράφονται. 764, 26. 1220, 17.

πευθὴν ὁ κατάσκοπος καὶ ὠτακουστὴς, παρὰ τὸ πεύθεσθαι, ὅ ἐστι πυνθάνεσθαι. 788, 10. 17. 799, 18. 947, 51. 1458, 36.

πευκάλιμαι φρένες αἱ πικραὶ κατὰ τὴν πεύκην, ὅ ἐστι συνεταὶ διὰ τὸ τῆς φρονήσεως στρυφνὸν καὶ δυσπρόσιτον· καὶ ὅτι ἐκ πλεονασμοῦ τῆς αλ̄ συλλαβῆς γέγονεν ἡ λέξις. 1106, 60. 1194, 50.

πευκέδανον προσηγορικῶς προπαροξυτόνως ὡς ἐρυθρόδανον, πευκεδανὸν δὲ ὀξυτόνως ἐπίθετον, ὅτι παρὰ τὴν πεύκην λέγεται. 42, 31. 786, 28.

πεύκη προσηγορικῶς πᾶν εἶδος δένδρου ἐξ ἑνὸς εἴδους τοῦ τῆς πεύκης. 633, 36. 832, 60. καὶ πεύκη παρ' Εὐριπίδῃ ἡ ἐκ πευκίνου ξύλου δέλτος. 633, 22.

πεύκη τὸ δένδρον ὅτι Ἡφαίστῳ ἀφιέρωται διὰ τὸ εὐέξαπτον τοῦ ξύλου. 87, 25.

πεῦσις ἐστὶ φράσις πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνασθαι.

οἷον καὶ ἦ οὖ, ὡς πρὸς τὴν ἐρώτησιν. 605, 8. 1457, 35.

πέφανται, ζήτει τὸ πέφαται.

πεφάσθαι ἀντὶ τοῦ πεφονεῦσθαι, ἀπὸ τοῦ φάζω θέματος, ὃ ἐκ τοῦ φῶ, ὃ δηλοῖ τὸ φονεύω, παρήχθη. 619, 25. 1728, 13.

πεφασμένος, ἤγουν πεφονευμένος, ἀπὸ τοῦ φάζω θέματος, ὃ ἐκ τοῦ φῶ παρῆκται. 962, 48. 1728, 15. καὶ πεφασμένος λόγος ὁ ἀποφαντικῶς καὶ ἀξιωματικῶς εἰρημένος. 971, 63.

πέφαται χωρὶς τοῦ ν ἀντὶ τοῦ πεφόνευται ἀπὸ τοῦ φάω φῶ, πέφανται δὲ μετὰ τοῦ ν ἀντὶ τοῦ πεφανέρωται ἀπὸ τοῦ φαίνω. 1100, 31. 1123, 19. ἀλλαχοῦ δὲ ὅτι πέφανται ἀντὶ τοῦ ἐφονεύθησαν ἀπὸ τοῦ φάζω θέματος, ὃ ἐκ τοῦ φῶ, ὃ δηλοῖ τὸ φονεύω, παρήχθη· καὶ πέφανται ἀντὶ τοῦ ἐφάνη μετὰ τοῦ ν Ἀττικῶς κατὰ τρίτον πρόσωπον ἑνικὸν, οἷον πέφανται κλεινὸν ἔπος, παρὰ Σοφοκλεῖ ἀντὶ τοῦ ἐγνωματεύθη καὶ ἀπεφάνθη. 189, 23. 1728, 16. 21.

πεφευγοίην ὅτι ἐκ τοῦ πεφεύγοιμι μεταπέπλασται. 666, 37.

πεφήσεαι ἀντὶ τοῦ φονευθήσῃ, χρόνου μετ' ὀλίγον μέλλοντος ἀπὸ τοῦ φῶ, ὃ δηλοῖ τὸ φονεύω. 962, 47.

πεφήσεται ἀντὶ τοῦ φανήσεται, ἀπὸ τοῦ φῶ, ὃ δηλοῖ τὸ φαίνω. 1100, 28.

πεφιδέσθαι, ἀπαρέμφατον μέσου ἀορίστου δευτέρου Ἰωνικοῦ. 1225, 60.

πεφιδήσεται, πρόσωπον ῥηματικὸν χρόνου μέσου μέλλοντος ἢ μετ' ὀλίγον μέλλοντος ἐκ τοῦ φιδῶ φιδήσω θέματος. 1013, 25.

πεφιδοίμην, εὐκτικὸν μέσου ἀορίστου δευτέρου Ἰωνικοῦ. 1629, 17.

πεφίδοιτο, τρίτον πρόσωπον ῥηματικὸν ἀπὸ τοῦ φείδω θέματος. 1217, 36.

πεφιλιππῶσθαι τὸ λελεπτύνθαι, ἀπό τινος Φιλιππίδου ἰσχνοτάτου γεγονότος, καὶ ὅτι κατὰ συγκοπὴν λέγεται. 1646, 17.

πέφνω τὸ φονεύω, ὅτι ἀπὸ τοῦ φάω φῶ τοῦ σημαίνοντος τὸ φονεύω γίνεται. 1123, 19. ἀλλαχοῦ δὲ ὅτι τὸ πέφνω ἐκ τοῦ φένω γέγονεν, ἐξ οὗ ὁ φόνος, διπλασιασμῷ καὶ συγκοπῇ, σχηματισμὸς διεξοδικός. 1275, 53.

πεφράδαται, τρίτον πρόσωπον πληθυντικὸν τοῦ παθητικοῦ παρακειμένου τοῦ φράζω ῥήματος, ἀπὸ τοῦ πέφρασται συστοίχου ἑνικοῦ ἐκβολῇ τοῦ σ καὶ ἀντεπενθέσει τῆς δα συλλαβῆς Ἰωνικῶς ἐσχηματισμένον. 1301, 7.

πέφραδε προστακτικὸν ἀντὶ τοῦ εἰπὲ, ὅτι μέσου παρακειμένου ἐστὶν ἀπὸ τοῦ φράζω, ἢ ἀπὸ τοῦ ἔφραδον δευτέρου ἀορίστου τὸ προστακτικὸν φράδε καὶ διπλασιασμῷ πέφραδε. 1416, 46.

πεφρικέναι τὸ μισεῖν τι καὶ δειλιᾶν ὡς ὀλέθριον. 1374, 34.

πεφρικυῖαι φάλαγγες αἱ ὄρθιαι. 472, 46. ζήτει τὸ φρίσσειν.

πεφύγγω ἴσον τῷ πεφύγω, ὃ ἐκ τοῦ πέφυγα παρακειμένου εἰς ἐνεστῶτα ἀνήχθη. 1596, 7.

πεφυγμένος μετοχὴ ὅτι ποτὲ μὲν αἰτιατικὴν, ποτὲ δὲ γενικὴν ἐφέλκεται παρ' Ὁμήρῳ, οἷον πεφυγμένος ὄλεθρον, αἰτιατικῇ, Ὀδ. ί, 455. καὶ πεφυγμένος ἀέθλων, γενικῇ, Ὀδ. ά, 18. 1267, 35. 1638, 50. καὶ ὅτι ἐκ τοῦ πεφευγμένος γέγονεν ἐκβολῇ τοῦ ε πρὸς εὐφωνίαν. 657, 31. 1385, 9.

πεφύγω ὅτι ἐκ τοῦ πέφυγα παρακειμένου εἰς ἐνεστῶτα ἀνήχθη. 1596, 7.

πέφυζα καὶ πεφυζὼς ἀντὶ τοῦ πέφυγα καὶ πεφυγὼς Ἰωνικῶς, ταῦτα δὲ ἐκ τοῦ πεφύγηκα καὶ πεφυγηκὼς ἐξαιρέσει τοῦ ηκ λέγονται. 1643, 2.

πεφυζότες ὅτι ἐκ τοῦ πεφυζηκότες συγκέκοπται, ὃ ἐκ τοῦ φυζῶ φυζήσω κεκίνηται. 1220, 10.

πεφυζὼς πεφυζότος, μετοχὴ τοῦ πέφυζα μέσου παρακειμένου, ὃς ἀπὸ τοῦ φυζῶ περισπωμένου θέματος, οὐ προϋπάρχει τὸ φύζα, κεκίνηται. 1746, 19.

πεφυκέναι τὸ ἐκ φύσεως εἶναι ἢ γεγονέναι. 500, 28. καὶ ὅτι πεφυκέναι κέρατα τῷ ζώῳ λέγεται ἀντὶ τοῦ βεβλαστηκέναι. 451, 5.

πεφύκω ἐπέφυκον, ὅτι ἐκ τοῦ πέφυκα παρακειμένου εἰς ἐνεστῶτα ἀνήχθη. 1596, 11.

πεφυρμένος, ἤγουν μεμιγμένος, ἀπὸ τοῦ φύρω· καὶ πεφυρμένος ἀντὶ τοῦ μεμιασμένος. 1636, 20.

πεφωγμέναι ἰσχάδες αἱ πεφρυγμέναι, ἀπὸ τοῦ φωγνύω, ὃ δηλοῖ τὸ φρύγω. 962, 50. ἀλλαχοῦ δὲ ὅτι πεφωσμέναι ἰσχάδες ἀπὸ τοῦ φώζω θέματος. 1123, 22. καὶ ἀλλαχοῦ πεφωσμένος μετοχὴ τοῦ φώζω ῥήματος, ὃ ἐκ τοῦ φῶ μονοσυλλάβου παρῆκται. 1859, 42.

πέψω μέλλων καὶ ἔπεψα ἀόριστος καὶ αἱ ἀπ' αὐτῶν κινήσεις ὅτι οὐκ ἀπὸ τοῦ πέττω, ἀλλ' ἀπὸ τοῦ πέπτω γίνονται. 54, 11.

πῇ καὶ ὅπῃ ὅτι μετὰ προσγραφῆς τοῦ ι γράφονται. 174, 1.

πῆ καὶ ποῖ ἐρωτηματικὰ περὶ τῆς εἰς τόπον κινήσεως. 1664, 8.

πηγαὶ αἱ ἀρχαὶ τῶν ἀεννάων ποταμῶν, κρουνοὶ δὲ αἱ τῶν χειμάῤῥων. 497, 28.

Πήγασος, ἵππος Βελλεροφόντου, ὅτι ἀέριος φερόμενος καὶ Διὸς χόλῳ οἴστρῳ βληθεὶς κατέῤῥιψε τὸν Βελλεροφόντην, ἱστορία. 636, 39. καὶ ὅτι τὸ τάχος τοῦ Πηγάσου ἀφορμὴν δέδωκε τῆς μυθολογίας τοῦ πτερωτὸν αὐτὸν γεγονέναι. 1477, 56. καὶ ὅτι καὶ Ἠὼς, ἡ σωματοειδὴς θεὰ, χρῆσθαι τῷ Πηγάσῳ ἵππῳ μεμύθευται. 826, 26.

πηγεσίμαλλος ἀρνειὸς ὁ μελανόμαλλος ἢ ὁ λευκόμαλλος, σχηματισμὸς παρὰ τὸ πηγὸν, ὃ κατὰ μέν τινας τὸ μέλαν, κατὰ δέ τινας τὸ λευκόν. 403, 42.

πηγὴ ὕδατος ἐν Παννονίᾳ ζέουσα καὶ σκώληκας γεννῶσα, ἱστορία. 1263, 31.

πηγνύναι ναῦς τὸ στερεῶς συστήσασθαι, ὅθεν καὶ τὸ ναυπηγεῖν λέγεται, καὶ πρωτοπαγὴς ναῦς. 316, 36. 742, 41. καὶ ὅτι καὶ γόνατα πήγνυσθαι λέγονται ὡς κρυερὰ τῷ δέει γενόμενα. 1279, 57.

πηγὸν κατὰ μέν τινας τὸ μέλαν, κατὰ δὲ ἄλλους τὸ λευκόν. 403, 43. ζήτει τὸ πηγεσίμαλλος.

πηγὸν κῦμα τὸ εὐτραφὲς ἢ τὸ εὐπαγὲς ἢ τὸ μέλαν κατὰ γλῶσ-

σαν, καὶ ἵπποι πηγοὶ οἱ στερεοί. 1539, 40.

πηγὸς ἵππος ὁ εὐπαγὴς καὶ στερεὸς τὴν ἕξιν ἢ ὁ μέλας ἐπιθετικῶς τὸ χρῶμα. 740, 50.

πηγυλὶς ὁ παγετὸς προσηγορικῶς, ἡ πηγυλὶς νὺξ ἡ παγετώδης ἐπιθετικῶς, Ὀδ. ξ', 476. 1768, 5.

Πήδαιον, τόπος τις περί που τὰ κατὰ τὴν Τροίαν. 926, 43.

πηδάλιον ἔτι οἴαξ καὶ αὐχὴν καὶ ἐφόλκιον συνωνύμως λέγεται. 1533, 46. καὶ ὅτι παρὰ τὸ πηδὸν, ὅ ἐστιν εἶδος ξύλου, λέγεται τοὔνομα ἐπενθέσει τῆς αλ συλλαβῆς. 1582, 25. καὶ παροιμία, ὑπὲρ καπνοῦ τὸ πηδάλιον, ἐπὶ τῶν ἀργούντων καὶ καταμελούντων τέχνης τινός. 750, 40.

Πήδασος, πόλις πρὸς Καρίᾳ καὶ Ἁλικαρνασσῷ, ἀπὸ Πηγάσου τοῦ Βελλεροφόντου ἵππου· καὶ αἰτιολογία τῆς κλήσεως ἐξ ἱστορίας. 623, 13. καὶ Πήδασος πόλις Τρωικὴ, ἡ καὶ Μονηνία ποτὲ κληθεῖσα, ἧς οἱ οἰκήτορες ἐκπορθηθέντες ὑπ' Ἀχιλλέως μετέστησαν εἰς τὰ περὶ Ἁλικαρνασσὸν, ὅπου καὶ πόλις τὰ Πήδασα οὐδετέρως λεγομένη καὶ χώρα Πηδασίς. 623, 21 — 25. ἀλλαχοῦ δὲ ὅτι Πήδασος θηλυκῶς πόλις ὑπὸ τῇ Τρωικῇ Ἴδῃ καὶ ἑτέρα Πελοποννήσου καὶ ἄλλη ἐν τῷ Ἀδραμυτινῷ κόλπῳ, Πήδασα δὲ οὐδετέρως πόλις Καρικὴ, ἡ καὶ Πήγασα διὰ τοῦ γ. 1198, 41. 61. καὶ ἀλλαχοῦ Πήδασος Καρῶν Λελέγων πόλις, ἡ καὶ Πήδασα οὐδετέρως καὶ Πήγασα διὰ τοῦ γ. 1225, 40. καὶ Πήδασος ἡ νῦν Κορώνη ἢ Μεθώνη, πόλις Πελοποννήσου. 623, 26. 743, 29.

Πήδασος, πόλις Τρωικὴ, ἱστορία. 623, 15. 21.

πηδητικὰ ἔπη τὰ κατ' ἐνόπλιον ῥυθμὸν πεποδιζόμενα, οἷον τὸ, ὡς φάτο | δακρυχέ | ων τοῦ | δ' ἔκλυε | πότνια | μήτηρ, Ἰλ. α'. 1899, 60.

πήδινος ἄξων ὁ ἐκ πηδοῦ ξύλου ποιοῦ. 613, 9.

πηδὸς, εἶδος ξύλου, πηδὸς δὲ ἡ ἐκ τοῦ τοιούτου ξύλου γινομένη κώπη. 613, 9. ἀλλαχοῦ δὲ ὅτι πηδὸν εἶδος ξύλου· καὶ ἀναῤῥίπτειν ἅλα πηδῷ, τὸ ταῖς κώπαις ἀναῤῥίπτειν τὸ θαλάσσιον ὕδωρ, Ὀδ. η', 328. 1582, 23.

πηκτὴ κλῖμαξ ἡ εὐπαγὴς ἢ ἡ συμπεπηγμένη, ὁμοίως τῷ πηκτὸν ἄροτρον. 811, 23.

πηκτὶς, εἶδος μελικοῦ ὀργάνου. 1157, 51.

πηκτὸν ἄροτρον τὸ μὴ αὐτόγυιον ἢ τὸ πρωτοπαγὲς ἢ μᾶλλον εὐπαγές. 316, 35. 955, 55. ἀλλαχοῦ δὲ ὅτι πηκτὸν ἄροτρον τὸ εὔπηκτον ὑπακουομένου τοῦ εὖ, ἢ τὸ κολλητὸν ἐκ πολλῶν ξύλων πρὸς διαστολὴν τοῦ παρ' Ἡσιόδῳ αὐτογυίου. 811, 23. 1732, 14. καὶ πηκτὸν σῶμα τὸ εὐπαγὲς ὁμοίως. 483, 26.

πῆλαι δόρυ ἐν ἴσῳ τῷ κραδᾶναι. 1050, 31.

Πηλεγὼν κύριον ὅτι ὀξύνεται. 1228, 13.

Πηλεὺς κύριον ὅτι παρὰ τὸν πηλὸν δοκεῖ παρωνομάσθαι. 772, 38. ἀλλαχοῦ δὲ ὅτι Πηλεὺς ὁ ἥρως παρὰ τὸ ἐν τῷ Πηλίῳ ὄρει τραφῆναι οὕτως ἐκλήθη. 1043, 6. καὶ ὅτι φυγὼν ἐξ Αἰγίνης ὁ Πηλεὺς διὰ τὸν Φῶκον τοῦ ἀδελφοῦ θάνατον καὶ εἰς Φθίαν ἐλθὼν καὶ γήμας Πολυμήλαν τὴν Ἄκτορος θυγατέρα τὴν ἐκείνου βασιλείαν διεδέξατο, ἱστορία. 321, 1.

Πηλιὰς μελία ἡ ἐκ τοῦ Πηλίου ὄρους τμηθεῖσα. 1050, 31.

Πήλιον, ὄρος Θεσσαλικὸν καὶ πόλις, ἧς ὁ πολίτης Πηλιεὺς καὶ Πηλιώτης. 334, 4.

πηλὸς ὅτι παρὰ τὸ παλάσσειν, ὃ δηλοῖ τὸ μολύνειν, λέγεται. 641, 49. καὶ ὅτι καὶ κατὰ θηλυκὸν γένος λέγεται. 1504, 37.

πῆμα κακοῦ ἡ ἐκ τοῦ κακοῦ βλάβη, καὶ πῆμα ἄτης ἀντὶ τοῦ ἄτη περιφραστικῶς. 1461, 63.

Πηνειὸς, ποταμὸς Θεσσαλικὸς, ὅτι ἐκ τοῦ Πίνδου ὁρμώμενος καὶ συμμίσγων Ἀπιδανῷ καὶ Ἐνιπεῖ καὶ διὰ τῶν Τεμπῶν μεταξὺ Πηλίου καὶ Ὄσσης φερόμενος κατακρατεῖ τῶν λοιπῶν τῇ ὀνομασίᾳ καὶ πρὸς ἔω ἔξεισι, καὶ πολλοὺς καὶ ἄλλους δεξάμενος ποταμοὺς κατὰ Γυρτώνην πόλιν Μαγνῆτιν εἰς τὴν θάλασσαν ἐκβάλλει, ἱστορία διεξοδική. 321, 23. 336, 45. 337, 13.

Πηνέλεως, ὄνομα στρατηγικὸν, παρὰ τὸ πένεσθαι, ὅ ἐστι πονεῖν καὶ ἐνεργεῖν, περὶ τὸν λαὸν λέγεται. 264, 17. καὶ ὅτι καὶ Πηνέλεος Πηνελέου κλίνεται τεταρτοκλίτως παρ' Ὁμήρῳ. 999, 7.

Πηνελόπη κύριον ὅτι παρὰ τὸ πένεσθαι περὶ λόπος, ἤγουν ὕφασμα, λέγεται, ἢ παρὰ τὸ πηνίον ἑλεῖν· καὶ ὅτι ἄλλως πρότερον καλουμένη διὰ τὸ ὑπὸ Ναυπλίου ῥιφῆναι εἰς θάλασσαν καὶ ὑπὸ πηνελόπων ὀρνέων σωθῆναι οὕτω μετωνομάσθη, ἱστορία καὶ ἑρμηνεία διεξοδική. 1421, 62 — 1422, 7.

πηνέλοψ πηνέλοπος, εἶδος ὀρνέου οὕτω καλούμενον. 1422, 7.

πηνήκη, περίθετος περικεφαλαία ἐκ τριχῶν, ὅτι παρὰ τὴν φενάκην λέγεται. 1422, 3.

πηνίον ὁ μίτος, ὅτι παρὰ τὸν Πᾶνα λέγεται, ὃς ὑφαντικῆς εὑρετὴς γεγονέναι ἱστορεῖται. 1328, 47. 50. 1421, 64.

πῆξαι ὄμματα κατὰ χθονὸς, Ἰλ. γ', 217. ἀντὶ τοῦ ἐρεῖσαι καὶ στηρίξαι τὸ βλέμμα. 407, 26.

πηὸς ὁ ἐξ ἀγχιστείας ἐπίκτητος συγγενὴς, παρὰ τὸ πιῶ τὸ κτῶμαι. 134, 43. 398, 44. 493, 46. 1502, 48. 1611, 24. ἀλλαχοῦ δὲ ὅτι πηοὶ οἱ ἀγχιστεῖς καὶ ἐκ μέρους πάντες οἱ συγγενεῖς ἐν τῷ, φεύγει πηοὺς προλιπὼν, Ὀδ. ψ', 120. 1941, 38.

πήρα ὅτι παρὰ τὸ τηρεῖν ἐτυμολογεῖται, οἱονεὶ τήρα τις οὖσα· καὶ ὅτι καὶ ἰατρικόν τι ἐργαλεῖον πήρα λέγεται ὁμωνύμως. 1746, 33. 39. 42.

Πήρεια, χωρίον τι Θετταλικὸν, ὅπου τὰς Ἀδμήτου ἵππους ὁ Ἀπόλλων νενεμηκέναι μυθεύεται. 341, 42.

Πηρὼ, θυγάτηρ Νηλέως, ἀδελφὴ Νέστορος. 1684, 61. 1685, 10. 16. 45. ζήτει ἐν τῷ Νηλεύς.

πήσσειν ἀντὶ τοῦ πεπηγέναι ποιεῖν ὑπὸ δέους, οἷον, πῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν, Ἰλ. ξ', 40. 966, 17.

πῆχυς τὸ πηχυαῖον μέτρον καὶ

π'. 904, 64. 1225, 54. 1654, 29. 1728, 25.

πίω ὁ μέλλων πίσω παρὰ Πινδάρῳ, καὶ πίομαι καὶ πιοῦμαι παρὰ τοῖς Ἀττικοῖς. 1193, 21. 1253, 50. 56.

πίων πίονος, λέξις χρήσιμος ἐν πεζῷ λόγῳ, πίηρ δὲ καὶ πῖος ἄχρηστα. 1178, 64.

πίων ναὸς ὁ πιαινόμενος λιπαροῖς θύμασι. 1725, 23.

πίων δῆμος λέγεται διὰ τὴν γῆς πιότητα, ἢ ὁ φιλοθύτης διὰ τὸ πίονα ζῷα θύειν, καὶ σχηματισμὸς τῆς πίων φωνῆς. 1069, 51.

πλάγιαι μὴ ἔχουσαι εὐθείας ἀναλόγους, ἀλλ' ἑτεροκλίτως ὑπαγόμεναί τισιν ἑτεροζύγοις, οἷον αἱ γυναικὸς γυναικὶ γυναῖκα τῇ γυνὴ εὐθείᾳ. 113, 32.

πλάγιαι μετοχῶν ἀνομοιοπτώτως ἐπιτιθέμεναι ὀνόμασιν ἢ ἀντωνυμίαις, οἷον ἡμῖν κατεκλάσθη ἦτορ δεισάντων, Ὀδ. ι', 256. 1073, 57.

πλαγιασμοὶ σολοικοφανεῖς ἀπὸ εὐθείας ἀκατηγορήτου ἀρχόμενοι, οἷον τὸ Ὁμήρου Ἰλ. γ', 211. ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς· καὶ Εὐριπίδου τὸ, πάλαι δέ σ' ἐξερωτῆσαι θέλων σχολή μ' ἀπεῖργε. 236, 29. 406, 12.

πλαγιασμὸς, ὅτι ἀσφαλεῖς εἰσὶ πρὸς σύνταξιν οἱ πλαγιασμοὶ καὶ ἀσόλοικοι. 1628, 21.

πλαγίαυλος, εἶδος αὐλοῦ, ὅθεν τὸ πλαγιαυλίζειν παρὰ τῇ χυδαίᾳ διαλέκτῳ. 1157, 40.

πλαγκταὶ πέτραι, ὅτι παρὰ τὸ πλάζειν, ὅ ἐστι πελάζειν, καὶ συμπίπτειν ἀλλήλαις μυθεύεσθαι οὕτω λέγονται· καὶ ὅτι Ὅμηρος μὲν ἐν τῷ Σικελικῷ πορθμῷ αὐτὰς πλάττει εἶναι, οἱ δὲ ὕστερον ἐν τῇ κατὰ τὸν Εὔξεινον Προποντίδι· καὶ πόθεν ἀφορμὴν ἔσχεν ὁ περὶ τῆς συγκρούσεως αὐτῶν μῦθος, αἰτιολογία διεξοδική· καὶ ὅτι καὶ πυροβολεῖν ἐκ τῆς συγκρούσεως μυθεύονται· δοκοῦσι δὲ καὶ παρὰ τὸ πλήσσειν λέγεσθαι, ὅθεν καὶ Συμπληγάδες αἱ αὐταὶ ὀνομάζονται. 1711, 53. 1712, 27.

πλαγκτὸς ἀντὶ τοῦ ἔμπληκτος καὶ παραπλὴξ ἢ πλαζόμενος τὴν διάνοιαν καὶ οὐ σταθερός. 1913, 8.

πλάγχθη, ἤγουν ἐπλανήθη, ἀπὸ τοῦ πλάζω, ὃ δηλοῖ τὸ πλανῶ, πλεονασμῷ τοῦ ν διὰ καλλιφωνίαν. 1382, 34. καὶ πλάγχθη χαλκὸς μεταφορικῶς ἀντὶ τοῦ ἐπλανήθη καὶ ἐξέπεσε τοῦ σκοποῦ, τουτέστιν ἐξεκρούσθη ἐν τῷ, πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός, Ἰλ. λ', 351. 849, 3.

πλάζειν τὸ πλανᾶν, καὶ πλάζειν ἀντὶ τοῦ πελάζειν ἐν τῷ, προσέπλαζε γενείῳ, Ὀδ. λ', 583. 1701, 25.

πλάζειν τὸ πλανᾶν. 1382, 37.

πλάζειν τὸ ἀποπλανᾶν καὶ τὸ ἀνακόπτειν καὶ ἀνείργειν. 191, 11. 1126, 7. καὶ πλάζειν τὸ πελάζειν, οἷον ἐν τῷ, προσέπλαζε γενείῳ, Ὀδ. λ', 583. 1701, 25. καὶ πλάζειν τὸ πλανᾶν ἢ διασαλεύειν, οἷον ἐν τῷ, πλάζ' ὤμοις καθύπερθεν, Ἰλ. φ', 269. 1234, 18. 30.

πλάζειν τὸ ἀποπλανᾶν. 1382, 37. καὶ ὅτι τὸ πλάζειν τινὰς ἤγουν τῆς κατὰ φύσιν ἐνεργείας ἀποπλανᾶν ἐντελῶς λέγεται, πλάζειν δὲ τινὰ κατὰ μόνας ἐλλιπῶς, οἷον ἐν τῷ, πλάζε δὲ πίνοντας, Ὀδ. β', 396. 1451, 57.

πλάζω καὶ πλάζομαι, ὅτι ἐκ τοῦ πολῶ γίνεται πλῶ κατὰ συγκοπὴν, ὅθεν τὸ πλάζω. 792, 1. καὶ πλάζω ἀντὶ τοῦ πλάσσω κατὰ γλῶσσαν Ταραντίνων, ὡς ἀνάζω ἀντὶ τοῦ ἀνάσσω. 1654, 27.

πλάθω ὅτι ἐκ τοῦ πλῶ, ὅ ἐστι πελάζω, παρήχθη. 1887, 15.

πλάκες, ὅτι οὕτως λέγονται πάντα τὰ πλατέα. 649, 52.

Πλάκιον, ὄρος τι τῆς Ἀτραμυττινῆς, ἀφ' οὗ ἡ Ὑποπλακία Θήβη ὠνομάσθη. 649, 48.

πλακοῦς προσηγορικῶς ἄρτος ἢ πέμμα πλατὺ, παρὰ τὴν πλάκα· καὶ Πλακοῦς κώμη ἓξ σταδίους ἀπέχουσα τῶν Ὑποπλακίων Θηβῶν. 649, 53. 1114, 1.

πλάνη ὅτι παρὰ τὸ ἄλη λέγεται κατὰ τροπὴν καὶ πλεονασμὸν, ἢ παρὰ τὸ πλαγιάζειν τῆς εὐθείας, ὅθεν ὁ πλάνης καὶ ὁ πλανήτης. 1382, 37.

πλανητῶν οἶκοι, τόποι τινὲς δεδομένοι τοῖς πλανήταις, καθ' οὓς ὄντες οἰκοδεσποτεῖν λέγονται. 162, 2.

πλάνος ἀντὶ τοῦ πλάνη προσηγορικῶς. 333, 44.

πλάνος λέγεται παρὰ τὸ ἀποπλανᾶν τοὺς θεωμένους, καὶ ὅτι τοιοῦτοι πλάνοι ἱστοροῦνται Κηφισσόδωρος καὶ Παντολέων καὶ Ματρέας. 1382, 40.

πλὰξ, ὅτι οὕτως ὑπὸ τῶν πλείων λέγεται πᾶν τὸ ἐπίπεδον χωρίον. 322, 31. ἀλλαχοῦ δὲ ὅτι πλάκες λέγονται πάντα τὰ πλατέα χωρία. 649, 52.

πλάστιγγες τὰ ἑκατέρωθεν τοῦ σταθμικοῦ ζυγοῦ ἀπηρτημένα πλατέα, οἷς ἐπιτίθενται τὰ σταθμώμενα· καὶ πλάστιγξ ὁ σταθμὸς αὐτὸς, ἐκ τοῦ μέρους τὸ ὅλον. 196, 40. 912, 48.

Πλάταια, πόλις τῆς Βοιωτίας μεταξὺ Θηβῶν καὶ τοῦ Κιθαιρῶνος ἐπὶ τῇ εἰς Ἀθήνας καὶ Μέγαρα ὁδῷ, ὅτι παρὰ τὴν πλάτην, ὃ σημαίνει τὴν κώπην, λέγεται· ζήτει τὸ, Κῶπαι πόλις. καὶ ἱστορία περὶ τῶν κατὰ τὰ Περσικὰ συμβάντων ἐν Πλαταιαῖς· καὶ ὅτι Πλάταια μὲν ἑνικῶς προπαροξυτόνως, Πλαταιαὶ δὲ πληθυντικῶς ὀξυτόνως· καὶ Πλαταιαὶ ὁμωνύμως δῆμός τις τῆς Σικυωνίας χώρας. 267, 38. 45. 268, 45 — 269, 17.

πλάτανος, δένδρον ὑδροχαρὲς, ἄκαρπον μὲν, καλὸν δὲ καὶ εὐμέγεθες, ὅτι παρὰ τὸ πλάτος λέγεται. 226, 15.

πλατέα αἰπόλια τὰ μεγάλα ἢ τὰ ἐπιπολὺ πλατυνόμενα διὰ τὸ ἐσκεδασμένας καὶ μὴ ἀθρόας βόσκεσθαι πεφυκέναι τὰς αἶγας. 257, 22. 531, 45.

πλάτη ἡ κώπη διὰ τὸ κάτω τῆς κώπης πλάτος. 89, 32. καὶ ὅτι πλάτη μὲν θαλασσία ἡ κώπη, πλάτη δὲ χερσαία τὸ πτύον. 1675, 51.

πλατὺς Ἑλλήσποντος οὐχ' ὁ καθόλου, ἀλλὰ κατά τι μέρος αὐτοῦ τοιοῦτος. 666, 63.

Πλάτων ὁ φιλόσοφος τὰ ἑαυτοῦ ποιήματα κατακαύσας διὰ τὸ πολὺ λείπεσθαι τῶν Ὁμηρικῶν. ἱστορία. 1149, 3.

πλέας ἀντὶ τοῦ πλείονας, ὅθεν καὶ γέγονεν ἀποβολῇ τοῦ ι καὶ συγκοπῇ. 190, 23.

πλέειν ἐν χρῷ, καὶ πλοῦς ἐν χρῷ, ὁ ἐγγὺς τῆς γῆς. 1450, 33.

πλέες ἀντὶ τοῦ πλείονες, ὅθεν καὶ συγκέκοπται. 852, 39.

πλέθρον, μέτρον γῆς ποδῶν ἑκατὸν εἴκοσι. 849, 14. ἀλλαχοῦ δὲ ὅτι πλέθρον διάστημα ποδῶν ἑκατὸν ἤτοι πηχέων ξς' καὶ διμοίρου. 1244, 13. καὶ πάλιν ὅτι τὸ ἕκτον μέρος τοῦ σταδίου πλέθρον καλεῖσθαι φασί τινες. 1700, 5.

Πλειάδες τὸ ἄστρον ὅτι καὶ Πελειάδες τετρασυλλάβως λέγεται, καί τινα περὶ Πλειάδων τοῦ ἄστρου. 869, 41. 870, 19. ἀλλαχοῦ δὲ ὅτι Πλειάδες ἄστρα ἑπτὰ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου, καὶ ὅτι τὰ τοιαῦτα ἄστρα πελείας καλεῖ Ὅμηρος συμβολικῶς, ζήτει ἐν τῷ πέλειαι. 1712, 53. 1713, 15. καὶ πάλιν ὅτι αἱ ἑπτὰ τῶν Ἄτλαντος θυγατέρων Πλειάδες ὠνομάσθησαν, καὶ διάφοροι ἐτυμολογίαι τῆς λέξεως. 1155, 46—54. καὶ ὀνόματα τῶν τοιούτων τοῦ Ἄτλαντος θυγατέρων, καὶ τίνι ἑκάστη αὐτῶν ἐμίγη, καὶ τίνα ἔτεκεν, ἱστορία. 1155, 51.

Πλειὰς, ἀστροθέτημα ἐξ ἑπτὰ ἀστέρων συνεστὼς, ὅθεν Πλειὰς ἐκλήθη· καὶ ἑπτὰς τραγικῶν τινῶν, καὶ ἑτέρα ἑπτὰς τινῶν σοφῶν Πλειὰς ἐκλήθη. 1535, 27.

πλείη, θηλυκὸν σύζυγον τοῦ πλεῖος, ὅ ἐστι πλήρης. 209, 43. 705, 1. καὶ πλείη γαστὴρ ἡ εἰς κόρον πεπληρωμένη. 1833, 30.

πλεῖον τὸ πλῆρες εἴτουν γέμον καὶ ἔμπλεον, ἀπὸ τοῦ πλεῖος ἀρσενικοῦ. 470, 13. 705, 1.

πλείονες λέγονται οἱ τεθνηκότες, καὶ ἀπελθεῖν παρὰ τοὺς πλείονας ἀντὶ τοῦ ἀποθανεῖν. 1382, 19.

πλειότερος ἀντὶ τοῦ πλείων ποιητικῶς, ὡς καὶ χερειότερος ἀντὶ τοῦ χερείων, καὶ ῥαότερος ἀντὶ τοῦ ῥάων· ὅθεν τὸ, πλειοτέρῃ σὺν χειρί, Ὀδ. λ', 359. ἤγουν γεμούσῃ καὶ πεπληρωμένῃ. 1690, 42.

πλειστάκι ἀντὶ τοῦ πλειστάκις ἀποβολῇ τοῦ σ. 122, 7. ζήτει τὸ, ις λήγοντα ἐπιῤῥήματα.

πλειστόμβροτος ἀγορὰ ἡ ἀνδρῶν πλήθουσα, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ μ ἡ λέξις πρὸς ὄγκον καὶ σεμνότητα φωνῆς. 243, 43.

πλεῖστον ὑπερθετικὸν, τὸ πλῖ δίφθογγον ὡς ἀπὸ τοῦ πλεῖον συγκριτικοῦ. 135, 13.

πλείων, συγκριτικὸν κοινὸν τῷ γένει ἀπὸ τοῦ πλεῖος καὶ πλείη ἐσχηματισμένον. 210, 1.

πλειῶν πλειῶνος, ὀξυτόνως ὡς περιεκτικὸν ὁ ἐνιαυτὸς ὁ καιρικὰ πλείω ἐμπεριειληφώς. 156, 41. 1155, 49.

πλέον ἀντὶ τοῦ πλεῖον, ἤγουν πλῆρες. 1894, 60.

πλεονάζοντά τινα ἐπίθετα παρὰ τοῖς ποιηταῖς, οἷον τὸ, νεκύων κατατεθνειώτων, παρ' Ὁμήρῳ, καὶ ἐν γυναιξὶ θηλείαις, παρ' Εὐριπίδῃ· καὶ ἁπλῶς περὶ τινῶν ἀκύρων προσθηκῶν, ἑρμηνεία διεξοδική. 687, 40—60.

πλεονάζουσαι φωναὶ κατά τινα ῥητὰ, οἷον τὸ εἶναι ἐν τῷ, ἑκὼν εἶναι, καὶ τὸ ἔχειν ἐν τῷ, παίζεις ἔχων. 205, 32.

πλεονασμὸς συμφώνων ἐν λέξεσι πρὸς βραχέων ἐπαλληλίας θεραπείαν, οἷον φερέβιος φερέσβιος. 611, 38.

πλεονεξία ἀντὶ τοῦ εὐπορία παρ' Ἰσοκράτει. 1455, 29.

πλεύμων ὁ πνεύμων τροπῇ Ἀττικῇ τοῦ ν εἰς λ. 483, 10. 1436, 61.

πλεῦνα ὅτι ἐκ τοῦ πλέονα κέκραται Ἰωνικῶς. 775, 48.

πλευρὰ νήσου ἢ τόπου τινὸς ἀντὶ τοῦ τὰ πλάγια τροπικῶς. 309, 37.

Πλευρὼν, πόλις Αἰτωλίας, ὁ πολίτης Πλευρώνιος καὶ Πλευρωνεὺς, ὅτι Κουρήτων οἰκητήριον ἦν ἡ Πλευρών. 311, 27. 312, 12.

πλευρώνιος ἐπίθετον κατὰ πυκτῶν λεγόμενον, ὅτι παρὰ τὰς πλευρὰς πεποίηται τοὔνομα. 1321, 11.

πλέως ὁ πλήρης Ἀττικῶς διὰ τοῦ ω μεγάλου, καὶ πλέων οὐδετέρως, ὅθεν τὸ ἔμπλεως καὶ ἀνάπλεως, ὅτι πάλαι διὰ τοῦ ο μικροῦ ἐγράφοντο. 209, 45. 705, 3. 1534, 12.

πλη συλλαβὴ μετὰ τοῦ κ ἢ μετὰ τοῦ γ μέση λέξεων ἐκ τοῦ πλήσσω ῥήματος συγκειμένων, οἷον ἔμπληκτος, ἐμπλήγδην· καὶ πλη μετὰ τοῦ ξ ληκτικὴ τῶν αὐτῶν, οἷον παραπλήξ. 68, 25.

πληγὴ θεοῦ ἀντὶ τοῦ θεοπληξία καὶ θέλξις, ἤγουν ἔκστασις καὶ φύσεως ἀργία. 1087, 58.

πληγῆναι λέγεταί τις τὸ σῶμα, καταπλαγῆναι δὲ καὶ ἐκπλαγῆναι τὴν ψυχήν. 374, 11. ζήτει τὸ ἐκπλαγῆναι καὶ τὸ ἐκπληγῆναι.

πλήθειν τὸ πλημύρειν. 525, 37. ὅθεν πλήθοντες ποταμοὶ λέγονται οἱ ἐξ ὄμβρου πληρούμενοι. 1066, 11. 1155, 26.

πλῆθος, διωρισμένον ποσόν. 1160, 13. καὶ ὅτι ἀπὸ τῶν τριῶν ἄρχεται ὁ πληθυσμός. 982, 59.

πλῆθος σημαίνοντα ὀνόματα κατὰ φωνὴν ἑνικὴν ἐσχηματισμένα ὅτι πληθυντικοῖς ἐνίοτε ῥήμασιν ὑπόκεινται, οἷον, φάσαν ἡ πληθύς, Ἰλ. β', 278. 219, 45.

πλήθουσα σελήνη ἡ ἐκ μειώσεως αὐξομένη, ἢ ἡ πληρωτικὴ σωμάτων τινῶν, ἑρμηνεία διεξοδική. 1155, 23.

πλήθουσαι τράπεζαι ὅτι πρὸς διαστολὴν τῶν κενῶν λέγονται παρ' Ὁμήρῳ. 1692, 57.

πληθυντικὰ οὐδέτερα ἑνικοῖς ὑποκείμενα ῥήμασιν, οἷον δοῦρα σέσηπε· καὶ ἀνάπαλιν πληθυντικὸν ῥῆμα ἑνικοῦ κατηγορούμενον πτωτικοῦ, οἷον ἐσκίδναντο ἕκαστος. 114, 36. 191, 20.

πληθυντικὰ προσηγορικὰ ἀντὶ ἑνικῶν, οἷον πρόσωπα ἀντὶ τοῦ πρόσωπον, καὶ τόξα ἀντὶ τοῦ τόξον. 38, 43. καὶ ἐπιθετικὰ ὁμοίως, οἷον, σχέτλια γὰρ ἐμὲ πάσχειν τάδε, ἀντὶ τοῦ σχέτλιον. 59, 27. καὶ ὅτι οἱ Ἀττικοὶ χαίρουσι τοῖς τοιούτοις. 1657, 42.

πληθυντικὰ ὅτι ἀντὶ δυϊκῶν τίθενται ἐνίοτε, καὶ ἐναλλὰξ δυϊκὰ ἀντὶ πληθυντικῶν, οἷον ἄμμε ἀντὶ τοῦ ἡμᾶς, Ἰλ. α', 59. 47, 27. 1480, 49. καὶ περὶ τῆς τοῦ δυϊκοῦ καὶ πληθυντικοῦ ἀριθμοῦ ἀδιαφορίας ἐκ παραδειγμάτων Ὁμηρικῶν. 1308, 20.

πληθυντικαὶ μετοχαὶ ἐπιτιθέμεναι δυϊκοῖς πτωτικοῖς, οἷον ἄνδρ' ὁρόω κρατερὼ ἵν' ἀπέλεθρον ἔχοντας, Ἰλ. ε', 244 sq. 557, 29.

πληθυντικὸν ἐπίθετον κατὰ δυϊκοῦ προσηγορικοῦ, οἷον φίλας περὶ χεῖρε βαλόντε, Ὀδ. λ', 211. 1679, 58.

πληθυντικὸν οὐδέτερον κατὰ θηλυκοῦ ἑνικοῦ, οἷον, Ἀγαμέμνονι δῶρα δῶκεν Ἐχέπωλος, Ἰλ. ψ', 296. 1302, 15.

πληθυντικὸν ῥῆμα κατὰ δυϊκοῦ πτωτικοῦ, οἷον, ἔκαμον δέ μοι ὄσσε, Ὀδ. μ', 232. 114, 35.

πληθὺς ὁ κοινὸς λαός. 1093, 27. καὶ πληθὺς ἀντὶ τοῦ πολυλαΐα καὶ ἀριθμός. 1103, 64. καὶ ἀλλαχοῦ πληθὺς ὁ κοινὸς ὄχλος, ὅμιλος δὲ οἱ κατὰ ἴλας μαχόμενοι ἐν τῷ, οὔτε ποτ' ἐν πληθυῖ μένεν ἀνδρῶν οὐδ' ἐν ὁμίλῳ, Ὀδ. λ', 514. ἴσως δὲ καὶ ταὐτὸ δηλοῦσιν ἐκ παραλλήλου. 1697, 6.

πλήθων ποταμὸς, ὅτι κατὰ χειμάῤῥων λέγεται τὸ πλήθειν, οἷς τοῦτο συμβαίνει ποτέ. 858, 28.

Πληιάδες, αἱ καὶ Πλειάδες, ἄστρα τινὰ, ἑρμηνεία διεξοδικὴ περὶ αὐτῶν καὶ διάφοροι ἐτυμολογίαι· ζήτει τὸ Πλειάδες. 1155, 47. καὶ ὅτι ἀπὸ τῆς μητρὸς αὐτῶν Πληιόνης δοκοῦσιν οὕτω λέγεσθαι. 1712, 49.

πληκτίζεσθαι τὸ μάχεσθαι καὶ ἐρίζειν ἕως πληγῆς. 1248, 58.

πληκτίστατος ἀντὶ τοῦ πληκτικώτατος. 1441, 26.

πλήμη, πάθος θαλάσσης ἐναντίον τῇ ἀμπώτει, ὅθεν πλημύρα καὶ πλημυρὶς, ὅτι παρὰ τὸ πλήθω λέγεται. 525, 38. 1640, 56.

πλημμυρὶς, ὅτι τινὲς προπαροξύνουσι τὴν λέξιν καὶ δι' ἑνὸς μ̄ γράφουσι, παρὰ τὸ πλήμη, ὃ δηλοῖ πάθος θαλάσσης ἐναντίον τῇ ἀμπώτει. 1640, 55.

πλῆμναι αἱ τῶν ἁρματείων τροχῶν χοινικίδες, εἰς ἃς ἐνίενται τὰ ἄκρα τοῦ ἄξονος, ὅτι παρὰ τὸ πλήσσεσθαι ἢ παρὰ τὸ πλήθειν λέγονται πλεονασμῷ τοῦ ν, ἑρμηνεία διεξοδική. 598, 12.

πλημοχόη, σκεῦός τι κεραμεοῦν βεμβικῶδες, ὅτι παρὰ τὸ πλήμη λέγεται, ὃ παρὰ τὸ πλῶ πλήσω. 598, 19.

πλημύρα καὶ πλημυρὶς, πάθος θαλάσσης ἐναντίον τῇ ἀμπώτει, ὅτι παρὰ τὴν πλήμην λέγεται, ὃ ταὐτὸ σημαίνει. 525, 38. 598, 17. 1640, 55.

πλημυρὶς ἡ τῶν κυμάτων ῥύμη. 1283, 57. ζήτει τὸ πλημύρα καὶ πλημμυρὶς ἐν δυσὶ μ̄.

πλήξιππος ὁ ἡνιοχικὸς κατὰ κοινὸν ἐπίθετον, καὶ Πέλοψ πλήξιππος κατά τι ἴδιον σύμβαμα. 183, 13.

πλῆσαι θυμὸν, ἐλλιπῶς τοῦ ἐδωδῆς ἢ ἐδωδῇ ἀντὶ τοῦ κορέσασθαι. 1861, 45.

πλῆσαι νηδὺν γυναικὸς, ἤγουν τὴν κοιλίαν πληρῶσαι, τουτέστιν ἐγκύμονα ποιῆσαι. 1606, 2.

πλησία πλησίας, θηλυκὸν τοῦ πλησίος ἀρσενικοῦ, καὶ πλησίαι κατ' εὐθεῖαν τῶν πληθυντικῶν, ὅτι ἐν χρήσει εἰσί. 440, 32. 723, 22. 1439, 3. 1649, 1.

πλησιάζειν ὅτι παρὰ τὸ πλήσσειν, ὅθεν καὶ τὸ πελάζειν, λέγεται. 584, 42.

πλησιαίτερον ἀντὶ τοῦ πλησιώτερον. 1441, 30.

πλησίαλος τόπος ὁ πλησίον τῆς ἁλὸς ἤγουν τῆς θαλάττης. 1396, 20.

πλησίον ὅτι ἐξ αἰτιατικῆς εἰς ἐπίῤῥημα μετελήφθη. 639, 62.

Πλήσιος κύριον προπαροξυτόνως πρὸς διαστολὴν τοῦ πλησίος ἐπιθετικοῦ. 313, 24.

πλησισέληνον, ὅτι ἐκ τοῦ τὴν σελήνην πλήθειν λέγεσθαι ἀφορμὴν ἔσχε τῆς συνθέσεως ἡ λέξις. 1692, 58.

πλησιφαὴς σελήνη ἡ φωτὸς πλήθουσα. 1692, 57.

πλήσσω ὅτι ἀπὸ τοῦ πλῶ μονοσυλλάβου ῥήματος ἐκ τοῦ πέλω συγκοπέντος παρήχθη. 1882, 18.

πλῆτο καὶ πλῆντο, τρίτα πρόσωπα ῥηματικὰ, ὅτι ἐκ τοῦ πέλω πλῶ, ὃ δηλοῖ τὸ πελάζω, κεκίνηνται. 996, 46. 997, 48.

πλήττειν, κρούειν ἢ πελάζειν. 584, 41. καὶ περὶ τῶν ἐξ αὐτῶν συνθέτων ὀνομάτων τινῶν καὶ ῥημάτων. 821, 12.

πλήττεσθαι λέγεταί τις τὸ σῶμα, ἐκπλήττεσθαι δὲ καὶ καταπλήττεσθαι τὴν ψυχήν. 374, 10.

πλίγμα τὸ βῆμα, παρὰ τὸ πλίσσειν, ὅ ἐστι βηματίζειν. 1564, 48. 52.

πλινθίον, σχῆμα τετράγωνον ἑτερόμηκες. 923, 52. καὶ τάξις ποιὰ στρατιωτικὴ ὁμωνύμως. 481, 44.

πλὶξ ταὐτὸ ὅπερ πλίγμα, ὃ δηλοῖ τὸ βῆμα. 1564, 48.

πλίξας, μετοχὴ ἀπὸ τοῦ πλίσσειν, ὃ δηλοῖ τὸ βηματίζειν. 1564, 49.

πλίσσειν τὸ βηματίζειν καὶ μεταφέρειν σκέλος παρὰ σκέλος. 1564, 45.

πλίσσεσθαι ἀντὶ τοῦ πλήσσειν, ἤγουν βηματίζειν, λέγονται ἵπποι παρ' Ὁμήρῳ ἐν τῷ, εὖ δὲ πλίσσοντο πόδεσσιν, Ὀδ. ζ', 318. 1065, 12.

πλοῖον, ὅτι οὐκ ἔγνωσται Ὁμήρῳ ἡ λέξις, καὶ ὅτι διαφέρει τι νεὼς τὸ πλοῖον. 684, 29. 1727, 7. καὶ ὅτι μεταφορητὸς οἶκος λέγεται τὸ πλοῖον. 1125, 57.

πλόκαμος ὅτι ἐπὶ γυναικῶν ἰδίᾳ λέγεται, πλοχμὸς δὲ ἐπὶ ἀνδρῶν· καὶ ὅτι παρὰ τὸ πλέκω πλόκος λέγεται ὁ πλόκαμος. 1094, 52. 54. 1393, 33.

πλοκαμὶς, κόσμος ποιὸς γυναικεῖος, ὃς καὶ κορυφαία λέγεται. 1528, 17.

πλόκιοι μῦθοι, Ὀδ. ν', 295. οἱ πεπλεγμένοι καὶ σκολιοὶ, σχολιοῦται γὰρ τὸ πλεκόμενον. 1742, 23.

πλόκος παρὰ Σοφοκλεῖ ἀντὶ τοῦ πλόκαμος. 649, 8.

πλόος καὶ πλόον λήγοντα ὀνόματα εἰ μὲν ἁπλᾶ, παροξύνονται, οἷον διπλόος, τριπλόος, εἰ δὲ σύνθετα παρὰ τὸ πλέω, προπαροξύνονται, οἷον πρωτόπλοος ναῦς. 890, 51.

πλοῦς πρῶτος λέγεται ὁ πρὸς ἄνεμον δι' ἱστίων γινόμενος, δεύτερος δὲ ὁ δι' εἰρεσίας δι' ἀνέμου ἔνδειαν. 661, 43. 1453, 18.

πλοῦς ἐν χρῷ, καὶ πλέειν ἐν χρῷ, ἤγουν ἐγγὺς τῆς γῆς. 1450, 33.

πλουσίων τινῶν πολλοὺς δούλους κεκτημένων κατάλογος. 1753, 32.

πλοῦτος, οἱονεὶ πολύετος ὁ ἐκ πολλῶν ἐτῶν συνηγμένος. 73, 31. καὶ ὅτι δειλὸς ὁ πλοῦτος λέγεται διὰ τὸ δειλοὺς ποιεῖν τοὺς ἔχοντας. 1769, 51.

πλοχμὸς ὅτι ἐκ τοῦ πλόκαμος γέ-

γονε συγκοπῇ καὶ τροπῇ τοῦ κ̄ εἰς χ̄. 975, 62. ἀλλαχοῦ δὲ ὅτι πλοχμὸς ἐκ τοῦ πέπλεγμαι λέγεται ὡς ἐκ τοῦ βέβρεγμαι βρεχμός· καὶ ὅτι πλοχμὸς μὲν ἐπὶ ἀνδρῶν, πλόκαμος δὲ ἐπὶ γυναικῶν. 1094, 52. 1393, 33.

πλύνειν, ὅτι πλύνεσθαι μὲν τὰ λινᾶ λέγονται, γναφεύεσθαι δὲ ἢ κναφεύεσθαι τὰ ἐριώδη. 1956, 40.

πλυνοὶ, σκάφαι ἢ βόθροι εἰς ἱματίων πλυνομένων ὑποδοχὴν ἐπιτετηδευμένοι. 1550, 20.

πλυνοὶ λαΐνεοι, πύελοι εἴτουν λεκανίδες εἰς πλύσιν ἱματίων, λαΐνεοι δὲ λέγονται ἐπιθετικῶς Ἰλ. χ', 154. πρὸς διαστολὴν τῶν κατὰ γῆς ὀρωρυγμένων. 1263, 59.

πλύνω ὅτι ἐκ τοῦ πλύω γέγονε Δωρικῷ πλεονασμῷ τοῦ ν̄. 1917, 44.

πλῶον ἀντὶ τοῦ ἔπλεον, ἀπὸ τοῦ πλώω θέματος. 1237, 40.

πλῶτες οἱ κεστρεῖς, ὅ ἐστιν εἶδος ἰχθύων. 1177, 63. ἀλλαχοῦ δὲ ὅτι πλὼς πλωὸς, ὡς θὼς θωὸς καὶ δμὼς δμωός. 1425, 52.

πλωτὴ νῆσος ἐπιθετικῶς ἡ τοῦ Αἰόλου λέγεται Ὀδ. κ', 3. παρὰ τὸ πλέειν κατὰ διαφόρους ἐννοίας, ἑρμηνεία διεξοδική· καὶ ὅτι καὶ Ἔχεμιν [Χέμμιν?] τινα καλουμένην νῆσον πλωτὴν καλεῖ Ἡρόδοτος 2, 156. ἤγουν περιπλέουσαν καὶ περιφερομένην ἔν τινι λίμνῃ Αἰγυπτιακῇ. 1644, 48-60.

πνέειν θυμοῦ ἢ Ἄρεως, ὅτι ὅμοιόν ἐστι τῷ πνέειν μένος, ὃ παρ' Ὁμήρῳ λέγεται. 372, 42.

πνεῦμα λέξεων, ὅτι ἡ συγκοπὴ τὸ πάθος ψιλωτικόν ἐστι τῶν λέξεων, ἀλλ' οὐ καθόλου. 843, 12. καὶ ὅτι φύσει δασυνόμενά τινα φωνήεντα ὅμως διὰ δασέος συμφώνου ἐπιφορὰν ψιλοῦνται, οἷον τὸ ε̄ ἐν τῷ ἔχω, ὃ δασύνεσθαι δῆλον ἐκ τοῦ ἕξω μέλλοντος. 1641, 46.

πνεύματα ὅτι δύνανται ἐκτείνειν βραχεῖαν συλλαβήν. 1465, 15.

πνεύματα ὅτι οὐ μόνον ἐπὶ τῶν ἀρκτικῶν φωνηέντων, ἀλλὰ καὶ ἐπὶ τῶν διὰ μέσου τῶν λέξεων κατὰ χρῆσιν ἀρχαίαν ἐτίθεντο. 150, 19. 524, 5. καὶ ὅτι καὶ ὀνόματά τινα εἰς ο̅ς λήγοντα ἐψιλοῦντο κατὰ τὴν λήγουσαν. 1271, 10.

πνεύματος διάγνωσις ἐκ τῆς ἐν συνθέσει ἢ παραθέσει ὑποτάξεως τῆς κατὰ τὸ πνεῦμα ἀμφισβητησίμου λέξεως, οἷον ὅτι τὸ ἑσμὸς δασύνεται, δῆλον ἐκ τοῦ ἀφεσμὸς συνθέτου· ὁμοίως ὅτι τὸ Ἐξάδιος ψιλοῦται ἐκ τῆς παραθέσεως τῆς πρὸς τὸν τε σύνδεσμον ἐν τῷ, Καινέα τ' Ἐξάδιόν τε, Ἰλ. α', 264. 101, 21. 178, 17.

πνιγαλίων, ὁ καὶ ἐφιάλτης, πάθος τι. 561, 17.

πνοαῖς ἀνέμου πέτεσθαι λέγονται ὄρνιθες πολλαχοῦ παρ' Ὁμήρῳ, ἤγουν τῷ λαχόντι πνέειν ἀνέμῳ ἐπιτρέπειν ἑαυτά. 899, 40.

πνοιὴ ἡ πνοὴ εἴτουν ἀνεμιαία ῥιπή. 1216, 40.

πνος ληγόντων ἐπιθέτων ὀξυτόνων ῥηματικῶν ἀναλογία, οἷον τέρπω τερπνὸς καὶ θάλπω θαλπνός. 991, 2.

Πνὺξ Πνυχὸς καὶ Πνυκὸς, ὄνομα δικαστηρίου Ἀθήνησιν, ὅτι παρὰ τὸ πτίσσω πτύξω λέγεται. 1322, 54.

Ποδαλείριος καὶ Μαχάων, καθ' Ὅμηρον μὲν Ἀσκληπιοῦ παῖδες, κατὰ δέ τινας Ποσειδῶνος· καὶ ὅτι ὁ μὲν Μαχάων περὶ χειρουργίαν, ὁ δὲ Ποδαλείριος περὶ δίαιταν κατεγίνετο, ἑρμηνεία διεξοδική. 859, 44. καὶ ὅτι παρὰ τὸ λείριον, ὃ δηλοῖ τὸ ἄνθος, λέγεται οἱονεὶ ἀνθηρόπους, διὰ τὸ τρυφερὸν ἢ διὰ τὸ ῥιζοτόμον ὄντα περιοδεύειν τοὺς ἀνθηροὺς τόπους. 395, 32. 962, 57.

ποδάνιπτρα ἡ νῆψις τῶν ποδῶν, ἢ τὸ ὕδωρ, ᾧ τοὺς πόδας νίπτεταί τις. 1867, 24. καὶ ὅτι ἐν τῷ, ποδάνιπτρα ποδῶν, Ὀδ. τ', 343. ἐκ περισσοῦ πρόσκειται τὸ ποδῶν. 1867, 28.

ποδαπὸς, ἤγουν ποίου ἐδάφους εἴτουν χώρας, ὅτι παρὰ τὸ ἔδαφος λέγεται. 1246, 23.

Ποδάργη, ὄνομα κύριον Ἁρπυίας, ἢ δαιμόνιόν τι ἱπποφυὲς πλάττεται· καὶ Πόδαργος ὄνομα ἵππου. 1050, 59. 64.

Πόδαργος, κύριον ἵππου, ἐτυμολογία. 706, 55.

Πόδαργος, κύριον ἵππου, καὶ πόδαργος ἐπίθετον, ὅτι παρὰ τὸ ἀργὸν, ἤγουν λευκὸν ἢ ταχὺ, τῶν ποδῶν λέγεται. 706, 55. 1301, 59.

πόδες τὰ μετὰ τὴν ὀσφὶν μέρη. 625, 26. ἀλλαχοῦ δὲ ὅτι πόδες λέγονται τὰ μετὰ τὴν κνήμην μέρη. 1253, 11.

πόδες νεὼς, σχοινία τινὰ καὶ αἱ κῶπαι. 1515, 28. καὶ ἀλλαχοῦ πόδες σχοινία τινὰ ἐν ταῖς ναυσὶν οὕτω καλούμενα διὰ τὸ κάτω εἶναι ἀναλόγως τοῖς τῶν ζῴων, ἑρμηνεία διεξοδική. 1534, 23.

ποδηγέστερον, ὁδηγητικώτερον, ὅτι ποδηγότερον ὤφειλε λέγεσθαι ὡς ἀπὸ τοῦ ποδηγός. 1441, 12.

ποδηνεκὲς δέρμα τὸ ἀπὸ τῶν ἄνω μέχρι τῶν ποδῶν ἐνηνεγμένον τῷ φοροῦντι. 787, 13. καὶ ποδηνεκὴς ἀσπὶς ἡ ἀνδρομήκης καὶ ποδήρης κατὰ τὰ αὐτά. 628, 12.

ποδηνεκὴς ἀσπὶς, ζήτει τὸ, ποδηνεκὲς δέρμα. 628, 12.

ποδήρης ναῦς ὁμωνύμως ἡ ποσὶν, ἤγουν κώπαις, ἐρεσσομένη. 1515, 29.

ποδης λήγοντα ὀνόματα ἐκ τῆς ἐνικῆς γενικῆς τῶν εἰς πους ληγόντων μεταποιήσει τῆς ἐσχάτης γενόμενα, οἷον Οἰδίπους Οἰδίποδος Οἰδιπόδης, ἑπτάπους ἑπτάποδος ἑπταπόδης. 1684, 32.

Ποδῆς ὅτι ἐκ τοῦ Ποδέας κέκραται, διὸ καὶ περισπᾶται. 1951, 14.

ποδία οἱ πόδες ὑποκοριστικῶς. 1196, 15.

ποδώκης ἐπίθετον ὅτι ὀξύνεσθαι ὤφειλε, διαίτησις διεξοδική. 340, 24. 46.

ποδῶν ἀρετὴ λέγεται ἡ ὠκύτης ἐν τῷ, ποδῶν ἀρετὴν ἀναφαίνων, Ἰλ. ν', 411. 1214, 57.

ποδωτὰ λίνα, τὰ ἱστία παρὰ Λυκόφρονι, ὅτι παρὰ τοὺς πόδας, ὃ δηλοῖ σχοινία τινὰ, οὕτω λέγονται. 1534, 26.

ποθεῖν λέγεταί τις τὰ ἀπόντα, ἐρᾶν δὲ τῶν ἐν ὄψει. 1679, 15. καὶ ποθεῖν ἀντὶ τοῦ ζητεῖν ἐν τῷ, τῶν μὲν ἄρ οὔτι πόθει, Ὀδ. ν',

23. 1102, 54. 1158, 14. 1221, 52. καὶ ποινὴν δέξασθαι λέγεται ὁ ἐπὶ χρήμασι διαλλαγεὶς πρὸς τὸν φονέα προσήκοντός τινος. 779, 62. καὶ ποινὴν ἀποτίνυσθαι, Ἰλ. π', 398. τὸ δίκας εἰσπράττειν εἴτουν ἐκδικεῖν. 1067, 4.

ποῖοί κ' εἴτε, ἀντὶ τοῦ ποδαποὶ ἂν εἴητε, Ὀδ. φ', 195. 1907, 49.

ποῖον ἔρεξας, καὶ ποῖον ἔειπες, πολλαχοῦ παρ' Ὁμήρῳ, ὅτι περὶ ποιότητος ἡ πεῦσις. 1316, 46.

ποιπνύειν τὸ μετὰ συνέσεως πονεῖσθαι, παρὰ τὸ πονύω διπλασιασμῷ. 160, 31.

ποιπνύειν τὸ μετὰ συνέσεως πονεῖσθαι, παρὰ τὸ πνύω, ὅθεν ὁ πεπνυμένος πολλαχοῦ παρ' Ὁμήρῳ. 160, 31. καὶ ποιπνύειν τὸ ἁπλῶς πονεῖν καὶ ἐνεργεῖν, παρὰ τὸ πονῶ πονύω συγκοπῇ καὶ διπλασιασμῷ καὶ ἐπενθέσει τοῦ ῑ. 709, 35. 1475, 45.

ποιφύσσω τὸ φυσῶ, ὅθεν καὶ λέγεται κατὰ ἀναδιπλασιασμὸν καὶ ἀντιστοιχίαν. 160, 33. 253, 6.

πόκος παρὰ τὸ πέκειν, καὶ ὅτι Ἅιδου πόκας πλάττει ὁ Ἀριστοφάνης, ὡς οἷά τι χωρίον ἐν Ἅιδου. 531, 9.

πολεῖν τὸ στρέφεσθαι, ὅθεν πόλος. 578, 37.

πόλεις εἴτουν πόλεων ὀνόματα ἑνικῶς καὶ πληθυντικῶς ἐπὶ τοῦ αὐτοῦ λεγόμενα, οἷον Ἀθήνη καὶ Ἀθῆναι, Κρήτη καὶ Κρῆται, Θήβη καὶ Θῆβαι. 119, 1. 266, 3. καὶ ὅτι πόλεων τινῶν ὀνόματα ἑνικῶς μὲν λεγόμενα προπαροξύνονται, πληθυντικῶς δὲ ὀξύνονται, οἷον Πλάταια Πλαταιαί, Θέσπια Θεσπιαί. 268, 46. καὶ κατάλογος τῶν μετὰ προθέσεως συνθέτων τοπικῶν καὶ ἐθνικῶν ὀνομάτων, οἷον Προποντὶς, Ὑποχαλκὶς, Ἐπικνημίδιοι, Ὑπερβόρεοι. 269, 28.

πόλεις ὁμωνύμως αἱ τῶν ψήφων χῶραι ἐν τῇ δι' ἀστραγάλων παιδιᾷ. 1190, 2. 1397, 43.

πολεμήιον ἀντὶ τοῦ πολέμιον πλεονασμῷ τοῦ η. 233, 29. 880, 46. 957, 37.

πολεμησείειν τὸ ἐφίεσθαι πολέμου. 162, 10.

πολεμικὸν, ὄνομα αὐλήσεως ποιᾶς. 1236, 57.

πόλεμοι διάφοροι ὑπὲρ διαφόρων γυναικῶν γενόμενοι κατὰ διαφόρους χρόνους, ἱστορία. 1244, 43.

πόλεμόνδε, ἤγουν εἰς πόλεμον. 367, 9.

πόλεμος ἐπὶ παρατάξεως καὶ μαχίμου καιροῦ ἐν ἴσῳ τῷ μάχη, καὶ τί διαφέρει μάχης. 76, 10. καὶ ὅτι παρὰ τὸ πελεμίζειν, ὃ δηλοῖ τὸ κινεῖν καὶ σαλεύειν, δοκεῖ λέγεσθαι ὁ πόλεμος. 505, 34. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ τὰς πόλεις μειοῦν. 669, 43. καὶ ἀλλαχοῦ ὅτι παρὰ τὴν παλάμην, οἱονεὶ παλαμναῖος, λέγεται. 722, 44. καὶ ὅτι πολέμου σύμβολον ἦν παρὰ τοῖς ἀρχαίοις πυρσὸς ἡμμένος. 669, 46.

πόλεμος κακὸς ὁ κακωτικός. 1072, 46. καὶ πόλεμος θρασὺς ὁ ἀναιδὴς, ἐκ τῶν κατ' αὐτὸν θρασυνομένων μεταγομένης τῆς ποιότητος ἐπ' αὐτὸν τὸν πόλεμον. 1489, 28.

πολέμου τέλος ἀντὶ τοῦ ὁ πόλεμος αὐτὸς περιφραστικῶς. 1199, 9.

πολέμου τέρας ἀντὶ τοῦ αὐτὸς ὁ πόλεμος τὸ σωματοειδὲς δαιμόνιον περιφραστικῶς, ἢ εἴδωλον τοῦ τοιούτου πολέμου, ἢ καὶ πολέμου τέρας ἐν χερσὶν ἔχειν ἡ Ἔρις λέγεται Ἰλ. λ', 4. 826, 34.

πολεύειν καὶ ἀμφιπολεύειν, τὸ πο μικρὸν, πωλεῖσθαι δὲ τὸ συναναστρέφεσθαι διὰ τοῦ ω μεγάλου. 1930, 37.

πολιὰ, ὅτι πολλοῖς τισὶν ἐπιτίθεται τοὔνομα, ἰδίως δὲ ἐπὶ τριχῶν λέγεται, ὅθεν καὶ πολιὰς ἀρκεῖ μόνον εἰπεῖν συνεισαγομένου τοῦ τρίχες. 116, 27.

πολιὰ θάλασσα ἡ λευκὴ, ἐκ τοῦ περὶ τὸν αἰγιαλὸν μέρους. 116, 5. ἀλλαχοῦ δὲ ὅτι πολιὰ θάλασσα ἐνδέχεται λέγεσθαι διὰ τὸν ἐν αὐτῇ πολιὸν Νηρέα καὶ τὰς μυθικὰς Γραίας. 976, 54. ἢ πολιὰ ἡ ἔντιμος ἢ ἡ πολλὴ ἀναλόγως τῷ σκοπῇ σκοπιὴ, ἐσχάτη ἐσχατιή. 1183, 59. καὶ ἀλλαχοῦ ὅτι πολιὰ θάλασσα ἡ πολλὴ ἢ ἔντιμος ἢ λευκὴ διὰ τοὺς ἀφρούς· καὶ ὅτι τὸ, ἁλὸς πολιοῖο, παρ' Ὁμήρῳ Ἀττικῶς πέφρασται, τὸ δὲ, πολιὴν ἅλα, Ἰωνικῶς. 1540, 38.

πολιὰ θρὶξ ἐντελῶς λέγεται, πολιὰ δὲ καθ' αὑτὸ ἐλλιπῶς. 651, 46.

πολιαὶ καὶ πολιοὶ, ὅτι δαίμονές τινες θαλάσσιοι πολιοὶ εἶναι μυθεύονται, καὶ ἄνθρωποί τινες πολιοὶ ἐκ γενετῆς γεγονέναι κατὰ διαφόρους χρόνους ἱστοροῦνται. 116, 26. 167, 23.

πολίζω ἐκ τοῦ πόλις, καὶ πολίζω ἐκ τοῦ πολῶ τὸ περιστρέφω. 1205, 8.

πολιήτης ἀντὶ τοῦ ὁ πολίτης πλεονασμῷ τοῦ η. 348, 1. καὶ πολιῆτις ἀκτὴ ἐπιθετικῶς ἡ πολιὰ, τροπῇ τοῦ ᾱ εἰς η κατὰ παραγωγήν. 468, 42.

πολιοὶ ἐκ γενετῆς ἄνθρωποι, ὅτι Τάρχων ὁ Τυρσηνὸς καὶ Κύκνος ὁ Τρωϊκὸς πολιοὶ ἐκ γενετῆς γεγονέναι ἱστοροῦνται. 167, 23.

πολιοκρόταφοι οἱ γέροντες ἐπιθετικῶς λέγονται διὰ τὸ ἐκ τῶν κροτάφων ὡς ταπολλὰ ἄρχεσθαι πολιοῦσθαι τοὺς ἀνθρώπους. 727, 25.

πολιὸς λύκος ὁ ὑπόλευκος καὶ τεφρώδης τὴν χρόαν, καὶ περὶ τοῦ τῶν λύκων χρώματος διάληψις. 809, 38.

πολιὸς σίδηρος ὁ λευκὸς τῇ σμήξει, ἢ ὁ πολιτικὸς διὰ τὸ εὐπόριστον, ἢ ὁ ἔντιμος κατὰ τὴν πολιάν. 756, 43. 1299, 13. 1897, 28.

πόλις, ὅτι οὕτως ἐκλήθη ποτὲ καὶ ἡ Ἀλεξάνδρεια κατ' ἐξοχήν τινα. 239, 13. 349, 37. 1650, 42.

πόλις ἡ πολιτεία, ἄστυ δὲ τὸ τεῖχος ἐν τῷ, φράζεο νῦν ὅπως κε πόλιν καὶ ἄστυ σαώσῃς, Ἰλ. ρ', 144. 1100, 2. καὶ πόλις ἀντὶ τοῦ πατρὶς ἐν τῷ, εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε, Ὀδ. θ', 555. 1610, 56. καὶ ὅτι βραχυκαταληκτεῖ τοὔνομα. 1277, 56.

Πολίτης, ὄνομα κύριον τοῦ πρεσβυτάτου τῶν τοῦ Πριάμου υἱῶν. 1361, 16. καὶ Πολίτης Ὀδυσσέως ἑταῖρος, ἐν Τεμέσῃ δολοφονηθεὶς καὶ τιμῶν παρὰ τοῖς ἐκεῖ ἀξιωθεὶς, ἱστορία. 1409, 13. καὶ ὅτι ὁμωνύμως τῷ προσηγορικῷ λέγεται. 348, 36. 945, 31. καὶ ὅτι μακρὸν ἔχει τὸ λῑ καί περ ἀπὸ τῆς

εὐχῆς χρεία τοῖς γαμοῦσιν εἰς τὸ ἀγαθῶν γυναικῶν ἐπιτυχεῖν. 1776, 60.

πολυήρατος Θήβη, Ὀδ. λ', 275. ἡ πολλὰς ἀρὰς, ἤγουν βλάβας, θεόθεν παθοῦσα. 1684, 40.

πολυϊδρεία, τὸ δρῖ δίφθογγον, ἀπὸ τοῦ πολύϊδρις πολυΐδρεως, ὃ δηλοῖ τὸν πολύπειρον καὶ συνετόν. 1449, 25.

πολυκαγκὴς δίψα ἐπιθετικῶς ἡ ξηροποιὸς, ὡς καὶ κάγκανα ξύλα τὰ ξηρά. 871, 3.

Πολυκάστη κύριον, καὶ δηλοῖ πάνυ κοσμίαν ἢ πολυκόσμητον γυναῖκα. 1477, 12.

πολυκέρδεια ἐν ἴσῳ τῷ κερδαλεότης, ὃ δηλοῖ τὸν δόλον, τὸ δι δίφθογγον. 1955, 22. 1956, 48.

πολύκεστος ἱμὰς ὁ πολυκέντητος, παρὰ τὸ κένσαι, ὃ δηλοῖ τὸ κεντῆσαι, ὅθεν καὶ ὁ κεστὸς λέγεται. 425, 24. 627, 17.

πολυκλήιδες νῆες ἐπιθετικῶς, ζήτει ἐν τῷ κληῒς ὀξυτόνως, καὶ ἐν τῷ πολύζυγος. 174, 8. 223, 8. καὶ ὅτι καίπερ ἐκ τοῦ κληῒς ὀξυτόνου συγκείμενον, ὅμως βαρύνεται τὸ πολυκλήις διὰ τὴν σύνθεσιν καὶ μακροκαταληκτεῖ. 710, 45.

πολύκληρος ἄνθρωπος, ἐφ' ᾧ θανόντι πολλοὶ βάλλονται τῶν κατὰ λαχμοὺς κλήρων εἰς διανομὴν τῆς οὐσίας κατά τι ἔθος ἀρχαῖον. 1758, 37.

πολύκμητος σίδηρος ὁ ἀκατέργαστος, περὶ ὃν πολλὰ ἔστι καμεῖν, ἢ ὁ εἰς ἔργα χαλκευθεὶς πολλῷ καμάτῳ. 623, 62. 1898, 33.

πολύκνημος τόπος ὁ πολλοὺς κνημοὺς ἔχων. 265, 39. ζήτει τὸ κνημός.

Πολυκράτης, Σαμίων τύραννος, πορνεῖον λαύραν κληθὲν κατασκευάσας, ἱστορία. 1082, 36.

πολύκροτος ἄνθρωπος ὁ κακεντρεχὴς καὶ μὴ ἁπλοῦς, ὅτι παρὰ τὸ κροτεῖν λέγεται πρὸς ὁμοιότητα τοῦ πολύτροπος. 1381, 47.

Πολυκτόριον, τόπος τις ἐν Ἰθάκῃ ἀπὸ Πολύκτορος υἱοῦ Πτερελάου οὕτω κληθείς. 1815, 49.

πολυκυλίνδητος ὁ περὶ πολλὰ κυλινδόμενος ἄνθρωπος, ὅτι ἀπὸ περισπωμένου θέματος λέγεται τοὔνομα. 1471, 10.

πολυμετρία, μία τῶν ἓξ κακιῶν τοῦ ἐμμέτρου ἔπους. 353, 42.

Πολυμήλη, ὄνομα γυναικὸς πολλὰ μῆλα εἴτουν θρέμματα λόγῳ ἕδνων εὑραμένης. 1053, 51.

πολύμηλος χώρα ἢ πόλις ἡ πολυθρέμμων καὶ πολύζῳος, καὶ πολύμηλος ἄνθρωπος ὁμοίως. 301, 23. 324, 30. 998, 53.

πολύμητις καὶ τὰ ὅμοια ὅτι ἐκ τοῦ μῆτις ὀνόματος σύγκεινται, ποικιλομήτης δὲ καὶ τὰ ὅμοια ἐκ κινήσεως τοῦ μήδω ῥήματος. 1462, 18.

πολυμήχανος Ὀδυσσεὺς πολλαχοῦ παρ' Ὁμήρῳ ἀντὶ τοῦ πολύτεχνος ἢ δόλιος καὶ πανοῦργος, ᾧ ἀντίκειται τὸ ἀμήχανος, ἑρμηνεία διεξοδική. 197, 29.

Πολυνείκης κύριον ὅτι τῶν πολλῶν νεικέων φερωνύμως ὠνομάσθη. 776, 51.

Πολύξεινος, υἱὸς Ἀγασθένους τοῦ Αὐγείου τοῦ Φόρβαντος, τετράρχης τῶν Ἐπειῶν παρ' Ὁμήρῳ. 303, 16.

πολυοπὸν ῥάκος, ζήτει ἐν τῷ, πολυωπὸν δίκτυον. 1931, 47.

πολυπαίπαλος, στεγανὸς, ἰσχνὸς, ὑπόξηρος, ἢ κακοήθης παρὰ τὴν παιπάλην, ὃ καὶ τὴν πονηρίαν σημαίνει ποτέ. 1786, 36.

πολυπάμμων, πολυθρέμμων καὶ ἁπλῶς πολυκτήμων ἄνθρωπος, παρὰ τὸ πῶ τὸ κτῶμαι, ὅθεν καὶ πῶῦ. 134, 44. 493, 44. 1178, 12. [Scrib. πολυπάμων.]

πολυπίδακος πολυπιδάκου, κατὰ τὴν τετάρτην ἐξ ἀναδρομῆς τῆς πολυπίδακος περιττοσυλλάβου γενικῆς εἰς εὐθεῖαν περιττοσυλλάβως κινουμένην. 987, 50. 1190, 2.

πολύπλαγκτος ἄνεμος ὁ πολυπλάνητος καὶ ἄστατος. 846, 20. καὶ πολύπλαγκτοι λῃστῆρες, Ὀδ. ρ', 425. οἱ κατὰ θάλασσαν πειραταὶ διὰ τὸ μὴ ἕνα σκοπὸν αὐτοῖς εἶναι τοῦ πλοῦ. 1826, 41.

Πολυποίτης, υἱὸς Πειριθόου, ὅτι οἱονεὶ πολυποινίτης παρὰ τὴν ποινὴν φερωνύμως λέγεται, ἢ παρὰ τὸ ποιεῖν ἢ τὸν πότον ἢ τὴν πόαν· καὶ ὅτι ὁ Πολυποίτης Ἄσπενδον τῆς Παμφυλίας ἔκτισεν, ἱστορία. 334, 20.

πολύπους ὁ ὀκτάπους κατὰ παράληψιν ἀορίστου ἀριθμοῦ ἀντὶ ὡρισμένου· καὶ περὶ τινῶν ἰδιωμάτων τοῦ ζῴου ἱστορία διεξοδική· καὶ παροιμίαι τινὲς διεξοδικῶς ἡρμηνευμέναι. 223, 12. 1541, 8. 18. 24 — 43. καὶ ὅτι πολύπους κατὰ σκῶμμα λέγεται πᾶς ὁ ἀσταθὴς τὸ ἦθος καὶ εὐμετάβολος ἄνθρωπος. 1381, 38. καὶ ὅτι καὶ πολύπουν ἐπὶ τῆς αἰτιατικῆς τῶν ἑνικῶν ἀντὶ τοῦ πολύποδα λέγεται. 154, 28. καὶ ὅτι καὶ πούλυπος μὲν Ἀττικῶς λέγεται, πώλυπος δὲ καὶ πῶλυψ κατὰ τὰς λοιπὰς γλώσσας. 768, 48. 1541, 22.

πολύπτυχος Ὄλυμπος τὸ μὲν ὄρος ὡς πολλὰς ἔχων περιοχὰς, ὁ δὲ οὐρανὸς διὰ τὰς ὀκτὼ σφαίρας, ἢ ὁ στερεὸς καὶ ἰσχυρὸς κατά τι σῶμα πολύπτυχον, οἷον ἀσπίς. 721, 1. 1193, 12.

πολυπτὼξ τόπος ὁ πολλοὺς πτῶκας, εἴτουν λαγωοὺς, ἔχων. 484, 4.

πολυπτώτου σχήματος παραδείγματα. 105, 26. 349, 39.

πολύπυρον χωρίον τὸ πολύσιτον καὶ ἁπλῶς εὔφορον, ἀπὸ μέρους τῶν πυρῶν. 1020, 58.

πολύῤῥηνες οἱ πολυθρέμμονες ἄνθρωποι, ἀπὸ μέρους τῶν ἀρνῶν. 743, 42. 1681, 33.

πολὺς ὅτι ἐνὶ λ γράφεται, πολλὸς δὲ δυσί. 672, 64. καὶ ὅτι τὸ πολὺς ἀρσενικὸν θηλυκῷ ἐνίοτε ὑποκειμένῳ ἐπιτίθεται, οἷον ἐν τῷ, πουλὺν ἐφ' ὑγρὴν, παρ' Ὁμήρῳ. 697, 23. 787, 33. 1515, 30.

πολὺς τὴν σοφίαν, ἤγουν περιττὸς, καὶ ὁ πολὺς ἄνθρωπος καὶ ὁ πολὺς λαὸς λέγεται ὁ ὄχλος· καὶ ὅτι καὶ πολλοὶ τοῦ ὀβολοῦ λέγονται οἱ χυδαῖοι ἄνθρωποι, ἑρμηνεία διεξοδική. 484, 13. 1322, 14. 1382, 12.

πολύσκαρθμος ὁ εὐκίνητος, παρὰ τὸ σκαίρω πλεονασμῷ τοῦ θ ἀναλόγως τοῖς διὰ τοῦ θμος. 352, 1.

Πολυσπέρχων, ὄνομα στρατη-

γοῦ τινός, ὅτι παρὰ τὸ σπέρχω λέγεται. 1385, 24.

πολύστονος ἰὸς ὁ πολλοὺς στόνους ἐμποιῶν, ὅτι κατ' ἐνεργητικὴν ἔννοιαν λέγεται. 1024, 58.

πολυτελὴς ὁ πολυδάπανος, ᾧ ἀντίκειται ὁ εὐτελής. 881, 27.

πολυτρήρων τόπος ὁ πολλὰς περιστερὰς ἔχων, καὶ ὅτι διὰ τοιοῦτον συμβεβηκὸς πολυτρήρων ἡ Βοιωτικὴ Θίσβη λέγεται Ἰλ. β', 502. 264, 9.

πολύτρητον, ὅτι κατ' οἰκειότητα σπόγγοις ἐπιτίθεται τοὔνομα. 1398, 14.

πολύτροπος ὁ ἐπὶ πολλὰ τρεπόμενος καὶ πολυκίνητος τῇ διανοίᾳ, καὶ ἄλλως διαφόρως ἑρμηνευόμενον διεξοδικῶς ἐν τῷ, ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον, Ὀδ. α', 1. καὶ ἀλλαχοῦ τῆς Ὁμήρου ποιήσεως· καὶ ὅτι καὶ αἶσα πολύτροπος ἀντὶ τοῦ ποικίλη λέγεται. 1381, 34.

πολύυμνος πόρνη ἡ περιβόητος. 1921, 62.

πολυφειδὴς ὀξυτόνως ὁ πολλὰ φειδόμενος, Πολυφείδης δὲ κύριον βαρυτόνως. 1967, 20.

Πολύφημος ὁ Κύκλωψ ὅτι Ποσειδῶνος ἦν υἱὸς καὶ Θοώσης, καὶ ἀλληγορία διεξοδικὴ τῶν περὶ αὐτοῦ μυθευομένων, ζήτει τὸ Κύκλωψ. 1392, 49.

πολύφημος ἀγορὰ, παρ' Ὁμήρῳ ἐν ᾗ πολλαὶ φῆμαι λαλοῦνται. 1439, 6.

πολύφημος ἀοιδὸς ἐπιθετικῶς ὁ πολλὰς φήμας εἰδὼς ὡς πολυΐστωρ ἢ ὁ πολλοὺς φημίζων, ἑρμηνεία διεξοδική. 1930, 60.

πολύφορβος γῆ ἡ πολλὰ φέρβουσα, ἤγουν τρέφουσα, ἑρμηνεία διεξοδική· καὶ ὅτι καὶ πολυφέρβη κατὰ θηλυκὸν σχηματισμὸν λέγεται τοὔνομα Ἰλ. ι', 568. 775, 5. 978, 3.

πολύχαλκος οὐρανὸς ἐπιθετικῶς παρ' Ὁμήρῳ, ὅτι μυθικῶς μὲν διὰ τοὺς οἴκους, οὓς Ἥφαιστος ἐκεῖ τοῖς θεοῖς ἐχάλκευσεν, οὕτω λέγεται, ἀλληγορικῶς δὲ ὁ στερεὸς τὴν ὕλην καὶ μὴ χυτὸς ἢ ῥευστός. 436, 26. 576, 33. 1453, 52.

πολύχαλκος πόλις ἡ στεῤῥὰ διὰ τὸ ὀχυρὸν ἢ ἡ πλουσία. 1787, 32.

πολύχρυσος Μυκήνη ἡ πλουσία, ἢ ἡ πολύφθορος διὰ τὰς τῶν ἐν αὐτῇ ἀρχόντων δυσπραγίας. 674, 59.

πολυψήφις πολυψήφιδος, ὅτι καίπερ ἐκ τοῦ ψηφὶς ὀξυτόνου συγκείμενον ὅμως βαρύνεται διὰ τὴν σύνθεσιν. 174, 9.

πολυώνυμα, τὰ καὶ συνώνυμα κατὰ τοὺς γραμματικοὺς, οἷον ξίφος, ἄορ, φάσγανον, καὶ βροτὸς, μέροψ, ἄνθρωπος. 8, 21. καὶ ὅτι πολυωνυμίας παράδειγμα τὸ, οἱ δ' ἄρ' Ἀθήνας, Ἰλ. β', 546. 284, 8.

πολυωπὸν δίκτυον τὸ πολλὰς ἔχον ὀπὰς, ἐκτάσει τοῦ ο, ἢ τὸ πολυόφθαλμον τροπικῶς· πολυοπὸν δὲ ῥάκος κυρίως τὸ πολλὰς ὀπὰς ἔχον, ἑρμηνεία διεξοδική. 1398, 14. 1931, 40.

Πολύωρος, μωρός τις οὕτω καλούμενος, καὶ περὶ τῆς εὐηθείας αὐτοῦ ἱστορία. 1669, 54.

πομπεῖα τὰ ἐν ταῖς πομπαῖς χρησιμεύοντα ἱερὰ σκεύη. 576, 46. 762, 7. πομπαῖα δὲ ἑορτὴ ἀγομένη φθίνοντος τοῦ Μαιμακτηριῶνος μηνὸς, ὅτε καὶ καθαρμοί τινες ἐγίνοντο, ἑρμηνεία διεξοδική. 1935, 10.

πομπεύειν ἐν ἴσῳ τῷ πέμπειν ἐν τῷ, αὐτοί μιν πόμπευον ἵνα κλέος ἐσθλὸν ἄροιτο, Ὀδυσσ. ν', 422. 1747, 26.

πομπὴ ἡ ὁδηγία, παρὰ τὸ πέμπειν εἴτουν προπέμπειν, καὶ πομπὴ ἡ θριαμβικὴ προέλευσις, καὶ ὅτι καθ' ἡμᾶς ἐπίῤῥοος ἡ λέξις. 634, 3. 8. 762, 6. 1292, 16.

Πομπίλος, ὅτι ἄνθρωπός τις οὕτω καλούμενος ἐρωμένην Ἀπόλλωνος ἁρπάσας ὑπ' Ἀπόλλωνος εἰς τὸν ὁμώνυμον ἰχθὺν μετεμορφώθη. 1737, 38.

πομπίλος, ζῶον θαλάσσιον ἐρωτικὸν, ποικίλον, πηλαμύδι παρεοικός. 1070, 23. ὅτι παρὰ τὸ πέμπειν λέγεται, ὅθεν καὶ ὁ πομπός. 1509, 18. καὶ ὅτι ἱερὸς ὁ ἰχθὺς οὗτος εἶναι λέγεται οἷα σώζων τοὺς ναυτιλλομένους. 1067, 44.

πομπὸν, κηρύκιον ὃ ἐν ταῖς χερσὶν εἶχον ἐν τοῖς καθαρμοῖς. 1935, 11.

πομπὸς, ὁδηγὸς καὶ συνοδοιπόρος. 938, 22. 940, 2. 1352, 64.

πομφόλυξ ὅτι καὶ πομφόλυγξ, ὡς καὶ φάρυγξ, λέγεται πλεονασμῷ τοῦ ν. 1635, 24.

πονεῖσθαι Ἀττικῶς ἐν ἴσῳ τῷ κοινῶς πονεῖν. 755, 45. καὶ ὅτι τὸ πονεῖσθαι μᾶλλον σημαίνει τὸ ἐνεργεῖν ἢ τὸ μοχθεῖν ἐν τῷ, ὁ μὲν πεπόνητο καθ' ἵππους, παρ' Ὁμήρῳ Ἰλ. ο', 447. 1023, 28.

πόνηρος ὁ ἐπίπονος, πονηρὸς δὲ ὁ φαῦλος. 341, 14. ἀλλαχοῦ δὲ ὅτι πόνηρος ὁ μοχθηρὸς προπερισπωμένως κατά τινας, πονηρὸς δὲ ὁ κακός. 1967, 32. καὶ πονηρῶν τινῶν ἀνθρώπων ὀνόματα, Ἀχαιὸς, Φρυνώνδας, Εὐρύβατος, ἀφ' ὧν ἑκάστου πᾶς τις πονηρὸς οὕτω λέγεται. 1669, 56.

πόνος ὁ κόπος καὶ ἡ ἐνέργεια καὶ ἡ κακοπάθεια. 136, 18. 546, 26. 916, 5. 1023, 27. 1254, 34. καὶ πόνος ὁ πολεμικὸς ἀγὼν εἴτουν ἐνέργεια ἐν τῷ, νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου, Ἰλιάδ. ρ', 718. 410, 43. 1124, 23. 1227, 55. καὶ ὅτι ὁ πόνος καὶ τὸ πονεῖν παρὰ τὸ πένεσθαι, ὃ δηλοῖ τὸ σπουδαίως ἐνεργεῖν, λέγονται. 222, 39. 465, 5.

πόνος ἄλλος ἐπείγει, ὅτι παροιμιακῶς λέγεται ἐπὶ τῶν τὰ ἀναγκαῖα προτιμωμένων. 1673, 18.

πόνου ἆτος, ἤγουν ἀκόρεστος, λέγεται παρ' Ὁμήρῳ ὁ ἐνεργέστατος ἢ ὁ πονηρός. 855, 11.

ποντικοὶ μύες τινὲς, καὶ ποντικοὶ οἱ μυῶνες μεταληπτικῶς. 79, 41. 1061, 46.

ποντόθεν, ἤγουν ἐκ πόντου, ὅτι παροξύνεται τὸ ἐπίῤῥημα. 918, 43.

πόντος ἀπολύτως ἡ θάλασσα, καὶ πόντος θαλάσσης τὸ τῆς θαλάσσης βαθὺ μέρος. 116, 7. 1223, 15. καὶ ὅτι παρὰ τὸ καταπνεῖσθαι ἀνέμοις λέγεται οἱονεὶ πνότος. 492, 44.

πόντος κοινῶς πᾶν πέλαγος, ἰδίως δὲ ὁ Εὔξεινος, οὗ οἱ ἄνθρωποι ἐκ πολλοῦ ἥκειν πόντου, ὡς εἰ καὶ ἐξ ὀλέθρου, ἐλέγοντο. 1382, 56.

πόπανον, εἶδος πέμματος, ὅτι ἐκ κινήσεως τοῦ πέσσω ῥήματος λέ-

γεται. 152,29. 437,4. ἀλλαχοῦ δὲ ὅτι πόπανον τὸ πόπῳ ἤγουν θεῷ ἄνακτι ἀφοσιούμενον. 774,60.

πόποι ἐπίῤῥημα, ὅθεν τὸ ὦ πόποι· καὶ πόποι ὀνοματικῶς οἱ θεοὶ, οἱονεὶ ἔποποι παρὰ τὸ ἐποπτεύειν. 98,39. 46.

ποππύζειν τὸ κολακεύειν ζῶα ἄλογα. 565,10.17.

ποππυλιάζειν Δωρικῶς τὸ κοινῶς ποππύζειν. 565,22.

πόππυσμα, κολακεία ἵππων ἀδαμάστων, παρὰ τὸ ποππύζειν. 565,17.

πορδαλιδεῖς, ὅτι οὕτω λέγονται οἱ τῶν παρδάλεων σκύμνοι. 1625, 46.

πόρδαλις ὅτι παρὰ τὸ προάλλεσθαι λέγεται πλεονασμῷ τοῦ δ̄, καὶ ὅτι οἱ μὲν ἄλλοι πόρδαλιν, Ἀττικοὶ δὲ πάρδαλιν λέγουσιν, Ὅμηρος δὲ τὸ μὲν ζῶον διὰ τοῦ ο̄ μικροῦ, τὴν δὲ δορὰν παρδαλέην διὰ τοῦ ᾱ. 922,53. 1251,52.

πόρδαλις ὁ ἄῤῥην ὅτι παρὰ τὸ προάλλεσθαι λέγεται, πάρδαλις δὲ ἡ θήλεια παρὰ τὸ παράλλεσθαι, πλεονάσαντος ἐν ἀμφοτέροις τοῦ δ̄. 787,39. 1092,39.

πορεύω ἄλλον, πορεύομαι δὲ ἐγὼ, ὡς καὶ ὀχῶ ἄλλον, ὀχοῦμαι δὲ ἐγώ. 536,13. 1436,36.

πορθμεῖον καὶ πορθμίον, ζήτει ἐν τῷ πορθμός. 1888,10.

πορθμεὺς, ζήτει ἐν τῷ πορθμός. 1888, 8.

πορθμὸς, στενὸς πόρος θαλάσσης, ὅθεν πορθμεὺς καὶ πορθμεῖον ὁ διδόμενος ναῦλος τοῖς πορθμεῦσι, καὶ πορθμίον παρωνύμως τὸ τῶν πορθμέων πλοῖον. 1888, 8.

πόρις ἐν ἴσῳ τῷ πόρτις, ὅθεν καὶ λέγεται ἀποβολῇ τοῦ τ̄. 534,28. ἀλλαχοῦ δὲ ὅτι πόρις τὸ μοσχάριον, καὶ ὅτι παρὰ τὴν πορείαν λέγεται. 1091,52.

πόρκης ὁ τῆς ἐπιδορατίδος δακτύλιος. 795,39. ἀλλαχοῦ δὲ ὅτι πόρκης κρίκωμα συνεκτικὸν τοῦ ξύλου καὶ τῆς αἰχμῆς τοῦ δόρατος. 726, 16. καὶ ὅτι παρὰ τὸ περικεῖσθαι ἢ περιέχειν τροπῇ τοῦ χ̄ εἰς κ̄ λέγεται. 644,43.

πορκώδη λέγονται πάντα τὰ στρογγύλα καὶ κρικώδη παρὰ τὸν πόρκην, ὃ δηλοῖ τὸν κρίκον. 795, 39. ζήτει τὸ πόρκης.

πόρναι ὅτι σποδισιλαῦραι καὶ πανδοσίαι καὶ λεωφόροι πολυωνυμικῶς λέγονται. 1082,42. 1921,58.

πόρνος, ὅτι κατὰ πλεονασμὸν τοῦ ν̄ λέγεται τὸ ὄνομα, ὡς καὶ ὁ τόρνος ἐκ τοῦ τόρος. 1533,12.

πόρον ἀντὶ τοῦ ἔπορον, ἤγουν παρέσχον. 1863,21.

πορος ληγόντων ὀνομάτων ἐκ τοῦ ἔμπορος συγκειμένων προσῳδία διάφορος, οἷον μεγαλέμπορος μὲν προπαροξυτόνως, λογεμπόρος δὲ παροξυτόνως. 1447,46.

πόρος ὅτι παρὰ τὸ περῶ λέγεται. 1453,17. καὶ ὅτι Πόρος Ἀλφειοῦ ἐπικαλεῖται τόπος τις, διότι ἐκεῖ περατὸς ἦν ὁ Ἀλφειός. 297,8.

πόρπαξ, τὸ καὶ ὄχανον, ὅ ἐστι τὸ ἐντὸς τῆς ἀσπίδος πρόσθημα, δι' οὗ ἡ χεὶρ διείρεται. 707,59. 905,53. 995,20.

πόρπη ἡ περόνη, ὅτι παρὰ τὸ πείρω ὡς καὶ ἡ περόνη λέγεται, καὶ ὅτι βαρύνεται τοὔνομα. 539, 22. 1150,20.

πόῤῥω, ἐπίῤῥημα ἐκ τοῦ πρόσω μεταθέσει καὶ τροπῇ τοῦ σ̄ εἰς ρ̄, καὶ ζήτει τὸ πρόσω. 166,30.

πορσαίνειν καὶ πορσύνειν τὸ παρέχειν καὶ τὸ εὐτρεπίζειν, ἀπὸ τοῦ πόρω πόρσω Αἰολικῶς οὕτω κλινομένου ῥήματος· καὶ ὅτι πορσύνειν λέχος τῷ ἀνδρὶ λέγεται ἡ γυνὴ ἀντὶ τοῦ συγκοιτασθῆναι καὶ συγκαθευδῆσαι. 430,18. 1474, 12.

πόρταξ ὑποκοριστικῶς ἡ πόρτις, ὅ ἐστι δάμαλις. 1091,54. 1625,43.

πόρτιες αἱ νέαι βόες, αἱ ἄρτι ἀρξόμεναι τοῦ πορεύεσθαι. 1625, 43. 1663,33.

πόρτις ἡ δάμαλις, ὅτι ἐκ τοῦ πόρις λέγεται πλεονασμῷ τοῦ τ̄, ἐκεῖνο δὲ παρὰ τὴν πορείαν. 534, 26. 1091, 53. καὶ ὅτι καὶ πόρις λέγεται χωρὶς τοῦ τ̄. 1094,4.

πορφύρειν τὸ βαθέως διαλογίζεσθαι ἢ κυμαίνεσθαι διαλογισμοῖς, καὶ ὅτι οὐκ ἀεὶ βαθὺν ταραγμὸν δηλοῖ, ἀλλά ποτε καὶ ἠρεμαῖον, οἷον ἐν τῷ, εὔδια πορφύροντα. 139,45. 1503,46. καὶ πορφύρειν λέγεται ἡ θάλασσα ἀντὶ τοῦ μελαίνεσθαι. 964,47.

πορφύρεον κῦμα καὶ πορφύρεον αἷμα, τὸ πορφυροῦν καὶ ἐγγὺς μέλανος. 139,43. ἀλλαχοῦ δὲ ὅτι τὸ πορφύρεον μελανίας ὕδατός ἐστι διαφορὰ, ὡς καὶ τὸ κυάνεον καὶ τὸ δνοφερόν. 116,14. καὶ πάλιν ἀλλαχοῦ ὅτι πορφύρεον κῦμα καὶ πορφύρεος θάνατος παρὰ τὸ πορφύρειν, ὃ δηλοῖ τὸ μελαίνεσθαι, λέγονται. 964,48.

πορφύρεος θάνατος ὁ μετὰ ἐκχύσεως αἵματος διὰ τὸ τοῦ αἵματος πορφυρόχροουν, ἢ ὁ μέλας ὡς καὶ πορφύρεον κῦμα τὸ μέλαν, ἢ ὁ ἐκ μιᾶς πληγῆς γενόμενος κατὰ τὸν ταῖς πορφύραις ἐπιφερόμενον ὑπὸ τῶν πορφυρέων, ἱστορία· καὶ πορφύρεος θάνατος παρῳδικῶς ὁ πορφυρεῖ τινὶ ἐπενενεχθεὶς ἐπὶ κολάσει τῆς κατὰ τὰς βαφὰς μαγγανείας. 524,41. καὶ ἄλλως πορφύρεος θάνατος καταχρηστικῶς εἴτουν παρῳδικῶς ῥηθὲν ἐπὶ ἄγρᾳ μεγάλῃ θαλασσίων πορφυρῶν προσταχθείσης Χίοις ὑπ' Ἀλεξάνδρου, ἱστορία. 1213,63.

Πορφυρὶς, ὅτι οὕτως ἐκλήθη ποτὲ Νίσυρος ἡ νῆσος, μία οὖσα τῶν Κυκλάδων, ὑπὸ τῶν ἐν αὐτῇ πορφυρέων. 318,29.

πορφυρίων, ὄρνεον κατοικίδιον τοῖς Λίβυσι τὰς γυναῖκας τηροῦν καὶ τὰς μοιχευθείσας ἐλέγχον, ἱστορία. 1467,13.

Πορφυροῦσα, ὅτι οὕτως ἐκλήθησάν ποτε Κύθηρα ἡ νῆσος διὰ τὸ κάλλος τῶν ἐν αὐτῇ πορφυρῶν. 804,35.

πος λήγοντα ὀνόματα ἐκ τοῦ πους ποδὸς συγκείμενα, κατ' ἔκπτωσιν τοῦ ἐν τῷ πους ῡ ψιλοῦ γενόμενα πρὸς μέτρου χρείαν, οἷον ἀρτίπος ἀντὶ τοῦ ἀρτίπους καὶ ἀελλόπος ἀντὶ τοῦ ἀελλόπους. 1599,11.

πόσε ἐπίῤῥημα ἀντὶ τοῦ ποῖ ἤγουν εἰς ποῖον τόπον, οἷον πόσε φεύγετε, καὶ πόσ' ἴμεν. 1664,6.

ποσεῖ, δοτικὴ ἀπὸ τῆς πόσιος γενικῆς πρὸς ἀποφυγὴν τῆς τῶν δύο ι ἐπαλληλίας. 407,41.

Ποσίδειον ἢ Ποσιδεῖον ὅτι ἀμφισβητεῖται κατὰ τὴν προσῳδίαν, καὶ πάλιν ὅτι τὸ προπαροξυνόμενον Ποσίδειον ἀμφισβητεῖται κατὰ τὴν παραληκτικὴν γραφὴν,

καὶ ἔτι τὸ σι διὰ τοῦ ι γράφεται κατ' ἐκδρομὴν τοῦ ε τῆς ει διφθόγγου. 270, 19. 1562, 50. 55.

Ποσειδεὼν μὴν, περὶ ὃν αἱ χειμεριναὶ τροπαὶ, ὅτι διὰ τὸν Ποσειδῶνα λέγεται. 1012, 1.

Ποσιδήιον, Ποσειδῶνος ἱερὸν, τὸ σι ἰῶτα διὰ μέτρου ἀνάγκην ἐνίοτε παρ' Ὁμήρῳ, καὶ ὅτι ἐκ τοῦ Ποσίδειον γέγονε διαλύσει τῆς διφθόγγου καὶ ἐκτάσει τοῦ ε. 629, 45. 1562, 48. 56.

Ποσειδῶν τὸ συνέχον αἴτιον τὴν θάλασσαν, καὶ πόσεως αἴτιον διὰ τὰ ἐκ θαλάσσης διηθούμενα ὕδατα. 1011, 63. καὶ ποῖοι τινὲς ἄνθρωποι Ποσειδῶνος υἱοὶ γεγονέναι ἐμυθεύθησαν. 18, 39.

Ποσειδῶν Ἑλικώνιος ὁ ἐν Ἑλίκαις τῆς Ἀχαΐας τιμώμενος, ὅτι ἐκ τῆς Ἑλικῶν πληθυντικῆς γενικῆς παρῆκται τοὔνομα, καὶ ὅτι καὶ Νηλεὺς ἐν Μιλήτῳ Ἑλικωνίου Ποσειδῶνος ἱερὸν ἱδρύσατο. 1214, 25.

Ποσειδῶν καὶ Ἀπόλλων θητεύσαντες Λαομέδοντι καὶ τὸ τῆς Τροίας τεῖχος οἰκοδομήσαντες, ἀλληγορία ἱστορικὴ καὶ φυσική. 1245, 46. 1382, 47. καὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος μάχη μυθικὴ παρ' Ὁμήρῳ διεξοδικῶς ἀλληγορουμένη. 1196, 40.

Ποσειδῶνος θύματα, ὅτι τῷ Ποσειδῶνι ἐθύετο ἀρνειὸς, ταῦρος καὶ κάπρος διὰ τινῶν ἰδιωμάτων τῶν ζώων τούτων πρὸς τὴν τοῦ θαλαττίου ὕδατος ἐμφέρειαν, ἑρμηνεία διεξοδική. 1676, 33.

Ποσειδῶνος ἵππων ὀνόματα καὶ ἐτυμολογία τῶν ὀνομάτων. 918, 14.

Ποσειδωνία ἡ Ποσειδωνιὰς, ὅτι οὕτως ἐκλήθη ποτὲ Τροιζὴν ἡ πόλις ὡς Ποσειδῶνος ἱερά. 287, 11.

Ποσειδώνιον τὸ τοῦ Ποσειδῶνος ἱερὸν, ὡς Ἀπολλώνιον τὸ τοῦ Ἀπόλλωνος. 1562, 52.

πόσις ἀνὴρ ὅτι παρὰ τὴν πόσιν λέγεται διὰ τὴν σπερματικὴν ὑγρότητα. 1384, 57. καὶ ὅτι δοκεῖ τις εἶναι διαφορὰ ἀνδρὸς καὶ πόσιος ἐκ Σοφοκλείου τινὸς ῥητοῦ (Trach. 550.). 1374, 43.

ποσσῆμαρ, ἐρωτηματικὸν ἐπίῤῥημα, ἤγουν ἐπὶ πόσας ἡμέρας. 44, 15. 1370, 26.

πὸτ τῶ Διὸς, Δωρικῶς ἀντὶ τοῦ πρὸς τοῦ Διός. 828, 32. 1106, 28.

πόταγε Δωρικῶς ἀντὶ τοῦ πρόσαγε, ὅτι ἐκ τῆς πρὸς προθέσεως, ποτὶ Δωρικῶς λεγομένης, σύγκειται. 684, 16. 1106, 25.

ποταίνιον τὸ πρόσφατον, ὅτι ἐκ τῆς ποτὶ, ἤγουν πρὸς, προθέσεως καὶ τοῦ αἶνος, ὃ δηλοῖ τὸν λόγον, λέγεται μεταληπτικῶς, καὶ ἑρμηνεία τῆς ἐτυμολογίας. 1106, 24. 1374, 25. 1489, 61.

ποτάμιον ὕδωρ ὅτι γονιμότητος ἦν σύμβολον, καὶ ὅτι τοῖς ποταμοῖς ἔνορχα ἐθύοντο. 1293, 5.

Ποτάμιος, κύριον τῶν ἐπὶ Εὐσταθίου τινὸς ἀνδρὸς ἱεροῦ καὶ λογίου, καὶ ἱστορία ἐτυμολογικὴ τοῦ ὀνόματος. 500, 21.

ποταμοὶ ὅτι Διιπετεῖς καὶ Διὸς παῖδες εἶναι λέγονται, ὡς τοῖς ἐξ ἀέρος ὄμβροις πλήθοντες. 996, 39.

ποταμοί τινες πολύποροι εἴτουν πολλάκις κατά τινας τόπους διαβαινόμενοι, ἱστορία. 889, 62.

ποταμὸς ὅτι ἐκ τοῦ ποτασμὸς λέγεται ἀφαιρέσει τοῦ σ, καὶ ὅτι ὀξύνεται τοὔνομα. 1347, 12.

ποταμῶν παῖδες εἶναι μυθεύονται οἱ ὑγροὶ καὶ θυμοειδεῖς καὶ ἄγριοι. 18, 41. 1052, 64.

ποταμῶν πηγαὶ, ὅτι ἐν ταῖς πηγαῖς τῶν ποταμῶν βωμοὶ ἵδρυντο, ἐφ' ὧν ἔθυον τοῖς τῶν ποταμῶν δαίμοσι. 1293, 25.

ποτανὸν τὸ πτηνὸν Δωρικῶς. 538, 10. καὶ ὅτι ἐκ τοῦ ποτανὸν λέγεται τὸ πτηνόν. 1713, 6.

ποτὲ ἐπίῤῥημα ὅτι παρέλκει ἐν τῷ, τί δή ποτε. 205, 35. καὶ ὅτι πλεονάζει καὶ ἐν τῷ, οὐδέ κε φαίης οὔτε ποτ' ἠέλιον σόον ἔμμεναι οὔτε σελήνην, Ἰλ. ρ', 367. 1110, 16.

ποτὲ ἐπίῤῥημα ὅτι οὐκ ἀεὶ χρόνου μῆκος σημαίνει, ἀλλὰ καὶ ἀντὶ τοῦ χθὲς καὶ πρώην τίθεται καὶ τοῖς προσφάτως γενομένοις εἴτουν ταῖς ἐξ ὑπογυίου πράξεσιν ἐπιλέγεται. 702, 2. 966, 23. 1892, 58. 1902, 56.

ποτέονται, ῥῆμα τῆς πρώτης τῶν περισπωμένων ἀντὶ τοῦ πέτονται, τὸ πῶ μικρὸν, πωτῶνται δὲ κατὰ τὴν δευτέραν, τὸ πω μέγα. 1188, 35. ζήτει τὸ ποτῶμαι.

ποτὴ ἀντὶ τοῦ πετομένη ἐν τῷ, αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης, Ὀδυσσ. ε', 337. ἡ ποτὴν κατ' αἰτιατικὴν, ἵν' ᾖ, εἰκυῖα τὴν ποτὴν, ἤγουν κατὰ τὴν πτῆσιν. 1543, 53.

ποτήρια μεγάλα ὅτι φρέατα ἀργυρᾶ ἐλέγοντο κατὰ ἀστεϊσμόν. 1289, 20. καὶ περὶ τινῶν ἄλλων ἀστεϊσμάτων ἐπὶ τοῖς αὐτοῖς. 1632, 20 — 32.

ποτηρίου σχῆμα, ὅτι τὸ δεχόμενον τὴν ὑγρὰν τροφὴν σκεῦος κυκλοτερὲς ἐδημιουργήθη κατὰ μίμησιν τοῦ κόσμου. 1816, 33. καὶ ἔτι τῶν ποτηρίων τινὰ δύο εἶχον πυθμένας, οἷον καὶ τὸ παρ' Ὁμήρῳ τοῦ Νέστορος, ἑρμηνεία διεξοδική. 869, 1.

ποτηριοφόρος Δημήτηρ ἐν Ἀχαΐᾳ τιμωμένη. 868, 57.

ποτης λήγοντα ὀνόματα, οἷον αἱματοπότης καὶ ὑδροπότης, ὅτι ἐξετείνετο αὐτῶν ἡ παραλήγουσα πάλαι παρὰ τοῖς Ἀττικοῖς. 1716, 36.

ποτητὰ ταὐτὸ ὅπερ πτηνὰ, παρὰ τὸ ποτῶ ποτήσω. 1712, 33.

ποτὶ πρόθεσις ἐν συνθέσει προτασσομένη λέξεως ἀπὸ φωνήεντος ἀρχομένης ἐκθλίβει τὸ τῆς ἐπεκτάσεως ἰῶτα, συμφώνου δὲ ἐπαγομένου μονοσυλλάβως ἐκφέρεται κατὰ παράθεσιν, οἷον πὸτ τῶ Διὸς, ἀντὶ τοῦ πρὸς τοῦ Διός. 684, 16. 828, 30. 1106, 20. 27.

ποτὶ πυγὰν ἅλλεσθαι, ὅτι ὡς γυμνάσματός τι εἶδος παρὰ τῷ κωμικῷ λέγεται. 1818, 57.

ποτὶ ῥόον, ἤγουν κατὰ τὸ ῥέειν ἐν τῷ, βέβρυχε μέγα κῦμα ποτὶ ῥόον, Ἰλ. ρ', 264. 1105, 58.

Ποτιδὰν ὁ Ποσειδῶν Δωρικῶς, ὡς Ἀλκμὰν ὁ Ἀλκμαίων. 708, 26.

ποτιπεπτηυῖαι ἀκταὶ ἐπιθετικῶς ἐν τῷ, ἀκταὶ ἀποῤῥῶγες λιμένος ποτιπεπτηυῖαι, Ὀδ. ν', 98. ἤγουν αἱ προπεπτωκυῖαι πρὸ τοῦ λιμένος καὶ εἰς σκέπην οὖσαι τῶν ἀνέμων. 1735, 28.

ποτίστατος ὅτι ἐκ τοῦ πότιστος ὑπερθετικοῦ Ἀττικῶς ἐσχημάτισται. 1441, 23.

ποτιφωνήεις, Ὀδ. ι', 456. ἐν ἴσῳ τῷ αὐδήεις. 1639, 5.

πότμος ὁ θάνατος πολλαχοῦ παρ' Ὁμήρῳ. 237, 32. 488, 30. καὶ πότμος ἡ συμφορά. 776, 53. ἀλλαχοῦ δὲ ὅτι πότμος ἡ τύχη, καὶ πότμος ἐπὶ δυστυχίας ἐνίοτε, καὶ ὅτι οὐκ ἀεὶ θάνατον σημαίνει. 1657, 24. καὶ πότμον ἐπισπεῖν, καὶ πότμον ἀναπλῆσαι ἀντὶ τοῦ ἀποθανεῖν. 842, 36.

Ποτνιαὶ καὶ Πότναι, πόλις τῆς Βοιωτίας, ὅθεν καὶ Ποτνιάδες ἵπποι παρ' Εὐριπίδῃ διὰ τὸ ἐκεῖ μανῆναι τὰς Διομήδους τοῦ Θρακὸς ἵππους, ἢ μάλιστα διὰ τὸ τὸν Ποτνιέα Γλαῦκον ὑφ' ἵππων διασπασθῆναι. 269, 35.

ποτνιᾶσθαι ὅτι παρὰ τὸ πέτειν, ὃ δηλοῖ τὸ πίπτειν, λέγεται. 865, 59.

ποτὸν τὸ πινόμενον, πότος δὲ βαρυτόνως τὸ συμπόσιον. 137, 13.

πότος ἀπὸ μέρους τοῦ πίνειν ἡ ὅλη ἑστίασις εἴτουν τὸ συμπόσιον. 867, 36. 1105, 25.

ποτὸς καὶ ποτὴ ἀντὶ τοῦ πετόμενος καὶ πετομένη. 229, 32. 905, 34.

ποτῶμαι ἀντὶ τοῦ πέτομαι, ὅτι πῆ μὲν διὰ τοῦ ο μικροῦ γράφεται, οἷον ἐν τῷ, ἔνθα καὶ ἔνθα ποτῶνται, Ἰλ. β', 462. πῆ δὲ διὰ τοῦ ω μεγάλου, οἷον ἐν τῷ, ὡς τῶν ἀμφοτέρωθεν λίθοι πωτῶντο θαμειαί, Ἰλ. μ', 287. ὅπου καὶ ἀντὶ τοῦ ἔπιπτον ἀκούουσί τινες τὸ πωτῶντο. 255, 4. 905, 29 — 36.

πότωπον τὸ πρόσωπον Δωρικῶς. 684, 17. ἀλλαχοῦ δὲ ὅτι ποτῶπον τὸ πρόσωπον Δωρικῶς. 1106, 26.

ποὺ, μόριον διστακτικὸν εἴτουν στοχαστικὸν ἀντὶ τοῦ ἴσως. 187, 15. 572, 13. 972, 50. 1005, 15. 1089, 21. 1361, 2. 1894, 20. 1911, 12. καὶ ὅτι πρὸς θεραπείαν ὑπερβολῆς ἐνίοτε παραλαμβάνεται. 1114, 34. καὶ ὅτι τὸ τοιοῦτον ποὺ ἐγκλίνεται εἴτουν ἄνευ τόνου γράφεται ἐν τῇ συνεπείᾳ. 904, 18. 930, 55. καὶ ὅτι ἐνοξύνεταί ποτε ἐν συνεγκλίσει, οἷον ἐν τῷ, θεός πού σοι τό γ' ἔδωκεν, Ἰλ. α', 178. 60, 14.

πουλὺν ἐφ' ὑγρὴν, ἀντὶ τοῦ ἐπὶ πολλὴν θάλασσαν. 697, 23. 787, 33.

πούλυπος προπαροξυτόνως παρὰ τοῖς Ἀττικοῖς ὁ κοινῶς πολύπους, ὅτι κατ' ἐκβολὴν τοῦ υ λέγεται. 768, 48. 1541, 22.

πουν λήγουσαι αἰτιατικαὶ, ὅτι πουν μὲν ἀντὶ τοῦ πόδα οὐχ' εὕρηται λεγόμενον ἐν ἁπλότητι, ἐν συνθέσει δὲ καὶ μάλα, οἷον ἐν τῷ τρίπουν, Οἰδίπουν, πολύπουν. 1541, 27.

ποὺς ὅτι παρὰ τὸ παύω παύσω λέγεται, ὃ δηλοῖ τὸ λήγειν. 796, 4. καὶ ὅτι πόδες λέγονται τὰ μετὰ τὴν ὀσφὺν μέρη τοῦ ζωικοῦ σώματος. 625, 24. ἀλλαχοῦ δὲ ὅτι ποὺς τὸ μετὰ μηρὸν καὶ κνήμην μέρος τοῦ μέλους ἐν ᾧ ἔστι. 1120, 8. καὶ ὅτι οὐκ ἔχει μονοσύλλαβον αἰτιατικὴν τοὔνομα, ζήτει τὸ, πουν λήγουσαι αἰτιατικαί. 1541, 27.

Πράκτιος ποταμὸς ἢ Πράκτιον χωρίον τι τῆς Τρωάδος, Ἰλ. β', 835. 356, 36.

Πράμνειος οἶνος ὅτι παρὰ τὸ πραΰνειν τὸ μένος λέγεται, ἤγουν εἰς πραότητα τὴν ψυχὴν ἄγειν, ἢ ἀπὸ τοῦ εἰς παλαίωσιν παραμένειν καὶ μὴ μεταβάλλεσθαι, οἱονεὶ παραμένειος· ἢ Πράμνειος ἀπὸ Πράμνης ἢ Πραμνείου ὄρους τινὸς ἐν Ἰκάρῳ τῇ νήσῳ. 1656, 61. ἄλλοι δὲ ἀπὸ πραμνίας οὕτω καλουμένης ἀμπέλου· καὶ ὅτι καὶ περὶ Λατορείαν, κώμην τῆς Ἐφεσίας χώρας, γίνεται ὁ Πράμνειος οἶνος, καὶ περὶ τῆς δυνάμεως καὶ τοῦ χρώματος καὶ τινῶν ἄλλων ποιοτήτων αὐτοῦ ἱστορία· καὶ ὅτι διὰ τῆς ει διφθόγγου ἔχει τὴν μνι συλλαβὴν τοὔνομα, ὀφεῖλον διὰ τοῦ ἰῶτα γράφεσθαι ὡς τοπικόν. 871, 14 — 26. 45. 867, 41.

Πράμνη, ὄνομα τόπου τινὸς, ζήτει τὸ, Πράμνειος οἶνος. 871, 15.

πρανὴς καὶ πρανὲς ταὐτὸ ὅπερ πρηνὴς καὶ πρηνὲς, ζήτει τὸ πρηνής. 248, 42. 623, 45.

Πραξιτέλους Ἔρως ὅτι ἐν Θεσπιαῖς, πόλει τῆς Βοιωτίας, ἀνέκειτο ὑπὸ Γλυκέρας τῆς ἑταίρας ἀνατεθεὶς, ἱστορία. 266, 13.

πραπὶς ἡ φροντὶς, ἡ ἄπο ἤγουν ἄπωθεν προορῶσα· καὶ ὅτι ἐκ τῆς πρὸ καὶ ἄπο καὶ τοῦ ἰδεῖν ἢ ἱέναι σύγκειται τοὔνομα. 162, 20. καὶ πραπίδες αἱ φρένες πολλαχοῦ παρ' Ὁμήρῳ. 863, 61

Πρὰς Πράντος, ὄνομα ποταμοῦ ἢ πόλεως, ὅτι ὀξύνεται καὶ διὰ τοῦ ντ κλίνεται. 436, 20.

πρασία, τόπος λαχανηφόρος, ὅτι ἀπὸ μέρους τοῦ πράσου κατὰ περιεκτικὸν τύπον οὕτω λέγεται. 1574, 27. ἀλλαχοῦ δὲ ὅτι Πρασία πόλις Πελοποννήσου, πρασιὰ δὲ γεωργικόν τι σχῆμα. 1967, 29.

πράσινον χρῶμα ὅτι ἀπὸ τοῦ πράσου λέγεται. 1574, 28. ἀλλαχοῦ δὲ ὅτι πράσινον παρὰ τὸ πράσον λέγεται. 1631, 22.

πρᾶσις, οἱονεὶ πέρασις κατὰ συγκοπὴν, ὅτι ἐκ τοῦ περᾶν, ὃ δηλοῖ τὸ πιπράσκειν, λέγεται. 1222, 26. 1788, 36.

πράσον, εἶδος λαχάνου, ὃ καὶ κεφαλωτὸν λέγεται. 1155, 20.

πράττειν ὅτι οὐ λέγεται περὶ ἀλόγων, τὸ δὲ ἔρδειν ἀντ' αὐτοῦ, οἷον ἐν τῷ, ὃς κακὰ πόλλ' ἔρδεσκε, περὶ τοῦ Καλυδωνίου συὸς λεγόμενον Ἰλ. ι', 540. 773, 24.

πρέμνος, ὅτι βαρύνεται τοὔνομα διὰ τὸ μὴ τριγενὲς εἶναι. 541, 43.

πρέπειν ὅτι ἐκ τοῦ περιέπειν συγκέκοπται. 55, 45. 894, 50. καὶ πρέπειν διὰ πάντων, παρ' Ὁμήρῳ ἀντὶ τοῦ διαπρέπειν ἐν ἅπασι καθ' ὑπερβατόν. 894, 14.

πρέσβα, θηλυκὸν ἐπίθετον, ὅτι ἐκ τοῦ πρέσβειρα συγκέκοπται, καὶ ὅτι πρέσβα ἄτη ἤτοι κατὰ χρόνον ἢ κατὰ τιμὴν λέγεται παρ' Ὁμήρῳ. 977, 2. 1173, 37.

πρεσβεῖον, δῶρον τίμιον τὸ τοῖς πρεσβυτέροις ἤγουν ἐντίμοις διδόμενον. 713, 38.

πρεσβύτατος καὶ πρεσβυτάτη ἀντὶ τοῦ τιμιώτατος καὶ τιμιωτάτη ἐν τῷ, καί με πρεσβυτάτην τέκετο Κρόνος, περὶ Ἥρας λεγόμενον Ἰλ. δ', 59. 444, 46.

πρευμενὴς ὅτι παρὰ τὸ πρᾶος καὶ εὐμενὴς ταυτοδυνάμων λέξεων λέγεται. 437, 7.

πρήθειν τὸ φυσᾶν, οἷον ἐν τῷ, ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον, πολλαχοῦ παρ' Ὁμήρῳ. 1153, 49. 1433, 30. 1453, 12.

πρήθειν ἀντὶ τοῦ διαπερᾶν ἢ ἐξαγαγεῖν ἐν τῷ, αἷμα δὲ ἀνὰ στό-

μα καὶ κατὰ ῥῖνας πρῆσε χανών, Ἰλ. π', 350. 1063, 10.

πρήθω τὸ καίω, παρὰ τὸ πρῶ, ὃ ἐκ τοῦ πυρῶ κατὰ συγκοπὴν λέγεται. 249, 31. 706, 11. 961, 34.

πρηκτῆρες οἱ πραγματευταὶ ἐν τῷ, ἀρχὸς ναυτάων οἵ τε πρηκτῆρες ἔασιν, Ὀδ. θ', 162. 1590, 3.

πρηνὴς ὁ ἐπὶ πρόσωπον νενευκώς, ὅτι ἀντίκειται τῷ ὕπτιος, καὶ ὅτι παρὰ τοῖς μεθ' Ὅμηρον πρανὴς λέγεται διὰ τοῦ α ὡς ἀπὸ τοῦ παρανεύειν, καὶ πρανὲς τόπος ὁ κατάντης, καὶ πρανὲς τεῖχος τὸ ἐπὶ τὰ πρόσω πεσὸν, ἑρμηνεία διεξοδική. 248, 39 — 249, 13. 623, 43. καὶ ὅτι πρηνεῖς μὲν πίπτειν συμβαίνει τοὺς ἐν φυγῇ πεσόντας, ὑπτίους δὲ τοὺς ἐν ἀντιπροσώπῳ μάχῃ. 643, 52.

πρηνίξαι τὸ ἐπὶ πρόσωπον ῥῖψαι, ὅτι παρὰ τὸ πρηνὴς λέγεται. 248, 43.

πρῆσεν, ἐφύσησεν, ἀπὸ τοῦ πρήθω, ἢ τοῦ πρῶ, ὃ ἐκ τοῦ περῶ συνεκόπη, ὅθεν καὶ τὸ διαπρήσουσα μετοχικόν. 139, 35. 38.

πρηστὴρ ὅτι παρὰ τὸ πρήθειν, ὃ δηλοῖ τὸ φυσᾶν καὶ τὸ καίειν, λέγεται. 1453, 13.

πρήσω, μέλλων τοῦ πρῶ ἢ πρήθω θέματος. 706, 14.

πρήσωμεν ὁδοῖο, παρ' Ὁμήρῳ ἤγουν διαπεράσωμεν τὴν ὁδόν. 1779, 29.

πρητῆνες αἶγες ὅτι κατὰ προσηγορίαν ἡλικίας οὕτω λέγονται. 1625, 35.

πρηὼν πρηῶνος, ἐν ἴσῳ τῷ πρὼν πρωνὸς, ὅθεν καὶ λέγεται πλεονασμῷ τοῦ η, καὶ δηλοῖ ὄρους ἐξοχήν. 729, 39. 905, 15.

Πρίαμος ὁ Λαομέδοντος ὅτι Ποδάρκης πρότερον καλούμενος διὰ τὸ πραθῆναι οὕτω μετωνομάσθη, ἱστορία διεξοδική. 27, 20. 395, 14.

Πριάμου ἐπαρχίας περιορισμὸς ἱστορικὸς καὶ γεωγραφικὸς, καὶ περὶ τῶν ὑποκειμένων ποτὲ αὐτῷ δυναστειῶν. 1364, 36.

πριαμωθῆναι ἀντὶ τοῦ ἐυρηθῆναι, παρὰ τὸ τὸν Πρίαμον ἐξυρημένον εἰσάγεσθαι ἐν ταῖς σκηναῖς ὑπὸ τῶν τραγικῶν. 1344, 5.

Πρίαπος ὅτι καὶ Πρίηπος καὶ Πρίηπος λέγεται κατὰ διαφόρους διαλέκτους. 32, 15. 691, 44. καὶ ὅτι Πρίαπος ὁ Διόνυσος ἐπεκαλεῖτο διὰ τὸ τοῦ οἴνου εἰς τὰς μίξεις κινητικόν. 242, 37. καὶ ὅτι καὶ εἰς ἥλιον ἀλληγορεῖται ὁ Πρίαπος διὰ τὸ γόνιμον. 69?, 44.

πρὶν ἐπίῤῥημα χρονικὸν, ὅτι τὸ πρὶν δὶς παραλαμβανόμενον ἐν μιᾷ περιόδῳ ἐν μὲν τῇ πρώτῃ χώρᾳ ἀντὶ τοῦ πρότερον, ἐν δὲ τῇ δευτέρᾳ ἀντὶ τοῦ πρὸ τοῦ παραλαμβάνεται, οἷον ἐν τῷ, οὐδ' ὅγε πρὶν λιμοῖο βαρείας χεῖρας ἀφέξει πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην, Ἰλ. α', 97. 56, 28. καὶ ὅτι τὸ πρὶν ποτὲ μὲν ἐκτείνεται, ποτὲ δὲ συστέλλεται κατὰ τὸ μέτρον τῶν ἐπῶν. 1108, 51. καὶ ὅτι τὸ πρὶν καθ' αὑτὸ μὲν ἀπαρεμφάτῳ συντάσσεται, μετὰ δὲ τοῦ ὅταν ὑποτακτικῷ, οἷον, πρὶν γενέσθαι, καὶ πρὶν ὅταν τόδε γένηται. 1450, 29. καὶ ὅτι ὁ ὀμόσας μὲν πρότερον ποιήσειν τόδε τι, πρὶν ἂν τόδε τι γένηται, οὐχ ἐξ ἀνάγκης ἐνέχεται τῷ ὅρκῳ μετὰ τὸ παρελθεῖν τὴν προθεσμίαν. 1495, 17.

πρὶν ὀπτῆσαι τἄλευρα ἐπιπάσσεις, καὶ πρὶν τοὺς ἰχθῦς ἑλεῖν σὺ τὴν ἅλμην κυκᾷς, καὶ πρὶν ἐσφάχθαι δέρεις, παροιμίαι ἐπὶ τῶν πρὸ καιροῦ τι ποιούντων. 1792, 42.

πρίνου καρπὸς ὅτι ἄκυλος λέγεται. 1657, 14.

πρὸ πρόθεσις ὅτι τὴν ἐπὶ τὰ πρόσω σχέσιν καὶ πρόοδον εἰς τὸ πρόσθεν σημαίνει. 217, 21. 746, 35.

πρὸ γενικῇ ἀντὶ τῆς ὑπὲρ, οἷον, πρὸ Ἀχαιῶν ἄγγελος ἧκει, ἀντὶ τοῦ ὑπὲρ Ἀχαιῶν, Ἰλ. κ', 286. 805, 44. 53. καὶ πρὸ παίδων καὶ γυναικῶν μάχεσθαι ἀντὶ τοῦ ὑπὲρ παίδων καὶ γυναικῶν. 698, 12. 1181, 4. 1624, 5.

πρὸ δὲ δούρατ' ἔχοντο, παρ' Ὁμήρῳ ἀντὶ τοῦ προΐσχοντο καὶ προεβάλλοντο τὰ δόρατα. 1109, 34.

πρὸ ἕθεν, ἔμπροσθεν ἑαυτοῦ. 526. 21.

πρὸ ὁδοῦ γενέσθαι, τὸ καθ' ὁδὸν προκόψαι. 487, 1. 5. 805, 45. 1160, 27.

πρὸ ὀφθαλμῶν ὁρᾶν τὸν θάνατον, ὅτι ἐκ τοῦ Ὁμηρικοῦ, πρόσθ' ὁρόων θάνατον, ἀφορμὴν ἔσχεν ἡ φράσις. 1217, 51.

προαγωγὴ ἡ τιμὴ, ὅθεν τὸ προαγωγῆς τυγχάνειν. 1479, 51.

προαιρετικὰ ῥήματα, οἷον βούλομαι, θέλω, ὅτι πῇ μὲν ἀπαρεμφάτῳ ἁπλῶς, πῇ δὲ ὑποτακτικῷ μετὰ τοῦ ἵνα συντάσσονται. 66, 19.

προαλὴς χῶρος τὸ κατωφερὲς καὶ κάταντες χωρίον, καὶ προαλὴς ἄνθρωπος ὁ ἀναιδὴς καὶ πρὸ τοῦ δέοντος ὁρμητίας. 1236, 6.

προανακεφαλαίωσις ταὐτὸ ὅπερ προέκθεσις. 1672, 35.

προαναφώνησις, προέκθεσις ἐν βραχεῖ τῶν εἰς πλάτος ῥηθησομένων. 94, 23. καὶ εἰς τί συντελεῖ ἡ προαναφώνησις ἐν τοῖς προοιμίοις. 17, 40. καὶ παραδείγματά τινα τοῦ σχήματος. 169, 22. 1521, 13.

προάστειον ὅτι παρὰ τὸ πρὸ τοῦ ἄστεος εἶναι οὕτω λέγεται. 1019, 64. 1650, 47.

προβαλέσθαι ἀντὶ τοῦ ὑπερβαλέσθαι γενικῇ ἐκ δευτέρου καὶ δοτικῇ ἐκ τρίτου, οἷον ἐν τῷ, ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην, Ἰλ. τ', 218. ὅπου καὶ ἀντὶ τοῦ, πρὸ σοῦ βαλοίμην, ἤγουν ἐπιτυχὴς γενοίμην, ἔστιν ἀκοῦσαι τὸ προβαλοίμην. 1181, 3.

προβάλλειν τὸ προαφιέναι καὶ τὸ προτιθέναι. 1405, 60.

προβάλλεσθαι ἀντὶ τοῦ προτιθέναι καὶ προῤῥῖψαι ἐν τῷ, οὐλοχύτας προβάλοντο. 132, 21. καὶ προβάλλεσθαι θεμέλια τὸ προκαταβάλλειν. 1293, 41. καὶ προβάλλεσθαι ἐν ἴσῳ τῷ προΐσχεσθαι. 1405, 60.

προβάλλεσθαι τὸ προφασίζεσθαι, ἐκ μεταφορᾶς τῶν τιθέντων τι ἐπίπροσθεν τῆς βολῆς. 1405, 60.

προβάλλεσκεν ἀντὶ τοῦ προέβαλλε. 1539, 14.

πρόβασις τὰ αὐτοκίνητα καὶ διὰ ποδῶν προβαίνοντα κτήματα τουτέστι τὰ βοσκήματα. 753, 39. 877, 55. 1434, 54. 1649, 9. καὶ ἀλλαχοῦ πρόβασις ἡ ἐν ζῴοις περιουσία ἀπὸ ἑνὸς εἴδους τῶν προβάτων. 1385, 14.

πρόβατα, ὅτι πάντα τὰ αὐτοκίνητα κτήματα οὕτω δοκοῖσι λέγεσθαι παρ' Ὁμήρῳ παρὰ τὸ διὰ ποδῶν προβαίνειν, ἀντικειμένως πρὸς τὰ κειμήλια ἐν τῷ, κειμήλιά τε πρόβασίν τε, Ὀδ. β', 75. 1434, 55. ἀλλαχοῦ δὲ ὅτι τὰ πλείω τῶν τετραπόδων πρόβατα λέγονται κατά τι γενικὸν ὄνομα. 971, 58. καὶ πάλιν ἀλλαχοῦ ὅτι τὰ πλείω τῶν τετραπόδων πρόβατα λέγονται, μέχρις ἵππων καὶ βοῶν καὶ ταύρων, ὅθεν καὶ προβάτων τράπεζα παρὰ Πινδάρῳ ἡ τῶν ἵππων φάτνη. 877, 56. 1649, 4. καὶ ὅτι πρόβατα ἐπὶ εἰρήνῃ ἐθύοντο ὡς ἥσυχα καὶ εὐήθη. 1183, 57.

προβατεῖς οἱ τῶν προβάτων ποιμένες. 877, 50. 1648, 57.

προβατικὸς χορὸς ὁ ἐξ αἰγῶν παρ' Εὐπόλιδι ἀκύρως. 1063, 44.

προβάτων ἡλικίας προσηγορίαι, ὅτι τῶν προβάτων τὰ μὲν νέα ὕρνες καὶ ἀμνοί, ἃ καὶ φαννλοὺς καλοῦσι τινές, τὰ δὲ τέλεια ὄϊες καὶ κριοὶ καὶ ἀρνειοί, ἑξῆς δὲ τὰ λειπογνώμονα. 1625, 37. 1627, 10.

προβεβηκέναι γενικῇ τὸ προέχειν, καὶ προβεβηκέναι ἡλικίᾳ ἢ χρόνῳ ἢ δρόμῳ κατὰ συνθήκην. 334, 64. καὶ προβεβηκέναι κράτει ἀντὶ τοῦ ὑπερέχειν τῷ κράτει παρ' Ὁμήρῳ. 1045, 43.

προβέβουλα, μέσος παρακείμενος ἀντὶ τοῦ πρό τινος βεβοίλημαι, τουτέστι προκρίνω. 61, 14.

προβιβᾶν ὑπασπίδια, Ἰλ. π', 609. ἀντὶ τοῦ ἔσω τῆς ἀσπίδος κρυπτόμενον προβαίνειν. 1077, 62.

πρόβλημα, ὅπλον ὃ ἐπίπροσθεν τῆς βολῆς ποιεῖταί τις. 1405, 61.

προβλὴς πέτρα ἡ προβεβλημένη τῆς θαλάσσης ὡς ἀκρωτήριον, ἣ ἣν ἡ γῆ προΐσχεται ὡς πρόβλημα, καὶ προβλὴς σκόπελος ὁμοίως. 244, 34. 1405, 62.

προβλῆτες ἀκταὶ αἱ προβεβλημέναι τοῖς κύμασι καὶ προέχουσαι ἠιόνες, ἢ τόποι πετρώδεις προνεύοντες εἰς θάλασσαν. 1540, 28. 1649, 55. 1735, 27.

προβλῆτες στῆλαι, πλάκες τινὲς προβεβλημέναι τείχους τινὸς ἐπ' ἀσφαλείᾳ. 903, 42. 47. 57.

προβλώσκειν ἀντὶ τοῦ προμολίσκειν, ἤγουν προέρχεσθαι. 1853, 44.

προβολή, κεφάλαιον ῥητορικὸν διὰ τὸ προβάλλεσθαι τῶν ἄλλων οὕτω λεγόμενον, ἢ διὰ τὸ πρὸ τῶν λοιπῶν κεφαλαίων βάλλειν τὸν διωκόμενον. 1405, 64.

πρόβολος παρ' Ὁμήρῳ, ὁ καὶ προβλὴς λίθος, παρὰ δὲ τοῖς ὕστερον πρόβολος ὁ σύμμαχος τροπικῶς. 1406, 1. 1720, 14.

προβοσκὶς ἐλέφαντος ἡ προνομαία, ὅτι καὶ μυίας καὶ τενθίδος προβοσκὶς λέγεται. 1205, 63.

προγενέσθαι ἐπὶ χρονικῆς προλήψεως καὶ ἐπὶ τοῦ καθ' ὁδὸν προκόπτειν. 1160, 24.

πρόγονα θρέμματα τὰ πρωτόγονα, παρ' Ὁμήρῳ δὲ τὰ τέλεια οὕτω λέγονται Ὀδ. ι', 221. 1625, 28. 34.

προδιεζευγμένον, σχῆμά τι λόγου, ὃ καὶ Ἀλκμανικὸν λέγεται, καὶ παραδείγματά τινα αὐτοῦ διεξοδικῶς. 1667, 34. ζήτει τὸ προεπίζευξις.

προδοκὴ τόπος στενὸς ἐπιτήδειος εἰς τὸ δέχεσθαι θηρίον ἐπιόν. 450, 33. 1040, 14. 1212, 11.

πρόδομος τὸ ἐνδοτέρω μέρος τῆς καλουμένης αἰθούσης παρ' Ὁμήρῳ. 764, 45. ἀλλαχοῦ δὲ ὅτι πρόδομος ταὐτὸ ὅπερ αἴθουσα παρ' Ὁμήρῳ. 1369, 26. 1497, 29.

προδοσιόκομπος ὁ προδιδοὺς τοὺς κόμπους, ἤγουν τὰ καυχήματα εἴτουν τὰς ὑποσχέσεις. 710, 12.

πρόεγμα τὸ σεσίγιγμα, ὅτι ἀπὸ ἀῤῥήτου μέσου παρακειμένου τοῦ ἔχω ῥήματος παρῆκται ἡ λέξις κἀκεῖθεν ἔχει τὸ γ. 1528, 26.

προέκθεσις, ἡ καὶ ὑπόσχεσις, σχῆμα λόγου προεκτιθέμενον κεφαλαιωδῶς τὸν τοῦ λόγου σκοπόν. 7, 44. 18, 4. 20, 43. καὶ προέκθεσις τῆς ὕλης τοῦ πλατυσμοῦ τῆς Ὁμήρου ποιήσεως. 1382, 21.

προέμεν ἀντὶ τοῦ προεῖναι, ὅ ἐστι προπέμψαι. 1652, 8.

προεπίζευξις, σχῆμα λόγου, ὃ καὶ Ἀλκμανικὸν λέγεται, οἷον τό, ἧχι ῥοὰς Σιμόεις συμβάλλεται ἠδὲ Σκάμανδρος, Ἰλ. ε', 774. ἑρμηνεία διεξοδική. 606, 40. 947, 56.

προέσθαι ἀντὶ τοῦ προδοῦναι παρὰ τοῖς Ἀττικοῖς. 1731, 56.

προέχειν ἐπὶ τοῦ ἀξιωματικῶς ὑπερέχειν. 1555, 52.

προέχεσθαι τὸ προβάλλεσθαί τι εἰς ἄμυναν καὶ τὸ προφασίζεσθαι μεταφορικῶς. 723, 32.

προηγητὴρ καὶ προηγητὴς ὁ τοῦ ζεύγους ἡγούμενος ἐν ταῖς γαμικαῖς πομπαῖς. 1399, 28.

προθέλυμνα δένδρα καταβάλλεσθαι λέγονται, ἤγουν πρόῤῥιζα καὶ ἐξ αὐτῆς τῆς θέσεως· καὶ προθέλυμνοι τρίχες αἱ συνεχεῖς καὶ πυκναί, καὶ σάκος προθέλυμνον οὗ αἱ τῶν βυρσῶν θέσεις ἀλλεπάλληλοι καὶ πυκναί. 773, 45. ἀλλαχοῦ δὲ ὅτι προθέλυμνα σάκεα αἱ πυκναὶ καὶ ἀλλεπάλληλοι ἀσπίδες κατὰ τὸν συνασπισμόν. 924, 20.

προθέσεις ἀντὶ συνδέσμων, οἷον ἐκ παραινέσεως ἀντὶ τοῦ παραινέσεως ἕνεκα. 44, 39.

προθέσεις ἐλλείπουσαι ἀπὸ ῥημάτων, οἷς ὀφείλονται ἐν συνθέσει, οἷον εἰμὶ ἀντὶ τοῦ ἄπειμι. 75, 15.

προθέσεις καθ' ἕξιν συγκείμεναι τοῖς ῥήμασιν αὐταὶ τὴν αὔξησιν ἐπιδέχονται ἐν ταῖς κατὰ τοὺς παρῳχημένους κινήσεσι τῶν ῥημάτων, οἷον καμμύω ἐκάμμυον ἐκάμμυσα. 207, 36.

προθέσεις τὸ δὲ ἔχουσαι ὑποτεταγμένον ἐν παραθέσει ὅτι ἐλλιπῶς πτώσεώς τινος λέγονται, οἷον τὸ παρὰ δέ, ὑπακουομένης τῆς αὐτῷ δοτικῆς, καὶ μετὰ δέ, ὑπακουομένου τοῦ ταῦτα, καὶ πρὸς δέ, καὶ ἐπὶ δέ, ὑπακουομένου τοῦ τούτοις. 162, 40.

προθέσεις παρέλκουσαι ἐν συνθέσει, ἤγουν μηδὲν προστιθεῖσαι τῇ σημασίᾳ τῶν ἁπλῶν οἷς συντίθενται, οἷον μετάγγελος, ἐπίουρος καὶ κατατεθνειώς. 1009, 49.

προθέσεις πλεονάζουσαι ἐν παραθέσει, οἷον ἐν τῷ ἀπὸ νόσφιν καὶ ἀπ' οὐρανόθεν. 75, 15. 147, 15.

προθέσεων ἔκγονα ὀνόματα κύρια, οἷον ἐκ τῆς περὶ Πέριμος, ἐκ τῆς ἀμφὶ Ἄμφιμος, ἐκ τῆς ἀνὰ Ἄνιος. 75, 9. 1081, 56.

προθέσεων ἐπαλληλία ἐν συνθέσει μετὰ ῥημάτων ὅτι οὐκ εἰκῇ γίνεται, οἷον ἐν τῷ ὑπεξαναδὺς, ἐξυπανέστη, ὑπεκπρολύειν. 217, 18.

προθέσεων τόνος καὶ ἔγκλισις εἴτουν ἀναστροφὴ, ὅτι φιλοξύτονοί εἰσιν αἱ προθέσεις. 72, 39. καὶ ὅτι αἱ μονοσύλλαβοι ἐν τέλει λέγων καὶ ἐπῶν κείμεναι ὀξύνονται καὶ αὐταί. 371, 34. καὶ ὅτι αἱ δισύλλαβοι ἀναβιβάζουσαι τὸν τόνον ἀντὶ ῥημάτων ἀκούονται, οἷον ἔπι ἀντὶ τοῦ ἔπεστιν, Ἰλ. α΄, 515. καὶ μέτα ἀντὶ τοῦ μέτεστι παρ᾽ Εὐριπίδῃ. 74, 43.

πρόθεσις μεταξὺ κυρίου καὶ προσηγορικοῦ ἢ ἐπιθέτου κειμένη ὅτι κατὰ μὲν Ἀρίσταρχον τῷ κυρίῳ συνάπτεται, κατὰ δὲ Πτολεμαῖον τῷ προσηγορικῷ, οἷον ἐν τῷ, Ξάνθου ἄπο δινήεντος, Ἰλ. β΄, 877. 369, 31.

Προθοήνωρ ὁ προθέων τῇ ἠνορέῃ ἤγουν ἀνδρίᾳ, ἢ ὁ προθέων τῶν ἄλλων ἀνδρῶν ἐν καιρῷ ἔργου. 264, 32. 1280, 9.

Πρόθοος, υἱὸς Τενθρηδόνος τοῦ Ὑπερόχου τοῦ Αἵμονος τοῦ Ἀλέκτορος τοῦ Μάγνητος ἑνὸς τῶν Αἰολιδῶν, Μαγνήτων ἡγεμὼν παρ᾽ Ὁμήρῳ. 338, 24.

προθορών, ἤγουν προεκπηδήσας, ἀπὸ τοῦ θόρω θέματος. 1117, 5.

πρόθυμα, εἴτουν καταρχὴ καὶ προβολὴ θυσίας, τὸ τίλλειν καὶ κνίειν τὰς τοῦ ἱερείου τρίχας. 1476, 45.

προθυμία, ὅτι ἐκτείνει ποτὲ τὴν μῖ συλλαβὴν ἡ λέξις διὰ μέτρου ἀνάγκην. 293, 9.

πρόθυρα, αἱ καὶ πρῶται θύραι καὶ αὔλειοι παρ᾽ Ὁμήρῳ. 1257, 18. καὶ ὅτι καὶ πρόθυρον ἑνικῶς λέγεται παρ᾽ Ὁμήρῳ ἐν τῷ, βῆ δ᾽ ἰθὺς προθύροιο, Ὀδ. α΄, 119. 1395, 62. καὶ ὅτι ἀνὰ πρόθυρον τετραμμένους προτιθέναι τοὺς νεκροὺς εἰώθεσαν οἱ Ἕλληνες. 1180, 22.

προϊάλλειν τὸ προπέμπειν καὶ τὸ προτείνειν, οἷον ἐν τῷ, προΐηλε τράπεζαν, Ἰλ. λ΄, 628. 867, 16.

προϊάπτειν τὸ προπέμπειν ἢ πρὸ καιροῦ μετὰ φθορᾶς πέμπειν, παρὰ τὸ ἴπτω, ὃ δηλοῖ τὸ βλάπτω ἐν τῷ, Ἄϊδι προΐαψεν, Ἰλ. α΄, 3. 16, 36. 17, 2.

προΐει ἀντὶ τοῦ προέπεμπε καθ᾽ ὁριστικὸν παρατατικὸν, καὶ ἀντὶ τοῦ πρόπεμπε προστακτικῶς. 1969, 42. καὶ ὅτι τὸ προΐει κατὰ παρατατικὸν λεγόμενον φύσει μακρὸν ἔχει τὸ ῑ, ἐνίοτε δὲ βραχὺ ἀναυξήτως. 111, 20.

προϊεῖσιν, ὡς τιθεῖσι, τρίτον πρόσωπον ῥηματικὸν ὁμοφωνοῦν τῇ πληθυντικῇ δοτικῇ τῆς μετοχῆς. 843, 53.

προῖκα ποιεῖν τι, ἤγουν δωρεὰν, ὅτι καὶ προικὸς κατὰ γενικὴν λέγεται, ὑπακουομένης ἐκεῖ μὲν τῆς κατὰ προθέσεως, ἵν᾽ ᾖ κατὰ προῖκα, ἐνταῦθα δὲ τῆς διὰ, ἵν᾽ ᾖ διὰ προικὸς, οἷον ἐν τῷ, ἀργαλέον γάρ ἕνα προικὸς χαρίσασθαι, Ὀδ. ν΄, 15. 1731, 42. 52.

προΐκτης ὁ προϊκτεύων ὑπὲρ τοῦ λαβεῖν τι, ἢ ὁ προῖκα ζητῶν λαβεῖν, παρὰ τὸ προΐκω προΐξω, ὅθεν ἡ προΐξ καὶ τὸ προῖκα. 1823, 32.

προΐξ, ὅτι παρὰ τὸ προΐκω προΐξω συνήρηται τοὔνομα, καὶ ὅτι τὸ δῶρον ἁπλῶς ἐδήλου πάλαι ἡ λέξις, οἷον ἐν τῷ, προικὸς γεύσασθαι Ἀχαιῶν, Ὀδ. ρ΄, 413. ὕστερον δὲ ἀφωρισμένως τὸ γαμήλιον δῶρον. 321, 45. 1731, 56. 1823, 33. 1826, 15.

προΐξασθαι τὸ δωρεὰν δοῦναι, καὶ ἀντὶ τοῦ προδοῦναι παρὰ τοῖς Ἀττικοῖς, ζήτει ἐν τῷ καταπροΐξασθαι. 1731, 56.

προΐστασθαι ἐν ἴσῳ τῷ πρόσθεν ἵστασθαι ἐπὶ ἀμύνῃ καὶ φυλακῇ, οἷον ἐν τῷ, τάων οὗτοι ἐγὼ πρόσθ᾽ ἵσταμαι, Ἰλ. δ΄, 54. 444, 34. καὶ ἀλλαχοῦ προΐστασθαι ἐν ἴσῳ τῷ παρίστασθαι, ὅ ἐστιν ἐπικουρεῖν. 611, 2.

προΐσχεσθαι ἴσον τῷ προβάλλεσθαι, ὃ δηλοῖ ποτὲ τὸ προφασίζεσθαι τροπικῶς. 723, 33. καὶ προΐσχεσθαι χεῖρας εἰς ἱκετείαν καὶ βρέφος εἰς ἀφόδευμα κατὰ συνθήκην. 1303, 40. καὶ προΐσχεσθαι ἱερεῖον εἰς σφαγὴν ἀντὶ τοῦ προβάλλεσθαι καὶ προτιθέναι. 1454, 10.

Προῖτος κύριον, ὅτι παρὰ τὸ προϊέναι λέγεται τοὔνομα καὶ προϊτητικὸν εἴτουν ὁρμητίαν ἄνθρωπον σημαίνει. 631, 56.

προκαλίζομαι ἀντὶ τοῦ προκαλοῦμαι, Ἰλ. γ΄, 19. 375, 28.

πρόκες, εἶδος δορκάδων ἢ τὰ νεογνὰ τῶν ἐλάφων, ὅτι παρὰ τὸ προκίειν λέγονται. 711, 40. 1821, 22.

προκέφαλον ἔπος τὸ ἐκ δυοῖν μακρῶν συλλαβῶν εἰς μίαν συνιζανουσῶν ἀρχόμενον, οἷον τὸ, ἢ οὐχ᾽ ἅλις ὅττι γυναῖκας ἀναλκίδας ἠπεροπεύεις, Ἰλ. ε΄, 349. 25, 27. 80, 43. 554, 37.

πρόκλαστον ἔπος, τὸ καὶ λαγαρὸν καὶ σφηκῶδες, οἷον τὸ, βῆν εἰς Αἰόλου κλυτὰ δώματα, Ὀδ. κ΄, 60. 1647, 29.

πρόκλυτα ἔπεα, ἤγουν προηκουσμέναι ἱστορίαι. 1203, 44.

Πρόκνη καὶ Φιλομήλα, Πανδίονος θυγατέρες, καὶ μῦθος διεξοδικὸς περὶ τῆς μεταμορφώσεως αὐτῶν, τῆς μὲν εἰς χελιδόνα, τῆς δὲ εἰς ἀηδόνα. 1875, 3. 11.

πρόκνις διὰ τοῦ ν̄, ὅτι εἶδός τι ἰσχάδων οὕτω λέγεται. 1688, 30.

προκοίλιον ἔπος ὅτι ἀντίκειται τῷ λαγαρῷ. 12, 34. 641, 30. 1647, 26. καὶ ὅτι τὰ προκοίλια διὰ συνιζήσεως θεραπεύονται. 52, 8.

προκόμιον τὸ πρὸς τῷ μετώπῳ ἄκρον τῆς κεφαλῆς τῶν ἵππων. 700, 52.

Πρόκρις, Ἐρεχθέως θυγάτηρ, γυνὴ κεφάλου τοῦ Δηιονέως, ὑπὸ τοῦ ἀνδρὸς ἀκουσίως ἀναιρεθεῖσα ἱστορία· καὶ ἄλλα τινὰ περὶ αὐτῆς· καὶ ὅτι παρὰ τὸ προκεχρίσθαι λέγεται τοὔνομα· καὶ παροιμία, Πρόκριδος ἄκων, ἐπὶ τῶν εὐστόχως ἀκοντιζόντων. 1688, 20—30.

πρόκροσσαι νῆες αἱ κλιμακηδὸν ἄλλαι ἐπ᾽ ἄλλαις ὡρμισμέναι, ἢ νενεωλκημέναι θεατροειδῶς, παρὰ τὰς κρώσσας, ὃ δηλοῖ τειχομάχους κλίμακας, ἑρμηνεία διεξοδική. 965, 36. καὶ ὅτι πρόκροσσοι λέγονταί τινες φέρεσθαι ἐπὶ τὸν κίνδυνον, ἤγουν βαθμηδὸν εἴτουν κλιμακηδὸν καὶ κατὰ στίχας. 903, 30.

προλελεγμένοι, ἤγουν ἐπιλέγδην προτεταγμένοι. 955, 7.

προμάχεσθαι τὸ πρὸ τῶν ἄλλων μάχεσθαι. 1110, 44. 46. καὶ ὅτι τὸ προμάχεσθαι κατὰ μόνας λεγόμενον ἐλλιπῶς ἔχει, πρὸ δὲ φίλων ἢ πατρίδος ἢ τέκνων μάχεσθαι ἐντελῶς. 484, 6.
πρόμαχος ὁ πρὸ τινῶν ἢ ὑπὲρ τινῶν μαχόμενος. 698, 14. 1110, 44.
Προμηθεὺς ὅτι ἐκ τοῦ μήδω τροπῇ τοῦ δ̄ εἰς θ̄ λέγεται. 117, 19. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ μήθω, ὃ παρὰ τὸ μῶ, ὅ ἐστι ζητῶ, παρῆκται. 1436, 64. καὶ ὅτι παρθένιος υἱὸς τῆς Ἥρας ἐξ Εὐρυμέδοντος ἑνὸς τῶν Τιτάνων μυθεύεται ὁ Προμηθεὺς, ἱστορία μυθική.
προμιγῆναι γυναικὶ τὸ πρότερον ἄλλου τινὸς συνελθεῖν. 762, 48.
προμνηστῖνοι λέγονται πορεύεσθαι οἱ κατὰ στίχον καὶ καθ' ἕνα καὶ μὴ ἀθρόοι κατὰ στίφος προϊόντες, ἀλλ' ἀλλήλοις προμένοντες, οἱονεὶ προμενετῖνοι συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ̄. 1680, 52. 1907, 18.
πρόμος ὅτι ἐκ τοῦ πρόμαχος κατὰ συγκοπὴν λέγεται, ἢ ἐκ τῆς πρὸ προθέσεως καὶ τοῦ μῶ τὸ προθυμοῦμαι. 663, 12.
προνεύειν, ὅτι καὶ οἱ ἐρέται προνεύειν λέγονται ἐν τῷ ἐρέσσειν. 1641, 5.
προνόησαν ἀντὶ τοῦ προενόησαν, ἤγουν προῄσθοντο καὶ προέγνων. 1160, 28.
πρόνοια ἡ τὰ πρόσω ὁρῶσα δύναμις. 1141, 58. καὶ πρόνοια Ἀθηνᾶ ἐν Δελφοῖς. 83, 43.
προνομαία ἡ τοῦ ἐλέφαντος προνόμη εἴτουν προβοσκίς. 84, 2. 1205, 63.
προνώπιον ὅτι ἐκ τοῦ προενώπιον λέγεται ἀποβολῇ τοῦ ε̄. 82, 36. 312, 15.
πρὸξ προκὸς ἢ ἔλαφος, καὶ ὅτι πρὸξ ἐπωνομάσθη τις διὰ δειλίαν. 711, 40. ἀλλαχοῦ δὲ ὅτι πρὸξ προκὸς εἶδος δορκάδος ἢ τὸ τῆς ἐλάφου νεογνὸν, παρὰ τὸ προκίειν ἢ προΐξεσθαι. 1821, 22.
πρόξενος ὁ ὅλης τινὸς πόλεως ξένος, καὶ ὅτι ὑπὸ τῶν ἀρχόντων ἢ τῶν δήμων ἐχειροτονοῦντο οἱ πρόξενοι. 405, 36. ἀλλαχοῦ δὲ ὅτι πρόξενος ὁ ὑπὸ πόλεώς τινος κατασταθεὶς προΐστασθαι τινῶν ξένων. 485, 15.
προξενῶ ῥῆμα ὅτι γενικῇ ἐκ δευτέρου συντάσσεται. 405, 14.
προόδων ὁ ἐξωτέρω τοῦ δέοντος ἔχων τοὺς ὀδόντας. 854, 14. 1872, 33.
προοίμια ἀπὸ καιροῦ λέγονται τὰ ἐκ τῶν παρὰ πόδας ἀφορμῶν λαμβανόμενα. 1388, 61.
προοίμιον ὅτι παρὰ τὴν οἴμην, ὃ δηλοῖ τὴν διήγησιν, λέγεται. 1586, 45. ζήτει τὸ οἴμη.
πρόπαλαι, τὸ λαι βραχύ. 1058, 8.
πρόπαν ἦμαρ, ὅτι διὰ τοῦ, ἐς ἠέλιον καταδύντα, ἑρμηνεύεται Ἰλ. α', 601. 161, 9.
πρόπαππος οὐ λέγεται, ἐπίπαππος δὲ μᾶλλον. 971, 23.
προπαροξυνόμενά τινα Ἀττικῶς, ἃ κοινῶς ὀξύνονται, οἷον βδέλυρος καὶ πόνηρος ἀντὶ τοῦ βδελυρὸς καὶ πονηρός. 341, 12. καὶ ὅτι καὶ τὰ μακροκατάληκτα προπαροξύνονται παρὰ τοῖς Ἀττικοῖς, οἷον Μενέλεως, πόλεως, ὄφεως. 980, 51.
προπαροξύτονοι λέξεις ἐν τέλει ἐπῶν κείμεναι ὅτι εἰς κακίαν ἔπους λογίζονται. 354, 1.
προπάσας, ὅτι ἐν τῷ, νῆάς τε προπάσας, Ἰλ. β', 493. τὸ διόλου σημαίνει ἡ πρόθεσις. 261, 42.
προπερισπώμενά τινα Ἀττικῶς, ἃ κοινῶς προπαροξύνονται, οἷον τροπαῖον καὶ ἐρῆμος καὶ ἑτοῖμος ἀντὶ τοῦ τρόπαιον καὶ ἔρημος καὶ ἕτοιμος. 341, 12.
προπερισπώμεναι ῥηματικαὶ φωναὶ ὅτι ὅταν συντεθῶσιν ἐπὶ τῆς αὐτῆς ὡς ἐπὶ τὸ πλεῖστον φυλάττουσι τὸν τόνον, οἷον εἶχε κατεῖχεν, εὗρεν ἐφεῦρεν. 149, 45.
προπεσεῖν ἀντὶ τοῦ σπουδαίως ἐπικύψαι πράξει τινί. 1639, 52.
προπέτης ὁ προπετόμενος, προπετὴς δὲ ὁ θρασὺς καὶ ἰταμός. 899, 57.
προπέφανται, ἤγουν προφανῆ εἰσὶν ἐν τῷ, τὰ δὲ προπέφανται ἅπαντα, Ἰλ. ξ', 332. 989, 63.
προπίνειν κυρίως τὸ πρὸ ἑαυτοῦ πίνειν διδόναι τινὶ, ὅτε καὶ τὸ ποτήριον εἰώθεσαν χαρίζεσθαι. 1732, 36.
προπίπτειν ἀντὶ τοῦ προνεύειν, ὅτι καὶ περὶ ἐρεσσόντων λέγεται. 1641, 5.
πρόπολος ὁ ἄῤῥην δοῦλος, ἀμφίπολος δὲ ἡ δούλη, καὶ ὅτι καὶ αἱ ἐλεύθεραι ἀμφίπολοι λέγονται. 394, 31. 1400, 57. ἀλλαχοῦ δὲ ὅτι πρόπολος ἡ προπορευομένη τῆς δεσποίνης θεράπαινα, ἀμφίπολος δὲ ἡ περὶ τὴν δέσποιναν πολουμένη· καὶ ὅτι καὶ ἀρσενικῶς ὁ πρόπολος λέγεται. 1090, 57. καὶ πάλιν ὅτι πρόπολος καὶ πρόσπολος ἐπὶ τοῦ αὐτοῦ, καὶ ὅτι οὐκ ἀεὶ δοῦλον σημαίνουσιν· καὶ πρόπολος ὁ ἁπλῶς προοδεύων τινὸς εἰς χειραγωγίαν ὁδοῦ. 642, 36. 1560, 14.
προπρηνὲς σκῆπτρον τὸ ἐπὶ τὰ πρόσω κλινόμενον. 407, 31. καὶ προπρηνέϊ ξίφει τύψαι, Ὀδ. χ', 98. ἀντὶ τοῦ καταφερῆ πληγὴν ἐπενεγκεῖν. 1920, 45.
προπροκυλινδόμενος ἀντὶ τοῦ ἱκετευτικῶς ἐκ τόπου εἰς τόπον ἐρχόμενος, ὅτι ἡ τῆς προθέσεως ἐπαναφορὰ ἐπίτασιν ὑπαγορεύει τοῦ κυλίνδεσθαι ἱκετευτικῶς. 1830, 53. 62.
προρέειν ὅτι φύσει μὲν δι' ἑνὸς ρ̄ γράφεται, προῤῥέειν δὲ δυσὶν Ἀττικῶς. 889, 55. ἀλλαχοῦ δὲ ὅτι προρέειν ἑνὶ ρ̄ διὰ τὸ μέτρον γράφεται ἐν τῷ, τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι ὀχλεῦνται, Ἰλ. φ', 260. 1235, 62.
πρόῤῥιζα πίπτειν λέγονται τὰ δένδρα ἀντὶ τοῦ σύῤῥιζα. 838, 7.
πρὸς πρόθεσις, ὅτι ἡ αὐτὴ καὶ ποτὶ καὶ προτὶ λέγεται· καὶ ὅτι ἐν συνθέσει ἐκθλίβει τὸ τῆς ἐπεκτάσεως ἰῶτα, οἷον ἐν τῷ πόταγε ἀντὶ τοῦ πρόσαγε. 1106, 20. 27.
πρὸς πρόθεσις γενικῇ ὅτι διαφορά τινα σημαίνει, οἷον πρὸς ἄλλης ἱστὸν ὑφαίνοις, Ἰλ. ζ', 456. ἀντὶ τοῦ ὑπ' ἄλλης προστασσομένη δηλαδή· καὶ πρὸς σοῦ εἰμὶ, ἀντὶ ὑπὲρ σοῦ· καὶ δυσωπητικῶς ἢ παρακλητικῶς, οἷον πρὸς Διὸς καὶ πρὸς θεῶν, ἑρμηνεία διεξοδική· καὶ ὅτι τὸ πρὸς θεῶν καὶ ἀνθρώπων ἀντὶ τοῦ ἐνώπιον ἀκούεται, Ἰλ. α', 339. 114, 21—26. 654, 3—8.
πρὸς γενικῇ ἐλλειπτικῶς τοῦ παρα-

καλῶ ἢ ἱκετεύω, οἷον πρὸς Διὸς, πρὸς τῶν λόγων, πρὸς τῆς φιλίας. 1036, 37.

πρὸς πρόθεσις γενικῇ τοπικῶς, οἷον πρὸς ἁλὸς, ἤγουν ἐγγὺς ἁλὸς ἢ πρὸς τῷ μέρει τῆς ἁλός. 816, 15.

πρὸς πρόθεσις γενικῇ ἐλλιπῶς αἰτιατικῆς ἐκ τρίτου ἐν τῷ, πρὸς Βορέαο καὶ πρὸς Νότου, Ὀδ. ν', 110. ὑπακουομένου τοῦ μέρος, ἵν' ᾖ πρὸς τὸ μέρος τοῦ Βορέου καὶ τοῦ Νότου. 1735, 58.

πρὸς πρόθεσις ὅτι ἐγγύτητα δηλοῖ ἐν τῷ προσίσχειν. 10, 36. 1773, 37.

πρὸς πρόθεσις ἀντὶ τῆς ἐκ ἐν τῷ, ξεῖνος δ' οὐκ οἶδ' ὅστις ἀλώμενος ἵκετ' ἐμὸν δῶ ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων, Ὀδ. θ', 28 sq. 1584, 28.

πρὸς δαίμονα φωτὶ μάχεσθαι, Ἰλ. ρ', 98. ἀντὶ τοῦ διὰ μέσου ἀνδρὸς θεοφιλοῦς θεομαχεῖν. 1097, 6.

πρὸς δαίμονος, ἀντὶ τοῦ μὰ τὸν θεὸν ἢ ἔμπροσθεν τοῦ θεοῦ, καὶ ὀμόσαι πρὸς δαίμονος κατὰ συνθήκην. 1179, 14.

πρὸς δύο οὐδὲ Ἡρακλῆς, ὅτι ἐκ τοῦ πρὸς τοὺς Ἀκτορίδας ἀγῶνος τοῦ Ἡρακλέους ὥρμηται ἡ παροιμία, ἱστορία διεξοδική. 882, 35.

πρὸς ἑαυτῷ λαμβάνειν, ἀντὶ τοῦ ἀσπάζεσθαι, ὅ ἐστι πρὸς ἑαυτῶν σπᾶσθαι, σύνταξις. 1249, 34.

πρὸς κύματα λαλεῖν, παροιμιακῶς ἀντὶ τοῦ πρὸς δυσπειθῆ ἄνθρωπον. 1622, 43.

πρὸς ὄνομα εἰπεῖν, ἀντὶ τοῦ ἐξ ὀνόματος καταλέξαι. 410, 5.

πρὸς τι ὀνομάτων ἀντίθεσις, ὅτι τοῖς ἀμείβουσι καλουμέναις δοκοῖς εἰκάζονται. 1320, 20.

πρὸς Τρώων, ἤγουν ἔμπροσθεν τῶν Τρώων ἐν τῷ, ἀλλὰ πρὸς Τρώων καὶ Τρωιάδων κλέος εἶναι, Ἰλ. χ', 514. 1283, 60.

προσάγειν ἐν ἴσῳ τῷ προσφέρειν. 57, 24.

προσανεσπάσθησαν κλίμακες ἤγουν ὑψώθησαν κτισθεῖσαι ἐκ τοῦ ἀνασπᾶν ὃ δηλοῖ τὸ εἰς τὸ ἄνω ἕλκειν. 679, 62.

προσάπτειν τινὶ αἰτίασιν, ἀντὶ τοῦ προσκολλᾶν, καὶ προσάπτεσθαι λέγεται ἡ αἰτίασις ἀντὶ τοῦ προσκολλᾶσθαι. 1341, 41.

προσαρήρεται, τρίτον πρόσωπον παθητικὸν τοῦ ἀρήρω θέματος, ὃ ἐκ τοῦ ἄρηρα παρακειμένου ἀναδραμόντος εἰς ἐνεστῶτα γέγονε. 1869, 34.

πρόσαρμα ἡ τροφὴ, παρὰ τὸ ἀρηρέναι, ἤγουν προσπεφυκέναι, τῷ σώματι. 641, 18. 738, 39.

προσβάλλειν τείχει ἀντὶ τοῦ ἐπιτίθεσθαι, καὶ προσβολὴ ἡ τοιαύτη ἐπίθεσις. 617, 9. 1405, 59.

πρόσειλον χωρίον τὸ πρὸς μεσημβρίαν τετραμμένον, ὅτι παρὰ τὴν εἵλην λέγεται. 1573, 45.

προσειπεῖν ἀντὶ τοῦ ἁπλῶς καλέσαι ἐνίοτε παρ' Ὁμήρῳ. 865, 46.

προσέληνοι οἱ Ἀρκάδες ὡς προγενέστεροι τῆς σελήνης. 300, 24.

προσέπλαζεν ἀντὶ τοῦ προσεπέλαζεν, ὅθεν καὶ λέγεται κατὰ συγκοπήν. 1701, 24.

προσεπατταλευμένος ἀντὶ τοῦ προσπεπατταλευμένος κατ' ἀναύξησιαν Ἀττικῶς. 759, 49.

προσερύγοι, τρίτον πρόσωπον ἀορίστου δευτέρου εὐκτικοῦ ἐκ τοῦ ἐρεύγω θέματος. 1106, 56.

προσηγορικά τινα ἀντὶ τῶν ἐξ αὐτῶν παρηγμένων κτητικῶν, οἷον Ἕλλην στρατὸς ἀντὶ τοῦ Ἑλληνικός. 775, 1.

προσηγορικὰ ἑνικῶς ἐσχηματισμένα ὑπὸ πληθυντικῶν ἄρθρων ἀναφερόμενα, οἷον ἐν τῷ, μή τις Ἀχαιῶν ἐνθάδ' ἐπιλήθησι βουληφόρος, οἵ τέμοι αἰεὶ βουλὰς βουλεύουσι παρήμενοι, Ἰλ. ω', 650 sq. 1370, 18.

προσηνὴς ὅτι ἐκ τοῦ ἠΰς, ὅ ἐστιν ἀγαθὸς, λέγεται καὶ δηλοῖ τὸν πρὸς τῇ ἀγαθότητι ὄντα, ἐτυμολογικῶς. 1102, 42.

πρόσθ' ὁρᾶν θάνατον, παρ' Ὁμήρῳ ἐν ἴσῳ τῷ παρὰ τοῖς ὕστερον, πρὸ ὀφθαλμῶν ὁρᾶν θάνατον. 1217, 51.

πρόσθε βαλεῖν ἵππους, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐπιτυχῶς ἔμπροσθεν ἀγαγεῖν, τουτέστι παραδραμεῖν τινὰ ἐν ἱππικῷ ἀγῶνι. 1316, 53. καὶ πλήθει πρόσθε βάλοντες, Ἰλ. ψ', 639. ἀντὶ τοῦ νικήσαντες τῷ πλήθει, ἑρμηνεία διεξοδική. 1321, 27.

πρόσθεν χρονικῶς λαμβανόμενον ἐν τῷ, ῥῆξε δέ οἱ ἀμφὶ χιτῶνα χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον, Ἰλ. ν', 440. 941, 19. καὶ πρόσθεν ἀντὶ τοῦ πρὸ ὀλίγου καὶ ὡς εἰπεῖν ἐγγὺς ἐν τῷ, ἡ γάρ μιν πρόσθεν ὄπωπα, Ὀδ. ρ', 371. ὅτι ἐκ τῆς πρὸ προθέσεως γέγονε. 1824, 18. καὶ ὅτι πρόσθεν μὲν εἶναι λέγονται τὰ πρὸ ὀφθαλμῶν καὶ ἐνεστῶτα, ὄπισθεν δὲ τὰ μέλλοντα. 1066, 9.

πρόσθεν τινὸς μάχεσθαι, ἀντὶ τοῦ προμάχεσθαι εἴτουν προμαχεῖν τινός. 1055, 62.

προσίσχειν ὅτι ἀντίκειται τῷ ἀπέχειν, καὶ ὅτι ἡ πρὸς ἐγγύτητα ὑπαγορεύει. 1773, 37.

προσκεῖσθαι λέγονται ὦτα ἀγγείῳ ἢ σκεύει τινὶ διὰ τὸ μὴ σύμφυτα ἀλλὰ πρόσθετα εἶναι. 1148, 54.

προσκεφαλάδιον ὅτι ἐκ τοῦ προσκεφάλαιον ὑποκεκόρισται. 1552, 31.

προσκεφάλαιον, πεντάκλινόν τι οἴκημα τοῦ Περσῶν βασιλέως, ἐν ᾧ διαπαντὸς πεντακισχίλια τάλαντα ἔκειντο ἀργυρίου. 1484, 14.

προσκηδὴς ὁ κηδεμονικὸς καὶ φροντιστικὸς καὶ ἔμφροντις, ἀπεναντίας τῷ ἀκηδής. 1900, 33.

πρόσκομμα λέγεταί τις παθεῖν περὶ τοὺς πόδας, ὑπώπια δὲ περὶ τοὺς ὀφθαλμούς. 914, 43.

προσκόπτειν τὸ σφάλλεσθαι τοῖς ποσί. 1591, 1.

προσκυνεῖν ὅτι παρὰ τὸ κύειν, ὅ ἐστι φιλεῖν, λέγεται. 1546, 15.

προσμάσσειν κηλῖδα ἀντὶ τοῦ κολλᾶν καὶ ἐντήκειν. 1215, 26.

προσοχθίζειν καὶ προσόχθισμα, ζήτει ἐν τῷ ὄχθος. 143, 18.

προσόψημα τὸ προσφάγιον. 867, 54.

προσπελάται, δοῦλοι τινὲς Ἀρκάδων οὕτω καλούμενοι, ὅτι τριάκοντα μυριάδες ἦσαν ποτέ. 1090, 59.

προσπεφυκέναι ἀντὶ τοῦ ἐμπεφυκέναι καὶ ἐμπλακῆναι. 1346, 2. ἀλλαχοῦ δὲ ὅτι τὸ προσπεφυκέναι πλέον τι πίεσμα δηλοῖ τοῦ ἐμπεφυκέναι. 1729, 44.

προσπίπτειν ἀντὶ τοῦ γουνάζεσθαι. 865, 60.

προσπλάζειν ἀντὶ τοῦ προσπελάζειν ἐν τῷ. πρόσπλαζε γενείῳ, Ὀδ. λ', 583. 1701, 24.

πρόσπολος, σύστοιχον ὄνομα τῷ πρόπολος καὶ ἀμφίπολος. 394, 28. 642, 33. 1560, 14. ζήτει τὸ πρόπολος.

προσπτύσσεσθαι ἀντὶ τοῦ ὁμιλεῖν καὶ προσειπεῖν εἴτουν προσαγορεύειν. 1454, 61. 1830, 14. ἀλλαχοῦ δὲ ὅτι προσπτύσσεσθαι τὸ φιλοφρονεῖσθαι, ἢ φιλοτιμεῖσθαι. 1606, 25. καὶ πάλιν προσπτύσσεσθαι τὸ φιλεῖν καὶ σωματικῶς περιπλέκεσθαι, καὶ προσπτύσσεσθαι μύθῳ τὸ λόγοις συμπλέκεσθαι καὶ διαδικάζεσθαι ἢ ὁμιλεῖν τὰ πρὸς πειθώ. 1434, 56. 1513, 1.

προστακτικὰ ῥήματα ὅτι οὐκ ἀεὶ ὑπεροχὴν τοῦ προφέροντος αὐτὰ προσώπου κατηγοροῦσιν, ἀλλ' ἁπλῶς προτροπὴν καὶ παρακέλευσιν ὑπαγορεύουσιν, ἑρμηνεία διεξοδική. 10, 31.

προστακτικά τινα μονοσύλλαβα, οἷον τῆ, ζῆ, δρᾶ. 1606, 22.

προστακτικά τινα εἰς ε̄ λήγοντα μεταπλαττόμενα εἰς θι̅, οἷον κλύε κλῦθι, δύε δῦθι. 33, 4.

προστακτικά τινα δισύλλαβα εἰς ε̄ λήγοντα χρόνου ἀορίστου δευτέρου ὀξυνόμενα Ἀττικῶς, οἷον ἰδὲ, λαβὲ, εἰπὲ, ἐλθὲ, εὑρέ. 341, 21.

προστακτικὰ βραχυκατάληκτα ὅτι ὅταν συντεθῶσιν ἀναβιβάζουσι τὸν τόνον, οἷον ἧσο κάθησο, λέγε κατάλεγε. 149, 43.

προστακτικὰ εἰς σο λήγοντα ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ σχηματιζόμενα, οἷον ἐδεικνύμην ἐδείκνυσο, τὸ προστακτικὸν δείκνυσο. 1641, 41.

προστακτικὰ μέσου ἀορίστου πρώτου ὅτι συνηθέστερά εἰσι τῶν τοῦ ἐνεργητικοῦ, οἷον τὸ ἀνάτειλαι τοῦ ἀνάτειλον, καὶ τὸ νεῖμαι τοῦ νεῖμον. 1576, 17.

προστάσσειν τὸ πρός τινι ἤγουν ἐγγύς τινος ἐνεργείας ἢ ἄλλου τινὸς, οὗ πρὶν ἀπεῖχε, τάσσειν τινά. 10, 36.

προστατεῖν τὸ πρὸ τινὸς ἵστασθαι ἐπὶ βοηθείᾳ. 458, 2.

προστῆσαι τινὰ εἰς μονομαχίαν, Ἰλ. δ', 156. ἀντὶ τοῦ ἐναγαγεῖν καὶ ὡς ἱερεῖον εἰς σφαγὴν προπέμψαι. 457, 46. 458, 9.

προστιθέναι ἀντὶ τοῦ ἐπιτιθέναι περὶ θυρεοῦ λεγόμενον Ὀδ. ι', 305. 1631, 1.

προστρόπαιος Ζεὺς, ᾧ οἱ δεόμενοι προστρέπονται, καὶ προστρόπαιος ἱκέτης ὁ πρός τινα δεητικῶς τρεπόμενος. 1807, 11.

πρόσφατον τὸ ὑπόγυιον καὶ προσεχῶς φανὲν ἢ φατὸν, ἤγουν περὶ οὗ ἐγγὺς καὶ προσεχῶς ἐλέγετό τι, ὅτι ἐκ τῆς πρὸς προθέσεως καὶ τοῦ φατὸν σύγκειται τοὔνομα. 1374, 23. 1489, 61. ἀλλαχοῦ δὲ ὅτι πρόσφατον κρέας παρὰ τὸ φάσαι, ἤγουν φονεῦσαι, λέγεται. 1827, 63.

πρόσφατος νεκρὸς ὁ ἐγγὺς ἤγουν νεωστὶ πεφονευμένος, παρὰ τὸ φάζω, ὃ ἐκ τοῦ φῶ παρήχθη· καὶ πρόσφατος ὁ πρὸ ὀλίγου φατὸς, ὅ ἐστι λεκτὸς, λόγος. 564, 10. 1374, 23. 1728, 14. 18.

προσφιλοῦντες, δοκοί τινες, οἱ καὶ ἀμείβοντες λεγόμενοι παρ' Ὁμήρῳ. 1327, 1.

προσφυὴς ἀντὶ τοῦ προσπεφυκὼς καὶ ἡνωμένος ἐν τῷ, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκε προσφυέ' ἐξ αὐτῆς, Ὀδ. τ', 58. 1855, 16.

προσφὺς ὅτι πλέον τι πίεσμα δηλοῖ ἢ τὸ ἐμφύς. 1729, 44.

προσφῦσα ἀντὶ τοῦ ἐμφῦσα καὶ ἐμπλακεῖσα. 1346, 2.

προσφωνεῖν τινὰ τὸ λόγῳ προφορικῷ προσειπεῖν τινὰ, ὅθεν καὶ λόγοι προσφωνητικοί. 1639, 8. καὶ ὅτι τὸ προσφωνεῖν πλατύτερόν τι τοῦ ἐρωτᾶν, καὶ ἡ προσφώνησις τῆς ἐρωτήσεως. 722, 54.

προσφωνήσεων τινῶν ὑποκοριστικῶν ἔκθεσις, οἷον πάππα, μάμμα, ἄττα. 1118, 9.

προσχεῖν καὶ προσίσχειν λιμένι τὸ ἐλλιμενίσαι. 1629, 18.

πρόσχημα τῆς Ἑλλάδος, ὅτι οὕτως εὕρηνται λεγόμεναι πόλεις τινὲς ἐπιθετικῶς ἐν ἐγκωμίου λόγῳ, ἤγουν πρόβλημα καὶ προενώπιον. 312, 12.

πρόσω ἐπίρρημα ὅτι ἐκ τῆς πρὸς προθέσεως λέγεται, ἀφ' οὗ τὸ πόῤῥω μεταθέσει καὶ τροπῇ. 166, 30. καὶ ὅτι πρόσω εἶναι λέγονται παρ' Ὁμήρῳ τὰ παρελθόντα καὶ τὰ πρὸ ὀφθαλμῶν, ὀπίσω δὲ τὰ μέλλοντα· καὶ ὅτι πρόσω καὶ ὀπίσω ὁρᾶν λέγεται ὁ μαντικὸς καὶ συνετὸς ἄνθρωπος. 115, 9. 389, 2. 12. 1141, 58. 1142, 2.

προσῳδία διάφορος τῆς αὐτῆς φωνῆς πρὸς διαφορὰν σημασίας, οἷον βίος βιὸς, καὶ καιρὸς καῖρος, καὶ κατάλογος τῶν πρὸς διαφορὰν σημασίας διαφόρως τονουμένων λέξεων. 41, 1. 156, 39.

προσῳδία Ἀττικῶν ὀνομάτων διαφέρουσα ἐπὶ πολλῶν τῆς κοινῆς συνηθείας, οἷον τροπαῖον ἀντὶ τοῦ τρόπαιον, καὶ ἰδὲ καὶ λαβὲ ἀντὶ τοῦ ἴδε καὶ λάβε. 341, 12. 21.

προσῳδίας μεταβολὴ ἐν ὀνόμασι δι' ἔκπτωσιν τοῦ ῑ κατὰ τὴν παραγωγὴν, οἷον χροιὰ χρόα, ῥοιὰ ῥόα, δειρὴ δέρη. 94, 2.

πρόσωνται, ἤγουν προσδέξωνται, ἀπὸ τοῦ προσίεμαι. 1741, 30.

πρόσωπα νεῶν τροπικῶς τὰ ἐμπρόσθια αὐτῶν μέρη. 308, 21.

προσώπασιν ἀντὶ τοῦ προσώποις κατὰ μεταπλασμόν. 677, 10. 21.

πρόσωπον τὸ πρὸς τοῖς ὠψὶ ἤγουν ὀφθαλμοῖς, ὡς καὶ μέτωπον τὸ μετὰ τοὺς ὦπας. 397, 39. 1426, 54. καὶ ὅτι πρόσωπα πληθυντικῶς ἀντὶ τοῦ πρόσωπον λέγεται παρ' Ὁμήρῳ πρὸς ἔμφασίν τινα, ἑρμηνεία διεξοδική. 676, 57. καὶ ὅτι πρόσωπον μὲν τὸ τῶν ἀνθρώπων λέγεται, ῥύγχος δὲ τῶν τετραπόδων, ῥάμφος δὲ τῶν ὀρνέων. 1586, 62. 1842, 63. καὶ ὅτι καὶ πρόσωπος ἀρσενικῶς ἀντὶ τοῦ πρόσωπον εὕρηται λεγόμενον παρά τινι κωμικῷ. 677, 29. 1627, 45. 1761, 37. καὶ ὅτι ἐκ τοῦ προσώπου ὕστατον ἀναχωρεῖ τὸ πνεῦμα ἐν τῷ ἀποθνήσκειν τὸν ἄνθρωπον. 1090, 30.

προσώπου εἰσήγησις δραματικὴ παρ' Ὁμήρῳ ὅτι μετὰ γενεαλογίας καὶ τινὸς συστάσεως γίνεται τὸ πρῶτον. 95, 29. καὶ περὶ τῆς εἰσηγήσεως κωφῶν εἴτουν σιγώντων τινῶν προσώπων παρ' Ὁμήρῳ. 111, 46.

προσώπου κατὰ τὸν λόγον μετά-

βασις ἀπὸ δευτέρου εἰς τρίτον, οἷον· ὦ φίλοι — οἵ παρ' Ἀτρείδαις δήμια πίνουσιν, Ἰλιάδ. ρ', 248 sq. 1105, 27.

προσώπων ὁμοφωνία, ζήτει ἐν τῷ, ὁμοφωνία προσώπων. 50, 34.

προταμεῖν δένδρον, ζήτει ἐν τῷ ὑποταμεῖν. 1944, 51.

προταμέσθαι ἀντὶ τοῦ προκόψαι καὶ προσβαλέσθαι περὶ ἀροτριώντων ἐν τῷ, τῷ κέ μ' ἴδοις εἰ ὦλκα διηνεκέα προταμοίμην, Ὀδ. σ', 375. 1852, 2.

προτέλεια ἡ πρὸ τῶν γάμων θέα. 881, 31.

προτένθης ὁ προγεύστης καὶ ὁ λίχνος, ὅτι παρὰ τὸ τένδειν, ἤγουν ἐσθίειν, λέγεται τροπῇ τοῦ δ εἰς θ. 720, 19. 773, 39. 1874, 32.

προτέρα ἡ χθεσινὴ ἡμέρα, Ὀδ. π', 50. ἣ καὶ προτεραία λέγεται. 1793, 64.

προτεραία ἡ τῆς ἑκάστοτε ἐνεστώσης προλαβοῦσα ἡμέρα. 960, 31.

προτεραίτερος ἀντὶ τοῦ πρότερος κατὰ διπλῆν σύγκρισιν παρὰ τοῖς κωμικοῖς. 215, 14.

πρότεροι πόδες, ἐπὶ μὲν τετραπόδων οἱ πρόσθιοι, ἐπὶ δὲ ἀνθρώπων τὸ πρόσθιον μέρος τῶν ποδῶν. 1863, 40.

πρότερον δοτικῇ συντασσόμενον ἀντιπτωτικῶς, οἷον ἐν τῷ, μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρον ἀμπέλω. 1163, 10.

προτέρω ἀντὶ τοῦ προσωτέρω ἢ περαιτέρω πολλαχοῦ παρ' Ὁμήρῳ. 593, 17. 1148, 61. καὶ προτέρω πολίων ἀντὶ τοῦ προσωτέρω τῶν πόλεων, Ἰλ. γ', 400. ἢ προτέρων πολίων ἀντὶ τοῦ τῶν προσωτέρω πόλεων. 429, 10.

προτέρῳ ἤματι, ἀντὶ τοῦ χθὲς παρ' Ὁμήρῳ. 1219, 38.

προτετύχθαι παρ' Ὁμήρῳ ἀντὶ τοῦ προγενέσθαι κατὰ χρονικὴν πρόληψιν. 1160, 25.

προτὶ, πρόθεσις ποιητική, ὅτι ἐκθλίβει ποτὲ τὸ ληκτικὸν ι ἐν συνθέσει προτασσομένη, ὡς καὶ ἡ ποτί. 684, 16. ζήτει τὸ ποτί.

προτὶ οἷ, ἤγουν πρὸς ἑαυτῷ. 1249, 26. 1963, 4.

προτιάπτω, προσάπτω, προσκολλῶ. 1341, 41.

προτιβάλλεαι ἀντὶ τοῦ προσβάλλῃ, ὅ ἐστιν ἐπιπλήττεις, Ἰλ. ε', 879. 617, 8.

προτιόσσεο, ἤγουν πρόσβλεπε, προστακτικὸν τοῦ προτιόσσομαι. 1566, 25.

προτιόσσομαι τὸ προσβλέπω ἢ τὸ οἶδα καὶ μαντεύομαι. 1273, 51. 1566, 25. 1950, 24.

πρότμησις ὁ ὀμφαλὸς παρὰ τὸ προτέμνεσθαι τοῖς βρέφεσιν, ἢ πρότμησις τὸ ἦτρον ἢ ἡ ὀσφύς. 854, 16.

πρότονοι ἢ πρότονα, οὐδετέρως κατὰ γένους μεταπλασμόν, τὰ ἀπὸ τοῦ καρχησίου εἰς πρύμναν καὶ πρῷραν διατείνοντα σχοινία εἰς συνοχὴν τοῦ τῶν νεῶν ἱστοῦ. 130, 43. 1452, 56. 1728, 53.

προτραπέσθαι ἄχεϊ, Ἰλ. ζ', 336. ἀντὶ τοῦ ἐκτροπὴν δοῦναι τῇ λύπῃ. 645, 5.

προτρέπεσθαι λέγεται ὁ Ἥλιος, Ὀδ. λ', 18. ἀντὶ τοῦ ἁπλῶς ἀποκλίνειν ἐν τῷ ὁδεύειν, ἢ ἀντὶ τοῦ κατὰ κέλευσιν ἀκουσίως καταδύεσθαι. 1671, 48. 53.

προτρέπεσθαι τὸ προτροπάδην φεύγειν. 595, 36. ζήτει τὸ προτροπάδην.

προτροπάδην φεύγειν τὸ μηδαμῶς ἐπιστρεφόμενον φεύγειν. 1061, 13.

προτύπτειν τὸ προκρούειν καὶ προεμβάλλειν εἰς πόλεμον. 924, 46. καὶ προτύπτειν δριμὺ μένος ἀνὰ ῥῖνας λέγεται Ὀδ. ω', 319. ἤγουν πρὸ τοῦ ἀκρωτηρίου τῶν ῥινῶν ἐμπίπτειν. 1962, 37.

προὔνεικος ὁ κομίζων μισθοῦ τινὰ ἐξ ἀγροῦ, ὅτι παρὰ τὸ ἐνείκω λέγεται. 983, 48.

προϋργιαίτερος, ὅτι ἐκ τοῦ προϊργότερος τροπῇ τοῦ ο εἰς α καὶ προσλήψει τοῦ ι γίνεται προϋργιαίτερος, καὶ πλεονασμῷ ἑτέρου ι προϋργιαίτερος. 1441, 29. 1905, 36.

προὔχειν ἀντὶ τοῦ προελαύνειν, Ἰλιάδ. ψ', 325. συνήθως δὲ τὸ προὔχειν τὸ ὑπερέχειν, ὅθεν προὔχοντες οἱ ἐν ἀξίαις, καὶ ἀσκοῦ προὔχων πούς, τροπικῶς τὸ ἀνδρεῖον αἰδοῖον· προὔχεσθαι δὲ τὸ προφασίζεσθαι. 1082, 27. 1303, 31. 39.

προΐχεσθαι ἐν ἴσῳ τῷ προΐσχεσθαι, ἤγουν προβάσθαι καὶ προφασίζεσθαι. 1109, 36. 1303, 39.

προὔχοντο ἀντὶ τοῦ παρεῖχον ἢ προεβάλλοντο πρὸ ἑαυτῶν εἰς σφαγήν, ἀνθ' οὗ προΐσχοντο λέγεται παρ' Ἀριστοφάνει. 1454, 10.

προὔχουσαι ἠιόνες αἱ προκείμεναι καὶ προβεβλημέναι. 1555, 51.

πρόφασις ἡ μὴ ἀληθής, ἀλλ' ἐπιπολαία καὶ προβεβλημένη φάσις. 723, 27. 1185, 40.

προφέρειν τὸ προφορικῶς φθέγγεσθαι, καὶ προφέρειν τὸ νικᾶν καὶ τὸ προκόπτειν καὶ προάγειν καὶ προβιβάζειν καὶ τὸ ὀνειδίζειν. 214, 9. καὶ ὅτι προφέρειν τροφὴν τοῖς νεοσσοῖς λέγονται αἱ ὄρνιθες, καὶ ὅτι καὶ προφέρεσθαι κατὰ φωνὴν παθητικὴν Ἀττικῶς λέγεται. 753, 57.

προφέρειν μένος ἀντὶ τοῦ φανεροῦν καὶ διάδηλον ποιεῖν. 819, 23.

προφερέστατος ὁ πρὸ τῶν ἄλλων φερόμενος. 1588, 44.

προφερέστερος ὁ ταχύτερος καὶ πρόσθεν φερόμενος ἐν τῷ ὁδεύειν, καὶ ἁπλῶς ὁ νικητής, παρὰ τὸ προφέρειν. 214, 10. 811, 18.

προφορικὸς λόγος ὁ εἰς φανερὸν προαγόμενος καὶ μὴ κατὰ τὸν ἐνδιάθετον ἀφανής. 214, 9. 819, 24.

προφόωσδε ἀγαγεῖν βρέφος, ἀντὶ τοῦ πρὸ καιροῦ ἐξαγαγεῖν. 1175, 38. ἀλλαχοῦ δὲ ὅτι προφόωσδε ἐξέρχεσθαι λέγεται τὸ γεννώμενον βρέφος, τῆς πρὸ προθέσεως τὴν πρόοδον σημαινούσης. 1054, 5.

πρόφρασσα ἡ προμηθὴς καὶ ὑπέρ τινος φραζομένη, τὸ ἀρσενικὸν ὁ πρόφρων. 805, 39. 53. 1662, 18. ἀλλαχοῦ δὲ πρόφρασσα ἀντὶ τοῦ πρόθυμος ἐν τῷ, πρόφρασσα εὔχεσθαι ἐμὲ νικῆσαι, Ἰλ. φ', 500. ἢ κατὰ πρωτολογίαν. 1248, 63.

προφρονέως ποιητικῶς, ὅτι κοινότερον καὶ ἀναλογώτερον προφρόνως λέγεται. 611, 3.

πρόφρων ὁ ὑπέρ τινος φραζόμενος καὶ φρονῶν, τὸ θηλυκὸν πρόφρασσα. 1662, 17. καὶ πρόφρων ἀντὶ τοῦ ὑπέρφρων, ἤγουν κατα-

φροντικός. 54, 29. 1181, 4. καὶ ὅτι καὶ ἀντὶ τοῦ προφρόνως ἐπιῤῥηματικῶς ἐνίοτε λαμβάνεται. 1104, 6.
πρόφρων θυμὸς ἐπιθετικῶς. 696, 43.
πρόφρων ὑπέδεκτο, ἐθελοντὴς ὑπεδέξατο καὶ ὑπέσχετο. 1451, 33.
προχαίνειν ἴσον τῷ προφάσκειν εἴτουν προφασίζεσθαι. 723, 31. 1109, 40.
προχάνη ἡ πρόφασις μεταληπτικῶς παρὰ τὸ προχαίνειν, ὃ ταὐτὸ δύναται τῷ προφάσκειν, ὅθεν ἡ πρόφασις. 723, 28. 1109, 38. 1778, 21.
πρόχανον, πλέγμα τι κοσκινοειδὲς, ὅτι ἐκ τοῦ πέπλεχα παρακειμένου ἔχει τὸ χ. 1528, 21.
πρόχνυ, ἐπίῤῥημα ποιότητος, καὶ δηλοῖ τὸ ἐπὶ γόνυ, οἱονεὶ προγόνυ καὶ συγκοπῇ καὶ τροπῇ πρόχνυ. 775, 11. ἀλλαχοῦ δὲ ὅτι πρόχνυ ἀντὶ τοῦ παντελῶς καὶ πρόῤῥιζον. 246, 45. 1750, 40.
προχοαὶ ποταμῶν, ὅτι ἐκ τοῦ προχέειν λέγεται. 1233, 36.
προχοΐδιον καὶ προχοίδιον κατὰ συναίρεσιν, ἡ μικρὰ πρόχοος. 1400, 62.
πρόχοος, ἀγγεῖον ἐν ᾧ τὸ κατὰ χειρῶν ὕδωρ ἐτίθετο· καὶ ἁπλῶς πρόχοος ὁ ὑδροχόος ξέστης. 1400, 62. 1401, 4. 1852, 12. καὶ ἀλλαχοῦ πρόχοος παρ' Ὁμήρῳ τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ χέον ἀγγεῖον, λέβης δὲ τὸ τοῦ τοιούτου ὕδατος ὑποδεκτικόν. 1351, 55.
πρόχους, ὅτι ἐκ τοῦ χοῦς, ὃς καὶ χοεὺς λέγεται, σύγκειται τοὔνομα. 1835, 20.
πρυλέες οἱ πεζοὶ ὁπλῖται κατὰ γλῶσσαν, ἀπὸ εὐθείας τῆς πρύλις πρύλεως, ὃ παρὰ τὸ περῶ περύω λέγεται οἱονεὶ πέρυλις· ἀναλογώτερον δὲ τὸ ἀπὸ τῆς πρυλὴς ὀξυτόνου εὐθείας κεκινῆσθαι τὸ πρυλέες πληθυντικόν. 600, 32. 601, 2. 893, 34. 1030, 16.
πρυμνὰ κέρατα αἱ ῥίζαι τῶν κεράτων. 955, 62.
πρύμνα νεὼς ὅτι καὶ πάλαι ἀρχικὸς τόπος καὶ ἐντιμότερος ἐνομίζετο διὰ τὸν κυβερνήτην. 1733, 26.
πρύμνη νεὼς βαρυτόνως πρὸς διαστολὴν τοῦ πρυμνὴ ἐπιθέτου· ζήτει ἐν τῷ, πρυμνὸν τὸ ἔσχατον. 547, 46. 1828, 33. καὶ νηὶ παρὰ πρύμνῃ, Ἰλ. κ', 35. ἀντὶ τοῦ νηὸς παρὰ πρύμνῃ ἀντιπτωτικῶς, ἢ καθ' ὑποβιβασμὸν ἐκ τοῦ ὅλου ἐπὶ τὸ μέρος. 787, 58. καὶ ἐπὶ πρύμνῃσι νέεσσιν, Ἰλ. ξ', 51. ἤγουν ταῖς πρὸς τῇ γῇ τὰς πρύμνας ἐχούσαις. 966, 39.
πρυμνήσια τὰ πρυμνόθεν εἰς γῆν δεσμοῦντα τὰς ναῦς σχοινία. 131, 5. 138, 31. 1452, 27.
πρυμνόθεν τομὴ ἡ πρόῤῥιζος, ζήτει ἐν τῷ, πρυμνὸν τὸ ἔσχατον. 1828, 33.
πρυμνὸν τὸ ἔσχατον μέρος ἢ τὸ κάτω, παρὰ τὸ περῶ περύω, ὅ ἐστι περατῶ, περυμνὸν καὶ συγκοπῇ πρυμνόν· ὅθεν καὶ πρύμνη νεὼς καὶ πρυμνόθεν τομή. 1828, 32.
πρυμνὸν δόρυ ἡ αἰχμὴ τοῦ δόρατος ἐνίοτε παρ' Ὁμήρῳ. 1120, 35.
πρυμνὸν ὄρους τὸ κατωτάτω μέρος, ὅθεν ἡ πρυμνώρεια λέγεται. 987, 48.
πρυμνὸς ὁ ἔσχατος, οἱονεὶ περυμνὸς κατὰ συγκοπὴν ἐκ τοῦ περῶ περύω. 547, 45. 913, 33.
πρυμνότατος νῶτος τὸ ἔσχατον μέρος τοῦ νώτου τὸ πρὸς τῇ κεφαλῇ. 1828, 24.
πρυμνώρεια τὸ πρυμνὸν, ἤγουν τὸ κατωτάτω μέρος, τοῦ ὄρους. 987, 47.
πρῶ μονοσυλλάβως ἐν ἴσῳ τῷ πρωὶ, ὅ ἐστι πρὸ καιροῦ. 1025, 38.
πρῳζὸν ἐν ἴσῳ τῷ πρωιζὸν, ζήτει τὸ πρωιζά. 225, 42.
πρώθηβος, ὁ καὶ πρωθήβης, τὸ θηλυκὸν πρωθήβη. 727, 13. 1428, 20. ὅθεν τὸ, πρωθήβην ἔτ' ἐοῦσαν, κατὰ θηλυκὸν γένος, Ὀδ. α', 431. 1428, 16.
πρωθύστερον σχῆμα, ὅτι ἐκ τοῦ προσενθυμηθῆναί τι καὶ προσεπιβαλεῖν αὐτὸ τῷ λόγῳ γίνεται τὸ πρωθύστερον σχῆμα. 1923, 38.
πρωθυστέρου σχήματος, εἴτουν ὑστερολογίας, παραδείγματά τινα. 80, 16. 97, 44. καὶ πρωθυστέρας διηγήσεως παράδειγμα διεξοδικῶς. 631, 60.
πρωὶ λέγεται ἕως τῆς ἕκτης ὥρας τῆς ἡμέρας. 1142, 51. καὶ ὅτι τὸ πρωὶ καὶ πρῶι προπερισπωμένως εὕρηται λεγόμενον. 1142, 55.
πρωιζὰ ἐπιῤῥηματικῶς, Ἰλ. β', 303. ὅτι παρὰ τὸ πρωὶ λέγεται πρωιζὸν καὶ πρῳζὸν ἐν συναιρέσει μετὰ προσγραφῆς τοῦ ι. 225, 42.
πρωιαίτερος ἐκ τοῦ πρωιότερος τροπῇ τοῦ ο εἰς α καὶ προσλήψει τοῦ ι. 1905, 35.
πρώιον καὶ πρώιμον ὅτι παρὰ τὸ πρωὶ λέγονται. 1025, 37.
πρὼν πρωνὸς, τόπος ὑψηλὸς, ἐκ τῆς προϊὼν μετοχῆς ἀπελεύσει τοῦ ι καὶ κράσει τῶν λοιπῶν φωνηέντων· καὶ ὅτι καὶ πρηὼν λέγεται πλεονασμῷ τοῦ η, καὶ πρώονες πληθυντικῶς πλεονασμῷ τοῦ ο μικροῦ. 729, 37. κατωτέρω δὲ ὅτι παρὰ τὸ πρωὶ λέγεται τοὔνομα. 729, 48. ἀλλαχοῦ δὲ ὅτι πρὼν πρωνὸς, τόπος ὑψηλὸς, παρὰ τὸ πρῶσθαι. 905, 13.
πρώονες ἄκραι αἱ τῶν ὀρῶν ἐξοχαὶ, ἐκ τῆς πρώων εὐθείας συστελλούσης τὸ ω μετὰ τὴν κίνησιν, ὡς τὸ Μαχάων Μαχάονος. 1060, 57. ζήτει τὸ πρὼν πρωνός. ἀλλαχοῦ δὲ ὅτι τὸ πρώονες ἐκ τοῦ πρῶνες γέγονε πλεονάσαντος τοῦ παραληκτικοῦ ο. 729, 36. 39.
πρῶρα, οἱονεὶ προόρα κράσει τῶν δύο ο εἰς ω. 63, 5. 308, 19. 482, 20.
πρωρεὺς ὁ τὰ κατὰ τὴν πρῶραν τῆς νεὼς διοικῶν, κυβερνήτης δὲ ὁ τῶν κατὰ τὴν πρύμναν προϊστάμενος. 1729, 5.
πρῶτα ἀντὶ τοῦ πρῶτον ἐπιῤῥηματικῶς πολλαχοῦ παρ' Ὁμήρῳ. 135, 31. καὶ πρῶτα ἀντὶ τοῦ πρὸ καιροῦ ἐν τῷ, ἦ τ' ἄρα καὶ σοὶ πρῶτα παραστήσεσθαι ἔμελλε Μοῖρ' ὀλοή, Ὀδ. ω', 28. 1952, 20.
πρῶται πύλαι τὰ προπύλαια, ὡς καὶ πρῶται θύραι τὰ πρόθυρα. 720, 46. 1395, 64. ἀλλαχοῦ δὲ ὅτι πρῶται θύραι αἱ αὔλειοι. 1257, 17.
πρωτερικὴ συκῆ ἡ πρώιον καρπὸν φέρουσα, ὅτι παρὰ τὸ πρωὶ λέγεται. 225, 44.
Πρωτεσίλαος ὁ παρ' Ὁμήρῳ ὅτι υἱὸς ἐγένετο Ἰφίκλου τοῦ Φυ-

πτάσθαι λέγεσθαι τροπικῶς κατὰ τὰς τῶν ὀρνέων πτέρυγας. 1352, 36.

πτέρυξ τὸ μέρος, ἐφ' οὗ τὰ πτίλα τῶν ὀρνέων, πτερὰ δὲ τὰ πτίλα. 1352, 46. καὶ ὅτι ἐν τῷ, πτέρυγος λάβεν, 'Ιλ. β', 316. καὶ ἐν τῷ, ὑπὸ πτέρυγος βάλε μέσσην, 'Ιλ. ψ', 875. 'Αρίσταρχος παροξύνει τὸ πτέρυγος ὡς ἀπὸ τῆς πτέρυξ ὀξυτόνου εὐθείας. 1334, 26.

πτέσθαι, ὅθεν τὸ ἐπιπτέσθαι, ἀπαρέμφατον μέσου ἀορίστου δευτέρου. 452, 29. 961, 42. 1419, 48. 1679, 51.

πτηνὸς ὅτι ἐκ τοῦ πετεηνὸς συγκέκοπται. 255, 18. ἀλλαχοῦ δὲ ὅτι ἀπὸ τοῦ πτῶ πτήσω. 1712, 33.

πτήσσω τὸ μετὰ φόβου συστέλλομαι, παρὰ τὸ πτῶ, ὃ ἐκ τοῦ πέτω συγκέκοπται. 135, 33. 1882, 18. ἀλλαχοῦ δὲ ὅτι πτήσσειν παρ' 'Ομήρῳ ἀντὶ τοῦ πτοεῖν καὶ ἐκφοβεῖν ἀλλοπαθῶς, πτώσσειν δὲ τὸ φοβεῖσθαι, ὅθεν ὁ πτὼξ καὶ ὁ πτωχός· ἀπὸ δὲ τοῦ πτήσσειν, ὃ καὶ αὐτὸ συνήθως τὸ φοβεῖσθαι σημαίνει, τὸ κατεπτηχέναι καὶ ὁ κατεπτηχώς. 671, 2. 966, 16. 22.

πτίλα, ἤγουν πτερὰ, νεὼς τὰ ἱστία ἐξ ἀναλόγου. 1534, 61.

πτίλον παρὰ τὸ πτῶ διὰ τοῦ ῑ, πέτηλον δὲ παρὰ τὸ πέτω διὰ τοῦ ἦτα. 855, 44. 941, 15.

πτισσάνη ὅτι παρὰ τὸ πτίσσειν καὶ αἰνεῖν λέγεται. 437, 10. 801, 64.

πτίσσειν τὸ πιτυρῶδες τῶν σπορίμων ἐκλεπίζειν, ὅθεν ἡ πτισσάνη λέγεται. 801, 63.

πτοιεῖν ἐν ἴσῳ τῷ πτοεῖν ἐν ἐμμέτρῳ λόγῳ. 1928, 28.

Πτολεμαῖος, βασιλεὺς Αἰγύπτου, ὅτι ὡμολόγει φασιανοῦ ὄρνιθος μηδέποτε γεύσασθαι διὰ τὸ ὡς ἀγάλμασιν τοῖς τοιούτοις ὄρνισι χρῆσθαι. 1257, 27. καὶ ὅτι ὁ δεύτερος Πτολεμαῖος ᾠήθη διὰ παντὸς βιώσεσθαι. 1363, 19.

πτολιπόρθιος πεντασυλλάβως ἀντὶ τοῦ πτολίπορθος κατὰ παραγωγὴν, ὡς καὶ κάπρος κάπριος. 200, 8. 1643, 27.

πτολίπορθος παρ' 'Ομήρῳ ὁ μὲν 'Αχιλλεὺς διὰ πολλὰς πόλεις, ἃς εἷλεν, ὁ δὲ 'Οδυσσεὺς διὰ μίαν τὴν 'Ίλιον. 718, 48.

πτόρθος ὁ κλάδος, ὅτι παρὰ τὸ εἰς ὀρθὸν διαπεπετάσθαι λέγεται. 1554, 64.

πτύγμα πέπλου τὸ περίττευμα καὶ δίπλωμα. 551, 8.

πτυκτὸς πίναξ ἡ ἐπιστολὴ, παρὰ τὸ πτύσσεσθαι ἤγουν διπλοῦσθαι. 632, 8.

πτύον, ὄργανον δι' οὗ ὁ χοῦς ἀναρρίπτεται, καὶ πτύον τὸ λικμητικὸν ἐργαλεῖον. 948, 7. 19.

πτυόφιν ἀντὶ ψιλῆς γενικῆς τῆς τοῦ πτύου ἐν τῷ, ἀπὸ πλατέος πτυόφιν, 'Ιλ. ν', 588. 948, 18.

πτύξις, δίπλωσις, παρὰ τὸ πτύσσω. 633, 19.

πτύρω, ὅθεν πτυρμὸς, ὅτι παρὰ τὸ πτῶ λέγεται, ὅθεν καὶ τὸ πτήσσω καὶ τὸ πτώσσω. 1831, 44.

πτύσσειν τὸ λυγίζειν καὶ τὸ διπλοῦν, οἷον ἱμάτιον ἢ τοιοῦτόν τι, ὅτι παρὰ τὸ πτῶ, ὅ ἐστι πίπτω, παραγώγως λέγεται. 924, 37. 40.

πτύχες ἀσπίδος αἱ θέσεις. 679, 42. καὶ πτύχες 'Ολύμπου, ὡς μὲν ὄρους αἱ περιοχαὶ τῶν ἀνακλίσεων, ὡς δὲ οὐρανοῦ αἱ ὀκτὼ σφαῖραι. 1193, 12.

πτυχὴ, μέρος τι τῆς νεώς. 1039, 41.

πτυχίον τὸ βιβλίον, ὅτι παρὰ τὸ πτύσσεσθαι λέγεται. 924, 42.

πτω λήγοντα ῥήματα ὅτι εἰς σσω διὰ δύο σ μετατιθέασιν Αἰολεῖς. 54, 18. καὶ ὅτι τῶν εἰς πτω ληγόντων τινὰ μὲν ἐκ προϋποκειμένων εἰς βω δοκεῖ παρῆχθαι, οἷον τὸ κρύπτω ἐκ τοῦ κρύβω, τινὰ δὲ ἐκ ληγόντων εἰς σσω, οἷον τὸ καλύπτω ἐκ τοῦ καλύσσω. 991, 4.

πτῶμαι, πρῶτον πρόσωπον ὑποτακτικὸν, οὗ τρίτον τὸ πτῆται, ὅτι ἐκ τοῦ ἐπτάμην ἢ ἐπτόμην κεκίνηται. 1010, 63.

πτὼξ ὁ λαγωὸς ὅτι παρὰ τὸ πτώσσειν κατά τι ἐξαίρετον λέγεται. 546, 5. 1270, 58. καὶ ὅτι τὸ πτὼξ καθ' αὑτὸ ἀτελῶς λέγεται, πτὼξ δὲ λαγωὸς, ἤγουν ὁ ὑποπτήσσων καὶ δειλὸς, ἐντελῶς λέγεται. 1122, 57. 1270, 58.

πτῷος 'Απόλλων, ὅτι παρὰ τὸ τὴν Λητὼ ἐν καιρῷ τοῦ πτοηθῆναι διὰ λύκου ἐπέλευσιν οὕτως ἐπεκλήθη ὁ 'Απόλλων. 448, 46.

πτώσεις ἐν ἐπιμερισμῷ ἀθροίσματος ἀκαταλλήλως ἀποδιδόμεναι πρὸς τὴν ἐν τῷ, ἀθροίσματι παραλαμβανομένην, οἷον ἐν τῷ, ἄνδρε ὁρῶ — ὁ μὲν ὁ δὲ, ἀντὶ τοῦ τὸν μὲν τὸν δὲ, 'Ιλιάδ. ε', 244 sqq. 545, 22.

πτώσεις μετοχῶν ἀκαταλλήλως ἐπιτιθέμεναι, οἷον ἐν τῷ, φημὶ κατανεῦσαι Κρονίωνα — ἀστράπτων ἐπιδέξια, ἀντὶ τοῦ ἀστράπτοντα, 'Ιλ. β', 350—3. 236, 17.

πτώσεων ἀνακολουθία περὶ τὰς ἀναφορὰς καὶ ἀποδόσεις κατά τι σχῆμα λεγόμενον κλίσιν ἢ μετάληψιν, οἷον, ἄνδρα μοι ἔννεπε Μοῦσα, ὃς μάλα πολλὰ πλάγχθη. 103, 29.

πτώσεων μετοχικῶν καὶ ἀναφορικῶν σύνταξις πρός τε τὰ προηγούμενα καὶ πρὸς τὰ ἐπαγόμενα, οἷον· ἀρέσκει μοι βουλεύω δικάζειν καὶ βουλευόμενον δικάζειν· ὁμοίως χαίρω τῷ λόγῳ ᾧ λέγεις. καὶ ὃν λέγεις. 147, 5. 9.

πτώσεως ἀκαταλληλία ἐν τῷ, ὧδέ σφιν ἐγκέφαλος ῥέοι αὐτῶν καὶ τεκέων, 'Ιλ. γ', 300. ἀντὶ τοῦ αὐτοῖς καὶ τέκεσι. 417, 11.

πτώσεως ἐναλλαγὴ ἐν ἀποδόσει παραβολῆς ἐν τῷ, Τρῶες δ' ὥστ' ὄϊες — ὡς Τρώων ἀλαλητὸς, 'Ιλ. δ', 433—6. 493, 42.

πτωσκάζω ὅτι παρὰ τὸ πτώσσω λέγεται. 484, 2.

πτώσσειν ἀντὶ τοῦ φεύγειν. 546, 4. καὶ πτώσσειν τὸ μετὰ φόβου πίπτειν ἐν τῷ, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ, 'Ιλ. φ', 14. καὶ τὸ κρύπτεσθαι ἐν τῷ, ἔπτωσσον ὑπὸ κρημνούς, ibid. 26. 1220, 61. καὶ πτώσσειν ἀντὶ τοῦ πτωχεύειν καὶ προσαιτεῖν ἐν τῷ, ἀλλὰ πτώσσων κατὰ δῆμον βούλεται αἰτίζων τρέφειν ἣν γαστέρα, 'Οδ. ρ', 227. 1818, 34.

Πτωχελένη, ὅτι οὕτως ἐπεκλήθη

νως τῇ ἡδονῇ, ἤ τις χαυνοῖ καὶ ἀραιοῖ. 1360, 20.

πυκινὸν τὸ συνετὸν καὶ φρόνιμον, παρὰ τὴν πεύκην, ἢ ἀναλογεῖ πως κατὰ τὴν πικρότητα ἡ φρόνησις. 78, 42. 1007, 1.

πυκινὸν ἄχος τὸ πυκνοῦν καὶ συστέλλον τὴν καρδίαν, καὶ πυκινὸν ἀχεύειν τὸ κατὰ συνέχειαν καὶ μὴ ἀραιῶς ἐκ διαλειμμάτων λυπεῖσθαι. 1673, 61.

πυκινὸν λέχος, ὅτι διὰ τὴν τῶν στρωμάτων πυκνότητα οὕτω λέγεται. 778, 53. 1582, 48.

πυκινὸς λόχος ὁ κατὰ σύνεσιν συσταθεὶς ἢ ὁ πεπυκνωμένος. 487, 40.

πυκνὰ μήδεα τὰ συνετὰ βουλεύματα. 408, 16.

πυκταλίζειν ἐν ἴσῳ τῷ πυκτεύειν. 1322, 53.

πύκτης ὅτι ἐκ τοῦ ἔπτυγμαι παρακειμένου ἐκβολῇ τοῦ τ λέγεται. 1322, 52.

πυκτίον, βιβλίον, ὅτι παρὰ τὸ πτύσσω ἐκβολῇ τοῦ τ λέγεται. 633, 7.

πυκτῶν ὁπλισμὸς περὶ τὰς χεῖρας καὶ τοὺς δακτύλους, ἱστορία. 1324, 17.

πύλαι αἱ δίοδοι ἐφ' αἷς αἱ θύραι, θύραι δὲ αἱ σανίδες. 1142, 47. καὶ ὅτι πύλαι μὲν αἱ τῶν πόλεων λέγονται, θύραι δὲ αἱ τῶν οἰκιῶν. 1257, 36. καὶ ὅτι ὁ μὲν πύλας εἰπὼν καὶ τὰς σανίδας ἐμφαίνει, ὁ δὲ σανίδας οὐκ ἤδη καὶ τὰς πύλας. 914, 1.

πύλαι Ἀιδου ὁ Ἅιδης, ὅτι διὰ τῆς εἰσόδου δηλοῦται καὶ τὰ ἐντός. 751, 37.

Πυλαιμένης κύριον ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ἐν τῇ διφθόγγῳ ι, ὡς καὶ τὸ μεσαιπόλιος. 360, 32.

πυλάρτης Ἅιδης ὁ πύλας ἀραρυίας ἔχων, τουτέστι δυσέξιτητος. 718, 20. 914, 18. 940, 4. 1684, 42.

πύλη ὁ τῆς εἰσόδου τόπος, θύραι δὲ αἱ σανίδες. 895, 45. καὶ ὅτι πύλη παρὰ τὸ πτύσσω λέγεται, οἱονεὶ πτύλη. 721, 7. καὶ ὅτι οὐχ' εὕρηται ἑνικῶς παρ' Ὁμήρῳ τοὔνομα. 758, 11.

Πυλήνη, πόλις Αἰτωλική, ἣν ἐν τοῖς πεδινοῖς οὖσαν Αἰολεῖς μετήνεγκαν εἰς τοὺς ἀνωτέρω τόπους. 311, 36.

Πυλοιγενὴς ὁ ἐν Πύλῳ γεννηθείς, ὅτι ἐκ τοῦ Πυλογενὴς λέγεται πλεονασμῷ τοῦ ι, ἢ ἐκ τοῦ Πυληγενὴς τροπῇ τοῦ η εἰς ο. 172, 33. 1302, 28.

πύλος ἀντὶ τοῦ πύλη ἐν τῷ, ἐν πύλῳ ἐν νεκύεσσι, Ἰλ. ε', 397. 333, 43. 563, 26.

Πύλος πόλις, ὅτι περὶ τὸ ἑσπέριον πλευρὸν τῆς Πελοποννήσου τρεῖς Πύλοι καλούμεναι πόλεις ἐγένοντό ποτε, καὶ ὅτι οὐ μόνον θηλυκῶς, ἀλλὰ καὶ ἀρσενικῶς λέγεται. 296, 27. 1394, 43. καὶ ὅτι Νηλεὺς ἐκπεσὼν Ἰωλκοῦ ἔκτισε τὴν Πύλον Μεσσηνίων δόντων αὐτῷ μοῖραν τῆς χώρας, ἱστορία. 1454, 30. καὶ ὅτι ὑφ' Ἡρακλέους ἐπορθήθη διὰ τὸ μὴ βουληθῆναι τὸν Νηλέα καθᾶραι αὐτὸν τοῦ Ἰφίτου φόνου· ζήτει ἐν τῷ, Ἴφιτος ὁ Εὐρύτου. 879, 12. 1900, 20. καὶ ὅτι ἐν τῷ, Πύλος ἠγαθέη, τὸ ἠγαθέη κατὰ θηλυκὸν γένος ὑπαγορεύει λέγεσθαι τὴν Πύλον· καὶ ὅτι καὶ ἐν τῷ, Πύλου ἠμαθόεντος, οὐδὲν κωλύει θηλυκῶς ἀκούεσθαι τὸ Πύλος. 98, 5. 174, 24. 1514, 47. 1613, 46.

πυλωρὸς ὅτι ἐκ τοῦ ὠρεῖν, ὅ ἐστι φυλάσσειν, σύγκειται τοὔνομα. 1715, 19.

πύματον τὸ ἐν τῷ μέλλοντι χρόνῳ ἔσχατον. 1258, 9.

πυνθάνεσθαι τὸ μανθάνειν καὶ τὸ ἐρωτᾶν. 1432, 16. καὶ πυνθάνεσθαι ἀντὶ τοῦ διεξοδικῶς ἀκούειν καὶ δίχα ἐρωτήσεως ἐν τῷ, καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι, Ὀδ. β', 315. καὶ ὅτι διαφέρει τοῦ ἐρωτᾶν. 1457, 30. καὶ ὅτι τὸ πυνθάνεσθαι γενικῇ συντάσσεται, οἷον ἐν τῷ, εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην, Ἰλ. ρ', 102. καὶ ἐν τῷ, πυνθανόμην Ἰθάκης, ἀντὶ τοῦ ἤκουον περὶ Ἰθάκης. 1097, 29. 1741, 18. ἀλλαχοῦ δὲ ὅτι τὸ πυνθάνομαι πῇ μὲν γενικῇ, πῇ δὲ αἰτιατικῇ συντάσσεται παρ' Ὁμήρῳ. 1021, 1.

πύνδαξ συνήθως μὲν ὁ πυθμήν, παρὰ δὲ Σοφοκλεῖ καὶ ἡ λαβὴ τοῦ ξίφους. 870, 27.

πὺξ ἐπίῤῥημα ὅτι παρὰ τὸ πτύσσω πτύξω λέγεται ἀποβολῇ τοῦ ω, ἐπεὶ πτύσσοντες τοὺς δακτύλους ἐπυγμάχουν. 1322, 38.

πυξίδες καὶ πυξία λέγονται οἱ γραφικοὶ πίνακες διὰ τὸ ἐκ πύξου σανιδίων κατασκευάζεσθαι. 632, 57. ζήτει τὸ πυξίον.

πύξινος, ὅτι οὕτως λέγεται σκωπτικῶς πᾶς τις ὠχρὸς τὴν ὄψιν ἄνθρωπος. 810, 40. 1350, 4.

πυξίον ἀντὶ τοῦ βιβλίον διὰ τὸ πυξίναις σανίσι χρῆσθαι τοὺς ἀρχαίους εἰς γραφήν. 421, 14. 632, 57. 1851, 32.

πύξον εἰς Κύτωρον, παροιμία ἱμοία τῇ γλαῦκας εἰς Ἀθήνας. 88, 3.

πύξος ὅτι παρὰ τὸ πεπυκάσθαι, ἤγουν πεπυκνῶσθαι, οὕτω λέγεται διὰ τὸ πυκνὸν τοῦ ξύλου. 924, 39. 1350, 3. καὶ ὅτι πλείστη καὶ ἀρίστη πύξος φύεται περὶ Κύτωρον πόλιν Παφλαγονίας. 361, 45.

πυός, ὀξυτόνως κατ' ἀρσενικὸν γένος, τὸ καὶ πῦαρ, ὅ ἐστι τὸ πιότατον τοῦ γάλακτος, ὅθεν πυαρίτης, τὸ καὶ πύρεφθον, ἐδώδιμόν τι, ὃ γίνεται ἐκ τοῦ πρώτου γάλακτος. 1626, 5. 1877, 1.

πῦρ ὅτι ἁγνιστικὸν καὶ καθαρτικὸν ἐνομίζετο, ἢ καὶ τοὺς νεκροὺς ἔκαιον οἱ Ἕλληνες, καὶ ὅτι ὁ Ἡρακλῆς κατά τινας κατῆρξε τοῦ ἔθους, ἱστορία διεξοδική. 43, 6. καὶ ὅτι πῦρ ὁρᾶν λέγεται λέων καὶ σῦς ἄγριος καὶ δράκων πολλαχοῦ παρ' Ὁμήρῳ. 1555, 43. καὶ ὅτι πυρὶ λάμπεσθαι καὶ καίεσθαι λέγονται οἱ τοῦ θυμουμένου ὀφθαλμοί. 58, 12. 17. καὶ πυρὶ διδόναι ἀντὶ τοῦ καῦσαι περιφραστικῶς. 1954, 11.

πῦρ, ὅτι ἐν μὲν τῇ εὐθείᾳ ἐκτείνεται τὸ υ τοῦ ὀνόματος, ἐν δὲ ταῖς πλαγίαις συστέλλεται. 1859, 10.

πῦρ φανταστικὸν πυροβοληθὲν ἐξ ὅπλων καὶ σωμάτων ἀνθρωπίνων καὶ ἄλλων τινῶν οὐσιῶν κατὰ διαφόρους χρόνους, ἱστορία διεξοδικὴ τῶν κατὰ μέρος. 512, 45.

πυρσεύειν τὸ νυκτὸς πῦρ καίειν διὰ τοὺς πελαγίζοντας. 1646, 64.
πυρσὴ κόμη ἡ πυῤῥὰ τὸ χρῶμα, ὅτι παρὰ τὸν πυρσὸν λέγεται. 83, 6.
πυρσὸς ταὐτὸ ὅπερ φανός. 1571, 16. καὶ ὅτι ὁ πυρσὸς σύμβολον ἦν μάχης κατά τι ἔθος ἀρχαῖον. 669, 46.
πυρσουρίδες, φανοὶ πολεμίων ἔφοδον προσημαίνοντες. 1571, 26.
πυρφόρος καὶ πυρφορεῖν ὅτι παρὰ τὸ πῦρ φέρειν λέγονται. 1023, 33. καὶ ὅτι τὸ, μηδὲ πυρφόρον λειφθῆναι, παροιμιακῶς ἐπὶ πανολεθρίας λέγεται. 893, 13.
πυρῶσαι ἐν ἴσῳ τῷ ἐμπρῆσαι. 706, 21.
πύστις ἡ διερωτήσεως μάθησις, παρὰ τὸ πεύθω πέπυσμαι πέπυσαι πέπυσται. 421, 35. 522, 36. 1684, 36. ἀλλαχοῦ δὲ ὅτι πύστις ἡ δι' ἀκοῆς μάθησις, παρὰ τὸ πεύθω πείσω ἐκβολῇ τοῦ ε̄ πρὸς εὐφωνίαν. 947, 51. 1385, 10.
πυστὸν τὸ ἀκουστὸν, καὶ ἄπυστον τὸ ἀνήκουστον, ἐκ τοῦ πέπυσται τρίτου ῥηματικοῦ προσώπου. 1684, 37.
πὼ μόριον ὀξυνόμενον ἐν τῷ, οὐδ' ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων, Ἰλ. γ', 302. 417, 17. καὶ πὼ ἐγκλινόμενον εἶτουν τὸν ἑαυτοῦ τόνον ἐπὶ τὴν πρὸ αὐτοῦ λέξιν παραπέμπον, οἷον ἐν τῷ, οὐδ' ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοί, Ἰλ. λ', 504. 859, 16. ἀλλαχοῦ δὲ ὅτι τὸ πὼ μόριον ἐν ἁπλότητι μὴ περισπώμενον οὐδὲ ἐν συνθέσει περισπᾶται, οἷον ἐν τῷ πώποτε, καὶ πώμαλα. 70, 44. 147, 21. 859, 16. καὶ πάλιν ἀλλαχοῦ εὐκρινέστερον ὅτι τὸ πὼ μόριον ἐν μὲν τῇ συνεπείᾳ τὸν ἑαυτοῦ τόνον κοιμίζει, ἐν δὲ συνεγκλίσει ὀξύνεται, οἷον ἐν τῷ, οὐδέ τί πώ μοι, Ἰλ. α', 542. καὶ οὐδέ νύ πώ με ἔγνως, Ἰλ. χ', 9. 60, 12. 147, 14. 1254, 33. καὶ ὅτι παρέλκει ἐν τῷ, μή πώ τι μεθίετε, Ἰλ. δ', 234. 467, 14.
πώγων, ὅτι τῶν τοῦ πώγωνος τριχῶν αἱ μὲν τοῦ ἄνω χείλους μύσταξ λέγονται, ὑπήνη δὲ αἱ τοῦ κάτω. 1353, 56.
Πώγων ὁμωνύμως ὁ τῶν Τροιζηνίων λιμὴν, ἐφ' ᾧ παροιμία ἐπὶ τῶν ἀτρίχων τὸ γένειον καὶ σπανῶν τὸ, πλεύσειας εἰς Τροιζῆνα. 287, 13. 308, 46.
πωλεῖν τὸ πιπράσκειν, ὅτι ἀπὸ τῶν ζωικῶν πώλων λέγεται, ὡς ἀπὸ τῶν ὄνων τὸ ὀνεῖσθαι καὶ τῶν ἀρνῶν τὸ ἄρνεσθαι· καὶ ὅτι τὸ πωλεῖν καὶ πωλεῖσθαι ἀντὶ τοῦ ἀναστρέφεσθαι διὰ τοῦ ω̄ μεγάλου γράφονται παρ' Ὁμήρῳ, τὰ δὲ ἐξ αὐτῶν συγκείμενα διὰ τοῦ ο̄ μικροῦ, οἷον οἰονοπόλος καὶ ὀνειροπόλος. 942, 51.
πωλεῖσθαι, συναναστρέφεσθαι, ὅθεν πώλησις, τὸ πω̄ μέγα, πολεύειν δὲ τῷ μικρῷ. 843, 16. 1930, 37.
πωλέσκω ῥῆμα παρὰ τὸν πωλέσω μέλλοντα τοῦ πωλέω πωλῶ θέματος, ὃ δηλοῖ τὸ συναναστρέφομαι. 140, 39.
πώλυπος πωλύπου, καὶ πῶλυψ πώλυπος κατὰ γλῶσσαν ὁ κοινῶς πολύπους. 1541, 23. 29.
πωλῶ τὸ ἀναστρέφομαι, παρὰ τὸ πέλω πόλος, τὸ πω̄ μέγα, ὅθεν τὸ πωλέσκω ἐπὶ τοῦ αὐτοῦ. 137, 26. 1528, 33.
πῶμα τὸ τῶν κιβωτῶν ἐπίθημα, ὅτι παρὰ τὸ πῶ, ὃ δηλοῖ τὸ κτῶμαι, λέγεται. 1056, 49. καὶ πῶμα ὁμωνύμως τὸ καὶ ἔκπωμα. 1161, 53.
πώμαλα ὅτι ἐκ τοῦ πὼ μορίου καὶ τοῦ μάλα σύγκειται, καὶ ὅτι τοῦ πὼ μορίου κοιμήσαντος τὸν ἴδιον τόνον ἐξέγερσις αὖθις εἰς ὀξεῖαν γέγονε, διὸ καὶ προπαροξύνεται τὸ πώμαλα. 147, 21. 969, 52. ζήτει τὸ, πὼ μόριον. καὶ ὅτι ἐν τῷ πώμαλα παρέλκει τὸ μάλα. 756, 11.
πώποτε ὅτι προπαροξύνεται, καὶ ὅτι ἐκ τοῦ πὼ μορίου σύγκειται, ὅ περ ὀξύνεταί ποτε ἐν συνεγκλίσει, οἷον οὐδέ νύ πώ με ἔγνως, Ἰλ. χ', 9. 147, 21. 417, 19. 858, 17. 969, 52. 1254, 33. ζήτει τὸ, πὼ μόριον καὶ τὸ πώμαλα.
πὼς παραπληρωματικὸν ὅτι προτασσόμενον ἐγκλιτικοῦ μορίου ὀξύνεται, οἷον ἐν τῷ, μάλα πώς με καθίκεο, Ἰλ. ξ', 104. 969, 50. καὶ ὅτι τὸ πὼς μόριον ἐν τῷ, ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῇσιν, Ἰλ. μ', 211. ὅτι εἰ μὲν ἐγκλίνεται κατ' ἐπιείκειαν λέγεται, εἰ δὲ θαυμαστικῶς λέγεται περισπᾶται. 901, 1.
πώς ἐγκλινόμενον ἀντὶ τοῦ ὁπωσδήποτε ἐν τῷ, αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη, Ἰλ. χ', 346. 1273, 25.
πῶς κ' ἔοι, τί ἂν γένοιτο. 989, 64.
πωτῶνται, δευτέρας τῶν περισπωμένων, τὸ πω̄ μέγα, ποτέονται δὲ κατὰ τὴν πρώτην τὸ πω̄ μικρόν. 229, 24. 905, 27. 1188, 35.
πῶϋ τὸ ποίμνιον εἶτουν τὸ πλῆθος τῶν προβάτων, ὅτι παρὰ τὸ πῶ, ὅ ἐστι κτᾶμαι, λέγεται. 134, 43. 212, 39. 877, 50. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ πῶ, ὅ ἐστι πίνω, δοκεῖ τισὶ λέγεσθαι τὸ πῶϋ. 943, 63.

Ἀρχὴ τοῦ Ρ στοιχείου.

ρ̄ τὸ στοιχεῖον ὅτι δυσπρόφορόν ἐστι τοῖς τραυλίζουσι. 1379, 55. καὶ ὅτι τὸ ρ̄ πλεονάζον ἐν τῷ λόγῳ, οἷον ἐν τῇ τῶν Ἐρετριέων διαλέκτῳ, κακίζεται· ἐν δὲ τῇ μιμητικῇ τραχυφωνίᾳ πλεονάζει δεόντως, οἷον ἐν τῷ, χέρσῳ ῥηγνύμενον βρέμει, Ἰλιάδ. δ', 425. 279, 35. 492, 14. καὶ ὅτι καὶ ἐν τισὶ τῶν ὠνοματοπεποιημένων φωνῶν δεόντως ἔγκειται τὸ ρ̄ πρὸς τραχύτητος ἔμφασιν, ἐπεὶ μιμητικόν ἐστι τῶν τραχέων ἤχων. 1150, 29. 1119, 64. καὶ ὅτι καὶ ἐν ἄλλαις τισὶ λέξεσι πλεονάζει πρὸς τραχύτητος ἐπιτήδευσιν, οἷον ἐν τῷ οἶστρος καὶ ἀλάβαστρον. 1161, 28.
ρ̄ ἀρκτικὸν λέξεων, ὧν ἡ δευτέρα συλλαβὴ ἄρχεται ἀπὸ τοῦ δ̄ ἢ ζ̄ ἢ κ̄ ἢ τ̄, ὅτι προσλαμβάνει κατ' ἀρχὰς τὸ β̄ Αἰολικῶς, οἷον ῥόδος βρόδος, ῥίζα βρίζα, ῥάκος βράκος, ῥυτὴρ βρυτήρ. 222, 4.
ρ̄ διπλοῦν, ὅτι τὸ ρ̄ διπλασιάζεται Ἀττικῶς κατὰ τὰς αὐξήσεις τῶν ἀπὸ τοῦ ρ̄ ἀρχομένων ῥημάτων. 118, 11. καὶ ὅτι τὰ διὰ τοῦ ρσ κοινῶς ἐκφερόμενα διὰ δύο ρ̄ ἐκφέρουσιν οἱ Ἀττικοὶ, οἷον ἄρσην ἄῤῥην, θαρσεῖν θαῤῥεῖν. 913, 55.

καὶ ὅτι καὶ ἐν τῇ συνθέσει τὰ ἀπὸ τοῦ ρ̄ ἀρχόμενα διπλασιάζουσι τὸ ρ̄, οἷον θυμοῤῥαϊστής, κυνοῤῥαϊστής, ἃ φύσει δι' ἑνὸς ρ̄ γράφονται. 945, 49.

ρ̄ στοιχεῖον προστιθέμενον ἐν τέλει τινῶν προθέσεων παρατιθεμένων λέξεσιν ἀπὸ τοῦ ρ̄ ἀρχομέναις, οἷον ἐν τῷ, κατὰρ ῥόον, καὶ ἀνὰρ ῥῶγας, παρ' Ὁμήρῳ. 1922, 5.

ρ̄ ληγουσῶν λέξεων προσῳδία, ὅτι αἱ εἰς ρ̄ λήγουσαι βραχυκατάληκτοι λέξεις βαρύνονται, οἷον πάτερ, σῶτερ, ἧπαρ, φρέαρ, πλὴν τῆς ὑπὲρ προθέσεως καὶ τοῦ αὐτὰρ συνδέσμου. 72, 37.

ρᾱ λήγοντα θηλυκὰ δισύλλαβα μονογενῆ, τῷ η̄ παραλήγοντα, ὅτι βαρύνεται, οἷον πήρα, θήρα. 580, 44.

ῥὰ σύνδεσμος ὅτι ἐγκλίνεταί ποτε, οἷον ἐν τῷ, ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες, Ἰλ. β', 1. 163, 21. καὶ ὅτι πρὸς ἀποφυγὴν χασμῳδίας καὶ πρὸς ῥοῖζον καὶ ὄγκον ἐπεντίθεται πολλαχοῦ παρ' Ὁμήρῳ. 307, 11. 834, 3. καὶ ῥᾷ ἀντὶ τοῦ ῥᾴδιον, ὅθεν καὶ λέγεται κατὰ ἀποκοπὴν, ἢ καὶ ὀξύνεται καὶ σὺν τῷ ῑ γράφεται. 187, 29. 295, 5.

ῥάβδοι ἀσπίδος, κανόνιά τινα εἴτουν ὄχανα ἢ ῥαβδοειδεῖς ῥαφαί. 905, 50. 55.

ῥάβδος ὅτι εἰ μὲν ἀπὸ τοῦ ῥᾷον βαδίζειν λέγεται προπερισπᾶται, εἰ δὲ ἀπὸ τοῦ ῥαπίζειν παροξύνεται. 906, 2. 1353, 39. 1951, 23.

ῥαβδοῦχος, ὅτι οὐ πᾶς ὁ ῥάβδον ἔχων ἤδη καὶ ῥαβδοῦχος λέγεται, ἀλλ' ἀφωρισμένως ἀξίωμά τι ἦν τὸ τῶν ῥαβδούχων. 104, 24.

ῥαβδῳδοὶ, οἱ καὶ ῥαψῳδοὶ, ὅτι παρὰ τὸ ἐπὶ δαφνίνης ῥάβδου ᾄδειν τὰ ποιήματα οὕτως ἐκλήθησαν. 6, 16. 24.

ῥάβδων θείων ἐνέργεια, ὅτι διάφορά τινα ἐνεργοῦσι παρ' Ὁμήρῳ αἱ ἀπὸ τῶν θείων ῥάβδων ἐπαφαί. 1653, 3.

ῥᾶγας βότρυος φαμὲν, ῥῶγας δὲ οὔ· καὶ ζήτει τὸ ῥῶγες. 1633, 45.

ῥαγδαῖος ὄμβρος ὁ βιαίως καταῤῥαγείς. 1598, 29.

ῥαγῆναι λέγεται πόλεμος καὶ σκηπτὸς καὶ ὄμβρος, ἤγουν βιαίως κινηθῆναι. 242, 41. 1598, 28.

ῥαδαλὸς ποταμὸς παρὰ τὸ ῥᾷον ἅλλεσθαι ἐξ αὐτοῦ φυτά, ἢ ῥαδαλὸς ὁ εὐκίνητος. 1165, 19. 21.

Ῥαδάμανθυς κυρίον, ὅτι παρὰ τὸ περὶ ῥόδα μανικῶς διατεθῆναι ποτὲ Εὐρώπην τὴν αὐτοῦ μητέρα οὕτως ἐκλήθη ὁ Ῥαδάμανθυς. 989, 35. καὶ ὅτι ἔπλευσέ ποτε εἰς Εὔβοιαν ὁ Ῥαδάμανθυς ἐπὶ θέᾳ Τιτυοῦ, ἱστορία. 1581, 60. καὶ ὅτι Ῥαδάμανθυς κατῆρξε τοῦ κατὰ κυνὸς καὶ χηνὸς ὀμνύναι ἐπὶ τῷ μὴ θεὸν ὀνομάζειν ἐφ' ἑκάστῳ. 1871, 3.

ῥαδανίζειν τὸ συνεχῶς τινάσσειν τὴν κρόκην. 1165, 21.

ῥαδινὴ μάστιξ ἐπιθετικῶς ἡ λεπτὴ καὶ λιγυρὰ, ὅτι παρὰ τὸ ῥᾷον δινεῖσθαι λέγεται, ἢ παρὰ τὸ ῥᾷον ἰέναι δι' αὐτῆς τοὺς ἵππους πλεονασμῷ τοῦ δ̄. 1316, 63.

ῥᾳδιουργία ἡ περὶ πᾶν ὀλιγωρία καὶ θρασύτης, καὶ ὅτι Ξενοφῶν καὶ ἐπὶ εὐκολίας τίθησι τὴν λέξιν. 1509, 44.

ῥᾳδιουργὸς ὁ κακοῦργος. 1509, 43.

ῥάζειν καὶ ῥοίζειν κυρίως μὲν τὸ ὑλακτεῖν, μεταφορικῶς δὲ τὸ πικραίνεσθαι καὶ σκαιολογεῖν. 1792, 22.

ῥάζω τὸ ῥαίνω, παρὰ τὸ ῥῶ μονοσύλλαβον ῥῆμα, ὁ παρακείμενος ἔῤῥαδα. 912, 22. 1469, 3.

ῥαθαπυγίζειν τὸ σιμῷ τῷ ποδὶ τὸν γλουτὸν παίειν. 861, 11. ἀλλαχοῦ δὲ ὅτι ῥαθαπυγίζειν τὸ τῷ πλατεῖ τοῦ ποδὸς εἰς τὴν πυγὴν παίειν. 1818, 57.

ῥαθάμιγξ ἡ λεπτὴ σταγών, ὅτι παρὰ τὸ ῥαίνειν θαμὰ λέγεται, καὶ ὅτι περὶ ὑγρῶν λέγεται καὶ περὶ κόνεως ἐνίοτε. 861, 4. 1313, 10.

ῥαθυμία ὅτι παρὰ τὸ ῥαΐζειν τὸν θυμὸν λέγεται. 1490, 14.

ῥαιβὸς ὁ ἐῤῥαισμένος τὴν βάσιν κατὰ τὸ ἔτυμον τῆς λέξεως. 914, 46.

ῥαΐζειν τὸ ἐκ νόσου ἀνασφάλλειν. 1509, 45.

Ῥαίκηλος παρὰ Λυκόφρονι ἡ Αἶνος πόλις. 1769, 13.

Ῥαικοὺς τοὺς Γραικοὺς χωρὶς τοῦ γ̄ λέγουσιν οἱ βάρβαροι. 890, 14.

ῥαίνω ὅτι παρὰ τὸ ῥῶ μονοσύλλαβον ῥῆμα λέγεται. 1887, 42. καὶ ὅτι ῥαίνεσθαι κόνει, ὡς εἰ καὶ ὑγρῷ τινὶ, ἐν συνθήκῃ λέγεται. 844, 40.

ῥαιστὴρ ἡ σφύρα, παρὰ τὸ ῥαίω λέγεται. 1648, 9. καὶ ὅτι θηλυκῶς ὑπόκειται ἐν τῷ, ῥαιστῆρα κρατερήν, Ἰλ. σ', 477. 1154, 26.

ραιστης λήγοντα ὀνόματα ὅτι παρὰ τὸ ῥαίω λέγονται, ὅθεν τὸ ῥαΐζω κατὰ διάλυσιν, καὶ ὅτι φύσει μὲν δι' ἑνὸς ρ̄ γράφονται, Ἀττικῶς δὲ ἐν δυσὶν, οἷον κυνοραϊστὴς καὶ θυμοραϊστής. 1076, 20. 1426, 44. 1821, 45.

ῥαίω, φθείρω, ὅτι ἐκ τοῦ ῥῶ μονοσυλλάβου ῥήματος παρῆκται, ὡς ἐκ τοῦ κῶ τὸ καίω καὶ τοῦ κλῶ τὸ κλαίω. 633, 49. 737, 19. 1076, 20. 1530, 27. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ φθείρω παρέσει τοῦ φθ̄ καὶ τροπῇ τῆς ει̅ εἰς αι̅ γίνεται αἴρω καὶ μεταθέσει ῥαίω. 1648, 8.

ῥάκος τὸ διεῤῥωγὸς ἱμάτιον, τριβώνιον δὲ τὸ τετριμμένον. 1770, 64. καὶ ὅτι παρὰ τὸ ῥήσσω ῥήξω ἔῤῥηχα λέγεται τὸ ῥύκος. 1916, 44.

Ῥαμνοῦς, δῆμος τῆς Ἀττικῆς, ὅπου ἦν τὸ περιβόητον τῆς Νεμέσεως ἄγαλμα. 284, 18.

ῥάμφος ὀρνέων οὐ λέγεται παρ' Ὁμήρῳ, χεῖλος δὲ μᾶλλον, ὡς δῆλον ἐκ τοῦ, ἀγκυλοχεῖλαι αἰγυπιοί. 1068, 53.

ῥὰξ ἡ τῆς σταφυλῆς διὰ τοῦ ᾱ, ῥῶγα δὲ σταφυλῆς εἰπεῖν βάρβαρον. 1485, 59.

ῥᾴοτερον ἐν ἴσῳ τῷ ῥᾷον παρὰ ποιηταῖς. 215, 7.

ῥάπις, ῥάβδος κατὰ γλῶσσαν. 1522, 23. ἀλλαχοῦ δὲ ὅτι ῥάπιδες ταὐτὸ ὅπερ κρηπῖδες. 1658, 58.

ῥαπταὶ κνημῖδες, ζήτει ἐν τῷ κνημῖδες. 1959, 54.

ῥαπταύλης, ὁ καὶ μόναυλος κάλαμος παρὰ Ἀλεξανδρεῦσι. 1157, 39.

ῥάπτω, ὅτι παρὰ τὸ ῥῶ, ὅ ἐστι ῥωννύω, λέγεται ῥάπτειν ἐπὶ τοῦ καθ' εἱρμόν τινα συντιθέναι τὰ διεσπαρμένα, ὅθεν ῥαψῳδία. 6, 29. καὶ ῥάπτειν παρ' Ὁμήρῳ

τροπικῶς τὸ δόλῳ τι μηχανᾶσθαι. 1807, 24.

ρας καὶ ρος λήγοντα ἑτέρῳ ρ̄ παραλήγοντα, ἐκ τῶν διὰ τοῦ εας καὶ εος παραγόμενα, οἷον Βορέας Βοῤῥᾶς, στερεὸς στεῤῥός. 1538, 31.

ῥάσατε ἀντὶ τοῦ ῥάνατε, προστακτικὸν τοῦ ῥάζω θέματος, ὃ παρὰ τὸ ῥῶ παρῆκται. 1231, 12. 1887, 38.

ῥάσμα τὸ ῥάντισμα, ὅτι ἐκ τοῦ ῥάζω λέγεται. 1887, 43.

ῥάσσω τὸ ἐῤῥωμένως καταπίπτω, ὅθεν καταῤῥάκτης, ὅτι παρὰ τὸ ῥῶ λέγεται. 1887, 46.

ῥαφανὶς, ὅτι πῆ μὲν ἐκτείνει, πῆ δὲ συστέλλει τὴν λήγουσαν ἡ λέξις. 1220, 53.

ῥάφανος ὅτι ἐπὶ κράμβης λέγεται. 1623, 41.

ῥαχία ἡ ἀκτὴ παρὰ τοῖς Ἀττικοῖς, εἴτουν ὁ τόπος ὅπου προσαράσσουσι τὰ κύματα. 1540, 27.

ῥάχις ἡ ὅλη σύμπηξις τῶν τριάκοντα τεσσάρων σφονδύλων. 1530, 64. καὶ ῥάχις ἐξ ἀναλόγου ἡ πετρώδης ἐξοχή. 308, 19.

ῥάχος ἡ παρατείνουσα καὶ τραχεῖα ἠιών, καὶ ῥάχοι αἱ ἀκανθώδεις καὶ τραχεῖαι ῥάβδοι. 1540, 28.

ῥαψῳδίαι τὰ τμήματα τῆς Ὁμήρου ποιήσεως, παρὰ τὸ κατὰ τεχνικὴν συνθήκην ἐῤῥάφθαι, καὶ ῥαψῳδοὶ οἱ αὐτὴν περιᾴδοντες. 6, 13. 37.

ῥαψῳδοὶ οἱ τὰ μέρη τῆς Ὁμηρικῆς ποιήσεως συνείροντες καὶ οἱονεὶ συῤῥάπτοντες καὶ περιᾴδοντες. 6, 24—34.

ῥᾴων ὁ ἐκ νόσου ὑγιασθείς. 1509, 45.

Ῥέα μυθικῶς μὲν ἡ τῶν θεῶν μήτηρ, οἱονεὶ ἔρα, ὅ ἐστι γῆ. 46, 9. ἀλληγορικῶς δὲ Ῥέα ἡ ἀρχέγονος ὕλη. 1012, 25. καὶ ὅτι παρὰ τὸ ῥέειν λέγεται. 978, 44. 50.

ῥέδδω Βοιωτικῶς ἀντὶ τοῦ ῥέζω. 984, 1.

ῥέειν ὅτι κυρίως μὲν περὶ τῶν ὑγρῶν λέγεται, περὶ τριχῶν δὲ καὶ φύλλων τροπικῶς ἀντὶ τοῦ ῥαδίως ἀποπίπτειν. 631, 3. 1662, 61. καὶ ὅτι καὶ βέλη καὶ λίθοι ῥέειν λέγονται τροπικῶς παρ' Ὁμήρῳ. 896, 43. 49. καὶ ὅτι τὸ ῥέειν καὶ τὰ παρ' αὐτὸ ἐν τῇ συνθέσει φυσικῶς οὐ διπλάζει τὸ ρ̄, ὡς καὶ παρ' Ὁμήρῳ πολλαχοῦ τὸ μέτρον κατηγορεῖ, οἷον ἐν τῷ, ἔγνω δὲ προρέοντα καὶ εὔξατο ὃν κατὰ θυμόν, Ὀδ. ε', 444. καὶ ἐν τῷ, ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο, ibid. 441. 1545, 18.

ῥέζειν κατὰ μόνας ἐλλιπῶς λέγεται, ῥέζειν δὲ ἱερὰ ἐντελῶς. 756, 2.

ῥέζω τὸ ἐῤῥωμένως πράττω, ὅτι ἐκ τοῦ ῥῶ μονοσυλλάβου γέγονε. 441, 40. 984, 1. καὶ ῥέζειν μεταφορικῶς ἐν ἴσῳ τῷ ἐνεργεῖν, ὃ ἀντὶ τοῦ μιγῆναι γυναικὶ τίθεται παρ' Ἀλκίφρονι. 762, 62. 64. καὶ ῥέζειν ἀντὶ τοῦ θύειν· καὶ ὅτι καὶ τοῖς νεκροῖς λέγεταί τις ῥέζειν παρ' Ὁμήρῳ. 1668, 38.

ῥέθεα, πάντα τὰ μέλη καὶ ἰδίως τὸ πρόσωπον. 1257, 21.

ῥέθος τὸ πρόσωπον Αἰολικῶς, παρὰ τὸ ῥέα ἤγουν εὐκόλως δι' αὐτοῦ φαίνεσθαι τὸ ἦθος, κοινῶς δὲ ῥέθεα τὰ μέλη. 1090, 27.

ῥεῖα ἀντὶ τοῦ ῥαδίως, ὅτι ἐκ τοῦ ῥέα λέγεται προσθέσει τοῦ ῑ, τὸ δὲ ῥέα ἐκ τοῦ ῥέω. 107, 29.

ῥεῖα ζώειν τὸ ἀπόνως καὶ κατὰ ἔμφρονα ῥαστώνην ζῆν. 1518, 39.

ῥεῖθρον τὸ ῥεῦμα, οἱονεὶ ῥεῖτρον τροπῇ τοῦ τ̄ εἰς θ̄. 82, 43. καὶ ὅτι Ῥεῖθρον καλεῖται ὁ τῆς Ἰθάκης λιμὴν, καὶ οὐ μόνον ὁ λιμὴν, ἀλλὰ καὶ τὸ ὑπερκείμενον αὐτοῦ ὄρος, διὰ τὸ ἐξ αὐτοῦ ῥέειν ὕδατα εἰς τὸν λιμένα· καὶ ὅτι ἐπιθετικῶς εἰρῆσθαι δοκεῖ τὸ, ἐν λιμένι ῥείθρῳ, Ὀδ. α', 186. 1409, 31. 34. 38.

ῥέοντα ποτήρια ποιὰ, παρὰ τὸ ῥέειν οὕτω λεγόμενα. 1286, 25.

ῥέος τὸ ῥεῦμα, παρὰ τὸ ῥέω, ὡς παρὰ τὸ βλέπω βλέπος. 1286, 23.

ῥερυπῶσθαι παρ' Ὁμήρῳ τὸ παρὰ τοῖς Ἀττικοῖς ἐῤῥυπῶσθαι ἐν τῷ, τά μοι ῥερυπωμένα κεῖται, Ὀδ. ζ', 59. 1551, 40.

ῥεχθὲν δέ τε νήπιος ἔγνω, Ἰλ. ρ', 32. υ', 198. ὅτι ἡ ῥεχθὲν φωνὴ ἤτοι αἰτιατικῆς ἐστὶ πτώσεως ὑποτασσομένης τῷ ἔγνω ῥήματι, ἢ πλαγίως ἀντὶ γενικῆς κεῖται. 1093, 19.

ῥέω καὶ ῥόος λέξεις ὅτι ἐν συνθέσει ὑποτασσόμεναι πρὸ τοῦ ρ̄ καὶ ἕτερον ρ̄ προσλαμβάνουσιν, οἷον χρυσοῤῥόας, πολύῤῥυτον, ὠκύῤῥοος. 671, 9.

ῥήγεα, βαπτὰ ἱμάτια ἢ ὑφάσματα ἢ περιστρώματα, καὶ ἁπλῶς πάντα τὰ βαπτά. 1400, 10. 1471, 54. 1661, 55.

Ῥήγιον, ὄνομα πόλεως, ὅτι ἀπὸ τοῦ ῥηγνύειν δοκεῖ λέγεσθαι. 1126, 17.

ῥηγμὶν ὁ αἰγιαλὸς, παρὰ τὸ ἐν αὐτῷ ῥήγνυσθαι τὰ κύματα. 109, 3. 13. 7. 492, 46. 1131, 37. καὶ ῥηγμὶν ἡ τῆς θαλάσσης ἐπιφάνεια ἐν τῷ, ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον, Ἰλ. υ', 229. 918, 35. 1206, 15. καὶ ῥηγμῖν ἁλὸς βαθεῖα, Ὀδ. μ', 214. ἡ ἐπιφάνεια τῆς θαλάσσης παρὰ τὸ ταῖς κώπαις ῥήγνυσθαι, βαθεῖα δὲ εἴρηται πρὸς διαστολὴν τῆς κατὰ τοὺς αἰγιαλοὺς, ἥτις ἀβαθής ἐστιν. 1719, 21.

ῥηγνύειν ἀντὶ τοῦ βιαίως ἀποκόπτειν, οἷον ἐν τῷ, ῥῆξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης, Ἰλ. ν', 139. 925, 18. καὶ ὅτι τὸ καὶ τὰ παρὰ τὸ ῥηγνύειν βιαίαν τινὰ κίνησιν σημαίνουσι. 1598, 27.

ῥήγνυσθαι ἔριν ἀντὶ τοῦ ῥηγνύναι, ἤγουν εἰς πολλὰ μέρη σκεδάσαι, Ἰλ. υ', 55. 1195, 57. καὶ ὅτι καὶ ῥαγῆναι πόλεμος λέγεται κατὰ διαφόρους ἐννοίας, καὶ συῤῥῆξαι μάχην ὁμοίως· καὶ ὅτι καὶ ὁ αἰθὴρ ῥήγνυσθαι λέγεται, ὅτε αἰθρία γίνεται. 1201, 9.

ῥῆγος τὸ σαγίον διὰ τὰ ῥήγματα τῶν κροσσῶν, ἢ τὸ βαπτὸν ὕφασμα παρὰ τὸ ῥῆξαι, ὃ ἦν βάψαι παρὰ τοῖς ἀρχαίοις. 782, 17. 1471, 54.

ῥηίστη βιοτὴ ἡ μετὰ ῥαστώνης ἔμφρονος διαγωγὴ, ὅτι τοιαύτην πλάττονται διάγειν οἱ ἐν ταῖς καλουμέναις μακάρων νήσοις. 1509, 42.

ῥήιστον ὑπερθετικὸν, ὅτι ἐκ τοῦ ῥᾷον γίνεται ῥήιον, ὅθεν τὸ ῥήιστον. 1509, 43.

ῥηίτερον καὶ ῥᾷότερον παρὰ ποιηταῖς ἐν ἴσῳ τῷ ῥᾷον. 215, 7. 1005, 7. 1029, 19. καὶ ῥηίτερος πολεμίζειν κατὰ συνθήκην, Ἰλ.

σ', 258. ἀντὶ τοῦ εὐπολεμητότερος. 1142, 11.

ῥῆμα ὅτι παρὰ τὸ ῥῶ ῥήσω λέγεται. 70, 31. καὶ ὅτι ῥῆμα γενικῶς λέγεται πᾶσα λέξις. 118, 19.

ῥῆμα ἐξ ἀναλόγου νοούμενον, οἷον ἐν τῷ, σῖτον καὶ οἶνον ἔδοντες, καὶ ἐν ἄλλοις. 145, 45. 420, 17. 907, 53 — 58. 1468, 21. 1593, 16.

ῥῆμα ὑπὸ συστοίχου ὀνόματος συνεισαγόμενον, οἷον ἐν τῷ, εἷς βασιλεὺς ᾧ ἔδωκε Κρόνου παῖς, Ἰλ. β', 205. ὑπακούεται γὰρ τὸ βασιλεύειν. 200, 40. καὶ ἀντιστρόφως ὄνομα συνεισαγόμενον ὑπὸ συστοίχου ῥήματος ἢ μετοχῆς, οἷον ἐν τῷ, δικάσω, ἰθεῖα δὲ ἔσται, ἡ δίκη δηλονότι, ὁμοίως τῷ, Ζεφυρίη πνείουσα, ὑπακουομένου τοῦ πνοή. 1573, 9.

ῥήματα ἀμφισβητούμενα, πότερον περισπώμενά εἰσιν ἢ βαρύτονα, ὅτι ἐκ τῶν ἐξ αὐτῶν διὰ τοῦ εμεναι ἢ ημεναι ἀπαρεμφάτων διαγινώσκονται, οἷον κνῶ κνήμεναι, εὕρω εὑρέμεναι. 1407, 60.

ῥήματα ἐνδεῆ προθέσεων ὀφειλομένων αὐτοῖς ἐν συνθέσει, οἷον εἶμι ἀντὶ τοῦ ἄπειμι. 75, 15.

ῥήματα κίνησιν σημαίνοντα γενικῇ συντασσόμενα ἐλλιπῶς τῆς διὰ προθέσεως, οἷον ἔρχονται πεδίοιο, ἤγουν διὰ τοῦ πεδίου. 349, 28.

ῥήματα πεμπτόζυγα δισύλλαβα ἀπὸ ταὐτοζύγων τρισυλλάβων παραγόμενα, οἷον ὄφλω ἐκ τοῦ ὀφείλω καὶ ἔγρω ἐκ τοῦ ἐγείρω. 28, 46.

ῥήματα περισπώμενα δισύλλαβα τῇ ο συλλαβῇ παραλήγοντα ὅτι καίπερ ἐκ βαρυτόνων τῷ ε παραληγόντων, οἷς συστοιχοῦσιν ὀνόματα τῷ ο παραλήγοντα, γινόμενα, ὅμως αὐτὰ διὰ τοῦ ω μεγάλου γράφονται, οἷον στρέφω στρόφος στρωφῶ, νέμω νόμος νωμῶ. 137, 24. 28.

ῥήματά τινα μὴ κινούμενα ἀναλόγως, ἀλλ' ἑτεροκλίτως, οἷον σταθμίζω ἐστάθμησα ὡς ἀπὸ τοῦ σταθμίω σταθμῶ. 114, 5.

ῥῆνες οἱ ἄρνες. 798, 37.

ῥῆξαι τὸ βίᾳ διακόψαι τὸ συνεχές. 426, 18. ἀλλαχοῦ δὲ ὅτι ῥῆξαι καὶ τὰ ἐξ αὐτοῦ βιαίαν τινὰ κίνησιν σημαίνουσι. 1598, 30. καὶ ῥήξασθαι φάλαγγα, παρ' Ὁμήρῳ ἀντὶ τοῦ διακόψαι συνασπισμὸν πολεμίων. 833, 24. καὶ ῥῆξαι ὁμωνύμως τὸ βάψαι παρὰ τοῖς ἀρχαίοις. 782, 20. 1471, 55.

ῥήξασθαι ἐν ἴσῳ τῷ ῥῆξαι πολλαχοῦ παρ' Ὁμήρῳ. 893, 61. ζήτει τὸ ῥῆξαι.

ῥηξηνορία ἡ ἐκ ῥωμαλεότητος ἀνδρία καὶ ῥῆξις ἀνέρων ἀνθισταμένων. 1762, 33.

ῥηξήνωρ ὁ τὴν τῆς φάλαγγος ῥήσσων πυκνότητα. 287, 29. 621, 60. 672, 18. 765, 5. ἀλλαχοῦ δὲ ὅτι ῥηξήνωρ, τό τε κύριον καὶ τὸ ἐπίθετον, παρὰ τὸ ῥῆξαι τῇ ἠνορέῃ τοὺς πολεμίους λέγεται. 1568, 16. καὶ ὅτι ἐλλιπῶς αἰτιατικῆς τινὸς λέγεται τοὔνομα. 678, 57.

Ῥῆσος, υἱὸς καθ' Ὅμηρον μὲν Ἠϊονέως, κατὰ δὲ τοὺς ὕστερον Στρυμόνος καὶ Εὐτέρπης, ὅτι ὑπὸ Διομήδους ἐδολοφονήθη ὡς γράφεται Ἰλ. κ', 470 sqq. 817, 25.

Ῥῆσος, ὁ καὶ Ῥοίτης, ποταμὸς τῆς Τρωάδος, ὅτι ἀπὸ Καλῆς Πεύκης ἄρχεται καὶ ἐμβάλλει εἰς τὸν Γράνικον. 889, 59. 890, 6.

ῥήσσειν παρ' Ὁμήρῳ ἀντὶ τοῦ τὴν γῆν τοῖς ποσὶ παίειν ἐν τῷ ὀρχεῖσθαι. 1164, 27.

ῥήσσω ῥῆμα ὅτι πῇ μὲν συστέλλει τὸ η εἰς α κατὰ τὰς παραγωγάς, πῇ δὲ εἰς ω τρέπει. 1633, 47.

ῥητὴρ ἀντὶ τοῦ ῥήτωρ ποιητικῶς. 762, 17.

ῥητορικὴ ὅτι φρόνησίς ἐστι περὶ λόγους κατὰ Στράβωνα. 96, 40. καὶ ὅτι τὴν τοῦ λέγειν ἐπιστήμην τοῖς ἀοιδοῖς ἀνατίθησιν Ὅμηρος ἐν οἷς λέγει, μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως κατέλεξας, Ὀδ. λ', 368. 1690, 35.

ῥητορικὸς λόγος διαφόρων ζώων ἢ πραγμάτων ἰδιότησιν εἰκαζόμενος παρὰ τὰς διαφόρους αὐτοῦ ποιότητας, ἑρμηνεία διεξοδική. 396, 6.

ῥητὸς μισθὸς ἀντὶ τοῦ ὡρισμένος. 1245, 56.

ῥήτρα παρ' Ὁμήρῳ ἡ συμφωνία εἴτουν συνθήκη ἐπί τισι ῥητοῖς, καὶ ῥήτραν ποιεῖσθαι, Ὀδ. ξ', 393. ἀντὶ τοῦ στοιχῆσαι· παρὰ δὲ τοῖς μεθ' Ὅμηρον ῥήτρα ἡ δημηγορία. 1245, 56. 1765, 8. 12.

ῥῆτραι αἱ ὡρισμέναι συνθῆκαι. 1245, 56.

ῥήτωρ ὅτι παρὰ τὸ ῥεῖν λέγεται. 96, 37. 396, 14.

ῥιγεδανὴ Ἑλένη παρ' Ὁμήρῳ καὶ στυγερή, ἣν πάντες ἐρρίγασι καὶ στυγοῦσι. 429, 37. 626, 7. 1374, 36.

ῥιγεδανὸν τὸ λυπηρὸν καὶ φοβερόν. 1186, 63. 1559, 48.

ῥιγηλὸν καὶ ῥίγιον τὸ φρικτὸν εἴτουν φοβερόν. 412, 34. 1762, 41.

ῥίγιον, ἤγουν φρικτότερον, ὅτι παρὰ τὸ ῥῖγος ἐκ τοῦ παρακολουθοῦντος λέγεται. 111, 18. 149, 26. ἀλλαχοῦ δὲ ἔτι ῥίγιον παρὰ τὸ ῥιγοῦν λέγεται, καὶ ὅτι κυριολεκτικῶς κεῖται ἐν τῷ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται, Ὀδ. ρ', 191. καὶ ὅτι ἀλλαχοῦ ἀντὶ τοῦ φοβερὸν καὶ φρικτὸν μεταφορικῶς τίθεται. 1814, 55.

Ῥίγμος κύριον, τὸ ρι ἰῶτα. 1217, 61.

ῥιγῶ ῥιγώσω κατὰ τὴν τρίτην ἐπὶ ψύχους, ῥιγῶ δὲ ῥιγήσω ἐπὶ φόβου. 411, 26. 1770, 33.

ῥίζαι ὀφθαλμοῦ τὸ βαθύτατον μέρος αὐτοῦ μεταφορικῶς. 1636, 7.

ῥίμφα, ἤγουν ταχέως. 1376, 34.

ῥὶν ῥινός, ὅτι παρὰ τὸ ῥέειν δι' αὐτῆς τὸ ἐκ τῆς κεφαλῆς περίττωμα οὕτω λέγεται. 692, 18. καὶ ὅτι ῥῖνες πληθυντικῶς λέγονται διὰ τοὺς αὐτόθι δύο πόρους. 998, 28. ἀλλαχοῦ δὲ ὅτι ῥῖνες οἱ πόροι τῆς ῥινός. 1063, 15.

ῥινᾶν τὸ ἐξαπατᾶν, ἀπὸ τῶν ἐκ τῶν ῥινῶν ἀπατωμένων κυνῶν. 998, 29. 1822, 43.

ῥινὸς τὸ δέρμα εἴτουν ἡ βύρσα καὶ ἡ ἀσπίς, ἐκ τοῦ μέρους τὸ ὅλον. 496, 2. καὶ ὅτι κατὰ θηλυκὸν γένος λέγεται Ἰωνικῶς. 679, 45. 1926, 54. καὶ ὅτι παρὰ τὸ διὰ τοῦ δέρματος ῥέειν τοὺς ἱδρῶτας οὕτω λέγεται. 692, 14. 18. 1208, 38. καὶ ὅτι καὶ ῥινὸς βοὸς ἐντελέστερον λέγεται ἐπὶ ἀσπίδος, οἷον ἐν τῷ, ῥινοῦ τε βοῶν εὖ ποιητάων, Ἰλ. π', 636. 1079, 30. καὶ ῥινὸς ὁμωνύμως ἡ ἀχλὺς παρ' Ἰλλυριοῖς. 1536, 15

ῥινοτομεῖν τὸ τὰς ῥῖνας τέμνειν. 1839, 16.

ῥινοτόμος Ἄρης ἐπιθετικῶς ὁ τέμνων τὸν ῥινὸν, ὅ ἐστι τὸ δέρμα τῶν ἀσπίδων ἢ τῶν σωμάτων. 1243, 8.

ῥινοῦ ποιητὴ ἀσπὶς, ἤγουν ἡ ἐκ δέρματος πεποιημένη. 803, 19.

ῥίον, κορυφὴ ὄρους ὑπερφαινομένη. 1623, 17.

ῥῖπες, πλέγμα καλάμου πλατὺ ὡς ψίαθος. 1533, 50. ζήτει τὸ, ῥὶψ ῥιπός.

ῥῖπες οἱ τῆς οἰσύας λύγοι. 1344, 42. ζήτει τὸ, ῥὶψ ῥιπός.

Ῥίπη πόλις καὶ Ῥῖπαι ὄρος τι, ῥιπὴ δὲ ὀξυτόνως ἡ πνοή. 301, 26. 906, 54. 1967, 21.

ῥιπὴ ὅτι παρὰ τὸ ῥίπτω λέγεται, ἢ παρὰ τοὺς ῥῖπας, ὅ ἐστι φυτὸν εὐλύγιστον. 1591, 42.

Ῥιπὶς, ὅτι μερίς τις τῆς Ἀρκαδίας, καθ' ἣν καὶ Ῥίπη πόλις, οὕτως ἐλέγετο. 301, 29.

ῥιπτάζω καὶ ῥιπτάσκω παρὰ τὸ ῥίπτω. 983, 52. 1601, 54.

ῥίπτειν δίσκον ἀντὶ τοῦ ἀφιέναι καὶ πέμπειν. 1331, 46.

ῥίπτειν ποι τὰς ὄψεις, ἐν ἴσῳ τῷ παρ' Ὁμήρῳ βάλλειν τὰ ὄμματα. 1799, 26.

— ρις λήγοντα ὀνόματά τινα τῷ ἰῶτα παραλήγοντα, οἷον ἶρις, κίρις, ξίρις. 391, 36.

— ριστος λήγοντα ὀνόματα παρὰ τὸ ἐρίζω λεγόμενα, οἷον ἀμφήριστος, ὧν τινὰ καὶ χωρὶς τοῦ σ λέγονται, οἷον Ἐπήριτος κύριον, Ὀδ. ω', 306. 1960, 10.

ῥὶψ ῥιπὸς, πλέγμα καλάμου πλατὺ ὡς ψίαθος ἐξ οἰσύας φυτοῦ γινόμενον, ὅτι παρὰ τὸ ῥέπω ῥίπτω γίνεται, ὅθεν ῥὶψ ἡ εὐρίπιστος καὶ εὐλύγιστος καὶ οἷα τε ῥέπειν καὶ ῥίπτεσθαι· καὶ ὅτι σύστοιχός ἐστι τῷ ῥιπίζειν ἡ λέξις. 1533, 52.

— ρμ ἀμέσως ἐπαγόμενα ἀρκτικῷ λέξεως φωνήεντι βραχυνομένῳ ὅτι δασύνεσθαι αὐτὸ ποιοῦσιν, οἷον ἅρμα, ἕρμα, ὅρμος. 140, 10.

ῥόα βαρύτονον ἐκ τοῦ ῥοιὰ ὀξυτόνου, ὡς ἐκ τοῦ χροιὰ τὸ χρόα. 94, 4. 1572, 35.

ῥοδαλὸς ποταμὸς, οἱονεὶ κραδαλὸς, τουτέστιν εὐκράδαντος διὰ τοὺς περὶ αὐτὸν δόνακας. 942, 2.

ῥοδάνη ἡ κρόκη, καὶ ὅτι κρόκην ῥητέον, οὐχὶ ῥοδάνην. 1328, 51. 1527, 60.

ῥοδανίζειν ὅτι παρὰ τὴν ῥοδάνην, ὃ δηλοῖ τὴν κρόκην, λέγεται. 1527, 61.

ῥοδανὸς ποταμὸς οἱονεὶ ῥοανὸς πλεονασμῷ τοῦ δ', ἤγουν ῥοώδης. 1165, 18.

ῥοδῆ περισπωμένως, ὅτι ἐκ τοῦ ῥοδέα συνῄρηται τοὔνομα. 1963, 48.

Ῥοδιακαὶ ἰτρίδες, σκεύη ποιά· ζήτει ἐν τῷ ἰτρίδες. 1632, 4.

Ῥοδιακῶν πόλεων ἐπώνυμοι καὶ ἀρχηγοὶ, Λίνδος, Ἰαλυσὸς, Κάμειρος, υἱοὶ Κερκάφου τοῦ Ἡλίου καὶ Ῥόδου τῆς Νύμφης. 315, 27. καὶ ὅτι Διόπεμπτος πλοῦτος ἐπεισπεσεῖν μυθεύεται. 317, 6.

Ῥοδίος, ὄνομα ποταμοῦ, παροξυτόνως πρὸς διαστολὴν τοῦ ἐθνικοῦ· καὶ ἐτυμολογία τῆς λέξεως, καὶ περὶ τοῦ ποταμοῦ ἱστορία. 890, 7. 11.

ῥοδοδάκτυλος Ἠὼς, ἤγουν πρωΐα· καὶ ὅτι τὸ πλεῖον τῆς ἡμέρας, ἔλαττον δὲ τῆς νυκτὸς ὑπαγορεύει τὸ ῥοδοδάκτυλος. 693, 49. 1429, 47.

ῥοδόεν ἔλαιον παρ' Ὁμήρῳ τὸ κοινῶς ῥόδινον. 1294, 43.

ῥόδον τὸ ἄνθος καὶ Ῥόδος ἡ νῆσος ὅτι τῷ Ἡλίῳ ἀνέκειντο. 1527, 58. καὶ τῶν σεμνωμάτων καὶ διαφόρων προσηγοριῶν καὶ ἐπιθέτων τοῦ ῥόδου τοῦ ἄνθους. 1295, 10.

Ῥόδος, πόλις ὁμώνυμος τῇ νήσῳ ἐν ᾗ ἐστι, καὶ ὅτι κατὰ τὰ Πελοποννησιακὰ ἐκτίσθη ἡ πόλις, ἱστορία. 315, 19.

ῥοὴ ὕδατος τὸ ῥεῦμα, καὶ ὅτι καὶ δακρύων ῥοὴ λέγεται. 1057, 31.

ῥοθιάζειν τὸ εὐτόνως ἐρέσσειν καὶ τὸ ἐκ συνθήματος ἀναφωνεῖν ἐπὶ τῇ εἰρεσίᾳ. 1540, 43.

ῥόθιον κῦμα ἐπιθετικῶς παρ' Ὁμήρῳ τὸ ῥοθοῦν, παρὰ δὲ τοῖς ὕστερον τὸ ῥεῦμα καὶ ἡ σύντονος εἰρεσία οὕτω λέγεται, ὅθεν καὶ ῥοθιάζειν ῥῆμα. 1540, 41.

ῥοιὰ τὸ φυτὸν καὶ ὁ καρπὸς αὐτοῦ, καὶ Ῥοιαὶ αἱ περὶ αὐτὰ μυθικαὶ Νύμφαι. 1572, 32. 35. καὶ ὅτι ῥοιὰ μὲν ὀξυτόνως, ῥόα δὲ βαρυτόνως λέγεται. 94, 4.

ῥοιβδεῖν τὸ ῥοφεῖν, περὶ Σκύλλης λεγόμενον Ὀδ. μ', 106. ὅτι ὠνοματοπεποίηται ἡ λέξις κατὰ μίμησιν ἤχου ποιοῦ. 1716, 51.

ῥοῖβδος ἀντὶ τοῦ ῥοῖζος ἐν τῷ, πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν, καὶ ὅτι ὠνοματοπεποίηται ἡ λέξις κατὰ μίμησιν ἤχου ποιοῦ. 1716, 54. καὶ ὅτι τὸ ῥοῖβδος τραχύτερόν ἐστι τοῦ ῥοῖζος. 821, 41.

ῥοΐδιον τρισυλλάβως ὅτι ἐκ τοῦ ῥοΐδιον κατὰ συναίρεσιν λέγεται. 1400, 63.

ῥοιζεῖν λέγεται ποιμὴν ἀντὶ τοῦ συρίττειν, καὶ ῥοῖζος ὁ τοῦ Κύκλωπος συριγμὸς παρ' Ὁμήρῳ. 1631, 3. ῥοίζειν δὲ καὶ ῥάζειν κυρίως μὲν τὸ ὑλακτεῖν, μεταφορικῶς δὲ τὸ πικραίνεσθαι καὶ σκαιολογεῖν. 1792, 22.

ῥοῖζος ὅτι πρὸς τὸν τοῦ ῥῶ στοιχείου ἦχον ὠνοματοπεποίηται. 821, 38. 40. 1636, 16. ἀλλαχοῦ δὲ ὅτι ῥοῖζος ὁ συριγμὸς κατὰ γένος θηλυκὸν ἐν τῷ, πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα, Ὀδ. ι', 315. 1631, 2. ἢ καὶ ῥοῖζος ὀϊστῶν λέγεται ὁ ἀποτελούμενος ἦχος ἐν τῷ ἀέρι κατὰ τὴν τῶν ὀϊστῶν φοράν. 1063, 37.

ῥοικὸν λαγωβόλον ὅτι παρὰ τὸ ῥήπειν δοκεῖ τισὶ λέγεσθαι. 1332, 47. 1815, 14.

Ῥοίτειον, πόλις Τρωαδικὴ, πρὸς ᾗ μνῆμα καὶ ἡρῷον Αἴαντος, ἱστορία. 666, 50. καὶ ὅτι ἐν δυσὶ διφθόγγοις γράφεται, Ῥύτιον δὲ τὸ Κρητικὸν ἐν δυσὶ διχρόνοις. 313, 26.

Ῥοίτης, ὁ καὶ Ῥῆσος, ποταμὸς Τρωαδικὸς, ὅτι ἀπὸ Καλῆς Πεύκης ἄρχεται καὶ ἐμβάλλει εἰς τὸν Γράνικον. 889, 59. 890, 6.

ῥόμβος ὅτι ταὐτόν ποτε δηλοῖ ὅπερ κῶνος καὶ δῖνος. 1635, 61. καὶ ῥόμβος τροχίσκος ποιὸς, ὃν τύπτοντες ἱμάντι περιδονεῖσθαι ποιοῦσι καὶ ψόφον ἀποτελεῖν. 1387, 47.

ῥομφαία, εἶδος ξίφους ἢ ἐπίσπαστρον. 381, 23. 947, 30.

ῥόπαλον ὅτι παρὰ τὸ ῥέπειν λέγεται, ὡς μὴ ὀρθὸν ὂν ἀλλὰ ῥέπον· καὶ ὅτι τὸ ῥόπαλον καὶ

προσώπου παθητικοῦ παρακειμένου λέγεται. 1653, 52.

ῥ ώ ξ, εἶδός τι φαλαγγίου οὕτω λεγόμενον. 1633, 42.

ῥ ώ ο ν τ ο, ἤγουν ἐῤῥωμένως ἐκινοῦντο ἢ ἐπονοῦντο. 1052, 13. 1151, 3. 23.

ῥ ῶ π ε ς, φυτὰ φρυγανώδη εὐλίγιστα, ἐξ ὧν ἔστι σχοινία πλέκειν, ὅτι παρὰ τὸ ῥέπειν λέγονται. 927, 51. 1652, 64. 1750, 2.

ῥ ω π ή ι α, φυτὸν ταὐτὸ ὅπερ ῥῶπες. 927, 51. καὶ ζήτει τὸ ῥῶπες.

ῥ ω π ί ζ ε ι ν ἐπὶ τοῦ σύμμικτα καὶ συμπεφυρμένα ποιεῖν. 927, 57.

ῥ ω π ο π ε ρ π ε ρ ή θ ρ α, σκῶμμα ἐπὶ χυδαιότητι καὶ φλυαρίᾳ, παρὰ τὸν ῥῶπον, ὃ δηλοῖ σύμμικτόν τινα καὶ εὐτελῆ φόρτον. 927, 56.

ῥ ῶ π ο ς, λεπτός τις καὶ εὐτελὴς φόρτος, ὅθεν καὶ ῥωποπώλης λέγεται. 927, 53.

ῥ ω χ μ ὸ ς ταὐτὸ ὅπερ ῥῆγμα. 1309, 5.

Ἀρχὴ τοῦ Σ στοιχείου.

σ̄ στοιχεῖον, ὅτι ἡ τοῦ σ̄ ἐξήχησις ἐξεκλίνετο ὑπὸ τῶν κωμικῶν, ὡς τραγῳδίᾳ πρέπουσα. 1379, 56.

σ̄ πλεονάζον κατ᾽ ἀρχὰς τινῶν λέξεων, οἷον μικρὸν σμικρὸν, φάζω σφάζω. 134, 19. ἀλλὰ καὶ ἐν τῷ μέσῳ. 1170, 50. καὶ τοὐναντίον ἀποβαλλόμενον, οἷον ἐν τῷ σῦς ὗς. 525, 46.

σ̄ πλιονάζον κατὰ τὸ τέλος τῶν εἰς της ληγόντων ῥηματικῶν τινῶν ὀξυτόνων, οἷον τὸ χρηωστὴς καὶ ὀρχηστής. 384, 9.

σ̄ πλεονάζον ἐν μέσῳ λέξεων πολυβραχέων, οἷον ἐν τῷ θεόσδοτον καὶ μογοστόκος, καὶ ἐν τῷ σακέσπαλος καὶ σακεσφόρος. 422, 28. 528, 4. 843, 57. καὶ ἁπλῶς κατὰ τὸ μέσον, οἷον ἐν τῷ κομῶ κοσμῶ, ματροπὸς μαστροπός. 1161, 48. 1170, 50.

σ̄ ἐλλεῖπον ἐν τῷ γνωτὸς καὶ ἄγνωτος, καὶ ἐν τοῖς παρὰ τὸ ἀνυστὸς, οἷον ἐν τῷ ἀνήνυτος, καὶ ἐν τῷ κτίται, καὶ ἐν τοῖς παρὰ τὸ σέσωσμαι, οἷον σώτηρ, ἄσωτος, ἑρμηνεία διεξοδική. 384, 3.

σ̄ τρεπόμενον εἰς ῥ Αἰολικῶς κατὰ τὸ τέλος τινῶν λέξεων, οἷον ἐν τῷ μάρτυς μάρτυρ. 114, 17.

σ̄ τρεπόμενον εἰς θ̄ ἐν μέσῳ λέξεων, οἷον ἐν τῷ μηνιθμὸς καὶ ἐν ἄλλοις τισί. 375, 26. καὶ εἰς τ̄, οἷον ἐν τῷ, μεσαίχμιον μεταίχμιον. 385, 1.

σ̄ τὸ στοιχεῖον ὅτι οὐδέποτε διπλάζεται πρὸ συμφώνου. 880, 10. οὔτε μετὰ δίφθογγον πλὴν ἐν τῷ λεύσσω καὶ κρείσσων. 64, 18.

σ̄ λήγοντα ὀνόματα μακροκατάληκτα ἡνίκα ὀξύνονται τὴν παραλήγουσαν ἔχει ἐκτεινομένην, οἷον κνημὶς, γλωχὶς, ἠὼς, αἰδώς. 26, 42.

σ ληκτικὸν ἐπιῤῥημάτων τινῶν ἀποβαλλόμενον, οἷον ἐν τῷ, αὖθις αὖθι, μέχρις μέχρι, οὕτως οὕτω. 527, 11.

σ ὰ ἀντὶ τοῦ τινὰ Μεγαρικῶς καὶ Δωρικῶς. 148, 38. ὅθεν τὸ ἄσσα ἀντὶ τοῦ ἅτινα. 813, 42.

σ ᾶ ἀντὶ τοῦ σώα θηλυκῶς, καὶ ἀντὶ τοῦ σῶα οὐδετέρως παρὰ τοῖς κωμικοῖς. 959, 42.

Σ α β ά ζ ι ο ς καὶ Σάβος ὁ κατεχόμενος δαιμονίῳ τινί. 1431, 48.

Σ α γ γ ά ρ ι ο ς, ὄνομα ποταμοῦ Φρυγιακοῦ. 1083, 6.

Σ ά γ ρ α, ποταμὸς τῶν Ἐπιζεφυρίων Λοκρῶν, καὶ παροιμία, ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ, ἐπὶ τῶν ἀληθῶν μὲν ἀπιστουμένων δὲ διὰ τὸ δυσχερὲς, ἱστορία διεξοδικὴ, ὅθεν ὥρμηται ἡ παροιμία. 278, 6.

σ α γ ο λ α ί φ ε α, ζήτει ἐν τῷ λαῖφος. 1890, 9.

σ ά θ ω ν, ζήτει ἐν τῷ ἀνδροσάθων. 1968, 43.

σ α ί ν ε ι ν λέγονται τὰ ἄλογα ζῶα, ἰδίως δὲ οἱ κύνες, ἤγουν κολακεύειν σείοντα τὴν οὐρὰν, ὅθεν καὶ ἄνθρωποι σαίνειν λέγονται μεταφορικῶς ἀντὶ τοῦ ὑπούλως κολακεύειν, ὅτι παρὰ τὸ σῶ, ὃ ἐστι σείω, παραγώγως λέγεται διὰ τὸ σείεσθαι τὸ οὐραῖον τοῖς σαίνουσι. 1603, 12. 1655, 39. 1792, 1.

σ α ί ο υ ρ ο ν ζῶον τὸ τῇ οὐρᾷ σαῖνον. 1821, 51.

Σ α κ έ α, ἑορτὴ παρὰ Βαβυλωνίοις ἐπὶ πέντε ἡμέρας ἀγομένη, καθ᾽ ἃς οἱ δοῦλοι ἦρχον τῶν ἰδίων ἕκαστοι δεσποτῶν, ἱστορία διεξοδική. 1098, 56.

σ α κ ε ύ ε ι ν τὸ διὰ σάκου εἴτουν σάκκου ὑλίζειν. 940, 19.

σ α κ έ σ π α λ ο ς ὁ τὸ σάκος, ἤγουν τὴν ἀσπίδα, πάλλων, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ̄ τοὔνομα. 528, 4.

σ α κ ε σ φ ό ρ ο ς ὁ σάκος, ἤγουν ἀσπίδα, φορῶν, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ̄ τοὔνομα. 528, 4.

σ ά κ κ ο ς, ὅτι καὶ ὁ κοινῶς λεγόμενος σάκκος δι᾽ ἑνὸς κ̄ ἐγράφετο παρὰ τοῖς Ἀττικοῖς, ὡς καὶ τὸ σάκος τὸ πολεμικὸν ὅπλον. 588, 12. 940, 16. καὶ ὅτι οἱ ἀρχαῖοι ἐν δερματίνοις σκεύεσιν ἀπετίθεντο τὰ ἄλφιτα ὅπως διὰ τὴν πυκνότητα μηδὲν διαφορῆται. 1446, 9.

σ ά κ τ α ς, θύλακος, μάρσιπος εἴτουν σάκκος, παρὰ τὸ σάττω, ὃ δηλοῖ τὸ φορτίζω. 588, 13. 1446, 8. καὶ σάκτας ὁ φορτωτὴς, παρὰ τὸ σάττω, καὶ ὅτι οὕτως ἐκάλουν τινὲς τοὺς ἰατρούς. 1818, 2. 4.

σ α κ τ ὸ ς, παραγεμιστὸς, παρὰ τὸ σάττω σάξω. 261, 17.

Σ α λ α μ ὶ ς, νῆσος πρὸς τῇ Ἀττικῇ ἡ καὶ Πιτυοῦσσα ποτὲ κληθεῖσα, περιμάχητός ποτε Ἀθηναίοις καὶ Μεγαρεῦσι. 285, 36. καὶ Σαλαμὶς πόλις Κύπρου, ἣν Τεῦκρος ὁ Τελαμῶνος ἔκτισεν ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Σαλαμῖνι τῇ νήσῳ· καὶ ἄλλα τινὰ περὶ Σαλαμῖνος τῆς νήσου, ἑρμηνεία διεξοδική. 285, 4—36.

σ α λ ε ύ ω ὅτι ἐκ τοῦ σάλω ῥήματος παρήχθη. 1075, 45.

Σ α λ μ ω ν ε ὺ ς, υἱὸς Αἰόλου καὶ Λαοδίκης τῆς Ἀλωέως, ὅτι ἀπὸ Διὸς κεραυνωθῆναι λέγεται, καὶ ὅτι περί που τὴν Ἠλείαν ἐβασίλευσε, καὶ ἀλληγορία τοῦ κατὰ τὸν Σαλμωνέα μύθου. 1681, 61.

Σ α λ μ ώ ν η, ὅτι μία τῶν περὶ Πῖσαν ὀκτὼ πόλεων, αἳ Πισάτιδες ἐκλήθησαν, οὕτως ἐλέγετο ἀπὸ Σαλμωνέως τοῦ Αἰόλου. 1682, 1.

Σ ά λ π η, ὅτι οὕτως ἐπεκλήθη τις ποιητὴς παιγνίων διὰ τὸ ποικίλον τῆς συναγωγῆς· καὶ περὶ σάλπης τοῦ ἰχθύος, ἱστορία· καὶ

γνύμενον οἱονεί τινα σταυρὸν εἶτουν σκόλοπα ἵστασθαι ποιεῖ τὸ δόρυ, ὅθεν καὶ οἱονεὶ σταυρωτὴρ λέγεται. 795, 30.

σαυτὸν ἐπαινεῖς ὥς περ Ἀστυδάμας, παροιμία. 957, 31. ζήτει τὸ Ἀστυδάμας.

σάφα ὅτι ἐκ τοῦ σαφέα κατὰ συγκοπὴν λέγεται. 86, 31.

σαφηνείας σχήματος παράδειγμα. 352, 7.

σάω, τρίτον πρόσωπον ῥηματικὸν ἀντὶ τοῦ ἔσωζεν, ὅτι ἐκ τοῦ σάωζεν ἀποκέκοπται. 1233, 59. καὶ ὅτι τὸ σάω καθὸ μὲν ἀναύξητόν ἐστιν Ἰωνικῶς λέγεται, καθὸ δὲ ἀποκέκοπται Αἰολικῶς ἐσχημάτισται. 1064, 14. καὶ σάω προστακτικῶς ὅτι ἐκ τοῦ σάωζε κατ' ἀποκοπὴν λέγεται. 1740, 4.

σαώτερος, συγκριτικὸν ἀπὸ τοῦ σάος, ὃ καὶ αὐτὸ ἀντὶ τοῦ σῶος, ὅ ἐστιν ὑγιής, λέγεται. 31, 38.

σβ ἀρκτικὰ λέξεων ὅτι διὰ τῶν ζβ ἐγράφοντο παρὰ τοῖς ἀρχαίοις, οἷον ζβέσαι ἀντὶ τοῦ σβέσαι καὶ Ζμύρνα ἀντὶ τοῦ Σμύρνα. 217, 24.

σβέννυσθαι, ὅτι οὐ μόνον πῦρ ἢ φῶς σβέννυσθαι λέγεται, ἀλλὰ καὶ γάλα αἰγῶν παυσαμένων τοῦ θηλάζειν, οἷον ἐν τῷ, γάλα αἰγῶν σβεννυμενάων, παρ' Ἡσιόδῳ ἔργ. 588. 1260, 5. καὶ ὅτι καὶ ἄνεμος σβέννυσθαι λέγεται διὰ τὸ οὐ μόνον ἐξ ὕλης ὑγρᾶς, ἀλλὰ καὶ ἐκ ξηρᾶς καὶ θερμῆς εἶναι τοὺς ἀνέμους. 1463, 6.

σβεννύω ἐν ἴσῳ τῷ λήγω ἢ παύω καὶ κοιμίζω. 217, 27.

σβέσαι μένος ἀντὶ τοῦ θανατοῦν παρ' Ὁμήρῳ, διότι σβέσις ἐστὶ τοῦ ἐνθέρμου μένους ὁ ψυχρὸς θάνατος. 1078, 62.

σὲ αὐτὸν ἐν παραθέσει, ὅτι οὐκ ἀντὶ τοῦ σαυτὸν συνθέτου, ἀλλ' ἐπὶ ἐξοχῇ τινὶ πρόσκειται τὸ αὐτὸν ἐν τῷ, οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι Δαρδανίδης Πρίαμος, Ἰλ. χ', 351. 1273, 38.

σεβάζεσθαι ἀντὶ τοῦ τιμᾶν ἢ αἰδεῖσθαι καὶ νεμεσίζεσθαι ἐν τῷ, σεβάσσατο γὰρ τόγε θυμῷ, Ἰλ. ζ, 167. 652, 28.

σέβας παρ' Ὁμήρῳ ἀντὶ τοῦ αἰδὼς ἢ νέμεσις, καὶ ἀντὶ τοῦ ἔκπληξις. 468, 4. 1136, 59. 1483, 62.

σεβαστὸς ὅτι παρὰ τὸ σεβάζεσθαι, ὃ δηλοῖ τὸ τιμᾶν, λέγεται. 652, 29.

σέβειν ἀντὶ τοῦ σέβεσθαι παρὰ ποιηταῖς. 1429, 25.

σέβομαι τὸ αἰδοῦμαι καὶ τὸ ἐκπλήττομαι, παρὰ τὸ σέβας, ὅπερ τήν τε αἰδῶ καὶ τὴν ἔκπληξιν σημαίνει. 468, 3. ζήτει τὸ σέβας.

Σέθως, ὄνομα βασιλέως τινὸς Αἰγυπτίου. 1763, 5.

σείειν ζυγὸν λέγονται ἵπποι ἀντὶ τοῦ ἐῤῥωμένως κινεῖσθαι, ἐκ τοῦ παρεπομένου τὸ προηγούμενον. 1477, 57.

σείειν κάρα ὅτι ζυγομαχίαν ἵππων δηλοῖ παρὰ Σοφοκλεῖ. 1536, 49.

σεῖο καὶ εἷο καὶ ἐμεῖο ἀντωνυμικαὶ γενικαὶ ὅτι ἀναλογώτεραί εἰσι τῶν σέο καὶ ἕο καὶ ἐμέο. 13, 9.

σειράδιον ὅτι παρὰ τὴν σειρὰν λέγεται. 1923, 55.

σειράζειν ἀντὶ τοῦ στρέφειν ἢ ἀστράπτειν ἢ τινάσσειν. 1709, 56.

σειραὶ, πλέγματα ἀπὸ σχοινίων ἢ σπάρτων ἢ κανάβεως. 1291, 32.

σειραῖος ἵππος, ὁ καὶ παράσειρος, ὅτι παρὰ τὴν σειρὰν λέγεται. 700, 47.

σειρὴ πλεκτὴ παρ' Ὁμήρῳ εἶδός τι σχοινίου, καὶ σειραὶ παρὰ τοῖς ὕστερον ἐκ σχοίνου φυτοῦ πεπλεγμέναι. 1923, 50.

σειρὴν, ζωΰφιόν τι ἔντομον ἀρσενικῶς λεγόμενον, ὃ καὶ σημειώδη τινὰ φωνὴν ἔχειν λέγεται. 1709, 52. 1914, 40.

Σειρῆνες ὅτι Ἀχελῴου καὶ Μελπομένης θυγατέρες γεγονέναι μυθεύονται. 817, 31. καὶ ὅτι ἀνταγωνισάμεναι ταῖς Μούσαις καὶ ἡττηθεῖσαι ἐν ποιηῆς λόγῳ ἀπετίλθησαν τὰ πτερὰ, ἐξ οὗ Μοῦσαι ἐπινίκιον στέφανον ἑαυτῇ κατεσκεύασεν ἑκάστη, μῦθος. 85, 36. καὶ ὅτι καὶ τοὺς ἀνέμους θέλγειν αἱ Σειρῆνες μυθεύονται, ὥστε γαλήνην ἐμποιεῖν τῇ θαλάσσῃ. 1710, 34. καὶ ὅτι μία τῶν Σειρήνων Λίγεια ὠνομάζετο παρὰ τὸ λιγαίνειν. 1586, 14. καὶ ὅτι ἡ τῶν Σειρήνων νῆσος Ἀνθεμοῦσα πρότερον ἐλέγετο ἐν τῷ Τυῤῥηνικῷ οὖσα πελάγει. 1709, 43. καὶ ὅτι καὶ τὰ ἄστρα σείρια καὶ σειρῆνες ὁμωνύμως λέγονται, ζήτει τὸ σείρια. 1709, 54. ἀλλαχοῦ δὲ συνεχέστερον καὶ πλατύτερον περὶ τῶν Σειρήνων, ὅτι θεωρητικαί τινες καὶ πολυΐστορες πλάττονται παρ' Ὁμήρῳ, ἕτεροι δὲ ἑταιρίδας τινὰς ψαλτρίας τὰς Σειρῆνας ὑπέθεντο, οἱ δὲ πνεῦμα φασὶν ἐκ τινῶν πόρων γῆθεν ἀναφυσώμενον μέλους ἔμφασιν παρέχειν τοῖς παραπλέουσι τὴν τῶν Σειρήνων νῆσον· καὶ ὅτι τὰς Σειρῆνας οἱ μὲν Ἀχελῴου καὶ Στερόπης τῆς Ἀμυθάονος ἢ Τερψιχόρης τῆς Μούσης θυγατέρας γεγονέναι λέγουσι· καὶ ὅτι χόλῳ Ἀφροδίτης ὀρνιθώθησαν καὶ ᾤκησαν Ἀνθεμοῦσαν νῆσον τινὰ ἐν τῷ Τυῤῥηνικῷ πελάγει· καὶ περὶ τοῦ ἀριθμοῦ καὶ τῶν ὀνομάτων αὐτῶν διάφοροι λόγοι· καὶ ὅτι κατὰ Στράβωνα τρία νησίδια πρὸς τῷ Ποσειδωνιάτῃ κόλπῳ τῆς Καμπανίας Σειρῆνες ἐκαλοῦντο, καὶ ἄλλα τινὰ περὶ τῶν Σειρήνων. 1709, 25 — 55.

σείρια τὰ ἄστρα, παρὰ τὸ σειριᾶν, ὅ ἐστιν ἀστράπτειν καὶ λάμπειν, ὅθεν καὶ ὁ Σείριος ἰδίᾳ καλούμενος ἀστήρ. 1709, 54.

σειριᾶν τὸ ἀστράπτειν καὶ λάμπειν, ὅθεν καὶ σείρια τὰ ἄστρα καὶ σειριᾶν τὸ φλεγμαίνειν ἢ καροῦσθαι. 1709, 54. 56.

σεισμῶν εἴδη τρία, ὧν καὶ οἱ χασματίαι καὶ οἱ βρασματίαι. 890, 56.

σείω ὅτι παρὰ τὸ σέω λέγεται ἐπενθέσει τοῦ ι. 1278, 18.

σέλας τὸ φῶς, οἱονεὶ σευομένη ἕλη, ὅ ἐστιν ἡ ἐξορμῶσα ἐκ τοῦ πυρὸς θερμασία ἢ λαμπηδών. 700, 19. καὶ σέλας τὸ πῦρ παρ' Ὁμήρῳ, ἐκ τοῦ παρακολουθοῦντος. 1125, 39. καὶ ὅτι καὶ σέλας ἡλίου λέγεται ὡς καὶ πυρός. 1908, 39.

σελῆναι ἐπὶ τριπόδων, ζήτει ἐν τῷ, τρίποδες καθηγιασμένοι. 1816, 30.

σεληναία ἄνθρωπος ἢ ἐκ τοῦ

757. ἐν ἴσῳ τῷ θεῖναι τέρμα, ὅ ἐστιν ὁροθετεῖν. 1303, 56.

Σημάνθης ὅτι γράψας τὴν ἐν Αὐλίδι τῆς Ἰφιγενείας σφαγὴν ἐγκεκαλυμμένον ἔγραψε τὸν Ἀγαμέμνονα. 1343, 62.

σημάντωρ, ἄρχων ἢ βασιλεύς, παρὰ τὸ σημαίνειν, ὅ ἐστι προστάσσειν. 820, 9. καὶ σημάντωρ ὁ ἁπλῶς ἐπιτάσσων καὶ σημαίνων καὶ ἐπιστατῶν. 1018, 8. 1810, 56.

σημασιῶν μεταβολὴ ἐπὶ τῶν αὐτῶν φωνῶν κατὰ διαφόρους ἀνθρώπων γενεάς, οἷον μῦθος παρὰ μὲν τοῖς ἀρχαίοις ὁ ἁπλῶς λόγος εἴτουν ἀνθρωπίνη ὁμιλία, παρὰ δὲ τοῖς ὕστερον ὁ πεπλασμένος λόγος, καὶ ἔκθεσις ἄλλων τινῶν παραδειγμάτων. 29, 24 — 38.

σήματα τὰ γράμματα, Ἰλ. ζ', 168. ὡς σημεῖα τῶν ἐν τῇ φωνῇ. 33, 10. καὶ σήματα τὰ σημεῖα, οἷς ἐσημειοῦτο ποῦ ὁ δίσκος ἐν τῇ πρώτῃ καταφορᾷ ἔπεσεν ἐν τῷ, ὁ δ' ὑπέρπτατο σήματα πάντων, Ὀδ. θ', 192. 1591, 42.

σημάτιον τὸ κοινότερον σημάδιον λεγόμενον ἐκ τοῦ σῆμα καθ' ὑποκορισμόν. 1675, 44.

σημεῖα λέγονται τὰ παρὰ καιρὸν ἢ τόπον συμβαίνοντα, ἢ τὰ παρὰ τὰ ὡς ἐπιτοπλεῖστον γινόμενα. 227, 26.

Σῆμος, Μάγνης μελῳδός, ζήτει ἐν τῷ σημῳδοί. 1941, 53.

σημῳδοί, ὡς μελῳδοί, ὅτι ἀπὸ Σήμου τινὸς Μάγνητος διαπρέψαντος ἐν βιβλιακαῖς μελῳδίαις ἐκλήθησαν. 1941, 53.

σῆπες ὅτι τοὺς ἐπ' αὐτοὺς διασκελίσαντας βλάπτουσι. 1259, 53.

σήπεσθαι λέγονται τὰ ξύλα φθειρόμενα, λύεσθαι ἤγουν ἀναλύεσθαι τὰ σχοινία, Ἰλιάδ. β', 135. 191, 40.

Σηπιάς, ἀκτὴ ἄκρα περὶ τὸν Ἄθων, ὅπου ὁ τοῦ Ξέρξου στόλος ἐδυστύχησεν, ὅτι παρὰ τὸ τὴν Θέτιν φεύγουσαν τὸν τοῦ Πηλέως γάμον εἰς σηπιὰν ἐκεῖ μεταβληθῆναι οὕτως ἐκλήθη. 306, 11. 1152, 12.

σήραγγες, γῆς σχίσματα, ὅτι παρὰ τὸ καὶ σεσηρέναι, ὅ ἐστιν κεχηνέναι, οὕτω λέγονται. 1887, 36. 1959, 49.

Σήσαμος, χωρίον Παφλαγονικόν, ἀκρόπολις, Ἀμάστρεως οἰκητήριον τοῦ ἱστορουμένου Φίνεως· καὶ Σήσαμος νῆσός τις. 362, 5.

Σηστός, πόλις Ἑλλησποντιακὴ ἀντικρὺ Ἀβύδου, μικρὰ εὐερκὴς δέ ποτε οὖσα καὶ σκέλει διπλέθρου συνάπτουσα πρὸς τὸν ἴδιον λιμένα· καὶ ὅτι οὐ μόνον θηλυκῶς, ἀλλὰ καὶ ἀρσενικῶς προφέρεται τὸ Σηστὸς ὄνομα. 356, 42. καὶ ὅτι Σηστὸς ἐπεκλήθη πόρνη τις παρὰ τὸ σήθειν, ὅ ἐστιν ἀποδύειν, τοὺς αὐτῇ συνόντας. 1259, 7.

σητάνειος ἄρτος ὅτι παρὰ τὸ σήθειν λέγεται. 1792, 4.

σθα λήγοντα εὐκτικά, οἷον κλέοισθα ἀντὶ τοῦ κλέοις, ὅθεν δῆλον ὅτι καὶ τοῖς εὐκτικοῖς προσέρχεται ἐπεκτατικῶς ἡ θα συλλαβή. 1368, 29.

σθαι λήγοντα ἀπαρέμφατα τῷ ε παραλήγοντα, μὴ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα δὲ ἐν τῇ τρίτῃ ἀπὸ τέλους τὸ ι συνεσταλμένον, παροξύνεται, οἷον λιπέσθαι, πιθέσθαι, ἱκέσθαι, λιτέσθαι. 1045, 11.

Σθένελος ὁ Κομήτου ἐπαναστὰς Διομήδει, ὡς καὶ Λεῦκος Ἰδομενεῖ. 1860, 64.

σθένος ἔχειν ἀντὶ τοῦ δυναμοῦσθαι, οἷον ἐν τῷ, νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν, Ἰλ. σ', 274. 1141, 40. καὶ σθένος ἐν ἴσῳ τῷ μένος ἐν τῷ, χερσί τε ποσί τε καὶ σθένει, Ἰλ. υ', 361. 1211, 22.

Σθένων, ὄνομα ἑνὸς τῶν Ποσειδῶνος ἵππων, παρὰ τὸ σθεναρὸν τοῦ σεισίχθονος Ποσειδῶνος. 918, 14.

σθω ληγόντων προστακτικῶν γραφὴ ληκτική, ὅτι τὰ εἰς ω λήγοντα καὶ διὰ τοῦ σ ἐκφερόμενα προστακτικὰ τὸ θ ἔχει πρὸ τοῦ ω, πλὴν τοῦ ἔστω καὶ ἴστω, καὶ διαίτησις διεξοδικὴ περὶ αὐτῶν. 1755, 55.

σθω ληγόντων ῥημάτων παραγωγὴ ἀπὸ μελλόντων εἰς σω ληγόντων, οἷον ἔδω ἔσω ἔσθω, βιβῶ βιβάσω βιβάσθω. 1071, 28.

σι λήγοντα ὀνόματα καὶ ἐπιῤῥήματα, λεγόμενά ποτε καὶ μετὰ τοῦ ν, οἷον εἴκοσι καὶ εἴκοσιν, πέρυσι καὶ πέρυσιν. 1417, 30.

σι συλλαβὴ πλεονάζουσα ἐπεκτατικῶς, οἷον ἐν τῷ τοῖσδε τοῖσδεσι, καὶ λάβῃ λάβῃσι. 818, 39. καὶ ὅτι τὰ εἰς σι λήγοντα τρίτα πρόσωπα ῥηματικὰ ἑνικὰ ἐκ πλεονασμοῦ ἔχουσι τὸ σι, οἷον δῷ δῷσι, λάβῃ λάβῃσι. 1424, 36. καὶ ὅτι οὐδὲν δεύτερον πρόσωπον ῥηματικὸν εἰς σι λήγει, πλὴν τοῦ ἐσσὶ ἀντὶ τοῦ ὑπάρχεις. 1408, 15.

σίαλον οὐδετέρως τὸ ἀποπτυόμενον περίττωμα. 1390, 57.

σίαλος ὁ ἐν οἴκῳ τρόφιμος εἴτουν σιτευτὸς χοῖρος, παρὰ τὸ σιτεῖσθαι ἅλις. 747, 53. 1241, 37. 1446, 37. ἀλλαχοῦ δὲ ὅτι σίαλος ὁ μέγας καὶ εὐτραφὴς χοῖρος, καὶ ὅτι παρὰ τὸ σιτεῖσθαι ἅλις λέγεται ἢ παρὰ τὸ σισιτεῦσθαι. 1752, 9. 19.

Σίβυλλα, ὄνομα γυναικός τινος μαντικῆς, ἀφ' ἧς Σίβυλλαι πᾶσαι αἱ μαντικαὶ γυναῖκες. 351, 31.

σιβύνη ὅτι διὰ τοῦ σ λέγεται παρὰ τοῖς λογίοις, κοινότερον δὲ ζιβύνη διὰ τοῦ ζ. 1554, 15.

σιγαλόεις θρόνος ὁ ποικίλος διὰ τὸ κατεστίχθαι, ἢ ὁ σιγὴν ἐμποιῶν διὰ τὸ ἀξιοθέατον. 1525, 20.

σιγαλόεν οἴκημα ἐπιθετικῶς τὸ σιγὴν μετὰ θαύματος ἐμποιοῦν τοῖς βλέπουσι. 1808, 27.

σιγαλόεντα τὰ σιγὴν ἐμποιοῦντα ἢ τὰ σιγηλὰ καὶ ἄκτυπα, καὶ ὅτι δέσματα καὶ εἵματα καὶ ἡνία καὶ ἀμύγδαλα σιγαλόεντα λέγονται ἐπιθετικῶς. 1280, 47.

σιγαλόεντα ἀμύγδαλά τινα λεπτόφλοια καὶ διὰ τοῦτο εὔθραυστα καὶ μὴ ἠχοῦντα ἐν τῷ θραύεσθαι. 728, 41.

σιγαλόεντα εἵματα τὰ ἁπαλὰ καὶ διὰ τοῦτο σιγῶντα, ὅ ἐστι μὴ ἠχοῦντα, μετήνεκται δὲ ἀπὸ ἐμψύχων τὸ σιγᾶν. 1549, 62.

σιγαλόεντα ἡνία τὰ ἁπαλὰ πολλαχοῦ παρ' Ὁμήρῳ, ἠχητικὰ γὰρ

τα ξηρά. 542, 19. 703, 26. 1120, 38.

σιγᾶν ὅτι παρὰ τὸ σίζειν λέγεται. 969, 17. καὶ ὅτι σιγᾶν λέγονται κυρίως τὰ ἔμψυχα, μάλιστα δὲ τὰ λογικά. 1549, 63.

Σίγειον, ἄκρα καὶ πόλις Τρωαδική, πρὸς ᾗ μνῆμα Ἀχιλλέως καὶ Πατρόκλου καὶ Ἀντιλόχου. 666, 52. καὶ εἰς Σίγειον μὴ ἐλθεῖν, σκῶμμα εἰς ἀδολέσχας ἐκ τῆς τῶν ὀνομάτων τῆς σιγῆς καὶ τοῦ Σιγείου παρηχήσεως. 889, 50.

σιγὴ ἡ παντελὴς σιωπή. 112, 13. ὅτι ἐκ τοῦ σίσιγα μέσου παρακειμένου τοῦ σίζω θέματος λέγεται, παρὰ τὸ σιγμῷ χρῆσθαι τοὺς σιγᾶν ἐγκελευομένους· καὶ ὅτι μακρὸν ἔχει τὸ σῖ. 493, 22. 1785, 30. καὶ ὅτι σιγῆς αἴτια ἡ αἰδὼς καὶ τὸ δέος. 490, 15. καὶ ὅτι δεῖ σιγᾶν τὰς γυναῖκας, κατασκευαζόμενον ἐκ παραδειγμάτων θηλέων τινῶν ὀρνίθων, αἳ τῶν ἀῤῥένων φωνητικωτάτων ὄντων αὐταὶ ἄφωνοί εἰσι. 395, 41.

σιγῇ ἐπιῤῥηματικῶς, ἤγουν μετὰ σιγῆς, καὶ σιγῇ ἀντὶ τοῦ ἠρεμαίως καὶ πράως ἐν τῷ, ἀλλ' ὄγε σιγῇ δῶρα θεῶν ἔχει, Ὀδ. σ', 142. 1841, 34. καὶ σιγὴ νῦν, Ὀδ. ο', 440. ὑπακουομένου τοῦ ἔστω, ἢ σιγῇ περισπωμένως ὑπακουομένου τοῦ μένε ἢ ἔχε. 1787, 47.

Σίγηλος, κύριον ὄνομα τοῦ Ναρκίσσου, σιγηλὸς δὲ ὁ σιωπηρός. 1967, 34. ἀλλαχοῦ δὲ ὅτι ἐν Γραίᾳ, χωρίῳ τῆς Βοιωτίας, ἦν μνῆμα Ναρκίσσου τοῦ Ἐρετριέως καλούμενον σιγηλὸν διὰ τὸ τοὺς ἐκεῖ παριόντας σιγᾶν. 266, 24.

σίγιστρον, δοχεῖόν τι κρυπτικὸν τῶν ἐν αὐτῷ, ὅτι ἐκ τοῦ ζύγαστρον κατὰ παραφθορὰν λέγεται. 956, 6. 1604, 16.

σίγμα τοῦ στοιχείου κακοηχία, καὶ ὅτι Εὐριπίδης ἐπὶ τῇ κατακόρῳ χρήσει τοῦ σ κακῶς ἤκουσέ ποτε. 1379, 56. ζήτει κατ' ἀρχὰς τῆς τοῦ σ συστοιχίας.

σιγμὸς ὁ τοῦ σ στοιχείου ἦχος. 821, 40.

σίγυμνον ἢ σίγυννον, ἀκόντιον ὁλοσίδηρον. 344, 12. 381, 18. 1854, 23.

σιδήρεον ἦτορ ἡ στεῤῥὰ καὶ ἄτρεστος ψυχή, ἢ ἡ σκληρὰ καὶ ἄτεγκτος καὶ ἀνηλεής. 1273, 56. 1345, 59.

σιδήρεος ἄνθρωπος ὁ θρασὺς καὶ ἀναίσχυντος, ὅθεν καὶ Σιδηρώ, γυναῖκα τινὰ οὕτω καλουμένην, τὸ ἑαυτῆς ὄνομα φορεῖν λέγει ὁ Ἀριστοτέλης. 1940, 96.

σιδήρεος οὐρανὸς ὁ στεῤῥός, ἢ καὶ πολύχαλκος καὶ χαλκοβατὴς λέγεται. 576, 33.

σίδηρος ἐφέλκεται ἄνδρα, ὅτι παροιμιακῶς λέγεται διὰ τὸ παρακειμένου σιδήρου πάντα τινὰ προχειρότερον εἰς μάχην γίνεσθαι. 1802, 45.

σιδήρου στομωμάτων ὀνομασίαι διάφοροι, καὶ ὅτι διαφόρως στομούμενος ὁ σίδηρος εἰς διάφορα ἔργα ἐχρησίμευε παρὰ τοῖς παλαιοῖς. 294, 4.

σιδηροβρὼς σιδηροβρῶτος, ὅτι παρὰ τὸ βρῶ βρώσω καὶ τὸ σίδηρος λέγεται. 1817, 28.

σιδηρόφρων τε κὰκ πέτρας εἰργασμένος ἄνθρωπος, παρ' Αἰσχύλῳ (Prom. 242.) ὁ σκληρὸς τὸ ἦθος. 1940, 58.

Σιδηρώ, κύριον γυναικός, ζήτει ἐν τῷ, σιδήρεος ἄνθρωπος. 1940, 57.

Σιδόνιοι οἱ τὴν παράλιον Συρίαν οἰκοῦντες, Ὅμηρος δὲ τοὺς παρὰ τὴν ἐρυθρὰν θάλασσαν οἰκοῦντας. 1484, 52—61. καὶ ὅτι καὶ Σίδονες παρ' Ὁμήρῳ λέγονται ὁμωνύμως τῷ πληθυντικῷ τῆς πόλεως κατὰ συστολὴν τῆς ἀρχούσης, καὶ ὅτι καλλίτεχνοι οἱ Σιδόνιοι ἱστοροῦνται. 1327, 47. 52. καὶ περὶ τοῦ ἀρκτικοῦ χρόνου καὶ τῆς παραληκτικῆς γραφῆς ζήτει τὸ, Σιδὼν Σιδῶνος.

Σιδὼν Σιδῶνος, ὄνομα πόλεως, ὅτι κανονικῶς μὲν συστέλλει τὸ σῖ, φυλάσσει δὲ τὸ ω ἐν ταῖς πλαγίαις· παρ' Ὁμήρῳ δὲ τοὐναντίον ἐνίοτε γίνεται κατὰ χρόνου μετάθεσιν. 643, 5. 943, 53. 1485, 5. 1741, 25. καὶ ὅτι καὶ τὸ Σιδόνιος καὶ Σιδονία τὰ ἐθνικὰ ἀεὶ διὰ τοῦ ο μικροῦ εὕρηνται παρ' Ὁμήρῳ. 1787, 32.

σίζειν λέγεται σίδηρος πεπυρωμένος κατὰ τὸ βάπτεσθαι ὕδατι, καὶ ὅτι πρὸς τὸν τοῦ σ στοιχείου ἦχον ὠνοματοπεποίηται τὸ σίζειν. 1146, 41. 1636, 9. 15.

Σικανία παρ' Ὁμήρῳ καὶ Ἡροδότῳ ἡ Σικελία, Διόδωρος δὲ διαφορὰν οἶδε Σικανῶν καὶ Σικελῶν. 281, 20. 1896, 52. ζήτει ἐν τῷ Σικελία. 1962, 23.

Σικελία ὅτι καὶ Τρινακρία καὶ Θρινακία λέγεται διὰ τὸ τρεῖς ἄκρας ἔχειν, Πελωρίδα, Πάχυνον καὶ Λιλύβην. 1675, 5. καὶ ὅτι καὶ Σικανία λέγεται ἡ Σικελία, διότι Ἴβηρες ἐλθόντες ἀπὸ Σικανοῦ ποταμοῦ ᾤκισαν τὴν Σικελίαν καὶ Σικανίαν ὠνόμασαν. 1962, 23.

Σικελίζειν τὸ ὀρχεῖσθαι διὰ τὸ ὡς εἰκὸς ἐπιχωριάζειν τοῖς ἐν Σικελίᾳ τὸν ὀρχηθμόν. 1602, 28.

Σικελοὶ οἱ τὴν Σικελίαν οἰκοῦντες βάρβαροι, οἳ καὶ Σικανοὶ λέγονται· Σικελιῶται δὲ οἱ ἐποικήσαντες τὴν Σικελίαν Ἕλληνες. 1896, 50.

σίκιννις, εἶδος ὀρχήσεως κωμικωτέρας, ἣν Φρύγες ὠρχοῦντο ἐπὶ Σαβαζίῳ Διονύσῳ, ἀπὸ μιᾶς τῶν τῆς Κυβέλης ὀπαδῶν Νυμφῶν, ᾗ ὄνομα Σίκιννις. 1077, 20. ἀλλαχοῦ δὲ ὅτι σίκιννις ὄρχησις κωμικὴ καὶ Σατυρικὴ ἀπὸ Σικίννου βαρβάρου τινὸς εὑρόντος αὐτήν. 1167, 21. 1942, 3.

σικιννοτύρβη, ὄνομα αὐλήσεως ποιᾶς. 1237, 57.

σικυὸς ὅτι καὶ σίκυος σικύου εὑρηται λεγόμενον, καὶ σίκυς σίκυος, ὡς νέκυς νέκυος. 291, 37. καὶ ὅτι παρὰ τὸ σύεσθαι καὶ κίειν, ὡς καὶ ἡ συκῆ, λέγεται τροπῇ τοῦ υ εἰς ι. 437, 16. ἀλλαχοῦ δὲ ὅτι τὸ σικυὸς εἰς ἀποφυγὴν τῆς πρὸς τὴν συκῆν συνεμπτώσεως διὰ τοῦ ι ἔχει τὸ σῖ. 1822, 31.

Σικυών, πόλις Πελοποννήσου, Μηκώνη πρότερον κληθεῖσα, καὶ ἔτι πρότερον Αἰγιαλοί, ἐκλήθη δέ ποτε καὶ Τελχινία διὰ τοὺς κατοικήσαντας αὐτόθι Τελχῖνας, καὶ λέγεται κατά τε ἀρσενικὸν καὶ κατὰ θηλυκὸν γένος, καὶ ἄλλα τινὰ περὶ τῆς πόλεως· καὶ ὅτι καὶ τὸν περιεκτικὸν σικυῶν τόπον δηλοῖ ἡ σικυὼν φωνή. 291, 22—34. 1302, 19.

Σικυώνια, ὑποδήματα ποιὰ ἀπὸ Σικυῶνος λεγόμενα. 1302, 22.
σιγχάζω καὶ σιγχὸς ὅτι παρὰ τὸν σέσιχα παρακείμενον τοῦ σίζω θέματος λέγονται πλεονασμῷ τοῦ κ, ὡς καὶ τὸ Βάχος Βάκχος. 493, 25.
Σιληνοὶ, δαίμονές τινες ὀρχηστικοὶ Διονύσου ὀπαδοὶ, ὅτι παρὰ τὸ συλλαίνειν λέγονται. 204, 25.
σίλιγνις, εἶδός τι σπορίμου, ὅθεν καὶ σιλιγνίτης καὶ σιλιγνίας ἄρτος. 1753, 6.
σίλλοι, εἶδος ποιήσεως κωμικῆς, καὶ σιλλογράφοι οἱ τῶν σίλλων ποιηταί. 204, 23.
σιλόδουροι παρὰ Γαλάταις λέγονται οἱ τῷ βασιλεῖ συζῶντες καὶ συναποθνήσκοντες, οἳ εὐχωλιμαῖοι Ἑλληνικῶς λέγοιντ' ἄν. 1278, 32.
σιλοῦν τὸ τοὺς ὀφθαλμοὺς παρασύροντα χλευάζειν. 204, 27.
σίλουρος ἰχθὺς ὅτι παρὰ τὸ σείειν τὴν οὐρὰν λέγεται ἀπελεύσει τοῦ ε τῆς σει συλλαβῆς. 989, 11.
σίμβλον τὸ ἀγγεῖον ἐν ᾧ μελιττουργοῦσιν αἱ μέλισσαι. 178, 18.
Σιμοείσιος, ἄνθρωπός τις ἐκ τοῦ παρὰ Σιμόεντι γεννηθῆναι οὕτω κληθείς. 500, 13.
σιμὸν τὸ κοῖλον καὶ ταπεινόν. 217, 15. 23.
σῖμος, ἰχθὺς ποιὸς, ὅτι βαρύνεται πρὸς διαστολὴν τοῦ σιμὸς ἐπιθέτου. 906, 55.
σιμοῦσθαι καὶ ἐν συνθέσει ἀποσιμοῦσθαι, ζήτει τὸ ἀποσιμοῦσθαι. 965, 45.
Σίμων ἀντὶ τοῦ Σιμωνίδης καθ' ὑποκορισμὸν, ὅτι διὰ τοῦ ω μεγάλου κλίνεται. 1653, 33.
σιναπῶ τὸ δριμύττομαι, ὅτι παρὰ τὸ σίνηπι λέγεται. 1061, 5.
σίνδρωνες οἱ κοινῶς λεγόμενοι δουλέκδουλοι. 1024, 41.
σίνηπι ὅτι παρὰ τὸ σίνεσθαι τοὺς ὦπας οὕτω λέγεται. 1061, 3.
Σίνις Σίνιδος, ὄνομα λῃστοῦ, ὅτι παρὰ τὸ σίνεσθαι λέγεται ὡς καὶ τὸ σίντης τὸ προσηγορικόν. 158, 20. 857, 47.
σίντης λέων ὁ βλαπτικός. 857, 46.
Σίντιες, ὅτι οὕτως ἐπεκλήθησάν ποτε οἱ Λήμνιοι παρὰ τὸ σίνεσθαι, ὅ ἐστι βλάπτειν· καὶ ὅτι σίνης μὲν τὸ προσηγορικὸν διὰ τοῦ ἦτα γράφεται, Σίνις δὲ τὸ ἐθνικὸν διὰ τοῦ ἰῶτα. 158, 4. 11. 18.
Σίνων καταμηνύσας τὸν δούρειον ἵππον τοῖς Τρωσὶν, ἱστορία. 1494, 39.
Σινώπη, πόλις Ποντικὴ, ὅτι ἐλαίαις πλεονάζει. 346, 2. καὶ ὅτι ἀπὸ Σινώπης ἡρωΐδος ἐκλήθη. 1721, 9.
Σινωπικὸν στόμωμα σιδήρου ὅτι εἰς τεκτονικὰ ὄργανα ἐχρησίμευεν ὡς καὶ τὸ Χαλυβδικόν. 294, 5.
σίον, εἶδος φυτοῦ σελίνῳ ἐλείῳ τὰ φύλλα παραπλήσιον. 1524, 53.
σιὸς ὁ θεὸς Δωρικῶς, ὅθεν τὸ, νὴ τὼ σιὼ, παρὰ Λάκωσιν ἀντὶ τοῦ νὴ τὼ θεὼ, τὼ Διοσκούρω δηλονότι. 631, 42.
σίπαλος ὁ εἰδεχθὴς κατὰ γλῶσσαν. 927, 29.
Σίπυλον, ὄρος Φρυγιακὸν, περὶ ὃ τὰ κατὰ τὴν Νιόβην γεγονέναι μυθεύεται. 1367, 54.
σίραιον οὐδετέρως, ὁ καὶ σίρινος λεγόμενος οἶνος πολὺ ἕψημα ἔχων. 1385, 15.
σίρινος οἶνος πολὺ ἕψημα ἔχων, ὁ καὶ σίραιον οὐδετέρως λεγόμενος. 1385, 14.
Σῖρις, ὄνομα πόλεως Ἰταλικῆς ἐν δυσὶ ἰῶτα γραφόμενον κατὰ τὸ κίρις καὶ ξίρις. 391, 36. καὶ ὅτι Σάμιοι κατασχόντες τὴν Σιρῖτιν χώραν ὑπὸ περδίκων ἀνέστησαν. 790, 1.
σίρμις, ὅτι οὕτως ἐκλήθη ποτὲ Ξάνθος ὁ Λυκιακὸς ποταμός. 907, 30.
σίσυβοι οἱ θύσανοι εἴτουν κροσσοὶ κατὰ γλῶσσαν. 976, 28.
Σισυφεὺς ὁ σοφὸς ἀριθμητὴς παρὰ Λυκόφρονι. 631, 46.
Σίσυφος τὸν Θάνατον δήσας, μῦθος καὶ ἀλληγορία καὶ ἐτυμολογία τοῦ ὀνόματος, καὶ διὰ τί ἐν Ἅιδου μυθεύεται κολάζεσθαι ὁ Σίσυφος, καὶ τίνι τρόπῳ, ἑρμηνεία διεξοδικωτάτη. 631, 33. 41. 1701, 50 — 1702, 3.
σιταρκεῖν τὸ σῖτον ἐπαρκεῖν. 626, 55.
σῖτον καὶ σιτίον οὐδετέρως οἱ εἰς βρῶσιν κατειργασμένοι πυροὶ εἴτουν ὁ ἄρτος, σῖτος δὲ ὁ ἀκατέργαστος. 726, 28. 1170, 32. 1401, 64. 1794, 57.
σῖτος ὅτι ἐκ τοῦ σίω ῥήματος γέγονεν ἀποβολῇ τοῦ ε. 989, 10. καὶ τί διαφέρει τοῦ σῖτον οὐδετέρως λεγομένου, ζήτει τὸ σῖτον.
σίττα ἢ σίττε, ἐπίφθεγμα ποιμενικὸν ἐπισπευστικὸν τῶν θρεμμάτων, ὃ καὶ φίττα λέγεται. 855, 26. 1963, 43. ζήτει τὸ φίττα.
σίττυβος κατά τινας ταὐτὸ ὅπερ λοπὰς, ἢ κάκκαβος. 872, 14.
Σιτὼ Δημήτηρ παρὰ Συρακουσίοις τιμωμένη πρὸς εὐφορίαν τοῦ σίτου. 265, 33.
σιφλὸς ὁ εἰδεχθὴς παρὰ Λυκόφρονι, ὅτι παρὰ τὸ σίπαλος ταὐτὸ τοῦτο σημαῖνον λέγεται κατὰ συγκοπὴν καὶ τροπὴν, ὅθεν δοκεῖ λέγεσθαι καὶ τὸ σιφλοῦν παρ' Ὁμήρῳ. 972, 30. καὶ μετ' ὀλίγα σιφλὸς ὁ ῥάθυμος, χαῦνος, ζοφὸς, ὅθεν καὶ ῥῆμα σιφλοῦν Ἰλ. ξ', 142. 972, 36. 39.
σιφλώσειεν, Ἰλ. ξ', 142. ἀντὶ τοῦ κακώσειεν ἢ μωμητὸν καὶ εἰδεχθῆ καὶ χαῦνον ποιήσειεν, ἑρμηνεία διεξοδικωτάτη. 972, 29 — 42. ζήτει τὸ σιφλός.
σιωπὴ ὅτι οἱονεὶ σιγηοπὴ λέγεται κατὰ συγκοπὴν ἢ κρᾶσιν. 245, 36. 1424, 32. [1424, 32. leg. σιγηοπὴ pro συγκοπή.]
σιώπησις, σχῆμα λόγου. 37, 18. καὶ περὶ τινῶν παραδειγμάτων αὐτοῦ. 154, 20. 174, 20.
σκ ἀρκτικὰ λέξεων ἐκ τῆς ἐς προθέσεως συγκειμένων δι' ἀποβολὴν τοῦ ε τῆς προθέσεως, ὃ κατ' ἀρχὰς εἶχον ἀπαθῆ ὄντα, οἷον ἐσκορακίζειν σκορακίζειν. 82, 33.
σκάζειν ὅτι παρὰ τὸ κῶ, ὃ δηλοῖ τὸ κεῖμαι, λέγεται πλεονασμῷ τοῦ σ, κεῖσθαι γὰρ μελετᾷ ὁ σκάζων. 142, 5. 885, 54. 1170, 49. 1469, 1.
σκαιὰ χεὶρ ἡ ἀριστερὰ, παρὰ τὸ οἱονεὶ σκάζειν, ἤγουν χωλεύειν, περὶ τὰς ἐνεργείας· καὶ ὅτι σκαιὰ μέρη λέγονται τὰ δυτικὰ, καὶ σκαιὸς ἄνθρωπος ὁ ἀγροῖκος καὶ ἀπαίδευτος, καὶ Σκαιὸς κύριον ὁμωνύμως τῷ ἐπιθέτῳ. 142, 4. καὶ σκαιὸν τὸ ἀπαίσιον, ζήτει ἐν τῷ, ἀριστερὰ χείρ. 129, 11.

Σκαιαὶ πύλαι τῆς Τροίας, αἳ καὶ Δαρδανίαι ἀπὸ Δαρδάνου ἐνίοτε λέγονται παρ' Ὁμήρῳ, ὅτι ἀπὸ Σκαιοῦ τινὸς ὠνομασμένου τεχνίτου οὕτως ἐκλήθησαν, ἢ παρὰ τὸ δυτικαὶ εἶναι, σκαιὰ γὰρ λέγονται τά τε ἀριστερὰ καὶ τὰ δυτικὰ μέρη. 394, 36. ἀλλαχοῦ δὲ ὅτι αἱ Σκαιαὶ πύλαι τῆς Τροίας ἕτεραι ἦσαν παρὰ τὰς Δαρδανίας λεγομένας· αὗται μὲν γὰρ πρὸς ἀνατολάς, αἱ δὲ Σκαιαὶ πρὸς δυσμὰς ἦσαν. 1273, 64.

σκαιοβατεῖν τὸ σκαιῶς καὶ ἀῤῥύθμως βαίνειν. 1469, 1.

σκαιὸν ῥίον τὸ δυτικόν, καὶ σκαιὸς ἄνθρωπος ὁ ἀπαίδευτος καὶ ἀνόητος, καὶ σκαιὸν πρᾶγμα τὸ μὴ κατὰ γνώμην ἀποβεβηκός, λέγεται δὲ σκαιὸς παρὰ τὸ σκάζειν. 1468, 56 — 64.

σκαίρειν τὸ σκιρτᾶν εἴτουν πηδᾶν καὶ ὀρχηστικῶς κινεῖσθαι. 352, 2. 1164, 30. 1663, 35.

σκάλλω, ῥῆμα συστοιχοῦν τῷ σκέλλω, ὅθεν τὸ σκέλος καὶ ὁ σκελετός. 1295, 35.

σκαλωσίαι ἰδιωτικῶς σκηνικά τινα καὶ πανηγυρικὰ ὀρθώματα πρὸς τὸ θεᾶσθαι ἀπ' αὐτῶν γινόμενα. 1533, 37.

Σκαμάνδριον πεδίον τὸ μεταξὺ Σιμόεντος καὶ Σκαμάνδρου, τὸ καὶ Σιμοείσιον ἀπὸ Σιμόεντος, ὃ καὶ λειμῶνα Σκαμάνδριον Ὅμηρος καλεῖ. 255, 23.

Σκαμάνδριος κύριον ὅτι ἀπὸ Σκαμάνδρου τοῦ ποταμοῦ παρωνόμασται, καὶ ὅτι οὕτως ἐκαλεῖτο Ἀστυάναξ ὁ τοῦ Ἕκτορος. 650, 29.

Σκάμανδρος, ποταμὸς Τρωικὸς ὁ καὶ Ξάνθος, ὅτι παρὰ τὸν κάματον ἀνδρός, τοῦ Ἡρακλέους δηλονότι, λέγεται, ἢ διὰ τὸ ἐκ σκάμματος τοῦ αὐτοῦ ἀνδρὸς ἀναφανῆναι. 890, 19. 1197, 54. καὶ περὶ τῶν τοῦ Σκαμάνδρου πηγῶν ἱστορία φυσικὴ διεξοδικῶς ἑρμηνευομένη Ἰλιάδ. χ', 147 sq. 1263, 35.

Σκαμάνδρου πηγαί, ἱστορία φυσική. 1263, 35.

σκαμβὸς ὅτι παρὰ τὸ σκάζειν λέγεται. 142, 5.

Σκάνδεια, ἐπίνειον Κυθήρων. 804, 32.

σκαπέρδαν ἕλκειν, παιδιὰ καὶ ἱστορία περὶ τῆς παιδιᾶς· καὶ ὅτι παροιμιακῶς λέγεται τὸ σκαπέρδαν ἕλκειν ἐπὶ τῶν δυσχερῶς πραττομένων. 1111, 25.

σκάπτειν ὅτι περὶ γῆς κυρίως λέγεται, μεταφορικῶς δὲ καὶ περὶ πλοίων καὶ ἄλλων τινῶν ἀντὶ τοῦ κοιλαίνειν, ὅθεν καὶ τὸ σκάφος λέγεται. 178, 37.

σκᾶπτον τὸ σκῆπτρον Δωρικῶς χωρὶς τοῦ ρ̄. 104, 22.

σκαρδαμύττειν ὅτι τὴν ἐς πρόθεσιν ἐν συνθέσει ἔχει προτεταγμένην. 82, 34. ζήτει τό, σσ̄ ἀρκτικὰ λέξεων.

σκαρθμὸς ἡ κατὰ σκίρτημα κίνησις, παρὰ τὸ σκαίρειν. 352, 2. 5. 1663, 35.

σκαρίζειν ὅτι ἀχρηστότερόν ἐστι τοῦ σπαρίζειν. 947, 11.

σκάριον ἰδιωτικῶς τὸ λογίως ἐσχάριον, καὶ ἀπὸ σκαρίου πλοῖον τὸ καινόν, οἱονεὶ ἀπὸ ἐσχαρίου. 1575, 43.

σκαρισμός, κίνησις ἐπιθανάτιος. 1164, 31.

σκάρος, ὅτι μόνον ἐν τοῖς ἰχθύσι τὸ τῶν σκάρων εἶδος φωνήν τινα ἀφίησι, καὶ ὅτι κατά τινας οὐ μόνον ὁ σκάρος, ἀλλὰ καὶ ἄλλα τινὰ ἐν ἰχθύσι φθέγγεται, ἱστορία· καὶ ὅτι παρὰ τὸ σκαίρειν ὁ σκάρος λέγεται. 1720, 33. 40.

Σκάρφη, πόλις ἡ καὶ Σκάρφεια, καὶ πρότερον Ἐτεωνός. 265, 35.

σκαφιόκουρος ὁ τὸν κῆπον κειρόμενος, κῆπος δὲ κουρᾶς διάθεσις τῶν ἐν τῇ κεφαλῇ τριχῶν. 907, 41.

σκαφίς, ξύλινον ἀγγεῖον στρογγύλον γάλακτος ἢ ὀροῦ δεκτικόν. 1775, 25.

σκάφος τὸ πλοῖον, ἀπὸ τοῦ σκάπτειν, ὃ δηλοῖ τὸ γλύφειν καὶ κοιλαίνειν τροπικῶς. 178, 38. ἀλλαχοῦ δὲ ὅτι σκάφος τὸ πλοῖον παρὰ τὸ σκάπτω ἀκύρως λέγεται, σκάφος δὲ οἰνέων παρ' Ἡσιόδῳ Ἔργ. 570. κυριολεκτικῶς. 1714, 25.

σκεδάζειν ἀέρα παρ' Ὁμήρῳ ἀντὶ τοῦ πάχος νέφους διαλύειν. 1121, 37.

σκεδάζω ὅτι παρὰ τὸ χέω ἢ παρὰ τὸ κεάσαι λέγεται. 525, 46. καὶ ὅτι φύσει μὲν χωρὶς τοῦ σ̄ λέγεται, συνηθέστερον δὲ μετὰ τοῦ σ̄. 1018, 55.

σκεδάννυσθαι ὕδωρ ποταμοῦ λέγεται ἢ τῷ πλατύνεσθαι ἐν τῷ ῥέειν ἢ τῷ πόῤῥωθεν εἰς θάλασσαν καταῤῥέειν. 360, 9.

σκεδασθῆναι λέγεται ἡ μάχη, ὅταν διαλυθῇ ἡ παράταξις τῆς κατὰ πύργον ἁρμονίας. 1061, 29.

σκέδασις, ὄνομα σύστοιχον τῷ σκεδάζω ῥήματι. 1398, 37.

Σκείρων ἄνεμος ὅτι διὰ τὸ ἐκ τῶν Σκειρωνίδων καλουμένων πετρῶν πνέειν οὕτως ἐκλήθη. 1239, 4.

Σκειρωνίδες πέτραι περὶ τὰ κατὰ Κόρινθον παραθαλάσσια τῆς Πελοποννήσου. 1239, 3.

σκελετὸς ὅτι παρὰ τὸ σκέλλω λέγεται, ὃ δηλοῖ τὸ ξηραίνω. 1392, 25.

σκελετὸς καὶ σκέλος παρὰ τὸ σκέλλω, ὃ δηλοῖ τὸ σκληραίνω ἢ ξηραίνω, λέγονται. 1295, 36. 1392, 25. καὶ ὅτι σκέλη χαλκᾶ ἐμυθεύθησάν τινες ἐσχηκέναι διὰ τὸ πορευτικώτατοι γεγονέναι. 182, 41. καὶ ὅτι τὸ ἐπὶ σκέλος χωρεῖν ἴσον δύναται τῷ παρ' Ὁμήρῳ ὀλίγον γόνυ γουνὸς ἀμείβειν, ὃ ἀντίκειται τῷ ἐπὶ πολὺ διιστᾶν τὰ σκέλη. 677, 33.

σκέλλω τὸ ξηραίνω, ὅθεν τὸ σκέλος καὶ ὁ σκελετὸς καὶ τὸ σκληρόν. 1295, 38. 1392, 25.

σκέλος καὶ σκελετὸς ὅτι παρὰ τὸ σκέλλω λέγονται. 1295, 36.

σκέπαρνον καθ' ὁμωνυμίαν διθυραμβικὴν τὸ ἔριον ὡς σκέπον τοὺς ἄρνας. 1531, 50.

σκεπαστὴ κοινῶς ὁ σταθμὸς τῶν προβάτων. 1957, 57.

σκεπόωσι, τρίτον πρόσωπον ῥηματικόν, ὅτι ἀπὸ τοῦ σκεπῶ περισπωμένου θέματος κεκίνηται. 1735, 29.

σκέπτεσθαι τὸ ἐννοεῖσθαι καὶ ἀντὶ τοῦ περιβλέπειν παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, σκέπτεο νῦν Μενέλαε αἴ κεν ἴδηαι ζωὸν ἔτ' Ἀντίλοχον, Ἰλ. ρ', 652. 1122, 52.

σκεπτικοὶ φιλόσοφοι, οἱ καὶ ἐ-

φεκτικοί, ζήτει ἐν τῷ ἐφεκτικοί. 1856, 22.

σκερβόλλειν, ἐς κέαρ βάλλειν, ἀποβολῇ τοῦ ε̄ τῆς ἐς προθέσεως. 82, 35. 312, 15. ζήτει τὸ, σκ ἀρκτικὰ λέξεων.

σκεύη ξύλινα χρήσιμα τοῖς ἀρχαίοις, τὰ δὲ κεραμεᾶ οὐχ' οὕτω. 1631, 64.

σκεύη τινὰ παρωνύμως ἀπὸ τῆς ὕλης, ἐξ ἧς παρὰ τοῖς ἀρχαίοις ἐγίνοντο, ὀνομασθέντα καίπερ μεταβληθείσης ὕστερον τῆς ὕλης, οἷον κυνέη ἡ περικεφαλαία, καὶ πίναξ τὸ βιβλίον. 421, 6—32.

σκήλῃ, ἤγουν ξηράνῃ καὶ σκελετὸν ποιήσῃ, τρίτον πρόσωπον ὑποτακτικὸν ἀπὸ τοῦ σκάλλω θέματος· εἰ γὰρ ἀπὸ τοῦ σκέλλω, παρέληγεν ἂν τῇ ει διφθόγγῳ. 1294, 64. 1295, 35.

σκηνή, οἴκησις αὐτοσχέδιος καὶ πρόσκαιρος ἐκ σινδόνων καὶ πίλων καὶ τοιούτων τινῶν γινομένη, ὅθεν καὶ Σκηνῆται ἔθνος ἐν σκηναῖς κατοικοῦν. 77, 41.

Σκηνῆται ἔθνος, ζήτει ἐν τῷ σκηνή. 77, 45.

σκηπάνιον ἐν ἴσῳ τῷ σκῆπτρον, ὅτι παρὰ τὸ σκήπτεσθαι λέγεται, ὃ ἐκ τοῦ σκηρίπτεσθαι, ὅ ἐστιν ἐρείδεσθαι, συνεκόπη. 920, 25. 1702, 18.

σκήπτεσθαι ἀντὶ τοῦ ἐρείδεσθαι, ὅτι ἐκ τοῦ σκηρίπτεσθαι, ὅ ἐστιν ἐρείδειν, λέγεται κατὰ συγκοπήν, ὅθεν σκῆπτρον καὶ σκηπάνιον. 997, 21. 1702, 18. καὶ ὅτι ἐν τῷ, ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα σκηπτόμενον, Ὀδυσσ. ρ', 203., καὶ ἀντὶ τοῦ προφασίζεσθαι ἐνδέχεται ἀκούειν τὸ σκήπτεσθαι. 1815, 35.

σκηπτοῦχος παρὰ τὸ σκῆπτρον ἐλλείψει τοῦ ρ̄ πρὸς καλλιφωνίαν, ἢ παρὰ τὸ σκᾶπτον, ὅ ἐστι σκῆπτρον Δωρικῶς. 104, 21. 1158, 33. καὶ ὅτι οὐ πᾶς ὁ σκῆπτρον ἔχων ἤδη καὶ σκηπτοῦχος λέγεται. 104, 26.

σκῆπτρον ὅτι ἐκ τοῦ σκήπτεσθαι, ὅ ἐστιν ἐπερείδεσθαι, λέγεται. 997, 23.

σκῆπτρον βασιλείας καὶ θέμιδος εἴτουν δίκης καὶ δημηγορικῶν λόγων ἦν σύμβολον. 25, 6. 1158, 1. διὸ καὶ ὅρκῳ ὑπόκειται παρ' Ὁμήρῳ ἐν τῷ, ναὶ μὰ τόδε σκῆπτρον, Ἰλ. α', 234. 91, 38. καὶ σκῆπτρον ἡ τυχοῦσα ῥάβδος εἴτουν βακτηρία, οἷον ἐν τῷ, δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην, Ὀδ. ν', 437. 25, 6. 92, 29. 1746, 37. καὶ ὅτι ἐκ τοῦ σκηρίπτεσθαι, ὅ ἐστιν ἐρείδεσθαι, γίνεται σκήπτεσθαι κατὰ συγκοπήν, ὅθεν τὸ σκῆπτρον. 25, 6. 997, 23. 1702, 18. 1815, 7.

σκηρίπτεσθαι τὸ ἐπερείδεσθαι εἴτουν ἀντερείδειν, οἷον ἐν τῷ, σκηριπτόμενος χερσίν τε ποσίν τε, Ὀδυσσ. λ', 595. 1702, 18. 1814, 64.

Σκῆψις πόλις, ἧς πρὸς διαστολὴν λέγεται ἡ Παλαίσκηψις ἐν συνθέσει. 840, 50.

σκιὰ ὅτι φύσις τίς ἐστιν, ἣ περὶ τὴν γένεσιν αὐτῆς καὶ φθίσιν ἐστὶ μεγίστη, περὶ δὲ τὴν ἀκμὴν ἐλαχίστη. 1427, 29. καὶ ὅτι σκιὰς λέγει Ὅμηρος τὰς τῶν τεθνηκότων ψυχάς, ὡς ἀτελεστέρας οὔσης τῆς τῶν τοιούτων ἐπιφανείας τῆς τῶν ζώντων ἐμφανείας, ὡς καὶ ἡ σκιαγραφία τῆς ζωγραφίας. 1665, 31.

σκιάδες, τόποι σκηναῖς παραπλήσιοι, ἐν οἷς κατέκειντο οἱ εὐωχούμενοι ἐν τῇ τῶν Καρνείων ἑορτῇ. 1376, 46.

σκιάδιον ὅτι ἐκ τοῦ σκιὰς σκιάδος ὑποκεκόρισται. 857, 37. καὶ ὅτι καὶ διὰ διφθόγγου γράφεται κατά τινας ἡ παραλήγουσα τῆς λέξεως. 951, 54.

Σκιάθιος ἐθνικὸν ἀπὸ Σκιάθου τῆς νήσου. 1770, 10.

σκιαμαχεῖν ὅτι ἄλλο τι δηλοῖ παρ' ὃ ὑπαγορεύει τὸ ὑπὸ σκιᾷ μάχεσθαι. 201, 8. 1459, 55. 1762, 15. καὶ ὅτι οἱ Κελτοὶ παρὰ τὰ δεῖπνα ἐσκιαμάχουν ἐν ὅπλοις, ἱστορία. 1324, 49.

σκιὰς σκιάδος, ὅτι παρὰ τὴν σκιὰν λέγεται, ὅθεν καὶ τὸ σκιάδιον ὑποκεκόρισται. 857, 37.

σκίδνασθαι ὅτι καὶ κίδνασθαι χωρὶς τοῦ σ̄ λέγεται, καὶ ὅτι σκίδνασθαι λέγεται τὸ ὕδωρ ποταμοῦ τινὸς ἢ κατὰ πλάτος ἢ κατὰ μῆκος ὁδοιπορίας. 360, 9.

σκίμπους, κλίνη εὐτελὴς καὶ χθαμαλὴ πελάζουσα τῇ γῇ, παρὰ τὸ σκίμπτω τὸ πελάζω. 1077, 64. 1944, 18. ζήτει ἐν τῷ ἀσκάντης.

σκίμπτω ἀντὶ τοῦ πελάζω, ὅθεν σκίμπους. 925, 37. 1077, 6. 1078, 1.

σκινδαψός, εἶδος μελικοῦ ὀργάνου. 1157, 51. 1558, 7.

σκινθαρίζειν τὸ τῷ μέσῳ δακτύλῳ παίειν τὸν μυκτῆρα τινός. 861, 10.

σκιόεντα μέγαρα τὰ μεγάλην σκιὰν ἀποτελοῦντα διὰ τὸ ὕψος, ἢ τὰ χάριν σκιᾶς γεγονότα. 1424, 3.

σκιόεντα ὄρη τὰ δασέα ἐκ τῆς παρακολουθούσης σκιᾶς, καὶ σκιόεντα νέφη τὰ σκοτεινά. 71, 18. 579, 19.

σκίπων ὅτι ἐνδοξότερόν τι δηλοῖ ἢ τὸ σκῆπτρον. 25, 13. 1749, 45.

σκιράφεια τὰ κυβευτήρια, ἀπὸ τοῦ παρ' Ἀθηναίοις ἐν τῷ ἱερῷ τῆς Σκιράδος Ἀθηνᾶς κυβευτηρίου, ὅθεν καὶ σκίραφοι λέγονται πάντα τὰ πανουργήματα διὰ τὸ πλεονάζειν ἐν τοῖς σκιραφίοις. 1397, 25.

σκίρος ἡ ῥίζα παρὰ τὸ ἐσκιάσθαι, καὶ σκίρος τὸ σκιάδιον καὶ ὁ γύψος καὶ ὁ τοῦ τυροῦ ῥύπος. 1304, 26.

σκιρτᾶν λέγονται ἵπποι, ἤγουν ὀρχηστικῶς θέειν κατὰ τοὺς καλπάζοντας. 1206, 2.

σκληρὸν ὅτι παρὰ τὸ σκέλλω ῥῆμα λέγεται. 1295, 38. καὶ ὅτι καὶ σκληρὰ τροπὴ καὶ σκληραὶ λέξεις αἱ καὶ τραχεῖαι, καὶ σκληρὰ ὕδατά τινα κρηναῖα καὶ ὄμβρια, καὶ σκληρὸς οἶνος ὁ ἐναντίος τῷ ἁπλῷ λεγομένῳ. 835, 1. 871, 26.

σκόλια, μέλη ποιὰ προσηγορικῶς οὕτω λεγόμενα, ὅτι προπαροξύνεται τοὔνομα πρὸς διαστολὴν τοῦ ἐπιθέτου· καὶ σκολίων μελῶν τινῶν ἔκθεσις, καὶ ὅτι διὰ τὰ μὴ κατ' εὐθὺ μέλπεσθαι, ἀλλὰ σκολιῶς οὕτω λέγονται. 1574, 11.

Σκόλις, ὄρος τι πετρῶδες κοινὸν Ἠλείων καὶ Δυμαίων. 304, 17. σκόλλις δὲ κόσμος ποιὸς γυναικεῖος, ὃς καὶ πλοκαμὶς καὶ κορυφαία λέγεται. 1528, 18.

σκόλοπες, ὀρθὰ ξύλα ἀπωξυμμένα κατὰ τὸ ἄκρον, ἃ καὶ σταυ-

ροὶ λέγονται, οἷς περιφράττεται τόπος τις. 689, 46. 892, 43. 1358, 54. 1567, 17.

σκόλυθρον καὶ σκολίθριον τὸ μικρὸν διφρίον. 1515, 50.

σκολύπτειν τὸ περιτέμνειν τὸ δέρμα τοῦ αἰδοίου, ὅτι παρὰ τὸ σκῦλον, ὃ δηλοῖ τὸ δέρμα, δοκεῖ λέγεσθαι. 689, 49. 1710, 17.

σκόπελος ὅτι παρὰ τὸ εἶναι ἐξ αὐτοῦ τὰ κύκλῳ περισκοπεῖν, ἢ διὰ τὸ πάντοθεν αὐτὸς περισκοπεῖσθαι οὕτω λέγεται. 244, 41. 1713, 63.

σκοπὴ ταὐτὸ ὅπερ σκοπιὰ, τουτέστιν ἡ κοινῶς λεγομένη βιγλά. 366, 20. ζήτει τὸ σκοπιά.

σκοπιὰ, τόπος φυλακῆς ὑψηλὸς, ἀφ' οὗ ἔστι τὰ κύκλῳ σκοπιᾶσθαι. 472, 19. 1060, 57. 1263, 19.

σκοπιάζειν τὸ ἐκ περιωπῆς τινὸς κατασκοπεῖν. 966, 60.

σκοπιᾶσθαι ἀντὶ τοῦ κατασκοπεῖν ἐν τῷ, ἢ σ' Ἕκτωρ προέηκε διασκοπιᾶσθαι ἕκαστα, Ἰλ. κ', 388. 813, 64.

σκοπὸς ἀντὶ τοῦ κατάσκοπος, οἷον ἐν τῷ, ὃς Τρώων σκοπὸς ἷζε, Ἰλ. β', 792. 348, 7. καὶ σκοπὸς ὁ ἐπιμελητὴς καὶ ἡ ἐπιμελήτρια θηλυκῶς, Ὀδ. χ', 396. 1931, 61. καὶ σκοποῦ ἁμαρτάνειν ἢ μὴ, παροιμιῶδες ἐπὶ τῶν εὐστοχούντων ἢ μή. 1915, 47.

σκορακίζειν τὸ ἐς κόρακας πέμπειν, ὅτι κατ' ἔλλειψιν τοῦ ε̄ τῆς ἐς προθέσεως λέγεται. 82, 34. 312, 14. ζήτει τὸ, σκ ἀρκτικὰ λέξεως.

σκόροδον τὸ φυτὸν καὶ ὁ τόπος, ἐν ᾧ ἐπωλοῦντο τὰ σκόροδα Ἀθήνησιν, ὁμωνύμως τῷ φυτῷ. 1698, 29.

σκόρπαινα, θηλυκὸν τοῦ σκορπίος. 1129, 24.

σκοτιδίνη, ὅτι οὕτως ἐκλήθη γυνή τις διὰ τὸ ἐν σκότει ἐκπεπωκέναι κύλικα δῖνον προσαγορευομένην. 1207, 12.

σκότιοι οἱ ἐκ λαθραίας μίξεως εἴτουν αὐτῶν μὴ φανερῶς γαμηθεισῶν γυναικῶν γεννηθέντες. 502, 28. 622, 41. 1053, 31. καὶ ὅτι διὰ τοῦ ἰῶτα γράφεται τοὔνομα, ὡς ἀπὸ τοῦ σκότος ἀρσενικῶς λεγομένου παρηγμένον. 1698, 21.

σκοτόμαινα Δωρικῶς ἡ σκοτομηνία, ὅτι οὐ παρὰ τὸ μαίνεσθαι, ἀλλὰ παρὰ τὸ μὰν, ὅ ἐστι μὴν Δωρικῶς, πλεονασμῷ τοῦ ῑ ἐν συνθέσει λέγεται. 1769, 28.

σκοτομήδης ἄνθρωπος ὁ ὕπουλος. 1496, 37.

σκοτομήνιος νὺξ οὐχ' ἁπλῶς ἡ ἀσέληνος, ἀλλὰ καθ' ἣν σκοτοῦται ἐγγίσασα ἡλίῳ πρὸς σύνοδον ἡ σελήνη, καὶ ὅτι σκοτομήνειαν λέγουσί τινες γράφεσθαι παρ' Ὁμήρῳ Ὀδ. ξ', 457. καὶ ὅτι καὶ σκοτόμαινα Δωρικῶς λέγεται, ζήτει ἐν τῷ σκοτόμαινα. 1769, 18. 28.

σκοτοιβόρος ὁ ὕπουλος ἢ ὑπὸ σκότῳ βιβρώσκων, ἤγουν κρύφα μονοφαγῶν, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ἐν τῇ προπαραληγούσῃ διφθόγγῳ ῑ. 1496, 38.

σκότος ὁ θάνατος ἀρσενικῶς παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, στυγερὸς σκότος, Ἰλ. ε', 47. 520, 18. καὶ ὅτι ὁ σκότος ἀρσενικῶς ἀεὶ λέγεται παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον διφορεῖται. 953, 50. καὶ ὅτι ἀρσενικῶς λέγεται καὶ παρ' Ἀττικοῖς. 1390, 56. ἀλλαχοῦ δὲ ὅτι διφορεῖται κατὰ γένος τοὔνομα, τὰ πλείω δὲ ἀρσενικῶς λέγεται. 73, 45. 432, 15. 1869, 46. καὶ ὅτι σκότη τὰς σκιὰς ἐκάλουν οἱ ζωγράφοι. 953, 51.

σκυδμαίνω ὅτι παρὰ τὸ σκύζω λέγεται. 153, 23. 1342, 39. 1581, 7.

σκύζεσθαι τὸ ὀργίζεσθαι, ὅτι παρὰ τὸ κύων λέγεται πλεονασμῷ τοῦ σ', ἢ παρὰ τὸ Σκύθης λέγεται. 723, 41. ἀλλαχοῦ δὲ ὅτι σκύζεσθαι τὸ ὀργίζεσθαι καὶ συνάγειν τὸ ἐπισκύνιον, ὅ ἐστι τὸ ὑπὲρ τὰς ὀφρῦς μέρος τοῦ μετώπου. 1581, 6.

Σκύθης ἐθνικὸν ὅτι παρὰ τὸ σκύτος λέγεται κατὰ ἀντιστοιχίαν. 1745, 59. καὶ ὅτι οἱ Σκύθαι κατὰ τὸν πότον βουλεύονται, τῇ δὲ ὑστεραίᾳ νήφοντες κυροῦσι τὰ βουλευθέντα. 1461, 22.

Σκύθης οἶμος ἀντὶ τοῦ Σκυθικὸς κατὰ σχῆμα λόγου, καὶ ἑρμηνεία διεξοδικὴ τοῦ σχήματος. 1339, 8.

Σκυθίδες γυναῖκες φυλαδὸν φεύγοντας ἐκ πολέμου τοὺς ἑαυτῶν ἄνδρας ἐντρέπουσαι, ἱστορία. 626, 42.

Σκυθίζειν καὶ ἐπισκυθίζειν τὸ ἄκρατον ἐγχέειν ἢ ἀκρατοποτεῖν παρὰ Λακεδαιμονίοις, ἀπὸ Σκυθῶν τινῶν ἐπιδημησάντων ποτὲ Λακεδαίμονι, ἱστορία. 746, 51. 1775, 27.

σκύθος παρὰ Μηθυμναίοις ὁ σκύφος διὰ τὴν τοῦ π̄ καὶ φ̄ συστοιχίαν, ἢ παρὰ τὸ Σκύθης τὸ ἐθνικόν· καὶ ὅτι καὶ Δερκυλλίδας τις Λακεδαιμόνιος Σκύθος ἐπεκαλεῖτο διὰ τὸ θηριῶδες καὶ Σκυθικὸν τοῦ ἤθους. 1775, 27. 32.

σκύλακες, ὅτι τῶν κυνῶν καὶ τῶν λύκων τὰ νεογνὰ οὕτω λέγονται. 1625, 47.

σκυλεύειν ὅτι παρὰ τὸ σκῦλον, ὅ ἐστι δέρμα, λέγεται καὶ δηλοῖ τὰς ἀσπίδας συλᾶν, ἀπὸ μέρους δὲ καὶ πᾶσαν τὴν πολεμικὴν σκευήν. 952, 6. 1072, 63.

σκυλήτρια ὅτι ἐκ τοῦ σκυλᾶν δοκεῖ παρῆχθαι, ὃ σκυλεύειν συνήθως λέγεται. 1072, 64.

Σκύλλα, Νήσου θυγάτηρ, ὅτι προδοῦσα Μίνωι τὸν πατέρα ὑπὸ Μίνωος ἀνῃρέθη. 1688, 56.

Σκύλλα ἡ ἐν τῷ Σικελικῷ πορθμῷ ὅτι σκύλακας ἔχειν περὶ τὰ πλευρὰ μυθεύεται, καὶ ὅτι Φόρκυνος ἢ Τρίτωνος καὶ Ἑκάτης θυγάτηρ γεγονέναι λέγεται· Ὅμηρος δὲ Κράταιιν αὐτῆς μητέρα ὀνομάζει, ἕτεροι δὲ Λάμιαν· καὶ ὅτι καὶ ἰχθύς τις σκύλλα ὀνομάζεται· καὶ ὅτι Ὅμηρος μὲν ἓξ πλάττει κεφαλὰς τῇ Σκύλλῃ, οἱ δὲ ὕστερον τρεῖς, καὶ ἄλλα τινὰ περὶ τῆς μυθικῆς Σκύλλης. 1714, 30. 45.

Σκύλλαιον, τόπος τις ἐν Ἑρμιόνῃ πόλει Πελοποννησιακῇ, ἀπὸ Σκύλλης τῆς Νίσου θυγατρὸς ὀνομασθέν. 287, 2.

σκυλοδέψης καὶ σκυλόδεψος ὁ σκῦλα, ὅ ἐστι δέρματα, δεψῶν, ἤγουν μαλάττων. 450, 6. 1710, 16.

σκῦλον τὸ δέρμα, ὅθεν καὶ σκυλεύειν λέγεται. 952, 5. 11. 1710, 16. ζήτει τὸ σκυλεύειν.

σκύμνοι, ὅτι οὕτω λέγονται τὰ τῶν λεόντων καὶ παρδάλεων καὶ

ἄρκτων νεογνά. 1625, 45. ἀλλαχοῦ δὲ ὅτι σκύμνοι κυρίως τὰ τῶν λεόντων τέκνα. 1653, 28.

σκύπφος ἀντὶ τοῦ σκύφος κατὰ γλῶσσαν. 900, 17. ἀλλαχοῦ δὲ ὅτι σκύπφος παρ' Ἡσιόδῳ τὸ κοινῶς σκύφος. 1775, 17. 35.

Σκυρία ἀρχή, παροιμία ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, ἱστορία. 782, 52.

Σκῦρος, νῆσος πρὸς τῇ Εὐβοίᾳ καὶ πόλις ὁμώνυμος ἐν αὐτῇ ὑπὸ Δολόπων κατοικηθεῖσα, ἀφ' ἧς τὸ, ἀρχὴ Σκυρία, παροιμιακόν. 782, 39. 50. 1187, 18. 1695, 57.

σκῦρος, λατύπη ἐφ' ἧς ἑστῶτες οἱ σφαιρίζοντες τῇ τῆς σφαίρας βολῇ ἐδίωκον ἀλλήλους, ὅθεν ὁ τρόπος ἐπίσκυρος ἐλέγετο. 1601, 35.

σκύφος ὅτι οὐδετέρως λέγεται ἐπὶ ποτηρίου Ὀδ. ξ', 112. παρὰ Λυκόφρονι δὲ ἀρσενικῶς. 1751, 50. ἀλλαχοῦ δὲ πλατύτερον ὅτι ἀρσενικῶς τε λέγεται ὁ σκύφος καὶ οὐδετέρως τὸ σκύφος, καὶ παραδείγματα ἑκατέρας χρήσεως· καὶ ὅτι ἐκ τοῦ κύφος δοκεῖ λέγεσθαι προσλήψει τοῦ σ, ἢ παρὰ τὴν σκαφίδα, ἢ σκύφος παρὰ τὸ Σκύθης τὸ ἐθνικόν, οἱονεὶ σκύθος· καὶ ὅτι Ἡρακλεωτικοὶ σκύφοι ἐλέγοντο οἱ Βοιωτικοὶ ἀπὸ Ἡρακλέους Θηβαίου γεγονότος. 1632, 17. 1775, 16—30. 1835, 23.

σκω λήγοντα ὅτι μέχρι τοῦ παρατατικοῦ κλίνονται, οἷον διδάσκω, θνήσκω, ἐΐσκω. 796, 44. 1473, 34. καὶ ὅτι τὰ εἰς σκω λήγοντα ῥήματα ἀπὸ μελλόντων εἰς σω ληγόντων παράγονται πλεονασμῷ τοῦ κ, οἷον θνῶ θνήσω θνήσκω· καὶ ὅτι διὰ τοῦ ξ ποιοῦσι τὸν μέλλοντα, καὶ ὅτι τινὰ αὐτῶν οὐ κινοῦνται εἰς μέλλοντα. 1373, 33. 1809, 18. ἀλλαχοῦ δὲ ὅτι τὰ εἰς σκω ῥήματα περισπωμένως κινοῦνται εἰς μέλλοντα, ὃ καθὸ βαρύτονα οὐκ ἔχουσι ποιεῖν, οἷον βόσκω βοσκήσω. 1715, 54.

σκώληξ ὅτι καὶ κατὰ θηλυκὸν γένος λέγεται. 1504, 38.

σκῶλον τὸ ἐμπόδιον, ἐκ τοῦ σκῶλος κατὰ γένους μεταπλασμόν. 946, 52.

Σκῶλος, κώμη τῆς Παρασωπίας ὑπὸ τῷ Κιθαιρῶνι, τραχεῖά τις καὶ δυσοίκητος, ὅθεν καὶ παροιμιακῶς λέγεται τὸ, εἰς Σκῶλον μήτ' αὐτὸς ἴμεν μήτ' ἄλλῳ ἕπεσθαι· καὶ ὅτι μεγαλάρτου Δήμητρος ἱερὸν εἶχεν ἡ Σκῶλος. 265, 23.

σκῶλος πυρίκαυστος, σκόλοψ ἀπωξυμμένος καὶ πεπυρακτωμένος. 946, 48.

σκωπαῖοι, ἀνθρωπάρια μικρὰ παρὰ Λάκωσιν, ὅτι παρὰ τοὺς σκῶπας τὰ ὄρνεα λέγονται. 1523, 63.

σκῶπες, εἶδος ὀρνέου διαφόρως ἐτυμολογούμενον διεξοδικῶς, καὶ ὅτι καὶ κῶπες χωρὶς τοῦ σ λέγονται κατά τινας, καὶ ὅτι ὀρχήσει ἁλίσκεται τὸ ὄρνεον, καὶ ὅτι διαφόρως σχηματίζεται κατὰ τὰς κινήσεις, καὶ ὅτι μικρότερόν ἐστι γλαυκός, καὶ ὅτι μολιβδοφανές ἐστι καὶ ἐστιγμένον ὑπολεύκοις στίγμασι, καὶ ὅτι δύο εἰσὶν εἴδη σκωπῶν, καὶ ἄλλα πολλὰ περὶ τῶν ὀρνέων, ἑρμηνεία διεξοδική. 1523, 56—1524, 6.

σκώπευμα, εἶδος ὀρχήσεως παρὰ τοὺς σκῶπας τὰ ὄρνεα οὕτω λεγόμενον. 1524, 1.

σκώπτειν τὸ συνεικάζειν καὶ καταστοχάζεσθαι, ὅτι παρὰ τοὺς σκῶπας τὰ ὄρνεα λέγεται διὰ τὴν περὶ τὰς κινήσεις ποικιλίαν τῶν σχηματισμῶν τοῦ ὀρνέου. 1523, 62.

σκωρία τὸ τοῦ σιδήρου περίττωμα, παρὰ τὸ σκῶρ, ᾧ ἀναλογεῖ ὁ τοῦ σιδήρου ἰός. 310, 19.

σκὼψ ὄρνεον, ζήτει τὸ σκῶπες, καὶ σκὼψ εἶδος ὀρχήσεως, παρὰ τὸν σκῶπα τὸ ὄρνεον, ἐκ τῆς τοῦ ζῴου ἐν ταῖς κινήσεσι ποικιλίας· καὶ σκὼψ σχῆμα τῶν ἀποσκοπούντων, οἳ ἄκραν τὴν χεῖρα ὑπὲρ τοῦ μετώπου κυρτοῦν εἰώθασι. 1523, 56—1524, 6.

σκῶψις, θηλυκὸν προσηγορικὸν παρὰ τὸ σκώπτειν παρηγμένον. 1312, 40.

σμ ὅτι πολλαὶ τῶν ἐκ τοῦ σμ ἀρχομένων λέξεων διὰ τοῦ ζμ ἐγράφοντο παρὰ τοῖς ἀρχαίοις ὡς ἐκ τοῦ ζα ἐπιτατικοῦ συγκείμεναι, οἷον σμέρδω ἀντὶ τοῦ ζαμέρδω, ὅ ἐστιν ἄγαν βλέπω. 936, 10. ἀλλαχοῦ δὲ ὅτι ἁπλῶς τὰ ἀπὸ τῶν σμ ἀρχόμενα διὰ τοῦ ζμ ἐγράφοντο παρὰ τοῖς ἀρχαίοις, οἷον ζμινύη ἀντὶ τοῦ σμινύη, Ζμύρνα ἀντὶ τοῦ Σμύρνα. 217, 24. 228, 28.

σμαραγδὸς ὁ λίθος ὅτι παρὰ τὸ σμαραγεῖν, ὅ ἐστι λάμπειν, λέγεται. 203, 38. 255, 23.

σμαραγεῖν τὸ ἦχον ποιὸν ἀποτελεῖν ἢ τὸ λάμπειν ἐν τῷ, σμαραγεῖ δέ τε λειμών, Ἰλ. β', 463. καὶ ὅτι περὶ ὑδάτων καὶ βροντῆς λέγεται τὸ σμαραγεῖν. 1230, 63.

σμερδαλέος ὁ τῇ ὄψει καταπληκτικός, ἢ καὶ δράκων σμερδαλέος λέγεται Ἰλ. β', 309. καὶ σμερδαλέος ὁ ἁπλῶς καταπληκτικός, ὅτι ἐκ τοῦ μερίζω μέρδω κατὰ συγκοπὴν καὶ τροπὴν Δωρικὴν λεγομένου καὶ τοῦ ζα ἐπιτατικοῦ καθ' ἑτέραν συγκοπὴν καὶ τροπὴν τοῦ ζ εἰς σ λέγεται, ἑρμηνεία διεξοδική. 153, 8. 217, 24. 228, 21—30. ἀλλαχοῦ δὲ ὅτι σμερδαλέον τὸ τοῖς μέρδουσιν, ἤγουν βλέπουσιν, αὐτὸ φοβερὸν καὶ καταπληκτικόν, ἢ καὶ σμερδαλέος ὁ σίδηρος λέγεται ὁ ἐκπλήττων ἐν τῷ βλέπεσθαι. 927, 27. 1196, 16.

σμέρδειν ἀντὶ τοῦ ἄγαν βλέπειν, ὅθεν σμερδνόν. 936, 6.

σμερδνὸν κυρίως τὸ τῇ ὄψει καταπληκτικόν, οἱονεὶ σμερδανόν. 228, 25. 30. 936, 8. ὅθεν καὶ τὸ σμερδαλέον λέγεται· καὶ ζήτει τὸ σμερδαλέος.

σμῆμα, καθαρτικόν τι τοῦ χειρῶν ῥύπου προσδιδόμενον τῷ κατὰ χειρῶν ὕδατι, ὅτι παρὰ τὸ σμῶ σμήσω λέγεται, ὅθεν τὸ σμήχω. 1401, 6. 23.

σμῆνος τὸ πλῆθος τῶν μελισσῶν καὶ τὸ ἀγγεῖον, ἐν ᾧ μελιττουργοῦσιν αἱ μέλισσαι. 178, 17.

σμήρινθος ταὐτὸ ὅπερ καὶ μήρινθος προσλήψει τοῦ σ. 1333, 37.

σμήχειν τὸ καθαίρειν, σμύχειν δὲ τὸ καίειν, καὶ ὅτι παρὰ τὸ σμῶ ἀμφότερα λέγονται. 1277, 6.

σμικρὸς ὁ μικρός, ὅτι ἐκ τοῦ ζα μορίου καὶ τοῦ μικρὸς λέγεται

συγκοπῇ καὶ τροπῇ τοῦ ζ εἰς σ πρὸς τὸ εὐσύντακτον. 1421, 8.

σμῖλαξ, εἶδος ἀκάνθης, ἣ καὶ κυνόσβατος λέγεται καὶ κυνάρα καὶ κύναρος, μῖλαξ δὲ χωρὶς τοῦ σ εἶδος βοτάνης. 1822, 21.

Σμινθεὺς Ἀπόλλων ἐπωνυμικῶς, ὁ καὶ Σμίνθιος, ἀπὸ Σμίνθης πόλεως, ἢ παρὰ τοὺς σμίνθους, ὃ δηλοῖ τοὺς μύας κατὰ γλῶσσαν, ἱστορία διεξοδικωτάτη. 34, 10 — 35, 8.

Σμίνθη, πόλις Τρωικὴ, ἧς ὁ πολίτης Σμινθαῖος ἢ Σμινθεύς. 34, 11.

σμίνθοι οἱ μύες κατὰ γλῶσσαν, ὅθεν Σμινθεὺς Ἀπόλλων. 34, 38. ζήτει τὸ Σμινθεύς.

σμινύη, σκαφεῖον, ἀξινάριον, δίκελλα, ὅτι καὶ ζμινύη διὰ τοῦ ζ πάλαι ποτὲ ἐγράφετο. 217, 27. 30.

σμος λήγοντα ὑπερδισύλλαβα ὅτι ὀξύνονται, οἷον μερισμὸς, ὁπλισμός. 1033, 9.

σμυγερὸν τὸ ἐπίπονον ἀπὸ τοῦ ἔσμυγα μέσου παρακειμένου ἢ ἔσμυγον δευτέρου ἀορίστου τοῦ σμύχω θέματος. 781, 35. 1463, 44.

σμυγερῶς, ἐπιπόνως καὶ ὀδυνηρῶς, ἢ καυστικῶς παρὰ τὸ σμύχω. 1463, 44. ζήτει τὸ σμυγερόν.

σμῦξαι, καῦσαι. 781, 34. ζήτει τὸ σμύχειν.

σμύχειν τὸ καίειν καὶ τύφειν τῷ καπνῷ, σμήχειν δὲ τὸ καθαίρειν, καὶ ὅτι παρὰ τὸ σμῶ ἀμφότερα λέγεται. 781, 34. 1277, 6. καὶ ὅτι καὶ σμύχειν χόλον ἢ φθόνον τροπικῶς λέγεται. 781, 35.

σμῶ σμώσω, τὸ πατάσσω κατὰ γλῶσσαν, ζήτει τὸ σμῶδιξ.

σμῶδιξ παρὰ τὸ σμῶξαι, ὃ δηλοῖ τὸ πλῆξαι, καὶ σμῶδιξ ἡ ἐπανισταμένη ἅμα τῇ σαρκὶ ἐκ τῆς πληγῆς μελανία, ὅτι παρὰ τὸ σμῶξαι, ὃ δηλοῖ τὸ πλῆξαι εἴτουν πατάξαι κατὰ γλῶσσαν, λέγεται. 217, 9. 24. 1277, 8.

σμῶξαι κατὰ διάλεκτον τὸ πλῆξαι. 217, 11. 1277, 8.

σο λήγοντα προστακτικὰ ὅτι ἀπὸ τοῦ δευτέρου προσώπου γίνονται τοῦ παρατατικοῦ παρέσει τῆς αὐξήσεως, οἷον ἐδεικνύμην ἐδείκνυσο, τὸ προστακτικὸν δείκνυσο. 1641, 41.

σόη, θηλυκὸν τοῦ σόος, ὅτι χρήσιμόν ἐστι παρ' Ὁμήρῳ. 1026, 55.

σοὶ δοτικὴ ῥήμασί τισι συντασσομένη, ὅτι εἰς αἴτιον ἀναλύεται, οἷον ζῶ σοὶ ἀντὶ τοῦ διὰ σὲ, καὶ μάχομαι σοὶ ἀντὶ τοῦ διὰ σέ. 616, 35.

σοῖ ἀντὶ τοῦ σῶοι κατ' εὐθεῖαν τῶν πληθυντικῶν. 959, 44.

σολοικίζειν κατὰ νοῦν λέγονται οἱ καταχρώμενοι ταῖς ἐννοίαις, ἤγουν ἄλλως ἢ ὡς οἱ ἀποφηνάμενοι ἐνόησαν νοοῦντες. 1262, 16.

σολοικισμὸς, οἱονεὶ σόου λόγου αἰκισμός. 63, 3. καὶ ὅτι ἁμάρτημά ἐστιν ἀκούσιον περὶ τὸν λόγον. 367, 45. 1673, 40. καὶ ὅτι τοὺς βαρβάρους σολοίκους τινὲς ἐκάλουν. 368, 1. καὶ ὅτι παρὰ τοὺς Σόλους, ἥτις ἐστὶ πόλις Κύπρου, λέγεται τοὔνομα. 1332, 5. καὶ σολοικοφανῶν ῥητῶν παραδείγματά τινα. 236, 28.

Σόλος καὶ Σόλοι, πόλις Κύπρου, οἱ πολῖται Σολεῖς. 1332, 3.

σόλος, δίσκος σιδηροῦς, παρὰ τὸ σείλλω, ὅ ἐστιν ὁρμῶ. 344, 3. 1041, 32. ἀλλαχοῦ δὲ ὅτι σόλος δίσκος χαλκοῦς ὅλος σφαιρωτός. 1591, 28. καὶ πάλιν ὅτι σόλος ὁ δίσκος παρὰ τὸ σοῦσθαι ὅλος, ἤγουν περιδεδινῆσθαι, λέγεται, καὶ περὶ τοῦ ἐκ ποίας ὕλης ἐγίνετο ἑρμηνεία διεξοδική. 1331, 47. 63. 1332, 7.

Σόλυμα οὐδετέρως, πόλις Ἀσσυρίων καὶ ὄρος τῆς Λυκίας, Σόλυμοι δὲ ἔθνος τι. 635, 33.

Σόλυμοι, ἔθνος ὅμορον τοῖς Λυκίοις, κατὰ μέν τινας μέρος τοῦ τῶν Λυκίων, καθ' Ὅμηρον δὲ κεχωρισμένον τῶν Λυκίων· καὶ Σόλυμα οὐδετέρως πόλις Ἀσσυρίων καὶ ὄρος Λυκίας. 369, 7. 635, 27. 33. 37. ἀλλαχοῦ δὲ ὅτι Σόλυμοι ἱστορικῶς μὲν εἰσὶν οἱ περὶ τὰ ἄκρα τοῦ Ταύρου τὰ περὶ Λυκίαν ἕως Πισιδίας, Ὅμηρος δὲ Ὀδ. ε', 283. Σόλυμα ὄρη τινὰ πλάττει κατὰ τὸν πρὸς ἀνατολὰς Ὠκεανὸν ὁμωνύμως τῷ τῶν Σολύμων ἔθνει. 1536, 25 — 33.

Σόλων, ὄνομα κύριον, ὅτι παρὰ τοὺς Σόλους, ἥτις ἐστὶ πόλις Κύπρου, εἴρηται τοὔνομα. 1332, 6.

σομφὸς, ζοφὸς, ἀραιὸς, χαῦνος. 972, 38.

σόος διὰ τοῦ ο μικροῦ ἐν ἴσῳ τῷ σῶος διὰ τοῦ ω μεγάλου κοινῶς λεγομένῳ, ὅτι ἀεὶ διὰ τοῦ ο μικροῦ γράφεται παρ' Ὁμήρῳ ὡς ἀπὸ τοῦ σέω τὸ ὁρμῶ, σόος γὰρ ὁ τὰς φυσικὰς ὁρμὰς ἔχων· καὶ ὅτι ἐκ τοῦ σόος γίνεται κατὰ κρᾶσιν σῶς, ὅθεν προσθέσει τοῦ ο μικροῦ ἐν τῇ ληγούσῃ γίνεται τὸ σῶος. 62, 41 — 63, 10. καὶ ὅτι καὶ τὸ σύστοιχον ῥῆμα διφορεῖται κατὰ τὴν γραφὴν, σόω τὸ αὐτὸ καὶ σώω λεγόμενον. 1112, 1.

σόος λέξις παρὰ τὸ σέω, ὅ ἐστιν ὁρμῶ, ἐν συνθέσει ὑποτασσομένη, οἷον, λαοσσόος, δορυσσόος. 62, 43.

σορέλλην ὅτι παρὰ τὴν σορὸν, ὃ δηλοῖ τὸν τάφον, λέγεται. 1289, 15.

σορόπληκτος καὶ σοροπλὴξ ὅτι περὶ γερόντων κατὰ σκῶμμα λέγονται. 1431, 43.

σορὸς ὁ τάφος, παρὰ τὸ ἔσω ὀρούειν ἢ ἐρύειν τὸν τεθέντα, καὶ σορὸς ὁ γέρων ἄνθρωπος σκωπτικῶς. 1289, 14.

σος λήγοντα τῷ ο παραλήγοντα ἓν φιλεῖ ἔχειν σ, οἷον νόσος, δρόσος, εἰ μὴ κατὰ πάθος διπλωθῇ, οἷον ἐν τῷ τόσσος. 1746, 29.

σος λήγοντα δισύλλαβα ἔχοντα πρὸ τοῦ σος καὶ ἕτερον σ καὶ μὴ ἀπὸ φωνήεντος ἀρχόμενα ὀξύνεται, οἷον βυσσὸς, κισσὸς, πεσσὸς, πλὴν τοῦ Νέσσος. 1340, 38.

σος λήγοντα ὑπερδισύλλαβα τῷ η παραλήγοντα, ἔχοντα καὶ ἕτερον σ πρὸ τοῦ σος, ὀξύνονται, οἷον Ταρτησσὸς, Λυρνησσός. 890, 3.

σουβάλλα χυδαϊκῶς ἡ τῶν ὑδάτων σύῤῥοια. 497, 25.

Σουνιάρατος Ζεὺς ὁ Σουνιεὺς, ὅ ἐστιν ὁ ἐπὶ Σουνίῳ τιμώμενος. 1467, 44.

Σούνιον, ἀκρωτήριον τῆς Ἀττικῆς, ὅτι ἀπέχει τοῦ Χαλκιδικοῦ εὐρίπου στάδια ἑβδομήκοντα. 265, 12.

σοῦσθω, ἀπὸ τοῦ σόω τὸ προς-

τακτικὸν σοίσθω σοῦσθω. 62, 46. 1792, 6. ζήτει ἐν τῷ σόω.
σούω ἐκ τοῦ σέω προσλήψει τοῦ ῡ, τὸ δὲ σόω ἐκ τοῦ σέω σῶ, ὅθεν τὸ σείω. 1792, 5.
σοφία ἐλέγετο παρὰ τοῖς ἀρχαίοις πᾶσα χειρωνακτικὴ τέχνη, καὶ σοφοὶ οἱ περὶ ἑκάστην τέχνην ἔμπειροι. 1023, 12.
σόφισμα ἐξ ἐμφάσεως συναλιφῆς εἴτουν ἐκθλίψεως φωνηέντων, καὶ σόφισμα παρὰ τὴν σύνθεσιν ἢ διαίρεσιν. 1634, 1 — 17. 47.
σόφισμα Θετταλὸν τὸ Θεσσαλικὸν πανούργημα, ὡς τῶν Θεσσαλῶν ἐπὶ πανουργίᾳ διαβεβλημένων, ἑρμηνεία διεξοδικωτάτη. 331, 18 — 40.
σοφιστὴς ἐν ἴσῳ τῷ κιθαρῳδὸς ἢ ῥαψῳδὸς παρὰ Σοφοκλεῖ. 1023, 13.
σοφιστικῶν ὅρκων καὶ ὑποσχέσεων παραδείγματά τινα διεξοδικῶς ἑρμηνευόμενα. 331, 18 — 40. 1870, 62.
Σοφόκλειον ῥητὸν περὶ Θερσίτου λεγόμενον, ἐξήγησις. 205, 26.
Σοφοκλείου ῥητοῦ ἐξήγησις τοῦ, δεινὸν τὸ φρονεῖν ἔνθα μὴ τέλη λύει φρονοῦντι. 1722, 20.
Σοφοκλῆς ὅτι ὑποκρινάμενος τὸ τῆς Ναυσικάας σφαιριζούσης πρόσωπον σφόδρα ηὐδοκίμησε. 1553, 64.
σοφὸς, ὅτι καὶ τοῖς βαναύσοις τεχνίταις ἐπετίθετο τοὔνομα παρὰ τοῖς ἀρχαίοις, οἷον καὶ τὸ σοφὸς τέκτων παρ' Ὁμήρῳ. 1023, 12.
σοφῶ σοφώσω, ἐν ἴσῳ τῷ σοφίζω. 1928, 25.
σοφῶν τινῶν τῶν αὐτῶν καὶ ἀνδρείων κατάλογος ἐξ ἱστοριῶν. 1319, 61.
σόω διὰ τοῦ ο μικροῦ ἐν ἴσῳ τῷ διὰ τοῦ ω μεγάλου γραφομένῳ σώω, ὃ δηλοῖ τὸ σώζω. 62, 46. 63, 9. 758, 50.
σπάθη τὸ ξίφος, σπαθὴ δὲ ναυτικόν τι ξύλον. 1967, 33.
σπαθῖναι, ἔλαφοι ποιοί. 711, 38.
σπαίρειν καὶ σπαρίζειν ἐν ἴσῳ τῷ ἀσπαίρειν, ὅτι παρὰ τὸ σπῶ μονοσύλλαβον ῥῆμα λέγονται. 947, 13.
σπανοσιτία, ὅτι Ξενοφῶν χρῆται τῇ λέξει. 1402, 1.

σπαργανοῦσθαι πυρὶ μεταφορικῶς τὸ περιφλεχθῆναι. 1871, 50.
σπαρίζειν καὶ σπαίρειν ἐν ἴσῳ τῷ ἀσπαίρειν, ὅτι παρὰ τὸ σπῶ παρήχθησαν. 416, 37. 947, 11.
σπάρος ὁ ἰχθὺς ὅτι παρὰ τὸ σπαίρειν λέγεται. 1720, 41.
σπάρτα τὰ ἐκ σπάρτου τοῦ φυτοῦ σχοινία, Ἰλ. β', 135. καὶ ὅτι κατὰ γένους μεταπλασμὸν λέγεται τὸ σπάρτον. 191, 29. 46. 294, 33.
Σπάρτη, ἡ καὶ Λακεδαίμων, πόλις ἐνδοξοτάτη τῆς Πελοποννήσου· κατὰ δέ τινας Σπάρτη μὲν ἡ πόλις, Λακεδαίμων δὲ ἡ χώρα· καὶ ὅτι ἀπὸ Σπάρτου υἱοῦ Ἀμύκλαντος ὠνομάσθη, ἢ ἀπὸ Λελέγων σποράδων ἀνθρώπων ἐκεῖ συνῳκισθέντων, ἢ ἀπὸ μετὰ Κάδμου σπαρτῶν ἀνθρώπων· καὶ Σπάρτη κώμη τις κατὰ τὸν Εὔξεινον, καὶ Σπάρτον ὄρος, καὶ ὅτι ὑποπέπτωκε τῷ Ταϋγέτῳ ἡ Σπάρτη, καὶ ὅτι καὶ φυτόν τι σπάρτη λέγεται, τὸ καὶ σπάρτον οὐδετέρως, καὶ ἄλλα τινὰ περὶ Σπάρτης τῆς πόλεως. 294, 23 — 40. 1394, 50. ζήτει ἐν τῷ Λακεδαίμων.
σπαρτίνα, σχοινίον ἁλιευτικὸν ἐκ σπάρτων γινόμενον. 191, 33.
σπαρτίον τὸ κοινῶς κατὰ παραφθορὰν λεγόμενον σπαρτζίον, ἔστι δὲ πλέγμα τι ἐκ σπάρτων χρησιμεῦον τοῖς λουομένοις ἀντὶ σπόγγου. 421, 17. 1604, 18.
Σπάρτον, ὄνομα ὄρους τινός. 294, 31. ζήτει ἐν τῷ Σπάρτη.
σπᾶσθαι ἀντὶ τοῦ κινεῖσθαι ἐν τῷ ἰλυσπᾶσθαι καὶ εἰλύσπωμα. 1413, 33.
σπεῖρα οὐδετέρως τὰ ὑφάσματα, ἐξ ὧν γίνονται τὰ ἱστία, ἐν τῷ, πείσματα καὶ σπεῖρα, Ὀδ. ζ', 269. ὅπου καὶ σπείρας γράφεται, καὶ δηλοῖ τὰ δι' ὧν αἱ ναῦς ἕλκονται ἢ δι' ὧν οἱ τράχηλοι δεσμοῦνται. 1563, 4.
σπειρᾶσθαι τὸ σπαργανοῦσθαι καὶ συσφίγγεσθαι. 1437, 6.
σπεῖρον, ὕφασμα δυνάμενον σπειροῦν, ὅ ἐστι σπαργανοῦν, καὶ σπεῖρον τὸ ἱστίον. 1436, 56. 1437, 5. καὶ σπεῖρον ἐπὶ πτωχικοῦ ἀμφιβλήματος εἴτουν ῥάκους ἐν τῷ, σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών, Ὀδ. δ', 245. 1494, 46. ἀλλαχοῦ δὲ ὅτι σπεῖρον εἶδός τι ἱματίου, ἐνίοτε δὲ καὶ τὸ ἁπλῶς ὕφασμα οὕτω λέγεται παρ' Ὁμήρῳ. 1570, 58.

σπειροῦν τὸ σπαργανοῦν, παρὰ τὸ σπεῖρον. 1436, 56.
Σπειώ, κύριον Νηρηΐδος, ὅτι παρὰ τὸ σπέος λέγεται. 1131, 54.
σπένδειν ὅτι ἐκ τοῦ σπείδειν παρῆκται τροπῇ τοῦ ι εἰς ν κατὰ γλῶσσαν Ἀργείων καὶ Κρητῶν, καὶ ὅτι ταὐτόν ἐστι τὸ σπένδειν καὶ λείβειν. 640, 49. 1351, 11. 1726, 25. καὶ ὅτι σπένδεσθαι ἐπὶ φιλίᾳ λέγονταί τινες, οὐ μὴν λείβεσθαι. 1476, 28. καὶ ὅτι κατὰ τὸ οὖς τῶν ἐκπωμάτων ἔσπενδον οἱ παλαιοὶ τὴν θείαν οἰωνιζόμενοι ἀκοήν. 1470, 37.
σπένδεσθαι ἐπὶ φιλίᾳ, οὐ μὴν λείβεσθαι λέγονταί τινες. 1476, 28. ζήτει τὸ σπένδειν.
σπέος, οἱονεὶ σβέος διὰ τὸ ἀφώτιστον, καὶ ὅτι καὶ σπὲς κατὰ συγκοπὴν λέγεται. 472, 40. 1131, 29. καὶ ὅτι τὸ σπέος καὶ σπήλαιον καὶ ἄντρον ἐπὶ τοῦ αὐτοῦ πολυωνυμικῶς λέγονται. 1743, 52.
σπερματίαι σικυοὶ, ὅτι οὕτω λέγονται οἱ πέπονες σικυοί. 211, 14.
σπερμολογεῖν ἀντὶ τοῦ ἀμεθόδως ἐπὶ μαθήμασιν ἔκ τινων παρακουσμάτων ἀλαζονεύεσθαι. 1547, 52. ζήτει τὸ σπερμολόγος.
σπερμολόγος, ὄρνεον λυμαινόμενον τοῖς σπορίμοις, ὃ καὶ σπερμονόμος λέγεται, ὅθεν σπερμολόγους ἐκάλουν οἱ Ἀττικοὶ τοὺς περὶ τὰ ἐμπόρια καὶ τὰς ἀγορὰς διατρίβοντας καὶ τὰ ἐκ τῶν φορτίων διαπίπτοντα ἀναλεγομένους· καὶ σπερμολόγοι τροπικῶς οἱ ἐπὶ συλλέκτοις μαθήμασιν ἀλαζονευόμενοι καὶ οἱ μηδενὸς λόγου ἄξιοι, ὅθεν καὶ σπερμολογεῖν ῥῆμα. 1547, 52 — 56.
σπερμονόμος ὁ καὶ σπερμολόγος, εἶδος ὀρνέου λυμαινόμενον τοῖς σπορίμοις· ζήτει τὸ σπερμολόγος. 1547, 54.
σπέρχειν τὸ σπεύδειν καὶ κατεπείγειν. 935, 6. ὅθεν τὸ σπερχοίατο ἀντὶ τοῦ σπέρχοιντο, ἤγουν σπεύδοιεν. 1186, 16.
Σπερχειὸς, ποταμὸς Ἑλλαδικὸς,

ὅτι ὡς ὀξὺς καὶ ἐπισπερχὴς τὸ ῥεῦμα οὕτως ἐκλήθη. 1053, 2. 1076, 23. καὶ ὅτι ἐγγὺς Θερμοπυλῶν ἐκβάλλει. 1293, 17.

σπέρχεσθαι ἀντὶ τοῦ σπέρχειν, ὅ ἐστιν ἐπείγεσθαι ἢ θυμοῦσθαι. 1348, 13.

σπερχνὸν, ὡς τερπνὸν καὶ στεγνὸν, ὅτι προϋπάρχει τοῦ ἀσπερχὲς, καὶ ζήτει τὸ ἀσπερχές. 442, 10.

σπὲς ἀντὶ τοῦ σπέος, ὅθεν καὶ λέγεται κατὰ συγκοπήν. 472, 41.

σπεύδομαι ἐν ἴσῳ τῷ σπεύδω ἐν τῷ, σπεύσομαι εἰς Ἀχιλῆα, Ἰλ. ο', 402. 1022, 37.

σπηλάδιον ὅτι ἐκ τοῦ σπήλαιον ὑποκεκόρισται. 1552, 31.

σπήλαια καὶ ἄντρα, ὅτι πάντα τὰ πλαττόμενα μυθικῶς παρὰ τοῖς ποιηταῖς τοῦ σύμπαντος τούτου κόσμου εἰσὶν ἀλληγορικά. 1734, 64.

σπιδὲς τὸ ἐκτεταμένον καὶ πλατὺ, καὶ σπίδιον τὸ μακρὸν, παρὰ τὸ σπίζω, ὃ δηλοῖ τὸ ἐκτείνω, ὅθεν τὸ ἀσπιδὲς πεδίον παρ' Ὁμήρῳ. 882, 53. 58. 996, 22.

σπίζω κατὰ γλῶσσαν τὸ κοινῶς ἐκτείνω. 882, 54. 996, 22.

σπιθαμὴ, διάστημα δωδεκαδάκτυλον, παρὰ τὸ θαμὰ σπίζεσθαι, ὅ ἐστιν ἐκτείνεσθαι, τοὺς δακτύλους. 450, 38. 882, 54. 996, 24.

σπιλάδες, πέτραι παράλιαι διεσχισμέναι τῇ συνεχεῖ τῶν κυμάτων πλήξει, ὅτι παρὰ τὸ σπιλοῦσθαι λέγονται. 1468, 27. 1540, 32.

σπῖνος, ὄρνις ποιὸς, ὅτι παρὰ τὸ σπίζω, ὃ δηλοῖ τὸ ἐκτείνω, λέγεται. 996, 25.

σπλάγχνα τὰ ἐντόσθια, ὅτι παρὰ τὸ σπλὰν ἀντὶ τοῦ σπλὴν Δωρικῶς λεγόμενον ἐτυμολογεῖται ἡ λέξις, καὶ ὅτι ἐκ μέρους τοῦ σπληνὸς πάντα τὰ ἔγκατα οὕτω λέγονται. 134, 39. 135, 8. 1725, 41.

σπλαγχνοτόμος Ζεὺς ἐπωνυμικῶς παρὰ Κυπρίοις. 1413, 23.

σπλὰν ὁ σπλὴν Δωρικῶς, ὅθεν τὰ σπλάγχνα λέγονται. 135, 7.

σποδησιλαύρα, πόρνη σποδουμένη, ἤγουν πάσχουσα ἐν ταῖς λαύραις, ἤγουν ταῖς δημοσίαις ὁδοῖς. 1033, 62. 1082, 40. 1921, 58.

σποδιὰ ταὐτὸ ὅπερ σποδὸς, ὅτι κατὰ περιεκτικὸν τύπον λέγεται ὡς τὸ ἀχυρμιὰ, καὶ ὅτι τὸ μέλαν αὐτῇ ἐπιτίθεται παρ' Ὁμήρῳ διὰ τὸ τὰ φαιὰ ὑπὸ τὸ μέλαν ἄγεσθαι. 1547, 45. 1635, 39.

σποδὸς ἀντὶ τοῦ ἀνθρακιὰ ἐν τῷ, καὶ τότ' ἐγὼ τὸν μόχλον ὑπὸ σποδοῦ ἤλασα πολλῆς, Ὀδ. ι', 375. 1635, 39.

σπονδεῖον τὸ σκεῦος ᾧ οἶνος ἐσπένδετο, λειβάσιον δὲ ᾧ ἔλαιον. 1476, 26.

σπονδεῖος, ποὺς μετρικὸς, καὶ περὶ ὁλοσπονδείων ἐπῶν χρείας. 1086, 24.

σπονδὴ διὰ μέλιτος τῷ Ἡλίῳ τελουμένη. 640, 57.

σπόνδυλοι ὅτι καὶ σφονδύλιοι τετρασυλλάβως διὰ τοῦ φ λέγονται. 1217, 58.

σπουδαιέστατος ἀντὶ τοῦ σπουδαιότατος. 1441, 15.

σπουδὴ ἀντὶ τοῦ κάματος ἐν τῷ, ἄτερ σπουδῆς, Ὀδ. φ', 409. ὅθεν ἀσπουδεὶ ἀντὶ τοῦ ἀπονητί. 1915, 24.

σπουδῇ ἀντὶ τοῦ μόλις καὶ δυσχερῶς. 181, 8. 862, 61. 1286, 49.

σπυρὶς ὅτι παρὰ τὸν πυρὸν λέγεται διὰ τὸ δεκτικὸν βρωμάτων σκεῦος εἶναι τὴν σπυρίδα, ὅθεν καὶ ἀπὸ σπυρίδων δεῖπνα ἐλέγοντο τὰ ἐκ συγκομιδῆς ὅτε τινὲς συνήεσαν δειπνήσοντες. 1586, 18.

σπῶ καὶ σπῶμαι τὸ εἰς ἐμαυτὸν ἕλκω, ὅτι ἐκ τοῦ πῶ, ὅ ἐστι κτῶμαι, γέγονε πλεονασμῷ τοῦ σ. 1052, 11.

—σσ δύο ὅτι οὐδέποτε δίφθογγον ἔχει προηγουμένην πλὴν ἐν τῷ λεύσσω καὶ τῷ κρείσσων. 64, 13. καὶ δύο σ ἐν μέσῳ λέξεων συνθέτων κείμενα, ὧν τὸ πρότερον ἐκ τοῦ ν ἐτράπη, οἷον σύσσωμος, σύσσιτος, πασσυδίῃ. 228, 42.

—σσος λήγοντα ὀνόματα δισύλλαβα μὴ ἀπὸ φωνήεντος ἀρχόμενα ὀξύνονται, οἷον βυσσὸς, κισσὸς, πεσσὸς, πλὴν τοῦ Νέσσος. 1340, 39.

—σσω λήγοντα ῥήματα Αἰολικὰ ἐκ τῶν εἰς πτω κοινῶν μετασχηματισθέντα, οἷον ὄσσω ἐκ τοῦ ὄπτω, καὶ πέσσω ἐκ τοῦ πέπτω. 54, 19. 774, 54. 1398, 30.

—σσω λήγοντα ῥήματα, ὅτι τὰ διὰ δύο σσ ἐκφερόμενα ῥήματα διὰ τοῦ ζ προφέρουσι Ταραντῖνοι, τὸ ἀνάσσω ἀνάζω λέγοντες, καὶ τὸ πλάσσω πλάζω, καὶ ἀνάπαλιν τὰ κοινῶς εἰς ζω λήγοντα διὰ δύο σσ προφέρουσιν ἐκεῖνοι, οἷον φράσσω ἀντὶ τοῦ φράζω. 824, 29. 1654, 23.

στάβαρα κατὰ παραφθορὰν ἰδιωτικὴν οἱ σταυροί. 689, 51.

σταβάριον κατὰ παραφθορὰν ἰδιωτικὴν ὁ παρὰ τοῖς λογίοις λεγόμενος ἱστοβοεύς. 623, 37.

σταδαῖος μαχητὴς ὁ στάδην εἴτουν συστάδην μαχόμενος, σταδιαῖος δὲ παρὰ τὸ στάδιον λέγεται. 679, 30.

σταδία μάχη ἡ συστάδην καὶ ἐκ χειρὸς γινομένη. 282, 22. καὶ ὅτι τὸ σταδία καθ' αὑτὸ συνεισάγει τὸ μάχη, καθ' οὗ λέγεται. 679, 28.

σταδιαῖος ὅτι παρὰ τὸ στάδιον λέγεται, σταδαῖος δὲ ὁ συστάδην μαχόμενος. 679, 31.

στάδιον ὅτι παρὰ τὸ στάδην λέγεται διὰ τὸ ἵστασθαι τοὺς ἐν αὐτῷ θεωμένους. 679, 32. καὶ στάδιον μέτρον διαστημάτων τοπικῶν, ὅπερ ἀρσενικῶς τε καὶ οὐδετέρως λέγεται. 1390, 58.

στάδιος ἀρσενικὸν προσηγορικῶς τὸ καὶ στάδιον οὐδετέρως, ζήτει τὸ στάδιον· καὶ στάδιος ἐπίθετον σύζυγον τοῦ σταδίη. 679, 33. 1390, 58.

σταθεύειν τὸ χλιαίνειν ἴσως, παρὰ τὸ εὕειν, ὅ ἐστι λάμπειν. 1446, 31.

σταθευτὸς ὅτι παρὰ τὸ σταθεύειν, ὃ δηλοῖ τὸ χλιαίνειν, λέγεται. 1446, 32.

σταθμὰ οὐδετέρως ἀντὶ τοῦ σταθμοὶ κατὰ γένους μεταπλασμόν. 257, 8.

στάθμη, κανὼν ἢ γνώμων τεκτονικὸς, ὅθεν παροιμία, στάθμης ἀκριβέστερος, καὶ λευκὴ στάθμη ἐπὶ τῶν μηδὲν διακρινόντων, καὶ ὅτι βαρύνεται ἡ λέξις καίτοι τῷ σταθμὸς ὀξυτόνῳ συζυγοῦν, ἐρ-

μηνεία διεξοδική. 342, 12. 1022, 60 — 1023, 6. 1531, 61.

σταθμίζω ἐστάθμησα ἑτεροκλίτως, ὡς ἀπὸ τοῦ σταθμῶ περισπωμένου. 114, 6.

σταθμὸς, ὅτι πολύσημος ἡ λέξις, καὶ ἔκθεσις τῶν σημαινομένων αὐτῆς. 257, 8. 531, 17. καὶ ὅτι σταθμὸς ἡ παραστὰς τῆς θύρας ἤτοι ἡ βάσις τοῦ οὐδοῦ, καὶ τὸ ἀγροτικὸν οἴκημα, καὶ τὸ ζωοστάσιον, καὶ τὸ τῆς σταθμήσεως ὄργανον ὁμωνύμως. 906, 21. 1421, 1. καὶ ὅτι γενικώτερόν τι δηλοῖ ἢ ὁ σηκός. 1165, 47. 1570, 30. 1823, 10. καὶ σταθμὸς ὁ ἀγροτικὸς οἶκος ἀπὸ μέρους τοῦ κατὰ τὰς θύρας σταθμοῦ. 1761, 60. καὶ σταθμὸς πᾶς τόπος ἁπλῶς στάσεως, καὶ ὅτι ὀξύνεται κανονικῶς ἡ λέξις. 582, 13. 15. καὶ ὅτι καὶ σταθμὸν οὐδετέρως λέγεται κατὰ γένους μεταπλασμόν. 658, 42. καὶ ὅτι τὸ σταθμὸς ἐπὶ τοῦ τῆς σταθμήσεως ὀργάνου λαμβανόμενον καὶ ζυγὸς καὶ τρυτάνη καὶ τάλαντον συνωνύμως λέγεται· καὶ ὅτι παρὰ τὸ ἱστάναι ἐν ἰσότητι τὰς ὁλκὰς ὁ σταθμὸς λέγεται. 912, 44. 47. 50.

σταθμῶν καὶ μέτρων ὀνόματα ἐπί τε αὐτῶν τῶν ὀργάνων καὶ ἐπὶ τῶν μετρουμένων ἢ σταθμωμένων λεγόμενα, οἷον μέδιμνος, χοῖνιξ, πῆχυς, τάλαντον. 740, 28.

σταθμώσασθαι ἀντὶ τοῦ στοχάσασθαι παρ' Ἡροδότῳ, σταθμῆσαι δὲ τὸ ζυγοστατῆσαι. 70, 25.

σταῖμεν, τρίτον πρόσωπον ῥηματικὸν ἐκ τοῦ σταίημεν συγκοπὲν, οὗ τρίτον τὸ σταῖεν, ὡς τοῦ φαῖμεν τὸ φαῖεν. 176, 12.

σταιτίτης πλακοῦς ὁ ἐκ σταιτὸς καὶ μέλιτος. 1407, 25.

σταλαγμὸς ἐκαλεῖτο σκωπτικῶς πᾶς τις μικρὸς ἄνθρωπος. 1642, 60.

σταμῖνες τὰ περιτιθέμενα ἔξωθεν ἐπιμήκη ξύλα τοῖς ἐγκοιλίοις τῶν νεῶν, τινὲς δὲ ὀρθὰ ξύλα, οἷς προσεμπήσσεται τὰ πηδάλια, ἢ τὰ ἐν τῷ χείλει τοῦ πλοίου ἐξέχοντα ὀρθὰ ξύλα τοῦ κατὰ τὸ περίτονον τόπου, ἃ σταμινάρια ἰδιωτικῶς λέγονται, καὶ ὅτι δικατάληκτόν ἐστι τοὔνομα καὶ παρὰ τὴν στάσιν λέγεται. 1533, 24.

στάσιον λήγοντα ὀνόματα ὅτι παρὰ τὴν στάσιν λέγονται ἐν συνθέσει, οἷον ἱπποστάσιον, βουστάσιον. 658, 41.

στάσις ἡ διαλυτικὴ τῆς συνδετικῆς ὁμονοίας διάστασις. 108, 8.

στάσκεν, ἤγουν ἵστατο, ἀπὸ τοῦ στάσκω θέματος. 406, 34.

στατὴρ νόμισμα ὅτι παρὰ τὸ στῆσαι, ὅ ἐστι σταθμῆσαι, λέγεται. 958, 22. 1182, 52.

στατὸς ἵππος ὁ ἐπὶ πολὺ στὰς ἐφ' ἑνὶ τόπῳ. 658, 40.

σταῦλον Ῥωμαϊκῶς οἴκημα ὑποζυγίων δεκτικὸν, παρὰ τὴν στάσιν. 1957, 55.

σταυροὶ, οἱ καὶ σκόλοπες, ὀρθὰ καὶ ἀπωξυμμένα ξύλα παρὰ τὸ εἰς ἀέρα ἵστασθαι ἢ παρὰ τὸ εἰς εὖρος ἵστασθαι, ὅθεν καὶ ῥῆμα ἀνασταυροῦν, τὸ καὶ ἀνασκολοπίζειν. 689, 47. 892, 44. 1748, 50.

σταυροῦν ἐν ἴσῳ τῷ ἀνασκολοπίζειν. 892, 45. ζήτει τὸ σταυροί.

σταφυλαὶ, ὅτι οἱ ἐπὶ τῶν ἡμερίδων λεγομένων δρυῶν βότρυες σταφυλαὶ κυρίως λέγονται, καὶ ὅτι καὶ ὁ ἐν τῷ στόματι κίων σταφυλὴ λέγεται ὁμωνύμως, σταφύλη δὲ βαρυτόνως τεκτονικὸν ἐργαλεῖον. 345, 21. 34. 906, 56. 994, 43. 1163, 7. 1524, 24. 26. 1967, 33.

σταφυλὴ ὀξυτόνως ὁ καρπὸς καὶ ἡ ἐν τῷ στόματι κιονὶς, σταφύλη δὲ βαρυτόνως τεκτονικόν τι ὄργανον· ζήτει ἐν τῷ σταφυλαί.

σταφυλῖνος, εἶδος λαχάνου, καὶ περὶ τῆς δυνάμεως αὐτοῦ ἱστορία φυσική. 1163, 8.

σταχυηλόγος ὁ τοὺς στάχυς συλλέγων, ὅτι ἐκ τοῦ σταχυολόγος λέγεται τροπῇ τοῦ ο εἰς η. 521, 4.

στάχυς ὅτι οἱονεὶ σίταχυς λέγεται παρὰ τὸ σῖτον ἔχειν. 1181, 50. καὶ στάχυς ὁμωνύμως τὸ περὶ τὰς ψόας μέρος τοῦ σώματος, καὶ στάχυς ὁμώνυμος φωνὴ, ἐτυμολογία. 194, 3. 410, 18.

στέαρ, ὅτι κατὰ ἀρχαῖον ἔθος καὶ τὰ στέατα τροχοειδῶς ἐστρογγύλλοντο, καὶ ὅτι στέαρ μὲν τῶν κερασφόρων λέγεται, πιμελὴ δὲ τῶν μὴ ἐχόντων κέρατα. 1906, 27.

στεγανόμιον κοινῶς μὲν ὁ τόπος, ἐν ᾧ ἑστιῶνται, παρὰ δὲ τοῖς Ἀττικοῖς ὁ τοῦ πανδοχείου μισθός. 1761, 25.

στέγη τὸ ὅλον οἴκημα ἐνίοτε, ἀπὸ μέρους τῆς στέγης εἴτουν στεγώσεως. 1925, 47.

στέγος, ὅτι παρὰ τὸ τέγγω γίνεται τέγος, καὶ πλεονασμῷ τοῦ σ στέγος. 640, 5. 1420, 8.

στέγω ῥῆμα ὅτι παρὰ τὸ στέγος λέγεται, ὃ παρὰ τὸ τέγος, τοῦτο δὲ παρὰ τὸ τέγγω. 640, 5.

στείβειν τὸ πατεῖν καὶ τρίβειν. 778, 53. 860, 64. 1395, 36. 1553, 38.

στεῖλαι ναῦν ἀντὶ τοῦ εὐτρεπίσαι. 1760, 9.

στειλειὰ ἡ τοῦ πελέκεως ὀπὴ, δι' ἧς στέλλεται τὸ ἐμβαλλόμενον ξύλον, ὃ στειλειὸν οὐδετέρως λέγεται. 1531, 35. 37. 1915, 37.

στειλειὸν οὐδετέρως, ζήτει ἐν τῷ στειλειά. 1915, 37.

στείνεσθαι τὸ στενοχωρεῖσθαι, καὶ ὅτι στείνεσθαι ἀρνῶν λέγεται ὁ σηκὸς μετὰ γενικῆς πτώσεως, Ὀδ. ι', 219. 1625, 27. 1638, 53.

στεῖνος βαρυτόνως τὸ στένωμα εἴτουν τὸ στενοχώρημα. 893, 3. 965, 53.

στεινωπὸς ὁ στενωπός. 1308, 44.

στειπτὴ φυλλὰς ἡ κατεστοιβασμένη. 778, 54.

στεῖρα προσηγορικῶς ἡ τῶν πλοίων τρόπις, καὶ στεῖρα βοῦς ἢ γυνὴ ἐπιθετικῶς, ὅτι παρὰ τὸ στεῤῥὸν λέγονται, καὶ ὅτι βαρύνεται τοὔνομα. 139, 38. 41. 1453, 13.

στείχειν πρὸς οὐρανὸν λέγεται ὁ Ἥλιος ὅτε ἀνατέλλει, Ὀδ. λ', 17. 1671, 52.

στέλλειν καὶ στέλλεσθαι ἐπὶ τῆς κατὰ θαλάσσης μάλιστα πορείας, ὃ καὶ πέμπειν λέγεται· καὶ στέλλειν ἀντὶ τοῦ συστέλλειν ἐν τῷ, ἱστία μὲν στείλαντο, Ἰλ. α', 433. καὶ στέλλειν τὸ εὐτρεπίζειν. 120, 46. 130, 34. 1444, 26. 1454, 38. καὶ στέλλειν ἀντὶ τοῦ στρατηγικῶς κοσμεῖν, οἷον ἐν τῷ, οὓς ἑταίρους στέλλοντα, Ἰλ. δ', 294. 474, 11.

στέμβειν τὸ ὑβρίζειν καὶ τὸ συνεχῶς κινεῖν. 235, 8.

στέμματα, ὅτι καὶ ἐξ ἐρίων στέμματα ποιὰ ἐγίνοντο, ἐξ ὧν κα πλέγματά τινα δικτυοειδῆ κατεσκευάζοντο. 603, 17.

στέμφυλα, ὅτι καὶ τὰ τῶν τριβεισῶν ἐλαιῶν ἐκπιέσματα στέμφυλα λέγονται παρ' Ἀθηναίοις. 1963, 60.

στεναχίζω ὅτι καὶ στοναχίζω λέγεται, καὶ ὅτι παρὰ τὸ στένω λέγεται στενάχω, ὅθεν τὸ στεναχίζω. 180, 11.

στενάχω ἀντὶ τοῦ στενάζω, ὅτι παρὰ τὸ στένω παραγώγως λέγεται, δοκεῖ δὲ ἐκ τοῦ ἰαχὴ συγκεῖσθαι. 180, 12. 1763, 36.

στένειν λέγεται ἡ θάλασσα τροπικῶς ἀντὶ τοῦ ἠχεῖν. 180, 7. 1715, 56.

Στέντωρ, μεγαλοφωνότατός τις ἄνθρωπος παρ' Ὁμήρῳ, καὶ ἱστορία τις περὶ αὐτοῦ. 607, 27.

στενωπὸς παρ' Ὁμήρῳ μεταξὺ Σκύλλης καὶ Χαρύβδεως πορθμὸς, Ὀδ. μ', 234. παρὰ δὲ τοῖς ὕστερον αἱ κατὰ τὰς πόλεις ῥῦμαι στενωποὶ λέγονται, παρὰ τὸ ἀποστενοῦσθαι κατ' αὐτὰς τοὺς τῶν βλεπόντων ὦπας· καὶ ὅτι τῷ στενωπῷ ἐπιθετικῶς ἀκουομένῳ ἀντίκειται τὸ εὐρωπόν. 1719, 36.

στενωπὸς ὁδὸς ἢ ῥύμη ὅτι ἐντελῶς λέγεται, στενωπὸς δὲ κατὰ μόνας ἀτελῶς· καὶ στενωποὶ αἱ στεναὶ ἄμφοδοι, παρὰ τὸ ἀποστενοῦσθαι τοὺς τῶν κατ' αὐτὰς βλεπόντων ὦπας. 672, 20. 24. 1308, 44.

στέομεν βραχυπαραλήκτως ἀντὶ τοῦ στῶμεν αὐθυποτάκτου διὰ μέτρου ἀνάγκην. 848, 41. 1701, 28.

στερεὸς ἑνὶ ρ̄, στεῤῥὸς δὲ δυσί. 732, 15. ζήτει τὸ στεῤῥός.

στερέσαι ἀντὶ τοῦ στερῆσαι πρὸς μέτρου χρείαν, Ὀδ. ν', 262. 1741, 19.

στερήσεις δύο, ὅτι ἡ μία ἀναιρεῖ τὴν λοιπὴν ἐν τῷ ἀάατος, καὶ ζήτει τὸ ἀάατος. 1902, 51.

Στερόπη, μία τῶν Πλειάδων, ἧς καὶ Ἄρεος ἐγένετο Οἰνόμαος. 1155, 52.

στεροπὴ ἡ ἀστραπὴ καὶ ἡ ἁπλῶς λαμπηδὼν, ὅτι παρὰ τὸ στερεῖν ὀπωπῆς λέγεται. 786, 12. καὶ ὅτι στεροπὴ χαλκοῦ καὶ χρυσοῦ καὶ ἀργύρου καὶ ἠλέκτρου καὶ ἐλέφαντος κατὰ συνθήκην λέγεται. 1483, 18.

στεῤῥὰ ὀξύνεται, στεῖρα δὲ παρ' αὐτὸ λεγόμενον βαρύνεται. 139, 42.

στεῤῥὸς δυσὶ ρ̄, στερεὸς δὲ ἑνὶ διὰ τὸν τοῦ ε̄ πλεονασμὸν ὡς ἐν τῷ Βοῤῥᾶς καὶ Βορέας. 732, 15.

στεῦται, διαβεβαιοῦται, ὑφίσταται, ὑπισχνεῖται, παρὰ τὸ στέω στεύω ἐπενθέσει τοῦ ῡ. 222, 14. 387, 30. 749, 48. 748, 43. 952, 55. 1830, 63. ζήτει τὸ στεῦτο.

στεῦτο, ἤγουν ὥριζε καὶ διεβεβαιοῦτο ἢ ὑπισχνεῖτο. 293, 13. 1137, 49. 1245, 34. καὶ στεῦτο ἀντὶ τοῦ ἵστατο ἐν τῷ, στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι, Ὀδ. λ', 584. στεῦται δὲ ἀλλαχοῦ ἀντὶ τοῦ ὑπισχνεῖται καὶ διαβεβαιοῦται ἢ φαίνεται, καὶ ὅτι ἐκ τοῦ στέω ἐστέετο καὶ πλεονασμῷ ἐστεύετο κατὰ συγκοπὴν καὶ ἀποβολὴν τῆς αὐξήσεως λέγεται. 1701, 25.

στεφάνη, ὅτι πολύσημος ἡ φωνὴ καὶ ἔκθεσις τῶν σημαινομένων αὐτῆς. 661, 57.

στεφάνη, ὄρους ἐξοχὴ ἢ πλατύτης, ὅθεν καὶ στεφαναία πέτρα λέγεται. 925, 12. καὶ στεφάνη κόσμος κεφαλῆς παρ' Ὁμήρῳ. 1166. 38. ἀλλαχοῦ δὲ ὅτι στεφάνη ἢ στέφανος γυναικεῖος κόσμος ἐπομφάλιος. 1175, 3. 1249, 40.

στεφανηφόρος ἐκ τοῦ στεφανοφόρος τροπῇ τοῦ ο̄ εἰς η̄ πρὸς θεραπείαν τῆς πολυβραχύτητος. 422, 31.

στέφανος, ἐπὶ κύκλου παρ' Ὁμήρῳ ἀγνοοῦντι τὸν ἀγωνιστικὸν στέφανον. 958, 1.

στέφανος Μουσῶν ἐκ τῶν πτερῶν τῶν Σειρήνων, μῦθος. 85, 39. ζήτει ἐν τῷ Σειρῆνες.

στεφανοῦσθαι ὅτι κεφαλῆς ἐστὶν ἴδιον. 189, 14. καὶ ὅτι στεφανοῦσθαί τι ἐπί τινι λέγεται παρ' Ὁμήρῳ ἀντὶ τοῦ κύκλῳ καὶ περὶ αὐτὸ εἶναι, οἷον ἐν τῷ, τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο, περὶ τῆς Ἀγαμεμνονίης ἀσπίδος, Ἰλ. λ', 36. 828, 49. ὁμοίως καὶ ὁ οὐρανὸς στεφανοῦσθαι τὰ ἄστρα λέγεται, ἤγουν κύκλῳ περιέχειν καὶ στρέφειν. 1155, 7.

στέφειν ἀντὶ τοῦ πληροῦν ἐν τῷ, κοῦροι δὲ κρητῆρας ἐπιστέψαντο ποτοῖο, πολλαχοῦ παρ' Ὁμήρῳ. 1138, 47.

στέωμεν ἀντὶ τοῦ στῶμεν αὐθυπότακτον βραχυπαραληκτοῦν πολλαχοῦ παρ' Ὁμήρῳ πρὸς μέτρου χρείαν, ζήτει τὸ στέομεν.

στήῃ ἀντὶ τοῦ σταίη. 1090, 20. ζήτει τὸ, ηη λήγοντα εὐκτικά.

στῆθος ὅτι ἀπὸ μέρους τοῦ στήθους τὸ ὅλον δηλοῦται σῶμα ἐν τῷ, φᾶρος θῆκεν ἀμφὶ στήθεσιν, Ὀδ. π', 174. 1799, 10.

στῆθος ποδὸς ἐξ ἀναλόγου τὸ κάτωθεν σαρκῶδες μέρος τοῦ ποδός. 457, 10.

στῆλαι προβλῆτες παρ' Ὁμήρῳ πλάκες τινὲς προβεβλημέναι ἐπ' ἀσφαλείᾳ τείχους τινός. 903, 42. 47. 57.

στηλιτεύειν τὸ στήλῃ ἐγγράφειν τὰ κατά τινος, καὶ ὅτι τὸ στηλίτης ὄνομα ἄῤῥητόν ἐστιν. 849, 61.

στημονάρια τεκτονικὰ, οἱονεὶ σταμινάρια παρὰ τοὺς σταμῖνας, καὶ ζήτει τὸ σταμῖνες. 1533, 25.

στῆν μονοσυλλάβως ἀντὶ τοῦ ἔστην, ὅτι περισπᾶται, ὡς καὶ τὸ βῆν ἀντὶ τοῦ ἔβην. 1647, 33.

στῆναι γνὺξ ἐριπὼν λέγεται παρ' Ὁμήρῳ ὁ μέρει μέν τινι τοῦ σώματος πεσὼν, τοῖς δὲ λοιποῖς ἑστακώς. 791, 8.

στης λήγοντα παρώνυμα τῷ ε̄ παραλήγοντα, κύρια μὲν ἢ προσηγορικὰ ὄντα βαρύνονται, ἐπιθετικὰ δὲ ὀξύνονται. 596, 23. καὶ ὅτι τὰ εἰς στης ὑπερδισύλλαβα τῷ η̄ παραλήγοντα ὀξύνονται, οἷον ἑρπηστής, ὠμηστής. 855, 39.

στῆσαι ἀντὶ τοῦ σταθμῆσαι ἐνίοτε. 1182, 51. 1347, 46. συνήθως δὲ τὸ ἀνεγεῖραι· καὶ ὅτι καὶ στῆται κρατῆρα καὶ τράπεζαν λέγεται κατὰ συνθήκην. 660, 52. καὶ στῆσαι ἱστὸν καὶ στήσασθαι ὁμοίως. 1452, 53.

στησίχορος πτῶσίς τις ἐν τοῖς ἀστραγάλοις, εἴτουν ὁ τὴν ὀκτάδα σημαίνων βόλος ἐν τῇ δι' ἀστραγάλων παιδιᾷ, οὕτως ἐλέγετο παρὰ τὸ τὸν ἐν Ἱμέρᾳ τά-

φον Στησιχόρου τοῦ μελοποιοῦ ἐξ ὀκτὼ γωνιῶν συνεστηκέναι. 1289, 59. 1397, 38.

στήτη ἡ γυνὴ παρὰ Θεοκρίτῳ. 21, 43.

στι λήγοντα ἐπιρρήματα ἐξ ἐφελκυσμοῦ ἔχοντα τὸ ληκτικὸν τι, οἷον μεγάλως μεγαλωστὶ, ἐκ παραδείγματος. 781, 4.

στιβάδες ἐντετμημέναι ἐν πέτρᾳ, ὅτι τὰ κοινῶς λεγόμενα πεσσούλια ὑπαγορεύεται διὰ τοῦ λόγου τούτου. 1546, 62.

στιβαρὸν τὸ πυκνὸν καὶ στερεὸν, ἐκ μεταφορᾶς τῆς καταπεπατημένης γῆς καὶ ταύτῃ πεπυκνωμένης· καὶ στιβαρῶς ἐπίῤῥημα ὅτι παρὰ τὸν ἔστιβον δεύτερον ἀόριστον ἔχει τὸ στι ἰῶτα. 563, 35. 914, 18. 1395, 35.

στιβὰς ἡ εὐτελὴς καὶ καταπεπιλημένη στρωμνὴ, παρὰ τὸ στείβω, ὅ ἐστι καταπατῶ. 343, 12. 861, 1. 1395, 37. 1553, 39. καὶ ὅτι διὰ τοῦ βολὴ, ὅ ἐστι ῥῖψις ἢ θέσις, φύλλων κεκλιμένων χαμαὶ ὑπογράφεται, Ὀδ. λ', 194. 1678, 9.

στίβη ἡ ἑωθινὴ πάχνη, παρὰ τὸ στείβω, ὅ ἐστι καταπατῶ καὶ πυκνοποιῶ, πυκνοῦται γὰρ ἡ δρόσος παχνουμένη. 1546, 44.

στίβος καὶ πάτος ἡ ἐν τῷ καταπατεῖσθαι πυκνουμένη ὁδὸς, παρὰ τὸ στείβω τὸ καταπατῶ καὶ πυκνῶ. 861, 1. 1218, 34. 1546, 45.

στιβῶ στιβήσω, τὸ συμπιλῶ καὶ καταπατῶ, ὅτι ἐξ ἀναδρομῆς δευτέρου μέλλοντος εἰς ἐνεστῶτα γέγονε τὸ ῥῆμα. 179, 35. 1035, 31.

στιγματίαι, ὅτι στιγματίας ἐπεκλήθη Νικάνωρ ὁ γραμματικὸς διὰ τὸ περὶ στιγμῶν πολυλογῆσαι. 20, 12. καὶ ὅτι Θρᾳκικαί τινες γυναῖκες ἐφ' ὕβρει στιχθεῖσαι μέρη τινὰ τοῦ σώματος καὶ τὰ λοιπὰ προσανέστιξαν ἐξαλείφουσαι τὸν τῆς συμφορᾶς χαρακτῆρα. 1960, 15.

στιγμὴ ὅτι δύναταί ποτε ἐκτείνειν τὸ πρὸ αὐτῆς βραχὺ φωνῆεν. 1465, 4. καὶ ὅτι ἐπὶ τῷ τέλει τῆς βῆτα ῥαψῳδίας τῆς Ἰλιάδος τελεία στικτέον διὰ τὸν εἱρμὸν τῶν ἐφεξῆς, ἐπὶ δὲ τῶν ἄλλων ῥαψῳδιῶν οὔ, διὰ τὸ σιωπὴν ἐκδέχεσθαι. 369, 35.

στίγων δοῦλος, ὁ καὶ στιγματίας, ὅτι παρὰ τὸ ἐστίχθαι οὕτω λέγεται, ὡς καὶ πέδων παρὰ τὸ πεπεδῆσθαι. 725, 32. 1542, 48.

στίζεσθαι λέγεται τὸ πέλαγος, ὅταν φρῖκα πάσχῃ. 1324, 42.

στίλβειν κάλλεϊ λέγεται παρ' Ὁμήρῳ ὁ ἀλοιφῇ τινὶ μυρεψικῇ γεγανωμένος τὴν ὄψιν. 426, 46. 1842, 24.

στιλβηδὼν ὄνομα θηλυκὸν παρὰ τὸ στίλβω. 991, 3.

στίλβων τὸ τῆς Ἀφροδίτης ἄστρον. 1271, 33.

στιλπνὸς παρὰ τὸ στίλπω εἴτουν στίλβω, ὡς ἀπὸ τοῦ τέρπω τερπνὸς, καὶ θάλπω θαλπνός. 991, 2.

στίλπωνες, ἀνθρωπάρια μικρὰ, ἃ καὶ σκωπαῖοι ἐκαλοῦντο παρὰ Λάκωσι. 1523, 64.

στίμμις θηλυκῶς καὶ στίμμι οὐδετέρως. 728, 47. 51. 976, 51. ἀλλαχοῦ δὲ ὅτι στίμμις κατὰ θηλυκὸν γένος λέγεται, καὶ ὅτι εἰς τὰ ὄμματα ἐστὶ χρήσιμος. 1761, 32.

στὶξ στιχὸς ἡ τάξις ἁπλῶς, παρὰ τὸ στείχειν, ἣ καὶ δίφθογγον ὤφειλεν ἔχειν τὸ στι, διὰ δὲ τὸ εἰς διπλοῦν καταλήγειν ἐν μονοφθόγγῳ γράφεται. 321, 42. καὶ στὶξ ἰδίως σύστημα ἐξ ἀνδρῶν πεντακοσίων. 469, 7. 13. 665, 17. 1052, 46.

στιφρὸς, ὅθεν καὶ ῥῆμα στιφρῶ, ὅτι παρὰ τὸ στύφω λέγεται, ὅθεν καὶ τὸ στρυφνός. 1913, 45.

στίχες αἱ ἁπλῶς τάξεις, ἰδίως δὲ στὶξ σύνταξις ἀνδρῶν πεντακοσίων. 665, 17. ζήτει τὸ, στὶξ στιχός.

στιχηρὰ πάθη ἐκ πλεονασμοῦ ὅτι τρία εἰσὶ, καὶ ἔκφρασις αὐτῶν διεξοδική. 12, 32.

στίχοι εἴτουν ἔπη, καὶ περὶ ὁλοσπονδείων τινῶν καὶ ὁλοδακτύλων στίχων εἴτουν ἐπῶν. 1899, 54.

στίχος ἡ ἐπὶ βάθος στάσις τῶν χορευτῶν, καὶ ὅτι καὶ οἱ ἐν τοῖς βιβλίοις στίχοι οὐχ' ὡς νῦν κατὰ μέτωπον, ἀλλὰ κατὰ βάθος ἐγράφοντο παρὰ τοῖς ἀρχαίοις. 1305, 28. 32. καὶ στίχος ἡ ῥάβδος ὁμωνύμως, ὅθεν καὶ στιχῳδοὶ, ζήτει τὸ στιχῳδοί. 6, 25.

στιχῶ, ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων ἐκ τοῦ ἔστιχον δευτέρου ἀορίστου εἰς ἐνεστῶτα ἀναδραμόντος, ὡς ἐκ τοῦ ἔστιβον τὸ στιβῶ. 179, 36. 1035, 30.

στιχῳδοὶ οἱ ῥαψῳδοὶ, ἐπεὶ καὶ ῥαβδῳδοὶ οἱ αὐτοὶ παρὰ τὴν ῥάβδον, στίχος δὲ καὶ ῥάβδος ταὐτόν ποτε σημαίνουσιν. 6, 25.

στίχων καὶ πέδων δοῦλος, στιγματίας καὶ πεδήτης. 1542, 48. ζήτει τὸ στίγων.

στοιχὰς λέγεται ἡ κατὰ στοίχους πεφυτευμένη ἄμπελος. 1524, 34.

στοιχειακῶν γραμμάτων ἀπόγονοι λέξεις, ἤγουν κατὰ μίμημα τῆς ἐκείνων ἀπηχήσεως γενόμεναι, οἷον τοῦ β ὁ βόμβος καὶ τὸ βομβεῖν, τοῦ ζ τὸ ζέειν, τοῦ ξ τὸ ξέειν, τοῦ ρ ὁ ῥοῖζος, τοῦ σ τὸ σίζειν καὶ ὁ σιγμός. 821, 40. 1636, 15.

στοιχεῖον, ὅτι τὸν ἥλιον ἐκάλεσέ τις στοιχεῖον διὰ τὴν κατὰ στοῖχον, ἤγουν κατὰ τάξιν, πορείαν αὐτοῦ. 1671, 47.

στοιχείων τῶν κατὰ κόσμον κοινωνία καὶ διαφωνία, ἱστορία φυσικὴ διεξοδικῶς ἑρμηνευομένη. 1242, 51.

στοῖχος ἡ κατὰ βάθος τάξις. 1328, 16. ζήτει τὸ στίχος.

στόλος, νεώς τι μόριον, ὅθεν τὸ ἀκροστόλιον. 1039, 41. καὶ στόλοι κατὰ γλῶσσαν τὰ ἀπωξυμμένα ξύλα διὰ τὸ συνεστάλθαι. 1726, 15. καὶ ὅτι στόλος παρὰ τὸ στεῖλαι, ὅ ἐστιν εὐτρεπίσαι, λέγεται. 1760, 9.

στόμα πολέμου, ἐν ᾧ οἱ πρόμαχοι ἵστανται. 1185, 63.

στόμα πολέμου τροπικῶς λέγεται ὁ τόπος, καθ' ὃν οἱ πρόμαχοι τετάχαται, ὃς καὶ στόμα φάλαγγος λέγεται. 469, 41. 786, 24.

στόμα καὶ στόμιον ποταμοῦ ὁ τόπος, καθ' ὃν εἰς θάλασσαν εἰσβάλλει. 858, 62. 1545, 13. καὶ στόμα θαλάσσης ὁ αἰγιαλὸς, ὅπου τὴν ἄχνην ἐκπτύει. 965, 55. καὶ ὅτι καὶ λιμένων λέγεται καὶ ποταμῶν καὶ λιμνῶν. 1649, 57.

στόμα ἐν ἴσῳ τῷ στόμωμα παρὰ τοῖς μεθ' Ὅμηρον ῥήτορσι. 1021, 54.

στομάλιμνον, ὅτι ἐκ τοῦ στόμα καὶ τοῦ λίμνη σύγκειται τοὔνομα. 1649, 58.

στόμαχος το κάτω μέρος τοῦ λαιμοῦ, καὶ στομάχοιο θέμεθλα ἢ φάρυγξ ἢ τὸ στόμα τῆς κοιλίας. 416, 32. ἀλλαχοῦ δὲ ὅτι στόμαχος ὁ βρόχθος παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον τὸ στόμα τῆς κοιλίας· καὶ θέμεθλα στομάχου ἡ θέσις αὐτοῦ παρ' Ὁμήρῳ. 1094, 23.

στόμια ποταμῶν αἱ ἐκβολαί. 858, 62. 1545, 13.

στόμις ἵππος ὁ τῷ στόματι ἀντερείδων τῷ χαλινῷ. 1538, 50.

στομωμάτων σιδήρου διάφοροι ὀνομασίαι, καὶ ὅτι διαφόρως στομούμενος ὁ σίδηρος εἰς διάφορα ἔργα ἐχρησίμευε παρὰ τοῖς παλαιοῖς. 294, 4.

-στον λήγοντα ὀνόματα καὶ χωρὶς τοῦ σίγμα λεγόμενα ἐνίοτε παρὰ ποιηταῖς, οἷον γνωτὸν ἀντὶ τοῦ γνωστόν. 922, 23.

στοναχίζεσθαι τὸ στένειν καὶ στεναχτικῶς λαλεῖν. 180, 6. 11. 667, 55.

στοναχίζω, ὅτι παρὰ τὸ στένω γίνεται στενάχω, ὅθεν στεναχίζω, ὃ καὶ στοναχίζω λέγεται. 180, 11.

στονόεσσα αὐτὴ ἡ μάχη παρ' Ὁμήρῳ πρὸς διαστολὴν ἑτέρας τινὸς μὴ τοιαύτης. 1691, 36.

στορέω τὸ στρωννύω, καὶ στορέσαι λέχος τὸ στρῶσαι, καὶ ἐστόρεσε θεὸς μεγακήτεα πόντον, Ὀδ. γ', 158. ἀντὶ τοῦ κατέπαυσεν, ἢ καὶ θυμὸς στορεσθῆναι λέγεται· καὶ στορέσαι ἀνθρακιὰν ἀντὶ τοῦ ἐξαπλῶσαι. 748, 20. 778, 44. καὶ ὅτι στορέω μὲν στορῶ κατὰ τὴν πρώτην, στρῶ δὲ στρώσω κατὰ τὴν τρίτην. 1880, 42.

στορνῦσα, ὅτι ἐκ τοῦ στορέω στορῶ γίνεται στόρνω καὶ στορνύω, ὅθεν στόρνυμι, οὗ μετοχὴ ὁ στορνὺς ἡ στορνῦσα. 1811, 11.

στορῶ στορέσω κατὰ τὴν πρώτην, στρῶ δὲ στρώσω κατὰ τὴν τρίτην. 1880, 42.

-στος λήγοντα ὀνόματα ὅτι καὶ χωρὶς τοῦ σ λέγονται αὐτῶν τινὰ, οἷον γνωτὸς ἀντὶ τοῦ γνωστός. 922, 23. 1795, 63.

-στος λήγουσαι γενικαί, ζήτει τὸ, -τος λήγουσαι γενικαί.

στραβὸς ὅτι παρὰ τὸ στρέφειν λέγεται. 432, 9. 1410, 19.

Στράβων κύριον ὅτι παρὰ τὸ στραβὸς λέγεται. 1410, 19. καὶ ὅτι Στράβων, υἱὸς Κάλλωνος Ἀργείου ἐκ Τειρεσίου ὅτ' ἦν γυνὴ γεγονὼς, διὰ τὸ διεστράφθαι τὰς ὄψεις οὕτως ἐκλήθη. 1665, 52.

στρατεῖαι διαφόρων ἐθνῶν μετὰ διαφόρων μουσικῶν ὀργάνων, οἷον Λακεδαιμονίων μετὰ αὐλῶν, Κρητῶν δὲ μετὰ λύρας. 1320, 3.

στρατεύεσθαι λέγονται τὰ νέφη τροπικῶς, ὅτε πολλὰ συσταθέντα ταραχὴν ἀέρος ἀπειλοῦσι. 471, 36.

στρατία Ἀθηνᾶ, ζήτει ἐν τῷ, στράτιος Ζεύς. 189, 18.

Στρατία, πόλις Ἀρκαδίας, ἀπὸ Στρατίας ἡρωίδος τινὸς, ὅτι βαρυτόνως λέγεται, τὸ ἐθνικὸν Στρατιεὺς καὶ Στρατιώτης· Στράτιον δὲ οὐδετέρως πόλις Ἀκαρνάνων, τὸ ἐθνικὸν Στρατιώτης. 301, 27. 33.

Στρατίος κύριον ὅτι παροξύνεται διὰ τὸ τρίβραχυ εἶναι. 1474, 30.

στράτιος Ζεὺς παρὰ Καρσὶ τιμώμενος διὰ τὸ διοικεῖν τὰ κατὰ τοὺς πολέμους, καὶ στρατία Ἀθηνᾶ ὁμοίως. 189, 18.

Στρατιώτης ἐθνικὸν, ζήτει τὸ, Στρατία πόλις.

στρατιωτῶν ἐπίθετα διάφορα ἀπὸ διαφόρων ὅπλων παρονομασθέντα, οἷον αἰχμητὴς ἀπὸ τῆς αἰχμῆς, καὶ εὐκνήμις παρὰ τὴν κνήμην, καὶ θωρηκτὴς παρὰ τὸν θώρακα, καὶ ἄλλων ἀπ' ἄλλων. 70, 5.

στρατιωτῶν καύχημα διὰ μέλους σκολίου, καὶ ἔκθεσις τοῦ μέλους. 1574, 6.

Στρατονίκου ἀπομνημόνευμα περὶ κηρύκων. 1324, 23.

Στρατονίκου κιθαρῳδοῦ ἀποφθέγματα, τὸ περὶ τῶν ναῶν καὶ τὸ περὶ τῶν κηρύκων. 1108, 40. 1324, 23. καὶ ἀστεῖσμα τοῦ αὐτοῦ κατά τινος φαύλου μουσικοῦ. 1634, 28.

στρατόπεδον ἀντὶ τοῦ στράτευμα, καὶ ἐναλλὰξ στρατὸς ἀντὶ τοῦ στρατόπεδον. 1046, 44.

στρατὸς ἀντὶ τοῦ στρατόπεδον, καὶ ἀνάπαλιν στρατόπεδον ἀντὶ τοῦ στράτευμα. 1046, 43.

στρέβλα ὅτι ὤφειλε στρέβλη λέγεσθαι, ἐπεὶ τὰ εἰς λα θηλυκὰ καὶ ἕτερον λ πρὸ τοῦ λα θέλει ἔχειν. 118, 1.

στρεβλὸς, ὁ καὶ στραβὸς παρὰ τοῖς παλαιοῖς λεγόμενος, ὅτι παρὰ τὸ στρέφειν λέγεται, ὡς καὶ ὁ στραβός. 206, 30. 432, 9. 1410, 19.

στρεπτὴ γλῶσσα ἀντὶ τοῦ ὑγρὰ καὶ εὐλύγιστος, ἢ ἡ τὰ ἐναντία ἐπιχειροῦσα. 1206, 43.

στρεπτὸς προσηγορικῶς κόσμος ποιὸς, καὶ στρεπτὸς χιτὼν ἐπιθετικῶς ὁ κλωστὸς, ἢ ὁ κρικωτὸς θώραξ, Ἰλ. ε', 113. 528, 23. καὶ στρεπτὸς ὁ δυνάμενος στρεφθῆναι, ὅθεν στρεπτοὶ θεοὶ καὶ στρεπταὶ φρένες παρ' Ὁμήρῳ. 625, 9.

στρεύγεσθαι τὸ τήκεσθαι καὶ οἷον κατὰ στράγγα ὑποῤῥέειν καὶ ἐκλείπειν. 1030, 8. 1725, 12. καὶ ὅτι ἐκ τοῦ στραγεύεσθαι ἢ μᾶλλον στραγγεύεσθαι συγκέκοπται. 1441, 59.

στρεφεδινεῖν ὅτι ἐκ τοῦ στρέφειν καὶ τοῦ δινεῖν ταὐτοσήμων λέξεων σύγκειται. 436, 56. 1087, 61.

στρέφειν ἐν ἴσῳ τῷ κλώθειν. 1015, 33. 1638, 16.

στρεψίμαλλον πρόβατον τὸ συνεστραμμένους ἔχων τοὺς μαλλοὺς, ὅθεν μεταφορικῶς στρεψίμαλλος ἄνθρωπος ὁ μὴ ἁπλῶς τὸν τρόπον, ἀλλ' ὡς εἰπεῖν στρόφις καὶ περίεργος ἐν τῷ λαλεῖν. 1561, 36. 1638, 16.

στριφνὸς ὅτι στρυφνὸς διὰ τοῦ υ ψιλοῦ ὤφειλε γράφεσθαι, ὡς ἀπὸ τοῦ στύφω στυφνὸς καὶ πλεονασμῷ τοῦ ρ στρυφνός. 413, 5.

στρογγύλη, ὄνομα μιᾶς τῶν ἑπτὰ Αἰόλου νήσων. 1644, 33.

στρόμβος, ἄτρακτος ἢ βέμβιξ ἢ ῥόμβος ἢ λίθος στρογγύλος. 995, 62.

στρουθίζειν τὸ εὐτελῶς ᾄδειν, ὅτι παρὰ τὸ στρουθὸς λέγεται. 228, 40. 1411, 15.

στρουθίον, εἶδος ποτηρίου Περσικοῦ. 1411, 14.

στρουθὸς ὅτι παρὰ τὸ μετὰ οἴ-

στρου θέειν πρὸς τὴν ὀχείαν οὕτω λέγεται, ἢ καὶ τῇ Ἀφροδίτῃ ἀφιέρωτο· καὶ ὅτι ὀξύνεται κανονικῶς τοὔνομα. 228, 30. καὶ ὅτι ἀμφισβητεῖται κατὰ τὸ γένος, καὶ ὅτι οὐ καθολικόν ἐστιν, ὡς τὸ ὄρνις καὶ οἰωνός· καὶ ὅτι ὀχευτικόν τέ ἐστι τὸ ὄρνεον καὶ τοὺς φαγόντας αὐτοῦ τοιούτους ποιεῖ· καὶ στρουθοὶ Λυβικαὶ αἱ στρουθοκάμηλοι, αἳ καὶ ἄγριαι στρουθοὶ λέγονται. 228, 38. 1411, 4—16. καὶ ὅτι οἱ στρουθοὶ οὐ μόνον ἰδόντες τὰς θηλείας, ἀλλὰ κἂν φωνὴν ἀκούσωσι σπερμαίνουσι. 1681, 40.

στροφαῖος Ἑρμῆς ὁ παρὰ τῷ στροφεῖ ἱδρυμένος ἢ ὁ στρόφις, ἤγουν στρέφων καὶ ἐξαπατῶν. 1353, 9.

στροφαλίζειν τὸ στρο̄ μικρὸν, ὅτι τῷ στροφάλιγξ ὀνόματι συστοιχεῖ, ἀπὸ γὰρ τοῦ στρωφῶ εἶχεν ἂν τὸ στρο̄ μέγα. 1848, 39.

στροφάλιγξ κονίης ἐν ἴσῳ τῷ ἄελλα, ἐπεὶ καὶ ἶσον τὸ στρέφειν τῷ εἱλεῖν, ὅθεν ἡ ἄελλα λέγεται. 1953, 16.

στρόφος, σχοινίον ἐστραμμένον εἴτουν κλωστὸν, ἢ ἱμὰς τοιοῦτος, οὗ τῶν περάτων ἐξάπτεται ἡ ποιμενικὴ πήρα, Ὀδ. ν', 438. ρ', 198. καὶ στρόφος ὁμωνύμως ἡ τῆς γαστρὸς ὀδύνη. 1746, 42. 44.

Στρυμὼν ποταμὸς πράσιόν τι φερων ἐπιπολάζον τῷ ὕδατι εἰς τροφὴν τῶν ἐν αὐτῷ ἰχθύων, ἱστορία. 1227, 21.

στρυφνὸς ὅτι παρὰ τὸ στύφω λέγεται. 1913, 44. ζήτει τὸ στριφνὸς διὰ τοῦ ἰῶτα.

στρύχνος ὅτι κατὰ θηλυκὸν γένος λέγεται. 1390, 53.

στρῶ στρώσω, ὅτι ἐκ τοῦ στορῶ στορέσω συγκοπὲν εἰς ἑτέραν συζυγίαν μετέβη. 748, 26. 778, 48. 1880, 43.

στρώματα, εἴτουν στρωμναὶ, ὅτι ἐξ ὑποστρωμάτων καὶ σκεπασμάτων συνίστανται. 1471, 64.

στρωμνὴ ὅτι ἐκ τοῦ στρωμονὴ κατὰ συγκοπὴν λέγεται. 748, 27. καὶ περὶ τῆς ἐφ' Ὁμήρου τῶν ἡρωικῶν στρωμνῶν εὐτελείας. 782 12.

στρῶσαι, ὅτι ἐκ τοῦ στορέω στορῶ γίνεται στρῶ κατὰ συγκοπὴν καὶ κλίνεται στρόω στρῶ κατὰ τὴν τρίτην συζυγίαν, καὶ ὅτι περὶ λίθων καὶ σανίδων καὶ κυμάτων λέγεται. 1369, 48. 1811, 13. ζήτει τὸ στορέω.

στρῶται παρὰ Πέρσαις οἱ τὰς στρωμνὰς εὐθετοῦντες. 1471, 63.

στρωφᾶν τὸ στρέφειν, καὶ ὅτι καὶ ἀντὶ τοῦ κλώθειν τίθεται ἐν τῷ, ἠλάκατα στρωφῶσα, Ὀδ. ζ', 53. 306. 1551, 14. καὶ ὅτι τὸ στρο̄ διὰ τοῦ ω μεγάλου ἔχει γραφόμενον. 137, 24.

στύγαξ ἀντὶ τοῦ στυγερὸς ἢ στυγητὸς, καὶ ὅτι οὕτως ἐπεκαλεῖτο Εὐκράτης, Ἀθηναίων τις στρατηγὸς, διὰ τὸ στυγεῖσθαι ὑπὸ τῶν πολλῶν. 1650, 60.

στυγεῖν τὸ μισεῖν καὶ φρίσσειν καὶ λυπεῖσθαι, ὅτι παρὰ τὴν Στύγα λέγεται. 78, 12. 718, 34. 37. 1010, 54. 1123, 24. ἀλλαχοῦ δὲ ὅτι τὸ στυγεῖν πάλαι μὲν ἐπὶ τοῦ φρίσσειν, ὕστερον δὲ ἐπὶ τοῦ μισεῖν διὰ τὸ ἐπακολουθοῦν μῖσος τοῖς στυγουμένοις. 1650, 62.

στυγερὸς καὶ στυγητὸς ὅτι παρὰ τὴν Στύγα λέγονται. 1650, 59.

στυγερὰ ἔπη ἀντὶ τοῦ στυγνὰ ῥήματα ἐν τῷ, νῶι μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν ἕσταμεν ἀχνύμενοι, Ὀδυσσ. λ', 465. στυγερὸν δὲ ἀλλαχοῦ τὸ μισητὸν καὶ φρικτόν. 1694, 10.

στυγερὴ ἀοιδή, Ὀδ. ω', 200. ἐν ἴσῳ τῷ χαλεπὴ φήμη. 1956, 63.

στυγερὴ δαὶς ὅτι οὐ καθόλου λέγεται, ἀλλ' ἡ ἐπὶ τοῖς ἐς Στυγὸς κατιοῦσι νεκροῖς γινομένη. 1285, 43. 1287, 6.

στυγερὴ νόσος ἡ θανάσιμος, παρὰ τὴν ἐν Ἅιδου Στύγα. 953, 23.

στυγερὸς Ἀΐδης ὁ φρικτὸς καὶ μισητὸς Ἅιδης, παρὰ τὸ στυγεῖν ἢ παρὰ τὴν ἐν Ἅιδου μυθευομένην Στύγα. 718, 33.

στυγερὸς δαίμων ἀντὶ τοῦ φρικτὴ ἢ θανάσιμος τύχη ἐν τῷ, στυγερὸς δέ οἱ ἔχραε δαίμων, Ὀδ. ε', 396. 1545, 5.

στυγερὸς σκότος ὁ θάνατος, παρὰ τὴν Στύγα, ἔνθα ἀπέρχεσθαι μυθεύονται οἱ τεθνηκότες. 520, 18.

στυγερῶς, φρικτῶς καὶ κρυερῶς, καὶ ὡς ἂν στυγέῃ τις. 1083, 18. 1937, 9.

στυγέω στυγῶ, ἐν ἴσῳ τῷ φρίσσω καὶ ἔῤῥιγα, παρὰ τὴν Στύγα. 669, 17. καὶ ὅτι στύγω βαρυτόνως δοκεῖ λέγεσθαι, ὡς δῆλον ἐκ τοῦ στύξαιμι ἀορίστου εὐκτικοῦ, οὗ χρῆσις Ὀδ. λ', 502. καὶ τοῦ, κατὰ δ' ἔστυγον αὐτήν, Ὀδ. κ', 113. 1695, 28.

Στύγιος δόμος τὰ ἐν Ἅιδου λέγεται παρὰ Σοφοκλεῖ. 718, 35.

στυγητὸν τὸ φρικτὸν καὶ μισητόν. 718, 28. 34.

στυγνάζειν ὅτι ἐκ τοῦ στυγεῖν γίνεται κατὰ παραγωγὴν καὶ πλεονασμὸν τοῦ ν̄. 718, 36. 1123, 28.

στυγνὸς ὁ λυπούμενος καὶ ὁ μισητὸς παρὰ Σοφοκλεῖ, ὅτι παρὰ τὸ στυγεῖν γίνεται πλεονασμῷ τοῦ ν̄. 718, 35. 1123, 28.

Στυγὸς ὕδωρ, ὅτι κατ' αὐτοῦ ὀμνύουσιν οἱ θεοί. 336, 16. ζήτει ἐν τῷ, Στὺξ Στυγός.

στυγῶ στυγήσω, ὅθεν στυγητὸς, καὶ στυγέσω, ὅθεν στυγερός. 1937, 10.

στύλος ὅτι παρὰ τὸν στήσω μέλλοντα λέγεται τροπῇ τοῦ η̄ εἰς ῡ. 620, 20. 795, 37. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ στήλη κατὰ τὴν αὐτὴν τροπήν. 884, 62. καὶ ὅτι ὁ στύλος οὐ ταὐτὸν ὅπερ ἡ στήλη δηλοῖ, καίτοι ἀπὸ τοῦ αὐτοῦ παρηγμένον. 1848, 51.

στῦμα στύματος, ἡ τοῦ αἰδοίου τάσις, ἀπὸ τοῦ ἔστυμαι παρακειμένου τοῦ στύομαι ῥήματος. 1283, 32.

Στύμφαλος, πόλις Ἀρκαδικὴ ἀρσενικῶς καὶ θηλυκῶς λεγομένη, ὅθεν καὶ Στυμφαλία Ἄρτεμις, καὶ Στυμφαλὶς λίμνη, περὶ ἣν αἱ Στυμφαλίδες λεγόμεναι ὄρνις, ἱστορία. 302, 9.

Στὺξ Στυγὸς, ἱστορικῶς μὲν λιβάσιον ὕδατος ψυχροτάτου καὶ ὀλεθρίου περὶ Φενεὸν ἢ Νώνακριν, πόλεις τῆς Ἀρκαδίας, ἑρμηνεία διεξοδική. 301, 16. 718, 27. καὶ ὅτι κατὰ τοῦ τῆς Στυγὸς ὕδατος ὀμνύουσιν οἱ θεοί. 336, 16. ἀλλαχοῦ δὲ ὅτι Στὺξ πηγὴ ἐν Ἅιδου μυθευομένη διὰ τὸ στυγητὰ ἤγουν φρικτὰ εἶναι τὰ ἐν

Ἅιδου, ἡ διὰ τὸ στυγνάζεσθαι τοὺς ἀποθνήσκοντας οὕτω λεγομένη· καὶ ὅτι καὶ παρὰ Κιμμερίοις καὶ περὶ τὸν Ἄορνον κόλπον τῆς Ἰταλίας πηγή τις οὕτως ἐκαλεῖτο ὁμωνύμως τῇ περὶ Φενεὸν τῆς Ἀρκαδίας. 1196, 20. 1650, 59. 1667, 39. 42. 52.

στύξαιμι ἀντὶ τοῦ μισήσαιμι καὶ φρίξαιμι, καὶ ἀντὶ τοῦ εἰς μῖσος καὶ ἔκπληξιν ἀγάγοιμι· καὶ ὅτι ἀπὸ τοῦ στύγω στύξω βαρυτόνου κεκίνηται, ἢ ἀπὸ τοῦ στυγήσαιμι περισπωμένως κεκινημένου κατὰ συγκοπὴν καὶ τροπήν. 1695, 22.

Στύρα οὐδετέρως λεγόμενον, πόλις Εὐβοϊκὴ πλησίον Καρύστου, κατασκαφεῖσα ὑπὸ Φανίδρου Ἀθηναίων στρατηγοῦ, τὸ ἐθνικὸν Στυριεύς. 281, 11.

Στυράκιον, ὄνομα ὄρους Κρητικοῦ, καὶ στυράκια ἀκοντίσματα ὅμοια τοῖς κρανέϊνοις, ἐκ στύρακος φυτοῦ γινόμενα. 281, 13.

στύραξ, εἶδος φυτοῦ, ζήτει ἐν τῷ στυράκιον. 281, 14. καὶ στύραξ τὸ καὶ στυράκιον καὶ σαυρωτήρ, ὅ ἐστι τὸ κατὰ τὸ ὀπίσθιον μέρος τοῦ δόρατος σιδήριον, παρὰ τὸ στῆναι ἔχειν ἐπ' αὐτοῦ τὸ δόρυ, ἀπὸ τοῦ στῶ στήσω τροπῇ τοῦ η εἰς υ. 795, 35.

στυφελίζειν τὸ στρυφνῶς ἐλελίζειν, ὅ ἐστι διασείειν ἢ ἑλίσσειν, ὅ ἐστι συστρέφειν. 155, 18. 680, 6. 845, 59.

στῶ στήσω, ἀντὶ τοῦ σταθμῶμαι, ὅθεν μεταστῆσαι παρ' Ὁμήρῳ τὸ ἀντισηκῶσαι. 1625, 25.

Στώακες ὑποκοριστικῶς οἱ Στωικοί. 1448, 3.

συ συλλαβὴ μεταβάλλουσά ποτε τὸ σ εἰς ξ ἐν μέσῳ λέξεων, οἷον ἐν τῷ ἀναξυρίς, ὃ παρὰ τὸ ἀνασείρεσθαι λέγεται. 22, 8.

σὺ ἀντωνυμία δὶς παραλαμβανομένη παρελκόντως τὸ δεύτερον, οἷον ἐν τῷ, μηδὲ σύ γ' αἰδόμενος τὸν μὲν ἀρείω καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσεαι, Ἰλ. κ', 237. 800, 64.

σύτο ἀντὶ τοῦ ἔσσυτο, ἤγουν ἐξώρμησε. 1229, 30.

Σύαγρος ποιητής, ὅτι πρῶτος οὗτος ἐποίησε περὶ τοῦ Τρωικοῦ πολέμου, γεγονὼς μετὰ Ὀρφέα καὶ Μουσαῖον. 4, 26.

σύαγρος προσηγορικῶς ὁ ἄγριος σῦς, καὶ σύαγρος κύων ἐπιθετικῶς ὁ σῦς ἀγρεύων, καὶ Σύαγρος κύριον. 773, 7. 1872, 11. καὶ ὅτι Ἰωνικῶς σῦς ἄγριος ἐν διαλύσει λέγεται. 1554, 15.

Συβαρῖται ὅτι τὰς ψοφητικὰς τέχνας ἐξέβαλον τῆς ἑαυτῶν πόλεως, ἱστορία. 1150, 15. καὶ ὅτι οἱ Συβαρῖται ἀπέκτεινάν ποτε τοὺς Κροτωνιατῶν πρέσβεις, ἐφ' οἷς ἀνέβλυσεν αὐτοῖς πηγὴ αἵματος, ἱστορία. 1266, 53.

συβόσιον συῶν, ὅτι ἐκ περιουσίας προσκείμενον ἔχει τὸ συῶν, ὡς καὶ τὸ αἰπόλιον τὸ αἰγῶν, ὡς ἐγκείμενα αὐτοῖς. 257, 29. καὶ ὅτι ἐκτείνεταί ποτε διὰ μέτρου ἀνάγκην ἡ παραλήγουσα τοῦ συβόσιον. 874, 7.

συγγενικῶν τινῶν ὀνομάτων ἔκθεσις. 316, 10. καὶ ὅτι τῶν συγγενικῶν ὀνομάτων τὰ μὲν πλεῖστα ὑπὸ παντὸς προσώπου ἔχει προφέρεσθαι, ἔνια δὲ ἐκ μόνων τῶν πρὸς ἃ λέγεται, οἷον ἄπφαν τὴν ἀδελφὴν μόνη ἡ ἧς ἐστὶν ἀδελφὴ καλέσειεν ἂν Ἀττικῶς, καὶ πάπαν τὸν πατέρα ὁ οὗ ἐστὶν ὁ πατήρ. 565, 21. 648, 59.

συγκαταινεῖν, τὸ καὶ συναινεῖν, ὅτι παρὰ τὸν αἶνον, ὃ δηλοῖ τὴν συγκατάθεσιν, λέγεται. 1755, 13.

συγκηδεσταὶ λέγονται οἱ ἀδελφὰς γεγαμηκότες. 971, 27.

σύγκλητος ὅτι παρὰ τὸ συγκαλεῖν λέγεται, ζήτει ἐν τῷ βουλή. 172, 8. καὶ ὅτι διὰ τοῦ, κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον, Ἰλ. ι', 11. ὑπογράφεται ἡ σύγκλητος· καὶ σύγκλητος λέσχη παρὰ Σοφοκλεῖ ἡ σύγκλητος βουλή. 732, 53.

συγκομιστήρια, τὰ καὶ θαλύσια. 772, 22. ζήτει τὸ θαλύσια.

συγκοπὴ πάθος ὅτι ψιλωτικόν ἐστι τῶν λέξεων, ἀλλ' οὐ καθόλου. 843, 12. καὶ ὅτι ὀνόματά τινα ἄκλιτα μένει διὰ τὸ ἐκ συγκοπῆς γενέσθαι, οἷον μέγας ἐκ τοῦ μεγάλος μεγάλου, καὶ μάρτυς ἐκ τοῦ μάρτυρος μαρτύρου. 114, 14. 1447, 19.

συγκρίνειν ὅτι ἴσον δύναται τῷ συγχέειν ἀντικειμένως τῷ διακρίνειν. 388, 25. 1490, 50.

σύγκρισις, ὅτι δεῖ τὰς συγκρίσεις ἀπὸ ταπεινοτέρων ἀναβαίνειν ἐπί τι ὑψηλότερον· ἐνίοτε δὲ ἀνάπαλιν ἐξ ὑψηλοτέρου ἐπί τι ταπεινότερον γίνεται ὑποβιβασμός, οἷον ἐν τῷ, ὥστε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης, Ὀδ. δ', 45. 1481, 38.

συγκριτικὰ ἀπὸ συγκριτικῶν παρηγμένα κατὰ συγκρίσεως ἐπίτασιν, οἷον πλειότερον ἀπὸ τοῦ πλεῖον· καὶ συγκριτικὰ ἀπὸ ὑπερθετικῶν παρηγμένα, οἷον λαλίστερος ἐκ τοῦ λάλιστος. 215, 9. 13.

συγκριτικὰ πληθυντικῇ γενικῇ συντεταγμένα γενικὴν ἐφελκόμενα εἰς τὰ σύστοιχα θετικὰ ἀναλυόμενα, οἷον ὀλοώτερος θεῶν ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς, καὶ συγκριτικὰ καθ' αὑτὰ ἀντὶ τῶν θετικῶν. 76, 12. 17. 424, 34.

συγκύρσαι τὸ κατὰ συγκυρίαν εἰς ταὐτὸ ἐλθεῖν. 1309, 22.

συγχέειν ὅτι ἀντίκειται τῷ τάττειν καὶ ἁρμόττειν, καὶ ὅτι τὰ καταβαλλόμενα οἰκοδομήματα συγχέεσθαι λέγονται. 1020, 15. 1025, 27. καὶ ὅτι καὶ ἡνία τῆς τάξεως ἐκπεσόντα συγχεῖσθαι λέγονται παρ' Ὁμήρῳ. 1071, 36.

συγχεῦαι τινὰ λέγεται ἡ θάλασσα, ἤγουν τῆς κατὰ φύσιν ἁρμονίας καὶ συνθήκης παραλῦσαι· καὶ οἶκος δὲ καταπεσὼν συγκεχύσθαι καὶ συνερρῆχθαι λέγεται. 1589, 27. 44. 46.

σύγχυσις ὅτι ἀντίκειται τῇ ἁρμονίᾳ καὶ τάξει. 1020, 15. καὶ ὅτι πρὸς πολλά τινα λέγεται ἡ σύγχυσις, οἷον σύγχυσις λόγου καὶ νημάτων καὶ οἰκημάτων πεσόντων καὶ πολυειδῶν ὀσπρίων συσσωρευθέντων· καὶ ὅτι καὶ στρατευμάτων σύγχυσις λέγεται· μετενήνεκται δὲ ἡ λέξις ἐκ τῆς χύσεως ὑγρῶν τινῶν ὁμοῦ γινομένων. 1354, 29.

σύες ἀγρότεροι λέγονται παρ' Ὁμήρῳ πρὸς διαστολὴν τῶν οἰκοτραφῶν. 1703, 28.

σύες λυμαινόμεναι τοῖς ληίοις ὅτι

ἐξεδοντίζοντο κατὰ νόμον παρὰ Κυπρίοις. 1835, 45.

συζυγίαι διάφοροι διαφορὰν ποιοῦσι τοῦ αὐτοῦ κατὰ τὴν φωνὴν τοῦ ῥήματος, οἷον τὸ δηλῶ ἄλλο μὲν σημαίνει δηλέω λεγόμενον κατὰ τὴν πρώτην, ἄλλο δὲ δηλόω κατὰ τὴν τρίτην. 70, 21.

συζυγιῶν μεταβολὴ διὰ συγκοπὴν ἢ σύνθεσιν, οἷον διαχειρίζω μὲν ἐντελῶς λέγεται, διαχρῶμαι δὲ ἐν συγκοπῇ καθ' ἑτέραν συζυγίαν· ὁμοίως χειρίζω μὲν ἁπλῶς, ἐγχειρῶ δὲ συνθέτως ἐν μεταβολῇ συζυγίας. 706, 17.

σύζυγος ὁ συνεζευγμένος γυναικί. 653, 36.

σῦκα φίλ' ὀρνίθεσι, ζήτει ἐν τῷ σῦκον. 1964, 19. καὶ συκῶν προσηγορίαι, τὰ αἱμώνια, τὰ βασίλεια, καὶ τὰ κόλυθρα καλούμενα, καὶ τὰ χειμερινά, ἃ καὶ κωδωναῖα. 1964, 6. ζήτει τὰ κατὰ μέρος.

συκάζειν τὸ σῦκα τρυγᾶν. 1572, 55. καὶ συκάζειν ἀντὶ τοῦ ἐπηρεαστικῶς πιέζειν τοὺς ὑπευθύνους παρὰ τοῖς κωμικοῖς. 1963, 63.

συκαλὶς, ὀρνίθιον ἐν καιρῷ σύκων ἁλισκόμενον. 1964, 23.

συκάμινα ὅτι ὡς σύκων ἀμείνω οὕτω λέγεται κατ' ἔκπτωσιν τοῦ ε̄ τῆς μει διφθογγογραφουμένης συλλαβῆς. 989, 11.

συκαμίνου ὁ καρπὸς ὅτι συκάμινος λέγεται ὁμωνύμως τῷ δένδρῳ. 1657, 14.

συκάσιος Ζεὺς ὁ καθάρσιος, ὅτι παρὰ τὴν συκῆν λέγεται, ᾗ ἐχρῶντο ἐν καθαρμοῖς. 1572, 56.

Συκέας Τιτάν, μῦθος, καὶ Συκέα πόλις ἐν Κιλικίᾳ. 1964, 12. ζήτει τὸ συκῆ.

συκῆ ὅτι παρὰ τὸ σύειν καὶ κίειν, τουτέστιν ὁρμᾶσθαι καὶ ἵεσθαι, λέγεται. 437, 15. 1822, 30. 1964, 22. καὶ ὅτι μακρὸν ἔχει τὸ σῦ τοὔνομα. 1572, 60. καὶ ὅτι ἐκ τοῦ συκέα συνῄρηται, διὸ καὶ περισπᾶται. 1963, 44. καὶ ὅτι χρήσιμος ἦν ἐν καθαρμοῖς ἡ συκῆ, ὅθεν καὶ συκάσιος Ζεὺς ὁ καθάρσιος. 1572, 56. καὶ ὅτι Διονύσου εὕρημα ἐνομίζετο ἡ συκῆ, ὅθεν καὶ συκίτης Διόνυσος παρὰ Λάκωσι, οὗ καὶ τὸ πρόσωπον ἐν Νάξῳ ἱδρυμένον σύκινον ἦν· καὶ πόθεν ἀμπέλου κασιγνήτη λέγεται ἡ συκῆ παρ' Ἐπιχάρμῳ· καὶ ὅτι ἐκ Συκέου Γίγαντός τινος μεταμορφωθέντος γέγονε τὸ φυτόν, ἢ ἀπὸ Συκῆς θυγατρὸς Ὀξύλου τινὸς μιγέντος Ἁμαδρυάδι τῇ ἀδελφῇ ὀνομάζεται· καὶ ὅτι ὁ τόπος, ἐν ᾧ πρῶτον ἔφυ ἡ συκῆ Ἀθήνησιν, ἱερὰ συκῆ ἐκλήθη διὰ τὸ καθαρεῖον βίου ἡγήσασθαι τοῖς ἀνθρώποις τὸ φυτόν. 1964, 11—17.

συκίνη ἐπικουρία, παροιμιακῶς ἀντὶ τοῦ ἀχρεία. 1572, 60. 1964, 1.

συκίτης Διόνυσος, ζήτει ἐν τῷ συκῆ. 1964, 15.

συκόμορα τὰ συκάμινα, ἃ καὶ μόρα ἀσυνθέτως παρὰ Ἀλεξανδρεῦσι λέγονται. 872, 7.

σῦκον καὶ συκῆ, ὅτι ἐκτείνουσι τὴν σῦ συλλαβὴν τὰ ὀνόματα, διὸ καὶ προπερισπᾶται τὸ σῦκον. 1572, 60. καὶ περὶ σύκων εἰδικῶν τινῶν προσηγορίαι· ζήτει τό, σῦκα φίλ' ὀρνίθεσι.

σῦκον ἐφ' Ἑρμῇ, παροιμιακῶς ἀντὶ τοῦ ἕρμαιον καὶ εὕρημα ἐκκείμενον ἐπ' ὠφελείᾳ τοῦ εὑρόντος. 1572, 57.

σῦκον μετ' ἰχθὺν, ὄσπριον μετὰ κρέας, παροιμία ἐπὶ ἐξευτελισμῷ τῶν σύκων λεγομένη. 1964, 19.

συκοτραγίδης ὁ διὰ φειδωλίαν ἀπὸ τῶν εὐτελεστάτων σύκων τρεφόμενος. 1828, 11.

σύκου ὁμοιότερος, παροιμία ἐπὶ τῶν πάντη παρεοικότων κατ' ὄψιν. 1964, 1.

συκοφάντης ὅτι παρὰ τὸ φαίνειν, ὅ ἐστι δεικνύναι, τὰ σῦκα εἴρηται. 1495, 15.

σύκωμα, πάθος κατὰ τοὺς ὀφθαλμοὺς παρὰ τὸ ἐοικέναι κατὰ τὸ ὑπέρυθρον τοῖς σύκοις οὕτω λεγόμενον. 1964, 5.

συκωτὸν, πάθος τι φυόμενον τῷ τῶν σιάλων ἥπατι, ὅτι παρὰ τὸ σῦκον λέγεται. 1964, 4.

σῦλα ἐν ἴσῳ τῷ σκῦλα, ἤγουν λάφυρα, ὅθεν καὶ συλᾶν τὸ ἐκδύειν. 520, 22. 810, 33.

συλαγωγεῖν τὸ συλᾶν εἴτουν σκυλεύειν καὶ λαφυραγωγεῖν, παρὰ τὸ σῦλον, ὅ ἐστι σκῦλον εἴτουν λάφυρον. 520, 22.

συλᾶν καὶ συλεύειν ἐν ἴσῳ τῷ σκυλεύειν, καὶ συλᾶν ἀντὶ τοῦ ψηλαφᾶν ὁμωνύμως. 450, 4. 534, 19.

συλᾶν τινὰ τεύχεα ἢ ἔντεα, ἤγουν ἀφαιρεῖσθαι καὶ ἐκδύειν τινὰ τὰ ὅπλα· καὶ ὅτι τὸ συλᾶν καὶ συλεύειν λέγεται. 625, 48. 666, 20. 952, 1. 1072, 61.

συλεύειν ἐν ἴσῳ τῷ σκυλεύειν. 520, 21. καὶ συλεύειν ἀντὶ τοῦ ἁπλῶς κλέπτειν ἐν τῷ, τὸν μὲν ἐ ὼ δείδοικα καὶ αἰδέομαι συλεύειν, Ἰλ. ω', 435. 1357, 46.

συλλαμβάνεσθαι ἐν ἴσῳ τῷ συνεκδέχεσθαι, ὅθεν σύλληψις σχῆμα ταὐτὸ ὅπερ συνεκδοχή. 145, 5.

συλληπτικὰ εἴτουν περιληπτικὰ ὀνόματα, ὅτι καὶ ἑνικῶς ἐσχηματισμένα ὑπόκειταί ποτε πληθυντικοῖς ῥήμασιν, οἷον φάσαν ἡ πληθύς. 219, 45.

σύλληψις, σχῆμα ταὐτὸ ὅπερ συνεκδοχή, ζήτει ἐν τῷ συνεκδοχή. 145, 4. 841, 55. 959, 55. 1299, 6. καὶ παράδειγμα τοῦ σχήματος. 947, 60. καὶ ὅτι αἱ συλλήψεις ἢ πρὸς ἴσα γίνονται ἢ πρὸς πλεονάζοντα, οὐδέποτε δὲ τὰ πλείω ἐν τοῖς ἐλάττοσι συλλαμβάνεται. 959, 55. 58. ἀλλαχοῦ δὲ πλατύτερον σύλληψις τρόπος ἐστὶ ποιητικός, ὅτι ἐν τοῖς ῥήμασιν ἐξετάζεται, οἷον ἐν τῷ, σῖτον καὶ οἶνον ἔδοντες, παρ' Ὁμήρῳ, ὑπακουομένου τοῦ πίνοντες ἐξ ἀναλόγου. 1593, 19.

σύλληψις ἀρσενικοῦ καὶ θηλυκοῦ γένους, ὅτι ἐν τῇ κατὰ τὴν σύνταξιν συλλήψει ἐπικρατεῖ τὸ ἀρσενικόν. 781, 56.

συλλογισμὸς, σχῆμα συντομίας, ὃ καὶ ἔμφασις λέγεται, καὶ παράδειγμα τοῦ σχήματος. 576, 19. 600, 34.

συμβαίνειν ἀντὶ τοῦ συμβιβάζεσθαι, ὅ ἐστι συμφωνεῖν. 1261, 48.

συμβάλλειν καὶ συμβάλλεσθαι παρ' Ὁμήρῳ μὲν τὸ μαχίμως συμπλέκεσθαι καὶ συνάπτειν πόλεμον, παρὰ δὲ τοῖς ὕστερον τὸ

καταλαβεῖν καὶ νοῆσαι. 385, 8. 909, 59. 64. καὶ συμβάλλειν ἀσπίδας καὶ δόρατα λέγονται οἱ ὁμόσε ἰόντες. 495, 44. 497, 19. καὶ ἀλλαχοῦ συμβάλλειν τὸ πολεμικῶς συμπλέκεσθαι καὶ τὸ ἁπλῶς εἰς ἓν ἰέναι καὶ τὸ συναντᾶν, καὶ συμβάλλειν τὸ συγκρίνειν καὶ τὸ νοεῖν. 1405, 49. 52. 56. 58. καὶ συμβάλλειν μεταβατικῶς τὸ συνάγειν τινὰς εἰς μάχην. 1195, 44. καὶ ὅτι καὶ ποταμοὶ συμβάλλειν τὰ ἑαυτῶν ῥεύματα λέγονται, ἤγουν εἰς ταὐτὸ συμμίσγειν. 606, 41. καὶ ὅτι τὸ συμβάλλειν καὶ ἡ συμβολὴ μέσαι ἀγαθοῦ καὶ κακοῦ λέξεις εἰσί. 21, 38. καὶ συμβάλλεσθαι ἀντὶ τοῦ συναντᾶν πολλαχοῦ παρ' Ὁμήρῳ. 1211, 2. 1371, 57. 1675, 38.

συμβάλλεσθαι ἀντὶ τοῦ συναντᾶν κατὰ παθητικὴν φωνὴν πολλαχοῦ παρ' Ὁμήρῳ. 965, 14. 1211, 2. 1371, 57. 1675, 38. καὶ συμβάλλεσθαι παρὰ τοῖς μεθ' Ὅμηρον ἀντὶ τοῦ νοῆσαι καὶ ἀντὶ τοῦ λυσιτελεῖν, ὅθεν ἀσύμβολος ἄνθρωπος, καὶ τὸ συνερανίζεσθαι, ὅθεν ἀσύμβολον δεῖπνον. 965, 14. καὶ συμβάλλεσθαι τὸ συγκροτεῖν καὶ τὸ βοηθεῖν ὁμοῦ ἰόντα τινί. 1405, 50.

σύμβασις, ἤγουν συμβίβασις, ὅτι παρὰ τὸ συμβαίνειν, ὅ ἐστι συμφωνεῖν, λέγεται. 1268, 32.

συμβλήμενος, ἤγουν συναντήσας, παρὰ τὸ συμβάλλεσθαι ἀντὶ τοῦ συναντῆσαι. 1675, 38.

σύμβληντο ἀντὶ τοῦ συνεβάλλοντο ἤγουν συνήντησαν, παρὰ τὸ συμβάλλεσθαι ἀντὶ τοῦ συναντῆσαι. 1371, 57.

συμβλήσεαι, ἤγουν συναντήσεις, παρὰ τὸ συμβάλλεσθαι ἀντὶ τοῦ συναντῆσαι. 1211, 2.

σύμβολα ἀντὶ τοῦ γράμματα εἴτουν ἐπιστολαὶ παρ' Εὐριπίδῃ. 633, 38. καὶ σύμβολα τὰ τεκμηριώδη καὶ μαντικὰ σημεῖα. 1405, 58.

συμβόλαια πολιτικὰ ὅτι διὰ τὸ ἔκ τινος καὶ αὐτὰ συμβολῆς, ἤγουν ἐράνου, γίνεσθαι οὕτω λέγονται. 1405, 54. καὶ συμβόλαιον τετρασυλλάβως ἐν ἴσῳ τῷ σύμβολον, ἤγουν μαντικὸν σημεῖον. 805, 14.

συμβολὴ ὁ ἔρανος, τουτέστιν ἡ γινομένη παρ' ἑκάστου οἴκοθεν δαπάνη περί τι συμπόσιον, ὅθεν καὶ ἀπὸ συμβολῆς δειπνεῖν τὸ ἐκ κοινοῦ ἐράνου εὐωχεῖσθαι. 606, 42. 1404, 10. 1085, 47.

συμβολὴ ἡ κατὰ πόλεμον συμπλοκή, καὶ συμβολὴ ἡ τῶν ὑδάτων σύῤῥοια. 497, 20. 24. 881, 44. 1405, 50.

σύμβολον τὸ μαντικὸν σημεῖον, ὅτι καὶ σύμβολος ἀρσενικῶς λέγεται ἐπὶ τοῦ αὐτοῦ. 1357, 41.

σύμβολος ἀρσενικῶς ἐν ἴσῳ τῷ σύμβολον, ὅ ἐστι τὸ ἐκ συναντήματος οἰώνισμα. 805, 14. καὶ ἀλλαχοῦ σύμβολοι τὰ ἐνόδια συναντήματα, ἀφ' ὧν οἰωνίζοντο. 1405, 53.

συμβουλευτικὰ κεφάλαια, τὸ καλὸν, τὸ δυνατὸν, τὸ συμφέρον καὶ τὸ ἀναγκαῖον, ὧν τὸ καλὸν πρὸς δόξαν μόνον ὁρᾷ. 1141, 49.

συμβουλὴ τὸ ἐπιτυχὲς σύσκεμμα, οἱονεὶ συμβολὴ, ἤγουν ἔρανος, ἐπενθέσει τοῦ υ. 1404, 52. 1405, 55. ἀλλαχοῦ δὲ ὅτι συμβουλὴ λέγεται ἡ κοινὴ βουλὴ, ὅταν πολλοί τινες εἰς βουλὴν συνίασιν, οἱονεὶ συμβολή. 798, 51. 1667, 31.

Σύμη, νῆσος πρὸς τῇ Καρίᾳ καὶ πόλις ὁμώνυμος ἀπὸ Σύμης τῆς Ἰαλυσοῦ, ὅτι καὶ Αἴγλη καὶ Μεταποντὶς ἐκλήθη ποτὲ, καὶ ὅτι πέρδικας μαχίμους τρέφει. 271, 24. 318, 6.

συμμετρία πλάτους πρὸς μῆκος, ὅτι δεῖ τὸ μῆκος τριπλάσιον εἶναι τοῦ πλάτους. 1688, 1.

συμπαίστωρ καὶ συμπαίστρια ὅτι παρὰ τὸ παίζω παίσω Ἀττικῶς λέγονται. 1594, 46.

συμπεσεῖν ὅτι περὶ μεγάλων σωμάτων ὑψόθεν καταῤῥασσομένων εἰς ἄλληλα λέγεται. 679, 58. καὶ συμπεσεῖν τὸ τυχηρῶς συμβαίνειν. 1396, 52. 1538, 22. καὶ συμπεσεῖν τὸ συμπλακῆναι καὶ συμβαλεῖν ἐπὶ μάχῃ. 1324, 27. καὶ ἀλλαχοῦ συμπεσεῖν λέγονται ἄνεμοι καὶ στρατεύματα, ἤγουν εἰς ἓν ἐλθεῖν, ὁμωνύμως τῷ συμπεσεῖν, ὃ δηλοῖ τὸ τυχηρῶς συμβαίνειν. 1538, 22. 26.

συμπίπτειν, ὅτι συμπίπτειν λέγονται τὰ ἐκ τύχης συμβαίνοντα. 1412, 42. καὶ ὅτι καὶ οἱ ἄνεμοι συμπίπτειν λέγονται ἀντὶ τοῦ συμμίσγεσθαι. 1538, 52.

συμπλαταγεῖν τὸ τὰς χεῖρας συγκροτεῖν ἐπὶ θαυμασμῷ ἢ θρήνῳ. 1290, 45.

συμπλεκτικοὶ σύνδεσμοι ὅτι φιλοξύτονοί εἰσιν, οἷον ἀλλὰ, ἀτὰρ, αὐτάρ. 72, 40.

συμπλοκὴ, συνέλευσις ἐπὶ φιλίᾳ καὶ ἐπὶ πολέμῳ κατὰ μέσην διάθεσιν. 21, 35.

σύμπλους τοῦ πάθους, ἀντὶ τοῦ συγκοινωνὸς παρὰ Σοφοκλεῖ, ὅτι κακόζηλος ἡ τροπή. 1444, 46.

συμπόσια βασιλικὰ τῶν παρ' Ὁμήρῳ βασιλέων τοῦ Ἑλληνικοῦ ὅτι ἐκ τῶν δημοσίων ἐγίνοντο. 481, 25.

συμπόσιον ὅτι καὶ εἰλαπίνη καὶ δαὶς πολυωνυμικῶς λέγεται, καὶ ὅτι ἐκ μέρους τῆς πόσεως ἡ ὅλη ἑστίασις συμπόσιον λέγεται συνεπινοουμένης καὶ τῆς βρώσεως. 1105, 25. 1421, 37. 1730, 58.

συμφέρειν ἀντὶ τοῦ συνάγειν εἴτουν εἰς ταὐτὸ ἄγειν, ὃ καὶ συμφορεῖν λέγεται. 804, 44. 1702, 12.

συμφέρεσθαι πόλεμόνδε, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ὁμόσε ἰέναι καὶ συμβάλλειν, ὃ καὶ συμφέρεσθαι μάχῃ λέγεται, Ἰλ. λ', 736. 719, 63. 881, 43.

συμφερτὴ ἀρετὴ ἐπιθετικῶς ἀντὶ τοῦ συμφορητὴ καὶ συνάξιμος εἴτουν συνοιστή. 881, 44. 929, 32.

συμφορὰ ὅτι πάλαι μὲν μέσως εἶχε σημασίας ἡ λέξις, ὕστερον δὲ ἐπὶ κακοῦ μόνον λέγεται. 29, 32. 647, 38. 1086, 63. καὶ ὅτι ἡ συμφορὰ καὶ οἶτος καὶ πότμος καὶ μόρος λέγεται. 776, 53. καὶ ὅτι τὸ συμφορὰ διαφέρει τοῦ σύμφορον καὶ συμφέρον, καίτοι τὴν αὐτὴν ἔχουσιν ἀφορμὴν τῆς συνθέσεως. 1848, 49.

συμφορεῖν τὸ συνάγειν. 804, 44. ζήτει τὸ συμφέρειν.

σύμφωνα δύο τὰ αὐτὰ ὅτι οὐδέποτε εὕρηνται ἐν καταλήξει λέξεως Ἑλληνικῆς. 76, 32.

σύμφωνα δύο ἐν λόγῳ ἐμμέτρῳ μὴ ἐκτείνοντά ποτε τὸ πρὸ αὐ-

τῶν βραχὺ φωνῆεν, οἷον τὸ σκ τοῦ Σκάμανδρος καὶ τὸ πτ ἐν τῷ Αἴγυπτος πολλαχοῦ παρ' Ὁμήρῳ. 353, 32.

συμφώνων ἀρκτικῶν ἀφαίρεσις εἴτε ἑνὸς εἴτε δυοῖν, ὅτι τῆς Ἰώνων καὶ Αἰολέων ἐστὶ διαλέκτου τὸ πάθος, οἷον ἐν τῷ πήγανον ἤγανον, πλευρὰξ εὐράξ. 842, 46.

συμφώνων διπλασιασμὸς, ὅτι τὰ σύμφωνα διπλάζονται Αἰολικῶς, ἤδη δὲ καὶ κατὰ τὰς λοιπὰς γλώσσας, οἷον ἔδδεισεν, ἔννεπεν, ὅππως, Περδίκκας, πλὴν τῶν δασέων· ταῦτα γὰρ εἴπου δέοι διπλάζειν, μεταπίπτει θάτερον αὐτῶν εἰς τὸ ἀντίστοιχον ψιλὸν, οἷον ἐν τῷ Βάκχος ἐκ τοῦ Βάχχος, καὶ κατθανεῖν ἐκ τοῦ καθθανεῖν. 20, 4. 1577, 46.

σὺν πρόθεσις προτιθεμένη ἀριθμητικῶν τινῶν ἐν συνθέσει, οἷον σύνδυο, σύντρεις καὶ συνεείκοσι παρ' Ὁμήρῳ. 1638, 21.

σὺν πρόθεσις ἐν συνθέσει προτασσομένη λέξεων ἀπὸ τοῦ σ καθαροῦ ἀρχομένων τρέπει τὸ ληκτικὸν ν εἰς σ, οἷον ἐν τῷ σύσσιτος, σύσσωμος· εἰ δὲ τὸ σ τὸ ἀρκτικὸν τῆς ὑποτασσομένης λέξεως μὴ καθαρὸν ᾖ, ἀλλὰ μετὰ συμφώνου συλλαβίζηται, οὐ τρέπεται τὸ ν τῆς προθέσεως, ἀλλ' ἐξωθεῖται, οἷον ἐν τῷ σύσκηνος. implicite. 880, 10.

σὺν δαίμονι, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἀγαθῇ τύχῃ. 884, 49.

σὺν δορὶ σὺν ἀσπίδι, παροιμιακὸν ἐπὶ τῶν παντὶ τρόπῳ πρᾶξαί τι πειρωμένων. 243, 11.

σύν τε δύ' ἐρχομένω, ἀντὶ τοῦ σύνδυο ἐρχομένω ἢ δύο συνερχομένω, Ἰλ. κ', 224. 798, 46. καὶ ὅτι εἰς παροιμίαν ἔπεσε τὸ ῥητὸν, ἑρμηνεία διεξοδική. 800, 5.

συνάγειν Ἄρηα καὶ ἔριδα καὶ ὑσμίνην πολλαχοῦ παρ' Ὁμήρῳ ἀντὶ τοῦ πολεμικῶς συμπλέκεσθαι, ὃ καὶ συμβάλλειν λέγεται. 242, 38. 615, 16. 997, 8.

συνάγειν τὸ μετ' ἀλλήλων συμπίνειν καὶ ἀπὸ συμβολῶν δειπνεῖν, ὃ καὶ συμβάλλειν λέγοιτ' ἄν, ὅθεν ἡ συμβολή. 1085, 42. ζήτει τὸ συμβάλλεσθαι.

συναγείρεσθαί τι τὸ ἐκ πολλῶν τινῶν ἐπιλέγδην συνάγειν. 1037, 53.

συναγωγεὺς ὁ τοὺς συνωμότας ὑποδεχόμενος. 1660, 46.

συναγώγιον τὸ ἀπὸ συμβολῶν δεῖπνον, παρὰ τὸ συνάγειν. 1085, 41. καὶ ζήτει τὸ συνάγειν.

συναείρεσθαι τὸ συζευγνύειν καὶ ὁμοῦ εἴρειν. 1037, 54.

συναινεῖν τὸ συγκατατίθεσθαι, ὃ καὶ συγκαταινεῖν λέγεται, παρὰ τὸν αἶνον, ὃ δηλοῖ τὴν συγκατάθεσιν, ὅθεν καὶ συναίνεσις. 1755, 12.

συναίρεσις, πάθος δι' οὗ αἱ λέξεις ἐκ πλατυτέρων καὶ ἀναπεπταμένων εἰς βραχύτερον συνάγονται. 1884, 17. καὶ ὅτι ἡ διὰ τῶν αὐτῶν φωνηέντων συναίρεσις πρὸς ἀποφυγὴν παραλληλίας γίνεται, οἷον ἐν τῷ πλόος πλοῦς. 1462, 29.

συναλιφὴ, κοινὸν ὄνομα συναιρέσεώς τε καὶ κράσεως, ὅτι διὰ μόνου τοῦ ι γράφεται, παρὰ τὸ ἀλείφω ἀπελεύσει τοῦ ε. 1561, 6.

συναντέσθην, τρίτον πρόσωπον τῶν δυικῶν ἀπὸ τοῦ ἄντομαι βαρυτόνου, συναντήσθην δὲ ἀπὸ τοῦ ἀντῶ ἀντήσω περισπωμένου. 661, 26.

συνάορος, σύζυγος εἴτουν συνεζευγμένος. 573, 31. 653, 36.

συναυλία, ἀγὼν συμφωνίας ἀμοιβαῖος. 1236, 54.

σύνδειπνον τὸ συμπόσιον. 1085, 43.

σύνδεσμοι ἀντὶ προθέσεων κατὰ μερῶν ἐναλλαγήν. 44, 36. καὶ ὅτι τὰ κύρια πρὸς τὰ ἐπίθετα οὐδέποτε συνδέσμῳ συμπλέκεται ἐν τῇ συντάξει. 706, 57.

συνδιαφέρειν ὅτι τροπικῶς τίθεται ἐν τῷ, συνδιαφέρει ὁ δεῖνα τὴν ἀρχὴν τῷ δεῖνι, κυρίως δὲ περὶ βαστάγματος λέγεται. 1702, 12. καὶ συνδιαφέρειν ἀντὶ τοῦ συνυπομένειν. 1866, 41.

συνδιενεγκεῖν τὸ συνδιαβαστάσαι φορτίον. 1603, 61.

συνδραμεῖν ἀντὶ τοῦ μετὰ δρόμου ἀλλήλοις πελάσαι. 1063, 3.

σύνδυο ὑφ' ἓν, ὡς καὶ σύντρεις. 1638, 21.

συνέαξε, συνέκλασε, συνέτριψε. 834, 56.

συνεέργειν ἀντὶ τοῦ συνείργειν, ὅ ἐστι συνδεσμεῖν. 1637, 59.

συνέηκε ἀντὶ τοῦ συνέβαλε καὶ συνέπλεξε πρὸς ἔριν ἐν τῷ, ἔριδι ξυνέηκε μάχεσθαι, Ἰλιάδ. α', 8. 21, 40.

συνεῖλε, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι προπερισπᾶται διὰ τὸν τροχαϊσμὸν, ἐκπεσὸν δὲ τῆς αὐξήσεως καὶ σύνελε λεγόμενον προπαροξύνεται. 1084, 27.

συνείργειν ἀντὶ τοῦ συνδέειν ἐν τῷ, τῷ ῥ' ἄμφω συνέεργον ὁμοῦ τρόπιν ἠδὲ καὶ ἱστὸν, Ὀδ. μ', 424. 1729, 11.

συνεκδοχὴ, σχῆμα ὅταν τῷ μέρει συλλαμβάνεται τὸ ὅλον, ὅθεν καὶ σύλληψις λέγεται. 145, 4. 959, 55. 58. καὶ ἀλλαχοῦ συνεκδοχὴ εἴτουν σύλληψις, τρόπος ποιητικὸς οὕτω καλούμενος, ὅτι καὶ ἐν τοῖς ῥήμασιν ἐξετάζεται. 1299, 6. 1593, 19. ζήτει τὸ σύλληψις.

συνεκδοχικῶς, ἤγουν κατὰ σύλληψιν, ταὐτὸ γὰρ σύλληψις τῇ συνεκδοχῇ. 841, 55.

συνεκποτέα ἀντὶ τοῦ συνεκποτέον Ἀττικῶς. 759, 39.

συνεκφώνησις ταὐτὸ ὅπερ συνίζησις, διὰ τὸ τὰς συνιζανούσας δύο συλλαβὰς ὡς μίαν ἐκφωνεῖσθαι. 11, 31. 12, 10. 1655, 32.

συνελάσαι ἔριδι τὸ ἐπὶ πολέμῳ συμβαλεῖν. 1200, 32. καὶ συνελάσαι ζῷα εἰς μάχην, τὸ κατ' ἀλλήλων ἐρεθίσαι. 1837, 11.

συνελαύνειν ἔριδι τὸ συνελθεῖν εἰς ἔριν, οἷον ἐν τῷ, βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν ὅττι τάχιστα, Ἰλ. χ', 129. 1262, 13.

σύνελε, τρίτον πρόσωπον ῥηματικὸν προπαροξυτόνως, συνεῖλε δὲ προπερισπωμένως διὰ τὸν τροχαϊσμόν. 1084, 27.

συνελεῖν ἀντὶ τοῦ συνάξαι καὶ συνειλῆσαι. 1884, 14. καὶ ὅτι συνελεῖν ὀφρῦς τινὸς, ἤγουν συναγαγεῖν, λέγεται λίθου βολὴ ἐν τῷ, ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, Ἰλ. π', 740. 1084, 25.

συνενεγκεῖν τὸ λυσιτελεῖν, συνδιενεγκεῖν δὲ τὸ συνδιαβαστάσαι. 1603, 61.

συννενέαται, ἤγουν συσσεσώρευνται παρὰ τὸ νῶ νήσω, ὃ δηλοῖ τὸ σωρεύω. 689, 11.

συνεοχμὸς, συνοχὴ, συγκόλλησις, συγκράτησις· καὶ συνεοχμὸς κεφαλῆς ἢ τῆς κεφαλῆς πρὸς τὸν τράχηλον συνοχὴ, καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ε̄ τοὔνομα. 904, 4. 998, 12. 17.

συνεράσθαι ἐν ἴσῳ τῷ συμφέρειν, ὅ ἐστι συνάγειν, ᾧ ἀντίκειται τὸ ἐξερᾶν. 1702, 6. 11.

συνέργειν ζωστῆρι τὸν χιτῶνα, Ὀδ. ξ', 72. ὅτι περιφραστικόν ἐστι τοῦ ζώννυσθαι. 1751, 16.

σύνεργος ὁ συγκάμνων τεχνίτης, συνεργὸς δὲ ὁ βοηθός. 1967, 32.

συνέριθος κυρίως μὲν ἡ ἔριον συνεργαζομένη, καταχρηστικῶς δὲ ἡ ἁπλῶς συνεργαζομένη. 1550, 4.

συνεῤῥῆχθαι λέγεται κτίσμα τι καταπεσόν. 1589, 43.

σύνεσις ἡ φρόνησις καὶ τὸ συνοιδός, καὶ σύνεσις ποταμῶν ἡ σύῤῥοια εἴτουν συμβολὴ τῶν ὑδάτων. 21, 46 — 22, 4. ἀλλαχοῦ δὲ ὅτι σύνεσις ἡ φρόνησις, παρὰ τὸ συνιέναι πολλοὺς εἰς βουλὴν, ὅθεν καὶ συμβουλὴ λέγεται. 1667, 30.

συνεστραμμένως εἰρῆσθαί τι λέγεται ἀντὶ τοῦ γοργῶς. 1082, 6.

συνεχὲς, ὅτι ἐκτείνει ποτὲ τὴν ἄρχουσαν ἡ λέξις, οἷον ἐν τῷ, ἔνθα δύω νύκτας δύο δ' ἤματα συνεχὲς αἰεὶ, Ὀδ. ι', 74. 1615, 58.

συνη ληγόντων ὀνομάτων τῷ ō προπαραληγόντων ἀναλογία, οἷον βριθοσύνη, τοξοσύνη. 1325, 45. 1870, 56.

συνημοσύνη ἡ συνθήκη καὶ συμβίβασις, παρὰ τὸ συνιέναι. 938, 49. 1268, 31.

συνήορος ἀντὶ τοῦ συνηρμοσμένος καὶ συνεζευγμένος, παρὰ τὸ ἀείρω, ὅ ἐστι συζευγνύω. 1587, 15. 1819, 36.

συνθέσθαι τὸ νοῆσαι καὶ τὸ συμφωνῆσαι. 663, 38. 58. ἀλλαχοῦ δὲ ὅτι συνθέσθαι τὸ συνθήκας καὶ συμφωνίας ποιεῖν καὶ τὸ συγκατατίθεσθαι. 1173, 6. καὶ συνθέσθαι φρεσὶν ἀντὶ τοῦ ἐπιμελῶς ἀκοῦσαι ἐν τῷ, φρεσὶ σύνθετο θέσπιν ἀοιδήν, Ὀδ. α', 328. 1420, 54.

συνθεσία ἡ συνθήκη. 234, 2.

συνθεσία ἡ συνθήκη εἴτουν συμφωνία, ἐνίοτε δὲ συνθήκη ἡ φιλικὴ παραίνεσις. 551, 31.

σύνθεσις λέξεως, ὅτι δι' ἔνδειαν τῶν ἐτύμων ὀνομάτων εἰς χρῆσιν ἦλθεν ἡ σύνθεσις. 39, 28. καὶ ὅτι ἐπ' ἐνίων ἡ σύνθεσις δύο λέξεων ἄλλο τι παρίστησι παρ' ὃ ἐν παραθέσει ἐσήμαινον αἱ λέξεις, οἷον σκιαμαχεῖν διαφέρει τοῦ ἐν σκιᾷ μάχεσθαι. 201, 1. καὶ ὅτι ἀναβιβαστική ἐστι τῆς τάσεως ἡ σύνθεσις, οἷον ἐν τῷ κληὶς πολυκλήϊς. 174, 8. 217, 39. 1017, 62. καὶ ὅτι ἐπὶ τῶν ῥημάτων οὐκ εἴωθε τοῦτο γίνεσθαι. 752, 8. καὶ ὅτι ἐπ' ἐνίων ἡ σύνθεσις ἐναλλάττουσα τὰς τῶν ῥημάτων συζυγίας, οἷον δοκῶ μὲν δοκεῖς κατὰ τὴν πρώτην, προσδοκῶ δὲ προσδοκᾷς κατὰ τὴν δευτέραν. 738, 51. καὶ ὅτι ἀσύνηθες ὀνόμασιν ἐπιῤῥήματα συντιθέναι ἐπὶ τῶν ἀριθμητικῶν πλὴν ἐν τῷ τρισκαίδεκα καὶ τρισκαιδέκατος. 1603, 13.

σύνθεσις καὶ διαίρεσις τόπος σοφιστικὸς, ὅτι παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν συμβαίνει σόφισμα, ἐν τῷ, οὖτιν ἐγὼ πύματον ἔδομαι, Ὀδ. ι', 369. 1634, 48. 53.

σύνθετα παρὰ ῥῆμα ὀνόματα τεταρτόκλιτα, ἔχοντα τὸ ῥῆμα ὑποτεταγμένον ἐν τῇ συνθέσει, ὅτι διαφόρως τονίζονται παρὰ τὸ ἐνέργειαν ἢ πάθος σημαίνειν, οἷον πρωτότοκος μὲν προπαροξυτόνως, πρωτοτόκος δὲ παροξυτόνως. 423, 20.

σύνθετά τινα ἐξ ἰσοδυνάμων εἴτουν ταυτοσήμων λέξεων συγκείμενα, οἷον γήπεδον ἐκ τοῦ γῆ καὶ τοῦ πέδον, καὶ ὀροθύνω ἐκ τοῦ ὄρω καὶ τοῦ θύνω. 436, 43 — 437, 40.

σύνθετα ὀνόματα ἀντιστραφέντα ἕτερα ὀνόματα ὅμοια γεννῶσιν, οἷον τὸ Κλεοπάτρα ἐκ τοῦ Πάτροκλος, καὶ δακέθυμος ἐκ τοῦ θυμοδακής. 775, 63. 1590, 43.

σύνθετά τινα ἰσοδυναμοῦντα ἀλλήλοις διὰ τὴν τῶν συντιθέντων αὐτὰ ἰσοδυναμίαν, οἷον ἐπεσβολία παρὰ τὸ ἔπεσι βάλλειν ἰσοδυναμεῖ τῷ βλασφημία, ὃ παρὰ τὸ φήμαις βάλλειν λέγεται. 1489, 63. 1490, 7.

σύνθετα ὀνόματα διαλυθέντα ὅτι οὐκ ἀεὶ τὴν αὐτὴν φυλάσσουσιν ἔννοιαν, οἷον οἰκωφελία οὐ ταὐτὸ δηλοῖ ὅπερ τὸ οἶκον ὀφέλλειν, καὶ τὸ ἐν σκιᾷ μάχεσθαι οὐ ταὐτὸν τῷ σκιαμαχεῖν, καὶ τὸ σκηπτοῦχος ἐν συνθέσει λέγειν διαφέρει τοῦ ἁπλῶς σκῆπτρον ἔχειν. 104, 23. 1459, 53. 1761, 63.

σύνθετα ἐκ τριῶν λέξεων παρ' Ὁμήρῳ, οἷον παναώριος, δυσαριστοτόκεια. 1364, 28.

σύνθετα ἐκ γενικῶν εἰς ος̄ ληγουσῶν ὅτι κοινῶς μὲν ἢ τὸ ō φυλάσσει, οἷον Ζηνὸς Ζηνόθεμις, ἢ εἰς ῑ τρέπει, οἷον αἰγὸς αἰγίπαν· Δωρικῶς δὲ τὸ τοιοῦτον ō εἰς ε̄, οἷον ἀνδρὸς ἀνδρεφόντης, ὅθεν τὸ ἀνδρειφόντης. 183, 6.

σύνθετά τινα ἐκ πληθυντικῆς δοτικῆς ὀνόματα, οἷον πασιμέλουσα, Ναυσίθοος, ἐγχεσίμωρος· καὶ ὅτι ἐν τῇ τοιαύτῃ συνθέσει οὐ παραλαμβάνονται αἱ ποιητικῶς ἐπεκτεταμέναι δοτικαὶ πλὴν ἐν τῷ κηρεσσιφόρητος. 727, 45.

σύνθετοι ἀντωνυμίαι ὅτι οὐχ εὑρίσκονται παρ' Ὁμήρῳ οὔτε παρὰ τοῖς Ἀττικοῖς, ἀλλ' ἀντ' αὐτῶν ἑκάστης δυσὶ ταυτοσήμοις ἐκ παραλλήλου ἀντωνυμίαις χρῶνται, οἷον σφῶν αὐτῶν ἀντὶ τοῦ ἑαυτῶν. 103, 21. 921, 8.

συνθέτων ῥημάτων αὔξησις, ὅτι τὰ μετὰ προθέσεων καθ' ἕξιν συγκείμενα ῥήματα ἔξωθεν αὐξάνονται κατὰ τὰς κινήσεις, οἷον καμμύω ἐκάμμυον. 207, 36.

συνθέτων ῥηματικῶν φωνῶν προσῳδία, ὅτι τὰ μὲν σύνθετα προστακτικὰ ὡς ἐπὶ πολὺ ἀναπέμπει τὸν τόνον, οἷον λέγε κατάλεγε, αἱ δὲ προπερισπώμεναι ἐν τῇ ἁπλότητι ῥηματικαὶ φωναὶ ἐπὶ τῆς αὐτῆς κἀν τῇ συνθέσει φυλάττουσι τὸν τόνον, οἷον εἶχε κατεῖχε, ἧστο καθῆστο. 149, 45 — 150, 9. 974, 41.

συνθεύσεται, συνδραμεῖται, ἀπὸ τοῦ θέω. 1890, 35.

συνθημάτων χρῆσις ὅτι οὔπω ἦν ἐπὶ τῶν Τρωικῶν. 789, 61.

συνιεῖν ἀντὶ τοῦ συνιέναι παρὲ

τισι τῶν Ἀττικῶν. 95,12. 1928, 26.

συνιέναι ἀντὶ τοῦ πολεμικῶς συμβάλλειν. 1075, 58. καὶ συνιέναι ἀντὶ τοῦ εἰς ἓν ἰέναι, ὅ ἐστι συμβαίνειν. 1268, 31.

συνίζησις εἴτουν συνεκφώνησις, πάθος ἐπιτηδευόμενον κατὰ τὰς τῶν φωνηέντων ἐπαλληλίας πρὸς θεραπείαν τῆς κατὰ τὸ μέτρον πολυσυλλαβίας τῶν ἐπῶν, ὥς ὅ τε τὸ ε καὶ ω ἀντὶ μιᾶς συλλαβῆς λογίζονται ἐν τῷ, Πηληιάδεω Ἀχιλλῆος. 11, 21. καὶ ὅτι συναίρεσις δύο καθαρῶν συλλαβῶν εἰς μίαν ἐστὶν ἡ συνίζησις· καὶ ὅτι ἤτοι δύο μακρὰ εἰς ἓν μακρὸν συνιζάνει, οἷον τὸ η καὶ ἡ ου δίφθογγος ἐν τῷ, ἢ οὐχ' ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις, ἢ δύο βραχέα εἰς ἓν βραχὺ, οἷον ἐν τῷ, ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον· βραχὺ δὲ καὶ μακρόν ποτε μὲν ἀντὶ ἑνὸς μακροῦ λογίζονται, οἷον τὸ ε καὶ ω ἐν τῷ, Πηληιάδεω Ἀχιλλῆος, ποτὲ δὲ ἀντὶ ἑνὸς βραχέος, οἷον τὰ αὐτὰ ἐν τῷ, χρυσέῳ ἀνὰ σκήπτρῳ, ἑρμηνεία διεξοδικωτάτη. 12, 11-32. 52, 8. 805, 20. καὶ ὅτι συνίζησις λέγεται καὶ ἡ κατὰ κρᾶσιν ἢ συναίρεσιν συναλοιφὴ τῶν φωνηέντων, ἐφ' ὧν ἐνεργείᾳ δύο φωνήεντα εἰς ἓν συνιζάνουσι· καὶ ὅτι καὶ ἡ τῆς ὀξείας καὶ βαρείας συνδρομὴ εἰς σύστασιν περισπωμένης συνίζησις λέγεται. 25, 21 — 38.

συνίημι συνήθως μὲν τὸ καταλαμβάνω καὶ τὸ φρονῶ, ὅπερ ἐπὶ πολὺ γενικῇ συντάσσεται παρ' Ὁμήρῳ· καὶ συνίημι ἀντὶ τοῦ συμβάλλω εἴτουν συγκρούω παρὰ τῷ αὐτῷ, οἷον ἐν τῷ, ἔριδι ξυνέηκε μάχεσθαι, Ἰλ. α', 8. 21, 40. 45-22, 5. 168, 17. καὶ ὅτι ἐκ τοῦ συνίω ἀχρήστου παράγεται. 100, 3.

συνίτην ἀντὶ τοῦ συνηλθέτην. 1201, 42.

σύνοιδα, ὅτι παρὰ τὸν κανόνα τῶν τροχαϊκῶν ἀνεβίβασε τὸν τόνον ἐν τῇ συνθέσει τὸ σύνοιδα. 150, 4. ἀλλαχοῦ δὲ ὅτι Αἰολικῶς τοῦτο πέπονθε. 1600, 26.

συνουσίαι αἱ ἐν λόγοις ὁμιλίαι, καὶ αἱ ἁπλῶς ὁμιλίαι. 622, 55. 1428, 39.

συνοχὴ ὁδοῦ ἢ ἀπὸ εὐρυχωρίας εἰς στενὸν σύμπτωσις. 206, 46. 1304, 17.

συνοχμὸς ὁδοῦ ταὐτὸ ὅπερ συνοχὴ, τουτέστι στενωπός. 904, 3. καὶ ζήτει τὸ συνοχή.

συνοχωκότες ὦμοι οἱ εἰς στενὸν συμπίπτοντες, ὅθεν καὶ συνοχὴ ὁδοῦ ἡ στενότης. 206, 46. 1304, 17.

συντομίας σχῆμά τι συλλογισμὸς εἴτουν ἔμφασις λεγόμενον, καὶ παραδείγματα τοῦ τοιούτου σχήματος. 576, 19. 600, 34.

σύντρεις ὑφ' ἕνα τόνον Ἀττικῶς, σὺν τρεῖς δὲ ἐν παραθέσει κοινῶς. 1638, 20.

συνώμεθα ἀντὶ τοῦ συνθώμεθα, ἤγουν συμβῶμεν, ἀπὸ τοῦ συνιέναι, ὅθεν καὶ συνημοσύνη, τουτέστι συμβίβασις. 938, 48.

συνωμοσία ἡ ἁπλῶς ἔνορκος σύμπνοια καὶ ἡ στασιωτική. 647, 33. ἀλλαχοῦ δὲ ὅτι συνωμοσία πάλαι μὲν ἐπ' ἀγαθοῦ, ὕστερον δὲ ἐπὶ τῶν ἐπὶ κακῷ συνιόντων. 1357, 2.

συνωμόται λέγονται οἱ κατὰ τοῦ δήμου συνιστάμενοι. 1660, 46.

συνώνυμα παρὰ τοῖς γραμματικοῖς τὰ παρ' ἄλλοις πολυώνυμα, οἷον βροτὸς μέροψ ἄνθρωπος, ὀργὴ θυμὸς μῆνις χόλος. 8, 20.

συνωρὶς, συζυγία ἵππων, ὅτι παρὰ τὸ συναείρω, ἤγουν συζευγνύω, λέγεται. 573, 26.

Συρακουσίων νόμος περὶ τοῦ τῶν γυναικῶν κόσμου ἀπαγορεύων μὴ κοσμεῖσθαι χρυσῷ μηδ' ἀνθινὰ μηδὲ πορφυρᾶ φορεῖν. 1185, 6.

σύρβη ἐν ἴσῳ τῷ τύρβη. 871, 61. καὶ ζήτει τὸ τύρβη.

συρέμβολος, κρυπτὸς ὑπόνομος, ὅτι ἐκ τοῦ συριγγέμβολος συγκέκοπται. 664, 42. 1189, 48. ζήτει τὸ σύριγξ.

Συρία νῆσος, ζήτει ἐν τῷ Σῦρος. 1787, 15.

σῦριγξ, ποιμενικὸν ὄργανον, καὶ σῦριγξ ὁμωνύμως τὸ τοῦ ποδὸς ἕλκος παρὰ Θεοκρίτῳ, καὶ σῦριγξ θήκη δόρατος, Ἰλ. τ', 387. καὶ σῦριγξ κρυπτὸς ὑπόνομος, ὃς καὶ ἔμβολος λέγεται, καὶ ἐν συνθέσει συριγγέμβολος καὶ κατὰ συγκοπὴν συρέμβολος. 1189, 45. καὶ σύριγγες ὁμωνύμως αἱ καὶ χοινικίδες καὶ πλῆμναι, ὅ ἐστι μέρος τι τοῦ ἁρματείου τροχοῦ. 598, 29. καὶ ὅτι αἱ μὲν σύριγγες ἐκ δονάκων ἐγίνοντο, οἱ δὲ αὐλοὶ ἐκ καλάμων. 818, 52.

σύρμα χυδαϊκῶς, ὅπερ Ὅμηρος ἀργύρεον μίτον εἶπεν Ὀδ. κ', 23. 1645, 44.

Σῦρος μακροπαραλήκτως, νῆσος μία τῶν Κυκλάδων, ἣν Ὅμηρος Συρίαν καλεῖ Ὀδ. ο', 403. 1787, 15.

συῤῥῆξαι μάχην, ὅτι καθ' ὅμοιον λόγον λέγεται, καθ' ὃν καὶ ῥαγῆναι πόλεμος λέγεται. 242, 41. ζήτει τὸ ῥήγνυσθαι.

συρτοὶ χιτῶνες οἱ συρόμενοι, ὀρθοστάδιοι δὲ οἱ στατοί. 1166, 55.

σῦς ὅτι παρὰ τὸ σεύεσθαι, ὅ ἐστιν ὁρμητικῶς ἔχειν, λέγεται· οἱ δὲ οἱονεὶ θῦν τὸν εἰς θυσίαν χρήσιμον, καὶ ὅτι καὶ ὗς χωρὶς τοῦ σ λέγεται. 1872, 8. καὶ σῦς ληιβότειρα ἐπιθετικῶς τῶν συῶν προσηγορία κατὰ τὰς διαφόρους αὐτῶν ἡλικίας, ζήτει τὸ, συῶν ὀνομασίαι· καὶ περὶ μεγέθους συῶν τινων ζήτει τὸ, συῶν μέγεθος.

σῦς κάπριος, ὅτι γενικὸν μὲν τὸ σῦς, εἰδικὸν δὲ τὸ κάπριος. 1668, 44.

σύσσημα ἵππων ἀντὶ τοῦ παράσημα. 1310, 8.

συσσίτια Κρητῶν, ζήτει τὸ, Κρητῶν συσσίτια. 1860, 45.

συσσίτια Πυθαγορικὰ κατὰ δεκάδας ἀνδρῶν, ζήτει ἐν τῷ Πυθαγορικοί. 190, 26.

συσσίτιον ὅτι παρὰ τὸ σιτεῖσθαι λέγεται, καὶ ὅτι ἐκ μέρους τοῦ σιτεῖσθαι συνεισάγεται καὶ ἡ πόσις. 1105, 26. καὶ ὅτι τὸ συσσίτιον καὶ ὁ σύσσιτος τὸ πρότερον τῶν δύο σσ ἐκ τροπῆς τοῦ ν τῆς σὺν προθέσεως ἔχουσι. 228, 42.

σύσσωμος ὅτι τὸ πρότερον τῶν δύο σσ ἐκ τροπῆς τοῦ ν τῆς σὺν προθέσεως ἔχει. 228, 43.

συστάδην ἐπίῤῥημα ὅτι ἐκ τοῦ στάδην σύγκειται, τὸ δὲ στάδην παρὰ τὸ ἵστασθαι. 679, 30. καὶ συστάδην μάχη, ἢ καὶ σταδία καὶ ἐκ χειρός. 282, 22.

συστημάτων κοινωνικῶν ὀνόματα, δημόται, φράτορες, πολῖται, θιασῶται, φυλέται, λοχῖται, ἐθνῖται, δαιταλεῖς. 239, 41.
συστήσασθαι πόλεμον, κατὰ συνθήκην παρὰ τοῖς μεθ᾽ Ὅμηρον, ὅτι ἐκ τοῦ παρ᾽ Ὁμήρῳ φυλόπιδα στήσειν εἴρηται. 1688, 8.
σῦφαρ, ὄνομα γεροντικῆς ἡλικίας τῆς μετὰ τὸν ὠμογέροντα. 1330, 8. 1784, 22.
συφειὸς ἐκ τοῦ συφεὶς πλεονασμῷ τοῦ ῑ. 1662, 52.
συφελίζειν τὸ ἐστυμμένως ἑλίσσειν. 1795, 52.
συφεὸς ἡ τῶν χοίρων μάνδρα. 1656, 25. ὅτι ἐκ τοῦ συφὸς γέγονεν, οὗ χρῆσις παρὰ Λυκόφρονι. 1536, 16. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ σύας φέρειν ἢ πιαίνειν. 1657, 5. καὶ ὅτι ὁ συφεὸς διὰ τοῦ εὐνὴ συὸς ἢ συῶν ἑρμηνεύεται ἐν τῷ, συφεοὺς δυοκαίδεκα ποιεῖ πλησίον ἀλλήλων, εὐνὰς συσὶν, Ὀδ. ξ', 13. καὶ ὅτι παρὰ τὸ φέρειν σύας λέγεται ὁ συφεός. 1748, 59.
συφὸς ὁ σοφὸς Αἰολικῶς. 631, 43. καὶ ὅτι τὸ συφὸς προϋπάρχει τοῦ συφεός. 1536, 16. ὅθεν τὸ συφοῖσι κατὰ δοτικὴν πληθυντικὴν εὕρηται ἐν χρήσει. 1769, 53.
σύω τὸ ὁρμῶ, παρὰ τὸ σέω σῶ, ἐξ οὗ καὶ τὸ σείω. 1792, 7.
συῶν ὀνομασίαι καθ᾽ ἡλικίας, ὅτι τῶν συῶν τὰ μὲν τέλεια καὶ ἔνορχα κάπροι λέγονται, τὰ δὲ πίονα σίαλοι, τὰ δὲ θήλεα σύες ἁπλῶς, τὰ δὲ νέα δέλφακες, τὰ δὲ ἁπαλὰ καὶ νεογνὰ χοῖροι. 1752, 12 — 27.
συῶν τινῶν μέγεθος ὑπερφυὲς, ἱστορία· καὶ ὅτι ὁ βασιλεὺς Εὐμένης ἐσπούδαζε περὶ χοίρων μεγάλων κτῆσιν. 773, 7. 11.
σφάγιον, ἀγγεῖον ἐν ᾧ τὸ αἷμα τῶν σφαζομένων ἱερείων ἐδέχοντο. 1476, 40.
σφαδασμὸς ἡ ἐπιθανάτιος καὶ σφοδρὸς κίνησις. 1164, 31.
σφάζω ὅτι ἐκ τοῦ φῶ, ὃ δηλοῖ τὸ φονεύω, λέγεται κατὰ παραγωγὴν καὶ πλεονασμὸν τοῦ σ̄. 134, 19. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ φάζω, ὃ ἐκ τοῦ φῶ, ὅ ἐστι φονεύω, γέγονε προσθήκῃ τοῦ σ̄. 1728, 16.
σφαῖρα ἐστὶν ἡμικυκλίου περιενεχθέντος ἀποκατάστασις. 1154, 45. καὶ σφαῖρα ποιημάτιον Ὀρφέως ἐπὶ Λίνῳ τῷ ποιητῇ. 1163, 57. ὅτι παρὰ τὸ σπῶ λέγεται ἡ σφαῖρα τροπῇ τοῦ π̄ εἰς φ̄ διὰ τὸ συνεσπάσθαι, ὅ ἐστι συνεστράφθαι, εἰς ἑαυτὴν, ἢ παρὰ τὸ αἴρω διὰ τὸ εἰς ὕψος αἴρεσθαι. 1554, 3. καὶ περὶ τῆς διὰ σφαίρας παιδιᾶς ζήτει τὸ σφαιρίζειν.
σφαιρηδὸν, δίκην σφαίρας, ἀναλόγως τῷ πυργηδὸν καὶ λυκηδὸν καὶ τοῖς ὁμοίοις. 927, 60.
σφαιρίζειν, ὅτι τῆς διὰ σφαίρας παιδιᾶς ἡ μέν τις ἐλέγετο οὐρανία, ἡ δὲ ἀπόῤῥαξις, ἡ δὲ ἐπίσκυρος, ἡ δὲ φαινίνδα, καὶ ἑρμηνεία ἑκάστου τῶν προειρημένων τρόπων· καὶ ὅτι οἱ παρ᾽ Ὁμήρῳ σφαιρίζοντες Φαίακες κατὰ τὴν οὐρανίαν ἐσφαίριζον, καὶ ὅτι μέρος τῆς γυμναστικῆς ἐστὶ τὸ σφαιρίζειν, καὶ ὅτι τῶν σφαιριζόντων τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν, τοὺς δὲ ἡττημένους ὄνους καθῆσθαι ἔλεγον. 1601, 25. 30. 39. 44. καὶ περὶ ἀξιολόγων τινῶν ἀνθρώπων σπουδασάντων καὶ εὐδοκιμησάντων περὶ τὸ σφαιρίζειν, ἱστορία. 1559, 62.
σφαιρομαχεῖν ὅτι παρὰ τὴν σφαῖραν λέγεται, ὡς καὶ τὸ σφαιρίζειν. 1554, 5.
σφαιρομάχια οὐδετέρως, ἀγών τις οὕτω καλούμενος παρὰ Λακεδαιμονίοις. 1601, 25.
σφάλλειν ταὐτὸ ὅπερ βλάπτειν, ὃ δηλοῖ κυρίως τὸ ἐμποδίζειν καὶ ἀνατρέπειν τὸν τρέχοντα, ᾧ ἀντίκειται τὸ ἀνασφάλλειν, ὅτι ἐκ τοῦ φῶ παρήχθη προσλήψει τοῦ σ̄. 583, 15. 867, 21. 1410, 23. καὶ ἀλλαχοῦ σφάλλειν τὸ καταῤῥίπτειν, καὶ σφάλλεσθαι τὸ προσκόπτειν καὶ καταπίπτειν, ᾧ ἀντίκειται τὸ ὀρθοῦσθαι. 623, 29. 715, 9. 1591, 1. 1828, 35.
σφάλλειν καὶ ἀποσφάλλειν τὸ ἀποπλανᾶν τινὰ τῆς ὁδοῦ ἐν τῷ, ὅντινα πρῶτον ἀποσφήλωσιν ἄελλαι, Ὀδ. γ', 320. ὅθεν καὶ τὸ ἀποσφάλλειν τινὰ πόνου, Ἰλ. ε', 567. 583, 15. 1470, 15.
σφάλμα ἡ κατὰ βολὴν ἀποτυχία, παρὰ τὸ σφάλλειν, ὃ δηλοῖ τὸ ἀποπλανᾶν καὶ ἁμαρτάνειν εἴτουν ἀποτυγχάνειν. 715, 10.
σφὰξ ἀντὶ τοῦ σφὴξ Δωρικῶς. 287, 23.
σφαραγεῖν τὸ τείνεσθαι ἢ καταπονεῖσθαι ἢ σπαράττειν μετά καί τινος ἤχου ἢ βρασμοῦ, οἷον ἐν τῷ, σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι, Ὀδ. ί, 390. καὶ ὅτι καὶ διάτασιν σημαίνει ἐν τῷ, οὔθατα γὰρ σφαραγεῦντο, ibid. 440. 1636, 7 — 12.
σφάραγος, λαιμὸς, βρόχθος, ἀπὸ τοῦ περὶ τὸν τόπον γινομένου ψόφου. 1272, 11.
σφὲ πληθυντικῶς ἀντὶ τοῦ αὐτοὺς ἐν τῷ, ἄλγεα ὅσσα διδοῦσιν ὅτις σφ᾽ ἀλίτηται ὀμόσσας, Ἰλ. τ', 265. 1183, 48.
σφεδανὸν τὸ σφοδρὸν καὶ σπευστικὸν καὶ κατηπειγμένον, οἱονεὶ σπευδανὸν παρὰ τὸ σπεύδω κατὰ ἀντιστοιχίαν, καὶ ὅτι καὶ ἐπιῤῥηματικῶς ἐνίοτε ἀκούεται παρ᾽ Ὁμήρῳ. 178, 5. 641, 48. 837, 6. 1064, 63. 1250, 55.
σφέλας πᾶν τὸ ἐκβολῆς σφάλλειν, ὅ ἐστιν ἀνατρέπειν καὶ μετακινεῖν δυνάμενον, ἢ σφέλας τὸ ὑποπόδιον παρὰ τὸ ἐσφηνῶσθαι. 715, 10. 583, 16. 1818, 38. 45. 51. 1852, 11. ἀλλαχοῦ δὲ ὅτι σφέλας τὸ ὑποπόδιον, παρὰ τὸ σφάλλεσθαι, ὅ ἐστιν ἀνατρέπεσθαι. 1828, 21.
σφενδάμνινος ὁ στερεὸς κατὰ τὸ τῆς σφενδάμνου ξύλον. 1398, 22.
σφενδόνη, ὅτι ἐρίοις πάλαι τὰ τῆς σφενδόνης κῶλα συνέπλεκον, καὶ ὅτι παρὰ τὸ σπεύδειν λέγεται τοὔνομα. 948, 58. 63.
σφέτερος, ἀντωνυμία τρίτου προσώπου, παρ᾽ Ἡσιόδῳ δὲ ἔργ. 2. ἐπὶ δευτέρου ἐν τῷ, σφέτερον πατέρα ὑμνείουσαι, καὶ σφετέραις αὐτῶν ἀτασθαλίαις, Ὀδ. ά, 7. ἀντὶ τοῦ ταῖς ἑαυτῶν ἢ ταῖς σφῶν αὐτῶν. 1383, 31.
σφῇ ἀρετῇ, τῇ ἰδίᾳ ἀρετῇ, καὶ σφῇσι κεφαλαῖς, ἤγουν ταῖς ἰδίαις κεφαλαῖς, ὅτι ἐκ τοῦ σφὸς συζύγου τοῦ σφὸς ἀρσενικοῦ κεκίνηνται, οὗ χρῆσις ἐν τῷ, σφοῖς

ἵππους ἐχέμεν, Ἰλ. δ', 302. 475, 16.

σφηκίαν κινεῖν, παροιμία ἐπὶ τῶν βλάβην καθ' ἑαυτῶν κινούντων. 897, 56. ἀλλαχοῦ δὲ ὅτι σφηκίαν ἐγείρειν παροιμία ἐπὶ τῶν κακόν τι ἑαυτοῖς ἐφελκομένων. 1058, 50.

σφηκίσκος, ξύλον μικρὸν εἰς ὀξὺ συνηγμένον. 897, 58.

σφηκοῦσθαι τὸ σφίγγεσθαι, ἐπεὶ τοῖς κατὰ τὸ μέσον ἐσφιγμένοις παρακολουθεῖ τις διασφὰξ, ὅθεν καὶ ἡ σφὴξ λέγεται. 1094, 56. 61.

σφηκώδης ὁ λαγαρὸς τοῖς σώμασι καὶ συνεζωσμένος. 897, 58. καὶ σφηκῶδες εἴτουν λαγαρὸν πάθος ἐξ ἐνδείας χρόνου συλλαβικοῦ κατὰ τὸ μέτρον τῶν ἐπῶν συμβαῖνον. 641, 31.

σφῆλαι τὸ συμποδίσαι καὶ ἀνατρέψαι εἴτουν καταῤῥῖψαι. 1326, 37.

σφηνεὺς, ὅτι εἶδός τι κεστρέων οὕτω καλεῖται. 1177, 64.

σφὴξ, ἔντομον ζωΰφιον, ὅτι παρὰ τὸ διασφάγα κατὰ τὸ μέσον ἔχειν οὕτω λέγεται. 1094, 62.

σφῇς καὶ σφῇσιν ἀντὶ τοῦ ταῖς ἰδίαις τὸ σφῖ ἦτα, σφίσι δὲ ἀντὶ τοῦ αὐτοῖς ἢ αὐταῖς τὸ σφῖ ἰῶτα. 458, 33. 1387, 61. ζήτει τὸ, σφῇ ἀρετῇ.

Σφήττιοι, ἐκ Σφηττοῦ δήμου τῆς Ἀττικῆς, ὅτι ἐπὶ ἀγριότητι ἐκωμῳδοῦντο. 741, 25.

Σφίγξ, γυνή τις λῃστρικὴ καὶ φονία περί που τὴν Βοιωτίαν, κακίστη τὸ εἶδος, ἣν ἀνελὼν Οἰδίπους ἐτιμήθη λίαν ὑπὸ Θηβαίων. 1684, 22.

σφίσιν, ἤγουν αὐτοῖς, ὅτι ἐγκλίνεται κατά τινας ἐν τῷ, καὶ τὰ μὲν εὖ δάσσαντο μετά σφισιν υἷες Ἀχαιῶν, Ἰλ. α', 368. 119, 29. καὶ ὅτι σφίσιν ἀντὶ τοῦ αὐτοῖς ἢ αὐταῖς διὰ τοῦ ἰῶτα ἔχουσι τὸ σφῖ, σφῇσι δὲ ἀντὶ τοῦ σφετέραις τὸ σφῖ ἦτα. 458, 33.

σφόδρα καὶ σφοδρὸς ὅτι παρὰ τὸ σπεύδω λέγονται κατὰ ἀντιστοιχίαν. 441, 48. 1065, 1.

σφοῖσιν ἀντὶ τοῦ ἰδίοις, καὶ σφοὺς ἀντὶ τοῦ ἰδίους, χρήσιμοι πλάγιαι ἀπὸ τῆς σφὸς ἀχρήστου εὐθείας. 475, 15. ζήτει τὸ, σφῇ ἀρετῇ.

σφονδύλη, ῥίζα τις σιλφίῳ παραπλησία. 1669, 62.

σφονδύλιοι τετρασυλλάβως διὰ τοῦ φ̄ οἱ κοινῶς σφόνδυλοι εἴτουν σπόνδυλοι. 1217, 58.

σφόνδυλος ἡ δικανικὴ ψῆφος ὁμωνύμως τοῖς τοῦ τραχήλου σφονδύλοις. 1669, 62.

σφὸς ἀντὶ τοῦ σφέτερος ἄχρηστον ἐπὶ τῆς εὐθείας, ἐπὶ δὲ τινων πλαγίων ἐν χρήσει. 475, 15. ζήτει τὸ, σφῇ ἀρετῇ, καὶ τὸ σφοῖσιν.

σφρᾶγιν βαρυτόνως καὶ βραχυκαταλήκτως ἀντὶ τοῦ σφραγῖδα Αἰολικῶς, ὡς καὶ κνᾶμιν ἀντὶ τοῦ κνημῖδα. 265, 18.

σφυρὰ τὰ ἀπολήγοντα μέρη τῶν κνημῶν πρὸς τοῖς ἀστραγάλοις. 457, 5. 1107, 57. ἀλλαχοῦ δὲ ὅτι σφυρὰ τὰ πέρατα τῶν ὄπισθεν τοῦ ποδὸς τενόντων ἀνωτέρω τῆς πτέρνης. 1276, 18.

σφὼ καὶ σφῶν δυϊκῶν ἀντωνυμικῶν σχηματισμὸς καὶ τόνος, ζήτει ἐν τῷ νὼ καὶ σφώ. 153, 41. 154, 1.

σφῶι ἀντὶ τοῦ σφῶιν διὰ μέτρου ἀνάγκην ἐν τῷ, σφῶι μὲν, οὐ γὰρ ἔοικεν ὀτρυνέμεν, οὔτι κελεύω, Ἰλ. δ', 286. ἵν' ᾖ, ὑμῖν μὲν οὐδὲν κελεύω. 473, 27.

σφῷν μετὰ προσγραφῆς τοῦ ῑ ἀντὶ τοῦ σφῶιν. 1482, 12.

σχάζω ὅτι παρὰ τὸ σχῶ λέγεται. 842, 56. ζήτει τὸ σχῶ.

σχεδάριον τὸ τῶν σχεδίων λόγων ἐδάφιον. 961, 21. καὶ ὅτι καὶ οἱ γρῖφοι σχέδη λέγονται. 1634, 13.

σχέδην ἀντὶ τοῦ σχεδὸν, ὅ ἐστιν ἐγγὺς καὶ ἐχομένως. 516, 10. 814, 25.

σχεδία ὅτι παρ' Ὁμήρῳ μὲν πλοιοειδές τί ἐστιν, αἱ δὲ παρὰ τοῖς ὕστερον σχεδίαι πλοῖα μὲν εἰσὶν ὡς πλέοντα, ἀβαθῆ δὲ, λέγονται δὲ παρὰ τὸ σχεδὸν, ὅ ἐστιν ἐγγὺς κατὰ χρόνον καὶ αὐθωρὸν, γίνεσθαι. 516, 9. 1533, 2. καὶ ὅτι σχεδία καθ' αὑτὸ ἀτελῶς λέγεται, σχεδία δὲ ναῦς ἐντελῶς. 1521, 22. 27. καὶ ὅτι ναῦς μὲν οὐκ ἂν λεχθείη σχεδία, τῇ σχεδίᾳ δὲ προσυπακούεται καὶ ἡ ναῦς. 1529, 18.

σχεδίην ἐπιῤῥηματικῶς ἐν ἴσῳ τῷ σχέδην, ἤγουν σχεδὸν εἴτουν ἐγγύς. 611, 46.

σχέδιος προπαροξυτόνως ὁ ἐγγὺς καὶ αὐθωρὸν, παρὰ τὸ σχεδὸν ἐπίῤῥημα, Σχεδίος δὲ κύριον παροξυτόνως. 264, 34. 1030, 11. 1062, 33.

σχεδὸν τὸ ἐγγὺς καὶ ὡς εἰπεῖν ἐχομένως, παρὰ τὸ σχέω σχῶ. 587, 12. 814, 25. 1062, 33. 1229, 56. καὶ ὅτι ἀντὶ τοῦ ἐγγὺς ἀεὶ λαμβάνεται παρ' Ὁμήρῳ. 516, 9. καὶ ὅτι ἐκ τοῦ σχεδὸν λέγεται τὸ ἐγγὺς καὶ παραχρῆμα. 1062, 38.

σχέθεν ἀντὶ τοῦ ἐπέσχε. 1175, 46. καὶ σχέθον ἀντὶ τοῦ ἔσχον κατὰ τρίτον πρόσωπον πληθυντικὸν ἐν τῷ, πρόσθεν δὲ σάκη σχέθον ἑταῖροι, Ἰλιάδ. δ', 113. 451, 22.

σχεῖν ἀντὶ τοῦ ἐπισχεῖν καὶ ἀντὶ τοῦ ἀνέχεσθαι. 888, 30. καὶ σχεῖν ἀλκῆς τινὰ, παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐπισχεῖν τοῦ ἀνδραγαθίζεσθαι. 1101, 43. καὶ σχεῖν ναῦν τὸ ἐπισχεῖν αὐτὴν τοῦ πλέειν. 1629, 17.

Σχερία, νῆσος πρὸς τῷ Ἰωνίῳ κόλπῳ, ἡ νῦν Κέρκυρα, ὅτι παρὰ τὸ κατὰ Δήμητρος δέησιν ἐπισχεθῆναι τὰ τῶν τῆς ἀντικρὺ ἠπείρου ποταμῶν ῥεύματα οὕτως ἐκλήθη. 1521, 29.

σχέσθαι ἀντὶ τοῦ κρατηθῆναι καὶ ἐπισχεῖν ἑαυτὸν τοῦ φεύγειν ἐν τῷ, στῆ δ' ἄντα σχομένη, Ὀδ. ζ', 141. καὶ ὅτι ἐνταῦθα μὲν παθητικῶς ἀκούεται τὸ σχομένη, ἐν δὲ τῷ, ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα, ἐνεργητικῶς. 1555, 28. 54. καὶ σχέσθαι ἄχει ἀντὶ τοῦ σχεῖν λύπην ἢ λύπῃ κρατηθῆναι. 1684, 10. καὶ σχέσθαι ἄντα παρειῶν κρήδεμνον, ἀντὶ τοῦ καλύπτεσθαι τῷ κρηδέμνῳ τὰς παρειάς. 1420, 58. 1421, 12.

σχετλιάζειν τὸ οὕτω διατίθεσθαι ὡς σχέτλιόν τινα ἀποκαλεῖν. 1515, 46.

σχετλιαστικαὶ φωναὶ ὠνοματοπεποιημέναι, οἷον ὀτοττοῖ, παπαὶ, φεῦ. 98, 41.

σχέτλιος ὅτι διαφόρως ἐτυμολο-

γούμενον διάφορα σημαίνει. 796, 24—34. καὶ ὅτι κατὰ πάντα τὰ σημαινόμενα παρὰ τὸ σχέσθαι καὶ τλῆναι λέγεται. 1632, 35.

σχέτλιος ὁ ὀξὺς καὶ ἰταμὸς καὶ σφοδρὸς, παρὰ τὸ σχέσθαι καὶ τλῆναι κατ' ἀντίφρασιν. 564, 21. ἀλλαχοῦ δὲ ὅτι σχέτλιος ὁ ἄδικος καὶ σφοδρὸς καὶ ἀκατάσχετος καὶ τολμητίας καὶ οὐκ εἰδὼς τλῆναι 1016, 36. 1256, 24. 1695, 1. 1705, 36. 1900, 21. καὶ σχέτλιος ὁ ἐπισχετικὸς καὶ τλήμων εἴτουν ἐπίπονος καὶ πολλὰ τλὰς, ἤγουν ἀνασχόμενος, ἐπὶ οἴκτῳ λέγεται πολλαχοῦ 1128, 6. 1705, 26. 1742, 21. καὶ σχέτλιος ὁ καρτερικὸς καὶ ἀνένδοτος, ἤγουν ὁ μὴ εἴκων, ἀλλ' ἐπιμένων τλημόνως πράξει τινὶ δυσκόλῳ ἢ φοβερῷ τινὶ καὶ δεινῷ. 1717, 17. 1742, 21. καὶ σχέτλιος ὁ χαῦνος, ὃν ἔδει σχέσθαι καὶ τλῆναι. 1100, 12. καὶ ἁπλῶς σχέτλιος ὁ δέον ὂν σχέσθαι καὶ τλῆναι μὴ τλὰς μηδὲ καρτερήσας. 188, 33. 562, 25. 1695, 1. 1942, 9. καὶ σχέτλιος ὕπνος ὁ βλαπτικὸς, οὐχ' ὡς ἀεὶ, ἀλλὰ ποτὲ τοιοῦτος. 1462, 14.

σχῆμα ὅτι παρὰ τὸ χῶ, ὃ ἐστι χωρῶ, λέγεται πλεονασμῷ τοῦ σ' ὡς χωρητικὸν τοῦ ἐμβαδοῦ. 1901, 54. καὶ σχῆμα καὶ τριώβολον, παροιμία ἀπὸ Φρυνίχου τοῦ τραγῳδοποιοῦ ἢ Πυθαγόρου τοῦ φιλοσόφου, ἑρμηνεία διεξοδική. 951, 50.

σχῆμα λόγου, ἁμάρτημα ἑκούσιον διὰ τέχνην ἢ ξενοφωνίαν ἢ καλλωπισμὸν ἐπιτηδευόμενον. 1673, 39. καὶ ὅτι τὸ τοῦ λόγου σχῆμα ἐν πλείοσι λέξεσι θεωρεῖται. implicite. 121, 13.

σχήσειν καὶ σχήσεσθαι ἀντὶ τοῦ ἀντιστῆναι καὶ ὑπομεῖναι, εἴτουν ἐφέξειν καὶ κωλύσειν. 749, 43. 45. 969, 35. 1101, 34. 1920, 10.

σχοινία ὅτι παρὰ τὸν σχοῖνον τὸ φυτὸν λέγονται διὰ τὸ ἐξ ἐκείνου γίνεσθαι. καὶ ὅτι καὶ ἐκ φιλύρας καὶ λεύκης φλοιοῦ ἐγίνοντο σχοινία. 1453, 7. καὶ ὅτι καὶ ἐκ βύβλου τοῦ φυτοῦ ἐπλέκοντο σχοινία, καθὰ καὶ ἐκ σχοίνου καὶ σπάρτου. 1913, 35.

σχοῖνος, μέτρον διαστήματος κατὰ μὲν τινας ἑξήκοντα σταδίων, κατὰ δ' ἑτέρους τριακοσίων τεσσαράκοντα. 361, 14. καὶ ὅτι ξενικὴ οὖσα ἡ λέξις ἐπεχωρίασε τοῖς Ἕλλησι. 1854, 37.

σχοῖνος φυτὸν, τὸ καὶ βροῦλον χυδαϊκῶς, καὶ σχοῖνος τὸ σχοινίον ὁμωνύμως τῷ φυτῷ, ἐξ οὗ ἐπλέκοντο τὰ σχοινία. 191, 37. 421, 17.

Σχοῖνος, πόλις ἢ χώρα Βοιωτικὴ, ἀπό τινος Σχοινέως ἢ ἀπὸ τῶν περὶ αὐτὴν πεφυκότων σχοίνων, καὶ Σχοινοῦς ποταμός τις περὶ αὐτήν. 265, 19. 23.

σχόμενος καὶ σχομένη, μετοχαὶ τοῦ ἐσχόμην μέσου ἀορίστου δευτέρου, οὐ προϋπάρχει ὁ ἔσχον ἐνεργητικός. 1420, 11.

σχῶ ἐν ἴσῳ τῷ σχάζω, ὅθεν τὸ ἔσχων παρ' Ἀριστοφάνει ἀντὶ τοῦ ἔσχασα. 842, 56.

σω λήγοντες μέλλοντες βαρύτονοι ὅτι περισπῶνται Δωρικῶς καὶ Αἰολικῶς, οἷον πέσω πεσῶ, κλαύσω κλαυσῶ, ὅθεν τὸ κλαυσεῖται καὶ πεσεῖται καὶ τὰ τοιαῦτα. 129, 23.

σῶ τὸ ὁρμῶ καὶ τὸ σώζω κατὰ ῥηματικὴν ἔννοιαν. 598, 35. καὶ σῷ ἀντὶ τοῦ σῶοι παρὰ Θουκυδίδῃ. 959, 44.

σῷ αὐτοῦ, ἀντὶ τοῦ σοῦ αὐτοῦ ἢ μᾶλλον τῷ σαυτοῦ ἐν τῷ, σῷ δ' αὐτοῦ κράατι τίσεις, παρ' Ὁμήρῳ. 1925, 32.

σώεσκε, τρίτον πρόσωπον τοῦ σωέσκω ῥήματος, ὅπερ παρὰ τὸ σώω σωέσω ἄχρηστον λέγεται πλεονασμῷ τοῦ σ'. 718, 8.

σῶκος ὁ Ἑρμῆς, ἤγουν σωστικὸς, παρὰ τὸ σώζω ἢ παρὰ τὸ σωκῶ, ὃ δηλοῖ τὸ ἰσχύω. 854, 62. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ σώω λέγεται, ὡς παρὰ τὸ σάω τὸ σάκος, καὶ ὅτι βαρύνεται κανονικῶς τοὔνομα. 1197, 40.

Σωκράτης ὅτι ἐπώπια παθῶν ἐπέγραψε τῷ ἰδίῳ μετώπῳ τοὔνομα τοῦ δράσαντος. 1641, 28.

σωλὴν, ὅτι ἐκ τοῦ σέω καὶ τοῦ ὅλος λέγεται οἱονεὶ σοολὴν καὶ κράσει σωλήν. 1332, 1. καὶ σωλὴν ὄστρειον θαλάσσιον διὰ τὴν πρὸς τοὺς σωλῆνας ὁμοιότητα. 1485, 49.

σῶμα τὸ πρὸς τὴν ψυχὴν ἀντιδιαστελλόμενον μέρος τοῦ ἀνθρώπου, καὶ ὅτι σῶμα τὸ ἄψυχον λέγεται, οἱονεὶ σῆμα τοῦ ποτὲ ζῶντος, δέμας δὲ τὸ ἔμψυχον παρὰ τὸ συνδεδέσθαι. 61, 38. 376, 5. 666, 22. 25. 1136, 21. καὶ ὅτι καὶ σώματα κιόνων ἐξ ἀναλόγου λέγονται. 1673, 12.

σωματέμπορος, ὁ καὶ ἀνδραποδοκάπηλος, ἤγουν ὁ τῶν ἀνδραπόδων μεταβολεύς. 1416, 26.

σῶος ὅτι καὶ σάος καὶ σῶς μονοσυλλάβως καὶ σόος διὰ τοῦ ὃ μικροῦ γράφεται, ἐπεὶ καὶ τὸ σύστοιχον ῥῆμα διφορεῖται κατὰ παραληκτικὴν γραφὴν σώω καὶ σόω γραφόμενον. 31, 38. 63, 7. 1112, 1. ζήτει τὸ σόος.

σωρὸς ὅτι παρὰ τὸ σωρεὸς συγκέκοπται, ὃ παρὰ τὸ σωρεύω λέγεται. 1293, 43.

σῶς μονοσύλλαβον ἀντὶ τοῦ σῶος, ἤγουν ὑγιὴς καὶ τέλειος εἴτουν ἀνέλλιπος, ὅτι περισπᾶται καὶ ἐκ τοῦ σάος ἢ σόος συνῄρηται. 63, 5. 482, 19. 618, 11. 959, 9. ζήτει τὸ σόος. καὶ ὅτι τὸ σῶς μονοσύλλαβον καὶ κατὰ θηλυκοῦ πτωτικοῦ εὕρηται λεγόμενον. 959, 41.

Σωσίας Θρᾷξ, μισθούμενος εἰς τἀργυρεῖα τοὺς Νικίου δούλους ἐπ' ὀβολῷ τῆς ἡμέρας ἕκαστον. 1753, 33.

σῶστρα τὰ ὀφειλόμενα τοῖς ῥυσαμένοις τινὰ ἐκ τῶν πολεμίων, λύτρα δὲ τὰ ὑπὲρ ἐξωνήσεως δῶρα. 24, 24.

Σωτάδης κακῶς ἀπαλλάξας διὰ τὸ κατὰ Πτολεμαίου τοῦ βασιλέως παῤῥησιάσασθαι, ἱστορία. 1069, 11.

σωτὴρ ὅτι ἐκ τοῦ σέσωσμαι παρακειμένου λέγεται ἐνδείᾳ τοῦ σ'. 384, 8. καὶ ὅτι τὸ σωτὴρ καὶ κατὰ θηλυκοῦ πτωτικοῦ εὕρηται λεγόμενον. 793, 4. 1164, 27. καὶ ὅτι ἡ σῶτερ κλητικὴ κατὰ συνεκδρομὴν τῆς πάτερ βεβαρύνεται. 630, 24.

σωφροσύνη, ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας, παρ' Ὁμήρῳ δὲ σαοφροσύνη ἀντὶ τοῦ σῶα φρόνησις λέγεται, καὶ σαόφρων ἀντικειμένως τῷ χαλίφρων. 1936, 56. 1937, 20.

σῶω ἀντὶ τοῦ σώζω, ὅτι καὶ σόω διὰ τοῦ ο̄ μικροῦ γράφεται. 1111, 64. ζήτει τὸ σόος.

Ἀρχὴ τοῦ Τ στοιχείου.

τ ἐκ τοῦ σ̄ Ἀττικῶς τραπὲν ἐν μέσῳ λέξεων, οἷον ἐν τῷ μεταίχμιον, ὃ οἱονεὶ μεσαίχμιον λέγεται. 385, 1.

τ̄ παρεντιθέμενον ὀνόμασί τισι καὶ ῥήμασιν Ἀττικῶς, οἷον ἐν τῷ πόλις πτόλις, ἀνύω ἀνύτω. 32, 37. 842, 63.

τ̄ διττὸν, ὅτι Κιτιεῖς μάλιστα κατακόρως ἐχρῶντο τῇ τῶν δύο τ̄ προφορᾷ, καὶ ὅτι οὐ πάντα τὰ ἐν δυσὶ τ̄ προφερόμενα Ἀττικά εἰσι. 813, 48.

τα λήγουσαι εὐθεῖαι ἀρσενικῶν ὀνομάτων ὅτι ἐκ τῶν εἰς ης̄ γινονται κατὰ γλῶσσαν Μακεδόνων, οἷον ἱππότα ἀντὶ τοῦ ἱππότης, καὶ ὅτι πρὸς χρείαν μέτρου ἐπιτετήδευται τὰ τοιαῦτα. 1457, 18.

τὰ ἕτερα ἀντὶ τοῦ τὸ ἕτερον, οἷον δυοῖν τὰ ἕτερα, τουτέστι δυοῖν θάτερον. 1825, 4.

τὰ πρῶτα ἀντὶ τοῦ πρῶτον ἐπιῤῥηματικῶς. 1825, 4. καὶ τὰ πρῶτα ἀντὶ τοῦ τὰ πρωτεῖα ἢ τὰ πρῶτα ἆθλα ἐν τῷ, ἢ τ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην, Ἰλ. ψ', 275. 1300, 49.

τὰ ῥὰ, ἤγουν ἃ δή. 995, 44.

τὰ τεύχεα καλὰ, ἀντὶ τοῦ τὰ καλὰ τεύχεα, Ἰλ. φ', 317. 1237, 61.

τάγηνον τὰ κοινῶς τήγανον, ὅτι κατὰ μετάθεσιν λέγεται, κατὰ δέ τινας τάγηνον τὸ ἐν τηγάνῳ ἑψηθέν. 1862, 10.

ταγοὶ, ἡγεμόνες οἱ τάσσοντες τὰ τοῦ λαοῦ. 1293, 63.

ται λήγοντα τρίτα πρόσωπα παρακειμένων ἑνικὰ φύσει ἔχοντα τὸ ν̄ πρὸ τοῦ τ̄ καὶ ὁμοφωνοῦντα τοῖς ἰδίοις τρίτοις τῶν πληθυντικῶν, οἷον κατῄσχυνται, μεμίανται. 1055, 8.

ται λήγοντα τρίτα πρόσωπα μελλόντων παθητικῶν καὶ μέσων ὅτι οὐδέποτε τὸ σ̄ ἔχουσι πρὸ τοῦ τ̄ πλὴν τοῦ ἔσται, ὃ ἐκ τοῦ ἔσεται συνεκόπη. 655, 11.

Ταίναρον, σπήλαιον τῆς Λακωνικῆς, ὅθεν εἰς ᾅδην κατάβασις εἶναι ἐνομίζετο παρὰ τῆς Ἕλλησι. 286, 46.

ταινία, φασκία κεφαλῆς ἀναδετικὴ καὶ στεφανωτική. 454, 15. 18. 914, 14. 1068, 28. ἀλλαχοῦ δὲ ὅτι ταινία ὕφασμα καὶ ζώνη γυναικεία, καὶ ταινία ἰχθὺς ποιὸς ὁμωνύμως. 1934, 32.

ταλαεργοὶ ἡμίονοι οἱ φερέπονοι καὶ τάλανες ἐν τῷ ἀχθοφορεῖν. 1205, 62. 1322, 31.

ταλαίμοχθος ἴσον τῷ ταλαίπωρος, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ ἐν τῇ αι̅ διφθόγγῳ ι̅. 1735, 48.

Ταλαϊονίδης πατρωνυμικὸν ὅτι ἐκ τοῦ ταλαὸς ἐσχημάτισται προςελεύσει δυοῖν συλλαβῶν, ὡς δοκεῖν ἐκ ταλαΐων ἐσχηματίσθαι. 288, 18.

ταλαίπωρος ὁ περὶ πῶρον τάλας, καὶ δηλοῖ κυρίως τὸν περὶ λατομίας πονούμενον ἀπὸ ἑνὸς εἴδους τοῦ πώρου. 699, 22. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ τῆς προπαραληγούσης διφθόγγου ι̅. 1735, 41.

τάλαντον τὸ σταθμικὸν ὄργανον καὶ τὸ σταθμώμενον πρᾶγμα, καὶ ὅτι παρὰ τὸ τάλαν καὶ καρτερικὸν τοῦ ἐργαλείου λέγεται τοὔνομα. 196, 32—45. 740, 26. 912, 36—45. ἀλλαχοῦ δὲ ὅτι τάλαντον ὁ ζυγὸς, ὃν στατῆρα καλοῦμεν, καὶ σταθμός τις χρυσίου σύμμετρος παρ' Ὁμήρῳ, οὐχ' ὡς παρὰ τοῖς ὕστερον ἑξήκοντα μνῶν. 1602, 62. καὶ ὅτι διαφέρει χρύσεια τάλαντα ἢ χρυσοῦ τάλαντα εἰπεῖν παρ' Ὁμήρῳ. 698, 64. 699, 10. καὶ ὅτι παρ' Ἀθηναίοις μὲν ἑξακισχιλίους στατῆρας ἐδύνατό ποτε τὸ τάλαντον, παρὰ δὲ Μακεδόσι τρεῖς μόνους χρυσίνους, παρ' ἄλλοις δὲ ἑκατὸν εἴκοσι τέσσαρας δραχμὰς, καὶ ἄλλως παρ' ἄλλοις· παρ' Ὁμήρῳ δὲ ποτὲ μὲν πολύτιμόν τι ὑπαγορεύεται διὰ τοῦ ὀνόματος τούτου, ποτὲ δὲ ὀλίγου τινὸς ἄξιον, ἑρμηνεία διεξοδική. 740, 18—28.

ταλάντων Διὸς κλίσις παρ' Ὁμήρῳ τὴν τοῦ πολέμου ῥοπὴν ἀλληγορεῖ. 1181, 34. 56.

Ταλαὸς, υἱὸς Βίαντος ἀδελφοῦ Μελάμποδος τοῦ μάντεως, ὅτι διαδεξάμενος τὸ τρίτον μέρος τῆς Ἀργείων βασιλείας, καὶ καταδυναστεύσας Ἰοκλέους καὶ Ἴφιδος τῶν συναρχόντων, ὑπὸ Ἀμφιαράου τοῦ Ἰοκλέους ὕστερον ἀνῃρέθη, ἱστορία διεξοδικωτάτη. 288, 31. καὶ ὅτι παρὰ τὸ ταλάω ταλάσω λέγεται τοὔνομα, καὶ τάλανα εἴτουν πολύπονόν τινα ὑπαγορεύει. 902, 52. 1054, 10.

ταλαπείριος παρὰ τοῖς τραγικοῖς ὁ ταλαίπωρος, παρ' Ὁμήρῳ δὲ καὶ ὁ πόῤῥωθεν ἀφιγμένος. 1559, 1.

τάλαρος, καλαθίσκος, παρὰ τὸ τάλας εἶναι εἰς τὸ αἴρειν, ἤγουν τλήμων εἰς τὸ φέρειν, οὕτω λεγόμενος· καὶ ὅτι καὶ τὸ μουσεῖον τάλαρόν τις ἐκάλεσε σκωπτικῶς, ἑρμηνεία διεξοδική. 699, 19. 1163, 48. 1488, 58. ἀλλαχοῦ δὲ ὅτι τάλαρος, ὁ καὶ ταρσὸς, πλέγμα τι εἰς τυρῶν πῆξιν χρήσιμον. 1627, 46.

τάλας ὁ καρτερικός. 196, 38. 548, 20. καὶ τάλας ἐν ἴσῳ τῷ τλήμων, ὃ δηλοῖ τὸν δυστυχῆ. 562, 27. 593, 5. ἀλλαχοῦ δὲ ὅτι τὸ τάλας ὁ καρτερικὸς διαφέρει τοῦ τλήμων, καίτοι συστοιχοῦν κατὰ τὴν παραγωγήν. 1848, 48. καὶ ὅτι ἐκ τοῦ ταλάσω μέλλοντος λέγεται ἀποβολῇ τοῦ ω̅. 1100, 46. καὶ ὅτι διὰ τοῦ ντ̅ ὤφειλε κλίνεσθαι. 622, 6. καὶ τάλας ῥινὸς τὸ καρτερικὸν δέρμα. 679, 24.

ταλάσια οὐδετέρως τὰ ἐριουργικὰ, καὶ ταλασία θηλυκῶς ἡ ἐριουργία. 1423, 10. καὶ ὅτι παρὰ τὸν ταλάσω μέλλοντα λέγονται τὰ ὀνόματα, ὡς καὶ τὸ τάλας. 1393, 40.

ταλασιουργεῖν τὸ ταλασίας ἔργοις ἐπιμένειν. 962, 53.

ταλασίφρων ὁ τλήμων, καὶ φρόνιμος, παρὰ τὸν ταλάσω μέλλοντα. 491, 18. 857, 2. 1393, 39.

ταλάσσης, ἤγουν τλήσῃς, ὅτι ἀπὸ τοῦ ταλάω ταλάσω κεκίνηται. 962, 51.

ταλαύρινος ὁ τάλανα ῥινὸν, ἤγουν καρτερικὸν δέρμα, ἔχων. 524, 9. 548, 19. 29. 679, 23. 1243, 10.

Ταλθύβιος, ὄνομα κήρυκος, οἱονεὶ Θαλθύβιος ὁ θάλλων τὴν

βοήν, καὶ Ταλθυβιάδαι γένος ἐν Σπάρτῃ ἀπὸ Ταλθυβίου. 110, 3. καὶ ὅτι ὁ Ταλθύβιος μετὰ τὰ Τρωικὰ ἐς Κρήτην ἤγαγε Μυκηναίων ἀποικίαν. 1861, 6.

τᾶλις, μελλόγαμος παρθένος ἢ ἡ τάλαινα καὶ ταλασίαν ἀσκοῦσα. 699, 27. 962, 54.

Τάλως χαλκεόστηθος καὶ χαλκόπους ὅτι πηδῶν εἰς τὸ πῦρ καὶ πυρούμενος, εἶτα περιπλεκόμενος τοῖς ἀντιπάλοις καιομένων ἐκείνων αὐτὸς ἐγέλα. 1893, 8.

Τάμασος, πόλις Κύπρου, ἣν καὶ Τεμέσην τινὲς λέγουσιν, ὅθεν Ταμάσιος κρατὴρ παρὰ Λυκόφρονι, καὶ περὶ τοῦ ἐκεῖ χαλκοῦ ἱστορία. 1409, 15.

ταμεῖν ὅρκια τὸ διὰ θυσιῶν ποιῆσαι συνθήκας, καὶ ταμεῖν φιλότητα ἀντὶ τοῦ φιλίαν συνθέσθαι. 385, 30. 1968, 6.

ταμεσίχρους χαλκὸς ὁ τμητικὸς τοῦ χροός, ὅτι παρὰ τὸ ταμῶ ταμέσω λέγεται τοὔνομα. 503, 13. 1330, 61.

ταμίαι οἱ τοῦ σίτου δοτῆρες, καὶ ταμίαι οἱ θησαυροφύλακες. 1170, 31.

τάμνειν Ἰωνικῶς τὸ κοινῶς τέμνειν, καὶ ὅτι ἀντὶ τοῦ θύειν τίθεται ἡ λέξις. 411, 30. 701, 14.

Τάναγρα, πόλις ἡ καὶ Ποιμανδρία, ἣν Ὅμηρος Γραῖαν ὀνομάζει, καὶ ὅτι οὐκ ἐστράτευσαν εἰς Τροίαν οἱ Ταναγραῖοι, καὶ ὅτι καὶ Γεφυραῖοι ἐκαλοῦντο. 266, 18. 27.

ταναήκης χαλκὸς ὁ ταναήν, ἤγουν διόλου τετανυσμένην, ἀκὴν ἔχων. 666, 18.

Ταναΐτης, δαίμων τις ᾗ ἀφιεροῦντο αἱ παρθένοι ἐπὶ καταπορνεῦσαι, ἱστορία. 987, 11.

ταναὸς ἀντὶ τοῦ τετανὸς καὶ οἷον ἱμαντώδης. 1085, 61.

ταναύποδα μῆλα τὰ μακρόποδα, ἢ τὰ τεταμένως τοῖς ποσὶ βαδίζοντα, καὶ ὅτι οἱονεὶ τανaόποδα λέγονται τροπῇ τοῦ ō εἰς ῡ. 631, 45. 1630, 43. 1639, 40.

τανηλεγὴς θάνατος ὁ ἐπὶ μακρὸν παρατείνων τὸ λέγεσθαι, ἤγουν τὸ κοιμᾶσθαι. 1436, 11.

ταντ αλίζεσθαι τὸ σαλεύεσθαι καὶ σείεσθαι, ὅτι παρὰ τὸν Τάνταλον, ὃς μέσον οὐρανοῦ καὶ γῆς ἀπῃωρεῖσθαι μυθεύεται, δοκεῖ παρῆχθαι ἡ λέξις. 1701, 3.

Τάνταλος ὅτι κατὰ μὲν Εὐριπίδην διὰ λίθου ὑπερηρτημένου τῆς κεφαλῆς αὐτοῦ κολάζεται ἐν Ἅιδου, καθ᾽ Ὅμηρον δὲ δι᾽ ἀποχῆς τῶν παρουσῶν αὐτῷ ἀπολαύσεων, ὧν ὀρέγεται μέν, οὐκ ἐφικνεῖται δέ, καὶ ὅτι τοῦτ᾽ ἔχει τὸ πρόστιμον διὰ τὸ κρύψαι κύνα χρυσοῦν φωραθέντα ὑπὸ Πανδαρέου ἐκ τοῦ Διὸς τεμένους, κατὰ δ᾽ ἑτέρους διότι συνὼν τοῖς θεοῖς ἐξήνεγκε τοῖς ἀνθρώποις τὰ τῶν θεῶν μυστήρια, ἢ διότι παρανόμων τινῶν ἐπεθύμησεν, ἢ καὶ ἐξ ὕψους πεσεῖν καὶ ἐπικαταστραφῆναι αὐτῷ τὸ Σίπυλον ὄρος μυθεύεται, καὶ ἀλληγορίαι τινὲς τῶν τοιούτων μυθολογημάτων. 1700, 21. 52— 1701, 20. 1875, 32.

Ταντάλου δένδρα ἢ κῆποι, ὅτι ἐπὶ τῶν ἀκερδῶς πονούντων παροιμιακῶς λέγεται. 1701, 45.

Ταντάλου τάλαντα, παροιμία ὅτι πλούσιόν τινα γεγονέναι τὸν Τάνταλον ὑπαγορεύει, ἢ πρὸς τὴν τοῦ ὀνόματος παρήχησιν λέγεται. 1701, 6.

Ταντάλου φιλοτησία, πόσις παρ᾽ Ἰνδοῖς ἐν ποτηρίοις μεγάλοις, ἣν ἔπινον ὑπὲρ φιλίας ἐν ὥρᾳ κοίτης, ἐλέγετο δὲ Ταντάλου διὰ τὸ φιλικώτατον ἀνθρώπων νενομίσθαι τὸν Τάνταλον. 1701, 13.

ταντ αλωθῆναι παρὰ Σοφοκλεῖ (Ant. 134) τὸ παθεῖν τὰ Ταντάλου, ὅ ἐστι κατασεισθῆναι καὶ ἐξ ὕψους πεσεῖν κατὰ γῆς ἀντιτύπου, ὅθεν ταντ αλωθῆναι ταλάντοις παρηχητικῶς ἐσκώφθη τις ὡς ἐκ τοῦ πλούτου καὶ τῆς τρυφῆς κατασεσεισμένος τὸν νοῦν κατὰ τὸν Τάνταλον. 1701, 4. 17.

τανυγλώχινες ὀϊστοὶ οἱ ταναοὺς γλωχῖνας, ἤγουν ἐπιμήκεις ἀκίδας ἢ γωνίας, ἔχοντες. 714, 28.

τανύειν τὸ εἰς μῆκος ἐκτείνειν ἐν τῷ, ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσει Ζεύς, Ἰλ. ρ΄, 547. 1117, 34. ἢ καὶ τανύεσθαι λέγονται αἱ τράπεζαι πολλαχοῦ παρ᾽ Ὁμήρῳ διὰ τὸ μὴ κυκλοτερεῖς ἴσως εἶναι, ἀλλ᾽ εἰς μῆκος παρατετάσθαι. 1401, 43. τανύεσθαι δὲ περὶ ἵππων καὶ ἁπλῶς ὑποζυγίων λεγόμενον ἀντὶ τοῦ συντόνως καὶ ἐπιτεταμένως κινεῖσθαι. 1065, 12. 1071, 20. 1117, 34. 1552, 37.

τανύηκες ἄορ, ζήτει τὸ, ταναήκης χαλκὸς καὶ τὸ τανυήκης ὄζος. 666, 18.

τανυήκης ὄζος ὅτι ἀπὸ τοῦ τανύω κατὰ μόνην παραγωγὴν λέγεται, ἐν δὲ τῷ, τανύηκες ἄορ, ἔγκειται τῇ λέξει ἡ ἀκή, ὅ ἐστιν ὀξύτης. 1085, 63.

τανύπεπλος γυνὴ ἡ εὐτραφὴς καὶ πλήθουσα, τετανυσμένου γὰρ τοῦ σώματος ἀνάγκη καὶ τὴν ἐσθῆτα συνεσχηματίσθαι. 409, 3. 1497, 31. 1799, 18.

τανυπτέρυξ ὄρνις ὁ τετανυσμένας ἔχων τὰς πτέρυγας εἴτουν μεγαλοπτέρυγος. 1188, 5.

τανύσαι κληῖδα θύρας, ἀντὶ τοῦ τὴν κλεῖδα παραγαγεῖν, Ὀδ. α΄, 442. 1429, 5.

τανύσαι τόξον κυρίως ἀντὶ τοῦ ἐντεῖναι, καὶ τανύσαι τὸ αἰδοῖον τροπικῶς ἀντὶ τοῦ ὀρθιάσαι. 657, 1.

τανυσθῆναι λέγονται γνάθοι ἐκ τῆς πρόσθεν ῥυσότητος, Ὀδ. π΄, 175. 1799, 17.

τανυσίπτερος, ὅτι κοινὸν τὸ ἐπίθετον κατὰ πάντων τῶν ὀρνέων παρὰ τὸ τανύειν τὰ πτερὰ ἐν τῷ πέτεσθαι. 1523, 55.

τανυστύς τανυστύος, ὄνομα θηλυκὸν παρὰ τὸ τανύειν. 1904, 24.

τανύσφυρος, λεπτόσφυρος ἢ ὀρθόσφυρος. 989, 17.

τανύφλοιος κράνεια ἐπιθετικῶς ἡ φλοιὸν ἔχουσα τετανὸν καὶ οἷον ἱμαντώδη. 1085, 60.

τανύφυλλος ἐλαία λέγεται διὰ τὸ φύλλα ἐπιμηκέστερα τῆς κατὰ τὸ πλάτος ἀναλογίας ἔχειν. 1944, 37.

ταπεινός, οἱονεὶ πατεινός, παρὰ τὸ πάτος ἢ πατεῖν. 702, 11. 795, 59.

τάπης, οἱονεὶ πάτης, παρὰ τὸ πατεῖσθαι. 795, 58. καὶ ὅτι ὑπεστρώννυντό τε ἐν στρωμνῆς τάξει, καὶ ἐφηπλοῦντο ταῖς στρωμναῖς ὡς ἐφαπλώματα, καὶ διὰ τοῦτο τῇ μὲν παρὰ τὸ πατεῖσθαι, τῇ δὲ παρὰ τὸ θάλπειν ἐτυμολογεῖται τοὔνομα. 1347, 37. καὶ ὅτι τάπητες μὲν συνήθως οἱ ἑτερόμαλλοι, οἱ δὲ ἀμφίμαλλοι ἀμφιτάπητες λέγονται, ὡς καὶ ψιλοτάπιδες οἱ

ἅμαλλοι. 746, 36. 1057, 4—12. καὶ ὅτι οὐ πρὸς σκέπασμα, ἀλλὰ πρὸς ὑπόστρωσιν ἐχρησίμευον οἱ τάπητες, τάπιδες μέντοι ἐλέγοντο στρώματά τινα ἃ καὶ δάπιδες διὰ τοῦ δ. 1369, 45.

ταρ συλλαβὴ ἐπεντιθεμένη κατὰ τὸ μέσον τινῶν λέξεων, οἷον ἐν τῷ ἀτηρὸς ἀταρτηρός. 89, 40.

Τάρας Τάραντος, ἀρσενικῶς λέγεται παρ' Ἀττικοῖς. 1390, 56.

ταρβεῖν τὸ δειλιᾶν, ὅτι παρὰ τὸ ταράσσεσθαι τὴν βοὴν λέγεται, ἑρμηνεία διεξοδική. 111, 35. 247, 43. 812, 42. 892, 19.

τάρβος ἡ δειλία, ἀπὸ τοῦ ταρβεῖν ὠνοματοπεποιημένου ῥήματος. 247, 43.

τάριχος ἀρσενικῶς καὶ τάριχον οὐδετέρως. 73, 42. 1390, 57.

Τάρκων ὁ Τυρσηνὸς ὅτι πολιὸς ἐκ γενετῆς γεγονέναι ἱστορεῖται. 167, 23.

Τάρνη, πόλις Λυδίας καὶ ἄλλη Ἀχαΐας. 270, 34. 40. 356, 9. 520, 14.

τάρπη, κόρινος μέγας οἰσύϊνος, ὅθεν τὸ ταρπίον. 1533, 55.

τάρπησαν ἐδωδῆς, ἀντὶ τοῦ ἐκορέσθησαν ἢ ἐτέρφθησαν. 1457, 15.

ταῤῥὸς ταὐτὸ ὅπερ ταρσὸς, ἤγουν τὸ τυροκομεῖον, ὅ ἐστι σκεῦος πλεκτὸν ἐκ καλάμων ὡς ψίαθος· ἕτεροι δὲ ὅτι κρεμάστρα καλαμίνη· καὶ ταῤῥὸς ὁ τῶν κωπῶν στοῖχος ὁμωνύμως. 492, 38. 843, 35. 1625, 13. 58.

ταῤῥωμα ἡ κωπηλασία, παρὰ τὸν ταῤῥὸν, ὃ δηλοῖ καὶ τὸν τῶν κωπῶν στοῖχον ὁμωνύμως. 1625, 17.

Τάρσιος ποταμὸς ὅτι εἰκοσάκις διαβαίνεται περὶ Ζέλειαν πόλιν. 354, 7. 889, 63.

ταρσὸς, καλαθίσκος τυροκομικὸς, ὅτι παρὰ τὸ τέρσω, ἤγουν ξηραίνω, λέγεται, καὶ ὅτι καὶ ταῤῥὸς ἐν δυσὶ ρρ παρὰ τοῖς Ἀττικοῖς λέγεται· καὶ ταρσὸς ὁμωνύμως τὸ ἄνω τοῦ ποδὸς καὶ τὸ ἄκρον τῆς χειρὸς, καὶ ταρσοὶ τὰ πλατύσματα τῶν κωπῶν, καὶ ὅτι μέρος τι τῆς τῶν ὀρνέων πτέρυγος ταρσὸς λέγεται. 843, 35. 38. 850, 33. 1625, 11—19.

ταρταρίζειν τὸ ἐπιτεταμένως ῥιγοῦν, ὅτι παρὰ τὸν Τάρταρον λέγεται, καὶ ὅτι χυδαία ἡ λέξις καὶ κατὰ παραφθορὰν λεγομένη. 429, 40. 694, 50. 985, 42.

Τάρταρος, τόπος ὑπόγειος ἢ ἀὴρ ἀφώτιστος ἐν τοῖς πέρασι τῆς γῆς. 694, 49. 724, 26. καὶ ὅτι καὶ θηλυκῶς ἡ Τάρταρος εὕρηται λεγόμενον, καὶ τὰ Τάρταρα οὐδετέρως παρ' Ἡσιόδῳ (Theog. 119.) 108, 22.

Ταρτησία γαλῆ, εἶδος ζῴου ἴκτιδι ὁμοίου. 809, 62.

ταρφέα δράγματα τὰ πυκνὰ εἴτουν συχνὰ καὶ οἷά τε τρέφειν. 832, 18. καὶ ἁπλῶς ταρφέα τὰ πυκνὰ, ὅτι παρὰ τὸ τάρφος, ὅ ἐστι δάσος, λέγεται. 1602, 8.

ταρφέα φυτὰ τὰ πυκνὰ ἢ τὰ εὔτροφα, παρὰ τὸ τρέφειν, ταρφέα δὲ ἀΐσσειν ἀντὶ τοῦ πυκνὰ ὁρμᾶν. 1263, 5.

ταρφέες ὀϊστοὶ οἱ πυκνοὶ, παρὰ τὸ τάρφος, ὃ δηλοῖ δάσος φυτῶν. 851, 61. 1263, 9.

ταρφεῖα ὕλη ἐπιθετικῶς, ὅτι ἀπὸ τοῦ ἔταρφον δευτέρου ἀορίστου τοῦ τρέφω ῥήματος λέγεται. 1263, 5.

τάρφεσι, προπαροξυτόνως ὡς δάσεσι, ἀπὸ τῆς τάρφος προσηγορικῆς εὐθείας πρὸς διαστολὴν τῆς ταρφέσι δοτικῆς τοῦ ταρφὺ ἐπιθετικοῦ ὀνόματος. 1033, 5.

Τάρφη, πόλις Λοκρῶν διὰ τὴν τῆς ὕλης πυκνότητα οὕτω κληθεῖσα παρὰ τὸ τάρφος, ὃ δηλοῖ τὸ δάσος. 277, 43.

ταρφῆναι ἀντὶ τοῦ τραφῆναι. 1033, 6.

τάρφος, δάσος φυτῶν εἴτουν ὕλης πύκνωμα, ὅτι παρὰ τὸ τρέφειν οὕτω λέγεται, ὅθεν καὶ ταρφέα τὰ πυκνὰ ἐπιθετικῶς λέγονται. 277, 44. 582, 5. 706, 4. 832, 18. 1033, 5. 1263, 10. 1602, 8. ἀλλαχοῦ δὲ ὅτι τάρφος τὸ ὀρεινὸν δάσος, παρὰ τὸ τρέφειν, ὅθεν ταρφὺ καὶ ταρφειὸν τὸ πυκνόν. 1188, 24.

ταρφὺς ὡς δασὺς, καὶ οὐδετέρως τὸ ταρφὺ ὡς δασύ. 832, 19. 1033, 6.

ταρχῦσαι, ἐνταφιάσαι, ὅτι παρὰ τὸν γινόμενον κατὰ τοὺς ἐνταφιασμοὺς τάραχον λέγεται τὸ ταρχῦσαι. 666, 30. 1070, 15.

Ταϋγέτη, μία τῶν Ἀτλαντίδων τῶν καὶ Πλειάδων καλουμένων, ἧς καὶ Διὸς ἐγένετο Λακεδαίμων. 1155, 51.

Ταΰγετον, ὄρος ὑψηλὸν καὶ ὄρθιον, μικρὸν ὑπὲρ τῆς Λακωνικῆς θαλάσσης πρὸς ἄρκτον συνάπτον ταῖς Ἀρκαδικαῖς ὑπωρείαις. 1554, 9.

ταυρᾶν τὸ ταύρου ἐφίεσθαι, περὶ βοῶν θηλειῶν λεγόμενον. 1183, 20.

ταυρείη ἀσπὶς, ὅτι ἐκ τῆς προφαινομένης ὕλης οὕτω λέγεται ἐπιθετικῶς. 1063, 63.

ταυρηδὸν ἐμβλέπειν ἀντὶ τοῦ ἀγρίως καὶ θυμικῶς ὡς οἱ ταῦροι. 259, 8. 881, 19.

Ταῦροι, ἔθνος βόρειον. 259, 7.

ταυρόμορφον τύπωμα, παρὰ Λυκόφρονι τὸ τὴν Εὐρώπην ἁρπάσαν, ὅτι εἰς πλοῖον ταῦρον ἔχον ἐγγεγλυμμένον εἰς ἐπίσημον ἀλληγορεῖται. 667, 15.

Ταυροπόλος Ἄρτεμις παρὰ τὸ ἐν Ταύροις τῷ ἔθνει τιμᾶσθαι, ἢ παρὰ τὸν ταῦρον τὸ ζῷον. 259, 7.

ταῦρος τὸ ζῷον, ὅτι οἱονεὶ γαῦρος οὕτω λέγεται, ἢ παρὰ τὸ τείνειν τὴν οὐρὰν κατά τι ἰδίωμα. 259, 2. καὶ ὅτι οἰκείως ἔχει τὸ ζῷον πρὸς τὴν τοῦ ὑγροῦ φύσιν, διὸ καὶ τῷ Ποσειδῶνι ἐθύετο. 1227, 34. 1293, 24. ἀλλαχοῦ δὲ ὅτι διὰ τὸ μυκητικὸν τῇ θαλάσσῃ ἐθύοντο οἱ ταῦροι. 1233, 57. καὶ ὅτι καὶ οἱ ἐν τῇ τοῦ Ποσειδῶνος ἑορτῇ οἰνοχοοῦντες νεανίσκοι ταῦροι ἐλέγοντο παρ' Ἐφεσίοις. 1205, 22.

ταῦρος βοῦς ὁ κήλων πρὸς διαστολὴν τῶν μὴ τοιούτων. 258, 45. 259, 2. ἀλλαχοῦ δὲ ὅτι ταῦρος βοῦς λέγεται ὡς γένος καὶ εἶδος. 1107, 35. καὶ πάλιν ἀλλαχοῦ ὅτι ἐν τῷ, ταῦρος βοῦς, συνήθως προτάσσεται τὸ βοῦς ὡς γενικὸν, Ἀττικῶς δὲ ἀνάπαλιν, ὡς καὶ παρ' Ὁμήρῳ ἐν τῷ, ταύροιο βοὸς μεγάλοιο βοείην, Ἰλ. ρ', 389. 1111, 33.

ταῦρος κερασφόρος ὁ Διόνυσος ἐπωνυμικῶς, ὃς καὶ ταυρόμορφος ἐπλάττετο διὰ τὸ κέρασιν ἀντὶ

ἐκπωμάτων χρῆσθαι τοὺς ἀρχαίους. 242, 32. 917, 55.

Ταῦρος, ὄνομα ποταμοῦ, οὗ τὸ ὕδωρ Ταύριον, καὶ Ταῦρος ὄνομα ἰατροῦ Κρητικοῦ, καὶ ταῦρος σωματικόν τι μόριον. 881, 21.

ταῦρος ταὐτὸ ὅπερ ὄῤῥος, ὃ δηλοῖ τὸν περὶ τοὺς γλουτοὺς τόπον, ὅτι παρὰ τὸ τείνεσθαι τὴν οὐρὰν κατ' ἐκεῖνον τὸν τόπον οὕτω λέγεται. 259, 3. 527, 44. 906, 60. 1871, 43.

Ταῦρος, ὄρος πρόσβορον βαλάνοις εὔφορον, οὗ μέρος καὶ ὁ Κράγος· καὶ Ταῦρος κύριον ἀνθρώπου, ᾧ ἐμοιχᾶτο ἡ Πασιφάη, ὅθεν ὁ περὶ τοῦ Μινωταύρου μῦθος ἐπλάσθη. 259, 4.

ταυροῦσθαι τὸ ἀγριοῦσθαι κατὰ ταῦρον. 160, 14.

ταύτῃ ἀντὶ τοῦ οὕτως, τὸ τῇ μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου. 1005, 31. 1251, 25.

ταυτίζω ὅτι παρὰ τὸ ταὐτὸν παραχθὲν ἔχει καὶ τὸ ἄρθρον, ᾧ ἐκεῖνο σύγκειται, ζήτει τὸ ταὐτόν. 1573, 42.

ταυτολογία ἡ τῶν αὐτῶν ἢ τῶν ἰσοδυνάμων λέξεων παράθεσις, ὅτι πρὸς διασταλτικὴν ἐπιστασίαν κατὰ σχῆμα ἐπιμονῆς ἐπιτηδεύεται, οἷον ἐν τῷ, κοῦροι νέοι, Ἰλ. ν', 95. 922, 2.

ταυτολογία τῆς αὐτῆς ἐννοίας πρὸς διόρθωσιν ἐπιτηδευομένη, οἷον ἐν τῷ, Ἀτρείδη σὺ δὲ παῦε τεὸν μένος, αὐτὰρ ἔγωγε λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον, Ἰλ. α', 282. 105, 15.

ταυτολογία Ὁμηρικὴ κατὰ τὰς ἀπαγγελίας, ἑρμηνεία διεξοδική. 173, 5.

ταὐτὸν ὅτι ἐκτικῶς τῇ αὐτὸς ἀντωνυμίᾳ συναλιφὲν ἔχει τὸ ἄρθρον, ὅθεν διαβαίνει καὶ εἰς τὸ ἐξ αὐτοῦ γινόμενον ῥῆμα. 1573, 41. ζήτει τὸ ταυτίζω.

ταυτότης, ὅτι ἐκ τοῦ ταὐτὸν παραχθὲν τοὔνομα ἔχει καὶ τὸ ἄρθρον, ᾧ ἐκεῖνο σύγκειται. 1573, 43.

ταφῆς καὶ ὁσίας νεκρικῆς ἐπιμέλεια παρὰ τοῖς ἀρχαίοις, ἑρμηνεία διεξοδική. 1370, 20.

τάφος ὁ τόπος, ὅπου τίθενται τὰ σώματα τῶν νεκρῶν, σῆμα δὲ τὸ ὑπὲρ τοῦ τάφου χωματῶδες ἐπανάστημα, ὃ σημεῖον ἐστὶ τοῦ τεθάφθαι τινὰ ὑπ' αὐτῷ. 1370, 18. καὶ ὅτι στόμα θανάτου λέγοιτ' ἂν ὁ τάφος. 1112, 31.

τάφος ὅτι καὶ σῆμα καὶ τύμβος καὶ μνῆμα λέγεται πολυωνυμικῶς. 1673, 41.

τάφος τὸ ἐπὶ νεκρῷ δεῖπνον, καὶ τάφος ἡ ταφὴ καὶ ὁ ἐπιτάφιος ἀγών. 1285, 39. 44. 1319, 53.

τάφος τὸ θάμβος εἴτουν ἔκπληξις, παρὰ τὸ θάπτω οἱονεὶ θάπος. 468, 29. 634, 28. 746, 13. 1420, 6.

Τάφος, ὄνομα νήσου μιᾶς τῶν Ἐχινάδων τῶν πρὸς τῷ Ἀχελῴῳ, ἧς οἱ ἐγχώριοι λῃσταὶ ἱστοροῦνται γεγονέναι. 1396, 64.

τάφρος οὐ μόνον τὸ βαθὺ ὄρυγμα, ἀλλὰ καὶ τὸ ἁπλῶς ὁποιονοῦν. 1904, 29. καὶ ὅτι τάφρος ὀρυκτὴ λέγεται παρ' Ὁμήρῳ κατ' ἔλλειψιν τοῦ εὖ ἐπιῤῥήματος, ἢ πρὸς διαστολὴν τῶν μὴ χειροποιήτων, αἳ καὶ κυρίως ἂν τάφροι λέγοιντο ὡς δυνάμεναι τρέφειν ζῷα ἐκ τῆς φυομένης βοτάνης. 582, 7. 706, 4.

ταφών, μετοχὴ ἀντὶ τοῦ θαμβήσας καὶ ἔκστασιν παθών, ἀπὸ τοῦ θάπτω θέματος κατὰ ἀντιστοιχίαν. 467, 31. 746, 11. 861, 59.

τάχα ἀντὶ τοῦ ταχέως ἀεὶ παρ' Ὁμήρῳ καὶ οὐδέποτε διστακτικῶς, καὶ ὅτι ἐκ τοῦ ταχέα κατὰ συγκοπὴν λέγεται. 86, 30. 36. 1415, 4.

ταχεῖα ἔλαφος, ὅτι καθόλου τοῦ εἴδους καὶ οὐ πρὸς διαστολὴν ἡ ἐπίθεσις. 711, 31.

ταχίνας κατὰ γλῶσσαν ὁ λαγώς, παρὰ τὸ τάχος. 1821, 35.

ταχὺς ἐπίθετον ὅτι καὶ ἐπιῤῥηματικῶς ἀκούεταί ποτε, οἷον ἐν τῷ, ταχέες δ' ἱππῆες ἄγερθεν, Ἰλ. ψ', 287. ἀντὶ τοῦ ταχέως. 1302, 30.

Ταχώς, Αἰγύπτιος βασιλεύς, σκώψας Ἀγησίλαον εἰς σμικρότητα, ἱστορία. 1642, 47.

ταὼς ταῶ, Ἀττικῶς ὅτι περισπᾶται, καὶ ταὼς ταοῦ καὶ ταὼν ταῶνος λέγεται. 271, 7, 11. 346, 7. 16. καὶ ὅτι ἱερὸν ἐνομίζετο ἐν Λιβύῃ τὸ ζῷον. 1257, 29. καὶ ὅτι ἐρασθῆναι παρθένου ἱστορεῖταί τις ταῶς. 1166, 29.

τε ληγόντων προσώπων ῥηματικῶν προσῳδία, ὅτι οὐδὲν τῶν εἰς τε ληγόντων ὀξυτονεῖται, πλὴν τοῦ ἐστὲ καὶ τοῦ φατέ. 1457, 45.

τε μόριον πλεονάζον ἐν τῷ, ἐφ' ᾧ τε καὶ ἄλλως τε καὶ οἷόν τε. 734, 25. 1486, 60.

τε σύνδεσμος ἔτι ὑποπίπτει ταῖς λέξεσιν ἐν τῇ συμπλοκῇ, οἷον ἐγώ τε σύ τε. 72, 33.

Τέαρος ποταμὸς ὅτι πολλὰς ἔχει πηγάς, ὧν τινὲς εἰσὶ θερμαί, καὶ ὅτι ψώραν ἰᾶται, ἱστορία. 1263, 32.

Τεγέα, πόλις ἐπίσημος Ἀρκαδίας, περὶ ἧς πολλά τινα ἱστοροῦνται, καὶ Τεγέα ἐν Κρήτῃ ὑπὸ Ταλθυβίου κτισθεῖσα. 301, 36 — 46. 302, 4.

τέγεος θάλαμος ἐπιθετικῶς ὁ ὑπερῷος καὶ ἀνώγειος, καὶ ὅτι ἐκ τοῦ τέγειος ἀποβολῇ τοῦ ι λέγεται. 639, 64.

τέγος ὁ ὅλος δόμος ἀπὸ μέρους τῆς στέγης, ὅθεν λέγεται τὸ τέγος ἐλλείψει τοῦ σ ἢ παρὰ τὸ τέγγω, ὃ δηλοῖ τὸ βρέχω. 640, 6. 1420, 1 — 8.

τεθαλαττωμένος οἶνος ὅτι ἀκραίπαλός τέ ἐστι καὶ εἰς κοιλιολυσίαν χρήσιμος. 871, 35.

τέθεικα παρακείμενος ὅτι διὰ διφθόγγου γράφεται Βοιωτικῶς. 1442, 52.

τεθηπέναι ἀπαρέμφατον καὶ τεθηπὼς μετοχὴ ὅτι ἀπὸ τοῦ τέθηπα μέσου παρακειμένου τοῦ θάπτω θέματος κεκίνηνται. 468, 26. 746, 14.

τέθμιον τὸ μόνιμον, ὅτι συστοιχεῖ τῷ θεσμὸς καὶ τῷ θέμις, ὅθεν τὸ θεμίσσειν. 993, 14.

τέθναθι, τὸ τρίτον τεθνάτω, ὅτι ἐκ τῆς τεθνὰς τεθνάντος μετοχῆς κεκίνηται, καὶ ὅτι παραλόγως συνέστειλε τὴν παραλήγουσαν, ὡς καὶ τὸ τέτλαθι, ὥσπερ ὁμοίως κανονίζεται. 1274, 10. 1418, 10.

τεθναίην ὅτι ἐκ τοῦ θναίην γέγονε κατὰ διπλασιασμόν, ὃ ἐκ τοῦ θνῆμι θέματος κεκίνηται. 1418, 1.

τεθνειὼς μετοχὴ τοῦ τέθνεια παρακειμένου ἀντὶ τοῦ τέθνηκα κα-

τὰ γλῶσσαν λεγομένου. 1700, 41. ὅτι περισσῶς ἐπιτίθεται τῷ νεκρὸς παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, νεκρὸν Ἐλπήνορα τεθνειῶτα, Ὀδ. μ', 10. 1705, 50. καὶ ὅτι καὶ ὁ πεφονευμένος τεθνειὼς λέγεται ἐν τῷ, κασιγνήτοιο φόνοιο ποινὴν ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος, Ἰλ. ι', 632 sq. 780, 2.

τεθνειῶτος τεθνειῶτι τεθνειῶτα, πλάγιαι ὅτι ποτὲ μὲν διὰ τοῦ ō μικροῦ, ποτὲ δὲ διὰ τοῦ ω̄ μεγάλου γράφονται, καθὼς ἀπαιτεῖ τὸ μέτρον. 1185, 32. ἀλλαχοῦ δὲ ὅτι κοινῶς μὲν διὰ τοῦ ō μικροῦ γράφονται, Ἰωνικῶς δὲ διὰ τοῦ ω̄ μεγάλου. 1336, 62.

τεθνηότος, τὸ θνῖ ἦτα καὶ τὸ ō μικρὸν ἐν τῷ, οὐκ ἔτι μέμνηται τεθνηότος οὐδὲ μεταλλᾷ, Ὀδ. ο', 23. 1773, 33.

τέθριππον ὅτι ἀναλόγως ἔχει τὸ θ̄ διὰ τὴν ἐπὶ τοῦ ἵππος δασεῖαν. 560, 22.

τεθυωμένον τὸ μεμυρωμένον ἢ μεμυρισμένον, παρὰ τὸ θύον ἢ θύος. 975, 1.

τεΐν Δωρικῶς ἀντὶ τοῦ σοὶ κατὰ δοτικὴν πτῶσιν. 839, 34.

τείνειν τὸ ἐξαπλοῦν, ὅτι παρὰ τὸ τῶ μονοσύλλαβον ῥῆμα παρήχθη. 244, 3. 1064, 41.

τείρεα τὰ ἄστρα διὰ τὸ εἴρειν, ὅ ἐστιν ἀγγέλλειν, ποτὲ τὰ μέλλοντα οὕτω λέγονται, ἢ παρὰ τὸ τείρεσθαι τοὺς ἐξ αὐτῶν βληθέντας, καὶ ὅτι τὸ τῖ τῆς λέξεως διὰ διφθόγγου γράφεται. 1155, 40. ἀλλαχοῦ δὲ ὅτι τείρεα τὰ ἄστρα παρὰ τὸ σειριᾶν, ὅ ἐστι ἀστράπτειν καὶ λάμπειν ἴσως, λέγονται, ἢ καὶ σείρια τὰ αὐτὰ λέγονται. 1709, 54.

τείρεσθαι, ὅ ἐστι δαμάζεσθαι, ὅτι περὶ σωμάτων κυρίως καὶ ὡς ἐπὶ πολὺ λέγεται, σπανίως δέ που περὶ ψυχῆς καὶ φωνῆς καὶ ἄλλων τινῶν ἀσωμάτων. 1267, 39.

Τειρεσίας, Θηβαῖος μάντις, ὅτι παρὰ τὸ εἴρειν ἢ παρὰ τὰ τείρεα, ὃ δηλοῖ τὰ ἄστρα, λέγεται· καὶ περὶ τῆς εἰς γυναῖκα καὶ αὖθις ἐκ γυναικὸς εἰς ἄνδρα μεταμορφώσεως αὐτοῦ μῦθος διεξοδικώτατος, καὶ αἰτία τῆς τυφλώσεως αὐτοῦ διαφόρως λεγομένη· καὶ ὅτι πολλάκις ἐξ ἀνδρὸς εἰς γυναῖκα καὶ ἀνάπαλιν ἐκ γυναικὸς εἰς ἄνδρα ὑπὸ διαφόρων θεῶν ἐπὶ διαφόροις αἰτίαις μετεβλήθη ὁ Τειρεσίας, ἑρμηνεία διεξοδικωτάτη. 1665, 40 — 64. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ τείρεσθαι δοκεῖ λέγεσθαι τοὔνομα. 1532, 13.

Τειρεσίας, ἐλεγειακὸν ποίημα Σωστράτου τινὸς ποιητοῦ ἐπὶ Τειρεσίᾳ γραφέν. 1665, 48.

Τειρεσίου θάνατος, ὅτι τοῦ Τιλφώσσης Βοιωτικῆς κρήνης ὕδατος πιὼν καὶ διὰ τὸ γῆρας μὴ ὑπομείνας τὴν ψυχρότητα ἀπέθανε. 1263, 45. 1668, 6.

Τειρία, πόλις Λευκοσύρων, ὁ πολίτης Τειριεύς, τὸ τῖ δίφθογγον καὶ τὸ ρῖ ἰῶτα, Τήρεια δὲ ὄρος. 356, 13.

τειχεσιπλήτης, πολιορκητής, τειχεσιβλήτης δὲ ὁ καταβάλλων τὰ τείχη. 518, 39.

τειχέω τειχῶ, ἀντὶ τοῦ τειχίζω παρ' Ἡροδότῳ. 1178, 36.

τειχιόεσσα πόλις ἡ εὖ ἔχουσα τείχους, τουτέστιν ἐρυμνή. 312, 32.

τεῖχος ὅτι παρὰ τὸ τεύχω λέγεται. 1021, 7.

τείως ἀντὶ τοῦ τέως, ἤγουν ἐν τοσούτῳ. 1486, 38.

τεκεῖν λέγεται ἡ μήτηρ, γεννῆσαι δὲ ὁ πατὴρ, ἀκύρως δὲ παρ' Ὁμήρῳ τὸ τεκεῖν ἀντὶ τοῦ γεννῆσαι τίθεται· κοινῶς δὲ γεννήτορες καὶ τεκόντες ἀδιαφόρως λέγονται οἱ τοῦ γένους ἀρχηγοί. 1682, 32.

τέκετο καὶ τεκέσθαι καὶ τεκόμενος ἀντὶ τοῦ ἔτεκεν καὶ τεκεῖν καὶ τεκὼν πολλαχοῦ παρ' Ὁμήρῳ. 533, 19.

τεκμαίρεσθαι τὸ τελειοῦν παρ' Ὁμήρῳ, παρὰ τὸ τέκμωρ, ὃ δηλοῖ τὸ τέλος· καὶ τεκμαίρεσθαι τὸ στοχάζεσθαι παρὰ τὸ τέκμαρ, ὅ ἐστι τεκμήριον. 665, 49. 1581, 43. καὶ τεκμαίρεσθαι τὸ σημειοῦσθαι καὶ μαντεύεσθαι. 1675, 11.

τέκμαρ τὸ σημεῖον, τέκμωρ δὲ τὸ τέλος τῶν πράξεων καὶ ὁ σκοπός. 144, 6. 665, 49. 760, 31.

τέκμωρ τὸ τέλος, ὅτι παρὰ τὸ τέκω λέγεται πλεονασμῷ τοῦ μ̄. 182, 16. καὶ ὅτι διαφέρει τοῦ τέκμαρ, ζήτει τὸ τέκμαρ.

τέκνα τὰ ἔκγονα, ὅτι ἐπίσης λέγονται τῷ πατρὶ ὡς καὶ τῇ μητρὶ, καίτοι παρὰ τὸ τεκεῖν λεγόμενα, ὃ κυρίως περὶ τῆς μητρὸς λέγεται. 1682, 32. καὶ ὅτι καὶ τὰ τῶν ἀλόγων ἔκγονα τέκνα λέγονται παρ' Ὁμήρῳ. 1098, 53.

τεκνοῤῥαίστης ὁ Ἡρακλῆς παρὰ Λυκόφρονι, διότι μανεὶς κατὰ χόλον Ἥρας τοὺς ἰδίους παῖδας ἀνεῖλε. 1683, 43.

τέκταινα, θηλυκὸν τοῦ τέκτων, ὡς γείταινα τοῦ γείτων. 1129, 27.

τεκτοσύνη ἡ ναυπηγικὴ ἰδίως ἐν τῷ, εὖ εἰδὼς τεκτοσυνάων. 1533, 16. ζήτει ἐν τῷ τέκτων.

τέκτων ὅτι παρὰ τὸ τεύχω λέγεται ἀποβολῇ τοῦ ε̄. 421, 37. καὶ ὅτι τέκτων ἐπίσης κατὰ γενικὸν ὄνομα λέγεται ὅ τε οἰκοδόμος καὶ ὁ ναυπηγός. 644. 15. 1023, 9. 1533, 16. καὶ ὅτι τέκτων εἰπεῖν κατὰ μόνας ἀτελῶς λέγεται, τέκτων δὲ δούρων, Ὀδ. ρ', 384. ἐντελῶς· ἔστι δὲ τέκτων δούρων ὅ τε οἰκοδόμος καὶ ὁ ναυπηγὸς καὶ ἁπλῶς πᾶς ὁ περὶ ξύλων ἐπισκευὴν καταγινόμενος. 1825, 15.

τελαμὼν ἁπλῶς ὁ πλατὺς ἱμάς. 1107, 53. τελαμὼν δὲ ξίφους ἢ ἀσπίδος ὁ ἀναφορεύς· καὶ ὅτι πρὸς διαστολὴν πρόσκειται τὸ τίνος ὁ τελαμὼν, καὶ ὅτι παρὰ τὸ ταλάσσειν λέγεται, οἱονεὶ ταλαμὼν, καὶ ὅτι ἐκ πλεονασμοῦ πρόσκτητον ἐκ τῆς παραγωγῆς ἔχει τὸ μ̄. 243, 31 — 38. 610, 6. 829, 7. 995, 22.

τελαμωνίζειν τὸ ἑλίσσειν τελαμῶνι. 995, 22.

τέλεια ζῶα τὰ μὴ κολοβὰ ἢ τὰ τέλεια τῇ ἡλικίᾳ, καὶ ὅτι τέλεια τοῖς θεοῖς ἐθύοντο ὡς τελείοις καὶ αὐτοῖς. 49, 34.

τελεῖν τὸ εἰς τέλος ἀγαγεῖν τινὰ πρᾶξιν, καὶ τελεῖν τὸ λόγον φόρον ἀποτίνειν. 777, 23. 1459, 61.

τέλειοι, ὅτι οὕτως ἐλέγοντο οἱ γεγαμηκότες παρὰ τὸ τέλος, ὃ δηλοῖ τὸν γάμον ὁμωνύμως. 325, 22.

τελειότατος πετεηνῶν ὁ ἀετὸς λέγεται παρ' Ὁμήρῳ, ὡς ἐπιτελεστικώτατος οἷς ἂν φανῇ ὡς οἰωνὸς, ἢ ὁ ἐν ἀξιώματι καὶ ὑπεροχῇ ὡς βασιλικός. 1352, 1.

τελεῖσθαι ἐν ἴσῳ τῷ μυεῖσθαι, ἤγουν διδάσκεσθαι τὰ μυστήρια καὶ τετελεσμένος ὁ μεμυημένος, παρὰ τὸ τέλος, ὃ δηλοῖ τὴν τελετήν· καὶ ὅτι τελεῖσθαι Διονύσῳ ἢ Δήμητρι λέγεται ἐν συμπλοκῇ. 752, 21. 789, 15.

τελειωθῆναι τὸ γῆμαι, ἐπεὶ καὶ τέλος ὁ γάμος ὁμωνύμως λέγεται. 881, 32.

τελέσαι ἔργον τὸ ἀπαρτίσαι τὸ ἐγχειρηθὲν, καὶ τελέσαι λόγον τὸ ἐντελῶς εἰπεῖν καὶ ἀμέμπτως. 1444, 39.

τελέσειεν ἢ μὴ τελέσειε τόδε τι θεὸς, ἀντὶ τοῦ γένοιτο ἢ μὴ γένοιτο. 1471, 44.

τέλεσμα τὸ φορολόγημα, παρὰ τὸ τελεῖν. 1246, 44.

Τελέστης κύριον, τελεστὴς δὲ ἐπίθετον· καὶ ὅτι Τελέστης ὁ ὀρχηστὴς οὕτω δεξιῶς ὠρχήσατό ποτε τοὺς ἑπτὰ ἐπὶ Θήβας Αἰσχύλου, ὥστε φανερὰ ποιῆσαι τὰ πράγματα διὰ τῶν σχημάτων. 1187, 24. 1590, 24.

τελεσφορεῖν τὸ εἰς τέλος ἄγειν. 1485, 25.

τελεσφόρος ἐνιαυτὸς ὁ τὰ κατὰ φύσιν πάντα εἰς τέλος ἄγων τῇ κατ' αὐτὸν περιόδῳ, καὶ ὅτι καὶ ἡ θεία δίκη τελεσφόρος εἶναι λέγεται διὰ τὸ ἐνεργὸν καὶ ἐν πᾶσι διῆκον. 1078, 57. 1169, 46. 1485, 24. 1664, 47.

τελεσφόρος λόγος τροπικῶς ὁ εἰς ἔργον ἀπεκβὰς, καὶ τελεσφόρος ἐλπὶς ὁμοίως. 1485, 24. 1763, 15.

τελετὴ, ὅτι καὶ ὁ γάμος τελετή τις εἶναι λέγεται. 1479, 21.

τελευτᾶν ἀντὶ τοῦ ἁπλῶς τελειοῦν, καὶ τελευτᾶν ἀντὶ τοῦ ἀποθνήσκειν, ὅπερ τελευτᾶν τὸν βίον ἐντελέστερον λέγεται. 622, 22. 694, 20. 1086, 59. 1414, 62.

τελευτὴ τὸ τέλος ἑκάστου ἔργου, τελευτὴ δὲ βίου ὁ θάνατος, ὃ καὶ τελευτὴ κατὰ μόνας ἀτελῶς λέγεται. 669, 7. 1073, 6. 1086, 57. 1414, 62. καὶ ὅτι πρὸς διαφορὰν τοῦ τελετὴ προσείληφε τὸ υ ἡ λέξις. 881, 33.

τελευτῆσαι ὅρκον τὸ πληρῶσαι καὶ ἀποδοῦναι τὸν ἔνορκον λόγον. 1451, 3.

τελευτήσεσθαι ἀντὶ τοῦ ἀποτελεσθῆναι καὶ εἰς τέλος ἐλθεῖν ἐν τῷ, ὅς μοι τάδε πάντα τελευτήσεσθαι ὀπίσσω, Ὀδ. ι', 511. 922, 18. 1641, 56.

τελευτῶ τόδε ἀντὶ τοῦ ἐκτελῶ ἐν τῷ, ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν Ἀχαιοί, Ὀδ. β', 306. 1446, 43.

τελευτῶν τις ἐποίησε τόδε τι, ἀντὶ τοῦ πάντων ὕστερον καὶ τελευταῖον τῶν βουλευμάτων ἢ πράξεων αὐτοῦ. 1414, 63.

τέλη λύειν παρὰ Σοφοκλεῖ ἀντὶ λυσιτελεῖν ἐν τῷ, δεινὸν τὸ φρονεῖν ἔνθα μὴ τέλη λύει φρονοῦντι. 626, 54. 1722, 20.

Τελλίας Ἀκραγαντῖνος πεντακοσίους ἱππέας ὑποδεξάμενος καὶ ἑκάστῳ δωρησάμενος χιτῶνα καὶ ἱμάτιον. 1471, 57.

Τελμισσὸς, πόλις τῆς Λυκίας, ὅθεν Τελμισσὶς ἄκρα τις περὶ αὐτήν. 635, 16.

τέλος κυρίως τὸ πέρας, παρὰ τὸ τλῶ τὸ ὑπομένω, ὑπὲρ οὗ τις ὑπομένει πάντα, ἢ παρὰ τὸ τέλλω διὰ τὸ μετὰ τὴν πρᾶξιν ἐπιτέλλειν καὶ φαίνεσθαι. 1148, 46. καὶ τέλος τὸ στρατιωτικὸν τάγμα, ὃ καὶ ἱερὸν, ὅ ἐστι θεῖον, ἐπιθετικῶς λέγεται Ἰλ. κ', 56. καὶ τέλος ἡ ἀξιωματικὴ ἀρχὴ καὶ ὁ γάμος ὁμωνύμως, καὶ ἔκθεσις τῶν ἐκ ταύτης τῆς λέξεως συγκειμένων ἢ παρηγμένων κατὰ πάσας τὰς σημασίας αὐτῆς, καὶ ἐτυμολογία διεξοδικὴ τῆς φωνῆς. 686, 14 — 21. 789, 8 — 12. 881, 25. 892, 37.

τέλος γάμου ὁ γάμος αὐτὸς περιφραστικῶς ἢ ὁριστικῶς ἡ τεκνοποιία. 325, 21. 1883, 48.

τέλος θανάτου, αὐτὸς ὁ θάνατος περιφραστικῶς, ὃ καὶ τελευτὴ βίου λέγεται. 760, 18. 1073, 5.

τέλος ἱκέσθαι μύθων, ἀντὶ τοῦ ἐντελῶς καὶ ἀμέμπτως εἰπεῖν, καὶ τὸ ἀνάπαλιν, μὴ ἱκέσθαι τέλος μύθων. 1444, 40.

τέλος πολέμου ἡ νίκη λέγεται παρ' Ὁμήρῳ. 1078, 54.

τέλσον ἀρούρης τὸ τέλος ἢ τὸ κατ' ἐπιφάνειαν πέρας, ὅτι παρὰ τὸ τέλος λέγεται κατὰ μετάθεσιν καὶ προσθήκην τοῦ λήγοντος ν. 256, 12. 1161, 50.

Τελχῖνες, δαίμονες κακοποιοὶ οὐκ ἐπὶ καλῷ θέλγοντες τοὺς ἀνθρώπους, οἱονεὶ Θελγῖνες. 941, 2. 1391, 11. καὶ ὅτι οἱ μὲν Κρῆτας αὐτούς φασιν, οἱ δὲ ἐκ Ῥόδου εἰς Κρήτην συνακολουθῆσαι τῇ Ῥέᾳ· καὶ ὅτι δύο γένη Τελχίνων, τὸ μὲν βάναυσον, τὸ δὲ λυμαντήριον τῶν καλῶν· καὶ περὶ τῆς μορφῆς καὶ τοῦ ἀριθμοῦ αὐτῶν καὶ ἄλλων τινῶν περὶ αὐτῶν, ἑρμηνεία διεξοδική. 771, 55 — 772, 4.

Τελχινία, ὅτι οὕτως ἐκλήθη ποτὲ Σικυὼν ἡ Πελοποννησιακὴ πόλις διὰ τὸ κατοικίσαι ποτὲ ἐν αὐτῇ τοὺς Τελχῖνας. 291, 28. καὶ ὅτι καὶ ἡ Ῥόδος οὕτως ἐκλήθη ποτὲ διὰ τὸ Ῥοδίους γεγονέναι τοὺς Τελχῖνας. 772, 2.

τέμαχος κυρίως τὸ τοῦ ἰχθύος τμῆμα. 867, 53.

τεμένιος, ὄνομα κτητικὸν, ὅτι δίφθογγον ὤφειλεν ἔχειν τὸ νι, καὶ λόγος τῆς διὰ τοῦ ι γραφῆς. 149, 8.

τέμενος παρ' Ὁμήρῳ πᾶν τὸ περιωρισμένον εἴτουν ἀποτετμημένον τῶν πέριξ, καὶ εἰς κτῆσιν ἰδίαν τινὸς ἀφωρισμένον χωρίον, παρὰ δὲ τοῖς ὕστερον μόνα τὰ τοῖς θεοῖς ἀφωσιωμένα χωρία τεμένη λέγονται. 907, 28. 30. 1162, 19. 1293, 28. 1564, 6. 1600, 64. 1677, 61. καὶ τέμνειν τέμενός τινι, παρ' Ὁμήρῳ τὸ ἀφορίσαι εἰς κτῆσιν ἰδίαν. 636, 10.

Τεμέση, πόλις Ἰταλικὴ τὸ νῦν Βρεντέσιον, ὅπου μέταλλά ποτε ἦσαν χαλκοῦ· καὶ Τεμέση Κύπρου ἡ καὶ Τάμασος, καὶ ἄλλη Βρεττίας ἡ ὕστερον Τέμψα, ἐν ᾗ ἡρῷον Πολίτου ἑνὸς τῶν Ὀδυσσέως ἑταίρων, ὃς ἐκεῖ δολοφονηθεὶς ἔλαχε τιμῶν ἐκ τῶν περιοικούντων, ἀφ' οὗ παροιμία, ὁ ἐν Τεμέσῃ ἥρως, ἐπὶ τῶν παρὰ καιρὸν ἀγριαινόντων. 1409, 1. 7 — 14.

Τεμέσιος, εἷς τῶν Ὀδυσσέως ἑταίρων ἐν Τεμέσῃ τῇ Ἰταλικῇ τιμὰς εἰρημένος. 1379, 22. ζήτει ἐν τῷ Τεμέσῃ.

τέμνειν ὅρκια, ἤγουν δι' ἐντομῆς θυμάτων συνθήκας ποιεῖσθαι κατά τι ἔθος ἀρχαῖον. 190, 45. 385, 30. 1160, 29. 1179, 19.

Τέμπη, ὄρη ἐν Θεσσαλίᾳ καὶ ὅτι ῥαγέντων ποτὲ ἐκ σεισμοῦ τῶν Τεμπῶν ἐξεῤῥύη εἰς τὸν Πηνειὸν τὸ πρώην λιμνάζον ἐν αὐτοῖς ὕδωρ, ἱστορία διεξοδική. 1101, 17.

Τέμψα, πόλις Βρεττίας ἡ πρότερον Τεμέση κληθεῖσα. 1409, 12.

τένδω τὸ ἐσθίω, παρὰ τὸ ἔδω πλεονασμῷ τοῦ τ καὶ τοῦ ν. 773, 39. 1874, 31.

Τενέα, κώμη τῆς Κορινθίας, ὅθεν Τενεάτης Ἀπόλλων ὁ ἐκεῖ τιμώμενος. 301, 39.

Τένεδος ὅτι καὶ Λεύκοφρυς ἐκλήθη ποτέ, καὶ ὅτι παρὰ τὸ Τένου ἕδος γεγονέναι Τένεδος ὠνομάσθη. 33, 23. 1364, 46. ζήτει τὸ, Τένης υἱὸς Κύκνου.

Τένης, υἱὸς Κύκνου, διαβληθεὶς ὑπὸ τῆς μητρυιᾶς κατεῤῥίφη εἰς θάλασσαν ὑπὸ τοῦ πατρὸς, περισωθεὶς δὲ ἐβασίλευσε Τενέδου τῆς νήσου, ἣ καὶ μετέδωκε τοῦ ὀνόματος αὐτοῦ. 33, 24.

τένθης, λίχνος, καὶ τένθη ἡ λιχνεία. 1837, 40.

τένοντες τὰ ὄπισθεν τοῦ τραχήλου παχέα νεῦρα. 818, 2. καὶ ὅτι καὶ κατὰ τὸ ἰσχίον εἰσί τινες τένοντες. 550, 11. καὶ ὅτι παρὰ τὸ τείνεσθαι λέγονται οἱ τένοντες. 244, 3.

τεοῖο συνήθως μὲν ἀντὶ τοῦ σοῦ κτητικῶς, ἐν δὲ τῷ, ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο, Ἰλ. θ', 37. ἀντὶ τοῦ σοῦ πρωτοτύπως ἀκούεται. 696, 12.

τέραμνον, οἴκου στέγη προσηγορικῶς, ἀτέραμνον δὲ ἐπιθετικῶς τὸ σκληρὸν καὶ μὴ τέρεν. 1943, 4. καὶ ὅτι παρὰ τὸ τείρεσθαι κατὰ τὴν γλυφὴν λέγονται τὰ τέραμνα. 1154, 20. 1532, 14.

τέρας Διὸς τὸ ἐκ Διὸς σημεῖον. 900, 31. καὶ ὅτι παρὰ τὰ τείρεα, ὃ δηλοῖ τὰ ἄστρα, δοκεῖ λέγεσθαι τὸ τέρας. 1914, 64.

τέρας τὸ παντελῶς παρὰ φύσιν σύμβαμα. 227, 30. καὶ τέρας τὸ τοῦ ἁπλῶς σημείου ἐνίοτε παρ' Ὁμήρῳ. 1777, 43.

τερατολογία Ὁμηρικὴ ἐπὶ ταῖς τῶν θείων σωμάτων κινήσεσι. 145, 23.

τέρεινα ὅτι θηλυκόν ἐστι τοῦ τέρην, καὶ ὅτι παρὰ τὸ τείρειν ἀμφότερα λέγονται. 1532, 16.

τέρεν δάκρυον τὸ ἐκ τειρομένης ψυχῆς προϊὸν ἢ τὸ τερενοποιὸν, ὅ ἐστι μαλακτικόν. 217, 2. 392, 46. 1041, 48.

τέρετρον τὸ τρύπανον, ὅτι παρὰ τὸ τερῶ τερέσω, ὃ δηλοῖ τὸ τρυπῶ, λέγεται. 249, 27. 1531, 64.

τερηδὼν, ζωΰφιον ξύλοις καὶ ὀστοῖς ἐμφυόμενον, ὅτι παρὰ τὸ τείρειν καὶ τὸ ἔδειν λέγεται. 437, 18. 1403, 39. 1532, 15.

τέρην ὁ ἁπαλὸς, τὸ θηλυκὸν τέρεινα, τὸ οὐδέτερον τέρεν, ὅτι παρὰ τὸ ῥαδίως τείρεσθαι λέγονται. 1154, 19. 1532, 15. καὶ ὅτι τέρην χρὼς κατὰ κοινὸν ἐπίθετον καὶ οὐ πρὸς διαστολὴν λέγεται παρ' Ὁμήρῳ. 995, 39.

τερθρεία, οἱονεὶ τερατεία κατὰ συγκοπὴν καὶ ἀντιστοιχίαν. 82, 43.

τέρμα ὁ καμπτὴρ ἐν τῷ, ἴδον περὶ τέρμα βαλούσας, περὶ ἵππων ἀγωνιζομένων λεγόμενον Ἰλ. ψ', 462. 1311, 7. καὶ τέρματα τὰ σημεῖα, οἷς ἐσημειοῦντο ποῦ ὁ δίσκος ἐν τῇ πρώτῃ καταφορᾷ ἔπεσεν, ἐν τῷ, ἔθηκε δὲ τέρματ' Ἀθήνη, Ὀδ. θ', 193. 1591, 43.

τερμιόεις χιτὼν ὁ σύμμετρος καὶ εὐτερμάτιστος, ἢ ὁ ποδήρης, καὶ ἀσπὶς τερμιόεσσα ἡ ποδηνεκής. 794, 16. 1088, 15. 1864, 1.

Τερμίλλαι, ἔθνος Κρητικὸν εἰς Λυκίαν ὑπὸ Σαρπηδόνος μετοικισθὲν, ἱστορία. 369, 16.

Τερνεσὸς χυδαϊκῶς ὁ πάλαι Παρνασὸς ὄρος. 1872, 51.

τερος ληγόντων παραγώγων προσῳδία, ὅτι τὰ μὲν διὰ τοῦ ερος ἔχοντα τὴν παραγωγὴν ὀξύνονται, οἷον κάρτος καρτερὸς, ὡς βλάβος βλαβερὸς, τὰ δὲ διὰ τοῦ τερος βαρύνονται, οἷον σφέτερος, πρότερος. 109, 43.

τερος καὶ τερον λήγοντα συγκριτικὰ ἀπὸ συγκριτικῶν καθαρολήκτων κατὰ ποιητικὴν παραγωγὴν γενόμενα, οἷον ῥᾷον ῥᾳότερον, χεῖρον χειρότερον. 1424, 29.

τερος καὶ τερον λήγοντα ἀντωνυμικὰ συγκριτικῶν τύπον ἔχοντα, μὴ ὄντα δὲ, οἷον ἡμέτερος, σφέτερος. 1005, 6.

τέρπειν τὸ ἐξ ἀθυμίας εἰς γλυκυθυμίαν τρέπειν. 740, 63. 1185, 64.

τέρπεσθαι ὅτι κατὰ μόνας ἀτελῶς λέγεται, τέρπεσθαι δὲ φρένα ἐντελῶς. 1193, 61. καὶ ὅτι συνήθως μὲν γενικῇ συντάσσεται παρ' Ὁμήρῳ, ἐνίοτε δὲ καὶ δοτικῇ μετὰ τῆς ὑπὸ προθέσεως, οἷον ὕπνῳ ὑπὸ γλυκερῷ τέρπεσθαι, γενικῇ ἀντὶ τοῦ κορεσθῆναι. 1945, 62. 1947, 52.

Τερπιείδης, Τερπίου υἱός. 1929, 9.

τερπικέραυνος ὁ τρέπων κεραυνοὺς ἐν τῷ ἀφιέναι, ὅτι κατὰ μετάθεσιν τοῦ ρ λέγεται. 486, 42. 1186, 1.

τερσαίνειν τὸ ἐν ἡλίῳ ξηραίνειν, ὅτι ἀπὸ τοῦ τέρσω παρῆκται, ὃ παρὰ τὸ ταρσὸς λέγεται. 843, 34. 866, 16. 1552, 56.

τέρσω καὶ τερσαίνω, ὅ ἐστι ξηραίνω, ὅτι παρὰ τὸν ταρσὸν λέγεται. 843, 34. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ τείρω, τείρεται γάρ πως τὸ ξηραινόμενον. 1074, 15.

τερψίμβροτος ὁ ἥλιος ἐπιθετικῶς, ὅτι παρὰ τὸ τέρπεσθαι αὐτῷ τοὺς βροτοὺς οὕτω λέγεται. 443, 42. 1721, 39.

τεσσι λήγουσαι δοτικαὶ πληθυντικαὶ ὅτι ἐκ πλεονασμοῦ ἔχουσι τὴν τε συλλαβὴν, οἷον στόμασι στομάτεσσι. 1412, 38.

τεταγὼν, ὅτι ἐκ τοῦ τῶ, ὃ δηλοῖ τὸ λαμβάνω, γίνεται τάζω, ὅθεν μετοχὴ ὁ ταγὼν, καὶ Ἰωνικῷ διπλασιασμῷ τεταγών. 157, 9. 1003, 32.

τετανὸς φλοιὸς ὁ οἷον ἱμαντώδης. 1085, 61.

τετανύσθαι λέγεται νῆσός τις παρ' Ὁμήρῳ ἐπὶ ἐμφάσει τοῦ παραμήκη εἶναι τὴν νῆσον ἐκείνην. 1619, 39.

τεταρπόμενος ἀντὶ τοῦ τερφθεὶς ἐν τῷ, τεταρπόμενοι φίλον ἦτορ σίτου καὶ οἴνοιο, Ἰλ. ι', 705. 784, 13.

τέταρτος ἐνὶ τ, τέτταρα δὲ δυσί. 223, 19. 712, 16.

τετελεσμένον τὸ τελεσθῆναι πεφυκὸς καὶ δυνάμενον ἐν τῷ, εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστὶ, πολλαχοῦ παρ' Ὁμήρῳ. 1525, 26.

τέτυκτο ἀρχὸς, ἤγουν ποιητὸς εἴτουν χειροτονητὸς ἦν ἄρχων. 1018, 45.

τετύχηκα, παρακείμενος ἀπὸ τοῦ τυχῶ δευτέρου μέλλοντος ἀναχθέντος εἰς ἐνεστῶτα, ὅθεν καὶ ἡ τετυχηκὼς μετοχή. 1126, 4. καὶ τετύχηκεν ἀντὶ τοῦ κατὰ τύχην ἐστὶ καὶ οὐκ ἐξ ἐπιτεχνήσεως ἐν τῷ, ὃν περὶ πέτρη ἠλίβατος τετύχηκεν, Ὀδ. κ', 88. 1649, 54.

τετύχθαι ἐπὶ φυσικῆς κατασκευῆς ἐνίοτε, συνήθως δὲ ἐπὶ τῶν κατὰ τέχνην κατασκευαζομένων λέγεται. 1107, 27. καὶ ὅτι ἐκ τοῦ τετεῦχθαι λέγεται ἐκβολῇ τοῦ ε πρὸς εὐφωνίαν. 1385, 13. καὶ ὅτι τὸ τετύχθαι καὶ τετυγμένος ἐλλιπῶς τοῦ εὖ ἢ καλῶς ἤ τινος τοιούτου λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ. 1896, 7.

τεῦ ἐγκλιτικὸν ἀντὶ τοῦ τινὸς ἀορίστως ἀκουόμενον, τεῦ δὲ ὀρθοτόνως ἀντὶ τοῦ τίνος. 1137, 50.

Τευθρανίδης πατρωνυμικὸν ὅτι ἐκ τοῦ Τεύτρας Τεύτραντος ἐλλείψει τοῦ τ ἐσχημάτισται. 622, 5.

Τεῦκρος κύριον, Τευκρὸς δὲ ἐθνικόν. 1967, 34. ἀλλαχοῦ δὲ ὅτι Τεῦκροι βαρυτόνως ἢ Τευκροὶ ὀξυτόνως οἱ Τρῶες. 713, 26.

τεῦξαι τὸ κατασκευάσαι, τετευχῆσθαι δὲ τὸ ὡπλίσθαι. 1921, 3.

τευτάζειν τὸ ἐπιπολὺ προσεδρεύειν τῷ αὐτῷ πράγματι. 968, 3.

τεύχεα τὰ ὅπλα κατὰ κοινὴν προσηγορίαν, καὶ ὅτι καὶ τὰ τῶν νεῶν σκεύη οὕτω λέγονται παρ' Ὁμήρῳ διὰ τὸ ταὐτὸ δύνασθαι τὸ ὅπλα καὶ τὸ τεύχεα. 1779, 27.

τεύχεα κυρίως τὰ πολεμικὰ ὅπλα, ἀπὸ τοῦ τεύχω ῥήματος, κατὰ δέ τινας ἀπὸ Τευχίου τόπου Εὐβοϊκοῦ, ἱστορία. 817, 21. 1167, 54.

τεύχειν ἐν ἴσῳ τῷ οἰκοδομεῖν ἐν τῷ, δώματα τά ῥ' αὐτὸς ἔτευξε, Ἰλ. ζ', 314. 644, 18.

Τευχίον, ὄνομα τόπου τινὸς ἐν Εὐβοίᾳ. 817, 22.

τέχναι διάφοροι ὑπὸ διαφόρων θεῶν προστατούμεναι κατὰ τὴν Ἑλληνικὴν δόξαν. 40, 13. καὶ ὅτι πάλαι οἱ παῖδες τὰς πατρικὰς διεδέχοντο τέχνας. 1431, 60.

τεχνάσομαι, μέλλων ἀπὸ τοῦ τεχνάζω θέματος, τεχνήσομαι δὲ ἀπὸ τοῦ τεχνῶ. 1308, 41.

τέχνη ὅτι παρὰ τὸ τεύχω λέγεται ἐκβολῇ τοῦ υ καὶ προσλήψει τοῦ ν. 178, 5. 421, 36. 575, 33. καὶ ὅτι τέχνη ἐν ἴσῳ τῷ δόλος ἐνίοτε τίθεται, οἷον ἐν τῷ, ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα χωλὸς ἐὼν τέχνῃσιν, Ὀδυσσ. θ', 330. 2. ὅθεν καὶ δεσμοὶ τεχνήεντες οἱ ἐπὶ δόλῳ γενόμενοι. 1598, 18.

τεχνῆσαι καὶ τεχνήσασθαι ἐπὶ τοῦ αὐτοῦ παρ' Ὁμήρῳ. 1572, 10.

τεχνήσομαι, μέλλων ἀπὸ τοῦ τεχνῶ θέματος, τεχνάσομαι δὲ ἀπὸ τοῦ τεχνάζω. 1308, 41.

τεχνικὸς, ὅτι οὕτω λέγεται κατ' ἐξοχὴν ὁ Ἡρωδιανός. 368, 12.

τέῳ, δοτικῆς τῶν ἑνικῶν ἀντὶ τοῦ τῷ ἤγουν τινὶ, καὶ τέων γενικῆς τῶν πληθυντικῶν ἀντὶ τοῦ τῶν ἤγουν τινῶν, ὅτι πλεονασμῷ τοῦ ε γεγόνασι. 1057, 12. 1738, 11.

τέως ἐπίῤῥημα, ἤγουν πρὸς τὸ παρόν. 80, 41.

Τζέλυμοι χυδαϊκῶς οἱ πάλαι Σόλυμοι, ὅ ἐστιν ἔθνος Λυκιακόν. 369, 11. 635, 37.

τῆ ἀντὶ τοῦ λάβε ἢ δέξαι, προστακτικὸν ἀπὸ τοῦ τῶ ἀῤῥήτου θέματος. 157, 17. 980, 5. 1003, 33. 1606, 21.

τῆ ἴμεν, ἤγουν ἐνταῦθα ἐλθεῖν. 1005, 26.

τῆ ῥα, ἤγουν ἔνθα δή. 994, 60.

τήγανον ὅτι παρὰ τὸ τήκω λέγεται, οἱονεὶ τήκανον, καὶ ὅτι καὶ τάγηνον λέγεται κατὰ μετάθεσιν, καὶ ἤγανον Δωρικῶς· καὶ ὅτι Συρακούσιοι τὴν μὲν λοπάδα τήγανον, τὸ δὲ κοινῶς τήγανον ξηροτήγανον καλοῦσι· καὶ ὅτι καὶ ἀποτηγανίζειν εὕρηται λεγόμενον, καὶ ἀπὸ τηγάνου ἰχθύας φαγεῖν. 1862, 9—20.

τῇδε ἀντὶ τοῦ ἐνταῦθα κατ' ἔλλειψιν δοτικῆς προσηγορικοῦ ὀνόματος, οἷον τοῦ οἰκία ἢ ὁδὸς, ἵν' ᾖ ἐν τῇδε τῇ οἰκίᾳ ἢ ὁδῷ. 1647, 54.

τῆδες Δωρικῶς ἀντὶ τοῦ τῆτες. 1618, 39.

τηθαλλαδοῦς ὅτι πρὸς συγγενικοῦ ὀνόματος τύπον ἐσχημάτισται, οὐκ ἔστι δὲ, ἀλλὰ δηλοῖ τὸν μαμμόθρεπτον καὶ γραοτραφῆ καὶ διὰ τοῦτο εὐήθη. 971, 28. 39.

τήθεα, ὄστρεα ποιὰ θαλάσσια, παρὰ τὴν τηθὺν ἢ παρὰ τὴν τήθην, καὶ ἐπεξεργασία τῆς ἐτυμολογίας· καὶ ὅτι ἐρσήεντα λέγονται ἐπιθετικῶς διὰ τὸ ἐν αὐτοῖς γαλακτῶδες, καὶ ἄλλα τινὰ περὶ τῶν ὀστρέων. 1084, 33.

τήθη ἡ τοῦ πατρὸς καὶ ἡ τῆς μητρὸς μήτηρ, καὶ ὅτι ὀξυτόνως ἐλέγετο κατά τινας, κοινότερον δὲ τὸ βαρύτονον, καὶ ὅτι καὶ ἡ ἁπλῶς πρεσβυτέρα γυνὴ τήθη λέγεται. 316, 10. 565, 30. 971, 24. 35. 44. καὶ τήθη ἡ τροφὸς ὁμωνύμως παρὰ τὸ στῆθος ἢ παρὰ τὸ τῇ θήλασον λέγειν τῷ βρέφει. 437, 17. 978, 51. 1606, 24.

τήθη, τὰ καὶ τήθεα, ἅ εἰσιν ὄστρεα ποιά. 1485, 38. ζήτει τὸ τήθεα.

τηθία καὶ τηθίβιος ταὐτὸ ὅπερ τήθη, ὃ δηλοῖ ποτὲ τὴν ἁπλῶς πρεσβυτέραν γυναῖκα. 971, 43.

τηθὶς λέγεται ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὴ, ὄνομα ἀναλογοῦν τῷ θεῖος. 316, 13. 565, 30.

τῆθος τήθεος, εἶδος ὀστρέου, τὸ πληθυντικὸν τὰ τήθεα καὶ τήθη. 1485, 36. ζήτει τὸ τήθεα.

τηθὺς ἡ κοινὴ τροφὸς γῆ ἀλληγορικῶς, ὅτι παρὰ τὸ τήθη, ὃ δηλοῖ τὴν τροφὸν, λέγεται. 978, 20. 50. 1084, 34.

Τήιον οὐδετέρως, πόλις Καυκώνων τῶν Παφλαγονικῶν. 362, 40. 1472, 41.

τήκεσθαι ὅτι περὶ κηροῦ καὶ χιόνος καὶ πίσσης λέγεται, καὶ ὅτι καὶ δακρύοις λέγεταί τις τήκεσθαι παρ' Ὁμήρῳ. 1608, 34. 49.

τῆλε ἀντὶ τοῦ τηλόθεν ἐν τῷ, τῆλ' ἐξ Ἀσκανίης, Ἰλ. β', 863. 364, 46. καὶ τῆλε βαλεῖν ἀντὶ τοῦ ἐπιτυχῶς ῥῖψαι ἐν τῷ, τῆλ' αὐτῇ πήληκι κάρη βάλεν, Ἰλ. ν', 482. 1217, 56.

τῆλε μάλα, ὅτι οὐ τοπικῶς ἐνίοτε, ἀλλὰ πραγματικῶς ἀκούεται. 1279, 10.

Τηλεβόαι ἔθνος ὅτι τὰς Κεφαλλήνων νήσους πάλαι ποτὲ κατεῖχον, ἕως οὗ Κέφαλος ὁ Δηιο-

τονθορύζειν ὅτι ὅμοιόν πώς ἐστι τῷ τονθολυγεῖν, ὃ δηλοῖ ποιὸν ἦχον ὕδατος ἐν τῷ ἀναβλύζειν. 1095, 19.

τόνοι προσῳδιακοὶ ἔτι μουσικῆς ἀπηχήματα ὄντες δύνανται ἐκτείνειν βραχεῖαν συλλαβὴν λόγῳ κοινότητος. 1465, 14.

τόνου μετάθεσις κατὰ τὴν αὐτὴν λέξιν παρὰ τὴν διάφορον σημασίαν, οἷον βίος μὲν βαρυτόνως ἡ ζωή, βιὸς δὲ ὀξυτόνως τὸ τόξον. 41, 1.

τονῦν, χρονικὸν ἐπίῤῥημα. 759, 56. ζήτει τὸ, τὸ ἄρθρον.

τόξα ἀμπέλινα ὁ εἰς μέθην οἶνος. 1367, 30.

τοξάζεσθαι ὅτι καὶ ἁπλῶς λέγεται καὶ μετὰ πτωτικῆς συναρτήσεως, οἷον τοξάζεσθαί τινος. 1592, 7.

τοξεύειν, ὅτι τὸ τὴν νευρὰν μέχρι τοῦ μαζοῦ ἕλκειν τῶν ἀρχαίων ἦν, τὸ δὲ καὶ μέχρι τοῦ ὠτὸς τῶν νεωτέρων ἐστί. 451, 25. καὶ ὅτι τοξικῆς προστάται ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐνομίζοντο διὰ τὴν ἀκτινοβολίαν αὐτῶν ἀλληγορικῶς, ἢ διὰ τὸ συμβάλλεσθαι τοῖς τοξεύουσι. 40, 21.

τοξόδαμνος, ὅτι οὕτω λέγεται ἡ Ἄρτεμις ἐπιθετικῶς παρὰ Διφίλῳ. 1678, 48.

τόξον ὅτι παρὰ τὸ τάζω τάξω, ὃ δηλοῖ τὸ τείνω, λέγεται. 157, 13. 18. 527, 20.

τοξοσύνη ἡ τοξικὴ τέχνη. 1325, 45.

τοξότα λωβητὴρ, ὑφ' ἓν κατὰ παράθεσιν ἀναγινωσκόμενον Ἰλ. λ', 385. 851, 35.

τόξον Ὅμηρος τὴν τοξικὴν τέχνην, καὶ τόξα πληθυντικῶς τὴν τοξικὴν σκευήν. 38, 43. 329, 28. 354, 25. 463, 44. 1024, 55. ἀλλαχοῦ δὲ ὅτι τόξα συλληπτικῶς τὰ βέλη καὶ πᾶσα ἡ τοξικὴ σκευή. 1248, 35. 57.

τόξου ἐπίθετα παρ' Ὁμήρῳ κοινῶς κατὰ παντὸς τοῦ εἴδους λεγόμενα, οἷον καμπύλον, ἀγκύλον, ῥαιβὸν, σκολιόν· καὶ ὅτι τὸ παλίντονον ὡς διαφορὰ τόξου δοκεῖ λέγεσθαι παρ' Ἡροδότῳ. 375, 7.

τόξου θέσις ὅτι οὕτως ἐπιγράφεται ἡ ταῦ ῥαψῳδία τῆς Ὀδυσσείας ἐκ τοῦ κατ' ἀρχὰς τῆς ῥαψῳδίας ἐκείνης γράφεσθαι τὸ ῥητὸν τοῦτο, τόξον μνηστήρεσσι θέμεν. 1897, 25.

τοπάζειν τὸ τόπους καὶ ἀρχὰς εἰς τὸ ὑπονοεῖν ἔχειν ἢ λαμβάνειν, καὶ ὅτι ἐκ τοῦ τόπος γίνεται τοπῶ, ὅθεν τοπάζω. 543, 17.

τοπάλαι, χρονικὸν ἐπίῤῥημα. 859, 56. ζήτει τὸ, τὸ ἄρθρον.

τοπικὰ μέρη ἐπαγόμενα τοῖς ὅλοις πρὸς ἀφορισμὸν τοῦ ποῦ τῶν τόπων ἑκάστου, οἷον, ἡ δ' ἄρα Κύπρον ἵκανεν ἐς Πάφον, Ὀδ. θ', 362. καὶ, Ἴδην δ' ἵκανε Γάργαρον, ἤγουν κατὰ τὸ Γάργαρον τῆς Ἴδης. 1600, 49.

τοπικὰ ἐπιῤῥήματα ἐκ προθέσεων γενόμενα, οἷον ἐκ τῆς ἀνὰ τὸ ἄνω, καὶ τῆς κατὰ τὸ κάτω. 165, 29.

τόποι ἀπὸ φυτῶν ἢ καρπῶν ἢ ζῴων πλεοναζόντων ἐν αὐτοῖς παρωνομασμένοι, οἷον Κερασοῦς ἀπὸ τῶν κεράσων, Πιθηκοῦσαι καὶ Ἐχινοῦσαι νῆσοι ἀπὸ τῶν πιθήκων καὶ ἐχίνων. 306, 7. 362, 1. καὶ ἄλλοι τινὲς τόποι ἀπὸ ζῴων ἁπλῶς ὀνομασθέντες, οἷον Λεοντάρνη, Λεοντόπολις, Βουκεφάλα. 1747, 8.

τόποι ὀνομαζόμενοι ὁμωνύμως τοῖς ἐν αὐτοῖς πωλουμένοις καὶ ἁπλῶς πραττομένοις, οἷον τοὔλαιον Ἀθήνησιν ὁ τόπος ὅπου ἐπωλεῖτο τὸ ἔλαιον, ὡς καὶ ἀγὼν ὁ τόπος ὅπου οἱ ἀγῶνες ἐγίνοντο. 1595, 60.

τόπου διαφοραὶ εἴτουν σχέσεις, οἷον τὸ πρόσω εἴτουν πρόσθεν, καὶ ὀπίσω εἴτουν ὄπισθεν, ὅτι τὸ παρεληλυθὸς ἢ τὸ μέλλον σημαίνουσι παρ' Ὁμήρῳ. 81, 45.

τοπρὶν, χρονικὸν ἐπίῤῥημα. 759, 56—59. ζήτει τὸ, τὸ ἄρθρον.

τόρμη, ἡ καὶ πλήμνη, ὅ ἐστιν ἡ τῶν ἁρματείων τροχῶν χοινικὶς, καὶ τόρμη ὕσπληξ ἢ καμπτὴρ ἢ τυπουμένη ὑπὸ τῶν τροχῶν αὐλακοειδὴς γραμμή. 598, 22. καὶ τόρμαι ἐν Κρήτῃ οἱ παρ' ἄλλοις ῥεγεῶνες, οἷόν τι καὶ οἱ κατὰ τὴν Ἀττικὴν δῆμοι. 1610, 55.

τόρνος ὅτι ἐκ τοῦ τίρος, ὅ ἐστι τεκτονικόν τι ἐργαλεῖον, πλεονασμῷ τοῦ ν λέγεται. 1533, 12.

τορνώσασθαι ἀντὶ τοῦ κυκλοτερῶς διαγράψαι καὶ ἁπλῶς ἀντὶ τοῦ περιγράψαι. 1298, 41. καὶ τορνοῦσθαι νεὼς ἔδαφος, τὸ περιγράφειν ἢ τορνοειδὲς, ὅ ἐστι στρογγύλον, κατασκευάζειν. 1533, 8.

τόρος, ἐργαλεῖόν τι τεκτονικὸν, ὃ καὶ τόρνος λέγεται, τορὸς δὲ ἐπιθετικῶς ὁ σαφής. 907, 13. ἀλλαχοῦ δὲ ὅτι τόρος ἐργαλεῖον φρεωρυχικὸν ἢ λιθοξοϊκὸν σκεῦος. 1533, 10.

τορὸς ὁ σαφὴς καὶ τρανὴς, τόρος δὲ τεκτονικόν τι ἐργαλεῖον, καὶ ὅτι ἐκ τοῦ τορῶ ῥήματος ἀμφότερα λέγονται. 182, 8. 1532, 11.

τορύνη, σκεῦός τι μαγειρικὸν παρὰ τὸ τορῶ ῥῆμα λεγόμενον. 841, 11.

τος λήγοντα ὀνόματα ὀξύτονα ἀπὸ τῶν εἰς στος κατὰ ἀποβολὴν τοῦ σ λεγόμενα, οἷον γνωτὸς ἀπὸ τοῦ γνωστὸς, καὶ ἐρατὸς ἀπὸ τοῦ ἐραστός. 922, 23. 1795, 63.

τος καὶ στος λήγουσαι γενικαὶ ἐκ τῶν διὰ τοῦ δος κατὰ τροπὴν γενόμεναι, οἷον χάριτος ἐκ τοῦ χάριδος, θέμις θέμιδος θέμιτος καὶ πλεονασμῷ τοῦ σ θέμιστος. 1469, 63.

τὸς ἄρθρον ἀρσενικὸν προτακτικὸν, ὅτι ἐκ τούτου κινοῦνται αἱ τοῦ τῷ τὸν πλάγιαι, καὶ ὅτι ἐξ αὐτοῦ σύγκειται τὸ θάτερος, ὅ ἐστιν ὁ ἕτερος. 1385, 47.

τόσα ἀντὶ τοῦ πολλὰ θαυμαστικῶς ἐν τῷ, τόσσα μέμηλεν, Ἰλ. β', 25. 1681, 13.

τοσαυτάκι ἐκ τοῦ τοσαυτάκις ἀποβολῇ τοῦ σ. 122, 7.

τόσον ἀντὶ τοῦ σῶμα κατὰ τοὺς γλωσσογράφους ἐν τῷ, ὅς τὸ μὲν ἄλλο τόσον φοίνιξ ἦν, Ἰλ. ψ', 454. 1310, 18.

τόσον ἐπὶ τῆς παρ' ὀλίγον τι ὁλότητος παρ' Ὁμήρῳ, ἑρμηνεία διεξοδικὴ διὰ παραδειγμάτων. 1271, 46.

τόσον ὅσον, κατὰ συμπλοκὴν λεγόμενα ὅτι μέγεθος πράγματος ἐμφαίνουσιν ἐν τῷ, δὴ τότε γ' οὐ οἱ ἔειπε κακὸν τόσον ὅσσον ἐτύχθη, Ἰλ. ρ', 410. 1112, 17.

τοσοῦτος ἐπὶ ποσότητος, τηλι-

κοῦτος δὲ ἐπὶ πηλικότητος, ἐν δὲ τῷ, καί σε τοσοῦτον ἔθηκα, ἀντὶ τοῦ τηλικοῦτον τέθειται παρ' Ὁμήρῳ. 1720, 32.

τοῦλαιον ὁ τόπος ὅπου ἐπωλεῖτο τὸ ἔλαιον Ἀθήνησιν ὁμωνύμως ἐν τῷ, ἀναμενῶ σε πρὸς τῷ πωλουμένῳ, οἷον ἀναμενῶ σε πρὸς τοὔλαιον, παρὰ Μενάνδρῳ. 1595, 63.

τούταινα ὅτι Δίφιλος ὁ κωμικὸς ἐπιτιμᾷ τινὶ τουταίνας τὰ τεῦτλα καλοῦντι. 1129, 13.

τόφρα ἀντὶ τοῦ εὐθέως καὶ ἀντὶ τοῦ ἕως καὶ ἀντὶ τοῦ ἡνίκα καὶ ἀντὶ τοῦ ὄφρα, καὶ τὸ ἐν τοσούτῳ, οἷον ἐν τῷ, τόφρα δὲ φάρε' ἔνεικε Καλυψώ, Ὀδυσσ. ε', 246. 1532, 20.

τρα λήγοντα θηλυκὰ ὅτι φιλοῦσι βαρύνεσθαι, οἷον μίτρα, πάτρα. 1068, 26.

τραγέη, τράγου δορά, ὅτι ἐκ τοῦ τραγείη ἐκβολῇ μὲν τοῦ ι γίνεται τραγέη, συναιρέσει δὲ τραγῆ. 276, 11. 374, 35. 39.

τράγημα ὅτι παρὰ τὸ τραγῶ τραγήσω λέγεται, ὡς παρὰ τὸ φαγῶ φαγήσω τὸ φάγημα. 1553, 36. ἀλλαχοῦ δὲ ὅτι τὸ τράγημα παρὰ τὸν τραγῶ δεύτερον μέλλοντα λέγεται. 1859, 35.

τράγος ὁ ἄῤῥην αἴξ, ὅτι παρὰ τὸ τρώγειν λέγεται κατὰ μίμημα ἤχου ποιοῦ. 1532, 9. 1627, 10. ἀλλαχοῦ δὲ ὅτι τράγος τὸ ζῷον παρὰ τὸν ἔτραγον δεύτερον ἀόριστον λέγεται διὰ τὸ βορὸν τοῦ ζῴου. 1553, 33.

τραγῳδός, ὅτι τιμῶντες οἱ ἀρχαῖοι ἄνθρωποι τὴν εὕρεσιν τοῦ οἴνου ᾠδικὸν ἀγῶνα καθίσταντο καὶ τὸν λυμαινόμενον ταῖς ἀμπέλοις τράγον ἆθλον προὐτίθεντο τῆς ᾠδῆς καὶ τοὺς ἀγωνιζομένους τραγῳδοὺς ἐκάλεσαν διὰ τὴν ἐπὶ τῷ τράγῳ ᾠδήν. 1769, 46.

τρακτὰ οἱ ἄρτοι κατὰ τὴν ἀρχαίαν γλῶσσαν. 1087, 64.

τρανὸς καὶ τρανὲς ὅτι παρὰ τὸ τραίνω λέγεται, τοῦτο δὲ ἐκ τοῦ τρῶ μονοσυλλάβου παρῆκται. 1532, 7.

τράπεζα ὅτι παρὰ τὸ τέσσαρας πόδας ἔχειν λέγεται, οἱονεὶ τετράπεζα κατὰ συγκοπήν. 664, 42. 867, 23. 1398, 16. καὶ τραπέζης ἔπαινος ποιητικὸς ἐκ τῶν Ἀθηναίου. 1586, 19.

τράπεζαι δεύτεραι αἱ τῶν τραγημάτων, ἐπεὶ ὁ τραγηματισμὸς ἐπιδορπισμός τίς ἐστι καὶ δεῖπνον ἕτερον. 1401, 48.

τράπεζαι κυκλοτερεῖς, ὅτι καὶ κυκλοειδεῖς ἐγίνοντο τράπεζαι εἰς ὁμοίωσιν τῆς τοῦ παντὸς σφαιροειδείας. 1816, 29.

τράπεζαι ὅτι παρατίθεσθαι ἐλέγοντο ἐν καταρχῇ τῆς εὐωχίας, βαστάζεσθαι δὲ εἴτουν αἵρεσθαι μετὰ τὴν εὐωχίαν. 1525, 58. καὶ ὅτι καὶ τραπέζας τιταίνειν λέγεται πολλαχοῦ παρ' Ὁμήρῳ, ὅθεν ἐμφαίνεται παραμήκεις γίνεσθαι τὰς τραπέζας, ἢ καὶ δεδιπλῶσθαι καὶ ὅτε δέοι ἐξαπλοῦσθαι. 1661, 59.

τραπεζείτης κύων ὁ παράσιτος καὶ οἰκοτραφὴς τὸ ζι δίφθογγον ἐκ τοῦ τραπεζεύς, τραπεζίτης δὲ ὁ ἀργυραμοιβὸς τὸ ζι ἰῶτα. 1257, 25.

τραπεζεὺς καὶ τραπεζείτης κύων ὁ μὴ θηρευτικός, ἀλλ' ἑκὼν περὶ τὰς τραπέζας ζῶν. 1257, 23. 1821, 59. καὶ τραπεζεὺς καὶ τραπεζολοιχὸς ὁ λίχνος. 1837, 39.

τραπεζίτης ὁ ἀργυραμοιβὸς τὸ ζι ἰῶτα, τραπεζείτης δὲ κύων ὁ οἰκοτραφὴς καὶ οἷον παράσιτος τὸ ζι δίφθογγον. 1257, 26.

τραπεζώματα, σκεύη ποιὰ ξύλινα. 1402, 19.

τραπείομεν ἀντὶ τοῦ τερφθῶμεν ἢ τραπῶμεν. 433, 1. 989, 4.

τράπεν ἀντὶ τοῦ ἔτρεψεν ἐν τῷ, κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη, Ἰλ. ε', 676. 593, 19.

τραπέουσιν ἀντὶ τοῦ πατοῦσι σταφυλάς, Ὀδ. η', 125. καὶ ὅτι ἐκ τοῦ τραπῶ δευτέρου μέλλοντος ἀνηγμένου εἰς ἐνεστῶτα κεκίνηται ἡ λέξις. 815, 46. 1574, 2.

τραπηταὶ οἱ τῶν σταφυλῶν πατηταί, καὶ τραπέειν ῥῆμα περὶ σταφυλῶν λεγόμενον Ὀδ. η', 125. 1574, 2.

τράπω ὅτι ἀντὶ τοῦ τρέπω Δωρικῶς λέγεται. 1573, 63.

τρασιὰ ὁ τόπος ἢ ἡ σανίς, ὅπου τὰ σῦκα ψύγεται εἴτουν ταριχεύεται, ὅτι παρὰ το τέρσω, ὅ ἐστι ξηραίνω, λέγεται. 1625, 15.

τραυλίζειν, ὅτι οἱ τραυλίζοντες ἁμαρτάνουσιν κατὰ τὴν προφορὰν τοῦ ρ στοιχείου. 1379, 55.

τραφερά, ἐπίθετον κοινὸν γῆς καὶ θαλάττης, παρὰ τὸ τρέφειν ἑκατέραν τὰ ἐν αὐτῇ ζῷα· κυρίως δὲ ἡ γῆ τραφερὰ λέγεται ὡς εὐπαγὴς καὶ στερεὰ παρὰ τὸ τρέφειν, ὃ δηλοῖ τὸ πηγνύναι. 987, 59.

Τραχεῖα, ὄνομα τόπου τινός, οὗ Ὅμηρος μέμνηται ἐν τῷ τῶν Κεφαλλήνων καταλόγῳ, Ἰλιάδ. β', 633. καὶ τραχεῖα προσηγορικῶς μέρος τι τῆς ἔξω τοῦ Ταύρου Κιλικίας. 307, 24. 30.

τραχέος ῥυθμοῦ παράδειγμα τό, τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός, Ἰλ. γ', 363. 1676, 14.

τράχηλα οὐδετέρως ἐκ τοῦ τράχηλοι μεταπεπλασμένον. 108, 20.

τράχηλος, ὅτι τῶν τριάκοντα τεσσάρων σπονδύλων οἱ πρῶτοι ἑπτὰ συμπληροῦσι τὸν ἄνω τράχηλον. 1531, 2.

τράχηλος ὁμωνύμως τὸ κατὰ τὸ μέσον μέρος τοῦ ἱστοῦ. 1423, 14.

Τραχὶν καὶ Τρηχὶν ποιητικῶς, πόλις Θετταλικὴ ὑπὲρ τὴν Οἴτην τὸ ὄρος, Ἡρακλέους κτίσμα, ἢ ἀπὸ τῆς τραχύτητος οὕτως ὀνομασθεῖσα· κατὰ δέ τινας Τραχὶν ἡ ὕστερον Ἡράκλεια, Λακεδαιμονίων κτίσμα. 320, 19.

τραχύτητος ἰδέας φραστικῆς παράδειγμα. 424, 11.

τραχυφωνία ὅτι αἱρετωτέρα ἐστὶν ἐνίοτε τῆς κατὰ τὸν λόγον λειότητος. 519, 42.

τράχω Δωρικῶς ἀντὶ τοῦ τρέχω τροπῇ τοῦ ε εἰς α. 969, 7. 1573, 63.

τρεῖν τὸ μετὰ δέους φεύγειν πολλαχοῦ παρ' Ὁμήρῳ. 1032, 6. 1555, 50.

τρεισκαίδεκα ἀριθμητικὸν ὅτι πληθυντικῷ πτωτικῷ συντασσόμενον διὰ διφθόγγου ἔχει τὴν τρις συλλαβήν. 1963, 21.

τρέμων, ὅτι χωρίον τι τῆς Δήλου οὕτως ἐκαλεῖτο παρὰ τὸ τρέμειν, ὅ ἐστι κινεῖσθαι καὶ περι-

φέρεσθαι, ποτὲ τὴν νῆσον. 1644, 52.

τρέπειν φρένας τινός, ἀντὶ τοῦ μεταπείθειν, οἷον ἐν τῷ, ἔτρεψεν ἀδελφειοῦ φρένας, Ἰλ. ζ', 61. 625, 7.

τρέπειν τινὰς εἰς φυγὴν, ἐντελῶς λέγεται, τρέπειν δέ τινας ἁπλῶς ἀτελῶς κατά γε τοῦτο τὸ σημαινόμενον. 1015, 3.

τρέπεσθαι λέγεται αἰχμὴ παρ' Ὁμήρῳ ἀντὶ τοῦ κάμπτεσθαι. 841, 5.

τρέπεται νόος, ἀντὶ τοῦ πείθεται ἐν τῷ, οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος, Ὀδυσσ. γ', 147. 1461, 51.

τρέσαι τὸ εἰς φυγὴν τραπῆναι εἴτουν διὰ δειλίαν φυγεῖν ἢ τρόμον παθεῖν. 678, 4. 861, 61. 944, 50. 1000, 10.

τρεσῆς, ὅτι οὕτως ἐπεκλήθη τις ἐπὶ δειλίᾳ κωμῳδούμενος Ἀθήνησι. 1000, 11.

τρέφεσθαι ἀντὶ τοῦ πήγνυσθαι καὶ πυκνοῦσθαι, καὶ ὅτι καὶ περὶ τυροῦ λέγεται ἐν τῷ, μάλα δ' ὦκα περιτρέφεται κυκόωντι, παρ' Ὁμήρῳ Ἰλιάδ. ε', 903. 620, 17. 987, 61. 1339, 15. καὶ ἀλλαχοῦ ὅτι τρέφεσθαι λέγεται χιὼν ἢ πάχνη ἀντὶ τοῦ πήγνυσθαι καὶ κρυσταλλοῦσθαι· καὶ ὅτι καὶ γάλα τρέφεσθαι λέγεται, ἤγουν πήγνυσθαι εἰς τυροποιΐαν. 1627, 31. 1770, 23. καὶ ὅτι καὶ περὶ ὕδατος λέγεται, ὅθεν καὶ τρόφι κῦμα πολλαχοῦ παρ' Ὁμήρῳ. 1234, 34.

τρέχειν ἀντὶ τοῦ δινεῖσθαι, περὶ τρυπάνου λεγόμενον κατὰ ὀνοματοποιΐαν ἴσως ἀπὸ τοῦ τρῶ ἐν τῷ, ὡς δ' ὅτε τις τρυπῷ δόρυ νήϊον ἀνὴρ τρυπάνῳ, τὸ δὲ τρέχει ἐμμενὲς αἰεί, Ὀδ. ι', 384 sqq. 1635, 63.

τρέχω, ὁ μέλλων θρέξω ποιητικῶς, δραμοῦμαι δὲ ἐν πεζῷ λόγῳ. 1166, 1.

τρη ληγόντων τινῶν θηλυκῶν παραγωγὴ ἀπὸ γενικῶν διὰ τοῦ ερος, οἷον πατέρος πάτρη, γαστέρος γάστρη. 1121, 45.

τρῆμα ἡ ὀπή, ἀπὸ τοῦ τρῶ. 1531, 40.

τρηματῖται οἱ κυβευταί, ἀπὸ τῶν ἐν τοῖς κύβοις τρημάτων. 1084, 5. 1397, 22.

Τρῆρες, μέρος τι τοῦ Κιμμερίων ἔθνους οὕτω καλούμενον, ὅπερ ὁρμηθὲν ἐκ τοῦ Κιμμερίου Βοσπόρου πολλὰ τῆς Ἀσίας κατέδραμεν, ἱστορία. 1671, 19.

τρήρωνες πέλειαι αἱ περιστεραὶ, παρὰ τὸ τρεῖν, ὅ ἐστιν εὐλαβεῖσθαι, δι' ἀσθένειαν. 1712, 41. 47. καὶ ὅτι τὸ τρήρων κοινόν ἐστιν ἐπίθετον πάσης περιστερᾶς. 1262, 61.

τρῆσαι ἀντὶ τοῦ τρυπῆσαι, ὅτι ἐκ τοῦ τορῆσαι κατὰ συγκοπὴν λέγεται. 804, 26.

τρητὸν λέχος τὸ τεκτονηθὲν πρὸς διαστολὴν τῶν στιβάδων τῶν εἰκαίως ποιουμένων. 1428, 63. ἀλλαχοῦ δὲ ὅτι τρητὸν λέχος παρὰ τὸ τετρῆσθαι λέγεται διὰ τὰς ἐν ταῖς κλίναις κατατρήσεις. 1582, 47.

τρητὸς λίθος ὁ τετρυπημένος, παρὰ τὸ τρῶ, ὅ ἐστι τρυπῶ. 1733, 31.

τρία ἀριθμὸς ὅτι ἀρκτικός ἐστι πλήθους. 982, 59. καὶ ὅτι τὸ τρία ἐν συνθέσει προτασσόμενον ἀντὶ ἀορίστου ἀριθμοῦ τοῦ πολλὰ λαμβάνεται. 725, 12. 19.

τρία πίνειν, εἶδος κράσεως ἐξ ἡμίσεως καὶ διπλασίου. 1624, 44.

τρίαινα τὸ ἰχθύκεντρον, καὶ ὅτι τρίαινα Ποσειδῶνος ὅπλον εἶναι μυθεύεται, καὶ ἀλληγορία διαφόρως συμβιβαζομένη. 890, 54. καὶ ὅτι παρὰ τὸ τρία ἀριθμητικὸν λέγεται τοὔνομα. 89, 19. καὶ ὅτι ἐκ τοῦ πρωτοτύπου ἔχει τὸ ᾱ τῆς παραληκτικῆς διφθόγγου καὶ οὐκ ἐκ τοῦ τύπου τῶν διὰ τοῦ αινα. 1599, 49.

τριακάπους τοὺς ἐφήβους ἐκάλουν Κυρηναῖοι. 727, 18. 1592, 57.

τριβακὸς, ὁ καὶ τρίβων, ἤγουν ἐντριβὴς περὶ πράγματα. 932, 46. 1327, 21.

τρίβειν χρόνον ἐν παραθέσει, καὶ χρονοτριβεῖν ἐν συνθέσει. 1327, 21.

τρίβος ἡ πεπατημένη ὁδὸς, παρὰ τὸ τρίβειν· καὶ ὅτι ἡ τρίβος καὶ ὁ τρίβος λέγεται. 1200, 34. 1327, 17.

τρίβραχυς, ποὺς μετρικὸς, ὅτι ἀσυντελής ἐστι τῷ ἡρωικῷ μέτρῳ. 1667, 22.

τρίβω ὅτι ἐκ τοῦ τρῶ μονοσυλλάβου ῥήματος λέγεται. 1532, 6. 1631, 42.

τρίβων τὸ τετριμμένον ῥάκος, καὶ τρίβων ὁ ἐν πράγμασιν ἐντριβὴς ἄνθρωπος. 932, 46. 1327, 17. ἀλλαχοῦ δὲ ὅτι τρίβων καὶ τριβώνιον ὑποκοριστικῶς τὸ ἀποβεβληκὸς τὰς κροκίδας ἱμάτιον, ῥάκος δὲ τὸ διεῤῥωγός. 1770, 64.

τρίγε, τρίτον πρόσωπον τοῦ ἔτριγον δευτέρου ἀορίστου. 1071, 34.

Τριγλαθήνη Ἑκάτη ἀνάθημα ἐν Τρίγλη τόπῳ ἐν Ἀθήναις ἀνακείμενον. 1197, 33. ζήτει τὸ τρίγλη.

τρίγλη ἰχθὺς ὅτι οἱονεὶ τρίγνη λέγεται παρὰ τὸ τρίγονος εἶναι, ἤγουν τρὶς τοῦ ἔτους τίκτειν, ἱστορία φυσική. 87, 28. 1934, 26. καὶ ὅτι κοινῶς μὲν τρίγλα, Ἀττικῶς δὲ τρίγλη λέγεται. 1016, 59. καὶ ὅτι ἐν τοῖς Ἀρτεμισίοις τρίγλη παρεφέρετο, καὶ ὅτι Ἑκάτη ἤγουν Ἀρτέμιδι ᾠκείωτο διὰ τὸ θηρευτικὸν εἶναι τῶν θαλασσίων λαγῶν, καὶ Τρίγλη ὁμωνύμως τόπος τις ἐν Ἀθήναις. 87, 28. 1197, 30.

τρίγληνα ἐνώτια τὰ ἀξιοθέατα, ἢ τὰ τριόφθαλμα, παρὰ τὴν γλήνην, ἑρμηνεία διεξοδική. 976, 34.

τριγλώχιν ἡ τοῦ Ποσειδῶνος τρίαινα ἐπιθετικῶς ἀντὶ τοῦ πολυγλώχιν, γλωχὶν δὲ ἡ γωνία. 725, 22. καὶ τριγλώχιν ὀϊστὸς Ἡρακλέους ὁ τῆς φιλοσοφίας τριπλοῦς τρόπος, ὁ φυσικὸς, ὁ ἠθικὸς καὶ ὁ μαθηματικὸς, ἀλληγορία διεξοδική. 563, 14.

τριγχίον ἀντὶ τοῦ θριγχίον κατὰ συμφώνων ἀντιστοιχίαν. 1748, 47.

τρίγωνον σχῆμα λόγου, οἷον τὸ, οὐ νέμεσις καὶ τὰ ἑξῆς δύο ἔπη, Ἰλ. γ', 156. 397, 17.

τρίδουλος ὁ ἐκ προγόνων δοῦλος παρὰ Σοφοκλεῖ. 725, 35.

τρίζειν λέγεται χιὼν πατουμένη, καὶ ὁ θυμούμενος δὲ τρίζειν ὀδόντας λέγεται, καὶ ζυγὸς δὲ καὶ μύες καὶ νυκτερίδες τρίζειν λέ-

γονται. 1326, 24. καὶ ὅτι καὶ ψυχαὶ τρίζειν λέγονται μεταφορικῶς, καὶ ὅτι τὸ τρὶ διὰ τοῦ ἰῶτα γράφεται ἐπὶ ταύτης τῆς σημασίας, τρύζειν δὲ διὰ τοῦ ῡ ψιλοῦ λέγονται αἱ τρυγόνες. 229, 23. 1951, 26. 32.

τρικαδίους ἢ τριακάπους τοὺς ἐφήβους ἐκάλουν Κυρηναῖοι. 1788, 55.

Τρίκαλα, πόλις Σικελίας ἐνὶ κ̄, Τρίκκαλα δὲ καθ' ἡμᾶς ἡ πάλαι Τρίκκη, πόλις Θεσσαλίας. 330, 28.

Τρίκκη, πόλις Θεσσαλίας ἡ καθ' ἡμᾶς Τρίκκαλα, ἱερὸν Ἀσκληπιοῦ ἐπισημότατον πάλαι σχοῦσα. 330, 26.

τρίκλινος, ὁ καὶ ἀνδρόδομος καὶ ἀνδρών. 1573, 29.

τρίλλιστος ὁ πολύευκτος, παρὰ τὸ λίσσεσθαι, καὶ ὅτι ἐν δυσὶ σ̄ γράφεται κατά τινας ἐν τῷ, ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή, Ἰλ. θ', 488. 725, 11.

τρίμμα, συγγενές τι τῷ ἐξ ὀπτῆς λίθου κροτάλῳ, οὗ τριβομένου παιπάλη καταπίπτει. 1327, 24.

Τριόπας, Περραιβῶν τύραννος ὠμότατος, ὃν ἀποκτείνας ὁ υἱὸς Καρνάβας τυραννοκτονίας γέρας ἔλαβεν. 448, 11.

τριόττια καὶ τριοττίδες, κόσμια ἐνώτια τριόφθαλμα, ἃ παρ' Ὁμήρῳ τρίγληνα λέγονται Ἰλ. ξ', 183. 976, 36.

τριπέδων δοῦλος, ὁ καὶ ἐν ἁπλότητι πέδων ἤγουν πεπεδημένος, τριπέδων οὖν ὁ πολλάκις πεδηθείς. 725, 30. 1542, 48.

τρίπλαξ ἄντυξ ἀσπίδος, ἤγουν τρίθετος κατὰ τρεῖς πλάκας. 1154, 29.

τρίποδες, οἱ καὶ λέβητες· ὅτι τὸ ἀρχαῖον δύο γένη τριπόδων ἦσαν, ἓν μὲν τὸ τῶν ἐμπυριβητῶν καλουμένων, οἳ καὶ λοετροχόοι ἐλέγοντο, ἐν οἷς ὕδωρ ἐθερμαίνετο· ἕτερον δὲ τὸ τῶν κρατήρων, ὁποῖοι οἱ παρ' Ὁμήρῳ λεγόμενοι ἄπυροι, ἐν οἷς οἶνον ἐκίρνων· καὶ ὅτι τῶν ἐμπυριβητῶν ἔνιοι ὠτώεντες ἦσαν, τρίποδες καλούμενοι διὰ τὸ τρίποδα τὴν ὑπόβασιν ἔχειν· καὶ ὅτι καὶ ἀντὶ τοῦ τράπεζαι τίθεται τὸ τρίπους ὄνομα, ἑρμηνεία διεξοδική. 740, 7—15. καὶ ὅτι οἱ καθηγιασμένοι τρίποδες κυκλοτερεῖς ἐγίνοντο εἰς ὁμοίωσιν τῆς τοῦ παντὸς σφαιροειδείας, καὶ ἀστέρας εἶχον, οὓς καὶ σελήνας ἐκάλουν. 1816, 30.

τριπόδης ἀντὶ τοῦ τρίπους, ὅτι ἐκ τῆς τρίποδος γενικῆς γέγονε μεταποιήσει τῆς ἐσχάτης. 1684, 32.

τρίπολος γῆ ἐπιθετικῶς ἡ τρὶς τοῦ ἐνιαυτοῦ πολουμένη. 1161, 21. ἀλλαχοῦ δὲ ὅτι τρίπολος νειὸς ἡ τρίτον ἐστραμμένη, ὅτι καίτοι παρὰ τὸ πωλεῖν, ὅ ἐστιν ἀναστρέφειν, λεγόμενον ὅμως διὰ τοῦ ō μικροῦ ἔχει τὴν πō συλλαβὴν τοὔνομα. 1528, 33.

τρίπος ἀντὶ τοῦ τρίπους ἐνδείᾳ τοῦ ῡ. 1264, 26.

τρίπους ὅτι ἀληθείας ἦν σύμβολον, καὶ ὅτι Ἀπόλλωνι καὶ Διονύσῳ ᾠκείωτο τρίπους, τῷ μὲν ὡς μάντει, τῷ δὲ διὰ τὸ κατὰ τὴν μέθην ἀληθευτικὸν, ὅθεν παροιμία, ἐκ τρίποδος λέγειν, ἐπὶ τῶν ἀληθευόντων. 740, 11.

τρίπους ἐν ἴσῳ τῷ τράπεζα. 740, 15. 17. ἀλλαχοῦ δὲ ὅτι τρίπους διαφέρει τραπέζης, καθὸ ἡ μὲν τετρασκελής, ὁ δὲ τρισκελής. 1398, 19.

τρίπους Ἀπόλλωνος ὅτι χαλκοῦς ἦν διὰ τὸ τὸν χαλκὸν παντὶ συνηχεῖν θειοτέρῳ πνεύματι. 1067, 59.

τρίπους ποιητὸς ὁ τετεχνιτευμένος κατ' ἔλλειψιν τοῦ εὖ. 1326, 34.

τρίπρατος δοῦλος ὁ πολλάκις πραθείς. 725, 33.

Τριπτόλεμος ὅτι Πολυμνίας υἱὸς γεγονέναι ἱστορεῖται. 817, 32. καὶ ὅτι πρῶτος κατέδειξε σίτου σπορὰν ἐν Ἐλευσῖνι. 1156, 55.

τρίπτυχοι οἱ τρίδυμοι γεγονότες ἄνθρωποι, ὡς δίπτυχοι οἱ δίδυμοι. 250, 24.

τρίπτυχος περικεφαλαία ἡ τρεῖς πτύχας εἴτουν θέσεις ἔχουσα καὶ ὡς εἰπεῖν τριθέλυμνος. 849, 4.

τρὶς ἀριθμητικὸν ἐν συνθέσει προτασσόμενον, οἷον ἐν τῷ, τρισμακάριος καὶ τρισάθλιος, ὅτι τὸ πολλάκις ὑπαγορεύει. 89, 17. 530, 40. 725, 20. ἀλλαχοῦ δὲ ὅτι τρὶς ἐπίρρημα ἐν συνθέσει παραλαμβανόμενον ποτὲ μὲν ὡρισμένως τριάδα τινὰ ὑπαγορεύει, ποτὲ δὲ ἀντὶ ἀορίστου ἀριθμοῦ λαμβάνεται, καὶ ὅτι οὐκ ἀεὶ φυλάσσει τὸ ληκτικὸν σ̄ ἐν τῇ συνθέσει. 1542, 45. 51.

τρὶς τόσα ἀντὶ τοῦ τριπλᾶ. 89, 16. ἀλλαχοῦ δὲ ὅτι τὸ τρὶς τόσον οὐκ αὐτόχρημα ἀντὶ τοῦ τριπλοῦν, ἀλλ' ἀντὶ τοῦ πολλαπλοῦν τίθεται. 530, 38.

τρισάθλιος ὁ κατὰ πολὺ ἄθλιος, ὡς καὶ τρισμάκαρ ὁ κατὰ πολλὰ μακάριος. 725, 23. ζήτει τὸ τρισμάκαρες.

τρισεξώλης ὁ πάνυ ἐξώλης, ὡς καὶ τρισάθλιος ὁ κατὰ πολὺ ἄθλιος. 725, 29. ζήτει τὸ τρισάθλιος.

τρισκαίδεκα καὶ τρισκαιδέκατος ὅτι ἐκ τοῦ τρὶς ἐπιρρήματος σύγκεινται, καὶ ὅτι ἀναλογώτερον ἂν διὰ διφθόγγου γράφοιντο, ὡς ἀπὸ τοῦ τρεῖς πληθυντικοῦ ὀνόματος, ἀκολούθως τῷ τεσσαρεσκαίδεκα καὶ πεντεκαίδεκα καὶ τοῖς λοιποῖς ἀριθμητικοῖς, ἑρμηνεία διεξοδική. 1603, 13.

τρισκεκορημένος ὁ πολλάκις σεσαρωμένος κατὰ παράληψιν ὡρισμένου ἀριθμοῦ ἀντὶ ἀορίστου. 725, 36. 1542, 47.

τρισμάκαρες ἀντὶ τοῦ πολυμάκαρες κατὰ παράληψιν ὡρισμένου ἀριθμοῦ ἀντὶ ἀορίστου. 1542, 19.

τρισοϊζυρὸς ἀντὶ τοῦ λίαν ὀϊζυρὸς, τοῦ τρὶς ἐπιρρήματος ἀντὶ τοῦ πολλάκις λαμβανομένου. 725, 37. 1542, 48.

τρίτα πρόσωπα πληθυντικὰ ὁριστικῶν χρόνων ἀπὸ τῆς συστοίχου μετοχικῆς γενικῆς σχηματιζόμενα ἀποβολῇ τῆς ἐσχάτης, οἷον φύντος ἔφυν, φάντος ἔφαν, ὃ καὶ χωρὶς τῆς αὐξήσεως γίνεταί ποτε Ἰωνικῶς, οἷον τραφέντος ἔτραφεν καὶ τράφεν. 85, 22. 30. 465, 14.

τρίτα πρόσωπα ἑνικὰ παρατατικῶν ὅτι οὐ φύσει εἰς ν̄ καταλήγουσι, καὶ ἁπλῶς ὅτι τὰ εἰς βραχὺ περαιούμενα τρίτα πρόσωπα ῥηματικὰ ὅταν συναιρεθῶσιν οὐ προσλαμβάνει τὸ ν̄, οἷον ἐποίεεν ἐποίει, ὥστε τὸ ἤσκειν ἀντὶ τοῦ ἤσκεεν παραλόγως ἔχει τὸ ν̄. 1892, 32.

Τριτανταίχμου τοῦ Βαβυλωνίου πλοῦτος καὶ περιουσία ἐν ἵπποις, ἱστορία. 1206, 17.

Τριτογένεια ἡ Ἀθηνᾶ ἀλληγορικῶς διὰ τὸ τρία τινὰ ἐκ τῆς φρονήσεως ἀποτελεῖσθαι, ἑρμηνεία διεξοδική· μυθικῶς δὲ Τριτογένεια ἡ Ἀθηνᾶ διὰ τὸ ἐκ τῆς τριτοῦς, ὅ ἐστι κεφαλῆς, τοῦ Διὸς ἢ ἐν τρίτῃ μηνὸς ἢ παρὰ Τρίτωνα Λιβυκὸν ποταμὸν γεννηθῆναι. 504, 25. 696, 34. 1265, 7. 1473, 10.

τριττύα ἡ ἐκ τριῶν ζῴων, δύο προβάτων καὶ ταύρου, ἢ ταύρου καὶ αἰγὸς καὶ προβάτου, ἢ κάπρου καὶ κριοῦ καὶ τράγου, γινομένη θυσία. 1386, 47. 1676, 37.

τριττὺς τὸ τρίτον μέρος τῆς φυλῆς. 238, 28.

τριτὼ ἡ κεφαλὴ κατὰ γλῶσσαν, ὅθεν Τριτογένεια ἡ Ἀθηνᾶ. 504, 27. 696, 37. ζήτει τὸ Τριτογένεια.

Τρίτων, ποταμός τις Λιβυκὸς, ὅθεν Τριτογένεια ἡ Ἀθηνᾶ· ζήτει τὸ Τριτογένεια. 1265, 8.

τρίχα νυκτὸς ἔην, Ὀδ. μ', 312. ἀντὶ τοῦ τριχῆ ἦν τῆς νυκτὸς, ὅτι ὅμοιόν ἐστι κατὰ τὴν ἔννοιαν τῷ ἐν τῷ κ' τῆς Ἰλ., 252 sq. λεγομένῳ, παρῴχηκε δὲ πλέων νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται. 1723, 32.

τριχάϊκες Δωριεῖς ἐπιθετικῶς Ὀδ. τ', 177. ὅτι διὰ τὸ τριχῆ τῆς οἰκουμένης αὐτοὺς μεμερίσθαι οὕτω λέγονται, ἢ τριχάϊκες οἷς αἱ τρίχες ἀΐσσουσιν ἐν τῷ πολέμῳ, ἢ τριχάϊκες οἱ κοῦφοι ὀρχησταί· καὶ ὅτι τῶν κατὰ Κρήτην Δωριέων ἴδιον τὸ ἐπίθετον διὰ τὸ τριχίνοις λόφοις αὐτοὺς χρῆσθαι ἢ διὰ τὸ ἐν τρισὶ πόλεσιν αὐτοὺς οἰκισθῆναι. 1861, 13.

τριχὰς, εἶδός τι κιχλῶν. 947, 9.

τρίχες ζῴων ἐν πυρὶ βαλλόμεναι εἰς θυσίας ἀπαρχὴν πρὸς ἀνάμνησιν τῆς ἐκ τριχῶν παλαιᾶς ἐνδύσεως. 1765, 37.

τρίχες χοίρων λέγονται, ἔρια δὲ προβάτων. 1657, 9.

τριχία, ἡ καὶ τριχὶς, ἰχθὺς, ὅτι παρὰ τὴν τρίχα λέγεται, καὶ ὅτι κρότοις ἁλίσκεται ἀναπηδῶν ἐκ τῆς θαλάσσης. 1276, 31.

τριχθὰ ὅτι ἐκ τοῦ τρίχα γέγονε πλεονασμῷ τοῦ Θ, καὶ ὅτι ὀξύνεται ὡς τὸ δηθά. 424, 16.

τριχῶν τῶν τῆς κεφαλῆς πλοκῆς εἴδη διάφορα παρὰ τοῖς παλαιοῖς, ἑρμηνεία διεξοδική. 851, 49.

τριψημερεῖν τὸ διατρίβειν, ὃ καὶ χρονοτριβεῖν. 1441, 58.

τριωβολιμαῖος ὁ εὐτελὴς καὶ τριῶν ὀβολῶν ἄξιος. 1405, 28.

τριώβολον ὁ δικαστικὸς μισθὸς καὶ ἁπλῶς οἱ τρεῖς ὀβολοί. 136, 4. 1405, 28. καὶ ὅτι καὶ τὸ ἐκ τριῶν ὀβελῶν ὄργανον τριώβολον ἂν λέγοιτο, ὡς πεμπώβολον τὸ ἐκ πέντε. 135, 39. 136, 4. 1405, 28.

τριῶν καὶ τρισὶ, πλάγιαι πληθυντικαὶ ἀπὸ τῆς τρεῖς εὐθείας πρὸς ὁμοιότητα τῶν πτωτικῶν κλινόμενα. 26, 21.

Τροία ἡ πόλις ἀπὸ Τρωὸς, ὅτι καὶ Τρωΐα τρισυλλάβως λέγεται διὰ τοῦ ω μεγάλου, καὶ περὶ τῆς παραληκτικῆς γραφῆς τῆς λέξεως διαίτησις διεξοδική. 65, 17. καὶ ὅτι Τροία ἐλέγετο πᾶσα ἡ περίχωρος τῆς Ἰλίου. 754, 35. καὶ ὅτι ἡ Τροία ὑπὸ Ἀπόλλωνος καὶ Ποσειδῶνος ἱστορεῖται κτισθῆναι διὰ τὸ ἀναλώμασι τῶν ἱερῶν κειμηλίων τῶν θεῶν τούτων ᾠκοδομῆσθαι ἢ διὰ τὸ πάσῃ οἰκοδομίᾳ χρείαν εἶναι τοῦ ἐκ Ποσειδῶνος ὑγροῦ καὶ τῆς ἐξ Ἀπόλλωνος θερμασίας. 754, 35. 1382, 47. καὶ ὅτι μικρὰ Τροία ἐκλήθη ποτὲ ἡ Ζέλεια. 449, 26.

Τροιζὴν, πόλις ἐπίσημος Πελοποννήσου, Ἀφροσιάς ποτε καὶ Σαρωνία καὶ Ποσειδωνία κληθεῖσα, ἧς ὁ λιμὴν Πώγων ἐκαλεῖτο, ὅθεν παροιμία ἐπὶ τῶν ψιλῶν τὸ γένειον τὸ, πλεύσειας εἰς Τροιζῆνα· καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως διαίτησις διεξοδική. 287, 9.

Τροίη πόλις ἢ Τροΐη κατὰ διάλυσιν ἡ Τροία εἴτουν τὸ Ἴλιον, ἢ Τροίη ἐπιθετικῶς ἀντὶ τοῦ Τρωική, Ἰλ. ά, 129. καὶ ὅτι ὤφειλε τό τε Τροίη ἀντὶ τοῦ Τρωικὴ καὶ τὸ Τροίη τὸ κύριον τῆς πόλεως διὰ τοῦ ω μεγάλου ἔχειν τὴν τρō συλλαβὴν, διαίτησις διεξοδική. 65, 6.

τρόμος ἡ δειλία, ὅτι παρὰ τὸ τρεῖν λέγεται. 678, 3. 1169, 14.

τρομῶ ῥῆμα ὅτι καίπερ ἐκ τοῦ τρέμω καὶ τρόμος γεγονὸς, ὡς ἐκ τοῦ στρέφω καὶ στρόφος τὸ στρωφῶ καὶ ἄλλα τινὰ ἐξ ἄλλων τοιούτων, ὅμως οὐκ ἐμεγέθυνε τὴν ἄρχουσαν ὡς ἐκεῖνα, καὶ τοῦτο διὰ τὸ μὴ τῆς δευτέρας εἶναι συζυγίας κατ' ἐκεῖνα· καὶ ὅτι ἐκ τοῦ τρομῶ κανονίζεται τὸ τρομέοντο παρ' Ὁμήρῳ. 672, 39. 804, 40. 820, 26.

—τρον λήγοντα οὐδέτερα δισύλλαβα ἐκ τῶν διὰ τοῦ ηριον κατὰ συγκοπὴν γενόμενα, οἷον λύτρον ἐκ τοῦ λυτήριον, καὶ θρέπτρον ἐκ τοῦ θρεπτήριον, καὶ βάκτρον ἐκ τοῦ βακτήριον. 501, 17. καὶ ὅτι τῶν διὰ τοῦ τρον τὰ πολλὰ ἐκ πλεονασμοῦ ἔχουσι τὸ ρ, οἷον τὸ σκῆπτον σκῆπτρον, ἄροτον ἄροτρον. 25, 12. 1161, 47.

—τρον λήγοντα οὐδέτερα μονογενῆ ὅτι βαρύνονται, οἷον σκῆπτρον, βλῆτρον, λοῦτρον τὸ ἀπόλουμα, οὐ πρὸς διαφορὰν τὸ λουτρὸν ὀξύνεται. 1037, 39.

τροπαὶ ἠλίου, Ὀδ. ό, 404. ἀντὶ τοῦ τὰ δυτικὰ μέρη, ἢ σπήλαιόν τι ἐν Σύρῳ τῇ νήσῳ, ὅθεν τὰς τοῦ ἡλίου τροπὰς ἐσημειοῦντο οἱ ἐκεῖ ἄνθρωποι. 1787, 20.

τρόπαιον ὅτι κοινῶς μὲν προπαροξύνεται, Ἀττικῶς δὲ προπερισπᾶται. 531, 34. 40. 1809, 45. καὶ ὅτι τρόπαιον ἱστᾶν ἀντὶ τοῦ νικᾶν λέγεται, ἐκ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον· καὶ ὅτι ἀπὸ τοῦ τροπὴ λέγεται, ὡς ἀπὸ τοῦ κεφαλὴ τὸ κεφάλαιον. 818, 20.

τροπαῖος Ζεὺς ὅτι παρὰ τὴν τροπὴν λέγεται. 531, 40. ἀλλαχοῦ δὲ ὅτι τροπαῖος, ᾧ ἀνίσταντο τὰ τρόπαια. 818, 22. καὶ πάλιν ἀλλαχοῦ ὅτι τροπαῖος μὲν Ζεὺς προπερισπωμένως λέγεται, τρόπαιον δὲ τὸ προσηγορικὸν οὐδέτερον προπαροξυτόνως, ὃ καὶ αὐτὸ Ἀττικῶς προπερισπᾶται. 1809, 45.

τροπὴ βραχέων φωνηέντων εἰς μακρὰ πρὸς βραχέων ἐπαλληλίας θεραπείαν, οἷον ἐν τῷ θεοτόκος θεητόκος. 611, 36.

τρόπεον ἀντὶ τοῦ ἔτρεπον, ὅτι ἐκ τοῦ τροπέω τροπῶ κεκίνηται, τὸ τρō μικρόν. 1140, 5. 1188, 36.

τροπέω τροπῶ τὸ τρō μικρὸν,

τρωπάω δὲ τρωπῶ τὸ τρο̄ μέγα. 1165, 36. 1188, 36.

τροπολογία ὅτι δι᾽ ἔνδειαν ὀνοματοθεσίας ἐπενοήθη. 39, 28. καὶ τροπικῶν εἴτουν μεταφορικῶν τινῶν λέξεων καὶ ῥητῶν ἔκθεσις διεξοδική. 308, 23—310, 27. καὶ ὅτι αἱ τραχεῖαι καὶ ἀναιδεῖς τροπολογίαι διὰ παραβολῶν ἐνίοτε θεραπεύονται παρ᾽ Ὁμήρῳ, ἑρμηνεία διεξοδική. 471, 20. καὶ ὅτι ἐν ταῖς τροπολογίαις οὐκ ἐξ ἀνάγκης ἀπαιτεῖται ἰσότης ἢ ὁμοιότης ποσοτήτων ἢ ποιοτήτων. 732, 34. καὶ ὅτι αἱ τροπικαὶ παραβολαὶ ἀντιστρεφόμεναι ἑτέρας ὁμοίας παραβολὰς γεννῶσιν, οἷον τοῦ, νέφος στρατιωτῶν, ἀντιστροφὴ τὸ, στρατὸς νεφελῶν. 179, 9—15.

τρόπος τὸ ἦθος, τροπὸς δὲ ὁ τροπωτήρ. 1517, 63. καὶ ὅτι τρόπος ἐπὶ ἤθους οὐχ᾽ εὕρηται παρ᾽ Ὁμήρῳ. 1381, 41.

τροπὸς, ὁ καὶ τροπωτὴρ, ὅ ἐστιν ἱμὰς ᾧ ἡ κώπη προσδεῖται τῷ σκαλμῷ, ὅτι παρὰ τὸ τρέπεσθαι, ὅ ἐστι στρέφεσθαι, λέγεται, καὶ ὅτι ὀξύνεται τοὔνομα πρὸς διαστολήν. 1517, 55. ἀλλαχοῦ δὲ ὅτι τροποὶ αἱ συνοχαὶ τῶν κωπῶν πρὸς τοὺς σκαλμούς. 1584, 42.

τροπωτῆρες, ἱμάντες οἷς αἱ κῶπαι προσδέονται τοῖς σκαλμοῖς, ὅτι παρὰ τὸ τρέπεσθαι, ὅ ἐστι στρέφεσθαι, λέγεται τοὔνομα. 1517, 55.

τροφαὶ διαφόρων ἐθνῶν, ὅτι καὶ ἐξ ἀκρίδων ἦσαν τινὲς τρεφόμενοι, οἳ καὶ ἀκριδοφάγοι ἐλέγοντο, καὶ ἕτεροι ἐξ ἰχθύων, οἳ διὰ τοῦτο ἰχθυοφάγοι ἐλέγοντο· Σκύθαι δὲ καὶ Μασσαγέται κρέασι μόνοις ἐτρέφοντο, καὶ ἄλλοι ἄλλοις τισί. 1593, 11.

τροφαὶ τέσσαρες παρὰ τοῖς παλαιοῖς, πρώτη τὸ ἀκράτισμα, ὃ καὶ διανηστισμὸς ἐλέγετο, δευτέρα τὸ ἄριστον, τρίτη τὸ ἑσπέρισμα, ὃ ἦν δειλινὸν βρῶμα, τετάρτη τὸ κοινῶς λεγόμενον δεῖπνον. 1791, 4. 40.

τροφαλὶς τυροῦ ὅτι παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι καὶ πυκνοῖσθαι, λέγεται. 620, 15. 1339, 17. 1627, 31.

τροφέον ἢ τροφόεν κῦμα ἐπιθετικῶς, ζήτει τὸ τρόφι.

τροφὴ λέγεται παρὰ τὸ τρέφειν, ὅ ἐστι πηγνύειν καὶ στερεοῦν τὸ σῶμα. 1770, 23.

τρόφι κῦμα, τὸ καὶ τροφέον καὶ τροφόεν, ὅτι παρὰ τὸ τρέφειν, ὅ ἐστι πηγνύειν, λέγεται, ὁ δηλαδὴ ὁ ἄνεμος ἀναστήσας οἱονεὶ ἔπηξεν, ὅθεν καὶ πηγὸν τὸ αὐτό· καὶ ὅτι ἐκ τοῦ τρόφιμον κατ᾽ ἀποκοπὴν λέγεται τὸ τρόφι. 846, 6. 1627, 31.

τρόφις ὁ τρόφιμος κατ᾽ ἀποκοπήν. 846, 11. καὶ ὅτι καὶ τρόφιν ἐπὶ τῆς αἰτιατικῆς τῶν ἑνικῶν, καὶ τρόφιες κατὰ πληθυντικὴν εὐθεῖαν εὕρηται λεγόμενον. 1468, 16.

τροφόεν κῦμα τὸ μέγα καὶ εὐτραφὲς ἢ τὸ εὐπαγές. 1033, 40. ζήτει τὸ, τρόφι κῦμα.

τροφὸς θηλυκῶς ἡ κατὰ τὸν ἀπογαλακτισμὸν ἐκτρέφουσα τὸ βρέφος, τίτθη δὲ ἡ τοὺς τιτθοὺς, ἤγουν μαζοὺς, παρέχουσα. 650, 22.

τροχάζω ὅτι παρὰ τὸ τροχῶ παρῆκται καὶ διὰ τοῦ ο̄ μικροῦ ἔχει τὴν τρο̄ συλλαβήν. 905, 37.

τροχαϊκὰ δισύλλαβα εἰς ο̄ς λήγοντα ἀπὸ φωνήεντος ἀρχόμενα ψιλοῦνται, οἷον εὖχος, ἦδος, ἦμος ἀντὶ τοῦ ἡνίκα. 154, 41.

τροχαϊκαὶ λέξεις δισύλλαβοι ἐκ μονοσυλλάβων κατ᾽ ἐπέκτασιν γένόμεναι τὸν αὐτὸν φυλάττουσι τόνον, οἷον εἰ εἴθε, ναὶ ναίχι. 107, 25.

τροχαϊκαὶ φωναὶ ῥηματικαὶ ὅταν συντεθῶσιν ἐπὶ τῆς αὐτῆς φυλάττουσι τὸν τόνον, οἷον εἶχε κατεῖχεν, εὗρεν ἐφεῦρεν. 149, 45. 1149, 14.

τρόχμαλοι, ὄφεων καταδύσεις. 1259, 33.

τρόχος βαρυτόνως ὁ ἄγγελος καὶ ὁ δρόμος, τροχὸς δὲ ὁ τοῦ ἅρματος. 1517, 60.

τροχὸς τυροῦ καὶ κηροῦ καὶ στέατος, ὅτι ἀκριβέστερον τροχὸν λέγειν τῶν τοιούτων ἢ κύκλον. 1710, 43. 1906, 25. ζήτει ἐν τῷ, κύκλος κηροῦ.

τροχῶ ῥῆμα ὅτι διφορεῖται κατὰ τὴν ἀρχικὴν γραφήν. 905, 36.

τρύγη καὶ τρὺξ, ὅτι ἐκ τοῦ ἀτρύγετος συνθέτου δοκεῖ τρύγη ἢ τρὺξ λέγεσθαι ὁ Δημητριακὸς καρπός. 1003, 59.

τρυγόνος θαλασσίας κέντρον ὅτι εἰς αἰχμὴν δόρατος ἐχρησίμευσέ ποτε, ἱστορία. 1676, 48.

τρυγὼν, ὅτι τοῖς εἴδεσι τῶν περιστερῶν συναριθμεῖται ἡ τρυγὼν, καὶ ὅτι πάντων τῶν εἰδῶν ἐστὶν ἐλάττων, καὶ ὅτι τὸ χρῶμα τεφρῶδες ἔχει. 1712, 43. καὶ ὅτι παρὰ τὸ τρύζειν λέγεται, ὃ δηλοῖ ποτὲ τὸ ἀδολεσχεῖν, ὅθεν καὶ λαλίστερος παροιμιακῶς πᾶς ἀδολέσχης λέγεται. 229, 19. 750, 13.

τρύεσθαι τὸ καταπονεῖσθαι, ὅθεν τρυτάνη. 196, 41.

τρύζειν λέγονται αἱ τρυγόνες διὰ τοῦ ῡ ψιλοῦ, τρίζειν δὲ νυκτερίδες διὰ τοῦ ἰῶτα. 229, 24. 1951, 33. καὶ ὅτι τὸ τρύζειν καὶ ἀντὶ τοῦ ἀδολεσχεῖν εἴτουν πολυλογεῖν τίθεται. 751, 10.

τρυμαλιὰ ἡ ὀπὴ τῆς βελόνης, καὶ ἁπλῶς πᾶσα τρύπα, ὅτι παρὰ τὸ τρύω λέγεται. 1069, 19. 1532, 3. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ τρύμη ἡ τρυμαλιὰ λέγεται, τὸ δὲ τρύμη ἐκ τοῦ τρύω. 1517, 12.

τρύμη παρ᾽ Ἀριστοφάνει (Nub. 448.) ὁ πανοῦργος ἄνθρωπος. 1471, 8. 1517, 7.

τρύπα καὶ τρυπῶ ὅτι παρὰ τὸ τρύω λέγονται. 1069, 22.

τρύπανον αἰπολικὸν σκώπτεταί τις παρὰ Καλλιμάχῳ ὡς κίναιδος. 1471, 8.

τρυπάνου χρῆσις, ὅτι ἐν τῷ τρυπᾶν τὰ ναυπηγικὰ ξύλα εἷς μὲν ἄνωθεν ἐπέκειτο βαρύνων τὸ τρύπανον, ἄλλοι δὲ ἱμάντι ἔστρεφον αὐτό. 1635, 54.

τρυπῶ ῥῆμα ὅτι ἐκ τοῦ τρῶ μονοσυλλάβου γέγονε. 1104, 9.

τρυπῷ, τρίτον πρόσωπον εὐκτικὸν ἀπὸ τοῦ τρυπῷμι πρώτου, διὸ καὶ προσγεγραμμένον ἔχει τὸ ῑ. 1635, 62.

τρυσίβιος ὁ περὶ τὸν βίον τρύων, ὅ ἐστι κακοπαθῶν. 1828, 12.

τρύσιππον ἢ τρυσίππειον, ἔγκαυμα ὃ τοῖς τετρυμένοις καὶ ἀχρήστοις ἵπποις ἐπιβάλλεται ἐπὶ τῆς γνάθου ὅμοιον τροχῷ. 1517, 8.

τρυτάνη ζυγοῦ ὅτι παρὰ τὸ τρύω λέγεται, οἱονεὶ τειρομένη τῷ βά-

ρει τῶν ὄγκων. 196, 40. 740, 27. 1517, 7.

τρυφάλεια ὅτι περικεφαλαίας ἐστὶν ἐπίθετον, καὶ ὅτι παρὰ τὸ τρεῖς φάλους ἔχειν οὕτω λέγεται τροπῇ τοῦ ι εἰς υ, καὶ ὅτι καὶ ἀντὶ τοῦ προσηγορικοῦ, ᾧ ἐπιτίθεται, ἀκούεταί ποτε ἡ λέξις. 425, 31. 536, 45 — 537, 7.

τρυφεὶς τρυφέντος, μετοχὴ δευτέρου ἀορίστου παθητικοῦ ἀπὸ τοῦ θρύπτω θέματος. 424, 20.

τρυφὴ ὅτι παρὰ τὸ θρύπτω λέγεται. 424, 21.

Τρυφιόδωρος ἐξελὼν τῆς Ὁμήρου ποιήσεως τὸ σίγμα διὰ τὸ ἀπαρέσκεσθαι τῷ ἤχῳ τοῦ συμφώνου. 137, 53. καὶ ὅτι Τροίας ἅλωσιν συνέγραψεν ὁ Τρυφιόδωρος. 1607, 60.

τρύφος ὅτι παρὰ τὸ θρύπτω λέγεται. 424, 21. καὶ ὅτι τρύφος ἄρτον λέγεται κυρίως, ἐνδέχεται δὲ καὶ περὶ ἄλλων τινῶν λέγεσθαι. 1507, 20.

τρύχω ὅτι παρὰ τὸ τρῶ μονοσύλλαβον ῥῆμα παρῆκται. 1104, 9. 1532, 3. ἀλλαχοῦ δὲ ὅτι τὸ τρύχω ἐκ τοῦ τρύω λέγεται, τὸ δὲ τρύω ἐκ τοῦ τρῶ συγκοπέντος ἐκ τοῦ τορῶ λέγεται. 1825, 18.

τρύω ὅτι ἐκ τοῦ τρῶ μονοσυλλάβου παρῆκται, τὸ δὲ τρῶ ἐκ τοῦ τορῶ, ὃ δηλοῖ τὸ τρυπῶ, συγκέκοπται. 1104, 9.

τρῶ τὸ τρέπω, ὅτι ὠνοματοπεποίηται. 1304, 46. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ τείρω ἢ τοῦ τορῶ κατὰ συγκοπὴν λέγεται. 553, 3. 778, 48. 1532, 8.

Τρωάδες γυναῖκες ὅτι καὶ Τρωαὶ λέγονται. 1260, 54.

Τρωαὶ γυναῖκες αἱ Τρωικαί, ὅτι ἀπὸ τοῦ Τρωὸς ἀρσενικοῦ ἐπιθέτου παρεσχημάτισται. 541, 22.

τρωγάλια τὰ τραγήματα γενικῶς, οἱ δὲ ὅτι εἶδός τι τραγημάτων τὰ τρωγάλια. 1401, 49.

τρώγειν ὅτι περὶ ἀλόγων κυρίως λέγεται, ἐσθίειν δὲ περὶ λογικῶν. 1553, 32.

τρώγω ὅτι ἀπὸ τοῦ τρῶ μονοσυλλάβου παρῆκται, ὃ ἐκ τοῦ τείρω ἢ τορῶ συγκέκοπται. 1102, 8. 1532, 9.

τρώειν τὸ βλάπτειν Ἰωνικῶς. 1304, 45. καὶ τρώειν ἀντὶ τοῦ βλάπτειν, ἀπὸ τοῦ τρώω, ὃ ἐκ τοῦ τρῶ παρήχθη, τοῦτο δ' ἐκ τοῦ τείρω συνεκόπη. 1910, 35. 41.

Τρῶες οἱ τῆς Τροίας οἰκήτορες ἀπὸ Τρωός, καὶ ὅτι Τρῶας ὀνομάζει Ὅμηρος καὶ τοὺς ὑπὸ Πανδάρῳ Λυκίους ἑτερωνύμως. 353, 26. καὶ ὅτι οἱ τὸν Τρωικὸν πόλεμον ἀναδεξάμενοι ἰθαγενεῖς Τρῶες πεντακισμύριοι λογίζονται γενέσθαι. 190, 39.

Τρωία διὰ τοῦ ῶ μεγάλου τρισυλλάβως ἡ Τροία παρὰ Πινδάρῳ. 65, 22.

Τρωικὸν πεδίον τὸ μεταξὺ Σιμόεντος καὶ Σκαμάνδρου. 621, 52.

Τρώιοι ἵπποι, Ἰλ. ε', 222. οὐχ' οἱ Τρωικοί, ἀλλ' οἱ τοῦ Τρωὸς ἴδια. 541, 19. 23.

τρώκτης ὁ φάγος καὶ φιλοκερδὴς καὶ φυλάργυρος, καὶ ἐκ παντὸς ἐθέλων τρώγειν, ὅ ἐστι κερδαίνειν, ἢ ὁ ἀπατεὼν καὶ παραλογιστής· καὶ τρώκτης εἶδος ἰχθύος ὁμωνύμως. 1757, 61. 1786, 32.

τρῶμα Ἰωνικῶς ἡ τροπή, ὅτι παρὰ τὸ τρῶ λέγεται, ὡς ἀπὸ τοῦ βρῶ τὸ βρῶμα. 893, 5. ἀλλαχοῦ δὲ ὅτι τρῶμα ἡ ἐν πολέμῳ βλάβη, παρὰ τὸ τρῶ, ὅθεν τὸ τιτρώσκω. 1910, 37.

τρώμη παρὰ τὸ τρῶμα, ὡς παρὰ τὸ βρῶμα ἡ βρώμη. 108, 38. ἀλλαχοῦ δὲ ὅτι τρώμη ἡ τρῶσις Ἰωνικῶς, καὶ ὅτι ἐκ τοῦ τέτρωμαι λέγεται, ὡς ἐκ τοῦ τέτρωσαι ἡ τρῶσις. 102, 32. 991, 60. 1653, 52.

— **τρων** περισπώμενον λήγουσαι γενικαὶ πληθυντικαί, οἷον πατρῶν καὶ θυγατρῶν ἀντὶ τοῦ πατέρων καὶ θυγατέρων, μητρῶν δὲ ἀντὶ τοῦ μητέρων ἄδηλον εἰ λέγεται. 1594, 5.

— **τρωξ** λήγοντα ὀνόματα ἐκ τοῦ τρώγω συγκείμενα, οἷον κναμοτρώξ. 1922, 8.

Τρωὸς ὁ Τρωικός, ὅτι Τρῷος βαρυτόνως ὤφειλε λέγεσθαι ὡς ἐκ συναιρέσεως τοῦ Τρώιος. 541, 22.

τρωπᾶν τὸ τρῶ μέγα ἐν τῷ, θαμὰ τρωπῶσα, ὅτι δευτέρας ἐστὶ συζυγίας· παλιντροπιάασθαι δὲ τῆς δευτέρας καὶ αὐτὸ ὂν ὅμως διὰ τὴν σύνθεσιν διὰ τοῦ ὁ μικροῦ γράφεται, ὡς καὶ τὸ περιτροπέειν. 1639, 40.

τρωπᾶσθαι τὸ στρέφεσθαι καὶ τὸ κατὰ πόλεμον φεύγειν, τὸ τρῶ μέγα. 719, 58. 1875, 46.

τρωπάω τρωπῶ κατὰ τὴν δευτέραν τὸ τρῶ μέγα, τροπέω δὲ τροπῶ τὸ τρὸ μικρόν. 137, 25. 223, 31. 1140, 6. 1188, 36.

Τρὼς Τρωός, καὶ πάντα τὰ ἀπ' αὐτοῦ κινούμενα ὅτι τὸ ῶ μέγα ἔχουσιν ἐν τῇ τρῶ συλλαβῇ. 65, 15.

τρῶσαι Ἰωνικῶς τὸ βλάψαι, ὅτι παρὰ τὸ τρῶ δοκεῖ λέγεσθαι, ὃ ἐκ τοῦ τείρω ἢ τορῶ συγκέκοπται. 1532, 10. 1803, 2.

τρώσεσθαι, ἤγουν βλαβήσεσθαι, ἐκ τοῦ τρώω θέματος. 893, 5.

τρωχῶ ὅτι ἀπὸ τοῦ τρέχω καὶ τρόχος λέγεται, καὶ ὅτι τὸ τρῶ διὰ τοῦ ῶ μεγάλου γράφεται. 135, 25. 1264, 26.

τρώχων ἀντὶ τοῦ ἔτρεχον, ἀπὸ τοῦ τρωχῶ θέματος. 1564, 43.

— **ττω** λήγοντα ῥήματα ὅτι καὶ διὰ τοῦ πτ λέγονται, οἷον πέττω καὶ πέπτω. 54, 11.

Τυδεὺς υἱὸς Οἰνέως καὶ Περιβοίας, ὅτι Ἀλκάθουν καὶ Λυκώπεα τοὺς ἑαυτοῦ ἀνεψιοὺς καὶ τὸν πατράδελφον Μέλανα ἀποκτείνας ἔφυγεν εἰς Ἄργος, καὶ καθαρθεὶς ὑπ' Ἀδράστου Δηιπύλην ἔγημε τὴν ἐκείνου θυγατέρα. 288, 24. 971, 7. καὶ ὅτι Πολυνείκει συνεμάχησε κατὰ Ἐτεοκλέους. 484, 24. καὶ ὅτι τὸν ἐγκέφαλον Ἐχετοῦ τινος ἐρόφησέ ποτε. 1273, 2. καὶ ὅτι παρὰ τὸ τυτθόν, ὃ δηλοῖ τὸ μικρόν, λέγεται τοὔνομα. 117, 15. 273, 3. 610, 34.

τυκάνη, ὄργανον ᾧ τοὺς στάχυας ἀλοῶσι. 967, 18.

τυκίζω τὸ κτίζω, παρὰ τὸν ἔτυκον Ἰωνικὸν δεύτερον ἀόριστον τοῦ τεύχω θέματος, ὅθεν καὶ τυκίον οἰκοδομικόν τι ἐργαλεῖον λέγεται. 136, 23. ἀλλαχοῦ δὲ ὅτι τυκίζω παρὰ τὸ τυκίον, ὅ ἐστιν ἐργαλεῖον οἰκοδομικόν, λέγεται. 967, 20.

τυκίον καὶ τύκος, οἰκοδομικόν τι

ἐργαλεῖον, ζήτει ἐν τῷ τυκίζω. 136, 23. 967, 18.

τυκτὴ καρήνη ἀντὶ τοῦ χειροποίητος, Ὀδ. ρ', 206. 1815, 44.

τυκτὸν δάπεδον τὸ εὔτυκτον, ἢ τὸ μὴ φύσει τοιοῦτον, ἀλλὰ κατασκευαστόν. 644, 21. 1512, 20.

τυκτὸν κακὸν τὸ τευχόμενον καὶ μὴ φύσει ἐγγινόμενον. 612, 7. καὶ ἁπλῶς τυκτὸν τὸ τετεχνιτευμένον, οἱονεὶ τευκτὸν ἀπὸ τοῦ τεύχω. 894, 52.

τυλάς, ἡ καὶ ἰλλάς, εἶδός τι κιχλῶν. 947, 10.

τύλη, ὅτι οὕτω λέγονται τὰ ἐπὶ τοῦ αὐχένος γεννώμενα φύματα. 1390, 54.

Τυλησσός, ὄρος τι ἐν Ἰταλίᾳ, Τύλις δὲ Τύλεως, πόλις Θρᾴκης. 295, 43.

Τύλις Τύλεως, πόλις Θρᾴκης, Τυλησσὸς δὲ ὄρος τι ἐν Ἰταλίᾳ. 295, 43.

τυμβεῦσαι τάφῳ, ὅτι πρὸς διαστολὴν ἑτεροίας τυμβεύσεως πρόσκειται τὸ τάφῳ. 688, 3.

τύμβος ἐν ἴσῳ τῷ κενοτάφιον ἐν τῷ, χεῦ' Ἀγαμέμνονι τύμβον, Ὀδ. δ', 584. 1510, 19.

τυμβοχοεῖν ταὐτὸ ὅπερ σῆμα χεύειν, ὅ ἐστι τάφον ἀναχωματίσαι. 666, 55.

τυμβοχοὴ ἢ τυμβοχόη, ὁ τοῦ τύμβου ἀναχωματισμός. 1238, 15.

τύμπανον, ὅτι παρὰ τὸ τύπτειν οἱονεὶ τύπανον λέγεται. 1328, 58.

Τυνδάρεως, ὁ καὶ Τυνδάρης, υἱὸς Οἰβάλου τοῦ Περιήρους, ὅτι ὑφ' Ἱπποθόωντος τοῦ ἀδελφοῦ ἔκπεσε τοῦ μέρους τῆς Λακεδαιμονίων ἀρχῆς. 293, 12. 17.

Τυνδάρεως ὅτι ἐκπεσὼν τῆς οἰκείας ἔγημε Λήδαν τὴν Θεστίου θυγατέρα, ἱστορία. 1417, 24.

Τυνδάρεως ἡ γενικὴ τοῦ Τυνδάρεω κατὰ τὴν τρίτην παρὰ τοῖς Ἀττικοῖς, παρ' Ὁμήρῳ δὲ κατὰ τὴν τετάρτην, οἷον ἐν τῷ, καὶ Λήδην εἶδον τὴν Τυνδαρέου παράκοιτιν, ἥ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε, Ὀδ. λ', 298. sq. 1686, 23. 1956, 59.

Τυνδαρίδαι, ὅτι ἔδει τῇ ει διφθόγγῳ παραλήγεσθαι τὴν λέξιν ὡς ἀπὸ τοῦ Τυνδάρεως, κρατεῖ δὲ ἡ διὰ τοῦ ῐ γραφή. 1686, 61.

τύνη ἀντὶ τοῦ σὺ ἐκ τοῦ τὺ Δωρικοῦ πλεονασμοῦ τῆς νῆ συλλαβῆς, ὡς καὶ ἐν τῷ ἐγώνη. 573, 19. 641, 51. 1359, 32.

τυννοῦτον ἀντὶ τοῦ μικρὸν παρὰ τοῖς Ἀττικοῖς. 116, 36.

τυπτῶ τυπτήσω, ὅτι ἐκ τοῦ τυπῶ δευτέρου μέλλοντος παρῆκται. 450, 29.

τύπωμα χαλκόπλευρον τὸ χαλκοῦν κιβώτιον. 1169, 32.

τυραννὶς ἡ παράνομος βασιλεία. 202, 22.

τύραννος, ὅτι οὐκ οἶδεν Ὅμηρος τὴν λέξιν, καὶ ὅτι πάλαι μὲν πᾶς βασιλεὺς ἐλέγετο, ὕστερον δὲ τοῖς μὴ κατὰ νόμον ἄρχουσιν ἀπεκληρώθη τοὔνομα. 1839, 9.

τυρβάζειν τὸ ἀνακυκᾶν πράγματα πολιτικὰ καὶ ὑπὲρ τοιούτων μεριμνᾶν, ὅτι παρὰ τὴν τύρβην λέγεται. 620, 11. 1626, 29.

τύρβη ὅτι παρὰ τὸν τυρὸν λέγεται, ὅθεν καὶ τὸ τυρεύειν ἀντὶ τοῦ κακομηχάνως πολιτικὰ πράγματα κυκᾶν, καὶ ὅτι καὶ σύρβη διὰ τοῦ σ̄ λέγεται. 620, 9. 13. 871, 61. 1626, 30.

τυρεύειν τὸ κακομηχάνως ἀνακυκᾶν καὶ στρέφειν πράγματα πολιτικά, ὅτι παρὰ τὸν τυρὸν λέγεται. 620, 9. 13. 871, 61. 1626, 29. ζήτει τὸ τύρβη.

τυρόκνηστις, σκεῦος μαγειρικόν. 871, 60. 872, 11.

Τύρος, ὄνομα πόλεως, βαρυτόνως πρὸς διαστολὴν τοῦ τυρὸς προσηγορικοῦ. 907, 10.

τυρὸς ὅτι γάλα ἐστὶ ξηρόν. 620, 4. καὶ ὅτι ἐκ τοῦ τηρῶ λέγεται τροπῇ τοῦ η̄ εἰς ῡ. 620, 18. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ τέρσειν, ὅ ἐστι ξηραίνειν ἐνδέχεται ἐτυμολογεῖσθαι. 1626, 27. 31. καὶ ὅτι ἐκτείνει τὴν ἄρχουσαν τοὔνομα. 1656, 64.

Τυρταῖος ποιητὴς ἐρεθιστικὸς εἰς μάχην τοῖς ἑαυτοῦ ἔπεσι. 386, 3.

Τυρώ, Σαλμωνέως θυγάτηρ, ὅτι μετὰ τὸν τοῦ πατρὸς θάνατον παρὰ Δηιονεῖ τῷ πατραδέλφῳ τρεφομένη ὑπὸ Ποσειδῶνος διεκορεύθη, εἶτα Κρηθεῖ πατραδέλφῳ καὶ αὐτῷ ὄντι ἐξεδόθη πρὸς γάμον. 1685, 5. καὶ ὅτι ἐκ μὲν Ποσειδῶνος ἔσχε Πελίαν καὶ Νηλέα, ἐκ δὲ τοῦ ἀνδρὸς Κρηθέως Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. 1680, 61.

τυροῦντες ἢ τυρῶντες, εἶδος ἄρτων οἷς τυρὸς ἐγκατεμέμικτο. 975, 50.

τυτθὸν τὸ μικρόν, ἐκ μεταφορᾶς τῶν ὑποτιτθίων βρεφῶν τροπῇ τοῦ ῐ εἰς ῠ. 117, 13. καὶ τυτθὸν βρέφος τὸ ἐπιτίτθιον. 610, 24. καὶ ὅτι τὸ τυτθὸς ἀρσενικὸν ἐπίθετον κατὰ θηλυκοῦ προσηγορικοῦ λέγεται, οἷον ἐν τῷ, κοτύλην τις τυτθὸν ἐπέσχεν, Ἰλ. χ', 494. 1282, 43.

τυφεδανὸς γέρων ὅτι παρὰ τὸν τῦφον λέγεται τὸν ἐκ τοῦ πολλὰ εἰδέναι, ἢ παρὰ τὸ τύφειν, ὅ ἐστι καίειν. 1431, 40. ζήτει τὸ τυφογέρων.

τυφλὸς ὅτι ἐκ τοῦ τύπους ἴλλων ἔχειν λέγεται τροπῇ τοῦ π̄ εἰς φ̄. 561, 15. καὶ ὅτι τυφλὸς ἀντὶ τοῦ τυφλοποιὸς ὁ ἔρως εἶναι λέγεται. 1672, 31. καὶ ὅτι τυφλὸς ἔπαινος γυναικὸς λέγεται, καθ' ὃν μηδὲν περὶ τῶν ὀφθαλμῶν αὐτῆς λέγεται. 1558, 17. καὶ ὅτι, τυφλῷ οὐ μέτεστι κατόπτρου, παροιμιακῶς λέγεται. 1587, 46.

τυφλοστόματα Νείλου, ὅτι ἐκ τῆς λέξεως ταύτης ἐμφαίνεται, ὡς ἐνδέχεται καὶ στόματα καὶ ὀφθαλμοὺς λέγεσθαι τὰς τῶν ποταμῶν ἐκβολάς. 160, 17. 308, 42.

τυφλοῦν τινά, καὶ τυφλοῦν τινὰ ὀφθαλμοῦ. 1675, 4.

τυφογέρων ὅτι παρὰ τὸν τῦφον τὸν ἐκ τοῦ πολλὰ εἰδέναι λέγεται, ἢ παρὰ τὸ τύφειν, ὅ ἐστι καίειν, ὃ παρηκολούθει τοῖς νεκροῖς, οἷς οἱ γέροντες προσεγγίζουσι. 1431, 39.

τύφω τὸ καίω. 345, 39.

Τυφῶν, δαίμων τις Γηγενὴς ἑκατογκέφαλος πλαττόμενος, ὃς ἀντίπαλος τῷ Διὶ Ἥρας βουλῇ ὑπὸ τῆς Γῆς ἀναδοθεὶς καὶ κατακεραυνωθεὶς ὑπὸ τοῦ Διὸς τῇ Σι-

κελικῇ Αἴτνῃ ὑποκαταβληθῆναι μυθεύεται, ὅθεν ἀναδίδοσθαι τὰ ἐκεῖ πυρὰ, καὶ περὶ τοῦ κατ᾽ αὐτὸν μυθολογήματος ἑρμηνεία διεξοδική· καὶ ὅτι εἰς θερμὸν ὑπόγειον πνεῦμα ἀλληγορεῖται ὁ Τυφῶν, ὅθεν καὶ παρὰ τὸ τύφειν ἐτυμολογεῖται. 157, 41. 345, 28. καὶ ἄλλα τινὰ περὶ τοῦ Τυφῶνος, ὧν τὰ κατὰ μέρος εἰσὶ ταῦτα, ὅτι ἀρχικόν τινα καὶ πολυΐστορα ἄνθρωπον ὑπαγορεύει γεγονέναι τὸν Τυφῶνα τὸ περὶ τῶν ἑκατὸν κεφαλῶν μυθολόγημα. 123, 41. καὶ ὅτι ὁ Ἡρόδοτος ὡς βασιλέως μέμνηται τοῦ Τυφῶνος. 364, 20. καὶ ὅτι οἱ μέν τινες ἐν τῇ κατακεκαυμένῃ τῆς Μυσίας χώρᾳ πλάττουσι γεγονέναι τὰ κατὰ τὸν Τυφωέα, οἱ δὲ ἐν Κιλικίᾳ, καὶ ἄλλοι ἀλλαχοῦ, ὧν τινες καὶ δράκοντα γεγονέναι τὸν Τυφωέα μυθεύουσιν, εἶτα εἰς ποταμὸν μεταβληθῆναι, ἑρμηνεία διεξοδική. 346, 24. 38 — 46. καὶ ὅτι ὁ Τυφῶν καὶ Τυφῶς διὰ τοῦ σ μετὰ περισπωμένου τόνου λέγεται, καὶ Τυφάων δὲ καὶ Τυφωεὺς, καὶ ὅτι ἐκ τοῦ Τυφάων κέκραται τὸ Τυφῶν. 346, 3 — 7. 1650, 49. καὶ ὅτι τὸ Τυφῶν διὰ τὸ καὶ Τυφῶς ἐν δικαταληξίᾳ λέγεσθαι μόνον τῶν εἰς ων περισπωμένως ληγόντων οὐκ ἐκλίθη διὰ τοῦ ντ. 346, 16. καὶ ὅτι τὸ Τυφῶς διὰ τοῦ σ λεγόμενον ἀεὶ διὰ τοῦ ω μεγάλου γράφεται. 1271, 8.

τυχάδιον ὅτι ἐκ τοῦ τύχαιον ὑποκεκόρισται, ὡς ἐκ τοῦ ἔλαιον τὸ ἐλάδιον. 1552, 31.

τυχεῖν ὅτι ἀντίστροφόν ἐστι τῷ βαλεῖν, οἷον ἐν τῷ, εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ δουρὶ, Ἰλ. π', 623. 1078, 45.

τυχεῖν τὸ κατὰ τύχην εὑρεῖν, οἷον ἐν τῷ, τύχε γὰρ ψαμάθοιο βαθείης, Ἰλ. ε', 587. 584, 35. καὶ ὅτι τυγχάνειν λέγεταί τι ἀντὶ τοῦ κατὰ τύχην γίνεσθαι καὶ εὐτυχῶς ἀποβαίνειν, οἷον ἐν τῷ, καί μοι μάλ᾽ ἐτίγχανε πάντα, Ὀδ. ξ', 231. 1760, 62.

τυχέω τυχῶ, ζήτει τὸ, τυχῶ τυχήσω.

τύχη, μέση λέξις, ὅτι διὰ προσθήκης τοῦ ἀγαθὴ ἢ κακὴ διακρίνεται. 651, 27. ἐν δὲ συνθέσει διὰ τοῦ εὐ ἢ δυς μορίου. 200, 11. καὶ ὅτι τὸ τῆς Τύχης ὄνομα οὐκ οἶδεν Ὅμηρος. 878, 7. 1494, 23. καὶ ὅτι κλῖμαξ ἦν τύχης σύμβολον Πιττακῷ τῷ φιλοσόφῳ, ζήτει τὸ Πιττακός.

τυχήσας ἀντὶ τοῦ τυχὼν ἢ κατὰ τύχην συναντήσας ἐν τῷ, Λακεδαίμονι δῶκε τυχήσας, Ὀδ. φ', 13. 1899, 48. καὶ ὅτι ἀπὸ τοῦ τυχῶ δευτέρου μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα κεκίνηται. 450, 28.

Τυχίος σκυτοτόμος Ὅμηρον τὸν ποιητὴν ὑποδεξάμενος, ἱστορία· καὶ ὅτι παροξύνεται τοὔνομα ὡς τρίβραχυ. 678, 14. 39.

τύχος, λιθοξοϊκὸν σιδήριον, ὅθεν ἀποτυχίσαι τὸ πελεκίσαι. 967, 21.

τυχῶ τυχήσω, δεύτερος μέλλων εἰς ἐνεστῶτα περισπωμένως κλινόμενον ἀνηγμένος. 450, 28. 682, 36.

τύχωμι ἀντὶ τοῦ τύχοιμι ἐκτάσει τῆς παραληγούσης. 1279, 48.

τύψαι, τρῶσαι, πλῆξαι, οὐτάσαι, ὅτι διαφέρουσι τοῦ βαλεῖν. 1820, 2.

τω λήγοντα ῥήματα δι᾽ ἑνὸς τ γραφόμενα ὅτι παραλόγως βαρύνονται, οἷον ἄντω, λίτω, πέτω· τὰ γὰρ πλεῖστα τῶν εἰς τω περισπῶνται, οἷον αἰτῶ, κρατῶ, πατῶ, φοιτῶ· καὶ ὅτι τὸ ἀνύτω καὶ ἀρύτω ἐκ τοῦ ἀνύω καὶ ἀρύω γεγόνασι προσθέσει τοῦ τ. 764, 24. 30. 33.

τω ληγόντων προστακτικῶν τρίτου προσώπου παρατατικὰ φωνήεντα, ὅτι τῶν εἰς ων ὀξυτόνων μετοχῶν τὸ τρίτον τῶν προστακτικῶν διὰ τοῦ ετω καταπεραιοῖ, οἷον ἐλθὼν ἐλθέτω, σχὼν σχέτω, εἰπὼν εἰπέτω, τῶν δὲ εἰς σ ληγουσῶν διὰ τοῦ ητω, οἷον σφαγεὶς σφαγήτω, καὶ τοῦ θεὶς οὖν θήτω, καὶ τοῦ εἷς ἥτω, οὐ μὴν θέτω καὶ ἕτω. 1755, 63 — 1756, 5.

τῷ, ἄρθρον δοτικῆς προσκείμενον κατ᾽ ἀρχὰς χρονικῶν τινῶν ἐπιῤῥημάτων, οἷον τῷ τότε, τῷ τέως, τῷ μεταξύ. 759, 59.

τῷ κέ τοι, ἤγουν οὕτως ἄν σοι. 1819, 4.

τῷ κεν, ἀντὶ τοῦ οὕτως ἄν. 1171, 8. 1236, 24. 1277, 25.

τῷ μεταξὺ, ἀντὶ τοῦ ἐν τῷ μεταξὺ χρόνῳ, Ἀττικῶς. 759, 60.

τῷ ῥα, ἤγουν διὸ δή. 1011, 27.

τῷ τέως, ἀντὶ τοῦ ἐν τῷ τέως χρόνῳ, Ἀττικῶς. 759, 59.

τῷ τότε, ἀντὶ τοῦ ἐν τῷ τότε καιρῷ, Ἀττικῶς. 759, 59.

τὼ θεὼ, ἀντὶ τοῦ τὰς θεὰς Ἀττικῶς περὶ Δήμητρος καὶ Κόρης λεγόμενον. 723, 20.

τῶ τὸ λαμβάνω, ὅτι τάω τῶ κλίνεται κατὰ τὴν δευτέραν τῶν περισπωμένων. 244, 1. 980, 4. 7.

τῳκίδιον, ἤγουν τὸ οἰκίδιον. 482, 21.

τωλος λήγοντα ἀρσενικὰ ὀξύνονται, οἷον Αἰτωλὸς, ἁμαρτωλός. 311, 17.

τὦμισυ ἀντὶ τοῦ τὸ ἥμισυ κατὰ κρᾶσιν. 243, 37.

τῶν προτέρων ἐτέων, ἀντὶ τοῦ ἐπὶ τῶν προτέρων ἐτῶν, κατ᾽ ἔλλειψιν τῆς ἐπὶ προθέσεως. 879, 25.

τῶς ὀξυτόνως ἀντὶ τοῦ οὕτως, ὅθεν τὸ ὡς ἀποβολῇ τοῦ τ. 429, 31.

Ἀρχὴ τοῦ Υ στοιχείου.

υ τὸ στοιχεῖον ὅτι ὖμ λέγεται Αἰολικῶς μετὰ ψιλοῦ πνεύματος. 1192, 20. καὶ ὅτι τὸ ο εἰς υ τρέπεται Αἰολικῶς. 27, 37.

ὑαγὼν ἀντὶ τοῦ σιαγὼν ἀπελεύσει τοῦ ἀρκτικοῦ συμφώνου. 842, 52.

ὑάδες, ἄστρα τινὰ ἐπὶ τῶν τοῦ Ταύρου κεράτων διὰ τὸ ἐμφερὲς τῷ υ στοιχείῳ εἶναι τὸ σχῆμα τῶν τοῦ Ταύρου κεράτων, ἢ παρὰ τὸ ὑετοὺς ἐπισημαίνεσθαι δι᾽ αὐτῶν· καὶ ὅτι Δωδωνίδας Νύμφας Διονύσου τροφοὺς γεγονέναι αὐτὰς μυθεύουσί τινες, ὅθεν καὶ τὸν Διόνυσον Ὕην κληθῆναι φασὶν, ἑρμηνεία διεξοδική. 1155, 58. ζήτει τὸ, Ὕας υἱὸς Ἄτλαντος.

ὕαινα, θηλυκὸν τοῦ ὗς ὑὸς, ὅτι κατὰ τύπον καὶ οὐκ ἐκ παραγωγῆς ἔχει τὴν παραλήγουσαν δίφθογγον. 1129, 23.

ὑάκινθος ἄνθος ἐκ τοῦ ῥυέντος ἐκ τῆς τοῦ Αἴαντος πληγῆς αἵματος μυθεύεται ἐκφῦναι. 285, 34.

τοῦ κορυζῶ, καὶ τὸ φύζα τοῦ φυζῶ. 1746, 18. καὶ ὅτι τῶν διὰ τοῦ υζω τινὰ ἀπὸ τῶν διὰ τοῦ νω παράγονται, οἷον κνύω κνύζω, τρύω τρύζω, ἑρπύω ἑρπύζω. 1746, 5. τινὰ δὲ ἐκ περισπωμένων, οἷον κλῶ κλύζω, ἀτῶ ἀτύζω. 1007, 19. ἃ καὶ τῆς τρίτης εἰσὶ συζυγίας, εἰ καὶ τὸ κνυζηθμὸς ὄνομα οὐκ ἐκ τριτοζύγου δοκεῖ παρῆχθαι. 1746, 20.

Ὕης ὁ Διόνυσος, ἀπὸ Ὑάδων τῶν ἐκεῖνον τιθηνησάντων, καὶ ὅτι ὁ Ὕης ἐπίκλησίς ἐστι τοῦ Σαβαζίου. 1155, 63.

υι δίφθογγος ὅτι οὐχ εὑρίσκεται πρὸ συμφώνου. 938, 43. 1047, 54. 1224, 58.

υια ληγόντων τινῶν ὑπερδισυλλάβων προσῳδία, ὅτι τὸ ὀργυιὰ καὶ ἀγυιὰ κατὰ μὲν τὴν παλαιὰν Ἀτθίδα προπαροξύνοντο, ὡς καὶ τὸ Ἅρπυια καὶ Εἰλείθυια, οἱ δὲ νεώτεροι κατήγαγον αὐτῶν τὸν τόνον. 1631, 29. 1653, 3.

υἱάσιν ἀντὶ τοῦ υἱοῖς, ἀναλόγως τῷ πατράσι, μητράσι καὶ θυγατράσι. 571, 23. 630, 22. 1348, 26.

υἷι, φωνὴ δισύλλαβος δοτικῆς πτώσεως, ὅτι εἰ μὲν προπερισπᾶται, ἀπὸ τοῦ υἷι τρισυλλάβου συγκέκοπται, εἰ δὲ παροξύνεται, ἐκ κράσεως τῶν δύο ῑ γέγονεν. 348, 33.

υκος υκι υκα λήγουσαι πλάγιαι ὅτι πῆ μὲν ἐκτείνουσι, πῆ δὲ συστέλλουσι τὸ παραλῆγον ῡ κατὰ τὸ μέτρον, οἷον κήρυκος, δοίδυκος, ὄρτυγος. 1108, 49.

υἱὸς ὅτι παρὰ τὸ ὕειν λέγεται. 1384, 59. καὶ ὅτι καὶ ὑὸς διὰ μόνου τοῦ ῡ γράφεται, ὡς ἀπὸ τοῦ φύω ἢ ὕω, ὅ ἐστι βρέχω. 22, 43. ἀλλαχοῦ δὲ ὅτι τὸ υἱὸς, εἴτε παρὰ τὸ ὕω ἤγουν βρέχω εἴτε παρὰ τὸ φύω λέγεται, διὰ τοῦ ῡ μόνου ὤφειλε γράφεσθαι, πρὸς δὲ ἀποφυγὴν συνεμπτώσεως προσέλαβε τὸ ῑ. 1459, 48. καὶ ὅτι τὸ υἱὸς πρόσκειται τοῖς κτητικοῖς πρὸς διαστολὴν, οἷον Καπανήιος υἱὸς ὁ τοῦ Καπανέως, πρὸς περιορισμὸν τῶν ἄλλων, ὧν ἐκέκτητο ὁ Καπανεύς. 483, 34.

υἷος γενικὴ καὶ υἷι δοτικὴ ὅτι ἐκ τῶν υἷιος καὶ υἷιι κέκρανται. 210, 22. ζήτει τὸ, υἷι φωνὴ δισύλλαβος.

ὑλάειν ἀντὶ τοῦ ὑλακτεῖν, Ὀδ. π', 5. 9. ὅτι συστέλλει τὸ ῡ. 1791, 63. 1792, 10. καὶ ὅτι τὸ ὑλάειν προϋπάρχει τοῦ ὑλάσσειν, ὅθεν τὸ ὑλακτεῖν. 1881, 17.

Ὑλακίδης, υἱὸς Ὑλάκου. 1758, 25.

ὑλακόμωροι κύνες οἱ ὀξύφωνοι παρὰ τὸ μόρον, ὅ ἐστιν ὀξὺ, κατ' ἔκτασιν τῆς μο συλλαβῆς, ἢ ὑλακώμοροι οἱ περὶ τὴν ὑλακὴν μεμορημένοι ἤγουν πεπονημένοι, ἑρμηνεία διεξοδική. 1749, 34. 1792, 10.

ὑλακτεῖν, ὅτι παρὰ τὸ ὑλάειν γίνεται ὑλάσσειν, ὅθεν ὑλακτὸς ὄνομα, ἀφ' οὗ τὸ ὑλακτεῖν. 1791, 63. 1881, 17.

Ὑλάτης Ἀπόλλων ὁ ἐν Ὕλῃ, πόλει τινὶ Κυπριακῇ, τιμώμενος. 596, 45.

υλη λήγοντα θηλυκὰ ὀνόματα ὅτι περισπῶνται καθ' Ἡρακλείδην, ὃς καὶ τὸ σταφυλὴ ἡμαρτῆσθαι λέγει. 341, 35.

ὕλη τὸ ὀρεινὸν δάσος, καὶ ὅτι ἐκτείνει τὴν ἄρχουσαν τοὔνομα. 396, 15. 596, 39. 688, 37. 917, 24.

Ὕλη, πόλις Βοιωτίας καὶ ἑτέρα Λοκρίδος καὶ ἄλλη Κύπρου, καὶ ὅτι πῆ μὲν ἐκτείνεται, πῆ δὲ συστέλλεται ἡ παραλήγουσα τοῦ ὀνόματος παρ' Ὁμήρῳ. 260, 8. 16. 596, 44.

ὑλήεις τόπος ὁ δασὺς καὶ ὕλην ἔχων. 1125, 63. 1414, 57.

ὑληκοῖται θῆρες λέγονται παρὰ τὸ ἐν ὕλαις εἶναι αὐτῶν τὰς κοίτας. 1031, 45.

υλλα λήγοντα ὀνόματα, ὅτι τὰ εἰς λᾱ ὀνόματα ὑπὲρ τὸ λ̄ καὶ ἕτερον ἔχει λ̄, οἷον Ἀνθύλλα, Σιβύλλα. 117, 45.

υλλος ληγόντων κυρίων ὑποκοριστικῶν ἀναλογία, οἷον Βάθυλλος, Ἀρίστυλλος. 98, 9. 48.

Ὕλλος, ποταμὸς ἰχθυόεις ῥέων μεταξὺ Θυατείρων καὶ Σάρδεων. 1212, 55.

υλος καὶ υρος λήγοντα ὀνόματα ἐκ τοῦ ῆ τραπέντος ἔχοντα τὸ παραλῆγον ῡ, οἷον ἅλμη ἁλμυρὸς, στήλη στύλος. 849, 62.

ὗμ τὸ ῡ τὸ στοιχεῖον ἔλεγον οἱ Αἰολεῖς μετὰ ψιλοῦ πνεύματος. 1192, 20.

ὑμέναιος, ᾠδή τις γαμήλιος παρὰ τὸν ὕμνον λεγομένη οἱονεὶ ὕμναιος, ἢ παρὰ τὸ ὁμοῦ ναίειν τοὺς συζύγους, ἢ παρὰ τὸν παρθενικὸν ὑμένα, ἢ ἀπὸ Ὑμεναίου νεανίου τινὸς παρθένους τινὰς Ἀττικὰς ἐκ λῃστῶν ῥυσαμένου, ἱστορία. 1157, 16 — 25.

ὑμὴ ἀντὶ τοῦ ὑμετέρα, καὶ ὑμὴν κατ' αἰτιατικὴν ἀντὶ τοῦ ὑμετέραν, καὶ ὑμὰ οὐδετέρως ἀντὶ τοῦ ὑμέτερα. 961, 31. ἀλλαχοῦ δὲ ὅτι ὑμὴ ἀντὶ τοῦ ὑμετέρα κατὰ δεύτερον πρόσωπον, ἁμὴ δὲ ἀντὶ τοῦ ἡμετέρα κατὰ τὸ πρῶτον. 1677, 42.

ὕμμι ἀντὶ τοῦ ὑμῖν, ὅτι ψιλοῦται καὶ ἐν δυσὶ μ̄ γράφεται Αἰολικῶς. 951, 7.

ὑμνεῖν ἀντὶ τοῦ κακολογεῖν ἀντιφραστικῶς. 634, 10. 790, 41.

ὕμνος ταὐτὸ ὅπερ ᾠδή. 1163, 55. καὶ ὕμνος ἐπὶ θρήνου παρ' Ἀνακρέοντι. 928, 64. καὶ ὅτι βαρύνεται τοὔνομα παρὰ τὸν κανόνα τῶν εἰς νος μετ' ἐπιπλοκῆς συμφώνου ληγόντων. 541, 43.

υμος λήγοντα, οἷον ἕλος ἕλυμος, ἐτὸς ἔτυμος. 1408, 11.

ὑμὸς ὑμὴ ὑμὸν, ἀντὶ τοῦ ὑμέτερος ὑμετέρα ὑμέτερον. 574, 39. 1424, 24.

υνος ληγόντων προπαροξυτόνων ὀνομάτων ἀναλογία, οἷον πίσυνος, θάρσυνος, δεσπόσυνος. 709, 52.

υνω λήγοντα ῥήματα ἀπὸ ληγόντων διὰ τοῦ υω κατ' Ἰωνικὴν ἢ Δωρικὴν ἐπένθεσιν τοῦ ν̄, οἷον θύω θύνω, δύω δύνω. 154, 15. 171, 20. 621, 48. 718, 60. 831, 64. 1417, 10. 1714, 54.

υξ λήγοντα ὀνόματα πρὸς εὐφωνίαν προσλαμβάνοντα τὸ ν̄ πρὸ τοῦ ξ̄, οἷον ἴυξ ἴυγξ, φάρυξ φάρυγξ. 1873, 38.

υξ λήγοντα ἁπλᾶ δισύλλαβα ἔχοντα πρὸ τοῦ υξ ἓν τῶν ἀμεταβόλων, ἢ δι' ὧν ἡ πρώτη συζυγία τῶν βαρυτόνων ἐκφέρεται, ὅτι διὰ τοῦ κ̄ κλίνεται, τὰ δὲ μὴ τοιαῦτα διὰ τοῦ γ̄, πλὴν τοῦ ὄνυξ ὄνυχος. 1286, 40.

υξ λήγοντα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ γος κλινόμενα ὅτι ἐκ πλεονασμοῦ προσλαμβάνουσι τὸ ν πρὸ τοῦ γ, οἷον φάρυγος καὶ φάρυγγος. 1635, 21.

υξ λήγοντα ὀνόματα μονοσύλλαβα μὲν ὄντα ὀξύνεται, δισύλλαβα δὲ παροξύνονται, πλὴν τοῦ πτερὺξ ὀξυνομένου κατ' Ἀρίσταρχον. 229, 41.

υος λήγοντα ὀνόματα ἀπὸ μονοσυλλάβων ῥημάτων παρηγμένα, οἷον θῶ θύος, φλῶ φλύος, ὅ ἐστι φλυάρημα. 1746, 8.

ὑπάγειν ἀντὶ τοῦ ὑπεξάγειν ἐν τῷ, Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεύς, Ἰλ. λ', 163. 837, 29.

ὑπάγειν ζυγὸν ἵππους, ἀντὶ τοῦ ὑπὸ τὸν ζυγὸν ἄγειν παρ' Ὁμήρῳ, ἄλλως δὲ τὸ ὑπάγειν δοτικῇ συντάσσεται. 1050, 54. 1301, 57.

ὑπαὶ ἴδεσκεν, ἀντὶ τοῦ ὑπέβλεψεν, Ἰλ. γ', 217. 406, 35.

ὑπαὶ νεφέων, ἀντὶ τοῦ ὑπὸ τὰ νέφη, ὅ ἐστιν ὑποκάτω τῶν νεφῶν. 1065, 11. 1334, 24.

ὕπαιθα, ἤγουν ἐκ πλαγίου καὶ ἔξω τοῦ εὐθέος, ἢ ἀντὶ τοῦ ἔμπροσθεν καὶ ὑπαὶ τὸ ἰθὺ, ἤγουν ὑπὸ τὸ ὀρθὸν, ἐν τῷ, ὕπαιθα δὲ τοῖο λιασθεὶς φεῦγεν, Ἰλ. φ', 255. 1030, 20. 1234, 11. 31. 1262, 61. 64.

ὑπαΐσσειν λέγεται ἰχθὺς τὴν φρῖκα, ἤγουν ὑποτρέχειν τὴν τοῦ ὕδατος ἐπιφάνειαν. 1227, 13.

ὑπακούειν ἀντὶ τοῦ ἀποκρίνεσθαι ἐν τῷ, ἢ ἐξελθέμεναι ἢ ἔνδοθεν ὑπακοῦσαι, Ὀδ. δ', 283. 1496, 10. καὶ ὑπακούειν ἀντὶ τοῦ ἁπλῶς ἀκούειν ἐν τῷ, καὶ τότ' ἐγὼν Ὀδυσῆα προσηύδων, ὁ δ' ἄρ ἐμμαπέως ὑπάκουσεν, Ὀδ. ξ', 485. 694, 18. 1768, 15.

ὕπανδροι γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχειν λέγονται παρ' Ὁμήρῳ. 1568, 31.

ὑπαντὰξ ἀντὶ τοῦ ἐξ ἐναντίας παρ' Ἀριστοφάνει. 1442, 1.

ὕπαρ ὅτι οἱονεὶ ὕπναρ λέγεται παρὰ τὸ τὸν ὕπνον αἴρειν. 1876, 60.

ὑπαρκτικὰ ῥήματα ὅτι πολλαχοῦ ἐλλείπουσιν ἐν τῇ συντάξει. 75, 6.

ὑπαρχὴ ἐν ἴσῳ τῷ καταρχὴ, καὶ ὑπάρχειν ἀντὶ τοῦ κατάρχειν. 241, 20. ὅθεν ὑπάρχειν εὐεργεσίας ἀντὶ τοῦ προκατάρχειν. 1961, 34.

ὑπασπίδια προποδίζων, Ἰλ. ν', 158. ἀντὶ τοῦ ἐντὸς τῆς ἀσπίδος βαίνων, ἢ ἀντὶ τοῦ ἐνόπλις ὀρχούμενος. 925, 62. 926, 4. καὶ ὑπασπίδια προβιβᾶν, ἤγουν ὑπὸ τὴν ἀσπίδα κρυπτόμενον προβαίνειν. 1077, 62.

ὑπάτη πυρὰ τὸ μέσον καὶ ὑπέρτατον μέρος τῆς πυρᾶς. 1294, 9.

ὑπάτη χορδὴ ἡ ὑπερτάτη ἐν μουσικοῖς ὀργάνοις. 696, 17.

ὕπατος ὅτι ἐκ τοῦ ὑπέρτατος λέγεται κατὰ συγκοπήν. 696, 13. 910, 22.

ὕπαυγος ὅτι ἐκ τοῦ ὑπὸ καὶ τοῦ αὐγὴ σύγκειται. 1440, 57.

ὑπείρεχεν ἀντὶ τοῦ ὑπερεῖχε. 569, 2.

Ὑπείρων, κύριον παρ' Ὁμήρῳ, ὅτι ἐκ τῆς ὑπὲρ προθέσεως ὑπεὶρ ποιητικῶς λεγομένης παρῆκται. 532, 44.

ὑπὲκ τείχεος, ἔξω ὑπὸ τῷ τείχει. 1263, 20.

ὑπεκπρολύειν, ὅτι ἐν τῷ, ἡμιόνους ὑπεκπροέλυσαν ἀπήνης, Ὀδ. ζ', 88., ἡ ὑπὸ τὴν κάτω σχέσιν, ἡ δὲ ἐξ τὴν ἐκτὸς, ἡ δὲ πρὸ τὴν ἐπὶ τὰ ἔμπροσθεν ὑπαγορεύει. 217, 20. ὅθεν τὸ τὰ ὑπὸ ἁμάξῃ ἐζευγμένα ἔξω τοῦ ζυγοῦ ποιήσαντα εἰς νομὴν πέμπειν δηλοῦται. 1553, 14.

ὑπεκπροῤῥέειν, ὅτι ἐν τῷ, πολὺ δ' ὕδωρ καλὸν ὑπεκπρορέει, Ὀδ. ζ', 87. διὰ μὲν τῆς ὑπὸ ἡ κάτωθεν ἀνάδοσις, διὰ δὲ τῆς ἐξ καὶ πρὸ ἡ ἔξοδος καὶ πρόοδος δηλοῦται τοῦ ὕδατος. 1553, 7.

ὑπεκφέρειν σάκος, ὅτι ἐν τῷ, ἔνθ' Αἴας μὲν ὑπεξέφερεν σάκος, Ἰλ. θ', 268., ἡ μὲν ὑπὸ τὸ ἠρέμα καὶ λεληθὸς, ἡ δὲ ἐξ τὴν ἐπὶ τὰ ἔξω φορὰν ὑπαγορεύει. 712, 41. καὶ ὅτι καὶ ἵπποι σπουδαίως κινούμενοι ὑπεκφέρειν λέγονται παρ' Ὁμήρῳ ἐν τῷ, τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι, Ὀδ. γ', 496. ὅπου ἡ ἐκ πρόθεσις ὑπεροχῆς ἐστὶν ἐμφατική. 1478, 6. 9.

ὑπέλεθρος ὁ τῶν ὑῶν κόπρος. 1821, 40.

ὑπελθεῖν ἀντὶ τοῦ ὑποδῦναι καὶ εἰσελθεῖν, καὶ ἀντὶ τοῦ ἀπατᾶν, οἷον ὑπῆλθεν ὁ δεῖνα τὸν δεῖνα. 1547, 4. 1841, 39.

ὑπεμνήμυκα, ἐστύγνακα, τεταπείνωμαι, καταβέβλημαι, ἀπὸ τοῦ ἠμύω διπλασιασμῷ καὶ πλεονασμῷ τοῦ ν. 1282, 24.

ὑπενεγκεῖν ἀντὶ τοῦ ὑπομεῖναι. 1604, 1.

ὑπεξαγαγεῖν θανάτου ἀντὶ τοῦ ῥύσασθαι θανάτου. 1209, 30.

ὑπεξαναδῦναι τὸ κάτωθεν κατ' εὐθὺ εἰς ὕψος ἀναδῦναι. 217, 18.

ὑπεξελεῖν τὸ εἰς μέρος θεῖναι. 119, 34.

ὑπὲρ πρόθεσις ὅτι περιττότητα σημαίνει, καὶ ὅτι τῇ παρὰ ἰσοδυναμεῖ ἐν τῷ ὑπερηνορέων, ὃ δηλοῖ τὸν παρὰ τὸ δέον ἀνδριζόμενον. 1387, 64. καὶ ὑπὲρ πρόθεσις ἐν συνθέσει μετὰ τινῶν ῥημάτων ὑπεροχὴν ὑπαγορεύει, οἷον ἐν τῷ ὑπερτρέχειν, ὑπερακοντίζειν, ὑπερελαύνειν. 1317, 43.

ὑπὲρ πρόθεσις τὸ ἕνεκα ἢ τὸ ἐπάνω ἐν τῷ, τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, Ἰλ. η', 449. 690, 49.

ὑπὲρ θεὸν, ἐν ἴσῳ τῷ ὑπὲρ μοῖραν. 1108, 31.

ὑπὲρ καπνοῦ κρεμάσαι, παροιμιακῶς ἀντὶ τοῦ ἀμελῆσαί τι· ὅθεν καὶ ὑπὲρ καπνοῦ τὸ πηδάλιον, ἐπὶ τῶν ἀργούντων καὶ καταμελούντων τέχνης τινὸς, ἐκ καπνοῦ δὲ καταθεῖναι ἀντὶ τοῦ ἐπιμελείας ἀξιῶσαι. 750, 40. 1349, 62. 1802, 57.

ὑπὲρ μέγα λαῖτμα, ἀντὶ τοῦ κατὰ μέγα κῦμα ἢ ὑπεράνω μεγάλου κύματος. 1629, 3.

ὑπὲρ μόρον, ὑπὲρ τὸ μεμοιραμένον, εἴτουν πεπρωμένον. 833, 25.

ὑπὲρ πᾶν τεῖχος, Ἰλ. μ', 289. ἀντὶ τοῦ εἰς τὰ ὕπερθεν παντὸς τοῦ τείχους. 905, 39.

ὑπὲρ πατρὸς ἱκετεῦσαι τινὰ, ἀντὶ τοῦ πρὸς τοῦ πατρός. 1359, 34.

ὑπὲρ σοῦ, ἀντὶ τοῦ διὰ σὲ καὶ χάριν σοῦ. 660, 29.

ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν, παροιμία ἐπὶ τῶν ὑπερβαλλόντων ἢ πλεονεκτούντων, καὶ περὶ τῆς ἀφορμῆς τῆς παροιμίας ἱστορία. 1591, 53.

ὑπεραὴς ἄελλα ἡ ὑπεράγαν ἢ ἐκ

τῶν ὕπερθεν ἄουσα, ἤγουν πνέουσα. 845, 19.
ὑπέραι, σχοινία τινά, οἷς τὸ κέρας μετάγεται, ἢ τροχίλοι τινές, ὅθεν τὸ ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκειν παροιμιακῶς λέγεται, καὶ ὅτι διὰ τὸ ὕπερθεν εἶναι οὕτω λέγονται, ἑρμηνεία διεξοδική. 1534, 3. 25.
ὑπεράκρια χωρία τὰ ὀρεινὰ καὶ ὑπερέχοντα. 1636, 54.
ὑπερανέχειν λέγεται ὄρος, ἤγουν ὑπερέχειν τῶν ταπεινοτέρων τόπων. 1020, 28.
ὑπερβαίνειν ἀντὶ τοῦ ἁμαρτάνειν καὶ ἀντὶ τοῦ νικᾶν. 1317, 47.
ὑπερβαλεῖν ἀντὶ τοῦ ἐπέκεινα τοῦ σκοποῦ βαλεῖν, καὶ ὑπερβαλεῖν ὄρος ἢ λόφον τὸ ἀνελθόντα ἐπὶ τὸ ἐκεῖθεν μέρος γενέσθαι. 1702, 27.
ὑπερβάλλειν κυρίως τὸ ὑπερακοντίζειν ἢ ὑπεροϊστεύειν ἢ ὑπὲρ μέτρον δισκεύειν, μεταφορικῶς δὲ καὶ ἐπὶ ἑτέρων ὑπεροχῶν λέγεται καὶ προσέτι ἐπὶ ἀσυμμετρίας, ὅθεν ὑπερβολή. 1406, 45.
ὑπερβάλλεσθαι ἐν ἴσῳ τῷ ἀναβάλλεσθαι. 1441, 61.
ὑπέρβασαν, τρίτον πρόσωπον ῥηματικὸν, ὅτι οὐκ ἐκ τοῦ βαίνω, ἀλλ' ἐκ τοῦ βῶ μονοσυλλάβου ῥήματος κεκίνηται. 915, 3.
ὑπερβασία ὅτι οὐκ ἐκ τοῦ βαίνω, ἀλλ' ἐκ τοῦ βῶ βήσω λέγεται. 915, 2. 4.
ὑπερβασία, παρασπόνδησις καὶ ἁπλῶς ἁμαρτία. 389, 33. 767, 53. 57. ἀλλαχοῦ δὲ ὅτι ὑπερβασία ἡ τοῦ δέοντος παράβασις, καὶ ὅτι μέση λέξις ἐστὶν ἡ ὑπερβασία. 1317, 42. 47. καὶ ὅτι ἀπὸ τῶν ὑπερβαινόντων τὰ ὁροθέσια λέγεται τοὔνομα. 1464, 5.
ὑπέρβασις εἴτουν ὑπερβιβασμὸς προθέσεως κατὰ σχῆμα λόγου, οἷον, τὼ δ' εἰς ἀμφοτέρω Διομήδεος ἅρματα βήτην, Ἰλ. Θ', 115. 702, 63.
ὑπερβατόν ἐστι διακοπὴ λέξεως πρὸς μίμημά τινος ἐνεργείας ἐπιτηδευομένη. 1001, 24. καὶ ὅτι καὶ ὁ ἀναγραμματισμὸς ὑπερβατὸν λέγεται. 773, 31. καὶ ὅτι δύο εἴδη ὑπερβατοῦ, τὸ μὲν ἐν λόγῳ κατὰ διακοπὴν ἐννοίας διὰ παρενθέσεως τινῶν, τὸ δὲ ἐν λέξει, ὑπὲρ ἀκύρως ὑπερβατὸν λέγεται. 29, 74. 231, 10. 14. 493, 14. καὶ ὅτι τὸ ὑπερβατὸν, οἷον τὸ, διά τε σκόλοπας καὶ τάφρον ἔβησαν, Ἰλ. Θ', 343. ο', 1. Ἰακὴ διαίρεσις λέγεται. 889, 33.
ὑπερβῆναι τὸ καθ' ὑπερβολὴν ἁμαρτεῖν. 767, 55.
ὑπερβῆναι οὐδὸν, ὅτι ἐπί τε τοῦ διιέναι καὶ τοῦ ἀπιέναι τίθεται παρ' Ὁμήρῳ. 1732, 40.
ὑπέρβιον εὐχετάασθαι ἀντὶ τοῦ ὑπὲρ δύναμιν αὐχεῖν. 1092, 18.
ὑπέρβιος θυμὸς ἢ ὀργὴ ἢ ἡ βιαία ψυχή. 1779, 20.
ὑπέρβιος ὕβρις ἡ ἐκ μεγαλοδυνάμων ἀνδρῶν γινομένη ἢ ἡ ὕπερθεν πάσης δυνάμεως. 1423, 53.
ὑπερβολή, σχῆμα λόγου· ὅτι αἱ ὑπερβολαὶ πιθαναί εἰσιν, ὅταν τὸ μέτριον ἔχωσι. 1313, 24.
ὑπερδέα δῆμον λέγει Ὅμηρος τὸν ἀπτόητον καὶ ὑπερκείμενον δέους· καὶ ὅτι ἐκ τοῦ ὑπερδέεα συνεκόπη ἡ λέξις, ἄλλως γὰρ περισπᾶσθαι ὤφειλεν, ὡς τὸ ὑγιᾶ ἀντὶ τοῦ ὑγιέα. 1108, 61.
Ὑπέρεια, κρήνη πλησίον Φερῶν, πόλεως Θεσσαλικῆς, καὶ πόλις Σικελική. 291, 39. 332, 13. 654, 18. ἀλλαχοῦ δὲ ὅτι Ὑπέρεια πόλις Σικελίας ἡ ὕστερον Καμάρινα ἢ νῆσος πλησίον τῆς τῶν Κυκλώπων γῆς. 1549, 15.
ὑπερενεγκεῖν ἀντὶ τοῦ ὑπερτερῆσαι καὶ ὕπερθεν φέρεσθαι. 1604, 2.
ὑπερέπτειν, ὑπεσθίειν, ὑποσύρειν. 344, 40. 1234, 16.
ὑπερεπύῤῥιασε, τρίτον πρόσωπον ῥήματος ἐκ τοῦ πυῤῥὸς ὀνόματος συγκειμένου. 1139, 20.
ὑπερέχειν χεῖρα τινὶ, ἀντὶ τοῦ ὑπεράνω τινὸς θεῖναι ἐπὶ σκεπασμῷ καὶ βοηθείᾳ, ὑπερέχειν δὲ ἁπλῶς ἀντὶ τοῦ νικᾶν. 469, 1. 569, 3.
ὑπερηνορέων ὁ παρὰ τὸ καθῆκον ἀνδριζόμενος. 1388, 2. ἀλλαχοῦ δὲ ὅτι τὸ ὑπερηνορέων μέσως ἔχει τοῦ καλῶς καὶ τοῦ κακῶς, ὡς δῆλον ἐκ τοῦ, κακῶς ὑπερηνορέοντες, ὃ πρὸς διαστολὴν εἴρηται τῶν εὐλόγως ποτὲ ὑπερηνορεόντων. 1396, 47. καὶ τὸ ὑπερήνωρ καὶ ὑπερηνορέων ἐν ἴσῳ τῷ ἀγήνωρ κατὰ διττὴν ἔννοιαν, πῇ μὲν ἐπαινετὴν, πῇ δὲ ψεκτήν. 1092, 61. 1396, 46.
ὑπερήσει, ὑπερπέμψει εἴτουν ὑπερακοντίσει καὶ ὑπερβήσεται. 1388, 4. 1591, 49.
Ὑπερησία, ὄνομα πόλεως Ἀχαϊκῆς. 291, 38. 332, 15.
ὑπερηφανέοντες ἀντὶ τοῦ ὑπερφρονοῦντες. 879, 1.
ὑπερήφανος ὅτι ἐκ τοῦ ὑπέρφανος λέγεται πλεονασμῷ τοῦ η. 314, 44. 617, 24. 854, 61.
ὑπέρθεσις ἐνυπάρχουσα θετικοῖς τισὶν ὀνόμασιν ὅτι ὑπερθετικῶς αὐτὰ συντάσσεσθαι ποιεῖ, οἷον ἔξοχος πάντων, ἀριδείκετος ἀνδρῶν· καὶ ὅτι αἱ ὑπερθέσεις τὴν μετὰ γενικῆς φιλοῦσι σύνταξιν. 258, 39. 44.
ὑπερθετικὰ ἀντὶ τῶν συστοίχων θετικῶν, οἷον θεῶν ὀλοώτατος, ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς. 76, 17.
ὑπερθετικὰ ἀπὸ ὑπερθετικῶν κατ' ἐπίτασιν ὑπερθέσεως λεγόμενα, οἷον κυδίστατος ἐκ τοῦ κύδιστος. 215, 11.
ὑπερθετικαὶ φωναὶ ἐν νοήμασιν θεωρούμεναι, οἷον τόσον καὶ ὅσον ἐν τῷ, τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης, Ἰλ. Θ', 16. 1226, 8.
ὑπερθορεῖν τὸ ὑπερβῆναί τι πηδῶντα καὶ τὸ ὑπερβολικῶς πηδῆσαι. 1196, 5.
ὑπερθυμέστατος ἀντὶ τοῦ ὑπερθυμότατος. 1441, 15.
ὑπέρθυμοι Γίγαντες οἱ ὡς εἰπεῖν ἀγήνορες ἢ μεγάθυμοι. 1568, 8.
ὑπερθύριον τὸ ἐπικείμενον ταῖς θύραις, εἰς ὃ αἱ ἄνω στρόφιγγες ἁρμόζονται. 1570, 30.
Ὑπερίδου σκῶμμα κατὰ Δημέου υἱοῦ Δημάδου τοῦ ῥήτορος. 1151, 9.
ὑπερικταίνοντο ἀντὶ τοῦ ἀνεπάλλοντο ἢ ὑπερεξετείνοντο καὶ ἄγαν ἱκνοῦντο. 1936, 10.
ὑπέρινος ὑπερκεκαθαρμένος καὶ τὰς ἶνας λελεπτυμμένος. 877, 13.
Ὑπεριονίδης ὁ Ἥλιος πατρωνυμικῶς ὅτι ἐντελῶς λέγεται, Ὑπερίων δὲ κατὰ συγκοπήν. 1710, 45.
Ὑπερίων ὁ Ἥλιος, ἢ πατρωνυμικῶς ἐκ τοῦ Ὑπεριονίων συγκοπῇ δυοῖν συλλαβῶν, ἢ ἐπιθετικῶς παρὰ τὸ ὑπὲρ ἡμᾶς ἰέναι,

ἢ καὶ ὤφειλεν ὀξύνεσθαι ὡς μετοχικὸν ὄνομα. 1190, 5. 1383, 36.

ὑπερκαταβῆναι ἀντὶ τοῦ ὅθεν τις ἀνέβη καταβῆναι. 1021, 10.

ὑπερκύδας ἀντὶ τοῦ ἄγαν ἔνδοξος, ὅτι διὰ τοῦ ντ κλίνεται, καὶ ὅτι παρὰ τὸ κυδαίνω λέγεται, ἢ ἐκ τοῦ κυδάεις κυδάεντος συγκέκοπται, ἑρμηνεία διεξοδική. 445, 27.

ὑπερμαζᾶν τὸ ἄγαν τρυφᾶν, ὅτι παρὰ τὴν μάζαν, ὃ δηλοῖ τὴν τροφὴν, λέγεται. 1751, 62.

ὑπερμενέοντες ταὐτὸ ὅπερ ἀγήνορες. 1855, 34.

ὑπερμετρία, μία τῶν ἓξ κακιῶν τοῦ ἔπους, καθ᾽ ἣν θέσει μακρὰ συλλαβὴ ἀντὶ βραχείας λογίζεται. 353, 35.

ὑπέρμηκες, τὸ καὶ δολιχόουρον, πάθος τι στιχηρὸν, οἷον ἐν τῷ, Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα, Ἰλ. γ', 237. 410, 28.

ὑπέρμορα, πληθυντικὸν τοῦ ὑπέρμορον, ἀντὶ τοῦ ὑπερμόρως ἢ ὑπὲρ μόρον ἐν παραθέσει, ὃ ταὐτόν ἐστι τῷ ὑπὲρ μοῖραν. 194, 43. 1193, 58.

ὑπέρμορον τὸ ὑπὲρ μόρον, ἤγουν ὑπὲρ τὸ καθῆκον. 1388, 1.

ὑπεροπλίζεσθαι, καταθρασύνεσθαι εἴτουν ὑπερηφανεύεσθαι. 389, 38. 1819, 31.

ὑπέροπλος ὁ αὐθάδης καὶ ὑπὲρ τὸ δέον θρασυνόμενος καὶ τοῖς ὅπλοις χρώμενος, καὶ ὑπεροπλία ἡ τοιαύτη κακία. 70, 11. 86, 28. 389, 38. καὶ ὑπέροπλον ἔργον καὶ ἔπος τὸ θρασὺ καὶ ὑπὲρ δύναμιν, ἐκ μεταφορᾶς τῶν μὴ ἀναλογούντων τοῖς σώμασιν ὅπλων, ἀλλ᾽ ὑπερβαινόντων τῷ μεγέθει. 1012, 21.

ὑπερορᾶν ὅτι αἰτιατικῇ συντάσσεται παρὰ τοῖς Ἀττικοῖς ἀσυνήθως. 725, 53.

ὑπεῤῥάγη αἰθὴρ, ἀντὶ τοῦ πανταχοῦ ἐσκεδάσθη ἢ διὰ ῥήξεως νέφους ἔλαμψε. 1061, 8.

ὑπερσυντελίκου παθητικοῦ περίφρασις διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος. 878, 28.

ὑπερσυντελίκων πρόσωπα πρῶτα εἰς η λήγοντα Ἀττικῶς ὅτι ἐκ τῶν διὰ τοῦ εα Ἰωνικῶς λεγομένων κέκρανται, οἷον εἰρήκεα εἰρήκη, οἷς ὁμοφωνοῦσιν ἐνίοτε τὰ σύστοιχα τρίτα, οἷον ᾔδη ἀντὶ τοῦ ἐγίνωσκε· καὶ ὅτι καὶ τὰ τρίτα τῶν ὑπερσυντελίκων διὰ τοῦ ειν προφέρονται Ἰωνικῶς ἐκ τῶν διὰ τοῦ εεν συναιρούμενα καὶ φυλάσσοντα τὸ ν, οἷον ᾔσκεεν ᾔσκειν ἀντὶ τοῦ ᾔσκει, οἷον καὶ τὸ ᾔειν κατὰ τρίτον πρόσωπον παρὰ τῷ κωμικῷ ἀντὶ τοῦ ἐπορεύετο. 50, 27. 881, 62. 1946, 22.

ὑπερέσχεθεν ἀντὶ τοῦ ὑπερανέσχε καὶ ἀνέτειλε, περὶ ἡλίου λεγόμενον παρ᾽ Ὁμήρῳ. 878, 12. καὶ ὑπερέσχεθε χεῖρα περὶ θεοῦ λεγόμενον Ἰλ. ω', 374. ἀντὶ τοῦ ὑπεράνω ἔσχε καὶ ἐσκέπασε. 1355, 3.

ὑπερσχεῖν τινὸς τὴν χεῖρα λέγεται ὁ θεὸς ἀντὶ τοῦ ὑπεράνω σχεῖν καὶ σκεπάσαι εἴτουν βοηθῆσαι. 760, 34. 1756, 50. ζήτει τὸ ὑπερέσχεθεν.

ὑπέρτερα κρέα τὰ νωτιαῖα, ἢ τὰ ὑπεράνω τοῦ πυρὸς ἢ τὰ ἔξωθεν πρὸς διαστολὴν τῶν σπλάγχνων. 1457, 9.

ὑπερτερίη τὸ ἐπὶ τῶν ἁμαξῶν τετράγωνον πλινθίον, ἐν ᾧ τὰ φορτία ἐπιτίθενται, διὰ τὸ ὑπερκεῖσθαι τοῦ ἄξονος οὕτω λεγόμενον. 1344, 39. 1550, 24.

ὑπέρτερον κῦδος τὸ ὑπερκείμενον τῶν ἄλλων, ἢ τὸ ἄνωθεν ἐκ θεοῦ προσγινόμενον καὶ οἷον οὐράνιον. 1026, 44. 1035, 58.

ὑπέρτερος γενεῇ, Ἰλ. λ', 786. ἀντὶ τοῦ εὐγενέστερος, καὶ ἁπλῶς ὑπέρτερος ἀντὶ τοῦ νεώτερος κατὰ γλῶσσαν Ἰωνικήν. 884, 33.

ὑπέρτονον τὸ μέσον τῆς στέγης ξύλον. 249, 20. 780, 28.

ὑπερφερέστατος ὁ ὑπὲρ τοὺς ἄλλους φερόμενος τῇ ἀρετῇ. 1588, 44.

ὑπερφερὴς ὁ ὑπερέχων τόπῳ ἢ ἐνδοξότητι. 1788, 15.

ὑπερφίαλος ὁ παρασπονδητὴς, καὶ ὁ πάροινος καὶ ὁ μέγας κατὰ διάφορον ἐτυμολογίαν, καὶ ἑρμηνεία διεξοδικὴ τῶν διαφόρων ἐτυμολογιῶν. 389, 29. 1400, 37. ἀλλαχοῦ δὲ ὅτι ὑπερφίαλος λέγεται καὶ ὁ μεγαλοφυὴς τὸ σῶμα, καὶ ὅτι οὐκ ἐφ᾽ ὕβρει ἀεὶ ἐπιτίθεται. 1618, 12. καὶ ὑπερφίαλον τὸ ὑπερήφανον καὶ καλόν. 1776, 34.

ὑπερφιάλως ἀντὶ τοῦ ὑπὲρ τὸ δέον. 930, 44. καὶ ὑπερφιάλως ἀντὶ τοῦ μεγάλως καὶ ὑπερφυῶς πολλαχοῦ παρ᾽ Ὁμήρῳ. 1829, 21.

ὑπέρφρων ὁ ὑπέρ τινος φρονῶν καὶ ὁ περιφρονῶν τινὰ εἴτουν καταφρονητικός. 54, 30. 696, 44.

ὑπερῴη ὁ κατὰ στόμα οὐρανίσκος παρ᾽ Ὁμήρῳ. 1282, 64.

ὑπερώησαν ἵπποι, ἀντὶ τοῦ ὄρθιοι ἔστησαν, ἢ ἀνεπόδισαν εἴτουν ἀνεχώρησαν. 197, 42. 703, 3. 1126, 61.

ὑπερωιόθεν, ἐπίῤῥημα ἐκ τοῦ ὑπερώιον πεντασυλλάβου. 1409, 49. 1790, 13.

ὑπερώιον ὅτι ἐκ τοῦ ὑπερῷον γέγονε κατ᾽ ἐκφώνησιν τοῦ ι. 1409, 49.

ὑπερῷον ὅτι προσγεγραμμένον ἔχει τὸ ι. 272, 13.

ὑπερῷον τὸ ὑπερκείμενον ᾠὸν, ὅ ἐστιν οἴκημα κατὰ γλῶσσαν· καὶ ὅτι ὤφειλε προπαροξύνεσθαι τοὔνομα διὰ τὴν σύνθεσιν. 272, 13. 1054, 3. 1420, 52.

ὑπέφηνε τραπέζῃ, ἤγουν ὑποκάτω τῆς τραπέζης ἔφηνε. 1826, 6.

ὑπήλατον, φάρμακον καθαρτικὸν τῆς κοιλίας. 1163, 40. καὶ ὅτι ἐκ τῆς ὑπὸ προθέσεως καὶ τοῦ ἐλᾶν σύγκειται τοὔνομα. 1635, 42.

ὑπήνεικαν ἀντὶ τοῦ ὑπήνεγκαν, ἐκ τοῦ ἐνείκω. 618, 3.

ὑπήνη ἡ ὅλη τρίχωσις τοῦ γενείου. 1353, 56.

ὑπηνήτης, ὅτι ἐν τῷ, πρῶτον ὑπηνήτης, ὁ ἄρτι γενείου ὑποπιμπλάμενος δηλοῦται διὰ τοῦ πρῶτος. 1658, 60.

ὑπηοίη στίβη ἡ ἑωθινὴ πάχνη. 1810, 61.

ὑπηρέσιον καὶ ὑπηρεσία, ἐφ᾽ οὗ κάθηνται οἱ ἐρέται, καὶ ὑπηρεσία ἡ δουλεία, ὅτι παρὰ τὸ ἐρέσσειν λέγονται. 1509, 14. 1591, 39.

ὑπιδόμενος, μετοχὴ ἀπὸ τοῦ ἰ-

τινὰ κατά τινος, ὃ καὶ ἐνδιαβάλλειν λέγεται, ὅθεν διάβολος καὶ διαβολεύς. 106, 1—14. καὶ ὑποβάλλειν τοὺς ὀφθαλμοὺς λέγεται ὁ ὑπούλως βλέπων, καὶ ὑποβάλλειν τὸ ὑποκρούειν καὶ ἐμποδίζειν τὸν λέγοντα, καὶ τὸ δι' ἑρμηνέως λαλεῖν. 1406, 37. 41. καὶ ὑποβάλλειν λέγονται οἱ ἀκροαταὶ, ἤγουν τὴν δημηγορίαν περικόπτειν διὰ κραυγῆς, ἢ ἄλλον ἄλλῳ ὑποβάλλειν τὰ λαλούμενα, καὶ οἱονεὶ διαπέμπειν ἀλλήλοις τοὺς λόγους. 1172, 16. 34. 40. καὶ ὑποβάλλειν λόγον τὸ πρὸ τοῦ λαβεῖν τέλος τὰ λαλούμενα τὸν ἑαυτοῦ λόγον παρεμβάλλειν, ὃ καὶ ὑπολαβεῖν λέγεται. 1406, 44.

ὑποβλέπειν λέγονται οἱ ὀργιζόμενοι, καὶ ὑπόδρα βλέπειν, παραβλέπειν δὲ οἱ στραβοὶ, οἳ καὶ παραβλῶπες ἐντεῦθεν λέγονται. 68, 37.

ὑποβλήδην ἐπίῤῥημα ὅτι ἐκ τοῦ ὑποβάλλειν λέγεται, ὡς ἐκ τοῦ ἀναβάλλειν τὸ ἀναβλήδην, καὶ ἐκ τοῦ παραβάλλειν τὸ παραβλήδην. 106, 1. 8. 438, 43. 1172, 39.

ὑπόβλητος λόγος ὁ ὑποβολιμαῖος καὶ μὴ τῇ ἀληθείᾳ γνήσιος. 502, 40. 1406, 39.

ὑποβολεὺς ὁ ἑρμηνεὺς, ζήτει ἐν τῷ ὑποβάλλειν. 106, 12. 1406, 42.

ὑποβολὴ, καὶ τί τὸ καθ' ὑποβολὴν διηγεῖσθαι, ἐκ παραδείγματος. 1494, 18.

ὑποβολιμαῖον βρέφος τὸ ὑποβληθὲν λάθρα τῇ γεννώσῃ, οὐ μὴν γεννηθὲν ὑπ' αὐτῆς, καὶ ὑποβολιμαῖος λόγος μεταφορικῶς. 106, 6. 1406, 40. ζήτει τὸ ὑποβάλλειν.

ὑπόβολον τὸ ὑποβεβλημένον ἤγουν ὑποκείμενον δανείῳ, ἢ τὸ ἐπὶ τόκῳ ἐνεχυρασθέν· ὑπώβολον δὲ διὰ τοῦ ω μεγάλου τὸ ὑποκείμενον ἐπὶ ὀβολιαίῳ τόκῳ. 1405, 21. 23. 1406, 42.

ὑπόβρυχα ὅτι ἀπὸ τοῦ ὑπόβρυξ ὑπόβρυχος κεκίνηται, ἢ ἀπὸ τοῦ ὁ ὑπόβρυχος, οὗ αἰτιατικὴ τὸν ὑπόβρυχον καὶ κατὰ μεταπλασμὸν ὑπόβρυχα· καὶ ὅτι ἐπιῤῥηματικῶς ἐνδέχεται ἀκούεσθαι ἐν τῷ, τὸν δ' ἄρ' ὑπόβρυχα θῆκε πολὺν χρόνον, 'Οδυσσ. ε', 319. 1538, 54.

ὑπόγυιον καὶ ἐξ ὑπογυίου τὸ ὅσον οὔπω προσδόκιμον ἢ τὸ ἄρτι γεγονὸς, καὶ ἁπλῶς τὸ πρόχειρον, παρὰ τὰ γυῖα, ὃ δηλοῖ τὰς χεῖρας. 920, 32.

ὑποδαίειν ξύλα τὸ ὑποκάτω ἀνακαίειν. 1065, [illegible].

ὑποδεῖσθαι ὅτι περὶ ποδῶν λέγεται, ὅθεν ὑπόδημα, ἀναδεῖσθαι δὲ περὶ κεφαλῆς, ὅθεν ἀναδέσμη. 170, 30. 1395, 4.

ὑποδέξασθαί τινα ἀντὶ τοῦ ἀντιστῆναι τινί. 667, 31.

ὑποδεξίη ἀντὶ τοῦ ὑποδοχὴ εἴτουν ξενοδόχησις, 'Ιλιάδ. ι', 73. 736, 52.

ὑποδερὶς, κόσμος ποιὸς γυναικεῖος. 1847, 26.

ὑποδέχεσθαι ἐν ἴσῳ τῷ ὑφίστασθαι εἴτουν ὑπισχνεῖσθαι. 1451, 34.

ὑποδήματα ὅτι παρὰ τὸ ὑπὸ τοῖς ποσὶ δεῖσθαι λέγονται. 1797, 35. 1851, 38.

ὑποδιαστολῆς χρεία πρὸς ἀμφιβολογίας ἀποφυγήν. 701, 56.

ὑποδιήγησις λέγεται ὅτε τις διηγεῖται ὅμοιόν τι τοῖς προκειμένοις πράγμασι. 771, 10.

ὑποδμὼς ὅτι περισσὴν ἔχει τὴν πρόθεσιν. 1501, 37.

ὑπόδρα ἰδεῖν ἀντὶ τοῦ δραστικῶς καὶ δριμέως ἢ ὑποβλεπτικῶς, διαφόρως ἐτυμολογούμενον, ἑρμηνεία διεξοδική. 59, 1. 68, 29. 1874, 36.

ὑποδραμεῖν ἀντὶ τοῦ ὑποκύψαι πρὸς ἱκέτευσιν. 1660, 8.

ὑποδρηστὴρ καὶ δρηστὴρ, ὅτι παρὰ τὸ δρᾶν, ὃ δηλοῖ τὸ βλέπειν, λέγονται. 1661, 47.

ὑποδύεσθαι γενικῇ ἀντὶ τοῦ ὑπεξελθεῖν ἐν τῷ, θάμνων ὑπεδύσετο δῖος 'Οδυσσεύς, 'Οδ. ζ', 127. ὑποδῦναι δὲ αἰτιατικῇ ἀντὶ τοῦ ὑπέρχεσθαι καὶ κρύπτεσθαι. 1554, 54.

ὑποδύτης τὸ τοῖς ἐπενδύταις ὑποκείμενον. 1462, 3.

ὑποείκειν ἕδρας τινὶ, 'Οδ. π', 42. ἀντὶ τοῦ ὑπείκειν καὶ παραχωρεῖν. 1793, 54.

ὑποζύγια, πάντα τὰ ὑπὸ ζυγὸν ἀγόμενα ζῷα. 684, 1. καὶ ὑποζύγιαι ἡμίονοι οἱ ὑφ' ἁμάξαις ζευγνύμενοι. 1625, 41.

ὑποθέσθαι τὸ ἐκ παραινέσεως νοῦν ἐμποιῆσαι τινί. 1455, 37.

ὑποθετικοὶ λόγοι χωρὶς ἀποδόσεως τοῦ ἑπομένου, οἷον ἐν τῷ, εἴπερ γάρ κ' ἐθέλῃσιν 'Ολύμπιος ἐξ ἑδέων στυφελίξαι, ὁ γὰρ πολὺ φέρτατός ἐστιν, 'Ιλ. α', 580 sq. 155, 10.

ὑπόθεν ἀντὶ τοῦ ὑπόθου, ἤγουν συμβούλευσον. 1782, 11.

'Υπόθηβαι, πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν οὕτως ὀνομασθὲν, ὡς καὶ 'Υποχαλκὶς διὰ ταὐτὸ τοῦτο. 269, 30. ζήτει τὸ, ὑπὸ Θήβας ἐν παραθέσει.

ὑποθήκη ἡ παραίνεσις, παρὰ τὸ ὑποτίθεσθαι, ὃ δηλοῖ τὸ παραινεῖν. 884, 36. 1455, 38.

ὑποθημοσύνη ταὐτὸ ὅπερ ὑποθήκη. 696, 20. 1023, 15.

ὑποθωρήσσεσθαι τὸ κρύφα ὁπλίζεσθαι. 1159, 40.

ὑποκαίειν ξύλα τρίποδι, φράσις παρὰ τοῖς μεθ' Ὅμηρον. 1146, 37.

ὑποκέρσαι ἀντὶ τοῦ ὑποκεῖραι εἴτουν διακόψαι. 998, 27.

ὑποκλοπέοιτο ἀντὶ τοῦ ὑποκλέπτοιτο, τουτέστι κρύπτοιτο, 'Οδ. χ', 382. 1931, 4.

ὑποκορίζεσθαι τὸ εὐφήμως ἀντιφράζειν τι. 1082, 30.

ὑποκορισμὸς ὀνομάτων ὅτι οὐχ εὕρηται παρ' 'Ομήρῳ εἰ μὴ μετὰ προσθήκης τινὸς, οἷον ἐν τῷ, μάλα γὰρ μέγα θηρίον ἦεν, 'Οδ. κ', 171. 180. 833, 33. 1540, 53. ἀλλαχοῦ δὲ ὅτι καὶ παρ' 'Ομήρῳ ὑποκοριστικά τινα εὑρίσκονται, οἷον τὸ ἀγκαλίς. 1196, 13. 1653, 31.

ὑποκοριστικὰ ἀρσενικὰ εἰς ων λήγοντα ὅτι πῆ μὲν κατὰ πλεονασμὸν συλλαβῶν γίνονται, οἷον 'Ηφαιστίων ἀντὶ τοῦ Ἥφαιστος, πῆ δὲ κατ' ἔλλειψιν, οἷον Βάκχων ἀντὶ τοῦ Βακχυλίδης, καὶ Σίμων ἀντὶ τοῦ Σιμωνίδης, ὧν καὶ φυλάσσεται τὸ ᾱ ἐν ταῖς πλαγίαις. 1653, 31.

ὑποκρίνεσθαι 'Ιωνικῶς ἀντὶ τοῦ ἁπλῶς ἀποκρίνεσθαι καὶ ἀπολογεῖσθαι, καὶ ὑποκρίνεσθαι ὄνειρον τὸ ἑρμηνεύειν καὶ λύειν, καὶ ὅτι καὶ Θουκυδίδης ἀντὶ τοῦ ἀ-

ποκρίνεσθαι ἐχρήσατο τῇ λέξει. 515, 15. 687, 15. 900, 42. 1437, 31. 1876, 47. 1877, 2.

ὑπόκρισίς ἐστι διάθεσις πιθανὴ φωνῆς καὶ σχήματος πρέπουσα τῷ ὑποκειμένῳ προσώπῳ ἢ πράγματι. 1496, 47.

ὑποκριτὴς ὅτι παρὰ τὸ ὑποκρίνεσθαι, ἤγουν ἀποκρίνεσθαι, τῷ χορῷ λέγεται. 687, 16. 1437, 32.

ὑπόκυκλος τάλαρος ὁ ὑπότροχος καὶ περιφορητὸς τοῖς ὑποκάτω τροχίλοις, ἢ ὁ κυκλοτερής. 1488, 1.

ὑποκυσαμένη ἀντὶ τοῦ ἐγκύμων γενομένη, οἷον ἐν τῷ, ἡ δ' ὑποκυσαμένη Πελίην τέκε καὶ Νηλῆα, Ὀδ. λ', 254. 622, 47. 1205, 37. 1681, 31.

ὑπολαβεῖν τὸ φθέγγεσθαι πρὸ τοῦ λαβεῖν τέλος τὰ προλαλούμενα, ὃ καὶ ὑποβαλεῖν λέγεται. 1406, 45. ζήτει τὸ ὑποβάλλειν.

ὑπολείπεσθαι τὸ ἡττᾶσθαι καὶ τὸ ἁπλῶς λείπεσθαι εἴτουν μεῖναι. 1578, 13. ᾗ καὶ ὑπολείπεσθαί τι λέγεται, ἤγουν ὕστερον μένειν. 1320, 23.

ὑποληπτέον ἀντὶ τοῦ ἀποκριτέον. 1172, 26.

ὑπολύειν τὸ λάθρα λύειν ἐν τῷ, ὑπελύσαο δεσμῶν, Ἰλ. α', 401. 122, 33. καὶ ὑπολύειν τὸ ὑποκάτωθεν λύειν, οἷον ἐν τῷ, πρῶτος ὑπ' ἀρνειοῦ λυόμην, Ὀδ. ι', 463. 1639, 31. καὶ ὑπολύειν ἵππους τὸ τοὺς ὑποζυγίους ἵππους λύειν τοῦ ζυγοῦ. 1481, 30. ὑπολύειν δὲ μένος ἀντὶ τοῦ ἀναιρεῖν παρ' Ὁμήρῳ. 622, 24.

ὑπομένειν τὸ καρτερεῖν καὶ τὸ ἀναμένειν. 1088, 44. καὶ ὑπομένειν τὸ ὑπό τι μένειν καὶ τὸ ὑφίστασθαι καὶ ἀνθίστασθαι. 1017, 51. 1093, 4. 6. 1426, 51. 1656, 6.

ὑπομενετέον θετικὸν ἐπίῤῥημα, ὅτι ἀπὸ περισπωμένου ῥήματος δοκεῖ παρῆχθαι. 1093, 4. 1558, 30. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ μενέσω μέλλοντος ἔχει τὸ προπαραλῆγον ε̄. 1680, 56.

ὑπομενετικὸς ἄνθρωπος ὅτι παρὰ τὸ ὑπομένειν λέγεται. 1093, 4.

ὑπομιμνήσκω σε τοῦδε, αἰτιατικῇ ἐκ δευτέρου καὶ γενικῇ ἐκ τρίτου. 1773, 7.

ὑπομνᾶσθαι τὸ ὑπούλως καὶ ψευδῶς καὶ οὐ κατὰ νόμον μνηστεύειν. 1918, 48.

Ὑπονήιος Ἰθάκη, ὅτι τὸ ἐν Ἰθάκῃ Νήριτον ὄρος Νήιον ὁ Κράτης γράφει κἀντεῦθεν τὴν Ἰθάκην Ὑπονήιον εἰρῆσθαι λέγει παρ' Ὁμήρῳ. 1613, 40.

ὑπονόσφιον τὸ ὑπό τινος νοσφισθὲν, ὅ ἐστι χωρισθέν. 1243, 40.

ὑποπεπτηὼς ἀντὶ τοῦ ὑποπεπτωκὼς ἢ ὑποπετόμενος, ζήτει τὸ πεπτηώς. 229, 4.

Ὑποπλακία Θήβη καὶ Ὑπόπλακος χώρα παρ' Ὁμήρῳ, κατὰ μὲν Πορφύριον ἡ ἐπίπεδος καὶ λεία, παρὰ τὴν πλάκα, ὃ δηλοῖ ἐπίπεδον χωρίον. 322, 30. κατὰ δ' ἑτέρους Ὑπόπλακος χώρα ἡ ὑπὸ Πλακίῳ ὄρει τινὶ τῆς Ἀτραμυτινῆς χώρας κειμένη, ἐν ᾗ καὶ ἡ Ὑποπλακίη Θήβη καὶ τὸ Θήβης πεδίον. 649, 42 — 52.

ὑποπόδιον, βασιλικόν τι οἴκημα τρίκλινον τοῦ Περσῶν βασιλέως, ἐν ᾧ τρισχίλια διαπαντὸς ἔκειτο τάλαντα ἀργυρίου. 1484, 15.

ὑποπόλιός ὁ μὴ πάντῃ πολιός. 937, 38.

ὑποῤῥαγῆναι λέγεται ὁ αἰθὴρ ἀντὶ τοῦ ἐξαπλωθῆναι ἐκ συννεφείας, αἰθρίας ἐπιγενομένης. 729, 49. 55.

ὑπόῤῥηνος ὄϊς ἡ ὕπαρνος εἴτουν ἔγκυος, παρὰ τὸν ῥῆνα, ὃ δηλοῖ τὸν ἄρνα. 798, 37.

ὑπορύττειν κατὰ τὸ δολιεύεσθαι καὶ ἐπιβουλεύειν τινί. 1440, 2. 1811, 1.

ὑπορχηματικὸν εἶδος ὀρχήσεως, καθ' ὃ τῇ ὀρχήσει ἐμιμοῦντο τὰ ὑπὸ τῆς λέξεως ἑρμηνευόμενα. 1596, 17.

ὑποσακκίζειν τῆς ὁδοῦ, ἀντὶ τοῦ προκόπτειν καὶ ὑφαιρεῖσθαι, ὅτι παρὰ τὸν σάκκον λέγεται. 940, 20.

ὑποσκιάζειν λέγεται τὸ ἔσχατον μέρος τῆς ἡμέρας ἀντὶ τοῦ ἠρέμα ὑπονυκτερεύειν. 1427, 25.

ὑποσμύχειν ὅτι ὕφεσιν δηλοῖ τοῦ σμύχειν, ὃ δηλοῖ τὸ καίειν. 1277, 10.

ὑποσταίη, ὑπόσχηται, ἐγγυήσηται. 762, 26.

ὑποστὰς, συνταξάμενος καὶ ὑποσχόμενος. 1245, 38. 1246, 43.

ὑποστατικὸν διηγήσεως εἶδος λέγεται, ὅταν τις οἴκοθεν ἐφηγῆταί τι ὑφ' ἑαυτοῦ ἢ ἑτέρου τινὸς πραχθέν. 122, 19.

ὑποστατικὸς ὁ ὑφίστασθαι πεφυκὼς δίκην κίονος ὑπανίσχοντος τὸ ἐπικείμενον. 952, 55.

ὑποσταχύῳτο ἢ ὑποσταχύοιτο, Ὀδ. υ', 212. ἀντὶ τοῦ δίκην σταχύων αὔξοιτο. 1890, 2.

ὑποστῆναι τὸ δίκην κίονος ὑποκάτω στῆναι καὶ ὑπανέχειν, καὶ ὑποστῆναι ἀντὶ τοῦ ὑπομεῖναι καὶ καρτερῆσαι. 222, 9. 743, 52. 744, 9. 1093, 5. καὶ ὑποστῆναι ἐκ μεταφορᾶς τῶν κιόνων τὸ ἀναδέξασθαι καὶ ὑποσχέσθαι, ἑρμηνεία διεξοδική. 222, 8. 236, 14. 470, 24. 775, 22. 1236, 32.

ὑποστρεφθεὶς ἐν ἴσῳ τῷ μεταστρεφθεὶς παρ' Ὁμήρῳ. 863, 16.

ὑποστρέφω αἰτιατικῇ ἐλλιπῶς τῆς εἰς προθέσεως ἐν τῷ, μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον, Ἰλ. γ', 407. 430, 15. καὶ ὑποστρέψαι ἐν ἴσῳ τῷ μεταστρεφθῆναι παρ' Ὁμήρῳ, καὶ ὑποστρεφθεὶς ἐν ἴσῳ τῷ μεταστρεφθείς. 855, 30. 863, 16.

ὑπόσφαγμα τὸ μέλαν τῆς σηπίας. 1286, 5.

ὑποσφὰξ, κοιλότης καὶ σχίσμα. 897, 61.

ὑποσχέθειν ποιητικῶς τὸ κοινῶς ὑποσχεῖν. 675, 47.

ὑποσχεῖν χεῖρα ἢ κεφαλὴν ἢ ἀκοὴν, ἀντὶ τοῦ ὑποθεῖναι εἴτουν ὑποβαλεῖν εἰς ἀντίληψίν τινος. 236, 8. 675, 47. 983, 5. καὶ ὑποσχεῖν ἵππον θήλειαν εἰς ὀχείαν ὁμοίως. 546, 36.

ὑπόσχεσις ἡ ὑπό τινος σχέσις εἴτουν ἀντίληψις καὶ ἀντοχὴ, τουτέστιν ἡ ἐπαγγελία, ᾗ ἐνέχεται ὁ ὑποσχεθεὶς, ἑρμηνεία διεξοδική. 236, 3 — 17. καὶ περὶ τύπου εἴτουν τόπου ἀτελεσφορήτου ὑποσχέσεως, ᾗ οὐκ ἐνέχεται ὁ ὑποσχόμενος διὰ τὸ τῆς προθεσμίας ἀόριστον. 29, 44. 1495, 17.

ὑπόσχεσις, σχῆμα προεκθετικὸν τοῦ σκοποῦ. 18, 4.

ὑποτακτικοῦ ἄρθρου ἀπόδοσις οὐ πρὸς τὸ προηγούμενον πτωτικὸν, ἀλλὰ πρός τι ἐπαγόμενον. 628, 16 — 20.

ὑποταμεῖν τὸ κάτωθεν ἐκκόψαι δένδρον, προταμεῖν δὲ τὸ ἄνωθέν ποθεν τοῦ κορμοῦ, ἑρμηνεία διεξοδική. 1944, 51.

ὑποτίθεσθαι τὸ ἐκ παραινέσεως νοῦν ἐμποιεῖν τινί, καὶ ὅτι καὶ ὑποτιθέναι λέγεται ἐπὶ τοῦ αὐτοῦ. 1455, 37.

ὑποτίτθιον βρέφος, τὸ καὶ ὑπομάζιον. 117, 14. 650, 22.

ὑποτροπάδην ἐπίῤῥημα ὅτι ἀντίκειται τῷ προτροπάδην. 1061, 14.

ὑπότροπος ὁ οἴκαδε ὑποστραφεὶς εἴτουν ὑποστρέψας καὶ παλιννοστήσας, ἀπότροπος δὲ ὁ κεχωρισμένος καὶ οἷον ἐξόριστος. 647, 28. 1490, 41. 1764, 7. καὶ ὑπότροπα νοσήματα τὰ φιλοῦντα ὑποστρέφειν. 1894, 10.

ὕπουλον ἦθος τὸ μὴ ὑγιῶς ἔχων, καὶ ὕπουλον ἕλκος τὸ ὑπὸ τὴν προφαινομένην οὐλὴν κακόν τι κρύπτον. 1496, 36. καὶ ὕπουλος ἄνθρωπος ὁ κακότροπος, ὅτι ἐκ μεταφορᾶς τῆς κατὰ τὸ σῶμα οὐλῆς λέγεται. 1769, 36.

ὑποφήτης, ὅτι προφήτου ὑποφήτης εἶναι λέγεται. 1057, 62.

ὑποφθάμενος ἀντὶ τοῦ φθάσας καὶ προλαβών. 1777, 50.

ὑποφόνια χρήματα τὰ διδόμενα ὑπὲρ φόνου τοῖς διώκουσιν, ἵνα μὴ ἐπεξέλθωσι. 1158, 11.

Ὑποχαλκίς, πόλις Αἰτωλικὴ παρὰ τὸ ὑπὸ Χαλκίδα τὸ ὄρος κεῖσθαι οὕτω λεγομένη. 269, 31.

ὑποχείριον τὸ εἰς χεῖρας ἐλθὸν καὶ ὑπὸ ταῖς χερσὶ γενόμενον, ὅτι καὶ χείριον ἁπλῶς λέγεται, καὶ ὑποχείριος ὁ ὑπηρέτης. 1788, 27. 29.

ὑποχεύειν δέρματα ἀντὶ τοῦ ὑποστρῶσαι. 887, 24. καὶ ὅτι πάντα τὰ ἁπαλὰ σώματα χεύεσθαι λέγονται. 1750, 4.

ὑπόψιος ἀντὶ τοῦ ὕποπτος, ἢ ἐπονείδιστος καὶ ὃν τινες ὑπόδρα βλέπουσιν, ἢ ὁ τοὺς ἄλλους ὑφορώμενος διὰ δειλίαν. 380, 35.

ὑπτία ἡ θάλασσα εἶναι λέγεται ὅταν γαληνιᾷ, καὶ πεδίον ὕπτιον τὸ ἐπίπεδον, καὶ λειμὼν ὕπτιος ὁμοίως. 1461, 39.

ὕπτιος ὅτι παρὰ τὸ ὄπτω δοκεῖ λέγεσθαι τροπῇ Αἰολικῇ τοῦ ο εἰς υ, ὁρᾷ γὰρ ὁ ὕπτιος ἄνω ἔχων τὴν ὄψιν. 623, 44. 631, 45. 1679, 36. καὶ ὅτι τὸ ὑπτιάζειν ἐπὶ ἀναπαύσεως τίθεται. 249, 5. καὶ ὅτι ὑπτίους μὲν πίπτειν συμβαίνει τοὺς ἐν ἀντιπροσώπῳ μάχῃ πεσόντας, πρηνεῖς δὲ τοὺς ἐν φυγῇ. 643, 52.

ὑπώβολον τὸ ὑποκείμενον ἐπὶ ὀβολιαίῳ τόκῳ, ὑπόβολον δὲ διὰ τοῦ ο μικροῦ τὸ ἁπλῶς ὑποβεβλημένον εἴτουν ὑποκείμενον δανείῳ ἢ τόκῳ. 1405, 23.

ὑπωμοσία, ἀπόδοσις αἰτίας, δι' ἣν τις οὐκ ἀπήντησε πρὸς τὴν δίκην. 1660, 51.

ὑπώπια τὰ ὑπὸ τοὺς ὦπας εἴτουν ὀφθαλμοὺς μέρη παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς μεθ' Ὅμηρον ὑπώπια αἱ περὶ τοὺς ὀφθαλμοὺς πληγαί. 914, 38. 43.

ὑπωπιάζειν καὶ ὑπωπιασμός. 914, 38.

ὑπωρόφιοι ἀράχναι, οἱ ὑπὸ τοῖς ὀρόφοις φωλεύοντες, καὶ ὅτι ἐκ τοῦ ὑποορόφιος κατὰ κρᾶσιν τῶν δύο ο λέγεται τοὔνομα. 780, 24-32. 1358, 52.

—υρ καὶ —υς ληγόντων ὀνομάτων χρόνος, ὅτι ἐπὶ τῶν τοιούτων τὸ ῡ ἐκτεινόμενον ἐπὶ τῆς εὐθείας ἐν ταῖς πλαγίαις συστέλλεται, οἷον ἰσχὺς ἰσχύος, πῦρ πυρὸς, δρῦς δρυός. 1859, 10.

Ὑρία, χώρα καὶ πόλις Βοιωτική, ἣ καὶ Ὕριον οὐδετέρως λεγομένη. 264, 40. 265, 43.

Ὑρμίνη, πολίχνιόν τι ἢ ἀκρωτήριον περὶ Κυλλήνην τῆς Ἀρκαδίας, τὸ καὶ Ὕρμινα καὶ Ὅρμινα δὲ διὰ τοῦ ο μικροῦ λεγόμενον. 304, 13.

—υρμος ληγόντων ὀξυτόνων παραγωγὴ ἐκ ῥημάτων διὰ τοῦ —υρω, οἷον ὀλοφύρω ὀλοφυρμὸς, ὀδύρω ὀδυρμὸς, πτύρω πτυρμός. 1660, 11.

—υρος καὶ —υλος λήγοντα ὀνόματα ἔχοντα τὸ παραληκτικὸν υ τραπὲν ἐκ τοῦ η, οἷον ἅλμη ἁλμυρὸς, στήλη στύλος. 849, 62.

—υρος λήγοντά τινα ὀνόματα ἐκ ῥημάτων διὰ τοῦ —υω παρηγμένα, οἷον ἰσχύω ἰσχυρὸς, ὀϊζύω ὀϊζυρός. 430, 22.

Ὕῤῥας κύριον, ὅθεν Ὑῤῥάδης πατρωνυμικὸν, ὃ καὶ Ὑῤῥάδιος λέγεται, ὅτι ψιλοῦνται ὡς Αἰολικά. 13, 45.

—υς λήγοντα ὀξύτονα εἰ μὲν ἐν τῇ συνθέσει φυλάττει τὴν αὐτὴν κατάληξιν, ἀναπέμπει τὸν τόνον, οἷον ὀξὺς κάτοξυς, εἰ δὲ μὴ τὴν αὐτὴν φυλάττει κατάληξιν ἐν τῇ συνθέσει, ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον, οἷον ἡδὺς ἀηδής. 340, 21. 833, 38.

—υς περισπώμενα μονοσύλλαβα ἀρσενικὰ ὅτι φυλάττουσι τὸ ῡ ἐν τῇ κινήσει, οἷον δρῦς δρυὸς, μῦς μυός. 1859, 15.

—υς ληγόντων ὑπὲρ μίαν συλλαβὴν τόνος, ὅτι συλλέγεται ἐκ τῶν Ἡρωδιανοῦ περισπᾶσθαι τὸ ὀσφὺς καὶ ὀφρὺς καὶ ἔτι τὸ ἰχθύς. 1859, 14.

—υς λήγοντα ὀξύτονα θηλυκὰ, ὅτι συστέλλοντα μὲν τὸ ῡ διὰ τοῦ δ κλίνονται, οἷον κροκὺς κροκύδος, χλαμὺς χλαμύδος, τὰ δὲ ἐκτείνοντα διὰ καθαροῦ τοῦ —ος, οἷον ὀϊζύος, Ἐριννύος, τὰ δὲ περισπώμενα καὶ αὐτὰ διὰ καθαροῦ, οἷον ὀσφὺς ὀσφύος, ὀφρὺς ὀφρύος. 1859, 12. καὶ ὅτι καὶ τῶν εἰς —υς ληγόντων τινὰ Ἰωνικά εἰσιν, οἷον βρωτὺς, ἐδητὺς, ὀτρυντύς. 1180, 6.

—υς ληγόντων χρόνος ληκτικὸς καὶ παραληκτικὸς, ὅτι τὰ εἰς —υς περισπώμενον λήγοντα μονοσύλλαβα ὀνόματα καὶ ἁπλῶς τὰ εἰς —υς λήγοντα ἐν μὲν τῇ εὐθείᾳ ἐκτείνουσι τὸ ῡ, ἐν δὲ ταῖς πλαγίαις συστέλλουσιν, οἷον μῦς μυὸς, σῦς συὸς, δρῦς δρυὸς, ἰχθὺς ἰχθύος, ἰσχὺς ἰσχύος, ὀφρὺς ὀφρύος. 1286, 10. 1657, 6. 1859, 12.

ὗς ταὐτὸ ὅπερ σῦς, καὶ ὅτι καὶ εἶδος ἰχθύων ὕες λέγονται ὁμωνύμως. 244, 44. 1872, 9. καὶ ὅτι ὗς τὸ ζῶον τῇ Ἀφροδίτῃ ἐθύετο. 853, 33.

ὗς Δία θρέψασα καὶ τῷ ἑαυτῆς γρυσμῷ τὸν ἐκείνου βρέφους ὄντος κλαυθμὸν ἀνήκουστον ποιήσασα, ἱστορία μυθική. 773, 12.

ὑσμίνη ἡ μάχη, ὅτι παρὰ τὸ μίμνω ἢ παρὰ τὸ ὕω λέγεται, ἐτυ-

μολογία διεξοδική. 956, 22. καὶ ὅτι καὶ ὑσμίνη δηιοτῆτος κατὰ συνθήκην λέγεται. 1206, 41.

ὑσμῖνι δοτικὴ ἐκ τῆς ὑσμίνῃ μεταπεπλασμένη. 365, 12.

ὑσπέλεθρος ἡ τῶν ὑῶν κόπρος. 1752, 32.

ὕσπληξ ὅτι βαρύνεται παρὰ τὸν κανόνα τῶν ἐκ παρακειμένου συνθέτων εἰς ης καὶ ηξ ὀνομάτων, οἷον τὸ ἀδμὴς καὶ βουπλήξ. 629, 53.

υσσω ληγόντων ῥημάτων παραγωγὴ, οἷον ὄρω ἱρύσσω, ἀμῶ ἀμύσσω. 924, 40.

ὕστατα καὶ πύματα, ἀντὶ τοῦ ἔσχατα ἐσχάτων ἢ πανύστατα. 1880, 48.

ὑστερολογία, σχῆμα λόγου, ὃ καὶ πρωθύστερον λέγεται. 1664, 49. καὶ ἔκθεσις τῶν παραδειγμάτων τοῦ σχήματος. 80, 16. 97, 44. 141, 7. 1418, 41.

ὑστήρια, ἑορτὴ Ἀφροδίτῃ τελουμένη παρ' Ἀργείοις διὰ συῶν εἴτουν χοίρων θυσίας. 853, 34.

υτω λήγοντα ῥήματά τινα ἐκ προσθήκης ἔχοντα τὸ τ, οἷον ἀνύτω, ἀρύτω, ἐκ τοῦ ἀνύω, ἀρύω. 764, 33.

ὑφαίνω, ὅτι προϋπόκειται αὐτοῦ τὸ ὑφῶ ἄχρηστον. 1436, 44. καὶ ὅτι τὸ ὑφαίνειν γυναικεῖον ἔργον ἐστὶ, καὶ ὅτι ὀρθαὶ πύλαι ὕφαινον αἱ ὑφαίνουσαι. 31, 6. 10.

ὑφαιρεῖν τὸ ὑποκάτωθέν τινος ἐξεργεῖν τι, οἷον τὸ, ὑπὸ δ' ἥρεον ἕρματα νηῶν, Ἰλ. β', 154. 194, 30. παρὰ δὲ τοῖς ὕστερον ὑφαιρεῖν καὶ ὑφελέσθαι τὸ κρύφα καὶ δόλῳ ἀφαιρεῖσθαι, τουτέστι κλέπτειν. 1159, 43.

ὑφαντὴ ἐσθὴς παρ' Ὁμήρῳ ὅτι κατ' ἔλλειψιν τοῦ εὖ λέγεται, ἵν' ᾖ ἀντὶ τοῦ εὐύφαντος. 1787, 44.

ὕφασμα ὅτι ἐκ τοῦ ὑφάζω ἀχρήστου λέγεται. 1436, 46.

ὑφασμένος μετοχὴ ὅτι ἐκ τοῦ ὑφάζω ἀῤῥήτου θέματος κεκίνηται, καὶ ὅτι Ἀττικῶς λέγεται ὡς καὶ τὸ μεμολυσμένος. 1436, 51.

ὑφελέσθαι ἀντὶ τοῦ κλέψαι. 194, 31. 1063, 46. ζήτει τὸ ὑφαιρεῖν.

ὑφέλκειν τὸ λάθρα ὑποσύρειν. 998, 37.

ὑφ' ἓν, ἤγουν κατὰ συμπλοκὴν, ἀναγινωσκόμεναι λέξεις ἐν παραθέσει, οἷον ῥαπτὸν ἀεικέλιον, ἀντὶ τοῦ ἀεικελίως ῥαπτὸν, Ὀδ. ω', 228. 1959, 50.

ὑφεύμενος μετοχὴ ὅτι ἀπὸ τοῦ εὕω θέματος κεκίνηται, ὃ δηλοῖ τὸ φλογίζω. 1286, 21.

ὑφ' ἥλιον τὴν ὑπ' οὐρανὸν χώραν λέγουσιν οἱ μεθ' Ὅμηρον. 546, 33.

ὑφηνίοχος ἐν ἴσῳ τῷ ἡνίοχος κατὰ παρολκὴν τῆς προθέσεως, ἢ ἀντὶ τοῦ ὑποβεβηκὼς, καὶ ὑπό τινι ταττόμενος ἡνίοχος. 622, 25.

ὑφιέναι τὸ ἀνιέναι εἴτουν χαλάσαι. 130, 46.

ὑφίστασθαι τὸ ὑπό τι ἵστασθαι καὶ ὑπανέχειν, καὶ ὅτι ἀντὶ τοῦ ὑπομένειν καὶ καρτερεῖν συνήθως τίθεται. 1093, 6. ζήτει τὸ ὑποστῆναι.

ὑφόρμιον, χρυσοῦν κοσμάριον, ὅτι παρὰ τὸν ὅρμον λέγεται. 1150, 24. 1788, 46.

ὕφος ὅτι παρὰ τὸ ὑφῶ παρῆκται, ὃ προϋπόκειται τοῦ ὑφαίνω. 1436, 46.

ὑψαγόρας ὁ πιθανολόγος καὶ μεγαλοῤῥήμων καὶ τὰ μικρὰ καὶ ταπεινὰ ὑψηλῶς ἀγορεύων. 1424, 43.

ὑψερεφὲς ὅτι ἐκ τοῦ ὑψηρεφὲς τροπῇ τοῦ η εἰς ε λέγεται. 540, 27. 1481, 40.

ὑψηχέες ἵπποι, ὧν ὑψοῦ ὁ ἦχος ἥκει τῶν ποδῶν. 606, 18. 918, 19.

υψι ἀρχόμενα ὀνόματα ἐκ τῆς ὕψος λέξεως συγκείμενα ὅτι διὰ τοῦ ἰῶτα ἔχουσι τὴν ψι συλλαβὴν, οἷον ὑψίκομος, ὑψίζυγος. 460, 27.

ὕψι ποιητικῶς ἀντὶ τοῦ ὑψοῦ, ὡς καὶ ἄγχι ἀντὶ τοῦ ἀγχοῦ. 140, 19.

ὕψι βαίνειν ἀντὶ τοῦ πηδᾶν ἐνθουσιωδῶς ἢ τρόπῳ ὀρχήσεως ἐνοπλίου. 937, 63.

ὑψίζυγος Ζεὺς ὁ ἄνωθεν ζυγοστατῶν τὰ κατὰ τοὺς ἀνθρώπους, ἢ ὁ ὑψοῦ καθήμενος, ἑρμηνεία διεξοδική. 460, 23—31. 665, 24—34.

ὑψιπέτης ὁ ὑψοῦ πετόμενος, καὶ ὑψιπετὴς περισπωμένως ἐπὶ τοῦ αὐτοῦ ἐκ τοῦ ὑψιπετήεις κατὰ κρᾶσιν, ὑψιπετὴς δὲ ὀξυτόνως ὁ ἐξ ὕψους πεσών. 899, 53.

ὑψίπυλος πόλις ἡ ὑψηλὰς πύλας ἔχουσα. 652, 23.

ὑψόροφον ἐν ἴσῳ τῷ ὑψηρεφὲς, ὃ καὶ ὑψερεφὲς διὰ τοῦ ε ψιλοῦ λέγεται. 1664, 60.

ὑψοῦ ἐν νοτίῳ, ὅτι τὸ ἐν νοτίῳ πρόσκειται πρὸς διαστολὴν τοῦ ὑψοῦ ἐν χέρσῳ ἢ ἐν ψαμάθοις, ἐπεὶ καὶ διττῶς ὑψοῦ ὁρμίζεσθαι ἡ ναῦς λέγεται. 140, 5. 968, 36. 1517, 64.

υω λήγοντα ῥήματα ἐκ περισπωμένων παρηγμένα, οἷον φορῶ φορύω, χῶ χύω. 1917, 43.

υων λήγοντα ὀξύτονα περιεκτικοῦ τύπου, οἷον συκυὼν, κρομυών. 1302, 19.

Ἀρχὴ τοῦ Φ στοιχείου.

φ ἀρκτικὸν λέξεων ἀντὶ τοῦ θ κατὰ γλῶσσαν Αἰολικὴν, οἷον φῆρες ἀντὶ τοῦ θῆρες, καὶ φλᾶν ἀντὶ τοῦ θλᾶν, καὶ φλίβειν ἀντὶ τοῦ θλίβειν. 101, 46. 1817, 43.

φα λήγοντες μέσοι παρακείμενοι τῷ ο παραλήγοντες, ζήτει ἐν τῷ οφα λήγοντες. 1946, 47.

φάανθεν ἀντὶ τοῦ ἐφάνησαν ἢ ἀντὶ τοῦ ἐφωτίσθησαν ἐν τῷ, δεινὼ δέ οἱ ὄσσε φάανθεν, Ἰλ. α', 200. καὶ ὅτι ἐκ τοῦ ἐφαάνθημεν συστοίχου πρώτου ἀποβολῇ τοῦ ημ λέγεται. 85, 4. 10. 43.

φάβος ἀντὶ τοῦ φάος κατὰ γλῶσσαν προσθέσει τοῦ β. 1654, 21.

φαγεῖν ἀπαρέμφατον ὅτι προσεχῶς μὲν ἀπὸ τοῦ φάγω ἢ φήγω κεκίνηται, πόῤῥω δὲ ἀπὸ τοῦ φῶ, ὅ ἐστι φονεύω, θλῶ, συντρίβω. 1784, 39. ἀλλαχοῦ δὲ ὅτι τὸ φαγεῖν ἀπαρέμφατον ἀπὸ τοῦ φαγῶ δευτέρου μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα, τὸ δὲ φαγῶ ἢ φάγω παρὰ τὸ φῶ μονοσύλλαβον λέγεται. 1859, 34. 40.

φάγημα ὅτι παρὰ τὸν φαγῶ δεύτερον μέλλοντα λέγεται, ὡς παρὰ τὸ τραγῶ τὸ τράγημα. 1859, 35.

φάγρος, εἶδος ἰχθύος, καὶ φάγρος ἡ ἀκόνη ὁμωνύμως, ὅτι παρὰ τὸ φαγεῖν λέγονται. 1784, 41.

φάγων τινῶν ἀνθρώπων κατάλογος. 1523, 4 — 10.

φάεν ἀντὶ τοῦ ἔφαεν, ἤγουν ἔλαμπεν, Ὀδ. ξ', 502. ἀπὸ τοῦ φάω θέματος. 1770, 50.

φαέθειν ὅτι παρὰ τὸ φάειν λέγεται. 1651, 41.

Φαέθουσα καὶ Λαμπετίη, θυγατέρες Ἡλίου ἐκ Νεαίρας, ὅτι ποιμαίνειν τὰ ἐν Σικελίᾳ θρέμματα τοῦ Ἡλίου μυθεύονται, καὶ ἀλληγορία τοῦ μύθου. 1717, 27. 34.

φαέθω, ὅθεν καὶ Φαέθων τὸ κύριον, ὅτι παρὰ τὸ φάω, ὃ δηλοῖ τὸ λάμπω, λέγεται. 1728, 6.

Φαέθων καὶ Λάμπος, Ἠοῦς ἵππων ὀνόματα. 826, 26. φαέθων ἥλιος ἐπιθετικῶς ὁ φαεινὸς, ἤγουν λαμπρός. 1671, 45. καὶ Φαέθων υἱὸς Ἡλίου κυριωνυμικῶς. 1947, 20.

φαείνειν ὅτι παρὰ τὸ φαίνειν, ὃ δηλοῖ τὸ λάμπειν, λέγεται. 1734, 12. 1848, 31. ἀλλαχοῦ δὲ ὅτι τὸ φαείνω ἐκ τοῦ φάω παρήχθη. 1728, 5.

φαεινὴ σελήνη οὐχ ἡ ἀεὶ ἀλλὰ ποτὲ τοιαύτη, ὡς καὶ φαεινὴ ἐσθὴς, Ὀδ. ξ', 74. οὐχ ἡ ἐνεργείᾳ τότε οὖσα, ἀλλὰ δυνάμει τοιαύτη, ἑρμηνεία διεξοδική. 729, 20. 1552, 15. καὶ φαεινὴ μάστιξ ἡ στιλπνὴ ἢ ἡ λεπτή. 821, 16. 1552, 15.

φαεινοὶ πλόκαμοι οἱ ὑπερξανθίζοντες. 975, 60. φαεινοὶ δὲ ὀφθαλμοὶ οἱ φάους δεκτικοί. 1080, 10.

φαεινὸν τὸ λεπτὸν ἢ λευκὸν καὶ διαφανές. 427, 39. καὶ φαεινὸν δόρυ τὸ λαμπρὸν καὶ ἐσμηγμένον. 842, 58. καὶ ὅτι τὸ φαεινὸν ἐκ τοῦ φαείνω ῥήματος λέγεται. 1728, 6. καὶ φοίνικι φαεινὸς λόφος, Ἰλ. ὀ, 538. φοινικῷ χρώματι λάμπων. 1030, 39.

φαεσίμβροτος ἥλιος ὁ τοῖς βροτοῖς φαέθων, ἤγουν φαίνων. 1651, 52. καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ μ, ὡς τὰ πλεῖστα τῶν ἐκ τοῦ βροτὸς συγκειμένων. 243, 43.

φάζω τὸ φονεύω. 763, 63.

φάθι καὶ ἀπόφαθι, προστακτικὰ ἀντικείμενα ἀλλήλοις. 1641, 31.

Φαίακες, ἔθνος Κέρκυραν τὴν νῆσον οἰκῆσαν, ἀπὸ Φαίακος υἱοῦ Ποσειδῶνος καὶ Κερκύρας τῆς Ἀσωπίδος, καὶ ἱστορία τις περὶ τοῦ ἔθνους. 1521, 35.

Φαίαξ ὅτι Ποσειδῶνος υἱὸς καὶ Κερκύρας τοῦ Ἀσωποῦ ἱστορεῖται γενέσθαι. 1736, 28.

φαιδιμόεντες, ὅτι ἐν τῷ φαιδιμόεντες ἐνόμισάν τινες ἐγκεῖσθαι τὴν ἔντεα φωνήν. 954, 56.

Φαῖδρα, Μίνωος θυγάτηρ, γυνὴ δὲ Θησέως, ὅτι Ἱππολύτου ἐρασθεῖσα καὶ μὴ τυχοῦσα αὐτή τε ἀπήγξατο κἀκεῖνον διαβαλοῦσα ἀπωλείας αὐτῷ γέγονεν αἰτία, ἱστορία. 1688, 17.

Φαῖδρα κύριον ὅτι παρὰ τὸ φαίνω λέγεται. 395, 20. ἀλλαχοῦ δὲ ὅτι τὰ Φαῖδρος καὶ Φαῖδρα κύρια ἐκ τῶν φαιδρὸς καὶ φαιδρὰ ἐπιθέτων μετήχθησαν. 1567, 52. τὰ δὲ φαιδρὸς καὶ φαιδρὰ ἐκ τῶν φαιδηρὸς καὶ φαιδηρὰ συνεκόπησαν. 792, 13. 906, 44.

φαῖεν, τρίτον πρόσωπον πληθυντικὸν ἀνάλογον τῷ φαῖμεν πρώτῳ, τοῦτο δὲ ἐκ τοῦ φαίημεν, φαῖεν δὲ τρίτου προσώπου ἐκ τοῦ φαῖμεν πρώτου συνεκόπη. 176, 10.

φαίνειν ἀντὶ τοῦ προφέρειν ἐν τῷ, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ, Ἰλ. σ', 295. 1144, 22. ὁμοίως καὶ φαίνειν ᾠδὴν ἀντὶ τοῦ προφορικῶς ἐκφαίνειν, ἢ ἀντὶ τοῦ σαφῶς ᾄδειν, Ὀδ. θ', 499. 1607, 14. παρὰ δὲ τοῖς Ἀττικοῖς φαίνειν ἀντὶ τοῦ κατηγορεῖν, ὅθεν καὶ τὸ συκοφαντεῖν λέγεται. 1495, 14.

φαίνειν τὸ φανεροῦν καὶ εἰς φῶς ἄγειν, καὶ φαίνειν τὸ λάμπειν. 1607, 15. καὶ ἀπὸ τοῦ φῶ μονοσυλλάβου παρῆκται τὸ φαίνω. 1100, 29.

φαινέμεν ἀντὶ τοῦ φαίνειν, ἤγουν φανεροῦν καὶ ἐμφανῆ ποιεῖν. 1593, 58.

φαίνεσθαι ἐν ἴσῳ τῷ φαίνειν, ὃ ἐστι λάμπειν, ἐν τῷ, ἀρίστη φαίνετο βουλὴ, πολλαχοῦ παρ' Ὁμήρῳ. 737, 56. καὶ ἐν τῷ, πυρὰ φαίνετο Ἰλιόθι πρὸ, Ἰλ. θ', 561. 729, 8. καὶ φαίνεσθαι ἀντὶ τοῦ πεφηνέναι καὶ εἰς φῶς ἐκκεῖσθαι πολλαχοῦ παρ' Ὁμήρῳ. 1514, 32. 1904, 3. καὶ ὅτι ἐν τῷ, νίκη μὲν δὴ φαίνετ' Ἀρηιφίλου Μενελάου, Ἰλ. γ', 457. τὸ φαίνεται οὐ διστακτικῶς ἀλλὰ βεβαιωτικῶς κεῖται. 415, 40. 434, 40. καὶ ὅτι φαίνεσθαι τελευτὴν βιότου τινὶ ἀντὶ τοῦ ἐγγίζειν τινὶ τὸν θάνατον λέγει Ὅμηρος. 1081, 53.

φαίνεσκεν ἀντὶ τοῦ ἐφαίνετο ἐν τῷ, γαῖα ποσὶ φαίνεσκεν, Ὀδ. λ', 587. 1701, 37.

φαινίνδα, τρόπος τις τῆς διὰ σφαίρας παιδιᾶς, καθ' ὃν ἑτέρῳ δεικνύντες τὴν σφαῖραν ἑτέρῳ ἐφίεσαν καὶ ἔφευγον. 1601, 36. 51.

Φαιστὸς, πόλις Κρήτης ἀπὸ Φαιστοῦ υἱοῦ Ῥοπάλου τοῦ Ἡρακλέους, καὶ περὶ τῆς θέσεως αὐτῆς, καὶ ὅτι ὑπὸ Γορτυνίων κατεσκάφη· καὶ Φαιστὸς ἑτέρα Πελοποννήσου ὁμωνύμως τῇ Κρητικῇ. 313, 16. 520, 11. ἀλλαχοῦ δὲ ὅτι Φαιστὸς οὐ μόνον πόλις, ἀλλὰ καὶ ἀκρωτήριον τῆς Γορτυνίων χώρας, ὅπερ πανταχόθεν κυμαινόμενον ἐκ μόνου τοῦ πρὸς μεσημβρίαν μέρους ἀκύμαντον διαμένει, ἱστορία φυσική. 1469, 12.

Φακῆ, ὅτι οὕτως ἐπεκλήθη Ἡγήμων ὁ παρῳδὸς διὰ τὸ χαίρειν μάλιστα τῷ ὀσπρίῳ. 1239, 29. καὶ ὅτι τὴν Ὀδυσσέως ἀδελφὴν Φακῆν κεκλῆσθαι φασί τινες. 1572, 52. 55.

φάκινος ὁ ἐκ φακῆς μετουσιαστικῶς. 1572, 51.

φακὸς κλίνης ὁμωνύμως τῷ ὀσπρίῳ. 1289, 14.

φαλάγγια τὰ ὑποτιθέμενα τοῖς νεουλκουμένοις σκάφεσι ξύλα, ἃ καὶ ἕρματα λέγονται· καὶ φαλάγγια τὰ ἁπλῶς ξύλα, καὶ φαλάγγια ὁμωνύμως ἐν ταῖς τῶν οἴκων δοκοῖς φωλεύοντα ἀράχνια. 140, 9. 469, 15 — 20.

φάλαγξ, σύστημα τακτικὸν ἐξ ἀνδρῶν ρκ', καὶ ἁπλῶς ἡ στρατιωτικὴ παράταξις· καὶ φάλαγξ, τὸ καὶ φαλάγγιον, ὅ ἐστιν ὁ ἀράχνης τὸ ζωΰφιον, καὶ φάλαγγες ὑποτιθέμεναι δοκοὶ τοῖς νεουλκουμένοις σκάφεσι. 285, 39. 469, 8 — 22. 924, 5. καὶ ὅτι οὐ μόνον ἀνθρώπων φάλαγξ, ἀλλὰ καὶ ἑτέρων ζῴων καὶ δένδρων καὶ προσέτι λοπάδων παρά τινι κωμικῷ κατὰ συνθήκην λέγεται. 678, 61.

φαλάκρα καὶ φαλακρὸς ὅτι παρὰ τὸ περὶ τὴν κάραν φάλιον, ὅ ἐστι λευκὸν καὶ λαμπρὸν, λέγεται. 424, 8. 1850, 7.

Φάλαννος, πόλις Περῤαιβικὴ πρὸς τῷ Πηνειῷ. 333, 30.

φάλαρα περικεφαλαίας ὅτι παρὰ τὸ φάλοις ἀρηρέναι λέγεται· καὶ φάλαρα ἵππου, κόσμος προμετωπίδιος, παρὰ τὸ φάλιον, ὃ δηλοῖ τὸ λευκὸν, τοῦτο δὲ παρὰ τὸ φάειν ἅλις. 87, 12. 601, 10. 1048, 30.

Φάλαρις βρέφη γαλαθηνὰ θοινώμενος δι' ὠμότητα, ἱστορία. 1485, 54.

φάληρα ταὐτὸ ὅπερ φάλαρα, ὃ δηλοῖ παραγναθίδας ἵππων καὶ τὰ ἐπὶ ταῖς περικεφαλαίαις κόσμια. 910, 30. 1048, 30.

φαληριὸν κῦμα τὸ τῷ ἀφρῷ λευκαινόμενον, καὶ φαληριῶσα πέτρα ὁμοίως, ὅτι παρὰ τὸ φάλιον, ὃ δηλοῖ τὸ λευκὸν, λέγονται. 424, 9. 732, 31. ζήτει τὸ φάλιον.

φαληρὶς, εἶδος ἰχθύος, ὅτι παρὰ τὸ φάλιον, ὃ δηλοῖ τὸ λευκὸν, λέγεται, καὶ διὰ τί τῇ Ἀφροδίτῃ ἀφιέρωτο. 87, 9.

φαληριῶσα σπίλος, ὅτι οὕτω καλεῖ ὁ Λυκόφρων τὴν λευκὴν καλουμένην νῆσον. 960, 57. 1696, 46.

φάλιον τὸ λευκὸν καὶ λαμπρὸν, ὅτι παρὰ τὸ φάειν ἅλις λέγεται, καὶ ὅτι καὶ φάλιος ἵππος καὶ φάλιος ἄνθρωπος ἐπιθετικῶς λέγεται. 424, 7. 601, 15. 960, 56. 1048, 30. 1728, 8.

φαλλοφόροι, κωμικοί τινες μῖμοι οὕτω λεγόμενοι παρὰ Σικυωνίοις. 889, 26.

φάλοι, συρίγγιά τινα ἐν ταῖς περικεφαλαίαις, εἰς ἃ ἐνίενται οἱ λόφοι. 424, 5. 601, 9. 803, 57. 924, 33.

φάμα ἡ φήμη Δωρικῶς, ὅτι ἐκ τοῦ πέφαμαι πρώτου προσώπου ῥηματικοῦ λέγεται. 1550, 1.

φάμενος, μετοχὴ τοῦ φάσθαι ῥήματος, ὅτι καὶ τῷ πεζῷ λόγῳ χρησιμεύει ἡ λέξις. 380, 39.

φανάριον ὅτι ἐκ τοῦ φανὸς γέγονε φανίον, ὅθεν τὸ φανάριον παρὰ τοῖς χυδαίοις. 1571, 4.

φανείη, εὐκτικὸν πρόσωπον ῥηματικὸν, ὅτι καὶ φανήῃ γράφεται δυσὶν ῆ, ἐκ τοῦ φανῇ πλεονασμῷ ἑτέρου ῆ, ἢ ἐκ τοῦ φανείω τροπῇ τῆς ει διφθόγγου εἰς τὴν ῃ δίφθογγον, ἑρμηνεία διεξοδική. 1189, 25. 1356, 42. 1544, 64.

φανερὸς ὅτι παρὰ τὸ φαίνειν λέγεται. 513, 45.

φανίον ὅτι ἐκ τοῦ φανὸς ὑποκεκόρισται. 1571, 3.

Φανίου θύρα, παροιμία ἐπὶ τῶν ψευδῶς προσποιουμένων θησαυρὸν ἑαυτοῖς ἀποκεῖσθαι. 1959, 14.

φανὸς ὁ πυρσὸς, ὅτι καὶ πανὸς διὰ τοῦ π λέγεται. 1189, 23. ἀλλαχοῦ δὲ ὅτι φανὸς ἡ ἐκ κληματίδων λαμπὰς, δὰς δὲ ἡ ἐκ δᾳδων. 1427, 45. καὶ πάλιν ἀλλαχοῦ ὅτι φανοὶ παρ' Ἀθηναίοις ἐλέγοντο αἱ δᾷδες, ἤγουν αἱ λαμπάδες ἐκ δέσμης ἐσχισμένων ξύλων γινόμεναι. 1571, 3. 11. καὶ ὅτι καὶ ὁ τῶν δικῶν ὑπογραφεὺς φανὸς ἐλέγετο παρὰ τοῖς Ἀττικοῖς ὁμωνύμως τῷ λαμπτῆρι. 1607, 16.

Φαντασία, Μεμφῖτις γυνὴ συγγράψασα τὸν Ἰλιακὸν πόλεμον καὶ τὴν Ὀδυσσέως πλάνην, ἱστορία. 1379, 62.

φαντασία, δύναμις ψυχικὴ μέση τῶν τε παχυτέρων καὶ τῶν ἁπλουστέρων. 1877, 50.

φαννλὸς ὅτι προβάτων ἡλικίας ἐστὶ προσηγορία. 1625, 38.

φάο, δεύτερον πρόσωπον προστακτικὸν ἀντὶ τοῦ φάσο ἀποβολῇ τοῦ σ γινόμενον, ὅτι βραχείᾳ παραλήγεται. 1641, 34. ἀλλαχοῦ δὲ ὅτι ἐκ τοῦ φάτο συστοίχου τρίτου λέγεται ἐνδείᾳ τοῦ τ. 1798, 46.

φάος τὸ φῶς ὅτι παρὰ τὸ φάω, ῥῆμα λέγεται. 1728, 7.

φάραγξ ὅτι παρὰ τὸν ζωικὸν φάρυγγα λέγεται. 309, 20. καὶ ὅτι καὶ φάραγξ κλοπῆς καὶ ἀσωτίας ὁ ὑπερβαλλόντως ἄσωτος καὶ κλέπτης τροπικῶς λέγεται. 1716, 33.

φάρεα συνήθως τὰ συνεῤῥαμμένα εἰς ἔνδυσιν ἱμάτια, ποτὲ δὲ τὰ σπεῖρα, ὅ ἐστι λινᾶ ὑφάσματα, σημαίνει, οἷον ἐν τῷ, τόφρα δὲ φάρε' ἔνεικε Καλυψὼ, ἱστία ποιήσασθαι, Ὀδ. ε', 258. 1532, 18.

φαρέτρα ἡ φέρουσα τὰ τρώοντα, ἤγουν τὰ βλάπτοντα βέλη. 39, 6. 1024, 60.

Φάρη ἢ Φᾶρις, πόλις τις τῆς Λακωνικῆς. 294, 19.

φάρμακα τὰ δηλητήρια παρὰ τὸ φέρειν ἄχος, καὶ φάρμακα τὰ ἀκεσώδυνα παρὰ τὸ φέρειν ἄκος· καὶ ὅτι καὶ τὰ τῶν ζωγράφων βάμματα καὶ αἱ ἁπλῶς βαφαὶ φάρμακα λέγονται, ὅθεν φαρμακῶνες τὰ βαφεῖα· καὶ ὅτι καὶ ἐπὶ ἄνθους τίθεται τοὔνομα. 436, 1. 564, 10. 1022, 28. 1415, 60.

φαρμακᾶν τὸ φαρμάκων δεῖσθαι ἢ φαρμάκων γέμειν. 1415, 61.

φαρμακεὺς καὶ φαρμακευτὴς ὁ φαρμάκοις χρώμενος ἐπὶ διαφθορᾷ. 1415, 63.

φαρμακεύτρια καὶ φαρμακὶς, γυνὴ ἡ φαρμάκοις φαύλοις χρωμένη. 1415, 64.

φαρμακίδες γυναῖκες ἐπίσημοι, Ἀγαμήδη, Κίρκη, Μήδεια, Κρεκοδίκη καὶ ἡ τοῦ Αἰγυπτίου Θῶνος γυνή. 881, 57.

φαρμακὶς καὶ φαρμακεύτρια, γυνὴ ἡ φαρμάκοις φαύλοις χρωμένη. 1415, 64.

φαρμακίτης ἐκαλεῖτο ὁ Πράμνειος οἶνος. 871, 21.

φαρμακοὶ παρ' Ἀττικοῖς οἱ τὰς πόλεις καθαίροντες τῶν μιασμάτων, οἳ καὶ φάρμακοι προπαροξυτόνως λέγονται παρ' Ἴωσι. 1935, 15. καὶ φαρμακὸς ἐν ἴσῳ τῷ κάθαρμα ἐν τῷ, πόθεν ἐγώ σοι συγγενὴς ὦ φαρμακέ. 1415, 62.

φάρμακον, ὅτι μέση ἀγαθοῦ καὶ κακοῦ ἐστιν ἡ λέξις, ζήτει ἐν τῷ φάρμακα· καὶ ὅτι τῶν ἀκεσωδύνων φαρμάκων τρεῖς ἰδέαι καταλέγονται παρ' Ὁμήρῳ, τὰ χριστὰ, τὰ ἐπίπαστα καὶ τὰ πιστὰ, ἤγουν πότιμα. 464, 35.

φαρμακῶνες τὰ βαφεῖα, ἐπεὶ καὶ τὸ φαρμάσσειν ἐπὶ τοῦ βάπτειν τίθεται. 464, 40. 1278, 46. 1415, 61. 1636, 13. ζήτει τὸ φάρμακα.

φαρμάσσειν τὸ βάπτειν, καὶ φαρμάσσειν σίδηρον τὸ στομοῦν καὶ στεροποιεῖν. 456, 5. 464, 39. 1278, 47. 1636, 12.

Φάρος, νῆσος Αἰγυπτιακή, καὶ περὶ τῆς θέσεως αὐτῆς, ἱστορία. 1500, 15.

Φάρος, ναύκληρος ἐξελόμενος τὴν Ἑλένην ἐκ τῆς Πρωτέως φυλακῆς πρὸς τὸ ἀποκαταστῆσαι αὐτὴν εἰς Λακεδαίμονα, ἱστορία. 1500, 11.

φᾶρος, μανδοειδές τι περίβλημα, οὐ δυτὸν, ἀλλ' ἀναπτόν. 1570, 58. 1774, 15. καὶ φᾶρος τὸ ἁπλῶς ὕφασμα εἴτουν ἱμάτιον, παρὰ τὸ ὑφῆ ἀρηρέναι, ἢ καὶ προπερισπᾶται διὰ τὴν συναίρεσιν τῶν δύο α. 170, 2. 1436, 54. 1534, 2.

Φάρσαλα καθ' ἡμᾶς ἢ τὸ πάλαι Φθία. 71, 1.

Φαρύγαι ἢ τὸ πάλαι Σκάρφη, πόλις ἐγγὺς Θερμοπυλῶν, ὅτι ἐκ τοῦ φάρυξ φάρυγος λέγεται. 277, 37. 1635, 20.

φαρύγεθρον, ὅτι ἡ λέξις αὕτη ὑπαγορεύει καὶ χωρὶς τοῦ γ τὸ φάρυξ φάρυγος λέγεσθαι. 1635, 25.

φάρυγξ ὅτι κατὰ θηλυκὸν γένος λέγεται. 1390, 52. καὶ ὅτι καὶ φάρυξ φάρυγος χωρὶς τοῦ ν λέγεται, καὶ ὅτι ἐκ πλεονασμοῦ ἔγκειται τὸ ν τοῖς τοιούτοις, ἑρμηνεία διεξοδική. 1635, 21.

φὰς φάντος, μετοχὴ ποιητικῶς, φάμενος δὲ Ἀττικῶς. 380, 39. ἀλλαχοῦ δὲ ὅτι ἡ φὰς φάντος μετοχὴ δευτέρου ἐστὶν ἀορίστου, καὶ ὅτι χρήσιμός ἐστιν ὡς καὶ ἡ φάμενος. 37, 46. 1641, 34. καὶ ὅτι τὸ φὰς ἐκ τοῦ φάσας συνεκόπη, ὅπερ ἐκ τοῦ φῶ κανονικῶς κινεῖται, ὡς ἐκ τοῦ κλῶ τὸ κλάσας. 1654, 15.

φάσαι, ἄχρηστον καθ' αὐτὸ ἀντὶ τοῦ φονεῦσαι. 564, 8. 1827, 63.

φάσγανον ὅτι παρὰ τὸ σφαγαῖς γάνυσθαι λέγεται. 675, 58. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ φάσαι, ὃ δηλοῖ τὸ φονεῦσαι, λέγεται. 1827, 63.

Φάσηλις, πόλις ἀξιόλογος καὶ λίμνη, ἧς ὑπέρκειται ὄρος Λυκιακὸν Σόλυμα οὐδετέρως λεγόμενον. 635, 34.

φάσθαι, ἀπαρέμφατον ἀντὶ τοῦ φάθι προστακτικοῦ ἐν τῷ, φάσθαι Ὀδυσσῆα πτολιπόρθιον ἐξαλαῶσαι, Ὀδ. ι', 504. καὶ ὅτι ἀπὸ τοῦ ἐφάμην μέσου ἀορίστου δευτέρου κεκίνηται, διὸ καὶ παροξύνεται, ὡς φύσει βραχέος ὄντος τοῦ παραληκτικοῦ ᾱ, Ἡρακλείδης δὲ προπερισπᾶν ἀξιοῖ καὶ μακρᾷ παραλήγεσθαι, ὡς ἀπὸ τοῦ φάομαι φῶμαι, τὸ ἀπαρέμφατον φάεσθαι φᾶσθαι. 1641, 31—40.

φάσθε νύ που, ἀντὶ τοῦ λέγετε ἴσως, Ὀδ. κ', 562. 1669, 63.

φασὶ, κατηγόρημα ποτὲ μὲν περὶ τῶν κατὰ φήμην γινωσκομένων λεγόμενον παρ' Ὁμήρῳ, οἷον· φασὶ σὲ μὲν Πηλέως ἀμύμονος ἔκγονον εἶναι, Ἰλ. ν', 206. ποτὲ δὲ περὶ τῶν κατὰ τὴν κοινὴν δόξαν ὁμολογουμένων πρὸς ἱστορικὴν ἀκρίβειαν καὶ πίστιν, οἷον ἐν τῷ, ἀετὸν ὅν φασιν ὀξύτατα δέρκεσθαι, Ἰλ. ρ', 674. καὶ ἐν τῷ, Ὄλυμπον ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι, Ὀδ. ζ', 42. καὶ ὅτι καὶ τὸ φημὶ περὶ τῶν ἀκριβῶς γινωσκομένων λέγεται παρὰ τῷ αὐτῷ, οἷον, φημὶ γὰρ κατανεῦσαι ὑπερμενέα Κρονίωνα, Ἰλ. β', 350. 1122, 57. 1174, 3. 1412, 23. 1550, 62. καὶ ὅτι ἐπὶ τῶν τοιούτων ἀοριστότερόν ἐστι τὸ φασὶ τοῦ φησὶν ὁ δεῖνα. 1203, 57.

φάσις ὁ λόγος, ἐκ τοῦ φάω φῶ, ὃ δηλοῖ τὸ λέγω. 1374, 27. 1728, 18. καὶ ὅτι ἀπὸ τοῦ πέφασαι δευτέρου προσώπου ῥηματικοῦ παρῆκται, ὡς ἀπὸ τοῦ πέφαται τρίτου ἡ φάτις. 1550, 1.

φάσκειν, αὐδᾶν, μυθεῖσθαι, ἀγορεύειν, ὅτι ἰσοδυναμοῦσιν ἀλλήλοις, ἢ καὶ τὰ ἐξ αὐτῶν, τὸ παραιφάσκειν καὶ παραυδᾶν καὶ παραμυθεῖσθαι καὶ παρηγορεῖν, ἰσοδυναμοῦσιν ὁμοίως. 1695, 32. καὶ ὅτι τὸ φάσκω ἐκ τοῦ φῶ, ὅ ἐστι λέγω, παρήχθη. 1728, 48.

φασκώλιον, δερμάτινον βαλάντιον, καὶ φάσκωλος ἡ ἱματιοφορίς. 1446, 5. ἀλλαχοῦ δὲ ὅτι φάσκωλος ῥαπτὸς θύλακος. 1534, 51.

φατειὸς παρὰ τὸ φατὸς, ὅ ἐστι λεκτός. 1374, 25.

φατὶ ἀντὶ τοῦ φησὶν Αἰολικῶς. 1613, 28.

φάτις ἡ φήμη, ὅτι ἀπὸ τοῦ πέφαται τρίτου προσώπου ῥηματικοῦ λέγεται, ὡς ἀπὸ τοῦ πέφασαι δευτέρου ἡ φάσις. 1550, 1.

φάτνη ὅτι παρὰ τὸ φαγεῖν λέγεται τροπῇ τοῦ γ εἰς τ. 547, 2. 658, 50. 1784, 43.

φατνώματα τὰ διάγλυφα τῶν στεγῶν σανιδώματα, καὶ φατνωτὸν τὸ οὕτως σανιδωτὸν, ὅτι παρὰ τὴν φάτνην λέγονται. 547, 3. καὶ ὅτι καὶ φάτνωμα ὀδόντων κατὰ συνθήκην λέγεται. 1784, 46.

φάτο ἀντὶ τοῦ ἔφατο, τρίτον πρόσωπον τοῦ ἐφάμην μέσου ἀορίστου δευτέρου, ὅτι βραχείᾳ παραλήγεται. 1641, 33.

φατος λήγοντα ὀνόματα ἐκ τοῦ φῶ, ὃ δηλοῖ τὸ φονεύω, παρηγμένα, οἷον πρόσφατος, Ἀρηίφατος, ὀδυνήφατος. 887, 48.

φατὸς ὁ λεκτὸς, ἐκ τοῦ φάω φῶ, ὃ δηλοῖ τὸ λέγω. 1728, 18.

φατρία χωρὶς τοῦ ρ, ταὐτὸ ὅπερ φρατρία καὶ τριττὺς, ἃ ἦν τὸ τρίτον μέρος τῆς φυλῆς· καὶ φατριάζειν ἐν ἴσῳ τῷ φρατριάζειν, ὃ δηλοῖ τὸ εἰς ταὐτὸ συνιέναι τοὺς φράτορας. 239, 24—36. καὶ ὅτι εὐφωνότερον φατρία καὶ φατριάζειν χωρὶς τοῦ ρ λέγονται. 735, 51.

φάττα, εἶδος περιστερᾶς, μέγεθος ἀλέκτορος, τὸ δὲ χρῶμα σπόδιον, καὶ ὅτι τεσσαράκοντα ἔτη ζῶσιν αἱ φάτται. 1712, 42. 44.

φαύζειν τὸ φρύγειν, παρὰ τὸ φῶ τὸ καίω. 962, 49. ζήτει τὸ φαῦσις καὶ τὸ φώζειν.

φαυλία ἐλαία μικρόκαρπος ἐκ κοτίνου κοπέντος καὶ μεταφυτευθέντος. 1356, 64.

φαῦλος ὁ κακοήθης καὶ ὁ ἀγαθὸς παρ' Εὐριπίδῃ, καὶ φαῦλον τὸ μέγα, καὶ φαύλη ἐλαία ἡ μικρόκαρπος, καὶ φαῦλον τὸ ἁπλοῦν καὶ μέτριον. 1357, 61.

φαύλως ἀντὶ τοῦ ἁπλῶς καὶ ἡσυχῇ. 1357, 1.

φαῦσις παρὰ τὸ φαύω, ὃ ἐκ τοῦ φάω πλεονασμῷ Αἰολικῷ τοῦ υ λέγεται. 1728, 7.

φαύω ἐκ τοῦ φάω πλεονασμῷ Αἰολικῷ τοῦ υ. 1728, 6.

φάψ, εἶδος περιστερᾶς, ζήτει ἐν τῷ, περιστερῶν εἴδη. 1712, 42.

φάω, ὅτι τοῦ φάω εὕρηται παρα-

πράγμασι· καὶ ὅτι τὸ φερώνυμον ἐπώνυμον λέγεται παρ' Ὁμήρῳ· καὶ ὅτι διττῶς τὸ ἐπώνυμον, ἢ γὰρ τὸ αὐτομάτως τὴν ἀρχὴν τεθὲν, ὕστερον δὲ ἐπαληθεῦσαν, ἢ τὸ ἐκ μελέτης εἴτουν προνοίας τεθέν. 1567, 56.

φεύγειν τὸ σπουδαίως κινεῖσθαι πρὸς κακοῦ ἀποφυγήν. 1461, 57. καὶ ὅτι καὶ ἵπποι φεύγειν λέγονται παρ' Ὁμήρῳ ἀντὶ τοῦ συντόνως τρέχειν. 342, 19. 722, 24. καὶ ὅτι καὶ λόγος φεύγειν λέγεται, ὅταν εἴη μὴ καίριος, καὶ βέλος ἐκφεύγειν χειρὸς, ὅταν εἰς μάτην βληθῇ. 516, 18.

φεύζειν τὸ φεῦ λέγειν, ὡς οἰμώζειν τὸ οἴμοι λέγειν. 1279, 36.

φέψαλοι οἱ ἀναφερόμενοι σπινθῆρες ἐκ τῶν καιομένων ξύλων, ὅτι παρὰ τὸ φέβω φέψω καὶ τοῦ ἅλλεσθαι λέγονται, ἵν' ᾖ φέψαλος, οὗ φέβεταί τις τὸ ἅλμα. 1802, 62.

φεψάλυγες ταὐτὸ ὅπερ φέψαλοι. 1802, 62.

φῆ ἀντὶ τοῦ ἔφη, οἷον ἐν τῷ, ὁ δὲ φῆ κώδειαν σχὼν, Ἰλ. ξ', 499. ὅπου καὶ ἀντὶ τοῦ ὡς παραβολικοῦ ἐνόησάν τινες τὸ φῆ, ἵν' ᾖ, ὡς κώδειαν. 999, 25—30.

φηγαλεὺς Διόνυσος ὅτι παρὰ τὰς ἐπὶ τῶν φηγῶν ἀναδενδράδας ἀμπέλους ἐπωνυμικῶς λέγεται. 664, 46.

Φηγεὺς κύριον, ἐτυμολογία. 515, 42.

φήγινος ἄξων ὁ ἐκ φηγίνου ξύλου κατεσκευασμένος. 613, 5.

Φήγιον ὄρος τι παρὰ τὸ πολλὰς ἔχειν φηγοὺς οὕτω κληθέν. 664, 45.

φηγὸς, εἶδος δρυὸς, ὅτι παρὰ τὸ φαγεῖν λέγεται διὰ τὸ χορηγῆσαι τροφὴν τοῖς ἀρχαίοις ἀνθρώποις. 594, 34. 664, 45. 1859, 33.

φηγὸς, Διὸς ἱερὰ, ὅτι μία μόνη ἦν ἐν Τροίᾳ καὶ οὐ τόπος περιεκτικὸς πολλῶν φηγῶν. 653, 47. 664, 31. 1263, 14. καὶ ὅτι ὡς θρεπτικὴ καὶ ζωοποιός ποτε τῶν ἀνθρώπων τῷ ζωογόνῳ Διὶ ἀφιέρωτο. 594, 34. 664, 35.

φηλέω φηλῶ τὸ ἀπατῶ, ὅτι καὶ φηλόω κατὰ τὴν τρίτην λέγεται. 194, 32. 781, 10.

φῆληκες, ἤγουν ἀπατεῶνες, καὶ ὅτι τῶν σύκων ὅσα τὸ πέπον ψεύδονται φῆληκες λέγονται. 1964, 5.

φηλήτης, ζήτει ἐν τῷ φιλήτης διὰ τοῦ ἰῶτα.

φηλομήλα ὅτι Δωρικῶς οὕτω λέγεται, φιλομήλη δ' ἂν ἦν τὸ κοινόν. 1687, 16.

φηλώσας πρόβον, ἀντὶ τοῦ ἀπατήσας τὸν ἄρχοντα παρὰ Λυκόφρονι. 781, 11. ζήτει τὸ, φηλέω φηλῶ.

φήμη ἡ μαντικὴ κληδὼν παρ' Ὁμήρῳ, τουτέστιν ὁ μέλλοντός τινος δηλωτικὸς λόγος ἐξ αὐτομάτου λαλούμενος, οἷον ἐν τῷ, ὡς φάτο, χαῖρε δὲ φήμῃ Ὀδυσσῆος φίλος υἱός, Ὀδ. β', 35. ἐπὶ τοῦ ἁπλῶς λόγου εἴτουν τῆς ἀνθρωπίνης λαλιᾶς οὐχ' εὕρηται παρ' Ὁμήρῳ, ἐπὶ δὲ τοῦ τοιούτου σημαινομένου τὸ φῆμος τίθεται. 799, 10. 1432, 22. 1439, 8. 1840, 14.

φημὶ, ῥῆμα ἀποφαντικῶς καὶ ἀξιωματικῶς κατ' ἐπίκρισιν περὶ τῶν ἀκριβῶς γινωσκομένων λεγόμενον, οἷον ἐν τῷ, φημὶ κατανεῦσαι Κρονίωνα, Ἰλ. β', 350. τὸ δὲ φασὶ ποτὲ μὲν περὶ τῶν κατὰ φήμην γινωσκομένων, οἷον, φασὶ σὲ μὲν Πηλῆος ἔκγονον εἶναι, ποτὲ δὲ περὶ τῶν ὁμολογουμένων, οἷον, ἀετὸν ὅν φασιν ὀξύτατα δέρκεσθαι· ζήτει τὸ φασί. 190, 44. 214, 40. 627, 45. 637, 25. 1092, 12. 1412, 23. καὶ ὅτι τὸ φημὶ οὐ μόνον κατὰ φωνὴν ἐνεργητικὴν κινεῖται, ἀλλὰ καὶ κατὰ παθητικὴν, οἷον τὸ ἐφάμην ἐν ἴσῳ τῷ ἔφην, καὶ φάμενος ἀντὶ τοῦ φὰς, ὃ παρὰ ποιηταῖς μόνον εὕρηται λεγόμενον, οἷον ἐν τῷ, φάντες ἀριστῆα πρόμον ἔμμεναι, Ἰλ. γ', 44. 380, 39. καὶ ὅτι φαμαὶ ἔδει λέγεσθαι ἐν τοῖς παθητικοῖς, οὐ λέγεται δέ· καὶ ὅτι ἐκ τοῦ φάω φῶ δευτεροζύγου γέγονε. 1641, 37. 39. 1728, 18. καὶ ὅτι οὐκ ἔχει παρακείμενον. 1769, 58. καὶ ὅτι καὶ φῆμι βαρυτόνως λέγεται κατ' Αἰολεῖς. 1613, 18.

Φήμιος ποιητὴς, Κρηθηΐδι τῇ Ὁμήρου μητρὶ συνοικήσας καὶ τὸν Ὅμηρον παιδεύσας, ἱστορία. 1404, 16. καὶ ὅτι καὶ τῇ Πηνελόπῃ εἰς Ἰθάκην ἐπὶ γάμῳ πορευομένῃ Φήμιος ποιητὴς ἐδόθη φύλαξ. 1466, 61.

φῆμις Ἰωνικῶς ἡ κοινῶς φήμη. 799, 10. 1563, 31. 1956, 62. ἀλλαχοῦ δὲ ὅτι φῆμις ἡ δημοτικὴ συνέλευσις ἐπὶ δημηγορίᾳ ἐν τῷ, οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον δήμοιό τε φῆμιν, Ὀδ. ο', 468. 1787, 52. ζήτει τὸ φήμη.

Φημονόη, προφῆτις Ἀπόλλωνος, ὅτι πρώτη ἐφεῦρε τὸ ἡρωϊκὸν μέτρον. 4, 1.

φήνη, ὄρνεον ἀετῶδες, ὅτι παρὰ τὸ φαίνειν λέγεται. 1472, 43. 45. καὶ ὅτι καὶ τοὺς ἐκθέτους ἀετιδεῖς ἐκτρέφειν λέγεται. 1799, 63.

Φηρὰ, πόλις Μεσσηνιακὴ ἐν Πελοποννήσῳ, καὶ Φηραὶ πληθυντικῶς λέγεται, καὶ ὅτι παρὰ τὸν κανόνα τῶν διὰ τοῦ ηρα ὀξύνεται. 580, 36. 43. ἀλλαχοῦ δὲ ὅτι Φηραὶ πόλις τῆς Λακωνικῆς, Φεραὶ δὲ Θεσσαλίας. 743, 25. 1477, 61

φῆρες ἀντὶ τοῦ θῆρες Αἰολικῶς, καὶ ὅτι οὕτω λέγονται οἱ Κένταυροι παρ' Ὁμήρῳ, οἱονεὶ φυῆρες, ἤγουν ἐκ δύο φυῶν ἡρμοσμένοι, τουτέστι διφυεῖς. 101, 45—102, 4.

φῇς πρόσωπον ῥηματικὸν ὅτι κατ' ἐνεστῶτα μὲν χρόνον ἀκουόμενον ὀξύνεται καὶ μετὰ προσγραφῆς τοῦ ι γράφεται, φῆς δὲ κατὰ δεύτερον ἀόριστον περισπᾶται καὶ χωρὶς τοῦ ι γράφεται. 1578, 17.

φησὶν εἶναι ἄριστος, Ἰλ. ο', 107. περὶ τοῦ Διὸς εἰρημένον, ὅτι ἢ σκωπτικῶς ἐῤῥέθη ἀντὶ τοῦ, λέγει μὲν οὐκ ἔστι δὲ, ἢ ἀντὶ τοῦ θαῤῥούντως ἀποφαίνεται. 1008, 18.

φήσω μέλλων ὅτι οὐκ ἀπὸ τοῦ φημὶ, ἀλλ' ἀπὸ τοῦ φῶ μονοσυλλάβου κεκίνηται. 1770, 32.

φθάμενος καὶ φθὰς μετοχαὶ ὅτι ἐκ τοῦ φθῆμι θέματος κεκίνηνται. 1309, 58.

φθάνω τὸ προλαμβάνω, ὅτι ἐκ τοῦ φῶ, ὃ δηλοῖ τὸ φαίνω, πλεονασμῷ τοῦ θ λέγεται. 810, 4. 886, 49. καὶ ὅτι τὸ φθάνω ἐκτείνει τὴν φθᾶ συλλαβὴν διὰ μέτρου χρείαν ἐν τῷ, χώρῳ ἐνὶ προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα, Ἰλ. φ', 262. 1236, 6.

φθὰς φθάντος, ὄνομα μετοχικὸν καὶ κύριον, ὅτι παροξύνεται κατὰ τὰς πλαγίας καὶ διὰ τοῦ ντ κλίνεται. 436, 21.

Φιλάμμων, πύκτης Ἀθηναῖος, ὅτι νικᾶν τὸν πάντα χρόνον ἱστορεῖται. 1324, 63.
φίλατο, ἤγουν ἠγάπησεν, ὅτι ἐκ τοῦ φίλημι σεσιγημένου θέματος κεκίνηται. 1269, 9. 1900, 7.
φιλεῖν τὸ ἀγαπᾶν καὶ τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι καὶ τὸ ἐρᾶν. 1583, 56.
φιλεῖν τὸ ἀγαπᾶν καὶ τὸ φιλοφρονεῖσθαι καὶ τὸ τὰ χείλη συμβάλλειν. 405, 13. 622, 12. 950, 59. 1799, 51. καὶ φιλεῖν ξένον τὸ ὑποδέχεσθαι καὶ ξενοδοχῆσαι. 1399, 17. καὶ ὅτι τὸ φιλεῖν κεφαλὴν καὶ ὤμους τῶν δούλων ἦν πρὸς τοὺς δεσπότας, τὸ δὲ κεφαλὴν καὶ ὄμματα τῶν ἐλευθέρων τε καὶ γένει προσηκόντων, φιλεῖν δὲ στόμα οὐκ εἴθιστο παρὰ τοῖς ἀρχαίοις ἐπί γε φιλοφροσύνης καὶ δεξιώσεως. 1811, 18.
φιληδεῖν ὅτι ἐκ τοῦ φιλεῖν καὶ τοῦ ἥδεσθαι ἰσοδυνάμων λέξεων σύγκειται. 437, 3.
φιλημάτων εἰδικαί τινες προσηγορίαι, χύτρα, δράπετον, παιδάριον καὶ γιγγλισμός. 1880, 60. 62.
φιλήμεναι ὅτι ἐκ τοῦ φιλῆναι γέγονε, τοῦτο δὲ ἐκ τοῦ φίλημι σεσιγημένου θέματος κεκίνηται. 1269, 7.
Φιλήτας ἢ Καλλῖνος, συγγραφεὺς τῶν Ναξιακῶν. 1885, 51.
φιλήτης ὁ κλέπτης, φιλητὴς δὲ ὁ ἐραστής. 781, 12. 1967, 35. καὶ ὅτι φιλήτης ὁ κλέπτης παρὰ τὸ φιλεῖν λέγεται ἢ παρὰ τὸ ὑφελεῖν, οἱονεὶ ὑφειλήτης, ἀφαιρέσει τῆς ἀρχούσης καὶ τοῦ ε τῆς διφθόγγου. 1888, 63 — 1889, 7.
φιλία, ὅτι οὐ δεῖ προχείρως τοὺς φίλους ποιεῖσθαι, ἑρμηνεία διεξοδικὴ ἐξ ἐπαγωγῆς παραδειγμάτων τινῶν. 1503, 13.
Φιλῖνος γάλακτι διὰ βίου χρησάμενος εἰς ἔδεσμα καὶ ποτὸν, ἱστορία. 916, 43.
φίλιπποι Θρᾷκες ἐπιθετικῶς παρὰ τοῖς τραγικοῖς, ὡς ἱππικοὶ καὶ μαχικοί. 980, 34.
Φίλιππος Κροτωνιάτης, Ὀλυμπιονίκης, ὅτι διὰ τὸ κάλλιστος γεγονέναι ἡρωικῶν τιμῶν ἔλαχεν ἐν Σικελίᾳ. 383, 42.
Φίλιππος ὁ Μακεδὼν ὅτι μετὰ τὴν πήρωσιν τοῦ ὀφθαλμοῦ ἠγριοῦτο ἑκάστοτε, ὁπότε ὀφθαλμοῦ ὄνομα ἀκούσοι. 1365, 62.
Φίλιππος ὁ Ἀμύντου ὅτι πολλὰς γυναῖκας ἠγάγετο, καὶ ἔκθεσις τῶν ὀνομάτων αὐτῶν, καὶ τῶν ἐξ ἑκάστης γενομένων τῷ Φιλίππῳ παίδων. 1345, 53.
φίλιστος ὑπερθετικὸν ὅτι καὶ συγκριτικὸν ἔχει τὸ φιλίων, οὗ χρῆσις Ὀδ. τ', 351. 1867, 40.
φιλίων καὶ φίλιστος ἀντὶ τοῦ φίλτερος καὶ φίλτατος. 1867, 37. 1961, 28. ζήτει τὸ φίλιστος.
φίλοι οἱ πρὸς γένους, ἑταῖροι δὲ οἱ συνήθεις ἐν τῷ, εἰ μετὰ οἷς ἑτάροισι δάμη ἠὲ φίλων ἐν χερσίν, Ὀδ. α', 337. 1414, 33. ἀλλαχοῦ δὲ ὅτι φίλοι οἱ συγγενεῖς καὶ οἱ ἄλλως οἰκεῖοι ἐν τῷ, μή μιν πρὶν ἄλοχος γνοίη ἀστοί τε φίλοι τε, Ὀδ. ν', 192. 1738, 45.
Φιλοίτιος κύριον ὅτι παρὰ τὸ φίλος λέγεται, ὡς παρὰ τὸ μένος ὁ Μενοίτιος. 1888, 59.
φιλοίφας ὅτι παρὰ τὸ οἴφειν, ὃ δηλοῖ τὸ συνουσιάζειν,' λέγεται. 1597, 29.
φιλόκαλος ὁ πορνικὸς κατὰ σκῶμμα. 170, 14.
Φιλοκτήτης ὅτι ἐκ Μηθώνης καὶ Ὀλιζῶνος καὶ Μελιβοίας Αἰολέων στρατὸν συλλέξας συνέπλευσε τοῖς ἐπὶ Τροίαν στρατευομένοις Ἕλλησιν, ἐν Λήμνῳ δὲ καθαίρων τὸν τῆς Ἀθηνᾶς βωμὸν ἐδήχθη ὑπὸ ὄφεως, κἀκεῖ καταλειφθεὶς καὶ ὑπὸ τῶν τοῦ Ἡφαίστου ἱερέων ἰαθεὶς καὶ ὕστερον ὑπὸ τῶν ἐν Τροίᾳ Ἑλλήνων κατὰ χρησμὸν μεταπεμφθεὶς καὶ τὸν Πάριν κατατοξεύσας αἴτιος ἐγένετο τοῦ τὴν Τροίαν ἁλῶναι. 329, 17. 41 — 330, 14.
φιλομειδὴς Ἀφροδίτη καθ' Ἡσίοδον ἢ ἐκ τῶν τοῦ Κρόνου μηδέων, ἤγουν αἰδοίων, μυθικῶς γενομένη, ὅτι κατὰ Βοιωτικὴν τροπὴν τοῦ η εἰς τὴν ει δίφθογγον λέγεται τοὔνομα, καὶ ὅτι διπλάζει τὸ μ διὰ μέτρου ἀνάγκην ἐνίοτε παρ' Ὁμήρῳ. 439, 35. 650, 44.
Φιλομηλείδης, ὅτι φαύλως ὡς πατρωνυμικὸν ἀπὸ τοῦ Φιλομήλα θηλυκοῦ ἀκούουσί τινες τοὔνομα, Ὀδ. δ', 343. ἔστι γὰρ παρὰ τὸ Φιλομηλεύς, ὅθεν τὸ ει δίφθογγον ἔχει, ἑρμηνεία διεξοδικὴ καὶ ἱστορία. 1498, 53 — 64.
Φιλομήλα καὶ Πρόκνη, Πανδίονος θυγατέρες, μεταμορφωθεῖσαι ἡ μὲν εἰς ἀηδόνα, ἡ δὲ εἰς χελιδόνα, μῦθος διεξοδικός. 1875, 3. 11.
Φιλόξενος λίχνος εὐξάμενος τριῶν πηχέων λάρυγγα γενέσθαι αὐτῷ. 1817, 25.
Φιλόξενος τραγῳδίαν τινὰ τῶν Διονυσίου τοῦ τυράννου δοκεῖν αἰτῷ ἀποκριθεὶς ἐσοφίσατο τὸν τύραννον τῇ ὁμωνυμίᾳ, ἑρμηνεία διεξοδική. 1691, 31.
φίλος ὅτι παρὰ τὸ πίνειν λέγεται κατά τινας διὰ τὸ καὶ ἐκ συμποσίων γίνεσθαί τινας φίλους. 561, 15. 1118, 59. 1415, 49. καὶ ὅτι καὶ ἐπὶ ἑταίρου καὶ ἁπλῶς οἰκείου, ἐνίοτε δὲ καὶ ἐπὶ συγγενοῦς τίθεται τοὔνομα. 215, 44. 398, 45. καὶ ὅτι ἐκτείνεταί ποτε ἡ ἄρχουσα τῆς λέξεως διὰ μέτρου ἀνάγκην. 458, 8. 556, 35. καὶ ὅτι κατὰ κλητικὴν πτῶσιν λέγεται ἐν τῷ, μηδέ σε δαίμων ἐνταῦθα τρέψειε φίλος, Ἰλ. ι', 601. 775, 37. καὶ ὅτι θεράπων τις τοῦ Περσῶν βασιλέως, Φίλος καλούμενος, ὑποκείμενος τῇ βασιλικῇ τραπέζῃ τὰ παραῤῥιπτόμενα κυνιστὶ ἐσιτεῖτο, καὶ μαστιγούμενος προσεκύνει τὸν μαστιγοῦντα, ἱστορία. 1494, 42.
φιλοσοφία ὅτι γνῶσις θείων καὶ ἀνθρωπίνων ὁρίζεται ὑπὸ τινῶν. 530, 7.
φιλότης ἐστὶ τῶν παρόντων, ἵμερος δὲ τῶν ἀπόντων· καὶ ὦ φιλότης, προσφώνημα ἀντὶ τοῦ ὦ φίλος παρὰ τοῖς Ἀττικοῖς. 977, 18. 26. 1469, 58.
φιλότης παρ' Ὁμήρῳ ἡ κατὰ συνουσίαν μῖξις, καὶ φιλοτήσια ἔργα τὰ τῆς τοιαύτης φιλότητος. 1682, 26. καὶ φιλότης ἐπὶ τῆς ἁπλῶς φιλίας πολλαχοῦ παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, φιλότητά τε πολλά τε δῶρα, Ὀδυσσ. ρ', 164. 1814, 19.
φιλοτήσια ἔργα τὰ ἀφροδίσια. 1681, 27.
φιλοτήσιος κρατὴρ ὁ φιλικός. 977, 27.

φιλοφρονήσασθαι τὸ φιλικῶς θεραπεῦσαι. 1604, 54.

φιλοψευδὴς οὐχ' ὁ ποτὲ ψευδόμενος, ἀλλ' ὁ ἀεὶ τοῦτο ποιῶν. 1145, 49.

φίλτατα λέγονται κατ' ἐξοχὴν οἱ γονεῖς καὶ γυνὴ καὶ τέκνα. 1581, 37.

φίλτατος ὅτι ἐκ τοῦ φιλώτατος ἢ φιλαίτατος κατὰ συγκοπὴν λέγεται. 1441, 31.

φίλτρον, λάχανόν τι διεγερτικὸν εἰς ἀφροδίσια. 1163, 9.

φίλυπνον πρόσωπον σκωπτικῶς λέγεται τὸ πάσχον καὶ ὕπνουν προσποιούμενον. 974, 26.

φίλως ἀντὶ τοῦ ἡδέως παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, νῦν δὲ φίλως χ' ὁρόῳτε καὶ εἰ δέκα πύργοι ὑμέων προπάροιθε μαχοίατο, Ἰλ. δ', 347. 479, 43. 481, 41.

Φίμβριος Ῥωμαῖος ἐν ἕνδεκα ἡμέραις ἑλὼν τὴν Ἰλιέων πόλιν, ἱστορία. 459, 45.

Φινεὺς ὅτι ἐν τῇ Βιθυνῶν χώρᾳ κατοικῶν καὶ σχὼν υἱοὺς ἐκ Κλεοπάτρας τῆς Βορέου ἐπηγάγετο ἑτέραν γυναῖκα καὶ τοὺς υἱοὺς ἐκείνῃ ἐξέδωκεν εἰς ἀναίρεσιν, ἐφ' οἷς αἱρέσεως αὐτῷ δοθείσης ὑπὸ τοῦ Διός, ἢ τυφλὸν ζῆν ἢ ἀποθανεῖν, καὶ ἑλόμενος τυφλὸς ζῆν, Ἁρπυίαις ὀρνέοις ἁρπακτικοῖς ἔκδοτος ἐγένετο, ἃ οἱ Ἀργοναῦται ἀπεδίωξαν αὐτοῦ ἐπὶ τῷ διδαχθῆναι πῶς τὰς Πλαγκτὰς παραπλεύσουσιν, ἱστορία διεξοδικωτάτη. 1712, 13—28.

φίντατος ἀντὶ τοῦ φίλτατος τροπῇ Δωρικῇ τοῦ λ εἰς ν. 918, 28. 1648, 4.

Φίντης ἀντὶ τοῦ Φίλτης τροπῇ Δωρικῇ τοῦ λ εἰς ν. 918, 28. 1648, 4.

φιτρὸς ὁ ἐκ φυτῶν κορμὸς τροπῇ τοῦ υ εἰς ι. 413, 13. 1234, 24. ἀλλαχοῦ δὲ ὅτι φιτρὸς ὁ κορμὸς, οἱονεὶ φίτυρος, ὡς ἀπὸ τοῦ φίτυ, ὃ δηλοῖ τὸ φυτόν. 890, 62. 1291, 26.

φίττα καὶ σίττα, ἐπίρρημα ἐπισπευστικόν. 855, 25. 1963, 43.

φιττάκια, τὰ καὶ πιστάκια. 1210, 42.

φίτυ τὸ φυτὸν εἴτουν φύτευμα, καὶ φίτυς ὁ γεννῶν εἴτουν ὁ πατήρ. 1234, 25. 1291, 26.

φίτυς ὁ πατὴρ τροπῇ τοῦ υ εἰς ι, καὶ φίτυ τὸ γέννημα. 413, 12. 1705, 52.

φλᾶν ἀντὶ τοῦ θλᾶν Ἀττικῶς. 102, 1. καὶ φλᾶσθαι Ἀττικῶς τὸ κοινῶς θλᾶσθαι. 1039, 39.

φλαῦρος, οἱονεὶ φλύαρος κατ' ἀναγραμματισμόν. 46, 1.

φλέβες ὑδάτων αἱ τῆς γῆς σύριγγες, ἐξ ὧν ἀναπιδύουσιν ὕδατα. 309, 41.

φλεγεθοίατο παθητικῶς ἀντὶ τοῦ φλέγοιεν ἐν τῷ, ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκρόν, Ἰλ. ψ', 197. 1295, 48.

φλέγειν ἀντὶ τοῦ λάμπειν. 1246, 56.

φλέγμα ἐν ἴσῳ τῷ πύρωσις καὶ φλόγωσις. 1239, 5.

Φλέγρα, πόλις Θρᾴκης ἡ καὶ Παλλήνη, περὶ ἣν ὁ Ἡρακλῆς τοὺς Γίγαντας κατεπολέμησεν. 291, 46. ζήτει τὸ Παλλήνη.

Φλεγύαι ἔθνος, ἀπὸ Φλεγύου ἀδελφοῦ Ἰξίονος, ὅμορον τοῖς Ἠπειρωτικοῖς Θεσπρωτοῖς, κατὰ δ' ἑτέρους Γυρτώνην Φωκικὴν ἢ Μαγνῆτιν κατοικήσαν, λῃστρικὸν δὲ καὶ ἀσεβὲς γενόμενον καὶ τὰς Θήβας ἀναστατῶσαν καὶ τὸν ἐν Πυθοῖ ναὸν τοῦ Ἀπόλλωνος πορθῆσαν ὑπ' ἐκείνου ταρταρωθῆναι μυθεύεται· καὶ ὅτι ἀπὸ τῶν Φλεγυῶν φλεγυᾶν τὸ ὑβρίζειν ἐλέγετο παρὰ Φωκεῦσι· καὶ ὅτι καὶ Φλεγύα Βοιωτικὴ πόλις ἱστορεῖται γενέσθαι, ἧς ὁ πολίτης ὁμωνύμως τῷ ἐθνικῷ οὐ μόνον Φλεγίας Φλεγύου, ἀλλὰ καὶ Φλεγύας Φλεγύα, καὶ Φλεγυεὺς δὲ καὶ Φλέγυς Φλέγυος λέγεται. 333, 25. 337, 15. 933, 8—24.

φλεγυᾶν ἐν ἴσῳ τῷ ὑβρίζειν, παρωνύμως ἀπὸ Φλεγυῶν τοῦ ἔθνους. 933, 14. ζήτει τὸ, Φλεγύαι ἔθνος.

φλεγύας ὁ ξανθὸς ἀετὸς κατὰ γλῶσσαν ὁμωνύμως τῷ ἐθνικῷ. 933, 26.

φλεδὼν ὁ κατεχόμενος δαιμονίῳ τινί. 1431, 49.

φλὲψ κοίλη, ἡ καὶ νωτιαία, καὶ περὶ τῆς κατὰ τὸ σῶμα πορείας τῆς κοίλης φλεβός. 946, 10.

Φλιασία, πόλις Πελοποννήσου μεταξὺ τῆς Ἀργείας καὶ Σικυωνίας χώρας. 291, 19.

φλίβειν Αἰολικῶς ἀντὶ τοῦ θλίβειν. 1817, 43.

φλίψεσθαι ἀντὶ τοῦ θλίψεσθαι παρὰ τοῖς Ἀττικοῖς. 102, 2.

φλόγεα ὄχεα, Ἰλ. ε', 745. ἀντὶ τοῦ λαμπρὸν ἅρμα. 512, 33. 603, 40.

φλοίακες παρ' Ἰταλοῖς μῖμοι τινὲς κωμικοί. 884, 26.

φλοιὸς ὅτι παρὰ τὸ φλέω λέγεται καὶ ὅτι ὀξύνεται, καὶ ὅτι καὶ φλοῦς λέγεται ἐκ τοῦ φλόος συναιρεθέν. 93, 46.

φλοῖσβος, ἦχος ποιὸς τοῦ θαλασσίου ὕδατος κατὰ ὀνοματοποιίαν. 31, 44.

φλὸξ ὅτι ἀὴρ ἐστιν ἐξαφθείς. 152, 7. καὶ ὅτι καὶ εἶδός τι ἄνθους φλὸξ ὁμωνύμως λέγεται. 1049, 37.

φλοῦς ὁ φλοιὸς, ὅτι ἐκ τοῦ φλόος κατὰ συναίρεσιν λέγεται. 94, 2.

φλυαρεῖν τὸ οἱονεὶ ζέειν τοῖς λόγοις, παρὰ τὸ φλύειν, ὃ δηλοῖ τὸ ζέειν. 1240, 62. καὶ ὅτι καὶ φλυαρίζειν κατὰ διφόρησιν καταλήξεως λέγεται. 1416, 37.

φλύαρος ὅτι παρὰ τὸ φλύειν, ὅ ἐστι ζέειν, λέγεται, ὁ οἱονεὶ ζέων τοῖς λόγοις. 1240, 63.

φλύειν καὶ ἀναφλύειν τὸ ἀναζέειν ἐν τῷ, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα, Ἰλ. φ', 361. 1240, 62.

φλύκταινα, ὅτι παρὰ τὸ φλύω γίνεται φλύσσω, ὅθεν φλύκταινα τὸ ἐκ καύσεως ἐν σαρκὶ ἐπανάστημα. 1240, 64.

φλυκτὶς ταὐτὸ ὅπερ φλύκταινα. 1241, 3. ζήτει τὸ φλύκταινα.

φλύος ἡ φλυαρία, ὅτι παρὰ τὸ φλύω λέγεται. 1746, 8.

φλῶ ἐν ἴσῳ τῷ ὁρμὴν ἔχω, ὅθεν οἰνόφλυξ. 972, 33.

φοβέειν ἐν ἴσῳ τῷ ἐκφοβεῖν. 1014, 1.

φοβεῖσθαι οὐ μόνον τὸ δειλιᾶν, ἀλλὰ καὶ τὸ φεύγειν πολλαχοῦ παρ' Ὁμήρῳ. 623, 42. 629, 40. 892, 19.

φόβον Ἄρεως φορεῖν, Ἰλ. β', 767. ζήτει τὸ φορεῖν. 342, 14—27.

φόβονδε, εἰς φυγήν. 1036, 25. καὶ φόβονδε ἀγορεύειν, Ἰλ. ε', 252. ἀντὶ τοῦ λέγειν τὰ πρὸς φυγὴν συντείνοντα. 545, 32.

Φόβος οἱ μὲν ὅτι υἱὸς Ἄρεως, οἱ δὲ ὅτι ἵππος Ἄρεως οὕτω καλούμενος, καὶ ὅτι ὡς ποιητικὸς φόβου

οὕτω λέγεται ὁμωνύμως τῷ ἐν τοῖς φοβουμένοις πάθει. 932, 62.

φόβος ἡ φυγὴ πολλαχοῦ παρ' Ὁμήρῳ, καὶ φέβεσθαι τὸ φεύγειν. 495, 13. 852, 47.

φοίβη φλὸξ παρ' Αἰσχύλῳ (Prom. 22.) τὸ τοῦ ἡλίου φῶς. 1266, 46.

Φοῖβος ὁ Ἥλιος, οἱονεὶ Φαέβιος, ἢ ἀπὸ Φοίβης τῆς μάμμης αὐτοῦ, ἢ παρὰ τὴν φόβην, ὃ δηλοῖ τὴν κόμην. 38, 1. 1197, 28.

φοινήεις δράκων ὁ φόνιος ἢ ὁ φόνῳ, ὅ ἐστιν αἵματι, βεβαμμένος. 899, 59.

Φοίνικες ἔθνος ὅτι παρὰ τὸ περὶ ποταμὸν Ἐρύθραν καλούμενον ἢ περὶ τὴν ἐρυθρὰν θάλασσαν οἰκῆσαι οὕτω δοκεῖ κληθῆναι. 1051, 62. καὶ ὅτι ἐν τῷ Φοίνικες ἄνδρες παρ' Ὁμήρῳ πρὸς διαστολὴν πρόσκειται τὸ ἄνδρες τοῦ ἵπποι ἢ ἄλλου τινὸς τῶν ἐκ τῆς Φοινίκων χώρας. 1327, 54. καὶ ὅτι καὶ ὁ τοῦ φοίνικος τοῦ δένδρου καρπὸς φοίνιξ λέγεται ὁμωνύμως τῷ φυτῷ, καὶ ὅτι καὶ φοίνικές τινες φύονται πυρῆνας μὴ ἔχοντες εὐνοῦχοι καλούμενοι. 1735, 41.

φοίνικι μιαίνειν, Ἰλ. δ', 141. ἀντὶ τοῦ φοινικῷ χρώματι βάπτειν. 455, 46. καὶ φοίνικι φαεινὸς ζωστὴρ ὁ φοινικῷ ἄνθει φαιδρὸς, ἤγουν φοινικοβαφής. 682, 43. 1030, 39.

Φοινίκια γράμματα λέγονται διὰ το τὸν Κάδμον ἐκ Φοινίκης αὐτὰ κομίσαι, καὶ ψεῦδος Φοινικικὸν τὸ τερατῶδες διὰ τὸ περὶ τοῦ Κάδμου καὶ τῶν Σπαρτῶν μυθολόγημα. 1757, 56. 59.

φοινικόεις ὁ ἐρυθρὸς, καὶ φοινικόεσσα χλαῖνα ἡ ἐρυθρά. 1051, 62.

φοινικοπάρῃοι νῆες, παρ' Ὁμήρῳ αἱ καὶ μιλτοπάρῃοι. 1676, 28.

φοίνικος ἐγκέφαλος ἡ μεσαιτάτη κορυφὴ τοῦ δένδρου, ὅτι ἥδιστόν ἐστι βρῶμα, κεφαλαλγὲς δέ. 757, 55.

φοινικοῦν χρῶμα τὸ κατακόρως πυῤῥὸν καὶ οἷον ῥόδεον καὶ αἱμοβαφὲς, παρὰ τὸν φόνον, ὃ δηλοῖ τὸ αἷμα. 1326, 32. ἀλλαχοῦ δὲ ὅτι τὸ φοινικοῦν χρῶμα διαφέρει τοῦ ξανθοῦ καὶ τοῦ πυῤῥοῦ. 83, 11. καὶ ὅτι ἐκ καρποῦ πρίνου γίνεται τὸ φοινικοῦν χρῶμα. 456, 1.

Φοινικώδης, ὄνομα μιᾶς τῶν Αἰόλου νήσων. 1644, 35.

φοίνιξ ἐπίθετον ἀντὶ τοῦ ἐρυθρὸς, καὶ φοίνιξ ὁμωνύμως ἡ ὀπώρα διὰ τὸ ὁμόχρουν, καὶ Φοίνικες ἔθνος διὰ τὸ ἐρυθραῖοι εἶναι ἀνέκαθεν κατὰ φωνῆς μετάληψιν, ζήτει τὸ Φοίνικες· καὶ ὅτι παρὰ τὸν φόνον, ὃ δηλοῖ τὸ αἷμα, λέγονται τὰ τοιαῦτα. 456, 3. 1310, 19.

φοίνιξ τὸ φυτὸν ὅτι ἐκ τοῦ χρώματος τοῦ καρποῦ οὕτω λέγεται. 1051, 63.

φοίνιξ τὸ φοινικοῦν χρῶμα παρ' Ὁμήρῳ, οἷον ἐν τῷ, φοίνικι μιαίνειν, καὶ ἐν τῷ, φοίνικι φαεινὸς ζωστήρ. 455, 46. 682, 43. 1030, 39. ζήτει τὸ, φοίνικι μιαίνειν.

Φοίνιξ, κύριον υἱοῦ Ἀμύντορος τοῦ Ὀρμένου τοῦ Αἰόλου, ὅτι ἐξ Ὀρμενίου πόλεως Θεσσαλικῆς ἢ κατά τινας ἐξ Ἐλεῶνος πόλεως περὶ τὸν Παρνασσὸν διὰ χόλον τοῦ πατρὸς φυγὼν καὶ εἰς Φθίαν ἐλθὼν πρὸς Πηλέα τὸν ἐκείνου υἱὸν Ἀχιλλέα ἐξέθρεψεν. 762, 32. καὶ ὅτι παρὰ τὸ πεφοινῖχθαι τὴν ὄψιν ὁ Φοίνιξ δοκεῖ κληθῆναι. 671, 59.

φοίνιξ ἵππος ὁ ὁμόχρους φοίνικι τῇ ὀπώρᾳ. 83, 9. ἀλλαχοῦ δὲ ὅτι φοίνιξ ἵππος ὁ κατακόρως πυῤῥὸς καὶ αἱμοβαφὴς, παρὰ τὸν φόνον, ὃ δηλοῖ τὸ αἷμα. 1326, 31.

φοίνιξ ὄνομα ὅτι ἐν μὲν τῇ εὐθείᾳ θέσει μακρὰν ἔχει τὴν νι συλλαβὴν, ἐν δὲ ταῖς πλαγίαις φύσει, καὶ ὅτι καὶ ὀρνεόν τι καὶ εἶδος δέ τι ὀργάνου μουσικοῦ φοίνιξ ὁμωνύμως λέγεται. 1557, 57. 1558, 4.

φοινὸν ἐν ἴσῳ τῷ δαφοινὸν, ὅ ἐστι πεφοινιγμένον, καὶ φοινὸς αἵματι ὁ αἱμοβαφής. 1051, 61. 1052, 8.

φοιτᾶν τὸ ἁπλῶς περιοδεύειν καὶ ἰδικῶς τὸ εἰς διδασκάλου ἰέναι, καὶ ὅτι ἐκ τοῦ προϊέναι ἢ παρὰ τὴν ὁδὸν λέγεται. 585, 13. 732, 59.

φοιτήτην δυϊκὸν διὰ τοῦ η ἐκ τοῦ φοιτάω, φοιτείτην δὲ διὰ διφθόγγου ἐκ τοῦ φοιτέω. 904, 27.

φοιτητὴς, μαθητὴς, παρὰ τὸ φοιτᾶν. 585, 13. 732, 61. ζήτει τὸ φοιτᾶν.

φοῖτος ἡ μανία, ὅτι παρὰ τὸ φοιτᾶν λέγεται. 585, 13. 732, 61. ζήτει τὸ φοιτᾶν.

φολκὸς ὁ στραβὸς, παρὰ τὸ τὰ φάη, ἤγουν τοὺς ὀφθαλμοὺς, παρειλκύσθαι, οἱονεὶ φαολκός. 206, 17.

φόλλεις ὀβολοὶ, εἴτουν εὐτελῆ τινὰ νομίσματα. 136, 13.

Φολόη, ὄρος τῆς Ἀρκαδίας, ἐξ οὗ ῥεῖ ποταμὸς Σελλήεις ὑφ' Ὁμήρου καλούμενος. 300, 45.

φονὴ φονῆς, ὁ περιεκτικὸς πεφονευμένων τινῶν τόπος, λέγεται δὲ παρὰ τὸ φόνος, ὡς παρὰ τὸ χόλος ἡ χολή. 822, 6.

φόνοι παρὰ Δωριεῦσιν ἐλέγοντο οἱ ἐπονείδιστοι, οἱονεὶ φόνου ἄξια εἰργασμένοι. 1098, 14. 1654, 33.

φονοκτονεῖν ὅτι ἐκ τοῦ φονεύειν καὶ κτείνειν ἰσοδυνάμων λέξεων σύγκειται. 437, 13.

φόνος τὸ ἐκ τοῦ φόνου αἷμα, ἢ ὁ τόπος ὅπου ὁ φόνος ἐγένετο καὶ ἐν ᾧ κεῖται ὁ φονευθείς. 519, 5. 1310, 23. 1367, 46. 1930, 59. καὶ ὅτι παρὰ τὸ φῶ, ὃ δηλοῖ τὸ φονεύω, λέγεται τοὔνομα. 1728, 10.

φοξὸς ὁ εἰς ὀξὺ λήγουσαν ἔχων τὴν κεφαλὴν, οἱονεὶ φαοξὸς καὶ ἐκβολῇ τοῦ α φοξὸς, ὁ πρὸς τὰ φάη ὀξὺς ὁρώμενος· καὶ φοξὰ ὄστρακα τὰ πυροῤῥαγῆ, οἱονεὶ φλοξὰ, ἑρμηνεία διεξοδική. 207, 6—14.

φορὰ ἡ κατὰ τόπον κίνησις. 549, 40. 577, 9. 1478, 7. καὶ ὅτι τὸ μὲν φέρεσθαι ἐπὶ κινήσεως εὕρηται παρ' Ὁμήρῳ, ἡ δὲ φορὰ τοὔνομα οὐχ' εὕρηται. 157, 21.

Φόρβας ὁ ἐξ Ὠλένου Ἀλέκτορι τοῦ Ἐπειοῦ βασιλεῖ Ἠλείων συμβασιλεύσας καὶ τὴν ἐκείνου ἀδελφὴν γήμας ἀντέδωκεν ἐκείνῳ τὴν ἑαυτοῦ θυγατέρα, ἱστορία. 303, 8.

φορβὰς φορβάδος οὐσιωδῶς, καὶ φορβὰς γῆ ἐπιθετικῶς ἡ φέρουσα βίον τοῖς ἐπ' αὐτῆς. 539, 12. 775, 6. 978, 5. καὶ φορβὰς γυνὴ ἡ πολλοῖς συγγινομένη φορβῆς, ἤγουν τροφῆς, χάριν. 1088, 34.

φορβειὰ τὸ περιστόμιον εἴτουν καπίστριον, ὅτι παρὰ τὴν φορβὴν κατὰ παραγωγὴν λέγεται, ἢ παρὰ τὸ φέρειν βίᾳ. 539, 16.

φορβὴ ὡς ἐπὶ πολὺ ἡ τῶν ἀλόγων τροφή. 538, 25. 862, 62. 978, 2. καὶ ἁπλῶς ἡ προσφερὴς τῷ βίῳ τροφὴ, καὶ ὅτι κανονικῶς ὀξύνεται τοὔνομα. 539, 13. 19.

φορεῖν ἀντὶ τοῦ φέρειν, οἷον φορεῖν σκῆπτρον. 57, 16. καὶ φορεῖν ἀσπίδα ὁμοίως. 1035, 59. κυρίως δὲ φορεῖσθαι λέγονται τὰ περὶ τὸ σῶμα, οἷον ἐνδύματα καὶ ὅπλα, ὅθεν φορεῖν ἱμάτιον καὶ φορεῖν ὑποδήματα καὶ φορεῖν θώρακα. 454, 37. καὶ φορεῖν ἀντὶ τοῦ φέρειν καταχρηστικῶς, οἷον ἐν τῷ, ἵπποι οἵ φορέεσκον Πηλείωνα, Ἰλ. β', 770. 143, 15. 808, 64. καὶ τὴν δ' ἐφόρει μέγα κῦμα, Ὀδ. ε', 327. 1539, 4. καὶ φόρεον νέκυας, Ὀδ. χ', 448. 1933, 30. καὶ ὅτι τὸ φορεῖν καὶ μέλλοντα καὶ παρακείμενον ἔχει, καὶ περὶ τῶν ἐξ αὐτοῦ συγκειμένων. 804, 42.

φορεῖν μένος παρ' Ὁμήρῳ ἀντὶ τοῦ φέρειν ἢ ἔχειν. 1092, 30.

φορεῖν φόβον Ἄρεως, ἀντὶ τοῦ ποιητικὸν εἶναι κατὰ τὸν πόλεμον, περὶ ἵππων λεγόμενον Ἰλ. β', 767. ἢ ἀντὶ τοῦ διωκτικὸν εἶναι καὶ φευκτικὸν, ὅπερ ταχυτῆτος ἔργον ἐστὶν, ἢ ἀντὶ τοῦ ἀπτόητον εἶναι καὶ κρείττονα φόβου· τινὲς δὲ φόβον Ἄρεως τὸν ἐκ τοῦ σιδήρου καυτῆρα ἐνόησαν, τουτέστι τὸ διὰ καύσεως ἐγχαραττόμενον τύπωμα τοῖς ἵπποις, ἑρμηνεία διεξοδικωτάτη. 342, 14-27.

φορεῖον ὅτι παρὰ τὸ φορεῖν, ἤγουν φέρειν καὶ ὀχεῖν, τοὺς ἐν αὐτῷ λέγεται. 809, 2.

φορεὺς, φορτηγὸς, παρὰ τὸ φορεῖν, ὃ δηλοῖ τὸ φέρειν. 1163, 45.

φορῆναι, φορεῖν ἢ φέρειν, ἀπὸ τοῦ φοραίνω ἢ φόρημι ἀχρήστου θέματος. 185, 14. 672, 34. 1717, 4. 1818, 20.

φορητὸς, φρύγανα, χόρτος ἢ κοπρία, ὅτι παρὰ τὸ φέρειν λέγεται. 1452, 19.

φορίνη τὸ δέρμα. 1915, 13.

Φόρκυνος λιμὴν ἐν Ἰθάκῃ, ὁ καὶ Φόρκυν λεγόμενος, ὅτι διὰ τὸ πάλαι τὸν Φόρκυνα ἐκεῖ τιμᾶσθαι οὕτω λέγεται, καὶ ὅτι πᾶς λιμὴν φόρκυν ἂν λέγοιτο παρὰ τὸ φέρεσθαι εἰς αὐτὸν τὰ πλοῖα. 1735, 23. 1736, 1.

Φόρκυς Φόρκυος, Φόρκυν δὲ Φόρκυνος. 364, 44. ἡ αἰτιατικὴ τὸν Φόρκυνα καὶ Φόρκυν, ὅτι ἐκτείνεται ἡ κυ συλλαβὴ τοῦ Φόρκυνος παρ' Ὁμήρῳ. 1108, 15. καὶ ὅτι ὁ παρ' Ὁμήρῳ Φόρκυν εἰς θυμὸν ἀλληγορεῖται, καὶ ὅτι παρὰ τὸ κυνηδὸν φέρεσθαι τὸν θυμούμενον λέγεται τοὔνομα. 1392, 54.

φόρμιγξ καὶ φορμίζειν ὅτι παρὰ τὸ φροίμιον, ὃ δηλοῖ τὸ προοίμιον, δοκοῖσι λέγεσθαι. 1586, 45.

φορμὸς ὁ κόφινος, ὅτι παρὰ τὸ φέρειν λέγεται. 1452, 15.

φορὸς ἄνεμος ὁ τὴν ναῦν φέρων. 1468, 32.

φορτηγεῖν, ὅτι ἐκ τοῦ φόρτος καὶ τοῦ ἄγειν σύγκειται ἡ λέξις. 1760, 15.

φορτὶς ναῦς ἡ πρὸς ἐμπορικὸν φόρτον ναυπηγηθεῖσα. 1533, 13.

φόρτος τὸ ἄχθος εἴτουν ὁ γόμος, παρὰ τὸ φέρειν, καὶ φόρτος ἡ φορτικότης τοῦ ἤθους παρ' Ἀριστοφάνει. 1081, 8. 1452, 16. 1469, 47. 49. καὶ ὅτι φόρτος νεὼς λέγεται, ἐπεὶ καὶ φέρειν τὰ ἐν αὐτῇ ἡ ναῦς λέγεται. 1034, 12.

φόρτος Αἰσώπειος, ζήτει ἐν τῷ, Αἰσώπειος φόρτος. 1927, 7.

φορύνω τὸ μολύνω, ὅτι ἐκ τοῦ φορῶ φορύω γίνεται, ὅθεν καὶ τὸ φορύσσω. 1917, 13. 42.

φορύξας, μετοχὴ ἀορίστου ἀπὸ τοῦ φορύσσω θέματος. 1849, 15.

φορύσσειν τὸ μεταφορεῖν καὶ μόριον ἐκ μορίου μεθέλκειν, τουτέστιν ἑλκοῦν, παρὰ τὸ φορῶ φορύω. 1849, 16. 1917, 42.

φορυτὸς τὸ πλῆθος, ὅτι παρὰ τὸ φορύω λέγεται. 804, 48.

φορῶ, παρὰ τὸ φέρω φόρος φορῶ, ὅτι οὐκ ἐκτείνει τὴν ἄρχουσαν κατὰ τὸ τρέπω τρόπος τρωπῶ διὰ τὸ μηδὲ κατ' ἐκεῖνο τῆς δευτέρας εἶναι συζυγίας. 804, 39.

Φορωνέως παῖδες, Πελασγὸς, Ἴασος, Ἀγήνωρ, διανειμάμενοι τὴν Ἀργείαν χώραν, ἱστορία. 385, 38.

φοῦρνος, ὅτι εὕρηται ἡ λέξις παρὰ Ἀθηναίῳ, ὅθεν καὶ φουρνόκιος ἄρτος παρωνύμως. 1088, 1.

φόως ὅτι ἐκ τοῦ φῶς γέγονε πλεονασμῷ τοῦ παραλήγοντος ō. 713, 19. 729, 40. καὶ φόωσδε ἀντὶ τοῦ εἰς τὸ φῶς. 1174, 12.

φραδεὺς φραδέος ὁ φρόνιμος, παρὰ τὸ φράζω. 135, 24. καὶ φραδὴς νοῦς ὁ βουλευτικὸς, Ἰλ. ω', 354. παρὰ τὸ φράζεσθαι, ὃ δηλοῖ τὸ βουλεύεσθαι. 1354, 14. 1411, 40.

φράδμων, ἐπιστήμων ἢ βουλευτὴς, παρὰ τὸ φράζεσθαι, ὅ ἐστι βουλεύεσθαι. 1079, 42. 45. 1411, 41.

φράζω τὸ λέγω, φράζομαι δὲ τὸ βουλευτικῶς σκέπτομαι. 1142, 9. 1411, 38. 42. ὅτι ἐκ τοῦ φῶ, ὅ ἐστι λέγω, γίνεται φάζω καὶ προςλήψει τοῦ ρ̄ φράζω. 1654, 13. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ φῶ γίνεται φρῶ, ὅθεν τὸ φράζω. 1411, 38. 42.

φρακτικὸς ὁπλίτης ἐν ἴσῳ τῷ κατάφρακτος, παρὰ τὸ φράσσειν, ὃ δηλοῖ τὸ πυκνοῦν, ὅθεν καὶ ὁ φραγμός. 924, 19.

φράσασθαι τὸ βουλεύσασθαι καὶ σκέψασθαι, νοῆσαι δὲ τὸ ἐπισφραγίσαι καὶ ἀποτελευτῆσαι τὰ ἐσκεμμένα ἐν τῷ, ἐπεφράσατ' ἠδ' ἐνόησε, παρ' Ὁμήρῳ, Ὀδ. θ', 94. 533. 1587, 11.

φρασὶ Δωρικῶς ἀντὶ τοῦ φρεσὶ τροπῇ τοῦ ε̄ εἰς ᾱ. 32, 14.

φράσσειν τὸ πυκνοῦν, καὶ ὅτι ὡς ἰσοδύναμον τῷ ἐρείδειν τίθεται παρ' Ὁμήρῳ ἐν τῷ, φράξαντες δόρυ δουρὶ, ἀσπὶς δ' ἀσπίδ' ἔρειδεν, Ἰλ. ν', 130. 924, 20. 26. καὶ ὅτι παρὰ τὸ φῶ γίνεται φρῶ, ὅθεν τὸ φράσσω καὶ ὁ φραγμός. 1411, 40.

φράτηρ φράτερος, ταὐτὸ ὅπερ φράτωρ. 239, 34. 735, 52. ζήτει τὸ φράτωρ.

φράτιον ὁ τόπος, ἐν ᾧ συνήγοντο οἱ τῆς αὐτῆς φρατρίας εἴτουν οἱ φράτορες. 239, 30. 735, 50.

φράτορες οἱ τῆς αὐτῆς φρατρίας, τουτέστι συγγενεῖς καὶ συμφυλέται. 239, 27. 33. ἀλλαχοῦ δὲ ὅτι φράτορες σύστημα ἐν Ἀθήναις τοὺς τικτομένους πολίτας ἀπογραφόμενον. 735, 49.

φρατρία ἐλέγετο τὸ τρίτον μέρος τῆς φυλῆς παρ' Ἀθηναίοις, καὶ ὅτι πατριὰ ἐλέγετο παρ' Ἴωσι,

παρ' Ὁμήρῳ δὲ φρήτρη. 239, 28. 38. ζήτει τὸ φρήτρα.

φρατρίζειν ἢ φρατριάζειν τὸ εἰς φρατρίαν συνιέναι. 239, 35. 735, 51.

φράττω Βοιωτικῶς ἀντὶ τοῦ φράζω μεταλήψει τοῦ ζ εἰς δύο τ. 824, 28. 1654, 26. συνήθως δὲ φράττειν καὶ φράσσειν ἀντὶ τοῦ πυκνοῦν καὶ στερεοῦν, ὅθεν τὸ φράσσειν νηῶν ῥίπεσι παρ' Ὁμήρῳ. 1533, 49.

φραχθέντες ἀντὶ τοῦ ἀσφαλισθέντες καὶ πυκνωθέντες, περὶ στρατιωτῶν συνασπιζόντων παρ' Ὁμήρῳ λεγόμενον ἀπὸ τοῦ φράσσω θέματος. 1106, 64.

φρέαρ φρέατος φρέατι, ὅτι ἡ τοιαύτη κλίσις ἐκ τῆς φρέας σεσιγημένης εὐθείας κεκίνηται. 1606, 64. καὶ ὅτι φρέατα ἀργυρᾶ κατ' ἀστεϊσμα ἐκάλεσέ τις τὰ μεγάλα ποτήρια. 1289, 20. καὶ ὅτι φρεωρυχίαν ἐν Ἄργει αἱ Δαναΐδες ἐδίδαξαν. 461, 5.

φρένες ὁ ἀποχωρίζων ὑμὴν τὸ ἧπαρ μετὰ τοῦ σπληνὸς ἀπὸ τοῦ πνεύμονος καὶ τῆς καρδίας, ὃς καὶ διάφραγμα καὶ διάζωμα λέγεται· καὶ συντελεῖ εἰς τὸ φρονεῖν καὶ φλεγμαίνων παραφροσύνας ποιεῖ, διὸ καὶ μελαίνας φρένας ὁ Ὅμηρος τὰς τῶν θυμουμένων λέγει διὰ τὸ οἱονεὶ καπνῷ τῷ θυμῷ ἐπισκοτοῦσθαι ἢ διὰ τὴν ἐν βαθεῖ καὶ ἀφανεῖ θέσιν τοῦ σπλάγχνου, ἑρμηνεία διεξοδική. 57, 43—58, 10. καὶ ὅτι οἱ τρωθέντες τὸ σπλάγχνον τοῦτο μεῖζόν τε ἐρεύγονται καὶ τὰς ἐκπνοὰς μεγάλας ποιοῦνται. 1071, 57. ἀλλαχοῦ δὲ ὅτι οἱ τὸ σπλάγχνον τοῦτο τρωθέντες γέλωτι σεσηρότες ἀποθνήσκουσι. 1893, 13. καὶ ὅτι καὶ λέοντος φρένες ὡς περὶ σπλάγχνου λέγονται Ἰλ. ρ', 111. 1097, 53. καὶ ὅτι οὕτω καλοῦνται καὶ οἱ κρεμαστῆρες τοῦ ἥπατος παρ' Ὁμήρῳ ἐν τῷ, ὅτι τε φρένες ἧπαρ ἔχουσιν, Ὀδ. ι', 301. 1695, 4.

φρένες ἡ δύναμις, καθ' ἣν νοοῦμεν, καὶ ἡ φρόνησις, οἷον ἐν τῷ, οὔτ' ἄρ φρένας οὔτε τι ἔργα, Ἰλ. α', 115. 61, 45. 863, 63. 864, 2. ἀλλαχοῦ δὲ ὅτι φρένες σωματικόν τι μέρος τοῦ ἀνθρώπου καὶ τὸ ἐκεῖθεν ἐνέργημα. 939, 37. καὶ ὅτι ἕδραν τῆς ψυχῆς τὰς φρένας δοκεῖ δοξάζειν ὁ Ὅμηρος. 1964, 31.

φρενήρης ὁ ἀρηρὼς τὰς φρένας εἴτουν ἀραρυίας τὰς φρένας ἔχων. 552, 1. 672, 61. 1002, 49. 1517, 42.

φρενοβλαβὴς ὁ βεβλαμμένος τὰς φρένας. 1039, 50.

φρεωρυχία, ὅτι φρεωρυχίαν ἐν Ἄργει αἱ Δαναΐδες ἐδίδαξαν. 461, 5.

φρὴν φρενός, ὅτι ἐκ τοῦ προϊέναι λέγεται κατ' ἀντιστοιχίαν. 162, 22. καὶ ὅτι φρεσὶν ἀρηρέναι παρ' Ὁμήρῳ λέγεται ὁ καὶ ἐν συνθέσει φρενήρης, καὶ φρεσὶν ἀρηρὸς τὸ καὶ θυμῆρες ἐν τῷ, μῦθος ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν, Ὀδ. δ', 777. 1517, 39.

φρήτρα ἡ κοινῶς φρατρία, ἤγουν ἡ τριττύς, τουτέστι τὸ τρίτον μέρος τῆς φυλῆς, καὶ κρίνειν ἄνδρας κατὰ φρήτρας, Ἰλ. β', 362. ἤγουν κατά τινα τμήματα συγγενικὰ καὶ φυλετικά· καὶ ὅτι ἐκ τοῦ φρατρία παράγεται τὸ φρήτρη κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ ρ. 238, 28. 239, 24. 27. 735, 48.

φρίκη ὅτι ἐκ τῆς φρῖκα αἰτιατικῆς τοῦ φρὶξ φρικὸς ὀνόματος εἰς εὐθεῖαν ἀνέδραμε τροπῇ Ἰωνικῇ τοῦ α εἰς η. 665, 7. ζήτει τό, φρὶξ φρικός.

Φρικωνὶς, ἡ καὶ Λάρισσα, πόλις περὶ Κύμην τὴν Αἰολικήν. 357, 38. ζήτει τὸ Λάρισσα.

φρὶξ Ζεφύρου ἡ ἠρεμαία κατὰ θαλάσσης ἐπίπνοια τοῦ Ζεφύρου. 664, 52. 665, 5. ἀλλαχοῦ δὲ ὅτι φρὶξ φρικὸς ἡ ἐπιφαινομένη τῷ ὕδατι κυματώδης ἀνάτασις, καὶ φρὶξ τὸ ψῦχος παρὰ τοῖς μεθ' Ὅμηρον. 1227, 5. 12. 14.

Φρῖξος, υἱὸς Ἀθάμαντος, ὃς ἐπιβουλευθεὶς ὑπὸ Ἰνοῦς τῆς μητρυιᾶς καὶ ἐπὶ κρίου φυγὼν εἰς Κολχίδα τόν τε κριὸν ἔθυσε καὶ τὸ ἐκείνου κῶας χρυσώσας ἀφιέρωσεν, ἐφ' ὃ ὕστερον οἱ Ἀργοναῦται ἐστάλησαν, ἱστορία διεξοδική. 667, 9. καὶ ὅτι κατ' ἀλληγορίαν τοῦ μύθου τούτου πᾶς ὁ κριὸν κλέψας Φρῖξος ἐπεκαλεῖτο. 1642, 62.

φρίσσειν ὅτι περὶ πολλῶν τινῶν λέγεται, δηλοῖ δὲ καθόλου πύκνωσίν τινα ὀρθωτικὴν κατὰ ἡσύχιον κίνησιν. 664, 62. καὶ ὅτι πᾶν τὸ φρῖσσον τινὶ φρίσσειν λέγεται, οἷον λήιον μὲν στάχυσι φρίσσειν λέγεται, κάπρος δὲ λοφιᾷ, ἄνθρωπος δὲ θριξί, θάλασσα δὲ κύμασι, μάχη δὲ ἔγχεσι, πολλαχοῦ παρ' Ὁμήρῳ, ἁπλῶς δὲ φρίσσειν οὐκ ἂν λέγοιτο μάχη. 472, 46-473, 10. 935, 57-936, 4. καὶ ὅτι καὶ τριχῶν ὄρθωσιν δηλοῖ τὸ φρίσσειν. 1872, 20.

φροίμιον τὸ προοίμιον κατὰ κρᾶσιν καὶ τροπήν. 1586, 45.

φρονεῖν τινὶ φίλα, ἀντὶ τοῦ φιλεῖν καὶ εὐνοεῖν. 465, 2. καὶ φρονεῖν τινὶ κακό, παρ' Ὁμήρῳ μὲν τὸ ἐγκοτεῖν, παρὰ δὲ τοῖς ὕστερον κακὰ φρονεῖν τὸ μωραίνειν. 1271, 43.

φρόνησις ὅτι νοὸς ἐστὶ προβολή. 602, 33. καὶ ὅτι ἐμπειρίας θυγάτηρ εἶναι λέγεται. 96, 44. καὶ ὅτι ὑπὸ τῆς Ἥρας ἡ φρόνησις ταῖς γυναιξὶ δίδοσθαι μυθεύεται. 1882, 42.

φρόνις ἡ φρόνησις ἢ ἡ λεία εἴτουν λαφυραγωγία ἐν τῷ, κατὰ δὲ φρόνιν ἤγαγε πολλήν, Ὀδ. δ', 258. 1495, 24. 30. καὶ ὅτι ἄδηλον, πότερον τοῦ φρόνις τὸ φρόνησις προϋπόκειται, ἢ ἀνάπαλιν τὸ φρόνησις τοῦ φρόνις. 1465, 42.

Φρόντις, κύριον ἀνδρὸς καὶ γυναικός, βαρυτόνως πρὸς διαστολὴν τοῦ φροντὶς προσηγορικοῦ. 907, 12. 1093, 64—1094, 4.

φροῦδος ὁ πρὸ ὁδοῦ γενόμενος εἴτουν οἰχόμενος. 487, 2. 805, 45.

φρουρὸς ὁ φύλαξ, ὅτι παρὰ τὸ προορᾶν λέγεται. 700, 38.

Φρυγία ἡ μεγάλη ὅτι περὶ τῷ Σαγγαρίῳ ποταμῷ κεῖται. 364, 40. καὶ Φρυγία καθύπερθεν ἡ ἀνατολικὴ ἐν τῷ, καὶ Φρυγίη καθύπερθεν, Ἰλ. ω', 545. 1364, 45.

Φρύγιος ἁρμονία, ὅτι τῆς Φρυγίου ἁρμονίας εὑρετὴς Ὕαγνις ἱστορεῖται γενέσθαι, καὶ ὅτι ἰσχιακοὺς ἰᾶται τὸ μέλος αὐτῆς. 1078, 41.

Φρύνη ἑταῖρα ἀποφυγοῦσα δίκην διὰ τὸ γυμνὰ τὰ στέρνα ἐπιδείξασθαι τοῖς δικασταῖς, ἱστορία· καὶ ὅτι δύο Φρῦναι, ἡ μὲν Θεσπική, ἡ δὲ Σηστὸς ἐπικληθεῖσα· ἔτι δὲ καὶ ὅτι ἡ μὲν αὐτῶν Κλαυσίγελως, ἡ δὲ Σαπέρδιον ἐπεκλήθη. 1259, 1.

Ἀρχὴ τοῦ Χ στοιχείου.

χ̄ τὸ στοιχεῖον ὅτι τετραχῆ στιζόμενον ἀστερίσκου σημεῖον ἀποτελεῖ. 1627, 62. καὶ ὅτι πρὸ τοῦ χ̄ στοιχείου οὐ δύναται προκαθῆσθαι δασεῖα. 1328, 56.

χα λήγοντα ἐπιῤῥήματα βαρύτονα ἀπὸ τῶν εἰς χη περισπωμένων γενόμενα, οἷον δίχα ἤγουν διχῆ, καὶ τρίχα ἐκ τοῦ τριχῆ, ὁμοίως καὶ τέτραχα, πένταχα, ἕξαχα, ἕπταχα, οὗ χρῆσις Ὀδ. ξ', 434. 1766, 45.

Χάαι πληθυντικῶς, πόλις ἐγγὺς Λεπρέου ἐν Πελοποννήσῳ. 671, 22.

χάδε, τρίτον πρόσωπον δευτέρου ἀορίστου, ὅτι ἐκ τοῦ χῶ χάζω θέματος κεκίνηται. 856, 59.

χαδέειν ἀντὶ τοῦ χωρῆσαι. 965, 25. 51.

χαδῶ, μέλλων δεύτερος ἐκ τοῦ χάζω θέματος. 965, 52.

χάζω τὸ χωρῶ καὶ τὸ ὑποχωρῶ, ὅτι παρὰ τὸ χῶ, ὃ δηλοῖ τὸ χωρῶ, λέγεται. 856, 60.

χαίνω ὅτι παρὰ τὸ χῶ, ὃ δηλοῖ τὸ χωρῶ, λέγεται, καὶ ὅτι καὶ τὸ λαλεῖν σημαίνει ἐκ τοῦ παρακολουθοῦντος. 723, 27. 792, 32. 1063, 39. 1778, 19. χαίνειν τὸ καταπίνειν, οὗ προηγεῖται τὸ χάνειν, οὗ χρῆσις ἐν τῷ, ἀλλ' ἐμὲ μὲν Κὴρ ἀμφέχανε στυγερή, Ἰλ. ψ', 79. 1288, 51.

χαῖρε, προσφώνημα φιλικὸν, ὅτι καὶ ἀπιόντες οἱ παλαιοὶ ἀπὸ ξενοδόχων προσεφώνουν τὸ χαῖρε, ἐπευχόμενοι καὶ τὰ εἰκότα. 746, 28. 1732, 19.

χαῖρε καὶ τῷ δεῖνι εἰπὲ, φράσις ὑπακουομένου τοῦ χαίρειν ἐκ δευτέρου, οἷον ἐν τῷ, χαίρετον ὦ κοίρω καὶ Νέστορι ποιμένι λαῶν εἰπεῖν, ἀντὶ τοῦ εἴπατε χαίρειν δηλονότι, Ὀδ. σ', 151. 1777, 30.

χαίρειν ὅτι παρὰ τὸ χέειν λέγεται, ὡς διαχεομένης τῆς ψυχῆς τοῦ χαίροντος. 715, 14. 1104, 14.

Χαιρεφάνης, ὄνομα σφαιριστοῦ τινός. 1601, 52.

χαιρηδὼν ἡ χαρὰ, ὅτι παρὰ τὸ χαίρω χαιρήσω λέγεται. 1211, 26.

Χαιρήμων κύριον ὅτι παρὰ τὸ χαίρω χαιρήσω λέγεται. 1211, 26.

χαιρήσω μέλλοντος χρῆσις ἐν τῷ, οὐδέ τιν' οἴω Τρώων χαιρήσειν, Ἰλ. ν', 363. 1211, 25.

Χαιρίας, ἄνθρωπός τις κονδύλῳ ὑφ' Ἡρακλέους ἀναιρεθεὶς, ζήτει ἐν τῷ Ἀρχίας. 1900, 24.

χαίρομαι παθητικῶς ὅτι βάρβαρός ἐστι λέξις, ἐχάρην δὲ κατὰ ἀόριστον δεύτερον καὶ ἐχαρήμην κατὰ μέσον ἀόριστον πρῶτον χρήσιμά εἰσι καὶ δόκιμα. 376, 36. 984, 41. 46.

χαίρω ὅτι δοτικῇ συντάσσεται, οἷον χαίρω οἷς λέγεις. 147, 11.

Χαιρώνεια, πόλις τῆς Βοιωτίας, καθ' ἣν Φίλιππος ἐνίκησεν Ἀθηναίους καὶ Βοιωτούς. 270, 41.

χαίτη ὅτι παρὰ τὸ χεῖσθαι καὶ ἀΐσσειν ἐν τῷ τρέχειν τὸ ζῶον οὕτω λέγεται, καὶ ὅτι τὸ χαι δίφθογγον ἔχει ἐκ συναιρέσεως. 145, 1. καὶ ὅτι καὶ τὰ τῆς ἀμπέλου φύλλα χαίτη τροπικῶς λέγεται. 1276, 34.

χαιτήεις λέων ἢ ἵππος ὁ ἔχων χαίτην, καὶ χαιτήεσσα ἄρκτος ὁμοίως. 144, 45.

χαιτης λήγοντα ὀνόματα ἐκ τῆς χαίτη λέξεως συγκείμενα, οἷον δρομιχαίτης. 1645, 7.

χαλικάζειν, ζήτει ἐν τῷ χάλιξ οἶνος. 1936, 55.

χαλίκρητοι σπονδαὶ αἱ ἐπὶ τιμῇ Διονύσου κιρνάμεναι, Χάλις γὰρ ὁ Διόνυσος καὶ ὁ ἄκρατος οἶνος. 1471, 2.

χαλιμὰς γυνὴ ἡ ὑπὸ χάλιος, ὅ ἐστιν ἀκράτου οἴνου, κεχυλασμένη τὸ σῶμα. 1471, 3.

χαλινὸς τὸ ἐνιέμενον τῷ στόματι τοῦ ἵππου σιδηροῦν ὄργανον. 1189, 55.

Χάλις ὁ Διόνυσος καὶ ὁ ἄκρατος οἶνος. 1471, 2. ἀλλαχοῦ δὲ ὅτι χάλιξ οἶνος ὁ χαλῶν καὶ ἀνιεὶς τοὺς πίνοντας, ὅθεν ἀκροχάλιξ ὁ οἴνῳ μεθύων, καὶ χαλικάζειν τὸ περὶ συνουσίαν ὑφ' ἡδονῆς ἀνίεσθαι καὶ ὑποστένειν. 1936, 54.

χαλίφρων ὁ χαῦνος καὶ ἔκλυτος καὶ κεχαλασμένος τὰς φρένας. 1500, 51. 1803, 34. 1936, 53.

χάλκεα ὅπλα τὰ σιδηρᾶ ἐκ τῆς ἀρχαίας χρήσεως. 421, 12.

Χάλκεια, ἑορτὴ παρ' Ἀθηναίοις τὸ μὲν ἀρχαῖον δημοτελὴς, ὕστερον δὲ ὑπὸ μόνων τῶν τεχνιτῶν ἀγομένη ἔνῃ καὶ νέᾳ τοῦ Πυανεψιῶνος μηνὸς, διὰ τὸ τὸν Ἥφαιστον ἐν τῇ Ἀττικῇ τὸ πρῶτον ἐργάσασθαι τὸν χαλκόν. 284, 36.

χαλκεῖς οἱ τοῦ χαλκοῦ ἐργάται. 1132, 11. καὶ ὅτι καὶ οἱ χρυσοχόοι οὕτω λέγονται παρ' Ὁμήρῳ, ζήτει τὸ χαλκεύς.

χάλκεος Ἄρης λέγεται διὰ τὸ σιδηροφορεῖν τοὺς πολεμοῦντας. 384, 14.

χάλκεος ὕπνος ὁ ἐκ σιδήρου θάνατος παρ' Ὁμήρῳ, ἢ ὁ στεῤῥὸς καὶ ἀνέγερτος ἐπὶ θανάτου ἀκουομένης τῆς λέξεως. 841, 29.

χαλκεόφωνος ὁ χαλκῆν, ἤγουν στερεὰν, φωνὴν ἔχων. 607, 34. 1140, 2. 5.

χαλκεὺς, ὅτι καὶ ὁ χρυσοχόος οὕτω λέγεται παρ' Ὁμήρῳ κατ' ὄνομα γενικὸν ἀπὸ τοῦ πρώτου φανέντος μετάλλου, καὶ χαλκεύειν τὸ οἱανοῦν ὕλην διὰ σφύρας ἐλαύνειν, καὶ τὰ εἰς τοῦτο ἐπιτήδεια ὄργανα χαλκήια ὅπλα· καὶ ὅτι καὶ εἰδός τι ἰχθύος χαλκεὺς λέγεται. 1475, 50. 56.

χαλκεὼν χαλκεῶνος, τὸ τοῦ χαλκέως ἐργαστήριον, ὅτι πρὸς ὁμοιότητα τοῦ ἀκανθεὼν καὶ χαραδρεὼν λέγεται. 1598, 23.

χαλκῆ μυῖα, παιδιά τις οὕτω καλουμένη, καὶ ἔκφρασις τῆς παιδιᾶς ἐκείνης, καὶ ὅτι χαλκαῖ μυῖαι καλοῦνται αἱ συννεμόμεναι τοῖς κανθάροις διὰ τὸ χαλκίζειν. 1243, 29.

χαλκήιος δόμος παρ' Ὁμήρῳ τὸ τῶν χαλκέων ἐργαστήριον. 1848, 60.

χαλκήρης ἀσπὶς, ἧ χαλκὸς ἐπελήλαται. 1115, 61. καὶ χαλκῆρες δόρυ τὸ χαλκῷ ἀρηρός. 882, 5.

Χαλκιδεῖς οἱ τῆς Χαλκίδος πολῖται, καὶ ὅτι οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ γλισχρότητι ἐκωμῳδοῦντο, ὅθεν χαλκιδίζειν τὸ γλισχρεύεσθαι. 279, 15.

χαλκίδες καὶ χαλκιδικαὶ, αἱ καὶ σαρδῖνοι, εἰδός τι ἰχθύος. 1475, 57.

χαλκίδες Λακωνικῶς αἱ θεράπαιναι. 1090, 56.

χαλκιδίζειν τὸ γλισχρεύεσθαι. 279, 18. ζήτει τὸ Χαλκίς.

Χαλκιδικὰ, ποτήρια ποιὰ ἐν Χαλκίδι δημιουργούμενα. 279, 14.

χαλκιδίτης γυνὴ ἡ εὐτελὴς πόρνη καὶ χαλκοῦ νομίσματος συνοῦσα τῷ βουλομένῳ. 1329, 35.

Χαλκὶς, πόλις ἐπισημοτάτη ἐν Εὐβοίᾳ ἐκ τοῦ ἐκεῖ ὀρυσσομένου ποτὲ χαλκοῦ οὕτω κληθεῖσα· καὶ ὅτι καὶ ἄλλαι τινὲς Χαλκίδες ἱστοροῦνται, ἐν αἷς καὶ ἡ ἐν Αἰτωλίᾳ καὶ ἡ ἐν τῇ κοίλῃ Συρίᾳ· καὶ περὶ τῆς θέσεως καὶ ἄλλων τινῶν τῆς ἐν Εὐβοίᾳ Χαλκίδος ἑρμηνεία διεξοδική. 279, 6—26. 280, 3. 311, 40. 817, 24.

χαλκὶς, ὄρνις ὁ καὶ κύμινδις, ὅτι διὰ τὸ ὑπόχαλκον τῆς χρόας οὕτω λέγεται, καὶ ὅτι Ἁρπαλύκη μιγεῖσα τῷ πατρὶ εἰς τὸ ὄρνεον μεταβληθῆναι μυθεύεται. 986, 35.

χαλκισμὸς, κυβευτικὴ παιδιὰ διὰ συντόνου περιστροφῆς χαλκοῦ νομίσματος γινομένη, ὅπερ ὁ τῷ δακτύλῳ ὀρθὸν ἐπέχων ἐνίκα. 986, 41. 1409, 17.

χαλκοβαρὴς ἰὸς λέγεται διὰ τὸ τῷ κατ' ἄκρον χαλκῷ βαρύνεσθαι. 1025, 35. 1915, 40.

χαλκοβατὲς δῶμα τὸ πολλῷ χαλκῷ συγκεκροτημένον, Ὀδ. ν', 4. 1730, 42.

χαλκοῖ ἄνδρες παρ' Ἡροδότῳ οἱ χαλκῷ κατάφρακτοι. 1031, 16.

χαλκοκνήμιδες Ἀχαιοὶ λέγονται παρ' Ὁμήρῳ ἐκ τῆς ὕλης, εὐκνήμιδες δὲ ἐκ τῆς ποιότητος. 663, 30.

χαλκὸν ζώννυσθαι ἀντὶ τοῦ ὁπλίζεσθαι, ἀπὸ μέρους τῆς ζώνης. 1292, 18.

χαλκοπάρῃος κόρυς ἡ τὸ περὶ τὰς παρειὰς μέρος ἔχουσα χαλκοῦν. 1969, 36.

χαλκόποδες ἵπποι οἱ στερεόποδες, ἢ ἠχόποδες διὰ τὸν τοῦ χαλκοῦ ἦχον. 696, 50. 918, 18.

χαλκὸς ὁ σίδηρος πολλαχοῦ παρ' Ὁμήρῳ διὰ τὴν ἀρχαίαν χρῆσιν τοῦ χαλκοῦ ἀντὶ σιδήρου. 93, 9. καὶ ὅτι οὐκ ἀεὶ ἀντὶ σιδήρου ἀκούεται τοὔνομα παρ' Ὁμήρῳ, ἀλλ' ἐνίοτε καὶ κυρίως, οἷον ἐν τῷ, ἔνθα σίδηρος κεῖτο πολὺς καὶ χαλκός, Ὀδυσσ. φ', 61. 1899, 12.

χαλκὸς ὅτι μόνον τῶν ἀψύχων δοκεῖ φωνὴν ἔχειν, καὶ ἄλλα τινὰ περὶ τοῦ μετάλλου, καὶ ἱστορία περὶ τῆς διὰ χαλκῆς ἀσπίδος φωράσεως ὑπονόμου τινὸς κατὰ τὴν Βαρκαίων πολιορκίαν. 918, 19. 1067, 59. καὶ ὅτι τῇ γῇ εἰκάζεται ὁ χαλκὸς ἐν τῇ Ὁμηρικῇ ἀσπιδοποιΐᾳ. 1154, 47.

χαλκότυποι ὠτειλαὶ αἱ ἀπὸ τυπῆς εἴτουν τύψεως χαλκοῦ γενόμεναι. 1169, 31.

χαλκοῦς μετουσιαστικὸν ὅτι ἐκ τοῦ χάλκεος συνῃρέθη, καὶ ὅτι Διονύσιός τις χαλκοῦς ἐπεκλήθη καί τις ἕτερος κλέπτης ὁμοίως δι' ἀνομίας ἀφορμὰς, ἱστορία. 1243, 16. καὶ ὅτι χαλκοῦν σκέλος ἐσχηκέναι τινὲς μυθεύονται διὰ τὸ πορευτικοὶ γεγονέναι. 182, 41.

χαλκοχίτων, ὁ καὶ χαλκοθώραξ παρ' Ὁμήρῳ. 805, 50.

Χαλκωδοντιάδαι οἱ Εὐβοεῖς, ἀπὸ Χαλκώδοντος υἱοῦ Ἄβαντος τοῦ Ἄλκωνος τοῦ Πανδώρου τοῦ Ἐρεχθέως τοῦ Πανδίονος. 281, 45.

Χαλκώδων κύριον, ζήτει ἐν τῷ Χαλκωδοντιάδαι· καὶ ὅτι ἐκ τοῦ Χαλκοόδων κέκραται τοὔνομα. 500, 3.

Χάλκων Κυπαρισσεὺς, μνήμων καὶ ὑπασπιστὴς Ἀντιλόχῳ δοθεὶς κατὰ χρησμὸν ὑπὸ Νέστορος, ἐρασθεὶς Πενθεσιλείας καὶ βοηθῶν αὐτῇ ὑπ' Ἀχιλλέως ἀνῃρέθη καὶ τὸ σῶμα αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων ἀνεσκολοπίσθη. 1697, 54.

Χαλυβδικὸν στόμωμα σιδήρου ὅτι εἰς τὰ τεκτονικὰ ἔργα ἐχρησίμευεν ὡς καὶ τὸ Σινωπικόν. 294, 5.

Χαλυβώνιος οἶνος ὅτι τῷ βασιλεῖ τῶν Περσῶν ἦν ἐξαίρετος. 1499, 64.

χαλῶ ὅτι ἐκ τοῦ χῶ γέγονε πλεονασμῷ τῆς αλ συλλαβῆς, συγχεῖται γάρ πως τὸ χαλώμενον. 1054, 22.

χαμάδις ὅτι καὶ χαμάδι χωρὶς τοῦ σ λέγεται. 1879, 53.

χαμᾶζε ἐπίῤῥημα ὅτι ὡς ἐκ τοῦ χαμαὶ ἐπιῤῥήματος γεγονὸς μακροπαραληκτεῖ τε καὶ προπερισπᾶται παρὰ τὸν κανόνα τῶν διὰ τοῦ αζε ἐπιῤῥημάτων. 377, 3. 999, 22.

χαμᾶθεν ἐπίῤῥημα ὅτι ὡς ἐπιτοπλεῖστον περισπᾶται. 999, 22.

χαμαὶ ἐπίῤῥημα ἐν συνθέσει συστέλλον τὴν μαι συλλαβὴν διὰ τὸ μέτρον, οἷον ἐν τῷ, ἀνιπτόποδες χαμαιεῦναι, Ἰλ. π', 235. 1058, 6. 8.

χαμαὶ καθῆσθαι, οἱονεὶ ἅμα χοΐ ἐτυμολογικῶς, ἤγουν ὁμοῦ ταῖς κόνεσι. 1575, 34.

χαμαιεννάδες σύες, χαμαιεῦναι δὲ ἄνθρωποι, καὶ χαμαιεύνα ἡ ταπεινὴ κλίνη εἴτουν στιβάς. 1748, 61. καὶ ὅτι πρὸς ὁμοιότητα τοῦ χαμαιεννάδες σύες καὶ γυναῖκες χαμαιεννάδες λέγοιντ' ἂν, ὧν ὁ βίος οὐκ εὐπρεπής. 1058, 10. ἀλλαχοῦ δὲ ὅτι χαμαιεννάδες χοῖροι οἱ κατά τι ἰδίωμα βόθρους ὀρύσσοντες καὶ ἐγκοιμώμενοι αὐτοῖς· καὶ ὅτι συστέλλεται ἡ μαι συλλαβὴ διὰ μέτρου ἀνάγκην πολλαχοῦ παρ' Ὁμήρῳ. 1657, 21.

χαμαιεῦναι ἄνθρωποι οἱ χαμαὶ, ἤγουν κατὰ γῆς, κείμενοι εἴτουν οἱ ἐν χθαμαλαῖς καὶ ταπειναῖς στιβάσι κοιμώμενοι· καὶ ὅτι συστέλλεται ἡ μαι συλλαβὴ τοῦ ὀνόματος παρ' Ὁμήρῳ διὰ μέτρου ἀνάγκην. 1058, 2. 1679, 6.

χαμαιριφὲς τὸ χαμαὶ ἐῤῥιμμένον. 1279, 45.

χαμίτης ἄμπελος ἡ χαμαὶ κειμένη. 1163, 19.

χανδάνω ἐκ τοῦ χάδω ὑποτακτικοῦ τοῦ ἔχαδον δευτέρου ἀορίστου τοῦ χάζω θέματος κατὰ παραγωγὴν καὶ πλεονασμὸν τοῦ ν. 1823, 24.

χανδὴ κύλιξ, δι' ἧς χανδὸν πίνει τις. 746, 59.

χανδὸν ἐπίῤῥημα ὅτι ἐκ τῆς χανδὸν αἰτιατικῆς εἰς ἐπίῤῥημα μετήχθη. 746, 59. καὶ ὅτι τὸ χανδὸν πίνειν ὡς ἀπό τινος δοχείου διαχάσκοντος εἰς ὑποδοχὴν ὑγροῦ λέγεται. 1910, 56.

χάννος ἐν δυσὶ ν, εἶδος ἰχθύος παρὰ τὸ χαίνειν οὕτω λεγόμενον. 1778, 18.

χάπτω χυδαϊκῶς τὸ παρὰ τοῖς λογίοις κάπτω. 1481, 35.
χαρὰ ἡ τῆς ψυχῆς διάχυσις, ὅτι παρὰ τὸ χέω χῶ λέγεται, ὡς καὶ τὸ χαίρω. 715, 14.
χαράδρα, τόπος φαραγγώδης, ὅτι παρὰ τὸ χαράσσειν λέγεται. 497, 17. 28.
χαραδρεών, ὄνομα περιεκτικὸν, ὅτι παρὰ τὴν χαράδραν λέγεται. 1066, 20.
χαραδριὸς ὅτι παρὰ τὴν χαράδραν λέγεται. 497, 18.
χαρακτὴρ, τύπος, κανών. 1029, 19.
χάραξ θηλυκῶς ἡ κάμαξ εἴτουν τὸ τῆς ἀμπέλου ὑπόστημα, ἀρσενικῶς δὲ τὸ χαράκωμα τοῦ στρατοπέδου. 1390, 53. ἀλλαχοῦ δὲ ὅτι χάραξ ἡ κάμαξ, ὅθεν παροιμιακῶς λέγεται τὸ, ἐξηπάτηκεν ἡ χάραξ τὴν ἄμπελον, ὅταν ὑπὸ τοῦ σώζοντος ἀπατηθῇ τὸ σωζόμενον. 1163, 31.
χαράσσειν ἐν ἴσῳ τῷ γράφειν, ὅτι ὠνοματοπεποίηται ἡ λέξις. 633, 42.
χαρέω χαρῶ, ὅτι ἐκ δευτέρου μέλλοντος ἀνέδραμεν εἰς ἐνεστῶτα. 682, 35.
Χαρίδημος συνασπισμὸν διδάξας Ἀρκάδας τε καὶ Μακεδόνας. 924, 3.
χαριδότης Διόνυσος ὁ χαρᾶς δοτικός. 989, 40.
χαρίεν παροξυτόνως τὸ μετέχον χάριτος, χάριεν δὲ προπαροξυτόνως ἀντὶ τοῦ χαριέντως ἐπιῤῥηματικῶς. 1088, 7. 1128, 64. 1276, 36.
χαρίζεσθαι τὸ πρὸς χάριν καὶ ἡδονήν τι ποιεῖν. 1402, 6. καὶ χαρίζεσθαι ψεύδεσιν, Ὀδ. ξ', 387. πρὸς διαστολὴν εἴρηται τοῦ ἄλλως πως χαρίζεσθαι. 1765, 10.
Χαρίλας ὅτι ὡς ἀνθρωποφάγος διαβέβληται παρ' Ἀρχιλόχῳ. 1630, 8.
χάριν ἀλόχου ἰδεῖν λέγεται νυμφίος τις Ἰλ. λ', 243. ἀντὶ τοῦ συγγενέσθαι τῇ νύμφῃ καὶ τεκνοποιήσασθαι. 841, 37.
χάριν καὶ ἕνεκα αἰτιολογικά, ὅτι τὸ μὲν ἐπὶ τῶν ἁπλῶς διά τι, τὸ δὲ ἐπὶ τῶν πρὸς χάριν τινὸς γινομένων τίθεται. 841, 37. 42. 1040, 43.
Χαριξένη, ποιήτρια κρουμάτων, ἀφ' ἧς τὸ ἐπὶ Χαριξένης παροιμιακῶς λέγεται παρ' Ἀριστοφάνει. 326, 45.
χάρις ἡ τῆς εὐεργεσίας ὁμολογία ἐν τῷ, χάριν καὶ κῦδος ἄροιο, Ἰλ. δ', 95. 448, 34.
χάρις ὅτι παρὰ τὴν χαρὰν λέγεται. 381, 8. 1403, 63. καὶ ὅτι κοινῶς μὲν χάριδος, Δωρικῶς δὲ χάριτος ποιεῖ τὴν γενικήν. 1618, 28.
Χάρις ὅτι παρὰ τὸ χαίρειν λέγεται, καὶ ὅτι Χάρις μυθεύεται συνοικεῖν Ἡφαίστῳ, καὶ ὅτι Ἀγλαΐα ἢ Θάλεια ἡ τοιαύτη Χάρις καλεῖται. 1148, 57. 60.
Χαρίσια, χοροὶ παννύχιοι, καθ' οὓς καὶ πέμμα τι, πυραμοῦς καλούμενον, καὶ ἄλλα τινὰ πέμματα, χαρίσια καλούμενα, ἐδίδοτο τοῖς διαγρυπνήσασι, καὶ χαρίσιος. 1843, 24.
Χαρίσιος κύριον, ἀφ' οὗ καὶ χαρίσιοι πλακοῦντες, ὅτι παρὰ τὸ χάρις χάριτος λέγονται. 1165, 10. 1668, 61. 1843, 24.
Χάριτες τὰ μυθικὰ δαιμόνια ὅτι πρὸς ἀλλήλας ἐστραμμέναι ἐγράφοντο, καὶ διὰ τί ὁπλοτέρας αὐτὰς ὁ Ὅμηρος καλεῖ. 984, 23. 25. καὶ ὅτι Ἀφροδίτης ὀπαδοὶ λέγονται εἶναι αἱ Χάριτες. 553, 7. καὶ ὅτι Λήθης θυγατέρες εἶναι μυθεύονται. 982, 46. καὶ ὅτι Χαρίτων ὀνόματα καταλέγονται ταῦτα, Πασιθέη, Καλὴ καὶ Εὐφροσύνη· καὶ ὅτι αἱ Χάριτες αὐταὶ περὶ κάλλους ἤρισαν τῇ Ἀφροδίτῃ ἐν τοῖς Θέτιδος γάμοις, ὧν προκριθῆναι τὴν Καλήν. 1665, 58.
χαριτοβλέφαρος μάζα κατὰ ποιητικὴν ἐπίθεσιν ἀντὶ τοῦ ἐπίχαρις. 1843, 27.
χάρμα ἁπλῶς ἡ ἡδονὴ, ἐν δὲ τῷ, χάρμα δὲ δυσμενέεσσι, παρ' Ὁμήρῳ Ἰλ. κ', 193. τὸ ἐπίχαρμα καὶ ὁ κατάγελως. 456, 30. 1121, 18.
χάρμη ἡ μάχη, παρὰ τὸ χάρμα, ὃ δηλοῖ τὴν χαρὰν, ὡς τῶν ἀνδρείων χαιρόντων τῇ μάχῃ. 659, 39. 675, 57. 997, 47. καὶ ἀλλαχοῦ χάρμη ἡ μετὰ χαρᾶς μάχη ἢ ἡ εἰς μάχην προθυμία, παρὰ τὸ χαίρειν. 921, 21. 1681, 34.
Χάροπος, κύριον παρ' Ὁμήρῳ, χαροπὸς δὲ ἐπίθετον. 317, 42.
χάρτης ὅτι παρὰ τὸ χαράσσεσθαι δοκεῖ λέγεσθαι. 633, 44.
Χάρυβδις, ὅτι μικρὸν πρὸς τῆς Μεσσήνης ἐν τῷ Σικελικῷ πορθμῷ βάθος τι δείκνυται, εἰς ὃ αἱ τοῦ πορθμοῦ παλίῤῥοιαι δὶς τῆς ἡμέρας γινόμεναι μετὰ συστροφῆς ἐκτραχηλίζουσι τὰ σκάφη· καὶ διαίτησις τῶν μυθευομένων Ὁμήρῳ περὶ τῆς Χαρύβδεως, καὶ ὅτι καὶ περὶ Ἀπάμειαν τῆς Συρίας χάσμα τι Χάρυβδις ἐλέγετο, καὶ ὅτι καὶ Λυκιακή τις ἱστορεῖται Χάρυβδις· καὶ ὅτι Τυφωνικῷ ὑπογείῳ πνεύματι ἀνακυκᾶσθαι τὴν ἐκεῖ θάλασσαν δοξάζουσί τινες, καὶ ὅτι καὶ εἰς πολυδάπανον ἀσωτίαν ἡ Χάρυβδις ἀλληγορεῖται· καὶ ὅτι παρὰ τὸ εἰς χάος ῥᾶον ὑποδύνειν τὰ σκάφη λέγεται τοὔνομα, τραπέντος ἐν τῇ συγκοπῇ τοῦ π τῆς προθέσεως εἰς β· τὸ δὲ δῖαν ἐπιθετικῶς λέγεσθαι τὴν Χάρυβδιν παρ' Ὁμήρῳ δαιμόνιόν τι ὑποβάλλει νοεῖν τὴν Χάρυβδιν, ἄλλοι δὲ θηρίον ὑπέλαβον, ἄλλοι δὲ βάθος θαλάσσης ἀναπωτικὸν μεταξὺ τοῦ Ἀδρίου καὶ τοῦ Τυῤῥηνικοῦ πελάγους· καὶ ὅτι οὐ κλίνεται Χαρύβδιδος πρὸς ἀποφυγὴν τῆς τῶν δ ἐπαλληλίας. 1716, 10 — 50.
Χάρων ὁ ἐν Ἅιδου πορθμεὺς, παρὰ τὸ χαίρειν ἀντιφραστικῶς. 16, 34. καὶ ὅτι ὁ Χάρων καὶ τὸ κατ' αὐτὸν πορθμεῖον μεθ' Ὅμηρον μεμύθευται. 1666, 37.
χάρων λέων ἐπιθετικῶς, ὅτι ἀπὸ τῆς ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ χαροπότητος οὕτω λέγεται, ἴσως δὲ κατ' ἀντίφρασιν οὕτω λέγεται διὰ τὸ θανατοποιὸν παρὰ τὸν ἐν Ἅιδου Χάρωνα. 1666, 37. 1703, 30.
χαρωποὶ λέοντες οἱ χαροποὺς ἔχοντες ὀφθαλμοὺς, χρώματος δὲ ὀφθαλμῶν ὄνομα τὸ χαρωπόν. 1703, 30.
χάσκαξ χάσκακος, ὅτι παρὰ τὸ χάσκειν λέγεται. 1909, 54.
χασμᾶσθαι ὅτι περί τε στόματος λέγεται καὶ περὶ θύρας ἠνεῳγμένης, καὶ ὅτι παρὰ τὸ χῶ καὶ χάζω λέγεται. 1901, 58.
χασμῳδία, κεχηνυῖα ἔπους σύνδεσις, καὶ ἁπλῶς προφορὰ ἐκ φωνηέντων ἐπαλληλίας γινομένη.

11, 33. 12, 8. καὶ ὅτι ἡ τῶν φωνηέντων ἐπαλληλία διὰ τὴν τῆς ἐκφωνήσεως ἀργίαν παράτασίν τινος πράξεως ἐμφαίνει, οἷον ἐν τῷ, χαλκῷ δηιόῳεν, Ὀδ. δ', 226. 1493, 38.

χατέειν καὶ χατίζειν τὸ χρήζειν, ὅτι παρὰ τὴν χάτιν ἢ τὸ χάτος, ὃ δηλοῖ τὴν στέρησιν, λέγεται. 210, 6. 769, 30.

χάτις καὶ χάτος ἡ στέρησις, ὅθεν τὸ χατίζειν. 210, 7. 769, 31.

χαυλιώδοντα ζῷα τὰ κεχαλασμένους εἰς τὸ ἔξω ἔχοντα τοὺς ὀδόντας. 1872, 31.

χαῦνος ὁ ἀραιὸς τὰς φρένας, ἀντικειμένως τῷ πυκινὰ φρονοῦντι. 1638, 36.

χέειν τὸ χοῦν ἐπιφέρειν τοῖς θαπτομένοις. 666, 56. καὶ χέειν σῆμα τὸ διὰ χώματος ὑψηλοῦ σημαίνειν τὸν τόπον τῆς ταφῆς. 652, 16. χέειν δὲ κατὰ χειρῶν ἀντὶ τοῦ νίπτεσθαι. 740, 16.

χέεσθαι λέγεται ὁ ἀὴρ παρ' Ὁμήρῳ. 1574, 5. καὶ χέεσθαι ἄχος ἐν ὀφθαλμοῖς τῶν λυπουμένων. 1208, 47. καὶ ὅτι κεχύσθαι κατὰ γῆς λέγονται τὰ παρειμένα σώματα. 1876, 56.

χέεσθαι λέγονται ἄνθρωποι ἀντὶ τοῦ ὑγρῶς καὶ σπουδαίως καὶ εἰς πλῆθος κινεῖσθαι. 255, 38. 914, 61. καὶ ἐκχέεσθαι ἀντὶ τοῦ ὑγρῶς, ὅ ἐστι ῥαδίως καὶ σπουδαίως, ἐξορμᾶν ποθέν. 1058, 56.

χειὰ ὁ φωλεὸς καὶ ἡ τῶν ὄφεων κατάδυσις, παρὰ τὸ χείω, ὃ δηλοῖ τὸ χωρῶ. 1259, 29. 34. 1615, 36. 1834, 17.

χεῖλος ἀντὶ τοῦ ῥάμφος, ὅτι ἐν τῷ ἀγκυλοχεῖλαι αἰγυπιοὶ ἡ χεῖλος φωνὴ ἀντὶ τῆς ῥάμφος συντελεῖ ἐν τῇ συνθέσει. 1061, 53. καὶ ὅτι καὶ χείλη ποτηρίων τροπικῶς λέγονται. 1473, 61.

χειλὸς διὰ διφθόγγου ἐν ἴσῳ τῷ χιλὸς, ὃ δηλοῖ πόαν εἴτουν χόρτον. 772, 63.

χειμάμυνα χλαῖνα ἡ ἀμύνουσα τὸ χεῖμα, ἤγουν τὸν χειμῶνα. 1490, 14. 1767, 43.

χείμαῤῥος, ποταμὸς πρόσκαιρος ἐκ συῤῥοίας ὑδάτων γινόμενος, ἐκ τοῦ κατὰ τὸν χειμῶνα ὡς ἐπιτοπλεῖστον ῥέειν λεγόμενος. 525, 31. καὶ ὅτι χειμάῤῥοος ἐντελῶς λέγεται, ὅθεν τὸ χείμαῤῥος λέγεται κατὰ συγκοπὴν καὶ ἀνάδοσιν τοῦ τόνου· καὶ ὅτι χείμαῤῥος ὁμωνύμως λέγεται καὶ ὁ ἰδιωτικῶς λεγόμενος ἴβδης. 525, 31. 858, 38. 925, 16. καὶ ὅτι τὸ, χείμαῤῥοι ποταμοὶ, παρ' Ὁμήρῳ Ἰλ. δ', 452. λεγόμενον, ὡς ἀπὸ τῆς χείμαῤῥος εὐθείας κεκίνηται, χειμάῤῥοι δὲ παροξυτόνως ἀπὸ τῆς χειμάῤῥους· καὶ ὅτι ἀναλογώτερον τὸ χειμάῤῥους ἢ τὸ χείμαῤῥος λέγεται. 496, 35 — 497, 6.

χειμάῤῥους ὅτι κατὰ μόνας λεγόμενον ἀτελῶς λέγεται, χειμάῤῥους δὲ ποταμὸς ἐντελῶς· καὶ ὅτι ἐκ τοῦ χειμάῤῥοος ἐκράθη ἡ χειμάῤῥους φωνή. 925, 15.

χειμὼν ὅτι παρὰ τὸ χέειν προσλήψει τοῦ ῑ λέγεται, ὅθεν καὶ τὸ χῑ δίφθογγον ἔχει. 413, 14. 905, 9. καὶ ὅτι θαλασσίου χειμῶνος ἱστορικὴν ἔκφρασιν ἀσθενῶς πεφρασμένην σκώπτων τις μείζονα εἶπεν ἐν κακάβᾳ ζεούσῃ γίνεσθαι χειμῶνα. 1538, 4.

χεὶρ τὸ μετὰ βραχίονα καὶ πῆχυν μέρος τοῦ μέλους ἐν ᾧ ἔστι. 1120, 8. καὶ ὅτι οὐ μόνον χεὶρ χειρὸς, ἀλλὰ καὶ χερὸς καὶ χηρὸς καὶ χεῤῥὸς κλίνεται. 110, 35.

χειραγωγὸς ἱμὰς, παρ' Ἡλιοδώρῳ ἐκδεδεμένος τοῦ ποδὸς, ὅτι ἀκύρως εἴρηται. 160, 15.

χεῖρες πολλαὶ ἐν ἑνὶ σώματι, ὅτι οἱ πολυδύναμοι καὶ πρακτικώτατοι γενόμενοι ἄνθρωποι πολύχειρες γεγονέναι ἐμυθεύθησαν. 1504, 57.

χειρὶ χεῖρα λαβεῖν, ὅτι φιλικῆς δεξιώσεώς ἐστιν ἔνδειξις. 1237, 23.

χειρίδες τὰ τῶν χειρῶν δερμάτινα καλύμματα. 1959, 63.

χείριος ἐν ἴσῳ τῷ ὑποχείριος, ἤγουν ὑπήκοος εἴτουν τιθασσὸς καὶ χειροήθης, καὶ χείριον οὐδετέρως ὁμοίως. 1788, 28.

χειρογάστορες καὶ ἐγχειρογάστορες, ὅτι οὕτως ἐπεκλήθησαν οἱ τὴν Τίρυνθα τειχίσαντες Κύκλωπες, ζήτει τὸ ἐγχειρογάστορες. 286, 21.

χειροδίκης ὁ ἐν ταῖς ἰδίαις χερσὶ τιθέμενος τὸ δίκαιον, τουτέστιν ὁ βίαιος, ἐν χερσὶ δὲ δίκην ἔχειν λέγονται οἱ δίκαιοι. 201, 3. 1459, 54. 1762, 12.

χειρόμακτρον, ᾧ τὰς χεῖρας ἀποματτόμεθα. 462, 34. 1887, 49.

χειρομάχα πληθὺς τὸ χειρωνακτικὸν πλῆθος. 1425, 64. 1783, 13. 1833, 56.

χειρόνιβον παρ' Ἐπιχάρμῳ τὸ παρὰ τοῖς Ἀττικοῖς χερνίβιον. 1401, 11. ζήτει τὸ χέρνιβα.

χειρόνιπτρον τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ καὶ ἡ ὑποδεχομένη αὐτὸ λεκάνη. 1400, 60. 1401, 7. 10.

χειρονομεῖν τοῖς σκέλεσιν, ὅτι ἀκύρως εἴρηται παρ' Ἡροδότῳ (6, 129.). 159, 39.

χειρονομία, ἡ καὶ πυῤῥίχη, ὄρχησις ποιά. 957, 47.

χειροπέδη ἡ τῶν χειρῶν πέδη, ὅτι ἀκύρως λέγεται. 159, 45.

χειρὸς ἑλεῖν τινὰ, ἤγουν λαβέσθαι τῆς χειρὸς αὐτοῦ. 109, 37.

χειρότερος ἀντὶ τοῦ χείρων συγκριτικοῦ. 1005, 7. 1029, 18. 1215, 34.

Χείρων, εἷς τῶν Κενταύρων, υἱὸς Κρόνου καὶ Φιλύρας, εὑρετὴς ἰατρικῆς καὶ λυρικῆς. 463, 33. καὶ ὅτι ὁ Χείρων τρωθεὶς χεῖρα τὴν διὰ βοτανῶν ἰατρικὴν κατέδειξε. 763, 15.

Χειρώνια τραύματα τὰ Χείρωνος ἰατροῦ δεόμενα, ἤγουν τὰ δυσίατα, ἢ ἃ ὁ Χείρων κατέδειξεν. 45, 41. 463, 34.

χειρῶναξ ὁ τῶν χειρῶν ἢ τῶν ἐν χερσὶν ἀνάσσων. 1785, 38. καὶ ὅτι ἐκ τοῦ χειροάναξ κέκραται. 1425, 64.

χείσεται, ἤγουν χωρήσει, ἀπὸ τοῦ χείω, ὃ παρὰ τὸ χέω χῶ, ὃ δηλοῖ τὸ χωρῶ, παράγεται, ὅθεν καὶ τὸ χῑ δίφθογγον ἔχει. 356, 23. 1259, 30. 1615, 36. 1835, 12.

χείτιον ὅτι παρὰ τὸ χεῖσθαι, ὅ ἐστι χωρεῖν, λέγεται ὡς χωροῦν ἀστραγάλους. 1259, 36.

χέλει χελώνη, τρόπος τις παιδιᾶς, ζήτει ἐν τῷ χελώνη. 1914, 54.

χελιδονίαι λαγωοὶ οἱ ἄνω μὲν μέλανες, τὰ δὲ κάτω ὑπόλευκοι κατὰ τὰς χελιδόνας. 1925, 43.

χελιδονιδεῖς οἱ τῶν χελιδόνων νεοσσοί. 753, 57.

χελιδονίζειν, ὅτι τῷ Βοηδρομιῶνι μηνὶ τὰ παιδία ᾄδοντα ᾠδὴν

τινα, ἧς ἀρχὴ, ἦλθ' ἦλθε χελιδὼν, περιῄεσαν ἀγείροντα κατά τι ἔθος, καὶ ἐλέγετο τοῦτο χελιδονίζειν καὶ οἱ τοῦτο ποιοῦντες χελιδονισταὶ, ὡς κορωνισταὶ οἱ τῇ κορώνῃ ἀγείροντες, ὧν αἱ ᾠδαὶ κορωνίσματα ἐλέγοντο. 1914, 43.

χελιδόνων μουσεῖα, ὅτι χελιδόσιν εἰκάζονται οἱ ὑποβάρβαροι καὶ μὴ καθαροὶ τὴν γλῶτταν ἄνθρωποι. 1914, 36.

χελιδῶ χελιδοῦς, ἐν ἴσῳ τῷ χελιδὼν χελιδόνος. 716, 53. ζήτει τὸ χελιδών.

χελιδὼν χελιδόνος, ἡ κλητικὴ ὦ χελιδὼν καὶ ὦ χελιδοῖ εὕρηται λεγόμενον ὡς ἀπὸ τοῦ ἡ χελιδὼ τῆς χελιδοῦς. 601, 44.

χελύνη τὸ χεῖλος παρ' Ἀριστοφάνει ἐν Ἀχαρνεῦσι. 1684, 30.

χελυνοίδης ὁ τὴν χελύνην, ἤγουν τὸ χεῖλος, ἐξωγκωμένος, παρὰ τὸ οἰδεῖν. 1684, 29.

χέλυς, ὅτι πᾶσα κιθάρα οὕτω λέγεται ἐκ τῆς τὸ πρῶτον ὑφ' Ἑρμοῦ κατασκευασθείσης λύρας ἐξ ὀστράκου χελώνης. 1337, 17. 1913, 37.

χελύω χελύσω, ῥῆμα σύστοιχον τῷ χέλυς χέλυος, ὃ δηλοῖ τὴν λύραν. 574, 33.

χελώνη, ὅτι κατά τινα παιδιὰν αἱ παίζουσαι παρθένοι τὴν ἐν μέσῳ καθημένην περιέτρεχον καὶ ἐπηρώτων οὕτως, χέλει χελώνη, τί ποιεῖς ἐν τῷ μέσῳ; ἑρμηνεία διεξοδική. 1914, 54.

χέραδος, ἀκαθαρσία ὑπὸ ὕδατος κατασυρομένη, ὅτι οὐδετέρως λέγεται παρ' Ὁμήρῳ, παρὰ Πινδάρῳ δὲ χερὰς χεράδος θηλυκῶς, ἑρμηνεία διεξοδική. 1238, 6 — 13.

χερειότερος ἀντὶ τοῦ χερείων κατ' ἐπίτασιν συγκρίσεως. 215, 6.

χερείων ὁ ἁπλῶς ταπεινότερος καὶ ἐλάττων. 1199, 27.

χέρηες ἀντὶ τοῦ χείρονες, ἤγουν ταπεινότεροι, τουτέστι πτωχοὶ, ὅτι ἐκ τοῦ χείρονες συγκοπῇ καὶ τροπῇ Ἰωνικῇ γέγονεν ἡ λέξις· καὶ χέρηι κατὰ δοτικὴν πτῶσιν καὶ χέρηα κατ' αἰτιατικὴν ἐκ τοῦ χείρονι καὶ χείρονα ὁμοίως. 55, 24. 488, 36. 1783, 12. 15.

χερμάδιος λίθος ὁ χειροπληθὴς, οὗ ἔστι τὴν χεῖρα ἐπιμάσσασθαι, ὅ ἐστιν ἐφάψασθαι. 715, 39. 1084, 15. ἀλλαχοῦ δὲ χερμάδιον κατ' οὐδέτερον γένος λέγεται. 549, 30. 995, 51. 1117, 64. 1630, 53.

χερνήτης ἄνθρωπος ὁ χειροτέχνης καὶ ἀπὸ τῶν χειρῶν ζῶν, καὶ χερνῆτις γυνὴ ἡ διὰ χειρῶν νήθουσα. 912, 38.

χέρνιβον ἐν τῇ συνηθείᾳ τὸ χερόνιπτρον, ἤγουν τὸ ὑποδεκτικὸν τοῦ ὑγροῦ ἀγγεῖον, ὅπερ Ὅμηρος λέβητα εἴωθε καλεῖν, παρ' ᾧ καὶ χέρνιβα τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ λέγεται, πρόχοος δὲ τὸ τοιοῦτον ὕδωρ χέον ἀγγεῖον. 1351, 53. καὶ πάλιν ἀλλαχοῦ ὅτι χέρνιβα τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ, ὃ τινὲς χερνίβα παροξυτόνως λέγουσιν ὡς ἀπὸ τῆς χερνὶψ ὀξυτόνου εὐθείας· τὸ δ' αὐτὸ καὶ χειρόνιπτρον καὶ χέρνιβον καλοῦσι τινές· καὶ ὅτι τὸ παρὰ τῇ κοινῇ συνηθείᾳ χέρνιβον λεγόμενον οἱ Ἀττικοὶ χερνίβιόν φασι· καὶ περὶ τῆς προσῳδίας τῆς λέξεως διαίτησις διεξοδική. 1400, 58 — 1401, 16.

χερνίπτεσθαι τὸ τὰς χεῖρας νίπτεσθαι. 1401, 18.

Χεῤῥόνησος, ὅτι οὕτω καλεῖται κυριωνυμικῶς καὶ τὸ τῆς Λύκτου Κρητικῆς πόλεως ἐπίνειον ὁμωνύμως τῷ προσηγορικῷ. 313, 2.

χεσᾶς, ὅτι οὕτως ἐπεκλήθη τις διάῤῥοιαν πάσχων γαστρός. 1000, 12.

χέρσυδρος, εἶδος ὕδρου, οὗ τὸ δῆγμα ἄλγος καὶ σηπεδόνας παρέχον διὰ θαλασσίου ὕδατος προσρανθέντος θεραπεύεται. 330, 2.

χεύειν ὅτι περὶ τῶν ἁπαλῶν καὶ ὑγρῶν σωμάτων λέγεται. 1120, 38. ἢ καὶ χεύειν λέγεταί τις τὸ ἱμάτιον παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐκδύεσθαι, πρὸς ἔμφασιν τῆς τοῦ ἱματίου ἁπαλότητος. 599, 44. καὶ γυνὴ δὲ χεύειν τῷ πήχει λέγεται περί τινα πρὸς ἔμφασιν τῆς τῶν πηχέων τρυφερότητος. 551, 5. καὶ ἁπλῶς χεύειν ἐπὶ τοῦ τυχὺ καὶ ῥᾳδίως ῥίπτειν. 629, 32.

χεύειν σῆμα καὶ χεύειν τύμβον τὸ διὰ χυτῆς γῆς ἀναχωματίσαι. 684, 11. 1286, 59. 1418, 27. καὶ ὅτι τὸ χεύω ἐκ τοῦ χέω λέγεται πλεονασμῷ τοῦ υ. 1792, 57.

χηλαμὸς ἰδιωτικῶς ὁ παρὰ τοῖς λογίοις χηραμός. 1248, 51. 1449, 2.

χηλὴ ὅτι ἐπὶ ζῴων πεζῶν λέγεται, ὅθεν διχηλᾶ ζῷα. 1068, 49.

χηλὸς παρὰ Λάκωσιν ἡ κιβωτός. 1056, 45. καὶ ὅτι παρὰ τὸ χῶ, ὃ δηλοῖ τὸ χωρῶ, λέγεται. 1449, 1.

χήμη, ὄστρακον, ὅτι παρὰ τὸ χῶ, ὃ δηλοῖ τὸ χωρῶ, λέγεται. 1063, 40.

χὴν ὅτι παρὰ τὸ χαίνειν καὶ χανδὸν ἐσθίειν λέγεται, καὶ ὅτι καὶ θηλυκῶς λέγεται Ὀδ. ο', 161. 174. ἀλλαχοῦ δὲ ἀρσενικῶς. 254, 28. 1778, 10. ἀλλαχοῦ δὲ ὅτι κατὰ θηλυκὸν γένος αἱ χῆνες Ἰωνικῶς λέγονται, κοινῶς δὲ οἱ χῆνες ἀρσενικῶς. 1876, 45. καὶ ὅτι χήν τις Ὠλενίου παιδὸς ἐρασθῆναι ποτὲ ἱστορεῖται. 1166, 29. καὶ ὅτι ἐν Ῥώμῃ χῆνες τινὲς ἱέρωντο διὰ τὸ σωθῆναι ποτὲ δι' αὐτῶν τὴν πόλιν. 1257, 28.

χηνιδεῖς τὰ τῶν χηνῶν ἔκγονα. 753, 56.

χηνίσκος, χηνὸς ἐκτύπωμα εἰς παράσημον ἐγγλυφόμενον τοῖς τῶν νεῶν ἄκροις. 667, 15.

χήρα κοινῶς καὶ χήρη Ἰωνικῶς, καὶ ὅτι καὶ χῆρος ἀρσενικῶς εὕρηται λεγόμενον. 589, 18. 1093, 47. καὶ ὅτι χήρα ἀνδρὸς κατὰ συνθήκην ἐντελῶς λέγεται, χήρα δὲ καθ' αὑτὸ ἐλλιπῶς. 651, 44.

χηραμὸς, κοίλη πέτρα, ὅτι παρὰ τὸ χωρεῖν δοκεῖ λέγεσθαι. 1248, 50. 53.

χηρεία πόλεως ἡ λειπανδρία κατ' ἀκυρολεξίαν. 590, 33. ᾧ λόγῳ καὶ οἱ ἔρημοι τόποι χηρεύειν λέγονται. 589, 17.

χῆρος, σύζυγον τοῦ χήρα θηλυκοῦ. 1093, 48.

χηροῦν γυναῖκα κυρίως λέγεται, χηροῦν δὲ ἀγυιὰς παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐρημοῦν ἀκύρως· καὶ ὅτι μετὰ τὴν αἰτιατικὴν ὑπακούεται γενικὴ ἐκ τρίτου, ἵν' ἡ χηροῦν γυναῖκα ἀνδρός. 589, 15. 1093, 46.

χηρωσταὶ, οἱ καὶ ὀρφανισταὶ, ὅτι τάγμα τι ἦν ἐν ταῖς πόλεσι τῶν ἀκληρονομήτων εἴτουν ἀδιαδόχων προϊστάμενον καὶ τὰς χηρευούσας γυναῖκας ἐπιτροπεῦον. 533, 30. ἀλλαχοῦ δὲ ὅτι χηρωστὴς ἐν ἴσῳ τῷ ἀγχιστεύς. 589, 20. καὶ ὅτι

ὀξύνεται τοὔνομα ὡς ἀπὸ τοῦ χηρῶ περισπωμένου θέματος, ὡς ἀπὸ τοῦ ποιῶ τὸ ποιητὴς καὶ τοῦ ἠχῶ τὸ ἠχητής, καὶ ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ̄. 384, 11. 533, 30. 36. 40. 1724, 37.

χήτει δοτικὴ ὅτι ἀπὸ τῆς χῆτος εὐθείας κεκίνηται καὶ δηλοῖ τὴν στέρησιν ἢ σπάνιν, οἱ δὲ ὅτι χῆτις ὡς σπάνις θηλυκῶς λέγεται. 1793, 46. 49.

χήτειοι γυναίων, ἤγουν ἐστερημένοι γυναικῶν, ὅτι οὕτω γράφουσί τινες ἐν τῷ, κήτειοι ἔκειντο γυναίων εἵνεκα δώρων, Ὀδ. λ', 521. 1697, 27.

χῆτις καὶ χῆτος ἡ στέρησις, ὅθεν τὸ χατίζειν. 769, 31.

χθαμαλὸς ὅτι ἐκ τοῦ χαμαλὸς λέγεται πλεονασμῷ τοῦ θ̄. 1385, 31.

χθιζὰ καὶ πρωιζὰ, ἀντὶ τοῦ χθὲς καὶ πρῴην καὶ ὡς εἰπεῖν ἔναγχος. 225, 34.

χθιζὸν τὸ χθεσινὸν καὶ ὑπόγυιον. 225, 45. καὶ χθιζὸν ἐπιῤῥηματικῶς ἀντὶ τοῦ χθὲς ἐν τῷ, χθιζὸν ὑπέστημεν, Ἰλ. τ', 195. 1179, 29.

χθόνιος ἄνθρωπος ὁ διὰ δόλον στυγνὸς καὶ κατηφής. 1496, 38.

χθὼν, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ θ̄ ἡ λέξις. 424, 19.

χιάζειν τὸ κατὰ τὸν τοῦ χ̄ στοιχείου τύπον χαράττειν τὰ φαῦλα νομίσματα, ἱστορία. 1462, 41.

Χιαστὶ τίλλειν παροιμιακῶς τὸ κατὰ Χίους παρατίλλεσθαι. 1462, 34.

χιαστοὶ ζυγοὶ θυρῶν, ἤγουν καγκελωτοί. 1142, 50.

χίδρα οἱ ἑφθοὶ πυροὶ, ὅτι παρὰ τὸ τῇ χειρὶ δρέπεσθαι ἀπελεύσει τῆς ἐν τῷ χεὶρ διφθόγγου λέγεται τοὔνομα. 1562, 64.

χιλίαρχος, ὅτι κατὰ σκῶμμα χιλίαρχος ἐκλήθη τις παρὰ τὸν ἀρχὸν, ὃ δηλοῖ κρύφιόν τι μέρος τοῦ σώματος. 211, 4.

χιλιόμβη ἡ ἐκ χιλίων ζώων θυσία, ὡς ἑκατόμβη ἡ ἐξ ἑκατόν· καὶ ὅτι Μιλτιάδου νικήσαντος νίκην τινὰ χιλίας οἱ Ἀθηναῖοι χιμαίρας ἔθυσαν τῇ Ἀρτέμιδι, ἱστορία. 49, 4. 1454, 26.

χιλὸς ἡ ἐκ τῶν σπορίμων τροφή. 14, 19. 15, 11. καὶ ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῆς ἀρχούσης. 1413, 35.

Χίμαιρα, τέρας τι πύρπνουν τρικέφαλον πλαττόμενον ὑπὸ Ἡσιόδου, καθ' Ὅμηρον δὲ ἐκ λέοντος καὶ αἰγὸς καὶ δράκοντος συγκείμενον· καὶ ὅτι οἱ μὲν ἠθικῶς ἀλληγοροῦντες εἰς ψυχικά τινα πάθη συμβιβάζουσι τὰ κατὰ τὴν Χίμαιραν, οἱ δὲ θηρίων τριῶν τινῶν ἢ λῃστῶν συνδρομὴν ἱστοροῦσι γενέσθαι ποτὲ κατά τι ὄρος Λυκιακὸν, καὶ τοῦτο εἶναι τὴν Χίμαιραν· ἕτεροι δὲ ὄρος τι Λυκιακὸν κατὰ μὲν τὸ μέσον ἀναφυσήματα πυρὸς ἔχον, τὰ δὲ ἄκρα πολύθηρον ἱστοροῦσι τὴν Χίμαιραν. 634, 32 — 61. καὶ ὅτι καὶ φάραγξ τις κατὰ τὴν Λυκίαν ἀπὸ τοῦ αἰγιαλοῦ ἀνατείνουσα Χίμαιρα ἐκαλεῖτο. 635, 18. καὶ ὅτι Βελλεροφόντης λέγεται τὴν μυθευομένην Χίμαιραν ἀνῃρηκέναι διὰ μολύβδου ἐγχύσεως εἰς τὸ στόμα αὐτῆς, καὶ ἀλληγορίαι διάφοροι τῆς διὰ Βελλεροφόντου τοιαύτης ἀναιρέσεως τῆς Χιμαίρας. 634, 61. καὶ ὅτι περὶ Δαίδαλον καὶ Κράγον, ὄρη τῆς Λυκίας, μυθεύεται γενέσθαι τὰ κατὰ τὴν Χίμαιραν. 635, 15. καὶ ὅτι χίμαρος τράγος καὶ χίμαιρα τὸ θηλυκὸν, καίτοι παρὰ τὸ χεῖμα, ὃ δηλοῖ τὸν χειμῶνα, λεγόμενα, ὅμως διὰ μονοφθόγγου ἔχουσι τὴν χῑ συλλαβήν. 635, 23. ἀλλαχοῦ δὲ ὅτι ὁ περὶ τῆς Χιμαίρας μῦθος δοκεῖ ἀφορμὴν ἐσχηκέναι ἐκ χιμάῤῥου τινὸς ἐξ αἰπολίου φυγόντος καὶ ἀγριανθέντος καὶ ὥσπερ τι τέρας ἀπεκβάντος. 1062, 59.

χίμετλα ὅτι καίτοι παρὰ τὸν χειμῶνα λεγόμενον τοὔνομα ὅμως διὰ μόνου τοῦ ῑ ἔχει τὴν χῑ συλλαβήν. 635, 24.

—χιμος ληγόντων ὀνομάτων παραγωγὴ, οἷον μελάγχιμος. 1254, 24.

χιόνος ὕλη ὅτι ὑγρόν ἐστιν εἰς ὄμβρον συναχθέν. 895, 26.

Χίος ἡ νῆσος παροξυτόνως, Χῖος δὲ ὁ ἐκ Χίου προπερισπωμένως διὰ τὴν ἐκ τοῦ Χίιος συναίρεσιν. 21, 26. 1462, 51. καὶ ὅτι Χίος νῆσος περίπλουν ἔχει ἐννεακοσίων σταδίων, καὶ ὅτι καὶ ναύσταθμον εἶχε ναυσὶν ὀγδοήκοντα καὶ ἄλσος Φοινίκων. 1462, 32.

χῖος καὶ κύων ὁ τὸ ἓν δυνάμενος βόλος ἐν τῇ δι' ἀστραγάλων παιδιᾷ, καὶ παροιμία, χῖος παραστὰς κῷον οὐκ ἐᾷ λέγειν. 1289, 63. 1397, 39.

Χῖος δεσπότην ὠνήσατο, παροιμία ἐπὶ τῶν βλαπτομένων ἀφ' ὧν ὠφελήσεσθαι προσεδόκων, ἱστορία διεξοδική. 1462, 35.

Χῖος λόφος, παροιμία ἀπὸ ποιᾶς κουρᾶς, ἣν ἐκείροντό ποτε οἱ Χῖοι, ἱστορία. 1462, 37.

χιράδες αἱ ῥαγάδες τῶν χειρῶν, ὅτι ἐκ τοῦ χεὶρ χειρὸς γενόμενον διὰ μόνου τοῦ ῑ ἔχει τὴν χῑ συλλαβὴν τοὔνομα. 194, 40. 635, 25. 1562, 63.

χιτὼν τὸ προσεχῶς περικεχυμένον τῇ σαρκὶ ἱμάτιον. 767, 7. 1151, 21. καὶ ὅτι οὐ μόνον τὸ τῆς σαρκὸς ἀμέσως ἐχόμενον λινοῦν ἱμάτιον σημαίνει τοὔνομα, ἀλλὰ καὶ πᾶν τὸ ἁπαλὸν καὶ εὐαφὲς καὶ ὡς εἰπεῖν χυτόν. 1056, 59. 1282, 30. καὶ τὸ ἐπιπολῆς περιβόλαιον ἐνίοτε παρ' Ὁμήρῳ. 1129, 1. καὶ ὅτι χιτὼν οἱονεὶ χυτὼν λέγεται παρὰ τὸ χύω τροπῇ τοῦ ῡ εἰς ῑ· καὶ ὅτι ἀνδρεῖον φόρημα ὁ χιτὼν, πέπλος δὲ γυναικεῖον, καὶ οὐ μόνον λινοῦς ὁ χιτὼν, ἀλλὰ καὶ ἐξ ἐρίων. 169, 46 — 170, 12. καὶ ὅτι ἐπὶ πολεμικοῦ θώρακος ἀκούεται ἐν τῷ, Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι, Ἰλ. β', 416. 249, 29. καὶ ὅτι καὶ ἐν τῷ, ἡ δὲ χιτῶν' ἐνδῦσα Διός, Ἰλ. ε', 736. ὡς ὅπλον ὑπόκειται ὁ χιτών. 600, 3. ἀλλαχοῦ δὲ ὅτι χιτὼν ὁ ζωστὸς καὶ γυναικεῖος, χιτωνίσκος δὲ ὁ ἀνδρεῖος, χιτώνιον δὲ καὶ χιτωνάριον λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές· καὶ ὅτι τῶν χιτώνων οἱ μέν τινες εἰσιν ὀρθοστάδιοι, οἱ δὲ συρτοί. 1166, 50. 55.

χιτωνάριον καὶ χιτώνιον, λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελὲς, καὶ χιτωνισκάριον τὸ βραχὺ χιτώνιον. 1166, 51.

χιὼν ὅτι παρὰ τὸ χέειν λέγεται καὶ ὅτι διὰ τοῦ ῑ γράφεται. 896, 48. 905, 90. καὶ ὅτι καὶ χιὼν ἐρυθρὰ ἐκ μιλτώδους ἀνα-

παρὰ Γορτυνίοις ἐξ ὕλης χαλκῆς. 1153, 42.

χορδὴ ὅτι διὰ τοῦ, εὐστραφὲς ἔντερον οἷος, περιφράζεται Ὀδ. φ', 408. 1915, 22.

χορείας τρόπος, ὅτι τὸ ἀρχαῖον χωρὶς ἐχόρευον οἱ ἄνδρες καὶ χωρὶς αἱ γυναῖκες, καὶ πότε ἀναμὶξ ἤρξαντο χορεύειν, ἱστορία. 1166, 16.

χορεῖος, ὄνομα αὐλήσεως ποιᾶς. 1236, 56.

χορηγεῖον, ὅτι περιεκτικοῦ τύπου ἐστὶ τοὔνομα. 1562, 57.

χοροιτύπος ὁ ἐν τῷ χορεύειν τύπτων τὴν γῆν. 1328, 57.

χορὸς ἡ χορεία, καὶ τὸ χορευτικὸν πλῆθος, καὶ ὁ τόπος τῆς χορείας εἴτουν ἡ ὀρχήστρα. 428, 20. 1595, 26. 59. καὶ χορὸς ἀντὶ τοῦ τόπος καὶ χώρα ἐν τῷ, ὅθι τ' Ἠοῦς ἠριγενείης οἰκία καὶ χοροὶ εἰσίν, Ὀδ. μ', 4. ὡς καὶ ἐν συνθέσει. 1705, 40.

χορτάζεσθαι κυρίως ἐπὶ ὑποζυγίων, τροπικῶς δὲ καὶ ἐπὶ ἀνθρώπων. 883, 53.

χορταῖος, χιτὼν δασὺς καὶ μαλλωτὸς ποδήρης ἔχων χειρίδας. 1166, 53.

χόρτος αὐλῆς τὸ περιχώρημα τῆς αὐλῆς, ἢ αὐτὴ ἡ αὐλὴ περιφραστικῶς, ἔνθα χόρτος ὡς τὰ πολλὰ φύεται, ἢ χόρτος αὐλῆς τὸ περίφραγμα, τουτέστιν ἡ περιοχὴ τῆς αὐλῆς, ἑρμηνεία διεξοδική. 883, 44. 52. 1369, 15.

χοῦς ἡ χυτὴ γῆ, ὅτι ἐκ τοῦ χόος συνῄρηται τοὔνομα, ὃ παρὰ τὸ χέω λέγεται. 1019, 56. καὶ χοῦς ὁμωνύμως μέτρον τι, ὃ καὶ χοεὺς λέγεται. 1401, 1.

χοῦς, ὄνομα μέτρου, ὅτι ἀρσενικῶς ἀεὶ λέγεται, χοῦς δὲ ἡ γῆ θηλυκῶς. 305, 43. 1390, 60. 1504, 38. ἀλλαχοῦ δὲ ὅτι χοῦς ἀντὶ τοῦ χοεὺς ἀρσενικῶς τε καὶ θηλυκῶς λέγεται καὶ πρόχους ἐν συνθέσει. 1835, 19.

χράειν ἀντὶ τοῦ βαρύνειν καὶ βιαστικῶς ἐν χρῷ ἐπιπίπτειν. 467, 28. 909, 40. 1901, 39.

χραίνω ὅτι ἐκ τοῦ χράω χρῶ γίνεται, ὡς ἐκ τοῦ ῥῶ τὸ ῥαίνω· καὶ ὅτι ἀεὶ ἐπὶ κακοῦ τὸ χραίνειν, τὸ δὲ μολύνειν οὐκ ἀεί. 467, 26. 1063, 34.

χραισμῶ ἀντὶ τοῦ χρησιμῶ, ὅθεν καὶ λέγεται τροπῇ τοῦ η εἰς α καὶ ἐπενθέσει τοῦ ι. 94, 40. καὶ ὅτι τὸ χραισμεῖν θάνατον κατὰ συνθήκην ἐντελῶς λέγεται, χραισμεῖν δὲ ἁπλῶς ἐλλιπῶς. 672, 22.

χραίσμω χραίσμῃς χραίσμῃ, πρόσωπα ὑποτακτικὰ ἀπὸ τοῦ ἔχραισμον δευτέρου ἀορίστου κεκινημένα. 94, 42.

χραύειν ὅτι ἐκ τοῦ χράειν λέγεται πλεονασμῷ τοῦ υ καὶ δηλοῖ τὸ χρωτὸς ἐφάψασθαι. 531, 10. 1063, 30.

χραῦσαι τὸ χροὸς αὖσαι, ὅ ἐστι ψαῦσαι καὶ θίγειν. 1547, 62.

χράω τὸ ἐπιπίπτω ἢ βαρύνω, ὅτι προϋπόκειται τοῦ χραύω, ὃ δηλοῖ τὸ ξέω. 531, 11. 579, 13. καὶ ὅτι τὸ χράω καὶ τὰ ἐξ αὐτοῦ χρωτὸς ἐπαφὴν δηλοῦσι. 1063, 32.

χρεῖ' ᾖ, ἀντὶ τοῦ χρεία ὑπάρχῃ, ὅτι τὸ α τοῦ χρεία καίτοι μακρὸν ὂν φύσει ὅμως ἐξεθλίβη. 1702, 32.

χρεῖος τὸ χρέος, ὅτι ἀρσενικῶς τε καὶ οὐδετέρως λέγεται. 73, 46. καὶ ὅτι ἀεὶ διὰ τοῦ ο μικροῦ γράφεται τὸ χρεῖος, τὸ δὲ χρέος διφορεῖται. 878, 45. ἀλλαχοῦ δὲ ὅτι καὶ διὰ τοῦ ω μεγάλου γράφεται τὸ χρεῖος ἐν τῷ, εἴπερ γάρ κεν Ἄρης χρείως ὑπαλύξας οἴχηται, Ὀδ. θ', 353. 1600, 7. καὶ χρεῖος ἄνθρωπος ἐπιθετικῶς ὁ χρειώδης. 218, 7.

χρειὼ ἡ χρεία Ἰωνικῶς. 698, 11. καὶ χρειὼ ἀντὶ τοῦ χρέος κατά τε τὴν σημασίαν καὶ τὴν σύνταξιν ἐν τῷ, τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε, δήμιον ἢ ἴδιον, Ὀδ. δ', 312. καὶ ὅτι οὕτω μὲν ἐντελῶς εἴρηται, καθ' αὑτὸ δὲ τὸ, τίπτε δέ σε χρειὼ, ἐλλειπτικῶς ἢ ἀντιπτωτικῶς εἴρηται, ἑρμηνεία διεξοδική. 1497, 37.

χρέως οὐ μόνον τὸ δανεισθὲν, ἀλλὰ καὶ τὸ ἁπλῶς ὀφειλόμενον, ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῆς ληγούσης. 878, 45. 1899, 63. καὶ ὅτι ὡς ἐπιπολὺ ἐκτείνει τὴν λήγουσαν. 1600, 6. ἀλλαχοῦ δὲ ὅτι τὸ χρέος καὶ τὰ ἐξ αὐτοῦ κοινῶς μὲν διὰ τοῦ ο μικροῦ γράφονται, Ἀττικῶς δὲ διὰ τοῦ ω μεγάλου. 1534, 13. καὶ ὅτι διὰ τοῦ ω μεγάλου γραφόμενον κατὰ τὴν τετάρτην κλίσιν κλίνεται, καὶ ὅτι τὰ σύνθετα διὰ τοῦ ω μεγάλου γράφονται. 958, 23.

χρέος, ἀντὶ τοῦ χρεία ἐν τῷ, ἦλθον Τειρεσίαο κατὰ χρέος, Ὀδ. λ', 479. ὅπου καὶ ἀντὶ τοῦ χρησμώδημα τὸ χρέος λαμβάνουσί τινες, καὶ ὅτι τὸ χρέος ἐπὶ ὀφειλῆς διὰ τοῦ ω μεγάλου γράφεται παρά τισι. 698, 11. 1695, 6.

χρεὼ βουλῆς ἐμὲ καὶ σέ, Ἰλ. κ', 43. ἀντὶ τοῦ ἐμοὶ καὶ σοὶ ἀντιπτωτικῶς. 788, 39.

χρεώμενος ἀντὶ τοῦ χρώμενος πλεονασμῷ τοῦ ε. 1332, 18.

χρεὼν ὅτι τὸ χρεὼν συνάρθρως λεγόμενον ἀντὶ τοῦ τὸ πεπρωμένον ἀκούεται, καὶ τὸ χρεὼν ἀντὶ τοῦ ὁ θάνατος. 166, 8.

χρεωφειλέτης ὅτι ἐκ ταὐτοδυνάμων σύγκειται λέξεων. 437, 9.

χρὴ ἀντὶ τοῦ δεῖ καὶ πρέπει, ὅτι ῥῆμα ὂν ὤφειλε περισπᾶσθαι κατὰ τὸ κνῇ καὶ ζῇ, δοκεῖ δὲ ὀξυτονηθῆναι πρὸς διαστολὴν τοῦ χρῇ τρίτου προσώπου τοῦ χράω χρῶ, ὃ δηλοῖ τὸ μαντεύομαι, ἴσως δὲ καὶ ὡς ἐκ τοῦ χρήζω ἀποκοπὲν τὸν ἐκείνου τόνον ἐφύλαξε, διὸ καὶ τὸ ἀπόχρη βαρύνεται ἀναδραμόντος τοῦ τόνου κατὰ τὴν σύνθεσιν, διαίτησις διεξοδικωτάτη. 89, 22. 751, 48 — 752, 14. 1179, 38.

χρὴ καὶ δεῖ ῥήματα καὶ χρεία ὄνομα αἰτιατικῇ ἀντὶ δοτικῆς ἐκ δευτέρου καὶ γενικῇ ἐκ τρίτου συντασσόμενα, οἷον αὐτόν σε δεῖ Προμηθέως (Aesch. Prom. 86.). 1497, 42. 1929, 55.

χρή σε αἰδοῦς, ἀντὶ τοῦ χρεία σοί ἐστιν αἰδοῦς. 1455, 4.

χρῆμα παρὰ τοῖς τραγικοῖς ἐν ἴσῳ τῷ χρεία. 698, 11.

χρήματα λέγονται τὰ χειριζόμενα τῶν κτημάτων, ὅθεν καὶ ἡ στρωμνὴ, ἣ χρῆταί τις, χρῆμα λέγεται παρά τινι τραγικῷ. 1261, 39. ἀλλαχοῦ δὲ ὅτι χρήματα τὰ ἐν τῷ οἴκῳ πάντα, ὅτι παρὰ τὴν χρῆσιν λέγονται. 1447, 7.

χρῆν ἀντὶ τοῦ ἐχρῆν, ὅτι περισπᾶται ἀναλόγως. 751, 54. καὶ χρῆν

ἀντὶ τοῦ χρῆναι κατὰ ἀποκοπήν. 1179, 36. καὶ ὅτι τὸ χρῆν ἀντὶ τοῦ χρῆναι Δωρικόν ἐστιν ἀπαρέμφατον καθ' ὁμοιότητα τοῦ ζῆν, οἷον ἐν τῷ, πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν. 1647, 37.

χρήσασθαι τὸ μαντεύσασθαι παρὰ τοῖς ἀρχαίοις, παρὰ δὲ τοῖς ὕστερον καὶ τὸ χειρὶ δέξασθαι. 1665, 39. καὶ ὅτι χρήσασθαι λέγεταί τις ἱμάτιον ἢ σκεῦος, ἤγουν δανείου λόγῳ εἰληφέναι παρά τινος. 1729, 42.

χρῆσθαι τὸ μεταχειρίζεσθαι, ὅτι δοτικῇ συντάσσεται, οἷον χρῆσθαι φρεσὶν ἀγαθαῖς παρ' Ὁμήρῳ, καὶ χρῆσθαι συμφορᾷ παρὰ τοῖς Ἀττικοῖς. 1384, 30. 1806, 28.

χρησμὸς δοθεὶς ἐν Δελφοῖς Ἀγαμέμνονι περὶ τοῦ τέλους τοῦ Τρωικοῦ πολέμου, ἱστορία διεξοδική. 1586, 22.

χρήστης ὁ ἁπλῶς δανείζων καὶ ὁ ἐπὶ τόκῳ δανείζων. 1729, 42. ἀλλαχοῦ δὲ ὅτι χρήστης ὁ δανείσας καὶ ὁ ὀφείλων ὁμωνύμως. 1807, 12.

Χρῆστος κύριον, χρηστὸς δὲ ὁ ἐπιεικὴς ἐπίθετον. 1967, 35.

χρίειν ὅτι παρὰ τὸ χροῦς λέγεται, ὃ δηλοῖ τὴν τῆς σαρκὸς ἐπιφάνειαν. 467, 28. 1450, 34. 1561, 4.

χρίμπτειν καὶ χρίμπτεσθαι τὸ ἐν χρῷ πελάζειν, ὅτι παρὰ τὸ χροῦς λέγεται, ὃ δηλοῖ τὴν τῆς σαρκὸς ἐπιφάνειαν. 467, 27. 1112, 19. 1450, 34. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ χρῶ γίνεται χρίπτω καὶ πρὸς εὐφωνίαν χρίμπτω. 925, 36.

χρόα βαρύτονον ἐκ τοῦ χροιὰ ὀξυτόνου διὰ τὴν ἔκπτωσιν τοῦ ι. 94, 3. ζήτει τὸ χροιά.

χροιὰ ἡ ἐπιφάνεια τῆς ἀνθρωπίνης σαρκός, ἣ καὶ χροῦς λέγεται. 467, 23. 974, 23. καὶ ὅτι τὸ χροιὰ ὀξυνόμενον, ὅταν ἐκπέσῃ τὸ ι, βαρύνεται καὶ γίνεται χρόα. 94, 3.

χρόμαδος παρ' Ὁμήρῳ ὁ ἐκ τῶν γενύων τῶν πυκτευόντων διὰ τὰς πληγὰς γινόμενος τρισμὸς καὶ ψόφος. 1324, 29.

χρόνος ὅτι μέτρον ἐστὶ τῆς ἡλιακῆς κινήσεως. 191, 15. καὶ ὅτι παρὰ τὸ χέειν καὶ ῥέειν καὶ νάειν ἰσοδυνάμων λέξεων λέγεται τοὔνομα. 437, 14. καὶ ὅτι τῇ χρόνος λέξει ποτὲ μὲν τὸ πολύ, ποτὲ δὲ τὸ ὀλίγον συνυπακούεται διὰ τὸ ἀοριστοαίνειν καθ' αὑτὸ λεγόμενον τοὔνομα, οἷον ἐν τῷ, μείνατ' ἐπὶ χρόνον, Ἰλ. β', 299. 225, 23. καὶ, ἔνθα καθεζόμενος μεῖναι χρόνον εἰσόκεν ἔλθω, Ὀδ. ζ', 295. 1510, 37. 1564, 12.

χρονοτριβεῖν τὸ χρόνον τρίβειν, τουτέστι διατρίβειν. 1327, 21.

χρόνου πόδα Ἀριστοφάνης εἶπεν ἐκ τοῦ, περιπλομένων ἐνιαυτῶν, ὃ παρ' Ὁμήρῳ κεῖται, ἀφορμὴν λαβών. 1653, 26.

χρόνου συλλαβικοῦ ἀδιαφορία, ὅτι τῶν κυρίων ὀνομάτων συλλαβαί τινες ἀδιαφορίᾳ χρόνου ἐξ ἀνάγκης ὑποπίπτουσι κατὰ τὸ μέτρον, οἷον ἡ τοῦ Αἴολος παραλήγουσα βραχεῖα φύσει οὖσα ὅμως ἐκτείνεται διὰ μέτρου ἀνάγκην ἐν τῷ, βῆν εἰς Αἰόλου κλυτὰ δώματα, Ὀδ. κ', 60. 1647, 27.

χρόνων ῥηματικῶν ἐναλλαγή, οἷον ἐν τῷ, ἔκ τε καὶ ὀψὲ τελεῖ, καὶ ἐν τῷ, σύν τε μεγάλῳ ἀπέτισαν· ἔστι γὰρ ἀντὶ τοῦ ἐκτελέσει καὶ ἀποτίσουσιν, Ἰλ. δ', 161. 458, 39.

χρόνων συλλαβικῶν μετάπτωσις ἐκθέσει μακρῶν εἰς βραχεῖς, οἷον ἐν τῷ, ὥστε Ζελείης, τὸ στυ συστέλλεται διὰ μέτρου χρείαν. 449, 15. καὶ ὅτι καὶ κατὰ χώραν ἐν μιᾷ λέξει μετατίθενται οἱ συλλαβικοὶ χρόνοι, οἷον ἐν τῷ ὤρορα ἀντὶ τοῦ ὄρωρα. 943, 47.

χροῦς τὸ ἐπιφαινόμενον τῆς ἀνθρωπίνης σαρκὸς καὶ ἡ ὅλη διαρτία τοῦ σώματος ἐκ μέρους τῆς ἐπιφανείας, καὶ ὅτι καὶ χρὼς λέγεται. 467, 20. 1445, 62. 1450, 31. καὶ ὅτι τὸ χροῦς οὐχ' εὕρηται παρ' Ὁμήρῳ κατ' εὐθεῖαν, ἀλλ' ἀντ' αὐτοῦ χρώς· αἱ μέντοι λοιπαὶ κινήσεις, πλὴν τῆς αἰτιατικῆς, καὶ τὰ σύνθετα πάντα ἀπὸ τοῦ χροῦς γίνονται. 927, 22.

Χρύσα καὶ Χρύση Ἰωνικῶς, πόλις ἐν τῇ Ἀτραμυττηνῇ χώρᾳ, ἧς Ὅμηρος μέμνηται Ἰλ. α', 37. καὶ ὅτι Κιλίκων ἦν ἡ Χρύσα αὕτη, καὶ ὅτι καὶ ἄλλαι τινὲς πόλεις τούτῳ τῷ ὀνόματι ἐχρήσαντο, ἑρμηνεία διεξοδική. 34, 3.

χρυσαλλίς, ζῷον μεῖζον σφηκός, ὃ καὶ μηλολόνθη λέγεται. 1329, 28.

χρυσάμπυκες ἵπποι λέγονται, οἷς αἱ κορυφαὶ τῶν τριχῶν στροφίῳ χρυσῷ ἀναδέδενται. 556, 26. 1280, 53.

χρυσόφιον ὅτι ἐκ τοῦ χρυσὸς λέγεται ἐπενθέσει τοῦ αφ. 492, 36.

χρύσεα μῆλα τὰ κιτρία διὰ τὸ χρυσίζον τῆς χρόας. 1572, 43.

χρύσεα νέφη τὰ χρυσίζοντα. 990, 48.

χρυσεοκόμας ὁ ξανθὴν κόμην ἔχων διὰ τὸ χρυσίζον τῆς ξανθότητος. 432, 27.

χρύσεον νέφος παρ' Ὁμήρῳ τὸ φλογῶδες. 1138, 40.

χρυσῆ Ἀφροδίτη λέγεται ἢ διὰ τὸ χρυσοφορεῖν ἢ διότι χρυσῷ τὰ κατ' αὐτὴν ἀνύεται. 384, 4. 20. 1184, 61.

χρυσῆ κορώνη ἢ κορωνὶς, ὅτι χρυσῆν ἐπιθεῖναι κορώνην παροιμιακῶς λέγεται ὁ καλὸν τέλος ἐπιθεὶς ταῖς ἑαυτοῦ πράξεσιν. 451, 16.

Χρυσηΐδος τῆς παρ' Ὁμήρῳ ἅλωσις, ἱστορία. 118, 42.

Χρυσηΐς, ὅτι πατρωνυμική ἐστιν ἡ φωνή, καὶ ὅτι Ἀστυνόμη ὠνομάζετο ἡ παρ' Ὁμήρῳ Χρυσηΐς, καὶ ὅτι ἐν τῇ Ὑποπλακίῳ Θήβῃ ἑάλω ὑπ' Ἀχιλλέως, ἱστορία. 77, 29.

χρυσηλάκατος Ἄρτεμις ἡ χρυσᾶ ἠλάκατα, ἤγουν τόξα ἢ βέλη, ἔχουσα, χρυσηλάκατος δὲ γυνὴ ἡ χρυσῇ ἠλακάτῃ ἐργαζομένη. 1053, 62. 1197, 31. 1488, 31.

Χρύσης καὶ Βρίσης ἀδελφοί, πατέρες ὁ μὲν Χρυσηΐδος, ὁ δὲ Βρισηΐδος τῶν παρ' Ὁμήρῳ ἱστορουμένων γυναικῶν. 77, 31.

χρυσόηλον σκῆπτρον ὅτι διὰ τοῦ χρυσοῖς ἥλοις πεπαρμένον περιφράζεται. 95, 6.

Χρυσόθεμις, ὄνομα βασιλικῆς γυναικός, παρὰ τὸ χρύσεον, τουτέστι καθάρειον, τῆς θέμιδος, ἤγουν τῆς δικαιοσύνης. 742, 46.

χρυσόθρονος Ἥρα λέγεται διὰ τὸ πυρῶδες καὶ τὸ ἐκ τῶν ἡλιακῶν ἀκτίνων χρυσοφαὲς τοῦ ἀέρος. 158, 28. 162, 43. καὶ χρυσόθρονος Ἄρτεμις ὁμοίως. 162, 43. 772, 19.

χρυσολαβὲς ξίφος τὸ χρυσῆν λαβὴν ἔχον. 139, 25.

χρυσόπτερος Ἶρις, ὅτι πτερωτὴ μὲν λέγεται εἶναι ἡ Ἶρις διὰ τὸ ταχὺ γίνεσθαί τε καὶ ἀπογίνεσθαι αὐ-

τὴν, χρυσόπτερος δὲ διὰ τὴν λαμπρότητα τῶν ἐν αὐτῇ χρωμάτων. 719, 46.

χρυσόῤῥαπις Ἑρμῆς παρὰ τὸ χρυσῆν ῥάπιν, ὅ ἐστι ῥάβδον, ἔχειν. 1522, 21. ἀλλαχοῦ δὲ ὅτι χρυσόῤῥαπις ὁ χρυσᾶς ῥαπίδας, ὅ ἐστιν ὑποδήματα, ἔχων. 1658, 58.

χρυσὸς εἰκάζεται τῷ πυρὶ ἐν τῇ Ὁμηρικῇ ἀσπιδοποιΐᾳ. 1154, 47. καὶ ὅτι καὶ ἐν τῷ χρυσόθρονος Ἥρα ὁ χρυσὸς εἰς πῦρ ἀλληγορεῖται. 162, 44. καὶ ὅτι τῷ Ἡλίῳ ἀνάκειται ὁ χρυσὸς, καὶ ἁπλῶς ὅτι τῇ θείᾳ φύσει οἰκειοῦται ὁ χρυσός. 436, 27. 722, 43.

χρυσοῦν δάπεδον οὐρανοῦ ὅτι τὸ ἀνέφελον τοῦ ἄνω τόπου αἰνίττεται, τὰ δὲ χρυσᾶ ποτήρια τὸν ἥλιον, δι' οὗ αἱ ἀναθυμιάσεις, αἳ πόσιν τοῖς ἀλληγορουμένοις θεοῖς χορηγοῦσιν, ἀνάγονται. 436, 27.

χρυσοῦν πεδίον, τόπος τις οὕτω καλούμενος, ἐν ᾧ χρυσῆς Ἀφροδίτης ἱερὸν ἵδρυτο. 384, 20.

χρυσοῦν ὕδωρ τί παρὰ Πέρσαις, οὗ μόνῳ τῷ βασιλεῖ ἐξῆν πίνειν, ἱστορία. 1220, 19.

χρυσοφόροι γυναῖκες παρ' Ἠλείοις περὶ κάλλους ἀγωνιζόμεναι, ἱστορία. 1185, 16.

χρύσοφρυς ἰχθὺς ὅτι τῇ Ἀφροδίτῃ ἀφιέρωτο. 1185, 4.

χρυσοχόος ὅτι παρὰ τὸ χρυσὸν χεύειν λέγεται. 1475, 33.

χρώζειν ἀντὶ τοῦ χρωτίζειν, ἤγουν ἐν χρῷ ἅπτεσθαι. 467, 24.

χρὼς καὶ χροῦς τὸ ἐπιφαινόμενον τῆς ἀνθρωπίνης σαρκός. 467, 20. καὶ ὅτι ἐκ τοῦ χροῦς γέγονε τροπῇ τῆς ου διφθόγγου εἰς ω, ὡς ἐν τῷ Μοῦσα Μῶσα· καὶ ὅτι ὀξύνεται παρὰ τὴν ἀναλογίαν τῶν εἰς ως μονοσυλλάβων. 454, 43. 932, 8. καὶ ὅτι χρὼς κατ' εὐθεῖαν καὶ χρῶτα κατ' αἰτιατικὴν εὑρίσκεται παρ' Ὁμήρῳ, αἱ δὲ λοιπαὶ κινήσεις καὶ τὰ σύνθετα ἀπὸ τοῦ χροῦς χροὸς γίνονται. 927, 22.

χρωτίζεσθαι γυναικὶ τὸ ἐν χρῷ προσπελάζειν. 974, 22.

χυδαῖοι ἄνθρωποι πάλαι μὲν οἱ ἀθρόοι καὶ πεπληθυσμένοι, ὕστερον δὲ οἱ τοῦ ὄχλου καὶ οὐδαμινοί. 29, 34. καὶ ὅτι παρὰ τὸ χύδην ἐπίῤῥημα λέγεται ὁ χυδαῖος. 679, 31.

χυλοῦσθαι τὸ ὑγραίνεσθαι ἐξ ὑετοῦ βροχῆς. 1552, 34.

χυμένη ἀντὶ τοῦ χυθεῖσα, δι' οὗ δηλοῦται τὸ ἁπαλὸν τοῦ γυναικείου σώματος ἢ τὸ ταχὺ τοῦ δρόμου. 1168, 36. 1184, 33. 37.

χύνεσθαι λέγονται τὰ ὑγρὰ καὶ τρυφερὰ σώματα, ἔτι δὲ καὶ τὰ σπουδαίως κινούμενα. 1608, 59. καὶ ὅτι τὸ χύνω ἐκ τοῦ χῶ χύω γίνεται Δωρικῷ πλεονασμῷ τοῦ ν. 1917, 44.

χύριον ὁ δεσμὸς, ᾧ δεσμεῖται τὰ χοιρίδια, ἢ ξύλον ᾧ προσδεσμεύονται οἱ χοῖροι, καὶ ὅτι παραλόγως διὰ τοῦ υ ψιλοῦ γράφεται. 1752, 29.

χύῤῥεσυ, βοτικὸν ἐπίφθεγμα. 855, 25.

χύσθαι περί τινα ἀντὶ τοῦ κατὰ σπουδὴν τρέχειν καὶ συντόνως κινεῖσθαι, ὡς ὑγρόν τι κατὰ πρανοῦς χεόμενον. 1663, 24. 1698, 14.

χυτὴ γῆ ἡ χοώδης καὶ λυτὴ εἰς ξηρὸν χοῦν. 1466, 27. καὶ ὅτι οὕτως ἀφωρισμένως λέγεται ὁ ἐπιτιθέμενος χοῦς τοῖς νεκροῖς σώμασι πολλαχοῦ παρ' Ὁμήρῳ. 655, 35. 699, 52. 971, 20.

χύτλα τὸ μεθ' ὕδατος ἔλαιον, ὅθεν χυτλοῦσθαι τὸ μετὰ λουτρὸν ἀλείψασθαι. 1552, 33. 35.

χυτλοῦσθαι τὸ μετὰ λουτρὸν ἀλείψασθαι, ὅτι παρὰ τὸ χυλοῦσθαι, ὅ ἐστιν ὑγραίνεσθαι, λέγεται πλεονασμῷ τοῦ τ, ἢ παρὰ τὸ χύτλα, ὃ δηλοῖ τὸ μεθ' ὕδατος ἔλαιον. 1552, 32. 35.

χύτρα, εἶδός τι φιλήματος ὁμωνύμως τῷ σκεύει. 1880, 61. καὶ ποιητική τις ὑπογραφὴ τοῦ σκεύους. 1167, 9.

χώεσθαι τὸ ὀργίζεσθαι καὶ τὸ λύπῃ συγκεχύσθαι τὴν ψυχήν. 94, 36. 129, 33. 1270, 18. 1307, 4.

χῶ ῥῆμα ἀντὶ τοῦ χωρῶ προϋποκείμενον πολλῶν τινων ῥημάτων. 983, 36.

χωλὸς ὁ πεπονθὼς τὸ κῶλον, οἱονεὶ κωλός. 768, 33. καὶ ὅτι ἐπιπλέον ἐστὶν ἢ τὸ κυλλὸς, χωλὸς γὰρ οὐ μόνον ὁ τὸ σκέλος πεπηρωμένος, ἀλλὰ καὶ ὁ τὴν χεῖρα κυλλός. 206, 37. 768, 33. καὶ ὅτι τὸ, ἄριστα χωλὸς οἰφεῖ, παροιμιακῶς λέγεται ἐξ ἱστορίας τινὸς, καὶ ἀπαγγελία τῆς ἱστορίας. 403, 6. καὶ ὅτι καὶ τὸ, ἔστι χωλῷ δρόμος, παροιμιακῶς λέγεται καθ' ὁμοιότητα τοῦ, ἔνεστι καὶ μύρμηκι χόλος. 1599, 36.

χώματα τύμβων οἱ τῶν τάφων ἀναχωματισμοί. 652, 30. 1418, 29. 1466, 28. καὶ ὅτι τὰ τῶν τάφων χώματα πρὸς τὸ περίβλεπτον γίνεσθαι τὸν τάφον ἐγίνοντο, ἢ πρὸς τὸ μὴ τυμβωρυχεῖσθαι τὰ σώματα τῶν νεκρῶν ἐπὶ κλοπῇ τῶν περικειμένων αὐτοῖς. 1376, 18.

χώρα καὶ χωρίον ὅτι παρὰ τὸ χῶ, ὃ δηλοῖ τὸ χωρῶ, λέγονται. 441, 4.

χωρεῖν ἀντὶ τοῦ ἐκχωρεῖν εἴτουν ἀναχωρεῖν καὶ εἴκειν. 934, 21. 1078, 49. καὶ χωρεῖν ἐπὶ σκέλος, τὸ μὴ προτροπάδην φεύγειν, ἀλλὰ βάδην ἀναχωρεῖν. 1097, 45.

χωρὶς ἀντὶ τοῦ ἰδίᾳ καὶ ἐν μέρει. 1488, 56. καὶ ὅτι τὸ χωρὶς ἐπίῤῥημα ὀξύνεται, ἀποβάλλον δὲ τὸ σ καὶ χῶρι γενόμενον προπερισπᾶται. 122, 10. 630, 25. 1879, 55. καὶ ὅτι διὰ τὸ χωρίον, ἤτοι χώραν, εἶναι τινὰ μεταξὺ τῶν χωρὶς ὄντων οὕτω λέγεται, καὶ ὅτι τὸ χωρὶς καὶ νόσφι καὶ δίχα καὶ ἄτερ καὶ ἄνευ καὶ ἰδίᾳ κατὰ πολυωνυμίαν λέγονται. 1582, 10.

χὼς, ἐπὶ συμποσίῳ συμβολὴ, Δωρικῶς ἀντὶ τοῦ χοῦς, ὡς καὶ βῶς ἀντὶ τοῦ βοῦς. 1084, 52.

χῶσαι τάφον ἀντὶ τοῦ ἀναχωματίσαι, ἤγουν διὰ χώματος ὕψος ἐγεῖραι. 652, 29.

χωστρὶς χωστρίδος, ὅτι ἐκ πλεονασμοῦ ἔχει τὸ σ καὶ τὸ ρ, ὡς τὸ βωστρεῖν καὶ τὸ ἐλαστρεῖν. 1717, 16.

Ἀρχὴ τοῦ Ψ στοιχείου.

ψ ληκτικὸν ὀνομάτων ἀπαθῶν ὅτι οὐδέποτε μετὰ διφθόγγου συλλαβίζεται. implicite. 321, 44. καὶ ὅτι τῶν εἰς ψ ληγόντων ὀνομάτων ἡ αὐτή ἐστιν ὀρθὴ καὶ κλητική. 345, 16.

ψαθαλεῖν καὶ ψατάλλειν τὸ ψηλαφᾶν καὶ μαλάττειν χορδὰς μουσικάς. 1914, 24.

ψαθύρια, τὰ καὶ ψώθια, πλακοῦντές ποιοί, ἢ τὰ ἀποθραυόμενα τοῦ ἄρτου. 1635, 30.

ψαιστά, πλακοῦντες ἐξ ἀλφίτων οἴνῳ καὶ ἐλαίῳ δεδευμένων γινόμενοι. 1445, 58.

ψάκαλα, ἔμβρυα καὶ ἀρτιγενῆ τινα ζῶα, ὅθεν καὶ ψακαλοῦχοι μητέρες αἱ αἶγες παρὰ Σοφοκλεῖ. 777, 61. 1625, 48.

ψακαλοῦχοι μητέρες παρὰ Σοφοκλεῖ αἶγες νεογνὰ τρέφουσαι. 1625, 49.

ψακὰς ταὐτὸ ὅπερ ψεκὰς, ὅ ἐστι δρόσος. 1071, 9. 1625, 30.

ψακαστὰ μύρα, τὰ καὶ στακτά. 1071, 10.

ψάλλειν τὸ δι' ὀργάνων μουσικῶν μέλπειν, καὶ ὅτι διαφέρει τοῦ ᾄδειν καὶ τοῦ μέλπειν. 1275, 30. καὶ ὅτι παρὰ τὸ ψῶ παράγεται τὸ ψάλλω. 867, 22.

ψάλλεσθαι τὸ ψάλλοντος ἀκροᾶσθαι, καὶ ψαλλόμενος ὁ ψάλλοντος ἀκροώμενος. 1914, 28.

ψάμαθος ἑνὶ μ, ψάμμος δὲ δυσί. 140, 22. καὶ ὅτι ψάμαθος μὲν ταὐτόν ἐστιν ὅπερ ψάμμος, ἄμαθος δὲ ἡ ἀμμώδης γῆ ἢ κόνεως εἶδος. 584, 37.

ψαμμακοσιογάργαρα τὰ πάνυ πολλὰ παρ' Ἀριστοφάνει παικτικῶς. 986, 52.

ψάμμος δυσὶ μμ, ἄμαθος δὲ καὶ ψάμαθος ἑνί. 140, 22.

ψᾶρες ὅτι καὶ ψῆρες λέγονται ποιητικῶς, καὶ ὅτι παρὰ τὸ ψαίρειν εἴρηται τοὔνομα, καὶ ἱστορία φυσικὴ περὶ τῶν ὀρνίων. 1076, 54.

ψαρὸς ἵππος ὁ κατὰ ψᾶρα τὸ ὄρνεον ποικίλος τὸ χρῶμα. 1126, 35.

ψατάλλειν καὶ ψαθάλλειν τὸ ψηλαφᾶν καὶ μαλάττειν χορδὰς μουσικάς. 1914, 24.

ψαύειν τὸ βραχέως θίγειν, ὅτι παρὰ τὸ ψάω λέγεται ἐπενθέσει Αἰολικῇ τοῦ υ, ὡς καὶ ἄω αὔω καὶ χράω χραύω. 531, 15. 1071, 8. 1314, 5.

ψάω ψῶ τὸ λεπτύνω, καὶ ψᾶν ὁμωνύμως τὸ παρ' Ὁμήρῳ καταρρέζειν. 1071, 7.

ψεδνὴ θρὶξ ἡ λεπτὴ, ὅτι παρὰ τὸ ψάω ψῶ, ὃ δηλοῖ τὸ λεπτύνω, δοκεῖ λέγεσθαι, οἱονεὶ ψεδανὴ, ἢ παρὰ τὴν πίσσαν, οἱονεὶ πισσεδανή. 207, 20. 1071, 4.

ψεκὰς ψεκάδος ἡ δρόσος, ἀπὸ τοῦ ψίω ἀῤῥήτου ῥήματος, ὃ δηλοῖ τὸ λεπτύνω καὶ σμικρύνω. 1071, 5.

ψελλίζειν ἀντὶ τοῦ ἀσαφῶς ὁπωσοῦν διαλέγεσθαι. 1535, 24.

ψεύδειν ἀντὶ τοῦ ἀπατᾶν καὶ ποιεῖν ψεύδεσθαι. 897, 38. 1578, 2. καὶ ὅτι ἐν τῷ ψεύδειν τινὰ τῆς ἐλπίδος τὸ ψεύδειν ἐνέργειαν δηλοῖ καθ' ἑτέρου προσώπου. 1436, 37.

ψευδίστερος καὶ ψευδίστατος ὅτι ἐκ τοῦ ψεύδιστος ὑπερθετικοῦ Ἀττικῶς παρήχθησαν. 1441, 25.

ψευδολογία ἐπαινετὴ ἡ διὰ μύθων ὠφελοῦσα ἢ τέρπουσα. 1455, 26.

ψεῦδος ἀντὶ τοῦ ψευδῶς ἐπιῤῥηματικῶς ἐν τῷ, ὦ γέρον οὔτι ψεῦδος ἐμὰς ἄτας κατέλεξας, Ἰλ. ι', 115. 739, 25.

ψευστεῖν ἀντὶ τοῦ ψεύδεσθαι, ὅτι παρὰ τὸ ψευστὸς ὄνομα παρήχθη. 1175, 18.

ψεύστης ἐν ἴσῳ τῷ ἠπεροπευτὴς, ὃ δηλοῖ τὸν ἀπατεῶνα. 428, 19.

ψήκερα ὅτι παρὰ τὸ ψήχω λέγεται, ὃ ἐκ τοῦ ψῶ, ὅθεν καὶ τὸ καταψῶ. 171, 7.

ψηλαφᾶν τὸ ψάλλειν ἐπαφώμενον τῶν χορδῶν. 644, 58. 656, 61. 867, 22. καὶ ὅτι τὸ ψηλαφᾶν χερσὶ πρὸς διαστολὴν ἑτέρων ψηλαφήσεων λέγεται. 1637, 43.

ψῆνες, ζωΰφιά τινα ἐμφυόμενα τοῖς ἐρινεοῖς, ἐξ ὧν ἐγκεντριζομένων ταῖς ἡμέροις συκαῖς μετεισέρχονται οἱ ψῆνες, οἳ κρατύνουσι τὸν καρπὸν τῶν ἡμερῶν ὡς μὴ ἀποπίπτειν. 653, 55. 1964, 2.

ψῆρες οἱ κοινῶς ψᾶρες, εἶδος ὀρνίου, καὶ ἱστορία φυσικὴ περὶ αὐτοῦ. 1076, 51.

ψηφοκλέπται, τεχνῖται παιδιᾶς τινος διὰ ψήφων γινομένης. 1601, 50.

ψῆφος λευκὴ, παροιμία ἐπὶ τῶν δωροδοκούντων δικαστῶν. 917, 46.

ψήχω διὰ τοῦ η ἀπὸ τοῦ ψᾶν, ὅθεν τὸ καταψᾶν. 1071, 7. 1635, 30.

ψιὰς ταὐτὸ ὅπερ ψεκὰς, ὅ ἐστι δρόσος ἢ σταλαγμὸς, ὅτι ἀπὸ τοῦ ψίω ἀῤῥήτου θέματος λέγεται. 1071, 3.

ψίζω τὸ ψωμίζω, ὅ ἐστι σιτίζω, ὅτι ἐκ τοῦ ψῶ μονοσυλλάβου ῥήματος γέγονε. 1631, 43.

ψιθύρου Ἀφροδίτης ἱερὸν Ἀθήνησι παρὰ τὸ τοὺς εὐχομένους ἐκεῖ πρὸς τὸ οὖς ψιθυρίζειν τοῖς ἀγάλμασιν εἰς σύμβολον τοῦ δεῖν μυστηριάζεσθαι τὰ ἀφροδίσια. 1881, 1.

ψιλὰ δύο εἰς δύο δασέα τραπέντα δι' ἐπαγωγὴν δασείας, οἷον ἐν τῷ, τίπτε οὕτως, τίφθ' οὕτως. 86, 10.

ψιλὰ σύμφωνα ὅτι ἔχει δύναμιν ἐκτατικὴν βραχέος φωνήεντος, ᾧ ἐπιφέρονται. 81, 5.

ψιλὴ, πνεῦμα φίλον τοῖς Αἰολεῦσι. 27, 38. καὶ ὅτι καὶ οἱ Ἴωνες ψιλωτικοί εἰσι. 515, 38. καὶ ὅτι ἡ ψιλὴ τοῖς τρισὶ ψιλοῖς συμφώνοις ἐπετίθετο, ὡς καὶ ἡ δασεῖα τοῖς δασέσι. 28, 10.

ψιλὴ ἄροσις ἡ ἄφυτος καὶ ἀρόσιμος γῆ. 776, 62.

ψιλῆται στρατιῶται, οἱ καὶ ψιλοὶ, ὅ ἐστιν ἄοπλοι. 1222, 53.

ψιλοδάπιδες, ὅτι οὕτω λέγονται διὰ τὸ ψιλαὶ, ἤγουν μὴ μαλλωταὶ, εἶναι. 1645, 24.

ψιλὸς ὅτι παρὰ τὸ ψίω, ὃ δηλοῖ τὸ λεπτύνω, λέγεται. 1071, 4.

ψιλοτάπιδες καὶ ψιλοδάπιδες οἱ ἄμαλλοι τάπητες. 1057, 11.

ψιλούμεναι φωναὶ διὰ τὸ τὴν τρίτην αὐτῶν συλλαβὴν ἀπὸ δασέος συμφώνου ἄρχεσθαι καὶ τοι ὀφείλουσαι δασύνεσθαι ἐτυμολογικῶς, οἷον τὸ ἔλαφος, ὃ παρὰ τὸ ἐλεῖν ὄφεις λέγεται. 467, 45.

ψιλῶν καὶ δασέων ἐναλλαγὴ ἐν μιᾷ λέξει κατ' Ἰωνικὸν ἰδίωμα, οἷον χύτρα κύθρα. 746, 14.

ψιλῶν καὶ δασέων εἰς ἄλληλα μεταχωρίσεως παραδείγματα. 82, 46. 1570, 19. 21.

ψὶξ ψιχὸς, ἀπὸ τοῦ ψίχω ἢ ψίζω

Ἀρχὴ τοῦ Ω στοιχείου.

ω δυσὶ συμφώνοις συλλαβιζόμενον ληκτικὸν ῥημάτων παραγώγων παραληγόντων τῷ ῑ, ὅπερ ἐκ τοῦ ε̄ ἔχουσι τραπὲν κατὰ τὴν παραγωγὴν, οἷον ἔχω ἴσχω, μένω μίμνω. 1173, 52.

ὦ ἀντὶ τοῦ πέμψω μετὰ δασείας καὶ περισπωμένης. 98, 43. καὶ ὦ δασυνόμενον ἀντὶ τοῦ πληρῶ, ὃ καὶ ἔω λέγεται. 1626, 36.

ὦ κλητικὸν πρὸ τοῦ ᾱ συναλιφομένου, οἷον ὦ 'ρίγνωτε καὶ ὦ' γαθὲ ἀντὶ τοῦ ὦ ἀρίγνωτε καὶ ὦ ἀγαθέ. 1824, 37. καὶ πρὸ τοῦ ε̄, οἷον ὦ' τὰν ἀντὶ τοῦ ὦ ἐτάν. 24, 17.

ὦ κλητικὸν δὶς ἐπαγόμενον ἐν μιᾷ συζυγίᾳ ἐπιθέτου καὶ οἰσιώδους, οἷον ἐν τῷ, ὦ πέπον ὦ Μενέλαε, Ἰλ. ζ, 55. 624, 50. καὶ ὅτι τὸ μὲν κλητικὸν ὦ, ὅτε κατὰ φύσιν ἔχει τις τοῦ φυσικοῦ καταστήματος, ἐκφωνεῖται, τὸ δὲ ᾶ ἐν θυμῷ ἢ σχετλιασμῷ. 1102, 32.

ὦ σχετλιαστικὸν ὅτι πῆ μὲν εὐθείᾳ, πῆ δὲ γενικῇ συντάσσεται, οἷον ἐν τῷ, ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς (Soph. Aj. 1004.). 409, 46.

ὦ ἐνθουσιαστικὸν, ζήτει ἐν τῷ, ὦ πόποι.

ὦ οὗτος, καὶ ὦ αὕτη, ἐπιφθέγματα φιλικά. 482, 46.

ὢ ὄπ, ἐπίφθεγμα ναυτικόν. 855, 24. ὢ ὄψ δὲ ἐπίφθεγμα τῶν ἀφιέντων τινὰς ἅμα τρέχειν. 855, 23.

ᾧ παιδὶ, ἀντὶ τοῦ τῷ ἰδίῳ παιδί. 803, 28.

ὦ πόποι ὅτι παθαινομένης ψυχῆς ἐπὶ δεινοῖς τισὶν ἢ θρηνούσης ἢ πληττομένης ἐστὶν ἐκφώνημα, καὶ ὅτι τὸ ὦ παρὰ τοῖς παλαιοῖς καὶ δασεῖαν εἶχε καὶ περιεσπᾶτο ὡς ἐνθουσιαστικὸν ἐπίῤῥημα, παρὰ δὲ τοῖς ὕστερον οὐδέτερον τούτων πάσχει· καὶ ὅτι τὸ ὦ πόποι ἀντὶ τοῦ ὦ θεοὶ ἑρμηνεύουσί τινες, ἑρμηνείᾳ διεξοδικῇ. 98, 30-99, 22. 219, 20. καὶ περὶ τοῦ πνεύματος καὶ τοῦ τόνου τοῦ ὦ. 98, 30. 41. καὶ ὅτι καὶ ἐπὶ κερτομίᾳ ἐνίοτε ἐπιλέγεται καὶ οὐκ ἀεὶ ἐπὶ οἴκτῳ ἢ σχετλιασμῷ. 1084, 28. ἀλλαχοῦ δὲ ὅτι τὸ ὦ πόποι καινοτέροις τισὶν ἐπιφωνεῖται, εἴτε θρῆνος τὰ τοιαῦτα εἴτε ἔκπληξις ἢ ἕτερόν τι πάθος ψυχῆς. 1016, 28.

—ωα, ὅτι τὸ ω̄ καὶ ᾱ συνδραμόντα σεμνὸν ὄγκον φωνῆς ἀπεργάζονται. 11, 44.

—ῳα λήγοντα ὀνόματα κτητικὰ ἐκ τῶν εἰς ω̄ θηλυκῶν τεταρτοκλίτων ὀξυτόνων παρηγμένα, οἷον Λητὼ Λητῷα ἐν τῷ, Λητῷα κόρη. 828, 63.

ᾧα ἡ μηλωτὴ εἴτουν ἡ τῶν προβάτων δορὰ, ὅτι οἱονεὶ οἰέη κατὰ συγκοπὴν λέγεται. 877, 53. καὶ ὅτι προσγεγραμμένον ἔχει τὸ ῑ κατὰ τὴν παραλήγουσαν. 844, 3. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ οἷς, ὃ δηλοῖ τὸ πρόβατον, γίνεται ὀΐα καὶ ἐκτάσει καὶ συναιρέσει ᾦα· καὶ ᾦαι αἱ ἔσχαται ἄκραι τῶν ἱματίων παρὰ τὸ τοὺς ἀρχαίους ὄϊος δέρμα προσῤάπτειν ταῖς ἄκραις τῶν ἱματίων ἐπὶ τῷ ἥκιστα τρίβεσθαι. 1828, 49—59.

ᾦα τὰ ὑπερῷα, ἤγουν τὰ μετέωρα τῶν οἰκημάτων, παρὰ Λακεδαιμονίοις. 1054, 3.

ὠάριον τὸ ᾠὸν ὑποκοριστικῶς. 1321, 36.

—ωβολον λήγοντα ὀνόματα παρ' Ὁμήρῳ, οἷον πεμπώβολον, ὅτι παρὰ τὸν μαγειρικὸν ὀβελὸν λέγονται, παρὰ δὲ τοῖς ὕστερον παρὰ τὸν ὀβολὸν, ὅ ἐστι τὸ νόμισμα, οἷον διώβολον, τριώβολον. implicite. 136, 4.

Ὠγυγία, ὅτι οὕτως ἐλέγετο κυριωνυμικῶς ἡ τῆς Καλυψοῦς νῆσος· Ὠγύγια δὲ κακὰ τὰ ἀρχαῖα, ἀπό τινος Ὠγύγου ἀρχαίου βασιλέως Θηβῶν. 1393, 31.

ᾠδαὶ, ὅτι ᾠδαὶ λέγονται τὰ ποιήματα, παρὰ τὸ ᾄδεσθαι. 1380, 60.

ὧδε ἀντὶ τοῦ οὕτως ἀεὶ παρ' Ὁμήρῳ, οὐδέποτε δὲ ἀντὶ τοῦ ἐνταῦθα. 792, 2. 1408, 43. καὶ ὅτι ἐν τῷ, Ἥφαιστε πρόμολ' ὧδε, Ἰλ. σ', 392. ἀντὶ τοῦ οὕτως ὡς ἔχεις ἀκούεται. 1149, 6.

ὦδεεν ἀντὶ τοῦ ἐξώγκωστο ἀπὸ τοῦ οἰδέω οἰδῶ, ἢ ἀντὶ τοῦ ὦζεεν ἀπο τοῦ ὀζέω ὀζῶ τροπῇ τοῦ ζ̄ εἰς δ̄. 1541, 62.

ᾠδὴ ὁ μιμελισμένος λόγος. 9, 5. 26. 1275, 32. ἀλλαχοῦ δὲ ὅτι ᾠδή ἐστι φθογγὴ ἐμμελής. 1710, 62.

ὠδὶν ὠδῖνος, ὅτι παρὰ τὸ ὀδύνη γέγονεν ἐκτάσει τῆς ἀρχούσης καὶ τροπῇ τοῦ ῡ εἰς ῑ. 843, 46.

ὠδίνειν ἐπὶ τοῦ γεννᾶν καὶ τοῦ ἁπλῶς λυπεῖσθαι καὶ ἀλγεῖν. 843, 46. ἀλλαχοῦ δὲ ὅτι ὠδίνειν κυρίως λέγονται αἱ γυναῖκες ἐπὶ τοκετῷ, ὥστε τὸ, ὠδίνειν ὀδύνησιν, Ὀδ. ι', 415. πρὸς διαστολὴν τοῦ ἐπὶ τοκετῷ λέγεται. 1637, 9.

ᾠδὸς, εἶδος ποτηρίου ὁμωνύμως, ὅτι παρὰ τὴν ᾠδὴν λέγεται. 868, 21.

ὠδώδειν ὑπερσυντέλικος ὅτι ἐκ τοῦ ὀζέω ὀζῶ γίνεται, παρακείμενος ὤζηκα, ὁ μέσος ὦζα καὶ Ἀττικῶς ὄζωζα καὶ τροπῇ Δωρικῇ ὄδωδα, ὁ ὑπερσυντέλικος ὠδώδειν διὰ τοῦ ω̄ μεγάλου κατ' ἀρχὰς διὰ τὴν αὔξησιν, ὅπερ Ἰωνικῶς ὀδώδειν διὰ τοῦ ο̄ μικροῦ ἀναυξήτως γράφεται. 1523, 38. 42.

ᾠδῶν διαφόρων ὀνομασίαι, ἱμαῖος ἢ καὶ ἐπιμύλιος ἢ μυλωθρὸς, αἴλινος, λιτυέρσης, ὑμέναιος, καλύκη, ἁρπαλύκη. 1163, 55. 1164, 10. 1236, 58.

ᾠδῶν ἡρωικῶν εἴδη πέντε, σωφρονιστικὸν, ἐγκωμιαστικὸν, θρηνητικὸν, ὀρχηματικὸν καὶ παιανικόν. 137, 36.

—ωεις λήγοντα ὀνόματα, ὅτι τῶν διὰ τοῦ οεις τὰ μὲν μακρὰν ἔχοντα τὴν πρὸ τοῦ ο̄ συλλαβὴν ἐκτείνει τὸ ο̄ πρὸς εὐχρηστίαν μέτρου, οἷον εὐρώεις, κητώεις· ὧν δὲ συστέλλεται ἡ πρὸ τοῦ ο̄ συλλαβὴ, συστέλλεται καὶ τὸ ο̄, οἷον ἐρόεις, κερόεις. 427, 11. 642, 53. 1299, 34. 1667, 23.

ὤεον τὸ ᾠὸν κατὰ γλῶσσαν. 1321, 36.

ὤζω, πρωτόθετον τοῦ οἰμώζω, ὅτι παρὰ τὸ ὦ ἐπίῤῥημα γίνεται καὶ δηλοῖ τὸ θαυμάζειν, ὥστε ὦ λέγειν. 1279, 34.

—ωη λήγοντα θηλυκὰ ὀνόματα, ἀπὸ μονοσυλλάβων ἐνεστώτων γενόμενα κατὰ πρόσληψιν συλλαβῆς, ὅτι διὰ τοῦ ω̄ μεγάλου γράφονται, οἷον ζῶ ζωὴ, ῥῶ ῥωὴ καὶ ἐρωή. 411, 3.

ὠὴ, ἀνακλητικὸν καὶ σχετλιαστικὸν,

ὅτι χωρὶς προσγραφῆς τοῦ ῑ γράφεται. 174, 4. καὶ ὅτι ἐκ τοῦ ὦ κατ' ἐπέκτασιν γέγονεν, ὡς ἐκ τοῦ τί τὸ τιή καὶ τοῦ ἐπεὶ τὸ ἐπειή. 631, 8.

ῳην λήγοντα εὐκτικὰ ἐκ τῶν διὰ τοῦ οιην κατ' ἔκτασιν γενόμενα, οἷον δῴην ἐκ τοῦ δοίην, καὶ ἀλῴην ἐκ τοῦ ἀλοίην. 777, 16. 968, 60. 1047, 18. 1268, 44.

ὠθεῖν τὸ ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω βιάζεσθαι καὶ κινεῖν, κυλίειν δὲ τὸ ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω· καὶ ὅτι ὁ μὲν Νότος ὠθεῖν τὰ κύματα λέγεται, κυλίνδειν δὲ εἴτουν κυλίειν ὁ Βορέας. 505, 30. 1469, 10. 1702, 15. 39. 1790, 59. καὶ ὠθεῖν τοὺς πολεμίους τὸ βιαίως ποθὲν ἀποκινεῖν. 1469, 10.

ωθω λήγοντων τινῶν ῥημάτων παραγωγὴ, οἷον κλῶ κλώθω, βρῶ βρώθω, ὅθεν βεβρώθω. 442, 18.

ωι λήγουσαι φωναὶ ὅτι οὐδέποτε περισπῶνται, ἀλλ' ἤτοι ὀξύνονται, οἷον Τρωὶ, δμωὶ, ἢ προπαροξύνονται, οἷον ἥρωι, Μίνωι, πλὴν τοῦ νῶι καὶ σφῶι. 153, 44.

ὠίγνυντο ἀντὶ τοῦ ἠνοίγοντο, ὅτι ἐκ τοῦ οἴγω γίνεται οἴγνω, ὅθεν οἰγνύω οἴγνυμι, τὸ παθητικὸν οἴγνυμαι, ὁ παρατατικὸς ὠιγνύμην διὰ τὴν αὔξησιν, τὸ τρίτον τῶν πληθυντικῶν ὠίγνυντο. 350, 33.

ὠίετο ἀντὶ τοῦ ἐνόμιζε καὶ ἐφάνταζεν ἐν τῷ, γόον δ' ὠίετο θυμός, Ὀδ. κ', 248. 1657, 30.

ὤιον τὸ ὠὸν κατὰ γλῶσσαν. 1321, 36.

ωιος λήγοντα ὅτι ἐκ τῶν διὰ τοῦ ῳος γίνονται κατ' ἐκφώνησιν τοῦ ὑπογεγραμμένου ῑ, οἷον πατρῷος πατρώιος, Μινῷος Μινώιος. 1409, 48.

ὠίσθην, ἐνόμισα. 1808, 56.

ὦκα ἐπίῤῥημα ὅτι ἐκ τοῦ ὠκέα συνεκόπη. 86, 31.

Ὠκαλέη, ἡ καὶ Ὠκάλεια, πόλις Βοιωτικὴ μέση Ἁλιάρτου καὶ Ἀλαλκομενίου, ὅτι παρὰ τὸ ὦκα ἐπίῤῥημα λέγεται, ἢ ἀπὸ ποταμοῦ παραῤῥέοντος αὐτήν. 267, 25.

Ὠκεανὸς παρ' Ὁμήρῳ ἡ ἔξω θάλασσα ὡς ἐπιτοπλεῖστον, ἐνίοτε δὲ καὶ ποταμός τις εἰς τὴν ἔξω θάλασσαν ἐμβάλλων οὕτω λέγεται, οἷον ἐν τῷ, αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο νηῦς, ἀπὸ δ' ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο, Ὀδ. μ', 1. 983, 12. 1453, 45. 1704, 42. καὶ ὅτι καὶ πᾶν ἁπλῶς ὕδωρ Ὠκεανὸς λέγεται προσηγορικῶς. 353, 15. 500, 46. καὶ Ὠκεανὸς ὁ ὁρίζων τὰ δύο ἡμισφαίρια κύκλος, ἑρμηνεία διεξοδική. 514, 32. 725, 1. καὶ ὅτι παρὰ τὸ ὠκέως νάειν λέγεται. 978, 14. ἐπὶ δὲ τοῦ ὁρίζοντος παρὰ τὸ ὠκὺ ἄνω γίνεσθαι ἢ ὠκὺ ἀνύειν τὰς ἑαυτῶν κινήσεις τοὺς ἀστέρας λέγεται. 514, 36.

καὶ ὅτι μόνον τῶν διὰ τοῦ ανος ὑπερτρισυλλάβων βραχυπαραληκτεῖ τοὔνομα. 128, 42.

ὠκύμορος ὡς ἐπιτοπλεῖστον ὁ ταχὺ θνήσκων τουτέστι βραχύβιος, ἐνίοτε δὲ κατ' ἐνεργητικὴν σημασίαν καὶ ὁ ταχὺ θανατῶν, οἷον ὠκύμορος ὀϊστός. 1024, 57. 1152, 37. 1531, 44.

ὠλένη, ὅτι παρὰ τὸ ὀλῶ, ὃ δηλοῖ τὸ πράττω λέγεται οὐλένη Ἰωνικῇ ἐπενθέσει τοῦ ῡ, Δωρικῶς δὲ ὠλένη. 46, 16.

ὠλενία αἲξ παρ' Ἀράτῳ ἡ τὸν Δία θρέψασα. 292, 11. 917, 44.

Ὠλενία πέτρα, ὄρος κοινὸν Ἠλείων καὶ Δυμαίων, ἀπὸ Ὠλένου πόλεως Ἀχαϊκῆς παρονομασθέν. 304, 17.

Ὤλενος, πόλις Ἀχαΐας μεταξὺ Πατρῶν καὶ Δύμης, ἀπὸ Ὠλένου υἱοῦ Διός· καὶ Ὤλενοι πόλις Αἰτωλικὴ ὁμωνύμως, καὶ ὅτι ἀρσενικῶς τε καὶ θηλυκῶς λέγεται τοὔνομα. 292, 3. 12. 304, 19. 311, 30. 34.

Ὤλενος, υἱὸς Ἀναξιθέας μιᾶς τῶν Δαναΐδων. 883, 1.

Ὤλερος, πόλις Κρήτης, ἀφ' ἧς Ὠλερία Ἀθηνᾶ· καὶ Ὠλέρια ἑορτὴ οὐδετέρως λεγομένη. 311, 31.

ὠλεσίκαρποι ἰτέαι ἐπιθετικῶς, ζήτει ἐν τῷ ἰτέα. 1667, 20.

ὦλξ ἡ αὖλαξ, παρὰ τὸν ἄλξω μέλλοντα ἄλοξ καὶ μεταθέσει καὶ συναιρέσει ὦλξ, καὶ ὅτι περισπᾶται τοὔνομα. 573, 29. 956, 9. 11. 1851, 64.

ωλος ληγόντων προσῳδία, ὅτι τῶν διὰ τοῦ ωλος ὀνομάτων τὰ ἔχοντα τὸ τ̄ πρὸ τοῦ ω̄ ὀξύνονται, οἷον Αἰτωλὸς, Πακτωλὸς, ἁμαρτωλός· καὶ ὅτι τὸ Μαύσωλος ὡς μὴ ἔχον τὸ τ̄ οὐκ ὀξύνεται. 311, 17.

ωμα λήγοντα οὐδέτερα ἀπὸ μονοσυλλάβων ῥημάτων παρηγμένα, οἷον κῶ κῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα. 991, 57. 1843, 46.

ὤμβρησα διὰ τοῦ ἦτα, ἀπὸ τοῦ ὀμβρίζω ἐνεστῶτος ἑτεροκλίτως. 114, 7.

ωμη ληγόντων θηλυκῶν παραγωγὴ ἐκ μονοσυλλάβων ῥημάτων, οἷον κῶ κώμη, γνῶ γνώμη. 102, 32. 991, 60.

ῳμην λήγοντα εὐκτικὰ τῷ ο̄ μικρῷ προπαραλήγοντα, ἐκ πλεονασμοῦ ἔχοντα τὸ προπαραληκτικὸν ο̄, οἷον ὁροῴμην ἐκ τοῦ ὁρῴμην πλεονασμῷ τοῦ ο̄, ὁμοίως εὐχετοῴμην ἐκ τοῦ εὐχετῴμην. 1605, 32.

ὡμήρησεν ἀντὶ τοῦ συνήντησε καὶ ὁμοῦ γέγονεν, ἀπὸ τοῦ ὁμηρέω θέματος, καὶ ζήτει τὸ ὁμηρῶ. 1809, 23.

ὠμηστὴς ὁ ὠμοφάγος, ὅτι παρὰ τὸ ὠμὰ ἐσθίειν λέγεται, καὶ ὅτι ὀξύνεται κανονικῶς τοὔνομα. 855, 38.

ῳμι λήγοντα εὐκτικὰ ἐκ τῶν διὰ τοῦ οιμι κατ' ἔκτασιν γενόμενα, οἷον κτείνῳμι ἀντὶ τοῦ κτείνοιμι, καὶ τύχῳμι ἀντὶ τοῦ τύχοιμι, ἐκ παραδείγματος. 679, 40. 1279, 48. 1873, 9.

ὤμιξα ἀόριστος ὅτι ἐκ τοῦ ὀμίχω βαρυτόνου θέματος κεκίνηται, ὃ καὶ ὀμιχῶ περισπωμένως λέγεται. 580, 2.

ὠμοβόεια αἱ τῶν βοῶν βύρσαι, ἃς βόας αὔας ὁ Ὅμηρος καλεῖ. 678, 29.

ὠμογέρων λέγεται ὁ ἄρτι παραλλάξας τὸν ἀκμάζοντα καὶ μήπω πεπανθεὶς εἴτουν καθεψηθεὶς τῷ γήρᾳ, ὠμῶς δὲ γηρᾶσαι λέγεται ὁ μὴ ἀκριβῶς γέρων, ἀλλὰ πρὸ ὥρας πεπανθεὶς τῷ γήρᾳ. 727, 24. 1330, 7. 1762, 17. 1784, 21.

ὠμοθετεῖν, ὅτι ἐν ταῖς θυσίαις

τοῦ ο̄ καὶ προσγραφῆς τοῦ ῑ διὰ τοῦ ῳος, οἷον πατρὸς πατροῖος καὶ πατρῷος, τὰ δ' αὐτὰ καὶ κατ' ἐκφώνησιν τοῦ ῑ λέγονται παρὰ ποιηταῖς, οἷον πατρώιος. 102, 30. 218, 5. 231, 2. 358, 46. 1409, 46. καὶ ὅτι ἐκ τῶν διὰ τοῦ ωιος διαλελυμένων οἴονταί τινες συνηρῆσθαι τὰ διὰ τοῦ ῳος, διὸ καὶ περισπᾶσθαι αὐτά. 218, 5.

ὠοσκύφιον, ποτήριον διπύθμενον, ὅτι παρὰ τὸ ὠὸν, ὅπερ ἦν εἶδος ποτηρίου, καὶ τὸ σκύφος λέγεται. 1775, 36.

ὧπερ καὶ ὧτε, παραβολικὰ ἐπιῤῥήματα ἀντὶ τῶν ὥσπερ καὶ ὥστε, ὅτι ἐκ τοῦ ὡσείπερ καὶ ὡσείτε γεγόνασι ἀποβολῇ τοῦ σ̄ καὶ ε̄, καὶ κράσει τοῦ ω̄ καὶ ῑ εἰς τὴν ῳ δίφθογγον καταχρηστικήν. 117, 39.

ωπη λήγοντα θηλυκὰ ἀπὸ τῶν πλαγίων τοῦ ὢψ ὠπὸς παρηγμένα, οἷον Εὐρώπη, μετώπη, Σινώπη. 768, 43.

ωπης λήγοντα ἀρσενικὰ ἀπὸ τοῦ ὢψ ὠπὸς γενόμενα, οἷον κυνώπης, ὅτι καὶ θηλυκὰ παρασχηματίζουσι διὰ τοῦ ωπις, οἷον βοῶπις, γλαυκῶπις, καὶ ὅτι καὶ διὰ τοῦ ωπος παράγονταί τινα παρὰ τὸ ὢψ ὠπὸς, οἷον εὐωπός· καὶ ἄλλα διὰ τοῦ ωψ, τὰ μὲν βαρύτονα, οἷον Κύκλωψ, τὰ δὲ ὀξύτονα, οἷον γλαυκώψ. 768, 42. 1279, 15. 1389, 2.

ωπις λήγοντα θηλυκὰ, ζήτει ἐν τῷ, ωπης λήγοντα ἀρσενικά.

ὡπλίσατο ἵππους, ἀντὶ τοῦ τοῖς ἡνιοχευτικοῖς σκεύεσιν εὐτρέπισεν, Ἰλ. ψ', 301. 1301, 27.

ωπος καὶ ωπον λήγοντα ὀνόματα, ἀπὸ τῶν πλαγίων τῆς ὢψ εὐθείας γενόμενα, ὅτι τὰ μὲν ὀξύνονται, οἷον εἰσωπὸς, σκυθρωπὸς, τὰ δὲ προπαροξύνονται, οἷον ἄνθρωπος, μελάνωπος. 1389, 3. 7. ζήτει τὸ, ωπης λήγοντα ἀρσενικά.

ὠπύθην, ἀόριστος παθητικὸς, ὅτι παραλόγως ἀπὸ τοῦ ὀπύω θέματος κεκίνηται. 714, 51.

ωρ λήγοντα ὀνόματα ἀπὸ ληγόντων εἰς ηρ καὶ ης παρηγμένα, οἷον ἡγητὴρ ἡγήτωρ, Μέντης Μέντωρ. 773, 56. 1454, 48.

ωρ λήγοντα οὐδέτερα, ὅτι δύο μόνα τῶν εἰς ωρ ληγόντων οὐδετέρου γένους εἰσὶν, ὕδωρ καὶ ἕλωρ, καὶ ὅτι τὸ μὲν διὰ τοῦ τ̄, τὸ δὲ διὰ τοῦ ρ̄ κλίνεται. 1623, 11.

ὥρα τὸ εἰκοστὸν τέταρτον μέρος τοῦ ἡμερονυκτίου, καὶ ὅτι ἦν ὅτε οὔπω ὥραις ἐμέτρουν οἱ ἄνθρωποι τὸ ἡμερονύκτιον. 832, 51.

ὥρα τὸ ἔαρ, καὶ ὅτι ἁπλῶς μὲν οὕτω λεγόμενον ἐλλιπῶς λέγεται, οἷον ἐν τῷ, ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ, ἐν δὲ τῷ, ὥρῃ ἐν εἰαρινῇ, ἐντελῶς. 256, 19. 631, 6. 1851, 40.

ὥρα τὸ κάλλος καὶ ὁ καιρὸς, ὅθεν καὶ γυναῖκες ἐν ὥρᾳ λέγονται. 1349, 7. καὶ ὅτι παρ' Ἀττικοῖς μὲν δασύνεται, ἄλλως δὲ ψιλοῦται τοὔνομα ὁμοίως τῷ ὤρα, ὃ δηλοῖ τὴν φροντίδα. 1535, 46.

ὤρα ἢ ὠρὴ ὀξυτόνως ἡ κωλῆ κατ' Ἴωνας. 1715, 25.

Ὧραι τὰ τέσσαρα μέρη τοῦ ἐνιαυτοῦ, αἳ καὶ πυλωροὶ τοῦ ἐνιαυτοῦ εἶναι πλάττονται, Ἰλιάδ. ε', 749. 604, 23.

ὡραιέστατος ἀντὶ τοῦ ὡραιότατος. 1441, 15.

ὠρακιᾶν τὸ φροντίζειν, ὅτι παρὰ τὴν ὤραν, ὃ δηλοῖ τὴν φροντίδα, λέγεται. 1535, 47.

Ὡραπόλλων, ὄνομα κύριον, ὅτι ἐκ τοῦ Ὧρος καὶ Ἀπόλλων σύγκειται. 437, 22.

ωρεια λήγοντα θηλυκὰ ὅτι ἐκ κράσεως ἔχουσι τὸ ω̄, οἷον παρὰ τὸ λίμνη καὶ τὸ ὄρος λιμνοόρεια καὶ κράσει λιμνώρεια. 1488, 21.

Ὠρείθυια, γυνὴ Ἀττικὴ ὑπὸ Βορέου ἁρπαγεῖσα, ἱστορία. 1131, 18. καὶ ὅτι παρὰ τὸ ἐν ὄρει θύειν λέγεται τοὔνομα, καὶ ὅτι τῇ υι διφθόγγῳ παραλήγεται. 1130, 56. 61.

ὠρεῖν τὸ φυλάσσειν, ὅτι παρὰ τὴν ὤραν, ὃ δηλοῖ τὴν φροντίδα, λέγεται. 1535, 47.

Ὠρεὸς, πόλις ἡ αὐτὴ τῇ Ἱστιαίᾳ πρότερον καλουμένη, κατὰ δέ τινας οἱ Ὠρεῖται οἱ Ἱστιανεῦσι συνοικίσαντες μίαν πόλιν τὴν Ἱστίαιαν καὶ τὸν Ὠρεὸν ἐποίησαν· καὶ ὅτι παρὰ τὸ ὀρεινὴν εἶναι ποτὲ τὴν πόλιν οὕτως ἐκλήθη ἐκτάσει τῆς ἀρχούσης, ἢ παρὰ τὸ τὸν Ὠρίωνα ἐκεῖ τραφῆναι. 280, 18—29.

ὧρες αἱ ἀνδράσιν ἐζευγμέναι γυναῖκες, ὅτι ἐκ τοῦ ἄορες κέκραται, ὃ παρὰ τὸ ἀείρω, ὅ ἐστι συζευγνύω, λέγεται. 573, 20—29. 754, 25. 932, 42. 1734, 4.

ὤρεσσι, δοτικὴ πληθυντικὴ τῆς ὦρες εὐθείας, ζήτει τὸ ὦρες.

ὡρισμένος ἀριθμὸς ἀντὶ ἀορίστου, οἷον ἑκατόμπολις Κρήτη ἀντὶ τοῦ πολύπολις. 1541, 10. καὶ ὅτι ἐν τοῖς γυναικείοις τὰ ὡρισμένα καὶ μερικὰ μειοῦσι τοὺς ἐπαίνους. 1904, 8.

ὤριστος ὅτι ἐκ τοῦ ὁ ἄριστος κέκραται. 1191, 19.

Ὠρίων κύριον ὅτι παρὰ τὴν ὤραν, ὃ δηλοῖ τὴν φροντίδα, λέγεται, καὶ ὅτι ψιλοῦται τοὔνομα· καὶ ὅτι ἄριστος κυνηγέτης γέγονεν ὁ Ὠρίων, καὶ ὅτι καθ' Ὅμηρον μὲν ὑπὸ Ἀρτέμιδος κατετοξεύθη, κατὰ δὲ ἑτέρους ὑπὸ σκορπίου δηχθεὶς ἀπέθανε, καὶ ἀλληγορία τοῦ τρόπου τοῦ θανάτου αὐτοῦ. 1527, 44. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ οὐρῆσαι ἐτυμολογοῦσι τινὲς τοὔνομα, ἢ παρὰ τὴν ὥραν, ὃ δηλοῖ τὴν εὐμορφίαν, ἢ παρὰ τὸ ὀρῶ, ὅπερ Ἰωνικῶς μὲν οὐρῶ, Αἰολικῶς δὲ καὶ Δωρικῶς ὠρῶ λέγεται, ἢ παρὰ τὸ ὀαρίζειν κράσει τοῦ ο̄ καὶ ᾱ. 280, 28. 1156, 4. 1535, 41—50. καὶ ὅτι ἐν τῷ, τὸν δὲ μετ' Ὠρίωνα πελώριον εἰσενόησα, Ὀδυσσ. λ', 572. ἐκτείνει μὲν τὴν προπαραλήγουσαν συλλαβὴν, οὐ συστέλλει δὲ τὴν παραλήγουσαν ὡς ἔδει κανονικῶς. 1699, 30. καὶ ὅτι καὶ ἄστρον τι, οὗ περὶ τὴν ἐπιτολὴν πολλοὶ καύσωνες γίνονται, κύων Ὠρίωνος ἐπικαλεῖται. 1255, 19.

ὡρμήθη Ἀκάμαντος, Ἰλ. ξ', 488. ἀντὶ τοῦ ὥρμησε κατὰ τοῦ Ἀκάμαντος. 999, 39.

ὠρόδεσμος ὁ ἐκ τῆς καλάμης στρεφόμενος δεσμὸς, ᾧ δεσμοῦσι τὰ δράγματα. 1162, 31.

ὡρολογητὴς ὅτι παρὰ τὸ ὡρολογεῖν λέγεται. 1349, 10.

ὤρορεν ἀντὶ τοῦ ὡρμήθη, ὅτι ἐκ τοῦ ὄρω θέματος γίνεται παρα-

κείμενος ὦρα καὶ Ἀττικῶς ὄρωρα καὶ κατὰ χρόνον συλλαβικοῦ μετάθεσιν ὤρορα. 193, 10. 921, 12. 943, 48. 1382, 23. 1515, 35. 1609, 24.

ωρος λήγοντα ὀξύτονα ὀνόματα ἐκ τοῦ ὠρεῖν, ὃ δηλοῖ τὸ φυλάσσειν, ῥήματος συγκείμενα, οἷον πυλωρὸς, ἀρκυωρός. 1749, 37.

Ὧρος ὁ Ἀπόλλων Αἰγυπτιστί. 346, 19. ἀλλαχοῦ δὲ ὅτι τὸ ὧρος ἐπίθετόν ἐστιν Ἀπόλλωνος. 437, 23. καὶ πάλιν ἀλλαχοῦ ὧρος ὁ ἥλιος καὶ ὁ ἐνιαυτὸς ὁμωνύμως, ὅθεν ἐννέωρος ὁ ἐνναετής. 1146, 44. 1662, 56.

ὠρυθμὸς ὅτι ἀντὶ τοῦ σ ἔχει τὸ ϑ. 1702, 10.

ὠρῶ τὸ φυλάσσω, ὅτι ἐκ τοῦ ὀρῶ ἐκτάσει τῆς ἀρχούσης λέγεται. 794, 2.

ως λήγοντα ὀνόματα, ὅτι τῶν εἰς ως ληγόντων τὰ μὲν ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, τῶν δὲ μονοσυλλάβων ἓν ὀξύνεται ἠῶς, ὃ καὶ ἄκλιτον μένει, τὰ δ' ἄλλα περισπῶνται καὶ κλίνονται, οἷον Κρῶς καὶ Τλῶς ὀνόματα πόλεων, καὶ Κῶς ὄνομα νήσου. 454, 44. 1430, 15.

ως λήγοντα ὀνόματα Ἀττικῶς, ἀπὸ τῶν εἰς ος κοινῶν μεταληφθέντα, ὅτι τὸν αὐτὸν ἔχει τόνον τοῖς ἐξ ὧν μετελήφθη, οἷον λαγὸς λαγὼς, ναὸς νεὼς, καλὸς καλώς. 1534, 17. 1720, 48.

ως ληγόντων ἀρσενικῶν ὀξυτόνων ἀναλογία κλίσεως, οἷον Τρὼς Τρωὸς, δμὼς δμωὸς, θὼς θωὸς, ὧν αἱ πληθυντικαὶ γενικαὶ Τρώων καὶ θώων καὶ δμώων βαρυτόνως λέγονται. 1425, 52.

ως περισπώμενον λήγουσαι γενικαὶ, ἀπὸ εὐθειῶν εἰς ους ληγουσῶν κινούμεναι, ὅτι ἐκ συναιρέσεως Ἀττικῶς λέγονται, οἷον Πειραιεὺς Πειραιέως καὶ Πειραιῶς. 279, 32. καὶ ὅτι αἱ τοιαῦται γενικαὶ οὐδέποτε ἀπὸ εὐθειῶν εἰς ης συνηρημένως κλινομένων σχηματίζονται. 518, 31.

ως λήγοντα ὀνόματα ὀξύτονα διὰ τοῦ τ κλινόμενα ὅτι φυλάττουσι τὸ ω ἐν ταῖς πλαγίαις. implicite. 229, 8.

ως λήγοντα θηλυκὰ ὑπερμονοσύλλαβα βραχυπαράληκτα ὅτι βαρύνεται, οἷον ἅλως, ἕως, Κέως. 391, 42.

ως λήγοντα οὐδέτερα, ὅτι δύο μόνα ὀνόματα εἰς ως λήγουσι, τὸ ὦς καὶ φῶς, ἃ καὶ διὰ τοῦ τ κλίνεται, οἷον ὠτὸς, φωτός. 1896, 5.

ως λήγουσαι μετοχαὶ ὀξύτονοι ὅτι τὰ πολλὰ μὲν τρέπουσι τὸ ω τῆς εὐθείας εἰς ο ἐν ταῖς πλαγίαις, ἔνια δὲ καὶ φυλάσσουσιν αὐτὸ, οἷον ἑστὼς ἑστῶτος, βεβὼς βεβῶτος, γεγὼς γεγῶτος, τεθνεὼς τεθνεῶτος. 229, 6. 1896, 15.

ως λήγοντα ἐπιῤῥήματα μεσότητος ὅτι τὴν γραφὴν καὶ τὸν τόνον φυλάττουσι τῶν ἐξ ὧν ἂν γένωνται γενικῶν, πλὴν τοῦ ζαφελῶς καὶ ἐδρανῶς ἐκ τοῦ ζαφέλων καὶ ἐδράνων. 769, 21.

ὡς ἀντὶ τοῦ ὅτι καὶ ἀντὶ τοῦ καθάπερ καὶ ἀντὶ τοῦ λίαν, οἷον ἐν τῷ, ὡς ἴδεν ὥς μιν ἔδυ χόλος, Ἰλ. τ', 16. ἀντὶ τοῦ λίαν ἐχολώθη. 79, 32. 36. 1169, 15.

ὡς μόριον ὅτι παρέλκει ἐνίοτε, οἷον ἐν τῷ ὡς ἑτέρως καὶ ἐν ἄλλοις τισίν. 215, 17. καὶ ὅτι καὶ ἐλλείπει ἐνίοτε, οἷον ἐν τῷ, δέμας πυρός. 1184, 50.

ὡς ἀντὶ τοῦ εἴθε ἐν τῷ, ὥς κέν οἱ αὖθι γαῖα χάνοι, Ἰλ. ζ, 281. 642, 6. καὶ ἐν τῷ, ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζει. 1133, 53.

ὡς ἀντὶ τοῦ ὡσεὶ στοχαστικῶς, οἷον ὡς δώδεκα ἀντὶ τοῦ ὡσεὶ δώδεκα. 1879, 10.

ὡς ἂν, ἀντὶ τοῦ οὕτως ἂν ἐν τῷ, ὡς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος οὐκ ἐθέλοιμι λείπεσθαι, Ἰλ. ι', 444. 762, 13. καὶ ὡς ἂν ἀντὶ τοῦ ὅταν ἢ ἡνίκα ἄν. 1214, 40.

ὣς ἀντὶ τοῦ ὅμως ὅτι περισπᾶται, οἷον ἐν τῷ, ἀλλὰ καὶ ὣς ἐθέλω δόμεναι πάλιν, Ἰλ. α', 116. 62, 1.

ὣς ὀξυνόμενον ἀντὶ τοῦ οὕτως, ὅτι ἐκ τοῦ τὼς γέγονεν ἀποβολῇ τοῦ τ. 429, 33.

ὣς ἀντὶ τοῦ οὕτως ἐπιφωνηματικῶς ἐπηγμένον, οἷον ἐν τῷ, ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι, ὣς ἄραρον κόρυθες καὶ ἀσπίδες, ὣς πυκινοὶ ἐφέστασαν ἀλλήλοισιν, Ἰλ. π', 212. 213. 217. 1055, 42.

ὣς ὁ μὲν, ὅτι πῇ μὲν καταστατικόν ἐστιν ἐννοίας, πῇ δὲ ἀρκτικὸν διηγήματος παρ' Ὁμήρῳ. 1608, 11.

ὡς ὅτε, ἀντὶ τοῦ ἕως ὅτου ἐν τῷ, ἤσθιε δ' ὡς ὅτ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν, Ὀδ. ρ', 358. 1823, 60.

ὡς ὠτὸς, ὅτι παρὰ τὸ οὖας γέγονεν ἐκθλίψει τοῦ υ καὶ κράσει τοῦ ο καὶ α εἰς ω. 870, 2. ἀλλαχοῦ δὲ ὅτι παρὰ τὸ ἀΐω, ὃ δηλοῖ τὸ ἀκούω, γίνεται ὄας καὶ μεταθέσει καὶ κράσει ὦς, ὃ διὰ τοῦ τ κλίνεται. 1148, 52.

ὠσάμην Ἀττικῶς ἀντὶ τοῦ ὦσα ἐνεργητικοῦ. 625, 14.

ωσιον λήγοντα ἐξ ἐκτάσεως ἔχοντα τὸ ω μέγα, οἷον ὀλῶ ὀλέσω ὠλεσίκαρπος, ἐτὸς ἐτώσιον. 611, 37.

ωσκω λήγοντα ῥήματα ἐκ τῶν διὰ τοῦ ισκω τῷ ο προπαραληγόντων συναιρεθέντα, οἷον θρώσκω, βλώσκω, νώσκω, ἐκ τῶν θορίσκω, μολίσκω καὶ νοΐσκω. 754, 41. 1722, 41.

ὥστε ἀντὶ τοῦ ὥσπερ, οἷον ἔρχαται ὥστε σύες. 1659, 12.

ὠστης ἄνεμος καὶ ἐξώστης, ὅτι παρὰ τὸ ὤθω ὤσω λέγεται. 1616, 8. 1741, 21.

ὠστίζεσθαι ὅτι παρὰ τὸ ὠθεῖν παρήχθη. 885, 14.

ὦτα, ὅτι παρὰ τὸ οὔατα κατ' ἔκθλιψιν καὶ κρᾶσιν γέγονεν ἡ λέξις. 870, 1.

ὦτα ἀκίνητα, ὅτι μόνος ὁ ἄνθρωπος ἔχει τὰ ὦτα ἀκίνητα. 870, 9.

ὦτα μυὸς, εἶδος βοτάνης ἐκ τοῦ σχήματος μεταφορικῶς οὕτω λεγόμενον. 308, 46.

ὦτα ὄνου ἰσχηκέναι μυθεύονται ἄνθρωποί τινες διὰ τὸ ἀκουστικοὶ γεγονέναι. 182, 41.

ὠταθλαδίας ὁ τὰ ὦτα τεθλασμένος πύκτης. 1324, 37.

ὦ τὰν ἀντὶ τοῦ ἐτὰν κατ' ἔκθλιψιν τοῦ ε. 24, 17.

ᾧτε καὶ ᾧπερ ἀντὶ τοῦ ὥστε καὶ ὥσπερ παραβολικῶν, ὅτι ἐκ τοῦ ὡσείτε καὶ ὡσείπερ ἀπελεύσει τοῦ σ καὶ τοῦ ε καὶ κράσει τοῦ ι

καὶ ῑ εἰς τὴν ῳ δίφθογγον καταχρηστικὴν γεγόνασι. 117, 39.

ὠτειλὴ τὸ ἁπλῶς τραῦμα, παρὰ τὸ οὐτάσαι, καὶ ὅτι καὶ ἐπὶ ἐκβολῆς τραύματος ἐνίοτε τίθεται ἡ λέξις. 455, 10. 13. 1169, 33. καὶ ὅτι παρὰ τὸ οὐτάζω λεγόμενον τὸ μὲν ω Δωρικῶς ἔχει, τὴν δὲ ει δίφθογγον Βοιωτικῶς. 481, 15. 1000, 40.

ωτερος καὶ ωτατος λήγοντα συγκριτικὰ καὶ ὑπερθετικὰ, ἐκτείνοντα μὲν φύσει τὴν πρὸ τοῦ ο συλλαβὴν, ἔτι δὲ καὶ τὸ ο μεγεθύνοντα διὰ μέτρου χρείαν, οἷον ὀϊζυρώτερος, κακοξεινώτερος. 1114, 38.

ωτης ληγόντων ὀνομάτων τῷ ι προπαραληγόντων ἀναλογία, οἷον στρατιώτης, Ἀμβρακιώτης, Μασσαλιώτης, ἀγροιώτης δὲ τῇ οι διφθόγγῳ. 862, 20.

ὠτοκάταξις ὁ τὰ ὦτα κατεαγὼς πύκτης. 1324, 37.

ωτος ωτι ωτα λήγουσαι πλάγιαι μετοχικαὶ ἐκτείνουσαι τὴν παραλήγουσαν, οἷον βεβῶτος, γεγῶτος, ἑστῶτος, τεθνεῶτος· καὶ ὅτι οὐ μόνα ταῦτα, ἀλλὰ καὶ ἄλλα πολλὰ τοῦτο πάσχουσι. 641, 4.

Ὦτος καὶ Ἐφιάλτης, Ἀλωέως καὶ Ἰφιμεδείας παῖδες, ὅτι μέγιστοι γεγονέναι μυθεύονται, καὶ ὅτι τοῖς θεοῖς πόλεμον ἐνστησάμενοι κατὰ μὲν Ὅμηρον ὑπὸ Ἀπόλλωνος κατετοξεύθησαν, κατὰ δὲ τοὺς ὕστερον ἐν κυνηγεσίῳ ἄκοντες ἀλλήλους κατηκόντισαν Ἀρτέμιδος βουλῇ, καὶ ἀλληγορία τῆς ἐπ' οὐρανὸν ἐπιχειρήσεως αὐτῶν. 560, 44. 1687, 18—50. καὶ ὅτι Ὦτος καὶ Ἐφιάλτης δῆσαι ποτὲ τὸν Ἄρην μυθεύονται, ἐκδικοῦντες τὸν τοῦ Ἀδώνιδος θάνατον· καὶ ὅτι ἡ τοιαύτη δέσις δεσμὸν ἔλλογον αἰνίττεται τοῦ θυμοῦ· ἱστορικῶς δὲ τὸν Ἄρην δῆσαι λέγονται διὰ τὸ νικῆσαι ποτὲ τοὺς πολεμίους καὶ εἰρήνην ἐμποιῆσαι ἐπί τινα χρόνον τοῖς ὑπ' αὐτοῖς· ἀνάγονται δὲ καὶ εἰς δύο θερινὰ ζώδια οἱ Ἀλωεῖδαι, τόν τε καρκίνον καὶ τὸν λέοντα, πρὸς οἷς γενόμενος ὁ πλανήτης Ἄρης πάσχει πάθος τὸν λεγόμενον στηριγμὸν, καὶ ἑρμηνεία διεξοδικὴ ἑκάστης τῶν ῥηθεισῶν ἐννοιῶν. 559, 45. 560, 8. 27. 35. 39—561, 8.

ὦτος, ὄρνεον περὶ Ἀλεξάνδρειαν μάλιστα εὑρισκόμενον, ὅτι μιμητικόν ἐστι, καὶ περὶ τοῦ πῶς ἁλίσκεται ἱστορία διεξοδικὴ, καὶ ὅτι ἐκ τοῦ ἰδιώματος καὶ τοῦ τρόπου τῆς ἁλώσεως τοῦ τοιούτου ὀρνέου ὦτοι λέγονται οἱ εὐήθεις καὶ χαῦνοι καὶ ῥᾳδίως οἷς ἀκούουσιν ἐξαπατώμενοι. 561, 3. 1522, 56. 1687, 54.

ὠτώεις τὸ το μέγα, οὐτόεις δὲ διὰ τοῦ ο μικροῦ. 1299, 32. 36.

ωυ δίφθογγος ὅτι ἐν μὲν μιᾷ λέξει διαλελυμένως προφέρεται, οἷον θωϋμάσιον ἀντὶ τοῦ θαυμάσιον καὶ ἑωϋτοῦ ἀντὶ τοῦ ἑαυτοῦ· ἐκ δὲ δυοῖν λέξεων συναιρέσεως γινομένη κατὰ σύλληψιν προφέρεται, οἷον ἐν τῷ ὁ αὐτὸς ὡὐτός. 563, 21.

ὡὐτὸς ἀντὶ τοῦ ὁ αὐτὸς, ζήτει τὸ ωυ δίφθογγος.

ὠφελεῖν δοτικῇ παρὰ Σοφοκλεῖ Ἀττικῶς. 725, 55.

ὤφελλεν, εὐκτικῆς σημασίας ῥῆμα, ὅτι κοινῶς μὲν διὰ τοῦ ω μεγάλου ἔχει τὴν ἄρχουσαν ἐν δυσὶ λ γραφόμενον, ἐνίοτε δὲ καὶ ἄλλως, ζήτει τὸ ὤφελον. 646, 8. ἀλλαχοῦ δὲ ὅτι τὸ, ὤφελλε γενέσθαι τι ἢ μὴ γενέσθαι ἀπευκτικόν ἐστι τοῦ ἐν τοῖς πράγμασιν ἐνδεχομένου, καὶ ἐπευκτικὸν δὲ τοῦ ἀναγκαίως τι γενέσθαι ἢ μή. 1751, 7.

ὠφέλεια ὅτι παρὰ τὸ ὄφελος λέγεται ἐκτάσει τῆς ἀρχούσης. 1314, 13. ζήτει τὸ ὄφελος.

ὤχθησαν ἀντὶ τοῦ ἠχθέσθησαν ἢ μετεωρίσθησαν ἢ ἐβαρύνθησαν, παρὰ τὸ ἄχθος ἢ τὸν ὄχθον. 1007, 47.

ὠχρῆσαι παρ' Ὁμήρῳ ἀντὶ τοῦ ὠχριάσαι. 1698, 12.

ὦχρος ἡ ὠχρότης προσηγορικῶς παρ' Ὁμήρῳ, καὶ ὅτι βαρύνεται τοὔνομα πρὸς διαστολὴν τοῦ ὠχρὸς ἐπιθέτου, καὶ ὅτι καὶ εἶδός τι ὀσπρίου ὦχρος ὁμωνύμως λέγεται. 377, 42. 948, 42.

ὠχρὸς ἐπίθετον, ὅτι ἐκ τοῦ χλωρὸς ᾠήθησάν τινες γεγονέναι τοὔνομα μεταθέσει τοῦ ω καὶ ἀπελεύσει τοῦ λ. 1001, 46. καὶ ὅτι οἱ ὠχροὶ ἄνθρωποι πύξινοι καὶ τοῦ χρυσοῦ γένους κατὰ σκῶμμα λέγονται, εἰς ἣν ἔννοιαν κατεχρήσατό τις καὶ τῷ Ὁμηρικῷ ἐκείνῳ, οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν, Ἰλ. ζ, 146. 812, 50. 54.

ὢψ ὠπὸς, ὅτι ἐκ τοῦ ὢψ ὠπὸς γινομένων ὀνομάτων τὰ μὲν ἐξ αὐτῆς τῆς εὐθείας γίνονται, ὧν τὰ μὲν ὀξύνονται, οἷον εἰὼψ, γλαυκὼψ, τὰ δὲ βαρύνονται, οἷον Κύκλωψ, Κέρκωψ· τὰ δὲ ἀπὸ τῶν πλαγίων αὐτῆς, καὶ τούτων τὰ μὲν διὰ τοῦ ωπης, οἷον κυνώπης, ὀξυώπης, τὰ δὲ διὰ τοῦ ωπος, ὧν πάλιν τὰ μὲν ὀξύνονται, οἷον εἰσωπὸς, σκυθρωπὸς, τὰ δὲ προπαροξύνονται, οἷον μελάνωπος, ἄνθρωπος. 768, 37. 1279, 16. 1388, 62.

ὢψ τὸ ὅλον πρόσωπον ἐκ τοῦ τιμιωτάτου μέρους, ὅ ἐστιν ἡ ὄψις. 397, 37. 1426, 53. καὶ ὅτι ὢψ μὲν ὠπὸς ὀξυτόνως ὁ ὀφθαλμὸς, Ὢψ δὲ Ὦπος τὸ κύριον βαρυτόνως. 1427, 58.

ωω λήγοντα ῥήματα ἐκ μονοσυλλάβων ῥημάτων παρηγμένα, οἷον ζῶ ζώω, γνῶ γνώω, δῶ δώω, ὅτι οὐ σχηματίζουσι μέλλοντας. 49, 1. 1910, 41. καὶ ὅτι τῶν ἐξ ἐπενθέσεως διὰ τοῦ ωω ἐκφερομένων τὰ μὲν μακρᾷ παραλήγοντα τὸ ω μέγα προσλαμβάνουσιν, οἷον ἡβῶ ἡβώω, μαιμῶ μαιμώω, τὰ δὲ βραχείᾳ τὸ ο μικρὸν, οἷον ὁρῶ ὁρόω, γελῶ γελόω· ὁμοίως καὶ αἱ μετοχαὶ, οἷον ἡβώων, γελόων. 30, 38—31, 5. 1895, 31. ζήτει τὸ, οω λήγοντα ῥήματα.